ΖΩΝΑΡ. Τάξις συνέχει καὶ τὰ οὐράνια, καὶ τὰ ἐπίγεια. Δεῖ τοίνυν ἁπανταχοῦ τὴν εὐταξίαν φυλάττεσθαι, καὶ μᾶλλον παρὰ τοῖς ἐκκλησιαστικοῖς, καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς λοιποὺς κληρικοὺς ὑπείκειν τῷ ἐπισκόπῳ. Εἰ δέ τις πρεσβύτερος ἐν μηδενὶ κατηγωκὼς τοῦ ἰδίου ἀρχιερέως, μήτε ὡς περὶ τὴν εὐσέβειαν σφαλλομένου, μήτε ὡς ἄλλο τι ποιοῦντος παρὰ τὸ καθῆκον καὶ δίκαιον, διὰ φιλαρχίαν δὲ παρασυναγωγὴν ποιήσει, ἰδιαιτάτως ἐκκλησιάζων, καὶ θυσιαστήριον πήξας ἐν τούτῳ ἱερουργεῖ, καθαιρεῖσθαι διατάττεται ὁ κανὼν καὶ αὐτὸν, καὶ τοὺς αὐτῷ συνερχομένους κληρικούς· τοὺς δὲ λοιποὺς ἀφορίζεσθαι. Οὐ ταχεῖς δὲ τοὺς ἐπισκόπους εἰς κόλασιν εἶναι βούλεται. Διὸ οὐδὲ ἀπαντεῦθεν αὐτοὺς τῇ καταδίκῃ ὑπάγειν βούλεται, ἀλλ' ἐκ τρίτου τοὺς παρασυνάγοντας παρακαλεῖσθαι ἀποστῆναι τοῦ ἀτάκτου ἐπιχειρήματος, ἐμμένοντας δὲ οὕτω καταδικάζεσθαι. Τῆς δὲ ἐν Γάγγρᾳ γενομένης συνόδου ὁ ἕκτος κανὼν τοὺς παρὰ τὴν καθολικὴν Ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοντας παρὰ γνώμην τοῦ ἐπισκόπου ὑπὸ ἀνάθεμα ποιεῖται· ὁμοίως δὲ καὶ ὁ δέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου.

C

ARIST. *Qui ab episcopo inculpato sese separat, et figit alterum altare, una cum recipientibus ordine cadet.*

Si quis propinm episcopum sine causa condemnet, ut neque contra pietatem, nec contra justitiam peccantem, et conventum populi privatim faciat, et alterum altare figat, deponatur, et ipse ut ambitiosus, et clerici qui eum sequuntur. Hæc autem fieri debent, si non conversus sit, bis vel ter adhortante eum episcopo.

ΑΡΙΣΤ. *Ὁ ἐξ ἀναιτίου σχισθεὶς ἐπισκόπου. καὶ πηγνὺς ἄλλο θυσιαστήριον, μετὰ τῶν δεξαμένων* (48) *ἔξει τὸ ἔκπτωτον.*

D

Εἴ τις τοῦ ἰδίου ἐπισκόπου ἀναιτίως κατέγνω, ὡς μήτε πρὸς εὐσέβειαν μήτε πρὸς δικαιοσύνην προσκρούσαντος, καὶ συναγωγὴν λαοῦ ἰδιαιτάτως ποιήσαιτο, καὶ θυσιαστήριον ἕτερον πήξοι, καθαιρείσθω αὐτός τε ὡς φίλαρχος, καὶ οἱ συνακολουθήσαντες αὐτῷ κληρικοί. Ταῦτα δὲ γίνεσθαι ὀφείλουσιν, εἰ μὴ ἐπιστρέφει, δὶς καὶ τρὶς τοῦ ἐπισκόπου τοῦτον παρακαλέσαντος.

CANON XXXII.

Si quis presbyter vel diaconus ab episcopo sit segre-

ΚΑΝΩΝ ΛΒ'.

Εἴ τις πρεσβύτερος ἢ διάκονος (49) *ὑπὸ ἐπισκό-*

Guill. Beveregii notæ.

(48) *Μετὰ τῶν δεξαμένων.* Christophorus Justellus legit μετ' αὐτοῦ, ac si altare una cum episcopo, qui istud fixerat, dejiceretur. At nostra lectio canonis mentem melius exhibet.

(49) *Εἴ τις πρεσβύτερος ἢ διάκονος.* Scholiastes Harmenopuli in hunc canonem hæc observat.

που γένηται ἀφωρισμένος, τοῦτον μὴ ἐξεῖναι A *παρ' ἑτέρου δεχθῆναι ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος.*

ΒΑΛΣ. Τὰ μὲν ἄλλα τοῦ παρόντος κανόνος προηρμηνεύθησαν ἐν ἑτέροις κανόσι· πῶς; δὲ λύεται τοῦ ἀφορισμοῦ ὁ ἀφορισθεὶς μετὰ θάνατον τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου, μάθε τὰ νῦν, καὶ εἰπὲ ὅτι, τοῦ ἀφορίσαντος ἀποβιώσκοτος, ἢ ὁ μετ' αὐτὸν ἐπίσκοπος λύει τὸν ἀφορισμὸν, ἢ ὁ τὸν τελευτήσαντα προβαλλόμενος πρῶτος ἀρχιερεὺς, πατριάρχης δηλαδὴ ἢ μητροπολίτης, πλὴν μετὰ ἐξέτασιν. Τὸ δὲ ἑτέρας παροικίας ἐπίσκοπον λύειν τὸν ἀφορίσαντα οὐκ ἐπιτέτραπται.

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ δέχεσθαι ἢ λύεσθαι τοῦ B ἐπιτιμίου τοὺς ὑπὸ τῶν ἰδίων ἐπισκόπων ἀφωρισμένους παρ' ἑτέρων καὶ ἀνωτέρω εἴρηται· καὶ αὖθις δὲ τὰ αὐτὰ οὗτος ὁ κανὼν διατάττεται. Ἐπεὶ δὲ εἰκὸς ἴσως τὸν ἀφορίσαντα ἢ αἰφνίδιον ἢ ἐν ἀποδημίᾳ ὄντα θανεῖν, καὶ τὸν ἀφορισθέντα μένειν ἐπιτετιμημένον, ἐπάγει· Εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτόν. Καὶ ἔοικε μὲν παραχωρεῖν ὁ κανὼν οὗτος, εἰ τύχῃ τελευτήσας ὁ ἀφορίσας, καὶ παρ' ἑτέρου δέχεσθαι ἀφορισθέντα. Ἀλλὰ τὸ, *παρ' ἄλλου*, οὕτως ἐξελήφθη, ἤγουν παρὰ τοῦ διαδεξαμένου τὴν ἀρχιερατικὴν ἐξουσίαν τοῦ τελευτήσαντος. Ἑτέρας γὰρ ἐνορίας ἐπισκόπῳ λῦσαι τὸν ἐπιτετιμημένον παρ' ἑτέρου οὐ δέδοται, εἰ μή ποῦ συνοδικὴ ἐξέτασις γένηται, καὶ φανείη μὴ δικαίως ὁ ἐπίσκοπος ἀφορίσας. Τοῦτο γὰρ καὶ C ζώντων ἔτι τῶν ἀφορισάντων γίνεσθαι ἐπιτέτραπται.

ΑΡΙΣΤ. *Ἄδεκτος ἑτέροις ὁ ἐξ ἑτέρου περιόντος ἀφωρισμένος.*

Ὁ ἀφορισθεὶς παρὰ τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερος ἢ διάκονος, ζῶντος τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου, οὐδὲ παρ' ἑτέρου προσδεχθῆναι ὀφείλει.

ΚΑΝΩΝ ΛΓ'.

Μηδένα τῶν ξένων (60) *ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἄνευ συστατικῶν προσδέχεσθαι. Καὶ ἐπιφερομένων αὐτῶν, ἀναχρίνεσθωσαν. Καὶ ἐὰν μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν· εἰ δὲ μή γε, τὰ πρὸς χρείαν αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν* D *αὐτοὺς μὴ προσδέξησθε. Πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.*

ΒΑΛΣ. Τὸ δίχα συστατικῶν γραφῶν μὴ προσδέχεσθαι τοὺς ξένους ἐπισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους προεδιδάχθημεν. Ἀρτίως δὲ διορίζεται

gatus, non licea: alii eum suscipere quam qui ipsum segregavit: nisi forte mortuus sit episcopus qui eum segregavit.

BALS. Alia quæ sunt in præsenti canone, sunt in aliis canonibus prius exposita. Quomodo autem qui est segregatus, a segregatione absolvitur post mortem episcopi qui eum segregavit, nunc accipe, et dic, quod postquam e vivis excessit qui eum segregavit, vel qui succedit ei episcopus segregationem solvit, vel is primus antistes qui defunctum præfecit, patriarcha scilicet, vel metropolitanus, sed post examinationem. Alterius autem parochiæ episcopo non permissum est, ut segregatum absolvat post mortem ejus qui segregavit.

ZONAR. Superius etiam dictum fuit, ab aliis nec recipi, nec solvi pœna debere, quos proprii excommunicarant episcopi: eademque rursus ordinat hic canon. Quoniam autem probabile forsitan est eum qui excommunicarat, vel repentine, vel in peregrinatione interiisse, et excommunicatum in imposita sibi pœna manere, subdit: Nisi casu mortuus est, qui excommunicarat eum. Et hic quidem canon permittere videtur, si forte mortuus est is qui excommunicavit, ab alio recipi excommunicatum. Sed illud, *ab alio*, sic accipitur, hoc est, ab eo, qui vita functi dignitatem pontificalem suscepit. Alterius enim diœcesees episcopo non conceditur absolvere condemnatum ab alio, nisi forte synodica fuerit inquisitio, et episcopus injuste videatur excommunicasse. Nam, vivantibus adhuc ipsis excommunicatoribus, hoc etiam fieri permissum est.

ARIST. *Qui ab aliquo superstite segregatur, ab alio non est recipiendus.*

Segregatus a proprio episcopo presbyter, vel diaconus, vivente episcopo qui eum segregavit, non debet ab alio recipi.

CANON XXXIII.

Nullus externorum episcoporum, vel presbyterorum, vel diaconorum, sine commendatitiis recipiatur: his vero allatis, examinentur. Et si fuerint præcones pietatis recipiantur: sin minus, iis quæ sunt necessaria, illis exhibitis, ad communionem eos ne admittatis. Multa enim per surreptionem fiunt.

BALS. Sine litteris commendatitiis non admitti externos episcopos, vel presbyteros, vel diaconos, antea didicimus. Nunc autem definit canon, eos,

Guill. Beveregii notæ.

Οὐ περὶ ἄλλης ἐνορίας ἐπισκόπου φησὶν, ἀλλὰ περὶ τοῦ διαδεξαμένου τὴν ἀρχιερατικὴν ἀξίαν τοῦ ἀφορίσαντος μετὰ τὴν ἐκείνου τελευτήν· καὶ ζῶντος δὲ τοῦ ἀφορίσαντος συνοδικῶς ἀφορισμὸς λύεται, εἰ μὴ δικαίως φανείη γενόμενος. Harmenop. sect. 2, tit. 3. Quæ Zonaræ præsertim hujus canonis interpretationi suffraganter.

(50) *Μηδένα τῶν ξένων*, Concilium Heorutfordense sub Theodoro archiepiscopo celebratum can. 6: *Ut episcopi atque clerici peregrini contenti sint hospitalitatis munere oblato, nullique eorum licea, ullum officium sacerdotale, absque permissu episcopi in cujus parœcia esse cognoscitur, agere statuit.* Bed. Hist. Eccles. l. 4, c. 5. Ex ea quod hoc statutum ex præsenti canone sumptum sit, codicem a Theodoro tunc temporis oblatum, apostolicos etiam canones adnexos habuisse, abunde constat.

etiamsi commendatitias litteras habeant, de pietate debere examinari : et si recte de fide sentiant, ad communionem admitti ; sin secus, ut suspectos recusari : alimentis autem non oportere eos frustrari definitum est. Et hæc quidem præsens canon. Ex aliis autem canonibus disces, quod licet quidam commendatitias litteras afferant, et de fide recte sentiant, dimissorias nihilominus litteras suorum episcoporum ostendere debent, alioqui sacris operari non permittentur : per commendatitias enim litteras eos esse sacratos probatur : licere autem iis in aliena terra sacra peragere, non ex iis, sed ex dimissoriis litteris ostenditur. Et ideo, ut est consentaneum, præsens canon solius communionis meminit, non autem et ministerii, utpote quod ii qui litteras tantum commendatitias habeant, in externa Ecclesia versari non prohibeantur.

ZONAR. Sacris initiatos in una diœcesi ministros, discedentes in aliam, canon sine commendatitiis prohibet excipi. Quod si commendatitias attulerint, ne tum quidem sine probatione admittere permittit : sed examinare jubet, an sint orthodoxi, (nam qui commendatitiam dedit epistolam, forte nesciit, quod errarent in fide) et si tales sint eos admittere, iisque communicare. Quod si dubii, circa recta fidei dogmata videantur, una cum talibus convictum vitari jubet : attamen iis necessaria benigne suppeditare, et sic missos facere. Eos enim ad vitam necessariis indigentes negligere, et sic dimittere, inhumanum judicatum fuit ab apostolis, avaritiamque simul arguens eorum, qui eos non receperunt.

ARIST. *Sacerdos peregrinus sine litteris commendatitiis non recipitur. Et profectus examinatur, et ab æquis judicibus admittitur : sin minus, datis ei ad viam necessariis, dimittitur.*

Sine litteris commendatitiis non oportet quempiam peregrinum, sacerdotem excipere. Si commendatitiæ autem litteræ afferentur, et sic tamen eum examinari oportet. Et si religiosus indubitate invenitur, recipiatur ille. Si ambigitur autem an sit necne, suppeditentur ei quæ ad expensum sunt necessaria, et dimittatur.

CANON XXXIV.

Episcopos uniuscujusque gentis nosse oportet eum qui in eis est primus, et existimare eum ut caput :

Α ὁ κανὼν ἀνακρίνεσθαι τούτους περὶ εὐσεβείας, καὶ συστατικὸν ἔχοντας· καὶ ἢ προσδέχεσθαι εἰς κοινωνίαν ὀρθοδόξους ὄντας, ἢ παραιτεῖσθαι ὡς ἀμφιβόλους· τροφῆς δὲ αὐτοὺς μὴ ἀποστερεῖν ὥρισται. Καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα. Ἐξ ἑτέρων δὲ κανόνων μαθήσῃ ὅτι, κἂν συστατικά τινες ἐπιφέρωνται, καὶ οὐδὲ περὶ τὴν ὀρθοδοξίαν ἀμφίβολοι ὦσιν, ἀλλὰ καὶ οὕτως ἀπολυτικὰς γραφὰς τῶν οἰκείων ἐπισκόπων ἐμφανίζειν ὀφείλουσιν, εἰ δὲ μή, οὐ παραχωρηθήσονται ἱερουργεῖν· τὸ μὲν γὰρ ἱερωθῆναι αὐτοὺς διὰ τῶν συστατικῶν γραφῶν ἐλέγχεται· τὸ δὲ ἐκχωρηθῆναι ἐπὶ ξένης ἱερουργεῖν οὐκ ἀπὸ τούτων, ἀλλ' ἐκ τῶν ἀπολυτικῶν γραμμάτων παρίσταται. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ὁ παρὼν κανὼν κοινωνίας μόνης ἐμνήσθη, οὐ μὴν καὶ λειτουργίας, B ὡς τῶν προκομιζόντων συστατικὰς μόνας γραφὰς ἐκκλησιάζειν ἐπὶ ξένης μὴ κωλυομένων.

ΖΩΝΑΡ. Τοὺς ἑτέρᾳ χώρᾳ ἀπιόντας ἑτέρωθεν ἱερωμένους ἀπαγορεύει ὁ κανὼν χωρὶς συστατικῶν δέχεσθαι. Εἰ δὲ καὶ συστατικὰ ἐπιφέροιντο, οὐδὲ τότε ἀβασανίστους προσίεσθαι συγχωρεῖ· ἀλλ' ἀνακρίνειν εἰ ὀρθόδοξοι εἶεν· ἴσως γὰρ ἠγνόησεν ὁ δοὺς τὴν συστατικὴν ἐπιστολὴν ὅτι σφάλλονται πρὸς τὴν πίστιν. Καὶ τοιούτους ὄντας προσδέχεσθαι, καὶ συγκοινωνεῖν αὐτοῖς. Εἰ δ' ἀμφίβολοι περὶ τὰ ὀρθὰ δόξουσι δόγματα, τὴν μετ' αὐτῶν συνδιαγωγὴν παραιτεῖσθαι διακελεύεται. Χορηγεῖν δὲ τὰ πρὸς χρείαν αὐτοῖς, καὶ οὕτως ἐκπέμπειν. Τὸ γὰρ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐπιδεεῖς ὄντας αὐτοὺς C παρορᾶν, καὶ οὕτως ἀπολύειν, ἀφιλάνθρωπον ἐκρίθη τοῖς ἀποστόλοις, καὶ ἅμα φειδωλίαν κατηγοροῦν τῶν μὴ προσδεξαμένων αὐτούς.

ΑΡΙΣΤ. *Ξένος ἱερεὺς* (51) *δίχα συστατικῶν οὐ προσδέχεται· καὶ ἐλθὼν ἐπανακρίνεται, καὶ τῶν ὀρθοτόμων προσίεται. Εἰ δ' οὔ, τὰ πρὸς χρείαν ἐφοδιαζόμενος ἀποπέμπεται.*

Ἄνευ συστατικῶν οὐ δεῖ ξένων ἱερέα προσδέχεσθαι· εἰ δὲ καὶ συστατικὰ ἐπιφέρεται, δέον αὐτὸν καὶ οὕτως ἐπανακρίνεσθαι· καὶ εἰ μὲν εὐσεβὴς ἀναμφιβόλως εὑρεθῇ, προσίεσθαι τοῦτον· εἰ δ' ἀμφιβάλλεται, τὰ πρὸς διοίκησιν ἐπιχορηγεῖσθαι αὐτῷ καὶ ἀποπέμπεσθαι.

CANON XXXIV.

ΚΑΝΩΝ ΛΔ'.

Episcopos uniuscujusque gentis nosse oportet eum qui in eis est primus, et existimare eum ut caput :

Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον (52), *καὶ ἡγεῖσθαι αὐτὸν*

Guill. Beveregii notæ.

(51) *Ξένος ἱερεύς.* In Aristeni epitome canonum à Justello edita, hic ita legitur : Ξένος ἱερεὺς δίχα συστατικῶν οὐ προσδέχεται, καὶ ἔχων ἐπανακρίνεται, καὶ εἰ τοὺς ὀρθοτομοῦντας προσίεται, εἰ δ' οὖν ἀφοριζόμενος ἀποπέμπεται. Hic pro nostro ἐλθών, legitur et quidem rectius, ἔχων, viz. συστατικά. Et ubi in nostro codice legitur τῶν ὀρθοτόμων, et in Simeonis Logothetæ epitome τῶν ὀρθοτόμων προσίεται, hic habetur καὶ τοὺς ὀρθοτομοῦντας προσίεται, *Si eos qui recte sentiunt, admittit* ; ut transfert Justellus. At nostra lectio præferenda est, καὶ τῶν ὀρθοτόμων προσίεται, quæ melius fortasse transferatur, *Et si sit ex orthodoxis, admittitur.* Cæterum pro εἰ δ' οὖν, Justellus pessime legit, εἰ δ' οὖν tam hic, quam in Logothetæ epitome : nec melius ἀφοριζόμενος, pro ἐφοδιαζόμενος, quomodo legit et logotheta, ubi tamen a Justello male vertitur, *Segregatur*, ac si ἀφοριζόμενος esset.

(52) *Τὸν ἐν αὐτοῖς πρῶτον.* Insignis locus ad evincendam archiepiscoporum, metropolitarum et patriarcharum antiquitatem, et primitivarum ecclesiarum in provincias distributionem : quam ab ipsis etiam apostolis institutam esse, eruditissimus ille Petrus de Marca probat, *De Concord. sacerd. et Imp.* l. VI, c. 4. Et quidem ipsis quibus conditi sunt hi canones diebus, provinciarum metropoles, ac proinde singularum provinciarum metropolitanos, constitutos fuisse, ex Tertull. ano colligimus, dicente, *Proxima est tibi Achaia ? Habes Corinthum. Si non*

ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ A τῆς ἐκείνου γνώμης (55). Ἐκεῖνα δὲ μόνα πρᾶττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος (54) ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. Οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται (55) ὁ Θεὸς διὰ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ὁ Πατὴρ διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

et nihil facere quod sit magni momenti præter illius sententiam : illa autem sola facere unumquemque quæ ad suam parochiam pertinent, et pagos qui ei subsunt : sed nec ille absque omnium sententia aliquid agat. Sic enim erit concordia, et glorificabitur Deus per Dominum Jesum Christum, et Pater per Dominum in Spiritu sancto. Pater et Filius et Spiritus sanctus.

ΒΑΛΣ. Τάξις συνέχει πάντα καὶ τὰ οὐράνια, ἀλλὰ καὶ τὰ ἐπίγεια. Ὅθεν καὶ ὁ παρὼν κανὼν διορίζεται τιμᾶσθαι τοὺς χειροτονήσαντας ὑπὸ τῶν χειροτονηθέντων. Οὗτοι γάρ εἰσι πρῶτοι, καὶ κεφαλαὶ αὐτῶν. Διὸ καὶ ὡρίσθη κατὰ κοινὴν γνώμην τὰ ἐπέκεινα τῆς διοικήσεως τῶν ἀνηκόντων ἑκάστῃ παροικίᾳ, εἰς ἐκκλησιαστικὴν κατάστασιν ἀποβλέποντα, καὶ περιττὰ λογιζόμενα, μὴ γίνεσθαι χωρὶς γνώμης τῶν πρώτων. Καὶ αὐτῷ δὲ τῷ πρώτῳ τοιοῦτόν τι ποιεῖν ἄνευ γνώμης τῶν ἐπισκόπων αὐτοῦ, οὐκ ἐνεδόθη. Οὕτω γάρ φησιν ἡ κατὰ Θεὸν ὁμόνοια καὶ ἀγάπη συντηρηθήσεται μέσον αὐτῶν. Καὶ ἡ μὲν ἑρμηνεία τοῦ κανόνος τοιαύτη. Εἰπὲ δὲ χάριν τῶν περιττῶν ὅτι πολλαὶ πόλεις διὰ τὴν τῶν

BALS. Ordo omnia continet et cœlestia et terrestria. Unde et præsens canon décernit eos qui ordinant, debere honorari ab eis qui sunt ordinati. Illi enim sunt primi et capita ipsorum ; et ideo communi sententia constitutum est, ut quæ ultra illa quæ ad uniuscujusque administrationem pertinent et ad ecclesiasticam constitutionem spectant, et magni momenti reputantur, non fiant absque sententia primorum. Atque ipsi etiam primo absque episcoporum suorum sententia non licet ejusmodi aliquid facere. Sic enim, inquit, quæ est ex Deo concordia et dilectio inter eos conservabitur. Et hæc quidem est canonis interpretatio. Quod autem ad illa quæ sunt magni momenti attinet, dic, verbi

Guill. Beveregii notæ.

longe es a Macedonia, habes Philippos, habes Thessalonicenses. Si potes in Asiam tendere; habes Ephesum. Si autem Italiæ adjaces, habes Romam, unde nobis quoque auctoritas præsto est. Tertul. *De præscript.*, hær. c. 36. His enim verbis haud obscure indigitat, suis etiam temporibus Corinthum Achaiæ metropolim fuisse, Philippos et Thessalonicam in Macedonia, Ephesum Asiæ, et Romam Italiæ. Sic etiam Cyprianus Carthaginem alias sibi subjectas habuisse provincias docet, *sed quoniam latius*, inquit, *jusa est nostra provincia, habet etiam Numidiam et Mauritanias duas sibi cohærentes.* Cyprian. ep. 8 ad Cornel. de Polycarpo Hadrumetino. l. 45, p. 103. lib. IV *epist.* edit. Manut. Rationem, quare primo instituti sunt metropolitani, concilium Antiochenum reddit can. 9.

(55) Ἄνευ τῆς ἐκείνου γνώμης. Vox γνώμη in hoc et similibus canonum antiquorum locis non nudum suffragium, sed auctoritatem cum suffragio conjunctam significat, ut observat etiam Petr. de Marca *De concord.* l. v. c. 7. Paraphrastes Arabicus : *Et nihil faciet ex propria voluntate ; sed agnoscet jus præsidis qui ei præest a metropolitano aut patriarcha ; et nihil faciet, nisi ex ipsius voluntate* : viz. nihil magni momenti, et quod ad suæ provinciæ administrationem non pertinet. Ut recte enim observat Scholiastes Harmenopuli in hunc canonem Περὶ δογματικῶν λέγει ζητήσεων, σφαλμάτων κοινῶν, καταστάσεως ἀρχιερέων, καὶ ὅσα τοιαῦτα. Harmen. epit. can. sect. 1, tit. 4. (Hæc autem ex Zonaræ interpretatione hujus canonis desumpta videntur.) Illustre hujus rei exemplum habemus in actione quarta concilii Chalcedonensis, ubi decem episcopi diœceseos Ægyptiacæ, cum patriarcha ipsorum Dioscorus Alexandrinus damnatus fuisset, a synodo invitati, ut Leonis papæ Romani epistolæ subscriberent, et Eutychem anathematizarent, responderunt per Hieracum sibi non fas esse aliquid tale facere, usque dum alius in locum Dioscori Alexandriæ patriarcha constitueretur, cujus sententiam se, ut sequantur, exspectare oportet. Ipsorum verba sunt : Περὶ δὲ τῆς ἐπιστολῆς ἁγιωτάτου καὶ θεοφιλεστάτου Ἀρχιεπισκόπου Λέοντος ἴσασι πάντες οἱ ἁγιώτατοι ἡμῶν Πατέρες, ὅτι ἐν ἅπασιν ἀναμένομεν τὴν γνώμην τοῦ παρ' ἡμῖν ὁσιωτάτου ἀρχιεπισκόπου,

καὶ παρακαλοῦμεν τὴν ὑμετέραν φιλανθρωπίαν ἀναμεῖναι τὴν τοῦ ἡμετέρου προέδρου γνώμην· αὐτῷ γὰρ ἐν ἅπασιν ἀκουλουθήσομεν. Concil. Chalced. act. 4, p. 588, tom. VIII. Conc. edit. Par. 1644. Quod etiam ex antiqua consuetudine sibi incumbere paucis interjectis adducit, p. 591, ἵνα κατὰ τὰ ἀρχαῖα ἔθη τῇ γνώμῃ ἐκείνου ἐξακολουθήσωμεν. Verum antiqua hæc consuetudo præsenti procul dubio canone primo fundata est. Notandum præterea, judices et senatum indicta synodo protinus subjungere, Ægyptiacos episcopos dixisse : Ἔθος εἶναι ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτον ποιεῖν, ibid. p. 593. Hic enim Alexandrini archiepiscopi γνώμην ab episcopis exspectatam, etiam διατύπωσιν *definitionem* interpretantur : quæ etiam in hoc canone recta vocis istius notio videtur, ubi ad primatem refertur ; etiamsi omnium etiam episcoporum sententia γνώμη dicatur.

(54) Ἀλλὰ μηδὲ ἐκεῖνος. Hanc canonis partem Cyprianus, episcopus Carthaginensis observavit. Nam de lapsis ad pœnitentiam componendis, ait, *Quæ res cum omnium nostrum consilium et sententiam spectet, præjudicare ego et solus mihi rem communem vindicare non audeo ; et ideo instetur interim epistolis, quas ad vos proxime feceram, quarum exemplum collegis quoque e multis jam missi, qui rescripserunt, placere sibi quod statuimus, nec ab eo recedendum esse, donec pace nobis a Domino reddita in unum convenire et singulorum causas examinare possimus.* Cyprian. epist. 19, ad clerum, de non danda lapsis pace ante pœnitentiam, lib. III, epist. edit. Manut.

(55) Καὶ δοξασθήσεται, Eadem modo, quo codex Bodleianus, hic impressus, etiam Joannes Antiochenus hæc verba usque ad finem canonis legit, nisi quod Ἰησοῦ Χριστοῦ omittat. Joan. Ant. collect. can. tit. 2. At in codicibus antehac editis et iis, qui a Gentiano Hervetо versi sunt, ita legebantur, Καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα. Dionysius Exiguus. *Et glorificatur Deus per Christum in Spiritu sancto.* Ultima ergo verba ὁ πατὴρ etc. non legit. At in Arabica paraphrasi, ab οὕτω γὰρ inclusive, usque ad canonis finem omnia omittuntur.

gratia, quod multæ civitates propter gentium incursionem absque episcopis manentes, œconomica ratione aliis episcopis **23** attribuuntur. Si ergo primus sub quo hæ sunt, sine sententia eorum qui sunt ministerii adjutores, hanc attributionem fecerit, reprehendetur. Ejusmodi sunt res magni momenti, et de iis definit canon. Non posse autem primum quidquam facere sine sententia episcoporum suorum, ne dixeris esse intelligenda de omnibus quæ ab ille facienda sunt, sed de iis tantum quæ sunt magni momenti. Si enim hoc dixeris, is qui ordinat, ei qui ordinatur, suberit, cum is quidem omnino prohibeatur absque sententia eorum qui ei subsunt, aliquid agere : illi vero primi præsentia ad ea tantum quæ sunt magni momenti opus habeant, quod est absurdum.

A ἐθνῶν ἐπιδρομὴν ἀνεπισκόπευτοι μένουσαι, κατὰ λόγον οἰκονομίας ἐπισκόποις ἑτέροις προσανατίθενται. Εἰ γοῦν ὁ πρῶτος ὑφ' ὃν αὗται τελοῦσι, δίχα γνώμης τῶν συλλειτουργῶν αὐτοῦ τὴν ἀνάθεσιν τούτων ποιήσει, αἰτιαθήσεται. Τοιαῦτά εἰσι τὰ περιττὰ, καὶ περὶ τούτων ὁ κανὼν διορίζεται. Τὸ δὲ μὴ πράττειν τι τὸν πρῶτον ἄνευ τῆς γνώμης τῶν ἐπισκόπων αὐτοῦ μὴ εἴπῃς νοεῖσθαι εἰς ἅπαντα τὰ παρὰ τούτου γίνεσθαι μέλλοντα, ἀλλ' εἰς μόνα τὰ περιττά. Εἰ γὰρ τοῦτο εἴπῃς, ὑποβιβασθήσεται ὁ χειροτονῶν τοῦ χειροτονουμένου· ὡς τούτου μὲν κωλυθέντος παντάπασι ποιεῖν τι δίχα γνώμης τῶν ὑπ' αὐτὸν, ἐκείνων δὲ δεομένων τῆς τοῦ πρώτου παρουσίας εἰς μόνα τὰ περιττὰ, ὅπερ ἄτοπον.

ZONAR. Quemadmodum corpora, dum caput sanam vim suam minime conservat, male moventur aut omnino sunt inutilia : sic etiam corpus Ecclesiæ, si non, qui ei præest, et ordine certo munus implet capitis, in suo conservetur honore, intemperanter et incondite commovebitur. Propterea, præsens canon primos cujusque provinciæ episcopos, metropolitanos videlicet archiepiscopos, aliorum per eam provinciam episcoporum caput existimari jubet; ac sine illis agere nihil, quod Ecclesiæ statum communem respiciat : cujusmodi sunt, dogmaticæ quæstiones, super erratis communibus dispositiones, pontificum constitutiones, et quæ sunt ejusmodi. De istis autem ad eum convenientes consultare, et quod omnibus optimum videatur determinare : unumquemque vero, prout ipsi visum fuerit, ecclesiæ propriæ, subditorumque sibi locorum peculiariter administrationem gerere. Sed ne primo quidem episcopo concedit, ut honore abutens hunc mutet in dominium, et uni sibi potestatem arroget : modoque dictorum, vel similium quid agat sine communi suorum consacerdotum sententia. Vult enim pontifices consentire, charitatisque vinculo colligari : et exemplum esse Clero sibi subjecto, populoque, dilectionis, et concordiæ. Ut sic Deus glorificetur secundum evangelicam doctrinam dicentem : *Luceat lux vestra coram hominibus, ut opera vestra bona videant, et glorificent Patrem vestrum, qui in cœlis est*[a]. Glorificabitur vero Deus per Dominum, cum suum nomen ille manifestat hominibus, legeque lata præcipit charitatem. Sed, et glorificabitur in sancto Spiritu : Nam per hunc apostoli sapienter edocti fuerunt, et gentes docuerunt. Ἐν ἁγίῳ δὲ δοξασθήσεται Πνεύματι· διὰ τούτου γὰρ

B ΖΩΝΑΡ. Ὥσπερ τὰ σώματα, μὴ τὴν οἰκείαν ἐνέργειαν ὑγιᾶ σωζούσης τῆς κεφαλῆς, πλημμελῶς κινοῦνται, ἢ καὶ ἄχρηστά εἰσι παντελῶς· οὕτω καὶ τὸ σῶμα τῆς Ἐκκλησίας, εἰ μὴ ὁ πρωτεύων τούτου, καὶ τάξιν πληρῶν κεφαλῆς ἐπὶ τῆς οἰκείας διατηροῖτο τιμῆς, ἀτάκτως καὶ πλημμελῶς κινηθήσεται. Διὰ τοῦτο ὁ παρὼν κανὼν τοὺς ἑκάστης ἐπαρχίας πρώτους ἐπισκόπους, τοὺς τῶν μητροπόλεων δηλονότι ἀρχιερεῖς, κεφαλὴν ἡγεῖσθαι ὑπὸ τῶν ἄλλων ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, κελεύει, καὶ χωρὶς ἐκείνων μηδὲν ποιεῖν, ὃ εἰς κοινὴν ἀφορᾷ τῆς Ἐκκλησίας κατάστασιν, οἷον ζητήσεις δογματικὰς, οἰκονομίας περὶ σφαλμάτων κοινῶν, καταστάσεις ἀρχιερέων, καὶ ὅσα τοιαῦτα. Ἀλλὰ περὶ τούτων ἐκείνῳ συνιόντας συνδιασκέπτεσθαι, καὶ τὸ πᾶσιν C ἄριστον δόξαν ψηφίζεσθαι· ἕκαστον δὲ τὰς τῆς ἰδίας ἐκκλησίας διοιγήσεις, καὶ τῶν ὑποκειμένων αὐταῖς χωρῶν πράττειν ἰδιαζόντως καθ' ἑαυτούς. Πλὴν ἀλλ' οὐδὲ τῷ πρώτῳ ἐπισκόπῳ παραχωρεῖ τῇ τιμῇ καταχρώμενον εἰς δυναστείαν ταύτην ἀμείβειν, καὶ ἑνωθέντειν, καὶ χωρὶς γνώμης κοινῆς τῶν οἰκείων συλλειτουργῶν ποιεῖν τι τῶν εἰρημένων, ἢ τῶν ὁμοίων αὐτοῖς. Βούλεται γὰρ ὁμονοεῖν τοὺς ἀρχιερεῖς, καὶ συνδεδέσθαι τῷ τῆς ἀγάπης δεσμῷ, καὶ ὑπόδειγμα πρὸς ἀγάπην τε καὶ ὁμόνοιαν τοῖς ὑπ' αὐτοὺς εἶναι κλήροις τε καὶ τοῖς πλήθεσιν. Ἵν' οὕτως δοξάζηται ὁ Θεὸς, κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν τὴν λέγουσαν· *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ* D *ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Δοξασθήσεται δὲ ὁ Θεὸς διὰ τοῦ Κυρίου ὡς ἐκείνου τὸ ὄνομα αὐτοῦ φανερώσαντος τοῖς ἀνθρώποις, καὶ τὴν ἀγάπην νομοθετήσαντος. οἱ ἀπόστολοι ἐσοφίσθησαν, καὶ τὰ ἔθνη ἐδίδαξαν.

ARIST. *Absque primate suo nihil agunt episcopi, nisi quisque ea quæ sunt suæ paræciæ. Sed nec primas aliquid agit sine illis, propter debitam concordiam.*

ΑΡΙΣΤ. *Δίχα τοῦ πρώτου αὐτῶν ποιοῦσιν οὐδὲν οἱ ἐπίσκοποι εἰ μὴ τὰ τῆς παροικίας αὐτοῦ ἕκαστος. Καὶ ὁ πρῶτος ἄτερ ἐκείνων οὐδὲν διὰ τὴν ὀφειλομένην ὁμόνοιαν.*

Nec episcopi nec metropolitæ sine sententia primatis sui debent aliquid magni momenti facere, ut episcopos eligere, in nova dogmata quærere, vel alienationes ecclesiasticorum ullorum facere, sed

Οὔτε οἱ ἐπίσκοποι οὔτε οἱ μητροπολῖται παρὰ γνώμην τοῦ αὐτῶν πρώτου ὀφείλουσί τι περιττὸν πράττειν, οἷον ἐπισκόπους ψηφίζεσθαι, περὶ δογμάτων νέων ζητεῖν, ἢ ἐκποιήσεις ἐκκλησιαστικῶν

[a] Matth. v, 16.

τινων ποιεῖσθαι, εἰ μὴ τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτοῦ χώραις. Ἀλλ' οὐδὲ ὁ πρῶτος ἄνευ γνώμης αὐτῶν δύναταί τι τοιοῦτον ποιεῖν. Οὕτω δὲ ὁ τῆς ὁμονοίας ὅρος τηρηθήσεται.

A tantum ea quæ spectant ad cujusque paræciam, et ad loca sibi subjecta. Sed nec primus absque eorum sententia potest aliquid ejusmodi facere. Sic enim concordiæ terminus conservabitur.

ΚΑΝΩΝ ΛΕ'.

Ἐπίσκοπον μὴ τολμᾶν (56) *ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν.*

24 CANON XXXV.

Episcopus ne audeat extra suos fines facere ordinationes in urbibus et pagis sibi non subjectis : sin autem hoc fecisse convictus fuerit, præter eorum sententiam qui tenent urbes illas vel pagos, deponatur et ipse, et ii quos ordinavit.

ΒΑΛΣ. Παρ' ἐνορίαν χειροτονεῖν κεκωλυμένον ἐστί· καὶ τὸν τοιοῦτόν τι ποιοῦντα παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου καθαιρεῖ ὁ κανὼν σὺν τῷ χειροτονουμένῳ. Τοῦτο δὲ ἔσται καὶ εἰς τοὺς πρώτους λειτουργήσαντας εἰς ἐνορίαν ἐπισκόπων αὐτῶν παρὰ γνώμην τούτων. Καὶ ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιγ' καὶ κβ' καὶ τῆς β' συνόδου κανόνα β'. Καὶ ταῦτα μὲν περὶ χειροτονιῶν, καὶ λοιπῶν ἱεροπραξιῶν τῶν ἐντὸς τοῦ βήματος. Εἰ δέ τις παρ' ἐνορίαν σημειωθήσεται, ἢ ἕτερόν τι διαπράξεται μὴ ὂν ἀπὸ τῶν ἐντὸς τοῦ βήματος, ἄλλως πως κατὰ τὸ δοκοῦν τῇ συνόδῳ, κολάζεσθαι τοῦτον λέγουσί τινες. Ζήτει καὶ τὸν ις' κανόνα τῶν ἁγίων ἀποστόλων.

BALS. Extra diœcesim prohibitum est ordinare : et eum qui ejusmodi quidquam fecerit, præter voluntatem episcopi illius regionis, canon deponit una cum eo qui ordinatur. Hoc autem fiet etiam in primates, qui in suorum episcoporum diœcesi celebraverint præter eorum sententiam. Lege etiam Antioch. syn. can. 13 et 22 et 2 syn., can. 2. Et hæc quidem de ordinationibus, reliquisque sacris actibus, qui intra sacrarium fiunt. Si quis autem extra diœcesim characterem dederit, vel aliquid aliud fecerit quod non sit ex iis quæ sint intra sacrum tribunal, aliquo alio modo prout synodo videbitur, eum puniendum dicunt nonnulli. Quære etiam 16 canon sanctorum apostolorum.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν πρὸς τὴν συντήρησιν τῆς ὁμονοίας, καὶ τῆς εὐταξίας ἐκτέθειται· καὶ οὐδένα παραχωρεῖ εἰς ἑτέρου ἐνορίαν ἀπιόντα χειροτονεῖν ἄνευ γνώμης καὶ παραχωρήσεως τοῦ τῆς χώρας ἐκείνης ἀρχιερέως. Οὐδὲ γὰρ αὐτῷ τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀπιέναι, καὶ τελεῖν ἀρχιερατικόν τι προνόμιον. Καθαιρεῖσθαι γὰρ προστάττει τὸν οὕτω χειροτονήσαντα καὶ αὐτὸν τὸν κεχειροτονημένον. Καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος τοῦτο οὕτως διετάξατο ἐν ιγ' κανόνι καὶ ἐν κβ', καὶ ἡ δευτέρα οἰκουμενικὴ σύνοδος ἐν δευτέρῳ κανόνι.

ZONAR. Et hic etiam canon positus est ad unionis ordinisque boni conservationem. Et nullum permittit ad alterius diœcesim abeuntem creare sacrorum ministros absque sententia et permissione pontificis illius regionis. Sed nec ipsi totius provinciæ metropolitæ licet ad alicujus eorum, qui sub se sunt, episcoporum fines proficisci, præterque legem quid agere, quod ad pontificis munus pertineat. Deponi namque mandat et eum, qui sic ordinavit, simul et ordinatum. Synodus etiam Antiochensis hoc ita constituit in 13 et in 22 canone, similiter et œcumenica secunda synodus in canone 2.

ΑΡΙΣΤ. *Μὴ χειροτονεῖν ὑπερόρια· ὁ δὲ παρὰ γνώμην τῶν ἐγχωρίων ἐπιτελῶν μετὰ τοῦ τελουμένου* (57) *ἀτέλεστος.*

ARIST. *Extra proprios terminos non est ordinandum. Qui autem præter sententiam eorum qui ibidem degunt, sacros ordines ullibi peragit, ipse pro non ordinato habeatur simulcum eo qui ab ipso ordinatur.*

Guill. Beveregii notæ.

(56) *Ἐπίσκοπον μὴ τολμᾶν.* Cum episcopus Antiochenus in insula Cypro ordinationes facere et auctoritatem exercere conaretur, Rheginus Constantiensis reliquorum insulæ episcoporum nomine libellum tertiæ œcumenicæ synodo, hinc temporis Ephesi celebratæ, obtulit, quo episcopum Antiochenum hoc *contra apostolicos canones et definitiones sanctissimæ Nicænæ synodi* tentasse asseruit. Synodus, re perpensa, decretum edidit, quo episcopum Antiochenum in dicta insula ordinationes peragere vetuit; idque ne Patrum canones transiliantur. Incipit hoc decretum his verbis; Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων Ἀποστόλων (al. Πατέρων) καινοτομούμενον καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσῆγγειλεν ὁ θεοφιλέστατος συνεπίσκοπος Ῥηγίνος; concil. Ephes. act. sept. tom. V, conc. p. 782, edit. Paris. 1644. Ubi per ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων, præsens inter alios haud dubie canon indigitatur; etiamsi τῶν ἁγίων Πατέρων verior sit lectio, quam Ἀποστόλων. Enimvero *per leges Ecclesiasticas*, canones apostolici, per *Patrum canones*, Nicæni, quorum etiam ibidem fit mentio, intelligendi sunt. Porro Scholiastes Harmenopuli in hunc canonem hæc observat : Τὸ δὲ συνοδικὸν σημεῖωμα τοῦ πατριάρχου Μιχαὴλ τοῦ καὶ ὑπάτου χρηματίσαντος τῶν φιλοσόφων, τοῦ μὲν ἐπισκόπου ἐπὶ ῥητῷ καταψηφίζεται χρόνῳ, εἰ μήπου μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν πεισθῆναι οὐ βούλεται. Τὴν δὲ χειροτονηθέντα ἐν ἐκείνῃ τῇ ἐνορίᾳ ἱερατεύειν, ἐν ᾗ κεχειροτόνηται. Συγχωρεῖ δὲ τοῖς ἀρχιερεῦσι περὶ πίστεως πανταχοῦ διδάσκειν καὶ κατηχεῖν, καὶ βαπτίζειν τοὺς ὁθενοῦν ποτε ὄντας, καὶ θείων αὐτοῖς μυστηρίων μεταδόναι. Harmen. epit. can. sect. I, tit. 4. Totum hoc Michaelis σημεῖωμα exstat in Juris Gr. Rom. t. 5, p. 227, edit. Francof. 1596.

(57) *Μετὰ τοῦ τελουμένου.* Hæc verba in Aristeno

Non debet quispiam episcoporum extra proprios terminos quempiam ordinare : qui autem hoc fecerit præter sententiam episcopi qui loco præsest, deponitur, et ipse et is qui ab eo ordinatur.

A

CANON XXXVI.

Si quis ordinatus episcopus non suscipiat ministerium et curam populi sibi commissam, sit segregatus donec eam susceperit : similiter et presbyter, et diaconus. Sin autem profectus non susceptus fuerit, non sua quidem voluntate, sed propter populi improbitatem, ipse maneat episcopus, clerus autem civitatis segregetur, quod ejusmodi insolentis populi correctores non fuerint.

Οὐκ ὀφείλει τις τῶν ἐπισκόπων ἔξωθεν τῶν ἰδίων ὅρων χειροτονεῖν τινα· ὁ δὲ τοῦτο ποιῶν παρὰ γνώμην τοῦ κατὰ χώραν ἐπισκόπου καθαιρεῖται καὶ αὐτὸς καὶ ὁ ὑπ' αὐτοῦ χειροτονηθείς.

ΚΑΝΩΝ ΛϚ'.

Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος καὶ διάκονος. Εἰ δὲ ἀπελθὼν, μὴ δεχθῇ οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς μενέτω (58) ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

BALS. Nonnulli χειροτονίαν hic pro electione acceperunt, dixeruntque se mirari quomodo nonnulli nunc temporis ad Ecclesias electi, recusant. Præstantissimus autem Zonoras canonem exponens accepit χειροτονίαν pro *manuum impositione*, et etiam pro *electione*. Ego vero recte habere animadverti, si χειροτονία hoc in loco accipiatur pro impositione manuum. Meminit enim presbyterorum et diaconorum, qui ex more qui olim servabatur, mittebantur in alias regiones, ut docerent populum. Diaconos autem ordinari quidem, id est characterem accepisse, didicimus : eligi autem non audivimus, sicut eliguntur episcopi, et olim etiam sacerdotes, ut dicit canon 14 syn. Laodicenæ. Decernit itaque præsens canon : Si quis episcopus, vel presbyter vel diaconus, ad docendum pertinentem manuum impositionem acceperit, et suum munus non impleat, segregetur, donec eo ire statuerit quo jussus est. Sin autem cum accessisset, non susceptus fuerit, propter improbitatem populi regionis, clerus **25** quidem, licet non fuerit auctor mali, segregabitur, ut qui insolentem populum non erudiat. Episcopus autem statum suum integrum habet. Nota ergo quomodo clerus punitur propter populi insolentiam. Et lege Ancyr. syn. can. 18, Antioch. can. 17 et 18 epistolam sancti Cyrilli ad Domnum : primæ et secundæ syn. quæ habita est in templo Sanctorum Apostolorum can. 16, septimæ synod. canon. 2 et Chalcedon. can. 29.

B

ΒΑΛΣ. Τινὲς ὧδε τὴν χειροτονίαν ἀντὶ ψήφου ἐδέξαντο, καὶ εἶπον θαυμάζειν πῶς παραιτοῦνται σήμερον οἱ ψηφισθέντες εἰς Ἐκκλησίας. Ὁ δὲ ὑπερφυὴς Ζωναρᾶς, ἑρμηνεύων τὸν κανόνα, ἐξελάβετο τὴν χειροτονίαν καὶ εἰς χειροθεσίαν καὶ εἰς ψῆφον. Ἐμοὶ δὲ ἐξ ὀρθοῦ κατενοήθη χειροτονίαν ἐνταῦθα εἰπεῖν τὸν κανόνα τὴν χειροθεσίαν. Μέμνηται γὰρ πρεσβυτέρων καὶ διακόνων ἀποστελλομένων, κατὰ τὸ πάλαι κρατοῦν, εἰς ἑτέρας χώρας χάριν τοῦ διδάσκειν τὸν λαόν. Διακόνους δὲ χειροτονεῖσθαι μὲν, τοῦτ' ἔστι, σφραγίζεσθαι, ἐμάθομεν· ψηφίζεσθαι δὲ οὐκ ἠκηκόειμεν, ὥσπερ ψηφίζονται οἱ ἐπίσκοποι, καὶ, κατὰ τὸ παλαιὸν, καὶ ἱερεῖς, καθώς φησιν ὁ ιγ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου. Διορίζεται γοῦν ὁ παρὼν κανών· Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος χειροθεσίαν δέξηται διδασκαλικὴν καὶ οὐκ ἀποπληροῖ τὴν διακονίαν αὐτοῦ, ἀφοριζέσθω μέχρις ἂν καταδέξηται ἀπελθεῖν ἔνθα ὡρίσθη. Εἰ δὲ καὶ ἀπελθὼν μὴ παραδεχθῇ ἀπὸ μοχθηρίας τοῦ κατὰ χώραν λαοῦ, ὁ κλῆρος μὲν, καὶ μὴ γενόμενος αἴτιος τοῦ κακοῦ, ἀφορισθήσεται, ὡς μὴ παιδεύων τὸν ἄτακτον λαόν. Ὁ δὲ ἐπίσκοπος ἔχει τὴν οἰκείαν ἐπιτιμίαν. Σημείωσαι οὖν πῶς τιμωρεῖται ὁ κλῆρος διὰ τὴν ἀπαιδευσίαν τῶν κοινολαΐτων. Καὶ ἀνάγνωθι τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ιη', τῆς ἐν Ἀντιοχείᾳ κανόνα ιζ' καὶ ιη', τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου, τῆς πρώτης καὶ δευτέρας συνόδου τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων κανόνα ις' τῆς ζ', συνόδου κανόνα β', καὶ τῆς ἐν Χαλκηδόνι κανόνα κθ'.

C

ZONAR. Parete iis, qui præsunt vobis, et subjecti estote [a], divinus ait Apostolus. Hoc etiam præsens canon instituit. Illum enim qui vocatur ad populi regimen non reluctari, sed munus hoc divinum, populique præsidentiam recipere mandat;

D

ΖΩΝΑΡ. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, φησὶν ὁ θεῖος Ἀπόστολος. Τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διατάττεται. Τὸν γὰρ εἰς προστασίαν λαοῦ καλούμενον μὴ ἀντιτείνειν διακελεύεται, ἀλλὰ καταδέχεσθαι τὸ θεῖον λειτούργημα καὶ τὴν τοῦ

[a] I Thess. v, 12.

Guill. Beveregii notæ.

synopsi a Justello edita desiderantur. At in Simeonis Logothetæ epitome rectius leguntur, μετὰ τοῦ τελουμένου. Nec sine illis plenus canonis sensus exprimitur.

(58) *Αὐτὸς μενέτω.* Sic præter ms. Bodleianum Gentianus Hervetus, et ante eum Dionysius Exiguus legit; uterque enim vertit, *Ipse quidem maneat episcopus.* Quinetiam in Zonaræ scholiis locus hic ita explicatur, ὁ μὲν ἐπίσκοπος μενεῖ ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, ut ipse eodem modo legisse videatur. Verum in impressis legitur, αὐτὸς μὲν ἔστω ἐπίσκοπος. Joannes Antiochenus, αὐτὸς μὲν ὅπερ ἐχειροτονήθη ἔστω ἐπίσκοπος. Joan. Ant. coll. can. tit. 10.

λαοῦ προστασίαν, ἢ ἀντιλέγοντα καὶ μὴ ἀπιόντα, ἀφωρισμένον εἶναι· τὰ αὐτὰ δὲ καὶ περὶ πρεσβυτέρων καὶ διακόνων. Εἰ δὲ ὁ μὲν ἐπίσκοπος ἀπῆλθεν εἰς τὴν λαχοῦσαν αὐτὸν, ὁ δὲ τῆς παροικίας ἐκείνης λαὸς οὐκ ἐδέξατο αὐτὸν δι' οἰκείαν ἀνυποταξίαν καὶ ἀναίδειαν, ἀλλ' οὐδὲ διά τινα αἰτίαν τοῦ ἐπισκόπου ἐπίφογον, ὁ μὲν ἐπίσκοπος μενεῖ ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, τῆς ἀξίας δηλαδὴ, ὁ δὲ κλῆρος τῆς παροικίας ἐκείνης ἀφορισθήσεται, ὅτι τὸν ἀνυπότακτον λαὸν ἐκεῖνον οὐκ ἐπαίδευσεν. Ὅρα τοίνυν οἵους ὁ κανὼν βούλεται εἶναι τοὺς κληρικοὺς, οὐ πεπαιδευμένους μόνον, ἀλλὰ καὶ διδακτικοὺς, καὶ ἄλλους δυναμένους παιδεύειν, καὶ σωφρονίζειν. Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιζ' καὶ ιη', καὶ τῆς ἐν Ἀγκύρᾳ ιη'.

A contradicentem vero et non abeuntem excommunicatum esse, de presbyteris etiam atque diaconis eadem. Si vero se contulerit episcopus in eam civitatem, quæ sorte sibi contigit, illius autem paroeciæ populus eum non excepit, non ob aliquam episcopi vituperabilem causam, sed propter ipsius populi, qui subjici non vult, inobedientiam, et impudentiam : in proprio quidem manebit episcopus honore, dignitate videlicet : illius vero paroeciæ clerus ab Ecclesiæ communione segregabitur, quod inobsequentem illum populum non docuerit. Ipse videas igitur, quales canon vult esse clericos : non solum doctos, verumetiam aptos natos ad docendum, qui possint, alios docere, modestosque reddere. Lege synodi Antiochensis canonem 17 et 18, et Ancyranæ 18.

B

ΑΡΙΣΤ. *Ὁ νεοχρόλητος, εἰ δυσανακτεῖ* (59) *πρὸς τὸ ἐγχείρημα, ἀφορίζεται μέχρις ἂν καταδέξηται· εἰ δὲ παρὰ τοῦ λαοῦ μὴ δεχθείη, ὁ κλῆρος ἀφορίζεται, ὅτι μὴ τὸν ὄχλον παιδεύκεν· ὁ δέ ἐστιν ἐπίσκοπος.*

ARIST. *Qui recens designatur, si gravetur munus ei demandatum, segregatur donec susceperit : si autem a populo non receptus fuerit, segregatur clerus quod plebem non docuit. Hic autem manet episcopus.*

Ὁ νεωστὶ χειροτονηθεὶς ἐπίσκοπος, εἰ οὐ πείθεται ἀναδέξασθαι τὴν ἐγχειρισθεῖσαν αὐτῷ φροντίδα τοῦ λαοῦ, ἀφωρισμένος ἔστω, ἕως ἂν καταδέξηται. Εἰ δὲ ἀπελθὼν παρὰ τοῦ λαοῦ οὐ δεχθῇ οὐ διὰ πταῖσμα οἰκεῖον, ἀλλὰ διὰ τὴν ἐκείνων μοχθηρίαν, μενέτω μὲν ἐπίσκοπος, ὁ δὲ κλῆρος ἀφορίζεται, ὡς μὴ παιδεύσας τὸν ἀνυπότακτον λαόν.

Episcopus recenter ordinatus, si non persuadeatur suscipere curam populi sibi commissam, segregetur donec susceperit. Si abiens autem, a populo non receptus fuerit, non propter suum delictum, sed propter istorum improbitatem, ipse quidem manet episcopus, clerus autem segregatur, utpote qui immorigerum populum non docuit.

ΚΑΝΩΝ ΛΖ'.

Δεύτερον τοῦ ἔτους (60) *σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ ἀναχρινέτωσαν ἀλλήλως τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν· ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς* (61), *δεύτερον δὲ Ὑπερβερεταίου δωδεκάτῃ* (62).

CANON XXXVII.

C *Bis anno fiat episcoporum synodus, et inter se examinent decreta religionis, et incidentes ecclesiasticas controversias dirimant : semel quidem quarta hebdomade Pentecostes : iterum autem Hyperberetæi duodecimo.*

Guill. Beveregii notæ.

(59) *Δυσανακτεῖ.* In Henrici Stephani Thesauro, δυσανακτέω πρὸς τὴν θάλασσαν, ex Philarcho affertur, pro *A mari abhorreo.* Stephanus autem scribendum putat potius δυσαγανακτέω, vel δυσανακτέω. Hoc autem in loco δυσανασχετεῖ potius legendum suspicor. Sic enim Justellus, tam in Aristeni quam Logothetæ epitome, legit; ut et pro καταδέξηται utrobique legit παραδέξηται.

(60) *Δεύτερον τοῦ ἔτους.* Concilia frequenter in Ecclesia quoque primitiva juxta hunc canonem celebrata fuisse ex Tertulliano patet dicente, *Aguntur præterea per Græcias illa certis in locis concilia ex universis Ecclesiis, per quæ et altiora quæque in commune tractantur, et ipsa repræsentatio totius nominis Christiani magna veneratione celebratur.* Tertull. *De jejun.* cap. 13. Iisdem etiam diebus plurima de paschate habita fuisse concilia testis est Eusebius, *Hist. Eccles.* l. v, c. 23, 24.

(61) *Τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς.* Hic sub Pentecostes nomine totum istud intervallum, quod a Paschatis die ad Festum Pentecostes intercedit, comprehenditur : quo sensu vox *Pentecoste* a Patribus sæpius usurpatur. Tertullianus, *Excerpe singulas solemnitates nationum et in ordinem exsere, Pentecosten implere non poterunt.* Tertull. *De idololatria* c. 14, in fine. Concilium Nicænum 1 : Καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, can. 20. Hieronymus, *Die Dominico, et per omnem Pentecosten.* Hieron. *Dialog. adv. Lucifer.* tom. II Oper. fol. 47 H. edit. Erasm. Sic Ambros. serm. 61, initio, Augustin. Epist. 119, adv. Jan. cap. 15, p. 373, tom. II. oper. Concil. Antioch. can. 20. Epiphanius. Ἔτι δὲ ἐν ταῖς ν' ἡμέραις, αἷς προεῖπον τῆς Πεντηκοστῆς. Epiphan. *Expos. fid.* Basilius τὰς ἑπτὰ τῆς ἁγίας Πεντηκοστῆς ἑβδομάδας. Basil. *De Spiritu sancto* cap. 27, circa medium. Quocirca quarta Pentecostes hebdomas, qua primum quotannis conventum haberi hic præcipitur, quartam denotat septimanam post festum Paschatis; unde Josephus Ægyptius recte exponit, *quarta septimana post Pascha.* Et Zonaras in canonem τὴν τετάρτην ἑβδομάδα τὴν μετὰ τὸ Πάσχα.

(62) *Ὑπερβερεταίου δωδεκάτῃ.* Hyperberetæus unus est e mensibus, quibus Syromacedones et Asiani proprie sic dicti, usi sunt. Hic autem Octobri Juliano exacte respondet, ut colligimus non tantum ex Balsamonis et Zonaræ in hunc canonem scholiis, sed e Dionysio Exiguo hæc verba sic interpretante, *Secundo vero 12 die mensis Hyperberetæi, id est, juxta Romanos, quarto Idus Octobris,* sive Octobris duodecimo; ut idem sit initium Hyperberetæi in anno Asiano et Macedonico, quod Octobris in Juliano. Quod etiam ex Arabica paraphrasi probe constat, sic vertente, *Et præcipimus, ut primus conventus habeatur quarta septimana post Pascha, et secundus conventus duodecimo die Tishrin prioris.* Nam etiam Tishrin prior in anno Syriacorum Octobri Juliano coincidit. Quæ ut magis perspi

BALS. Propter ecclesiasticas, quæ in regionibus A incidunt quæstiones, necessarium visum est episcopos uniuscujusque provinciæ, cum ipsorum primate convenire, ut quæ sunt dubia solvantur. Et præsens quidem canon, et 21 Antioch. syn. et 5 Nicænæ, bis in anno jubent fieri episcoporum synodos : sexta vero synodus, et Nicæna secunda synodus semel in anno episcopos convenire decreverunt. Similiter et 20 et 21, cap. primi tit. 3, lib. Basilic. quæ est Justiniani Novella, dicit synodos debere fieri semel in anno; Hyperberetæus autem est mensis October. Quære et præsentis operis tit. 8, cap. 8.

ZONAR. Ob incidentes de dogmatis controversias, et alias ecclesiasticas causas, propter illos B etiam, qui sunt ab episcopis excommunicationi subjecti, si suos excommunicatores accusent, a sacris apostolis judicatum est necessarium, ut uniuscujusque provinciæ convenirent episcopi simul, bis in anno : et invicem communicarent, quæ oborirentur controversias, illasque dirimerent. Istarum vero duarum synod. anniversariarum tempora, præsens **26** quidem canon, et Antiochensis synodi canon 21 quartam hebdomadem post Pascha definiunt, et autumni tempus, hoc est, Octobrem, qui dicitur Hyperberetæus. Primæ vero Nicænæ synodi canon 5 unam fieri præcipit ante Quadragesimam, et reliquam circa tempus autumni. Quare visum in descriptione canonum pro Quinquagesima C per oblivionem transcriptum fuisse, Quadragesimam. Sed ea causa, quam Nicænus canon adducit, neminem patitur hoc arbitrari, dicens : Una quidem ante Quadragesimam, ut omni sublata simultate, donum sancte offeratur Deo. De temporibus igitur sic dissentiunt. Duos attamen locales conventus unoquoque anno fieri constituunt. Œcumenica vero sexta synodus, et secunda Nicæna semel in anno episcopos congregari sanciunt, ob viæ tum molestias tum sumptus. Nunc autem harum synodorum magnus est ubique contemptus.

ΒΑΛΣ. Διὰ τὰ παρεμπίπτοντα κατὰ χώρας ἐκκλησιαστικὰ ζητήματα, ἀναγκαῖον ἐλογίσθη τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας συνέρχεσθαι τῷ πρώτῳ αὐτῶν, ἐφ' ᾧ λύεσθαι τὰ ἀμφίβολα. Καὶ ὁ μὲν παρὼν κανών, καὶ ὁ κα' τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ ὁ ε' τῆς ἐν Νικαίᾳ, δὶς τοῦ ἔτους λέγουσι γίνεσθαι τὰς συνόδους τῶν ἐπισκόπων· ἡ δὲ ς' σύνοδος καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ἅπαξ τοῦ ἔτους ἐθέσπισαν συνέρχεσθαι τοὺς ἐπισκόπους. Ὡσαύτως καὶ τὸ κ' καὶ τὸ κα' κεφ. τοῦ α' τίτλου τοῦ τρίτου βιβλίου τῶν Βασιλικῶν, Νεαρὰ ὄντα Ἰουστινιάνειος ἅπαξ τοῦ ἔτους φασὶ τὰς συνόδους γίνεσθαι· Ὑπερβερεταῖος δὲ ὁ Ὀκτώβριός ἐστι μήν. Ζήτει καὶ τοῦ παρόντος συντάγματος τίτλου η' κεφ. η'.

ΖΩΝΑΡ. Διὰ τὰς ἐμπιπτούσας περὶ δογμάτων Β ἀμφιβολίας καὶ ἐκκλησιαστικὰς ἑτέρας αἰτίας καὶ τοὺς παρὰ τῶν ἐπισκόπων ἀφορισμοῖς ὑποβαλλομένους, εἰ αἰτιῶνται τοὺς ἀφορίσαντες, ἀναγκαῖον ἐκρίθη τοῖς ἱεροῖς ἀποστόλοις τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους συνέρχεσθαι ἐπὶ τὸ αὐτὸ δὶς τοῦ ἐνιαυτοῦ, καὶ κοινοῦσθαι ἀλλήλοις τὰς γινομένας ἀμφιβολίας, καὶ λύειν ταύτας. Καιροὺς δὲ τῶν ἐτησίων συνόδων τούτων τῶν διττῶν ὁ παρὼν κανὼν καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κα' κανὼν τὴν τετάρτην ἑβδομάδα τὴν μετὰ τὸ Πάσχα ὁρίζουσι καὶ τὸν τοῦ μετοπώρου καιρὸν, ἤγουν τὸν Ὀκτώβριον· οὗτος γὰρ ὁ Ὑπερβερεταῖος. Ὁ δὲ τῆς ἐν Νικαίᾳ συνόδου τῆς πρώτης πέμπτος κανὼν πρὸ τῆς Τεσσαρακοστῆς τὴν μίαν γίνεσθαι διατάττεται· τὴν δὲ λοιπὴν περὶ τὸν τοῦ μετοπώρου καιρόν. Ἔδοξεν οὖν ἂν ἐν ταῖς μεταγραφαῖς τῶν κανόνων ἀντὶ τῆς Πεντηκοστῆς κατὰ λήθην γραφῆναι Τεσσαρακοστήν. Ἀλλὰ τοῦτο οὐκ ἐᾷ λογίσασθαί τινα ἡ αἰτία ἣν ἐπάγει ὁ τῆς ἐν Νικαίᾳ συνόδου κανὼν λέγων· Ἡ μὲν μία πρὸ τῆς Τεσσαρακοστῆς, ἵνα, πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καλῶς προσφέρηται τῷ Θεῷ. Περὶ μὲν οὖν τῶν καιρῶν οὕτω διαφέρονται. Δύο δὲ συνελεύσεις ἑκάστῳ ἐνιαυτῷ διατυποῦσι γίνεσθαι τοπικάς. Ἡ δὲ οἰκουμενικὴ ἕκτη σύνοδος, καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς ἐπισκόπους διατάττονται διά τε τὴν συντριβὴν καὶ τὰ τῆς ὁδοῦ ἀναλώματα. Νῦν δὲ πάντη τὸ τῶν συνόδων τούτων καταπεφρόνηται.

Guill. Beveregii notæ.

fiant, non abs re erit mensium Syriacorum et Ma- D cedonicorum seriem, post receptam anni Juliani formam, iis usitatam, hoc latercnlo describere, ut primo intuitu videre liceat, quomodo cum Julianis mensibus concurrunt.

MENSES

Juliani	*Macedonici*	*Syriaci*
Januarius.	Αὐδυναῖος.	Canun posterior.
Februarius.	Περίτιος.	Shebat.
Martius.	Δύστρος.	Adar.
Aprilis.	Ξάνθικος.	Nisan.
Maius.	Ἀρτεμίσιος.	Aiyar.
Junius.	Δαίσιος.	Haziran.
Julius.	Πάνεμος.	Tamuz.
Augustus.	Λῶος.	Ab.
September.	Γορπιαῖος.	Elul.
October.	Ὑπερβερεταῖος.	Tishrin prior.
November.	Δῖος.	Tishrin posterior.
December.	Ἀπελλαῖος.	Canun prior.

In hoc laterculo mensium in anno Juliano consequentiam observavimus, quo fit ut in Syriacis canon posterior prius collocetur, quod Januario respondeat. At Syri initium anni a Tishrin priori deducunt, hoc est, ex Octobri Juliano. Et hæc quidem Syriaca mensium nomina anno Juliano accommodata, non ipsis solummodo Syris, sed et Alexandrinis aliisque usitata sunt, ut non tantum ex paraphrasi jam laudata, sed et Eutychio annalium Alexandrinorum conditore patet, qui sæpius iis utitur. In hoc porro laterculo videre est, ut Hyperberetæi et Tishrin prioris duodecimus, idem sit ac duodecimus Octobris in anno Juliano; nam omnes hi menses eodem die ineunt. De his annis et mensibus videsis institutionum nostrarum Chronolog. l. 1, c. 12, 13; vide et notas in concil. Antioch. can. 12.

ΑΡΙΣΤ. Δὶς κατ' ἔτος οἱ ἐπίσκοποι συνίστωσαν διὰ τὰ πράγματα καὶ τὰ δόγματα· πρῶτα μὲν τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδος, τῇ δὲ Ὑπερβερεταίου δωδεκάτῃ τὸ δεύτερον.

Οὗτος ὁ κανὼν συνεστάλη. Ὁ γὰρ ὄγδοος κανὼν τῆς ἕκτης συνόδου καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ἅπαξ τοῦ ἐνιαυτοῦ διαγορεύουσι τὰς συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ ἐπισκόπων γίνεσθαι ἀναμεταξὺ τοῦ Πάσχα καὶ τοῦ Ὀκτωβρίου μηνός.

A ARIST. *Bis singulis annis conveniant episcopi, propter negotia et dogmata : primo quidem quarta Pentecostes hebdomade, secundo vero Octobris duodecimo.*

Hic canon nunc contrahitur. Octavus enim canon sextæ synodi et sextus synodi Nicænæ secundæ, semel in anno synodos episcoporum in quaque provincia fieri præcipiunt, inter Pascha et mensem Octobrem.

ΚΑΝΩΝ ΛΗ'.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς τοῦ Θεοῦ ἐφορῶντος. Μὴ ἐξεῖναι δὲ αὐτῷ συγγενίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι. Εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει B *τούτων τὰ τῆς Ἐκκλησίας ἀπεμπολείτω.*

CANON XXXVIII.

Omnium rerum ecclesiasticarum episcopus curam gerat, et eas administret tanquam Deo intuente. Ne liceat autem ex eis aliquid sibi vindicare, vel propriis cognatis, quæ Dei sunt largiri. Si autem sint pauperes, ut pauperibus suppeditet, sed non eorum prætextu vendat quæ sunt Ecclesiæ.

ΒΑΛΣ. Τοὺς ἀπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος ἐμπιστευθέντας τὴν τῶν ψυχῶν οἰκονομίαν ἄτοπον ἐλογίσθη λογοποιεῖσθαι χάριν τῶν πραγμάτων τῆς ἐπισκοπῆς, ἀλλ' ὡς ἐφορῶντος τοῦ Θεοῦ διοικείτωσαν, φησὶ, ταῦτα κατὰ τὸ δόξαν αὐτοῖς. Ὡς τινος δὲ εἰπόντος ὡς, Εἰ δοθείη τοῦτο, ἀπεμπολήσει ὁ ἐπίσκοπος τὰ τῆς Ἐκκλησίας, καὶ διασκορπίσει αὐτὰ πρὸς τοὺς οἰκείους συγγενεῖς, ἐπάγει ὁ κανὼν μὴ ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον διδόναι ταῦτα κατὰ χάριν πρὸς τοὺς συγγενεῖς τούτου, ἢ πιπράσκειν. Ἐκ δὲ τῶν προσόδων τῆς Ἐκκλησίας ἀποφέρεσθαι τοῦτον τὰ χρειώδη καὶ ἀναγκαῖα, καὶ τοῖς συγγενέσιν ἐνδεέσιν οὖσι τὰ πρὸς ζωάρκειαν C χορηγεῖν δέδοκται. Ἡ μέντοι ρκ' Ἰουστινιάνειος Νεαρὰ, ἤτοι θέμα γ' τοῦ ιε' κεφ. τοῦ β' τίτλου τοῦ ε' βιβλίου τῶν Βασιλικῶν, φησὶ ταῦτα ῥητῶς· Τοῖς δὲ οἰκονόμοις καὶ διοικηταῖς καὶ χαρτουλαρίοις τῶν ὁπουδήποτε ὄντων εὐαγῶν οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσί τε καὶ παισὶ, καὶ τοῖς ἄλλοις, ἢ κατὰ γένος, ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις, μισθώσεις ἢ ἐμφυτεύσεις ἢ ἀγορασίας ἢ ὑποθήκας πραγμάτων ἀκινήτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ὑπεισιέναι ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου, καθὰ καὶ τοῖς ἐν τῇ βασιλίδι τῶν πόλεων οὖσιν ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν. Εἰ δὲ θέλεις μαθεῖν ποῖαί εἰσιν αἱ ποιναὶ, ζήτει τὸ ε' θέμα τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, τὰ αὐτὰ διεξιὸν, καὶ ἐπάγον οὕτως ῥητῶς· Γινωσκόντων D αὐτῶν ὡς, εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ πᾶσαν τὴν περιουσίαν αὐτῶν τε καὶ τῶν λαμβανόντων καὶ τῶν οἰκονόμων καὶ χαρτουλαρίων καὶ διοικητῶν, οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, μετὰ τὴν αὐτῶν τελευτὴν περιελθεῖν κελεύομεν. Συναγαγὼν οὖν εἰπὲ ὅτι ἐκ τοῦ κανόνος καὶ τῆς Νεαρᾶς οὐ μόνον κατὰ χάριν, ἀλλ' οὐδὲ καθ' ἕτερον τρόπον ἔχει ἐπ' ἀδείας ἐπίσκοπος ἢ οἰκονόμος ἢ ἕτερος ἐκ τῶν ἀπηριθμημένων ἄνωθεν πρὸς συγγενεῖς οἰκείους μεταφέρειν τὰ τῶν ἐκκλησιῶν ἢ τῶν εὐαγῶν οἴκων ἀκίνητα.

BALS. Eos quibus a gratia sancti Spiritus credita est animarum administratio, absurdum visum est reddere rationem rerum episcopatus; sed tanquam intuente, inquit, Deo ea administrent, prout eis visum fuerit. Cum autem dicat quispiam, si hoc datum fuerit, vendet episcopus ea quæ sunt Ecclesiæ, et ea suis cognatis elargiendo dissipabit, subjungit canon, non licere episcopo ea ad gratiam dare suis cognatis, vel vendere. Ex reditibus autem Ecclesiæ posse eum quæ sunt utilia et necessaria auferre, et cognatis suis, si sint pauperes, quæ sunt ad vitam necessaria suppeditare visum est. Justiniani autem Novella 120, seu thema tertium cap. 15 secundi tituli 5, libri Basilic. hæc dicit præcise : Œconomis autem, et administratoribus, et chartulariis sacrosanctorum domorum ubicunque sunt, et eorum parentibus, et filiis, et aliis vel genere vel affinitatis jure conjunctis, locationes, vel emphyteuses, vel emptiones, vel hypothecas rerum immobilium, quæ ad eas sacrasanctas domos pertinent, subire, vel per se vel per interpositam personam, sicut et iis qui sunt in imperiali civitate, eisdem pœnis prohibemus. Si vis autem scire quæ sunt pœnæ, quare 5 thema ejusdem tit. et libri, quod ea persequitur, et sic aperte infert : Scientibus ipsis quod si tale quid factum fuerit, hoc quoque erit irritum, et omnes eorum facultates, et eorum qui accipiunt, et œconomorum, et chartulariorum, et administratorum, quibus dicto modo conjunguntur, ad sacrosanctam domum, ex qua rem accipiunt, post eorum mortem redire jubemus. Colligens ergo dic quod ex canone et ex Novella non solum ad gratiam, sed nec ullo alio modo licet episcopo, vel œconomo, vel ulli ex prius enumeratis in cognatos suos transferre ecclesiarum vel sacrosanctarum domorum immobilia.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους μὴ λογοποιεῖσθαι ἐπὶ τῇ διοικήσει τῶν τῆς Ἐκκλησίας πραγμάτων ὁ κανὼν διορίζεται. Ἄτοπον γὰρ τοὺς τῶν ψυχῶν οἰκονομίαν ἐμπεπιστευμένους διαπιστεῖσθαι ἐπὶ

27 ZONAR. Ab episcopis super ecclesiasticarum rerum administratione rationes exigi non debere, canon determinat. Absurdum namque est iis pecuniarum dispensationem non credere, quibus animarum

credita cura est. Cæterum, propter hanc ipsis concessam potestatem, subdit illud : Non posse quid eorum, quæ sunt Ecclesiæ, proprium sibi vindicare (Hoc enim verbum σφετερίζεσθαι significat) nec pauperum rebus abuti, tanquam propriis aut illas in gratiam largiri cognatis. Sin vero pauperes habeant consanguineos, his, velut indigentibus, necessaria suppeditare permittuntur, Atqui erogationis causa in pauperes, res ecclesiæ vendere prohibentur. Quia, quæ Deo sunt sepositæ, non oportet alienare : sed ex reditibus distributiones facere.

ARIST. *Episcopus cum potestate res Ecclesiæ administret, nihil ex iis consanguineo suo nisi ut pauperi largiens.*

Non debet episcopus examinari de rerum ecclesiasticarum administratione, licet enim ei cum potestate eas administrare, et consanguineis suis indigentibus necessaria suppeditare.

A διοικήτει χρημάτων. Διὰ δὲ τὴν δεδομένην αὐτοῖς ἐξουσίαν ἐπάγει τὸ μὴ δύνασθαί τι τῶν τῆς Ἐκκλησίας ἐξιδιοῦσθαι (τοῦτο γὰρ τὸ σφετερίζεσθαι) μηδὲ καταχρᾶσθαι τοῖς πτωχικοῖς ὡς ἰδίοις, ἢ συγγενέσι ταῦτα πρὸς χάριν διδόναι. Εἰ δὲ πενομένους ἔχοιεν συγγενεῖς, ἐπιτρέπονται καὶ τούτοις, ὡς ἐνδεέσι, τὰ ἀναγκαῖα παρέχειν. Χάριν δὲ τῆς πρὸς τοὺς πενομένους μεταδόσεως τὰ τῶν ἐκκλησιῶν πιπράσκειν κωλύονται. Τὰ γὰρ τῷ Θεῷ ἀφορισθέντα ἐκποιεῖσθαι οὐ χρή, ἐκ δὲ τῶν προσόδων τὰς διαδόσεις ποιεῖν.

ΑΡΙΣΤ. *Διοικείτω μετὰ κυρείας τὰ τῆς Ἐκκλησίας ὁ ἐπίσκοπος πράγματα, μή τι τούτων συγγενεῖ εἰ μὴ ὡς πένητι χαριζόμενος.*

B Οὐκ ὀφείλει ὁ ἐπίσκοπος ἀνακρίνεσθαι ἐπὶ τῇ διοικήσει τῶν τῆς Ἐκκλησίας πραγμάτων ἔξεστι γὰρ αὐτῷ μετὰ ἐξουσίας ταῦτα διοικεῖν, τοῖς μέντοι γε συγγενέσιν αὐτοῦ πενομένοις μεταδιδόναι τῶν ἀναγκαίων.

CANON XXXIX.

Presbyteri et diaconi sine sententia episcopi nihil perficiant, ipse enim est cujus fidei populus Domini est creditus, et a quo pro animabus eorum ratio exigetur.

BALS. Non oportere presbyteros et diaconos sine sententia episcopi quidquam agere, ne dixeris esse universale, sed dixeris non licere eis aliquid facere, quod ad episcopum pertineat, absque ejus sententia, sicut locare immobilia ecclesiæ, reditus ejus importare, pœnas imponere, et alia ejusmodi. Administratio enim, inquit canon, rerum episcopalium, et animæ populi, episcopo creditæ sunt. Lege Nicænæ syn. secundæ canonem 12.

ZONAR. Presbyteris et diaconis, qui sub episcopis per singulas regiones dant operam sacris, a seipsis quid agere non est concessum. Veluti punire et segregare quos volunt, statimque vel segregationem laxare, vel minuere, vel intendere. Pontificiis enim sunt ista potestatis. Ac nisi indultum sit

ΚΑΝΩΝ ΛΘ'.

Οἱ πρεσβύτεροι καὶ διάκονοι ἄνευ γνώμης τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν (63). *Αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ Κυρίου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.*

ΒΑΛΣ. Τὸ μηδὲν ἐπιτελεῖν τοὺς πρεσβυτέρους καὶ διακόνους ἄνευ γνώμης τοῦ ἐπισκόπου, μὴ εἴπῃς καθολικὸν εἶναι, ἀλλ' εἰπὲ μὴ ἔχειν ἐπ' ἀδείας τούτους ποιεῖν τὸ ὁτιοῦν ἀνῆκον τῷ ἐπισκόπῳ C χωρὶς γνώμης αὐτοῦ, οἷον τὸ ἐκδιδόναι ἀκίνητα τῆς ἐκκλησίας, τὸ εἰσοδιάζειν τὰ περὶ αὐτὴν, τὸ ἐπιτιμᾶν, καὶ ἕτερα τοιαῦτα. Ἡ γὰρ διοίκησις, φησὶν ὁ κανὼν, τῶν ἐπισκοπικῶν πραγμάτων καὶ αἱ ψυχαὶ τοῦ λαοῦ τῷ ἐπισκόπῳ ἐπιστεύθησαν. Ἀνάγνωθι τῆς ἐν Νικαίᾳ συνόδου τὸν δεύτερον κανόνα ιβ'.

ΖΩΝΑΡ. Τοῖς πρεσβυτέροις καὶ διακόνοις ὑπὸ τοὺς κατὰ χώραν τελοῦσιν ἐπισκόπους ἀφ' ἑαυτῶν τι πράττειν οὐκ ἐκκεχώρηται· οἷον ἐπιτιμᾶν, καὶ ἀφορίζειν οὓς βούλονται· καὶ ὀπηνίκα ἢ λύειν ἀφορισμὸν, ἢ μειοῦν, ἢ ἐπιτείνειν. Ταῦτα γὰρ τῆς ἀρχιερατικῆς εἰσιν ἐξουσίας. Καὶ εἰ μὴ παρὰ τοῦ

Guill. Beveregii notæ.

(63) *Μηδὲν ἐπιτελείτωσαν.* Eadem, quæ hoc canone constituuntur, Ignatius etiam docebat : Ὥσπερ οὖν ὁ Κύριος ἄνευ τοῦ Πατρὸς οὐδὲν ποιεῖ, οὕτω καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, μηδὲ πρεσβύτερος, μηδὲ διάκονος, μηδὲ λαϊκὸς, μηδέ τι φανέσθω εὔλογον παρὰ τὴν ἐκείνου γνώμην. Ignat. epist. ad Magnes. p. 55, edit. Usser. Oxonii. Paulo tamen aliter apud Vossium hæc leguntur pag 55. Quæ autem sine episcopi sententia non sunt peragenda, idem tradit dicens μηδεὶς χωρὶς ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν Ἐκκλησίαν. Id. epist. ad Smyrnenses p. 117. Sic et Josephus Ægyptius hunc canonem παραφραστικῶς interpretatur, *Et nullus ex presbyteris et diaconis aliquid in Ecclesia faciet sine episcopi sententia.* Ignatius autem in dicta epistola ad Smyrnenses, nonnulla sigillatim recenset, quæ citra episcopi sententiam in Ecclesia non sunt peragenda : Οὐκ ἐξόν ἐστι χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν, οὔτε προσφέρειν, οὔτε θυσίαν προσκομίζειν, οὔτε δόκην ἐπιτελεῖν· ἀλλ' ὃ ἂν ἐκείνῳ δόκῃ κατ' εὐαρίστησιν Θεοῦ, ἵνα ἀσφαλὲς D εἴῃ καὶ βέβαιον πᾶν ὃ αν πράσσητε. Hanc quidem disciplinam, quantum saltem ad baptismum, ab Ecclesia primitiva religiose observatam fuisse, locupletem habemus testem ipsum Tertullianum, dicentem, *Superest ad concludendam materiolam, de observatione quoque dandi et accipiendi baptismum commonefacere. Dandi quidem habet jus summus sacerdos, qui est episcopus : dehinc presbyteri et diaconi; non tamen sine episcopi auctoritate, propter Ecclesiæ honorem.* Tertull. *De baptismo* cap. 17. Idem docuerunt B. Ambrosius *De sacrament.* l. III. c. 1. Et Hieronymus, *Sine episcopi jussione, neque presbyter, neque diaconus jus habeant baptizandi.* Hieron. *Dial. adv. Lucifer*, tom. II, oper., p. 47. 1. Denique Scholiastes Harmenopuli de Ecclesiasticis præcipue censuris hunc canonem interpretatur, ad μηδὲν ἐπιτελείτω in canone hæc observans, ἐπιτιμῶν δηλονότι, ἀφορίζων, ἢ λύων ἀφορισμὸν, ἢ μειῶν, ἢ ἐπιτείνων. Harmenop. epit. can. sect. 2, tit. 3. Quæ ex Balsamonis et Zonaræ scholiis desumpta videntur.

ἐπισκόπου τὸ ἐνδέσιμον λάβοιεν, τοιοῦτόν τι ποιεῖν οὐκ ἐφεῖται αὐτοῖς. Περὶ τούτου ἀναγνωστέον κανόνα μγ' τῆς ἐν Καρθαγένῃ συνόδου.

ΑΡΙΣΤ. Ἄτερ ἐπισκόπου κείρει πρεσβύτερος οὐδὲν καὶ διάκονος· καὶ γὰρ οὗτος πεπίστευται τὸν λαόν.

Οὐκ ἔξεστι πρεσβύτερον ἢ διάκονον ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου ἢ τὸν λαὸν ἀφορίζειν, ἢ αὔξειν ἢ μειοῦν ἐπιτίμια, ἢ ἕτερόν τι τοιοῦτον ποιεῖν, ὡς τοῦ ἐπισκόπου τὸν λαὸν ἐμπεπιστευμένου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησομένου.

ΚΑΝΩΝ Μ'.

Ἔστω φανερὰ (64) *τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα (εἴτε ἴδια ἔχει) καὶ φανερὰ τὰ Κυριακά· ἵν' ἐξουσίαν ἔχῃ τὰ ἴδια τελευτῶν ὁ ἐπίσκοπος, οἷς βούλεται καὶ ὡς βούλεται καταλείψαι, καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ ἐπισκόπου, ἴσθ' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς ἢ οἰκέτας. Δίκαιον γὰρ παρὰ Θεῷ καὶ ἀνθρώποις τὸ μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίαις περιβάλλεσθαι.*

ΒΑΛΣ. Οἱ θεῖοι ἀπόστολοι, μηθὲν τοῦ δικαίου προτιμώμενοι, διωρίσαντο κεχωρισμένα εἶναι καὶ ἀνεπίκοινα τὰ ἰδικῶς τῷ ἐπισκόπῳ διαφέροντα· καὶ τὰ τῇ ἐκκλησίᾳ ἀνήκοντα· ἐφ' ᾧ ἔχειν ἐξουσίας τὸν ἐπίσκοπον τὰ οἰκεῖα οἰκονομεῖν κατὰ τὸ βουλητὸν αὐτῷ ἐν ζωῇ ἢ καὶ ἐν τελευταίαις διατυπώσεσι· καὶ μήτε τὴν ἐκκλησίαν ζημιοῦσθαι προφάσει τῶν ἀναφανησομένων χρεῶν τοῦ ἐπισκόπου, μήτε τὸ ἐπιτελεύτιον τούτου βούλημα, ἢ καὶ τὸ ἐν ζωῇ, διαπίπτειν. Ὥστε παρίσταται ὡς, εἰ μὴ ὁ ἐπίσκοπος ποιήσει κατάδηλα τὰ οἰκεῖα πρὸ τοῦ χειροτονηθῆναι, ὡσαύτως καὶ μετὰ τὴν χειροτονίαν περιελθόντα αὐτῷ ἐξ εὐλόγου τρόπου, καὶ μὴ ὄντα ἐκκλησιαστικά, ἀνθέξεται πάντων τῶν πραγμάτων αὐτοῦ ὁ μετ' αὐτὸν ἐπίσκοπος, καὶ τὸ μέρος ἅπαν τῆς ἐκκλησίας, καὶ οἰκειωθήσεται αὐτά. Πάντως δὲ καὶ ἀναγκασθήσεται ὑπὲρ τῶν χρεῶν ἐκείνου ἀπολογεῖσθαι, εἰ μήπω ἀπογραφὴν ἔχθωνται τῆς τούτου περιουσίας Τότε γὰρ γενήσεται, ὡς ἐμοὶ δοκεῖ, ὅ τι ὁ νόμος φησὶν ἐν βιβλίῳ λε', τίτλῳ ιδ', κεφ. ριζ'. Ζήτει καὶ τοῦ παρόντος συντάγματος τίτλον ε', κεφ ε', καὶ κεφ. β'.

ΖΩΝΑΡ. Τοὺς ἔχοντας τῶν ἐπισκόπων ἰδίας περιουσίας, κελεύει ὁ κανὼν φανερὰς ταύτας ποιεῖν, ἵνα μὴ ἐπικοινῶνται τοῖς ἐκκλησιαστικοῖς, ἀλλ'

iis ab episcopo, tale quid facere non est eis permissum. Super hoc legere convenit canonem 43 synodi Carthaginensis.

ARIST. *Sine episcopo nihil faciat presbyter et diaconus; etenim huic creditus est populus.*

Non licet presbytero, vel diacono sine sententia proprii sui episcopi vel excommunicare, vel intendere vel minuere pœnas, vel aliquid tale facere, quia episcopo creditus est populus Dei, et ab eo animarum eorum exigetur ratio.

CANON XL.

Manifestæ sint episcopi res propriæ (siquidem res habet proprias) et manifestæ res Dominicæ. Ut sit in potestate morientis episcopi, propria, quibus velit, et ut velit, relinquere, et non rerum ecclesiasticarum occasione res episcopi intercidant, qui nonnunquam uxorem habet et liberos, vel cognatos vel famulos. Est enim justum apud Deum et homines, ut nec ecclesia damnum aliquod accipiat propter rerum episcopi ignorationem: nec episcopus, vel ejus cognati Ecclesiæ occasione proscribantur, vel in negotia litesque incidant qui ad eum attinent, et ejus mortem maledictis prosequantur.

BALS. Divini Apostoli justo nihil præferentes, definierunt separata esse debere et non communia, ea quæ 28 sunt episcopi propria, et quæ pertinent ad ecclesiam; ut sit in episcopi potestate quæ sua sunt, pro suo arbitrio administrare, et in vita, et in ultima dispositione: et nec ecclesia damno afficiatur, prætexta debitorum episcopi, quæ emergent: nec ejus voluntas vel in vita, vel in morte intercidat. Quamobrem constituitur, ut nisi episcopus res quæ suæ erant, ante electionem declaraverit, similiter et quæ post electionem ad eum legitime devenerunt, nec sunt ecclesiasticæ, res omnes ejus apprehendat qui succedit episcopus, et universa pars ecclesiæ, et ea sibi attribuet. Omnino autem cogetur pro illius debitis respondere, nisi utique ejus facultatum inventarium ediderint. Tunc enim fiet, ut mihi videtur, quod dicit lex in libro xxxv, tit. 15, cap. 117. Quære et præsentis operis tit. 10, cap. 5 et cap. 2

ZONAR. Episcopos habentes bona privata canon palam jubet hæc edere, ne misceantur ecclesiasticis, sed sint ea manifesta, et quæ ad eos pertine-

Guill. Beveregii notæ.

(64) *Ἔστω φανερά.* Ex eo quod hoc canone cautum sit, ne quæ propria sunt episcopi post ipsius mortem ullo modo intercidant, etiam nec sub rerum ecclesiasticarum obtentu, aperte satis laudari videtur idem canon a concil. Chalced. can. 22 dicente, *Non licere clericis post mortem proprii episcopi res, quæ ad ipsum pertinent, rapere,* καθὼς καὶ τοῖς πάλαι κανόσιν ἀπηγόρευται. Eliamsi non tantum codex Bodleianus et Gentianus Herveti, sed et ipse Balsamon, in scholiis ad dictum canonem, legat, καθὼς καὶ τοῖς παραλαμβάνουσιν ἀπηγόρευται. In Græca tamen Balsamonis editione prior lectio retinetur, quam etiam veriorem esse ex antiquioribus interpretibus abunde constat. Nam Dionysius Exiguus vertit, *Sicut antiquis quoque est canonibus constitutum.* Et eo longe vetustior Latinus canonum translator a Justello editus, *Sicut et anterioribus canonibus cautum est:* quibus suffragatur et Joan. Antiochenus, collect. can. tit. 4.

bant ante episcopatum, et ea, quæ fortasse post episcopatum ipsis obvenerunt a cognatis, per hæreditatem, videlicet, aut legatum, vel alium similem modum. Sua siquidem propria possunt relinquere his, quibus volunt, orthodoxis tamen Christianis: quæ vero sunt ecclesiarum, debent administrare cum timore Dei, pauperibusque dare. Si enim quæ sunt ecclesiæ, et quæ sunt episcopi, confusa sint invicem, post ejus mortem forte ecclesia, vel hæredes episcopi molestias habebunt. Nam si casu debita quædam appareant episcopi, creditores ad horum satisfactionem trahent ecclesiæ bona. Sin e contrario, debita inveniantur ecclesiæ, trahentur eorum, quæ fuerunt illius, bonorum successores, ut hæc impleant: et non sufficientibus forte bonis episcopi, propriis illi multabuntur: atque sic episcopi memoria vel ab ipsis, vel a viris ecclesiasticis infamabitur.

A εἶεν φανερὰ τά τε αὐτοῖς διαφέροντα πρὸ τῆς ἐπισκοπῆς καὶ τὰ ἴσως περιερχόμενα αὐτοῖς μετὰ τὴν ἐπισκοπὴν ἀπὸ συγγενῶν, κατὰ κληρονομίαν δηλαδὴ ἢ λεγάτον, ἢ ἕτερον ὅμοιον τρόπον. Τὰ μὲν γὰρ ἴδια δύνανται καταλιμπάνειν οἷς βούλονται, ὀρθοδόξοις μέντοι Χριστιανοῖς· τὰ δὲ τῶν ἐκκλησιῶν διοικεῖν μετὰ φόβου Θεοῦ, καὶ τοῖς πενομένοις διδόναι. Εἰ γὰρ συγκεχυμένα τὰ τῆς ἐκκλησίας, καὶ τοῦ ἐπισκόπου εἰσὶν, ἴσως ἡ ἐκκλησία ἢ οἱ τοῦ ἐπισκόπου κληρονόμοι πράγματα ἕξουσι μετὰ θάνατον ἐκείνου. Εἰ γὰρ τυχὸν χρέα τοῦ ἐπισκόπου ἀναφανῶσι, τὰ τῆς ἐκκλησίας εἰς ἱκάνωσιν τῶν χρεῶν ἑλκύσουσιν οἱ δανεισταί. Ἢ αὖθις, εἰ χρέα τῆς ἐκκλησίας εὑρεθείη, ἑλκυσθήσονται οἱ τῶν ἐκείνου διάδοχοι ταῦτα ἀποπληροῦν· καὶ μὴ ἐξαρκούντων ἴσως τῶν τοῦ B ἐπισκόπου, καὶ τὰ οἰκεῖα ἐκείνοι ζημιωθήσονται· καὶ οὕτως ἡ μνήμη τοῦ ἐπισκόπου παρ' ἐκείνων ἢ τῶν τῆς ἐκκλησίας βλασφημηθήσεται.

ARIST. *Bona ecclesiæ, et bona episcopi sint manifesta, ut et episcopus testetur, et ecclesia indemnis maneat.*

ΑΡΙΣΤ. *Τὰ τῆς ἐκκλησίας καὶ τὰ τοῦ ἐπισκόπου προκείσθω πράγματα φανερὰ, ἵνα καὶ ὁ ἐπίσκοπος διατιθῆται, καὶ μένῃ ἡ ἐκκλησία ἀζήμιος.*

Oportet episcopum cum deligitur ad episcopatum, inventarium dare bonorum suorum, et manifesta ea facere, ut et bonorum etiam ecclesiæ: ut propria sua et vivus et post mortem, ut sibi placeat, disponat, et ecclesia retineat quæ sua sunt.

Δεῖ τὸν ἐπίσκοπον ἐν τῷ προχειρίζεσθαι εἰς ἐπισκοπὴν ἀπογραφὴν ποιεῖν τῶν οἰκείων πραγμάτων, καὶ φανερὰ ταῦτα τιθέναι, ὡσαύτως καὶ τῶν τῆς ἐκκλησίας· ἵνα περὶ τῶν οἰκείων καὶ ζῶν καὶ μετὰ θάνατον κατὰ τὸ βουλητὸν αὐτῷ διάθηται, καὶ ἡ ἐκκλησία ἔχῃ τὰ ἑαυτῆς.

CANON XLI.

Jubemus episcopum rerum ecclesiæ potestatem habere. Si enim pretiosæ hominum animæ sunt ei C credendæ, multo magis sunt committendæ pecuniæ, ut in ejus sit facultate omnia administrare, et iis qui egent, per presbyteros et diaconos subministrare, cum Dei timore, et omni religione; etiam (si sit opus) in necessarium suum usum accipere, et fratrum qui hospitio excipiuntur, ita ut ipse nullo modo egeat. Lex enim Dei statuit, ut qui altari assident, ex altari alantur; quandoquidem nec miles unquam suo viatico adversus hostes progreditur.

ΚΑΝΩΝ ΜΑ'.

Προστάσσομεν τὸν ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων. Εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε κατὰ τὴν ἑαυτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι, καὶ τοῖς δεομένοις (65) διὰ πρεσβυτέρων καὶ διακόνων ἐπιχορηγεῖσθαι μετὰ φόβου Θεοῦ καὶ πάσης εὐλαβείας· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴ γε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτὸν ὑστερεῖσθαι· ὁ γὰρ νόμος τοῦ Θεοῦ διετάξατο τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι. Ἐπείπερ οὐδὲ στρατιώτης ποτὲ ἰδίοις ὀψωνίοις ὅπλα κατὰ πολεμίων ἐπιφέρεται.

Guill. Beveregii notæ.

(65) *Καὶ τοῖς δεομένοις.* In Ecclesia recens nata usus ex D. Pauli instituto I Cor. xvi, 2, obtinuit, ut qui ad templa accedebant, stipem aliquam in *arcæ genus* (ut cum Tertulliano loquar) pro libitu apponerent. Quodcunque apponebatur, apud præsidem sive episcopum depositum, ab eodem in pauperes distributum fuit, ut ex insigni isto Justini Martyris loco discimus; Οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι, κατὰ προαίρεσιν ἕκαστος τὴν ἑαυτοῦ, ὃ βούλεται δίδωσι· καὶ τὸ συλλεγόμενον παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον ἢ δι' ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. Justin. Apol. p. 77, l. 36 edit. Sylburg. Eadem habes et apud Tertull. *apol.*, c. 39, et Constit. apostol. l. II, c. 25. Episcopos autem per presbyteros et diaconos, ut hoc canone cautum est, egenis subministrasse ex Cypriano perspicue satis colligimus, utpote qui ad clerum suum scribens, hæc habet, *Et quoniam mihi interesse nunc non permittit loci conditio, peto vos pro fide et religione vestra, fungamini illic et vestris partibus et meis, ut nihil vel ad disciplinam vel ad diligentiam desit. Quantum autem ad sumptus suggerendos, sive illis, qui gloriosa voce Deum confessi, in carcere sunt constituti, sive iis, qui pauperes et indigentes laborant, et tamen in Domino perseverant, peto nihil desit: cum summa omnis, quæ reducta est, illic sit apud clericos distributa, propter ejusmodi casus, ut haberent plures, unde ad necessitates et pressuras singulorum operari possent.* Cyprian. epist. 2, l. v, ad clerum, de cura pauperum, et quiete plebis, edit. Manut.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐρμηνεύθη διὰ τῆς ἑρμηνείας τοῦ λη' κανόνος, τὰ αὐτὰ λέγοντος. Ἐνταῦθα δὲ προστίθησι φιλόπτωχον εἶναι τὸν ἀρχιερέα, καὶ τὴν πρὸς τοὺς πένητας διάδοσιν διὰ τῶν πρεσβυτέρων καὶ διακόνων αὐτοῦ γίνεσθαι, εἰ βούλεται ἑαυτὸν διατηρεῖσθαι ἀνώτερον πάσης ὑποψίας. Ἀνάγνωθι τὸν κθ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου. A

BALS. Præsens canon expositus est per interpretationem 38 canonis, qui eadem dicit. Hic autem adjicit debere episcopum amatorem pauperum esse, et largitionem in pauperes debere fieri per suos presbyteros et diaconos, si vult se servare ab omni suspicione immunem. Lege 24, can. syn. Antioch. et epistolam sancti Cyrilli ad Domnum.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τὴν ἐξουσίαν πάσαν τῶν ἐκκλησιαστικῶν πραγμάτων τῷ ἐπισκόπῳ δίδωσι· τὴν δὲ πρὸς τοὺς πενομένους διάδοσιν διὰ πρεσβυτέρων καὶ διακόνων κελεύει γίνεσθαι, ἵνα πάσης ὑποψίας διατηρῇ ἑαυτὸν ὁ ἐπίσκοπος ἐκτός· δεῖ γὰρ καλὰ προνοεῖν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὡς φησιν ὁ θεσπέσιος Παῦλος. Μεταλαμβάνειν δὲ καὶ B αὐτὸν τὸν ἐπίσκοπον τῶν τῆς Ἐκκλησίας παραχωρεῖ, εἰς τὰς ἀναγκαίας μέντοι χρείας· οὐ μὴν εἰς περιττόν τι, πρὸς τρυφὴν, ἢ βλακείαν ἀνῆκον· ἀλλ' ὥστε τὰ τὴν ζωὴν συνιστῶντα τοῦτον ἔχειν ἐκεῖθεν, ἃ κατὰ τὸν μέγαν ἀπόστολον διατροφαί εἰσι καὶ σκεπάσματα, καὶ τούτοις ἀρκεῖσθαι· ἵνα οὕτω καὶ αὐτός τε τρέφοιτο καὶ οἱ ἐπιξενούμενοι αὐτῷ ἀδελφοὶ μή τινος τῶν χρειωδῶν ὑστερῶνται. Ὅρα τοίνυν ὅτι καὶ φιλόξενον εἶναι δεῖ τὸν ἐπίσκοπον, καθὼς ὁ Ἀπόστολος Τιμοθέῳ καὶ Τίτῳ ἐπιστέλλων διετάξατο. Τὰ αὐτὰ δὲ καὶ ὁ εἰκοστὸς τέταρτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται, καὶ ὁ μέγας Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ.

29 ZONAR. Hic etiam canon omnem quoque potestatem rerum ecclesiasticarum committit episcopo. Dispensationem tamen jubet inter pauperes fieri per presbyteros et diaconos, ut immunem se servet episcopus ab omni suspicione. Honesta siquidem providere coram Deo, et hominibus oportet[7], ut divinus ait Paulus. Porro ipsum episcopum sumere de bonis Ecclesiæ permittit, ad necessarios, videlicet, usus: non in rem aliquam supervacaneam, quæ ad delicias, aut vitæ mollitiem pertineat, sed ex illis habeat ipse vitæ convenientia quæ secundum magnum apostolum, alimenta sunt, et tegumenta: et his esto contentus[8], ut sic, et ipse nutriatur, et hospitio suscepti fratres rebus necessariis minime destituantur. Ipse videas igitur, quod episcopum oportet esse hospitalem[9], quemadmodum Timotheo et Tito scribens Apostolus constituit. Eadem autem vicesimus quartus Antiochiæ synodi canon præcipit. Magnus quoque Cyrillus in epistola ad Domnum.

ΑΡΙΣΤ. *Ἐξουσιαζέτω τῶν ἐκκλησιαστικῶν ὁ ἐπίσκοπος πραγμάτων, καὶ τῶν ψυχῶν γάρ· καὶ διοικείτω πάντα κατὰ τὴν θείαν δόσκειαν.* Σαφής. C

ARIST. *Potestatem habeat episcopus super res ecclesiasticas, habet enim et super animas: et administret omnia secundum divinam voluntatem.* Perspicuus.

ΚΑΝΩΝ ΜΒ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κύβοις σχολάζων καὶ μέθαις (66), ἢ παυσάσθω, ἢ καθαιρείσθω.

CANON XLII.

Episcopus, vel presbyter, vel diaconus, aleis et ebrietatibus vacans, vel desistat, vel deponatur.

ΚΑΝΩΝ ΜΓ'.

Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὰ ὅμοια ποιῶν, ἢ παυσάσθω, ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκοί.

CANON XLIII.

Hypodiaconus, vel lector, vel cantor, similia faciens, vel desistat, vel segregetur. Itidem et laici.

ΒΑΛΣ. Ἄλλως κολάζονται οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, κύβοις καὶ μέθαις σχολάζοντες, καὶ ἄλλως οἱ ὑποδιάκονοι, οἱ ψάλται, οἱ ἀναγνῶσται, καὶ οἱ λαϊκοί. Τοὺς μὲν γὰρ καθαιρεῖσθαί φασιν οἱ παρόντες δύο κανόνες, εἰ μὴ παύσονται, τοὺς δὲ ἀφορίζεσθαι. Ζήτει καὶ τὸν θ' κανόνα τῆς ἐν τῷ Τρουλλῳ συνόδου, καὶ τίτλον θ' τοῦ παρόντος συντάγματος κεφ. κζ', καὶ λε', καὶ τίτλον ιγ', κεφ. κθ'. D

BALS. Aliter puniuntur episcopi, presbyteri, diaconi, aleis et ebrietatibus vacantes, et aliter hypodiaconi, cantores, lectores et laici. Præsentes enim duo canones dicunt illos quidem deponi nisi desistant, hos vero segregari. Quære et 9 canonem syn. in Trullo, et tit. 9 præsentis operis, cap. 27 et 35, et tit. 13, cap. 29.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους, καὶ τοὺς τοῦ κλήρου πάντας, παράκλησιν ἅπασι πρὸς ἀρετὴν εἶναι χρὴ,

ZONAR. Episcopos, et omnes de clero, universis oportet esse incitamentum ad virtutem formamque

[7] II Cor. viii, 21. [8] I Tim. vi, 8. [9] Tit. i, 8.

Guill. Beveregii notæ.

(66) *Καὶ μέθαις.* Egbertus Eboracensis, *ut nullus ex sacerdotum numero ebrietatis vitium nutriat, nec alios rogat per suam jussionem inebriari.* Edgarus rex Saxo: um. *Docemus etiam, ut sacerdotes ipsi ebrietatem caveant, aliis perhibeant studiosius cavendam.* Eadem constituunt et canones Ælfrici ad Wulfinum episcopum. Scholiastes Harmenopuli ad hunc canonem hæc notat, Ἢ δὲ ρκγ' Νεαρὰ Ἰουστινιάνου ἀφορίζουσα τούτου; καὶ μονάστριαν ἐμβαλλει. Harmenop. sect. 3, tit. 2.

primam, et extimulationem ad bona opera. Quoniam autem probabile est nonnullos etiam istorum ab honesto deflecere, et vel alea ludere, vel inebriari; canon jubet hos vel desistere, vel episcopos quidem, presbyteros et diaconos, a gradu suo deponi : subdiaconos autem, lectores et psaltas, nisi desinant, excommunicari. Laicos etiam tesseris et ebrietatibus vacantes. Ad ebrietatem enim non bibere vinum jubet Scriptura [10] : rursusque, *Non inebriari vino in quo est luxuria* [11]. Sed nec aliquis clericus tabernæ cauponariæ præesse permittitur, secundum nonum canonem synodi in Trullo.

ARIST. Can. XLII. *Sacerdos qui aleator est aut ebriosus, si non abstineat, deponatur.*

Si presbyter aut diaconus alea ludens aut vinolentus deponitur, multo magis majoris ecclesiasticæ dignitatis participes deponuntur, alea lusitantes aut ebriosi.

Can. XLIII. *Clericus et laicus similia faciens, excommunicetur.*

CANON XLIV.

Episcopus, vel presbyter, vel diaconus, usuras exigens a debitoribus, vel desistat, vel deponatur.

BALS. Antiqua lex dicit, *Non fenerabis fratri tuo usuram argenti tui* [12]. Hanc ergo legem secutus hic canon, **30** deponi dicit, omnem episcopum, presbyterum et diaconum, qui ad usuram dat nisi desistat; canon autem 5 synodi Carthaginensis et 17 synodi primæ, ac decimus synodi in Trullo, clericum omnem deponi dicunt, nisi ad usuram mutuari desinat. Quære etiam tit. 9, hujus operis cap. 27.

ZONAR. Hic quidem canon jubet episcopos, et presbyteros, et diaconos usuras non exigere. Quintus autem synodi Carthaginensis canon, omni clerico vetat usuras accipere. Nam si vetere lege vetitum fuit hoc dicente : *Fenori non dabis argentum tuum fratri tuo*, multo magis vetatur illis usuras capere, qui secundum Evangelium vivere pollicentur. Propterea, deponi præcepit ad usuram mutantes, nisi desinant. Et decimus septimus canon primæ synodi, et decimus in Trullo synodi hoc vetant.

ARIST. *Usuras exigens mutui sacerdos, si non desistat, deponitur.*

Misereri postulatus, si auferat et aliena per usuras, deponitur, nisi desinat hoc facere.

καὶ ἀρχέτυπον, καὶ παροξυσμὸν πρὸς ἀγαθοεργίαν. Ἐπεὶ δὲ καὶ τούτων τινὰς εἰκὸς ἐστιν ἐκτρέπεσθαι τοῦ καλοῦ καὶ ἢ κυβεύειν, ἢ μεθύσκεσθαι, διατάττεται ὁ κανὼν ἢ παύεσθαι τοὺς τοιούτους, ἢ τοὺς μὲν ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους καθαιρεῖσθαι, τοὺς δέ γε ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ ψάλτας, εἰ μὴ παύοιντο, ἀφορίζεσθαι· ἀλλὰ μὴν καὶ τοὺς λαϊκοὺς κύβοις καὶ μέθαις σχολάζοντας. Μὴ πίνειν γὰρ οἶνον εἰς μέθην φησὶν ἡ Γραφή. Καὶ πάλιν, *Μὴ μεθύσκεσθαι οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία.* Ἀλλὰ οὐδὲ καπηλικοῦ προΐστασθαι ἐργαστηρίου κληρικὸς συγχωρεῖται κατὰ τὸν ἔνατον κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. *Κανὼν ΜΒ'. Ὁ κυβιστὴς καὶ πάροινος ἱερεὺς εἰ μὴ παύοιτο, καθαιρείσθω.*

Εἰ πρεσβύτερος, ἢ διάκονος κυβεύων, ἢ μεθύων, εἰ μὴ παύοιτο, καθαιρεῖται· πολλῷ πλέον οἱ τῆς μείζονος ἀξίας ἱερατικῆς τετυχηκότες καθαιρεθήσονται κυβεύοντες ἢ μεθύοντες.

Κανὼν ΜΓ'. *Κληρικὸς, καὶ λαϊκὸς τὰ ὅμοια πράττων ἀφοριζέσθω.*

ΚΑΝΩΝ ΜΔ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, τόκους ἀπαιτῶν (67) *τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω.*

ΒΑΛΣ. Ὁ παλαιὸς νόμος φησὶν· *Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου.* Ἀκολούθως οὖν τούτῳ, ὁ μὲν παρὼν κανὼν καθαιρεῖσθαί φησι πάντα Ἐπίσκοπον, πρεσβύτερον, καὶ διάκονον, τοκίζοντα, εἰ μὴ παύσεται. Ὁ δὲ ε' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ὁ ιϛ' τῆς α' συνόδου, καὶ ὁ ι' τῆς ἐν τῷ Τρούλλῳ, πάντα κληρικὸν λέγουσι καθαιρεῖσθαι, εἰ μὴ παύσεται τοῦ τοκίζειν. Ζήτει καὶ τὸν θ' τίτλον τοῦ παρόντος συντάγματος, κεφ. κζ'.

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων μὴ τόκους ἀπαιτεῖν διατάττεται. Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου πέμπτος κανὼν παντὶ κληρικῷ τόκους λαμβάνειν ἀπαγορεύει. Εἰ γὰρ τῷ παλαιῷ νόμῳ τοῦτο ἀπείρητο, λέγοντι· *Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου*, πολλῷ μᾶλλον ἂν εἴη τοῖς κατὰ τὸ Εὐαγγέλιον ἐπαγγελλομένοις ζῆν, ἀπηγορευμένον τὸ τόκους λαμβάνειν. Διὸ καὶ καθαιρεῖσθαι προστάττει τοὺς ἐπὶ τόκοις δανείζοντας, εἰ μὴ παύοιντο. Καὶ ὁ ιζ' κανὼν τῆς πρώτης συνόδου, καὶ ὁ δέκατος τῆς ἐν τῷ Τρούλλῳ τοῦτο κωλύουσι.

ΑΡΙΣΤ. *Τόκους ἀπαιτῶν δανείου ἱερεὺς, εἰ οὐ παύεται, καθαιρεῖται.*

Ὁ ἀπαιτούμενος ἐλεεῖν, εἰ προσαφαιρεῖται καὶ τὰ ἀλλότρια διὰ τῶν τόκων, καθαιρεῖται, εἰ οὐ παύεται τοῦτο ποιῶν.

[10] Deut. xxviii, 39. [11] Ephes. v, 18. [12] Deut. xxiii, 19.

Guill. Beveregii notæ.

(67) *Τόκους ἀπαιτῶν.* Hoc crimen sui temporis episcopis objectat Cyprianus, eos arguens, *Esurientibus in Ecclesia fratribus (non subvenire) habere argentum largiter velle, fundos insidiosis fraudibus coperе, usuris multiplicantibus fœnus augere*, Cypr. *De lapsis*, p. 180, l. xxxiii, edit. Mauut. Concilium Eliberitanum, *Si quis clericorum detectus fuerit usuras accipere, placuit eum degradari et abstinere.* Concil. Eliber., can. 20, v. concil. Nic. I can. 17.

ΚΑΝΩΝ ΜΕ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος αἱρετικοῖς συνευξάμενος (68) *μόνον, ἀφοριζέσθω. Εἰ δὲ καὶ ἐπέτρεψεν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι καθαιρείσθω.*

ΒΑΛΣ. Ἐρωτήσει τις διὰ τί οἱ συνευξάμενοι αἱρετικοῖς ἐπίσκοποι, πρεσβύτεροι καὶ διάκονοι οὐ καθαιροῦνται, ἀλλὰ μόνον ἀφορίζονται, καθὼς καὶ ὁ συνευξάμενος ἀφωρισμένῳ τινί, κατὰ τὸν ἀποστολικὸν ε' κανόνα. Λύσις. Ἐνταῦθα μὴ εἴπῃς ἐν ναῷ τὸν ἐπίσκοπον καὶ τοὺς λοιποὺς συνεύξασθαι μετὰ αἱρετικῶν· οἱ τοιοῦτοι γὰρ καθαιρεθήσονται κατὰ τὸν μς' κανόνα, καθὼς καὶ ὁ ἐπιτρέψας αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι. Ἀλλ' ἐκλαβοῦ τὸ *συνεύξασθαι* εἰς τὸ ἁπλῶς κοινωνῆσαι, καὶ ἡμερώτερον διατεθῆναι ἐπὶ τῇ εὐχῇ τοῦ αἱρετικοῦ. Τοὺς γὰρ τοιούτους ὡς μύσῃ βδελύττεσθαι, οὐ μὴν οἰκειοῦσθαι ὀφείλομεν. Ὅθεν καὶ ἀρκοῦσα ἔδοξεν ἡ τοῦ ἀφορισμοῦ τιμωρία.

ΖΩΝΑΡ. Τὰ περὶ τούτων ἐν προγεγραμμέναις κανόσι προείρηται.

ΑΡΙΣΤ. *Ὁ συνευχόμενος αἱρετικοῖς ἀφορίζεται· καθαιρεῖται δὲ ὁ καὶ κληρικοὺς τούτους ἡγούμενος.*

Ὁ συνευξάμενος μόνον αἱρετικοῖς ἢ πρεσβύτερος ἢ διάκονος ἀφορίζεται· ὁ δὲ ἐπιτρέψας αὐτοῖς ἐνεργῆσαί τι, ὡς ἱερωμένοις καὶ κληρικοῖς, καθαιρεῖται.

ΚΑΝΩΝ ΜΓ'.

Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν καθαιρεῖσθαι προστάσσομεν; Τίς γὰρ συμφώνησις Χριστῷ πρὸς Βελίαρ ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν τοὺς δεχομένους τὰ τῶν αἱρετικῶν βαπτίσματα καὶ τὰς θυσίας ἐπισκόπους καὶ ἱερεῖς διορίζεται καθαιρεῖσθαι· ἡ δὲ μεγάλη Κωνσταντινουπόλεως σύνοδος διαφόρους ἱερωμένους ἰδόντας μόνον τὰ τοῦ αἱρετικοῦ ἐκείνου Εἰρηνικοῦ συγγράμματα, καὶ μὴ θριαμβεύσαντας αὐτὰ μηδὲ καταπτύσαντας, καθεῖλεν ἐννομώτατα.

ΖΩΝΑΡ. Τοὺς αἱρετικοὺς καὶ τὰς ἐκείνων τελετὰς, ὑπὸ τῶν ὀρθοδόξων βδελύττεσθαι χρὴ· μᾶλλον δὲ ἐλέγχεσθαι, καὶ νουθετεῖσθαι παρὰ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, μήποτε συνῶσι, καὶ ἐπιστρέψωσιν. Εἰ δέ τις ἐπίσκοπος, ἢ πρεσβύτερος τὸν ὑπ' ἐκείνων βαπτισθέντα δέξοιτο, ἢ προσαγωγήν τινα παρ' ἐκείνων εἰς θυσίαν προσαγομένην λάβοι, καθαιρεθήσεται, ὡς ὑπόνοιαν διδοὺς ἢ τὰ ὅμοια ἐκείνοις φρονεῖν, ἢ τέως μὴ σπεύδειν πρὸς διόρθωσιν τῆς

CANON XLV.

Episcopus, vel presbyter, vel diaconus, qui cum hæreticis solum comprecatus est, segregatur. Sin autem eis tanquam clericis aliquid operari permiserit, deponatur.

BALS. Rogaverit quispiam, cur episcopi una cum hæreticis comprecati, et etiam presbyteri, et diaconi non deponuntur, sed solum segregantur, quemadmodum et qui cum aliquo segregato comprecatus, ut vult apostolicus canon 10. *Solutio.* Ne hic dixeris episcopum et reliquos una cum hæreticis in templo orare. Illi enim deponentur, ut vult 46 canon : sicut et qui eis permisit tanquam clericis aliquid operari. Sed accipe illud, *comprecari* pro eo quod est simpliciter communicare, et in hæretici preces mitius affectum esse : eos enim tanquam exsecrabiles abhorrere, non autem eis familiariter uti debemus. Unde et sufficere visa est segregationis pœna.

ZONAR. Huc attinentia superius dicta fuerunt in antescriptis canonibus.

ARIST. *Qui comprecatur cum hæreticis excommunicatur; deponitur autem qui eos clericos existimat.*

Presbyter aut diaconus cum hæreticis tantum comprecatus, excommunicatur. Qui permittit autem eis tanquam consecratis et clericis aliquid agere, deponitur.

CANON XLVI.

Episcopum, vel presbyterum, qui hæreticorum Baptisma, vel sacrificium admiserit, deponi jubemus. « Quæ est enim conventio Christi cum Belial? vel quæ pars est fideli cum infideli [13] *? »*

BALS. Præsens quidem canon eos qui hæreticorum baptismata vel sacrificia admittunt, episcopos vel sacerdotes deponi decernit. Magna autem Constantinopolis synodus sacratos quosdam, qui cireuici illius hæretici scripta tantum viderant, et non eis insultaverant, nec ea despuerant, justissime deposuit.

ZONAR. Hæreticos illorumque ritus oportet ut orthodoxi detestentur : quin potius illos oportet argui, et ab episcopis et presbyteris admoneri, si forte intelligant, et convertantur. Si vero quis episcopus aut presbyter ab ipsis baptizatum excoperit, aut oblatum quid ab eis ad sacrificium acceperit ordine suo movendus est, utpote, qui suspicionem præbeat, aut similia se **31** sentire cum ipsis, aut non eniti ad illorum opinionis perversæ correctio-

[13] II Cor. VI, 15.

Guill. Beveregii notæ.

(68) *Αἱρετικοις συνευξάμενος.* Eousque hæreticos primitivi vitarunt Christiani, ut iis ad istos vel accedere religioni esset et omnino prohibitum. Tertullianus, *Apud hæreticos, ubi omnia extranea et adversaria nostræ veritati, ad quos vetamur accedere.* Tertullian. *De præscr.* hær. c. 42, Cyprianus, *Procul ab hujusmodi hominum contagione discedite, et sermones eorum velut cancrum et pestem fugiendo vitate.* Cypriau. epist. 8. ad plebem de quinque presbyteris schismaticis l. I *Epist.* p. 26, l. VIII, edit. Manut. Et S. Joannes apostolus cum Cerintho apostolo nec una lavari voluit; cum enim Ephesi lotum se contulisset, videns intus Cerinthum, de balneo protinus exsiluit non lotus, dicens, *quod timeat, ne balneum concidat, cum intus esset Cerinthus inimicus veritatis*, ut tradit Irenæus l. III, c. 3.

nem. Comprobans enim illorum ritus, quomodo reprehendere istos possit, ac hortari, ut eos deserant?

ARIST. *Baptisma et sacrificium hæreticorum recipiens sacerdos, sacerdotio privatur.*

Episcopus vel presbyter qui non damnat baptisma ab hæreticis factum, sed probat istud, aut oblata ab eis in sacrificium admittit, deponitur. Quia nulla est concordia Christo cum Belial, nec pars ulla fideli cum infideli.

A ἐκείνων κακοδοξίας· ὁ γὰρ συνευδοκῶν ταῖς ἐκείνων τελεταῖς πῶς ἂν δύναιτο διαβάλλειν αὐτοὺς, καὶ ἀποστῆναι τούτων συμβούλειν αὐτοῖς;

ΑΡΙΣΤ. *Βάπτισμα καὶ θυσίαν αἱρετικῶν δεξάμενος ἱερεὺς ἀνίερος.*

Ἐπίσκοπος ἢ πρεσβύτερος, ὁ μὴ κακίζων τὸ παρὰ τῶν αἱρετικῶν γινόμενον βάπτισμα, ἀλλὰ καταδεχόμενος τοῦτο, ἢ τὰ προσαγόμενα παρ' αὐτῶν εἰς θυσίαν παραδεχόμενος, καθαιρεῖται· διὰ τὸ μὴ ὑπεῖναι συμφώνησιν Χριστῷ πρὸς Βελίαρ, ἢ μερίδα τινὰ πιστῷ μετὰ ἀπίστου.

CANON XLVII.

Episcopus vel presbyter, eum qui vere habet baptisma, si de integro baptizaverit, vel si eum qui ab impiis pollutus est, non baptizaverit, deponatur, ut qui irrideat crucem Domini et mortem, et non discernat sacerdotes a falsis sacerdotibus.

B

BALS. Vere baptizatur quis, quando convenienter voci Domini semel baptizatus fuerit, in nomine Patris et Filii et Spiritus sancti. Si quis ergo episcopus, vel presbyter eum qui sic baptizatus est, tanquam de integro nulla ejus cura habita rebaptizaverit, deponetur. Similiter deponetur et qui non rebaptizaverit eos qui ab hæreticis baptizati sunt. Id autem quod hic quæritur est ejusmodi: Quidam a Persis forte captus est, et coactus est exsecrabilia eorum dogmata audire, et immolatis vesci. Post captivitatem autem, confessus quod sibi factum fuerat, non alias ad communionem admissus est ab illius regionis episcopo vel presbytero, quam si baptisma quoque suscepisset. Eum ergo qui sic fecit, et hominem rebaptizavit, deponit canon. Die

ΚΑΝΩΝ ΜΖ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ (69), καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν τοῦ Κυρίου καὶ τὸν θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδιερέων.

ΒΑΛΣ. Κατὰ ἀλήθειαν βαπτίζεταί τις, ὅταν κατὰ τὴν Κυρίου φωνὴν ἅπαξ βαπτισθῇ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἴ τις γοῦν ἐπίσκοπος ἢ πρεσβύτερος τὸν οὕτω βαπτισθέντα ὡς ἐξ ὑπαρχῆς ὁμερίμνως ἀναβαπτίσῃ, καθαιρεθήσεται. Ὡσαύτως καθαιρεθήσεται καὶ ὁ μὴ ἀναβαπτίσας τοὺς παρὰ τῶν αἱρετικῶν βαπτισθέντας· Τὸ δὲ ζητούμενον ἐνταῦθα τοιοῦτόν ἐστιν. Ἠχμαλωτίσθη τις τυχὸν παρὰ Πέρσαις, καὶ ἠναγκάσθη τῶν μυσαρῶν διδαγμάτων τούτων ἀκροάσασθαι, καὶ μιαροφαγῆσαι· μετὰ δὲ τὴν αἰχμαλωσίαν, ἐξομολογησάμενος τὸ γεγονὸς εἰς αὐτὸν, οὐ παρεδέχθη ἀλλοῦ εἰς κοινωνίαν παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου ἢ τοῦ πρεσβυτέρου, εἰ μὴ καὶ βάπτισμα ἐδέξατο. Τὸν γοῦν τοῦτο ποιήσαντα, καὶ ἀναβαπτίσαντα τὸν

C

Guill. Beveregii notæ.

(69) Ἐὰν μὴ βαπτίσῃ. Hoc loco observatu dignissima sunt D. Cypriani verba: *Apud nos autem*, inquit, *non nova aut repentina res est, ut baptizandos censeamus eos, qui ab hæreticis ad Ecclesiam veniunt, quando multi jam anni sunt et longa ætas, ex quo sub Agrippino, bonæ memoriæ viro, convenientes in unum episcopi plurimi hoc statuerint, atque exinde in hodiernum tot millia hæreticorum in provinciis nostris ad Ecclesiam conversi, non aspernati sint, neque cunctati, imo et rationabiliter et libenter amplexi sint, ut lavacri vitalis et salutaris baptismi gratiam consequerentur.* Cyprian. ad Jubaian. *De hæreticis baptizandis*, p. 259, l. xxxix, edit. Manut. Ex his verbis abunde constat in concilio sub Agrippino multis annis longa ante Cyprianum ætate, celebrato, si non verba, sensum tamen præsentis canonis constitutum esse, et ab omnibus Carthaginensis Ecclesiæ filiis libenter admissum. Quod etiam ex Tertulliano patet, qui hæreticos ad Ecclesiam conversos suis etiam diebus baptizatos asserit, *De baptismo*, cap. 15, et *De pudicitia* c. 12, et *De præscript.* hæret. c. 12, rationem reddit, *Nemo inde strui potest, unde destruitur; nemo ab eo illuminatur, a quo contenebratur*, ut hanc constantem fuisse Cypriani sententiam ex Epistolis ipsius ad Januarium, Quintum, Stephanum, Jubaianum, aliosque, luculenter patet. Hic autem videndum est, quales pro hæreticis, in Ecclesiam catholicam per baptismum admittendis, antiquitus habiti fuerant: quibus viz. *omnia sunt extranea et adversaria nostræ veritati*, ut loquitur Tertullianus *De præscript.* hær. c. 12 *et quibus non idem est ac nobis Deus, nec unus Christus.* Id. *De baptismo* cap. 15, quippe proinde non eandem fidei regulam nec præscriptam baptismi formam amplexi sunt. Cujusmodi fuerunt Hermogeniani, Praxeani, Cataphrygæ, Valentiniani, Marcionistæ, Quintillianistæ et Apelletiani, contra quos Tertullianus scripsit; item qui, teste Irenæo, in nomen ignoti Patris universorum, in veritatem omnium matrem, in eum qui in Jesum descendit, in unionem et redemptionem et communicationem virtutum baptizarunt; item qui inter baptizandum horrenda nescio quæ nomina Βασεμὰ, χαμουσσὴ, βαατανορὰ, μισταδία ῥουαδὰ, κουστὰ, βαθοφὸς, χαλαχθεῖ pronuntiabant, Iren. l. i, c. 18. Cum hi enim et hujusmodi *baptismum rite non habeant, sine dubio non habent*, ut recte Tertullianus *De baptismo* cap. 15. Quocirca doctissimi Ecclesiæ primitivæ præsules prudenter hoc canone constituerunt, hæreticos ad Ecclesiam accedentes baptizandos esse, utpote quos utcunque ablutos, nullo tamen modo juxta Christi præscriptum baptizatos, nec in Ecclesia adhuc constitutos judicabant. Qui autem rite semel baptizati sunt, denuo baptizari præsenti quoque canone prohibentur. Siquidem *denuo alicui non licet.* Tertull. *De pudicitia* c. 16, p. 754, l. A, edit. Rigalt. *Semel ergo lavacrum inimus, delicta diluuntur, quia ea iterari non oportet.* Id. *De baptismo* cap. 15, *quo et ipso baptisma salutaris aquæ significatur, quod semel scilicet sumitur, nec rursus iteratur*, Cyprian. epist. 3, l. ii, ad Cæcilium, p. 41, l. viii, edit. Manut.

D

ἄνθρωπον, καθαιρεῖ ὁ κανών. Εἶπὰ δὲ καὶ τὸ ἐφεξῆς ὑπὸ τοῦ κανόνος διοριζόμενον· Τὶς ἐβαπτίσθη παρὰ ἀσεβοῦς· τοῦτο γάρ ἐστι τὸ μολυνθῆναι· καὶ θέλων αὖθις βαπτισθῆναι καὶ συγκοινωνῆσαι τοῖς Χριστωνύμοις, οὐ προσεδέχθη παρὰ τοῦ ἐπισκόπου ἢ τοῦ πρεσβυτέρου, λέγοντος μὴ ὀφείλειν καὶ αὖθις βαπτίζεσθαι τὸν ἅπαξ βαπτισθέντα. Φησὶ τοίνυν ὁ κανὼν καθαιρεῖσθαι τὸν ἐπίσκοπον ἢ τὸν πρεσβύτερον τὸν μὴ εὐθὺς βαπτίζοντα τὸν τοιοῦτον, ἀλλὰ δεχόμενον αὐτὸν μετὰ ἀκαθάρτου βαπτίσματος.

A autem et quod deinceps a canone defluitur, baptizatus est quispiam ab impio : id enim est pollutum esse : et cum vellet rursus baptizari, et Christianis communicare, ab episcopo seu presbytero non est admissus, dicente non debere eum rebaptizari, qui semel baptizatus est. Dicit ergo canon, deponi debere episcopum seu presbyterum, qui talem statim non baptizat, sed eum suscipit cum impuro baptismate.

ΖΩΝΑΡ. Ἓν βάπτισμα τοῖς Χριστιανοῖς παραδέδοται· τὸ γοῦν κατὰ τὴν τοῦ Κυρίου διαταγὴν καὶ τὴν τῶν θείων ἀποστόλων καὶ Πατέρων παράδοσιν (τοῦτο γὰρ δηλοῖ τὸ, *κατὰ ἀλήθειαν*) ἔχοντα βάπτισμα ἀναβαπτίζεσθαι ἄνωθεν, ἤγουν ἐξ ἀρχῆς καὶ τελείως, ὡς τοὺς μήπω βαπτισθέντας, ἀσεβές ἐστι· καὶ τὸ μὴ ἀναβαπτίζειν δὲ τοὺς παρὰ αἱρετικῶν βαπτισθέντας, οὓς μεμολυσμένους ὠνόμασεν ὁ κανὼν διὰ τὸ τοῦ αἱρετικοῦ βαπτίσματος βδελυρὸν καὶ τοῦτο ὑπὸ μεγάλην αἰτίασιν. Διὸ καὶ καθαιρεῖσθαι τοὺς τοιούτους ἐκέλευσε· τὸν μὲν ὡς δύο βαπτίσματα παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ποιησάμενον· τὸν δὲ ὡς μὴ τὸν μεμολυσμένον διὰ τοῦ ἀθέσμου βαπτίσματος, καθάραντα τῷ θείῳ λουτρῷ, καὶ διακαίζοντα τὸν θάνατον τοῦ Κυρίου, ὃν ὑπέμεινε διὰ τοῦ σταυροῦ· οἱ γὰρ εἰς Χριστὸν βαπτιζόμενοι κατὰ τὸν μέγαν Ἀπόστολον εἰς τὸν θάνατον αὐτοῦ βαπτίζονται. Ἀλλὰ καὶ ὁ σταυρὸς, κατὰ τὸν Χρυσόστομον, βάπτισμα λέγεται. *Τὸ γὰρ βάπτισμα ὃ ἐγὼ βάπτίζομαι βαπτισθήσεσθε*, φησὶν ὁ Κύριος· καὶ πάλιν· *Βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε*· ἀλλὰ καὶ ὅτι ἀδιαφορίαν ἔχουσι τῶν εὐσεβῶν ἱερέων καὶ τῶν ψευδιερέων, τῶν αἱρέσεσι δηλονότι ὑποκειμένων, ἄξιοι κρίνονται καθαιρέσεως. Τελείως μὲν οὖν βαπτίζειν τοὺς ἤδη βαπτισθέντας ἀπηγόρευται πάντη· μύρῳ δὲ χρίειν αὐτοὺς μολυνθέντας ἔξεστιν· εἰ καὶ τοῦτο μέρος δοκεῖ τοῦ θείου βαπτίσματος.

ZONAR. Unum baptisma Christianis traditum fuit. Igitur habentem baptisma secundum Domini mandatum, et apostolorum divinorum, Patrumque traditionem (Hoc enim significant illa in canone verba secundum veritatem rebaptizari ἄνωθεν, id est, ab integro, perfecteque, tanquam nondum baptizatos, impium est. Ac etiam non rebaptizare ab hæreticis baptizatos, quos canon pollutos nominat, ob hæretici baptismatis abominationem, magnæ hoc etiam obnoxium est reprehensioni. Quamobrem, deponi tales mandavit : Alterum quidem, tanquam qui duo baptismata contra Ecclesiæ traditionem faciat : Alterum vero, tanquam qui pollutum per illegitimum baptisma non abluat divino lavacro : Dominique mortem, quam toleravit per crucem, illudat. Qui enim in Christum baptizantur, secundum magnum Apostolum, in ejus mortem baptizantur. Sed et crux, secundum Chrysostomum, baptisma dicitur. Nam, *baptismate, quo ego baptizor, baptizabimini* [14], dicit Dominus. Rursusque, *Baptisma habeo, quo baptizari debeo, quod* vos *non novistis* [15]. Sed etiam quod illi delectum non habeant priorum sacerdotum, falsorumque sacerdotum hæresibus scilicet subjectorum, digni depositione judicantur. Perfecte igitur baptizare prius baptizatos omnino vetatur; unguento autem ipsos pollutos ungere licet : etsi hoc quoque divini baptismatis pars esse videtur.

ΑΡΙΣΤ. *Ὁ ἀναβαπτίζων τὸν ὄντως βεβαπτισμένον, καὶ μὴ ἀναβαπτίζων τὸν μεμολυσμένον ἀσεβόθεν, ἀντίερος.*

32 ARIST. *Qui rebaptizat vere baptizatum, et non rebaptizat ab impiis pollutum, a sacerdotio deponitur.*

Δὶς οὐ συγκεχώρηταί τις βαπτίζεσθαι, καὶ ὁ ἀναβαπτίζων αὐτὸν ἄνωθεν ἤτοι ἐξ ἀρχῆς καὶ κατὰ τὸ ἐλλιπὲς καθαιρεῖται. Μύρῳ δέ τινες κατὰ πολλοὺς τρόπους τῶν εὐσεβῶς βαπτισθέντων ἁγιάζονται. Καὶ ὁ μὴ ἀναβαπτίζων τὸν δεξάμενον βάπτισμα ἀσεβῶν, ἀλλὰ παραδεχόμενος αὐτὸν ὡς πιστὸν, καθαιρεῖται.

Bis baptizari nemini permittitur, et qui denuo rebaptizat eum, vel a principio et de integro, deponitur. Unguento autem quidam juxta multos modos pie baptizatorum sanctificantur. Et qui non rebaptizat eum qui impiorum baptisma recepit, sed admittit eum ut fidelem, deponitur.

ΚΑΝΩΝ ΜΗ'.

Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν, ἢ ἑτέραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην ἀφοριζέσθω.

CANON XLVIII.

Si quis laicus suam ejecta uxore vel aliam acceperit, vel ab alio solutam, segregetur.

ΒΑΛΣ. Ὁ ἐκβαλὼν τὴν ἑαυτοῦ γυναῖκα παραλόγως οὐ δύναται λαβεῖν ἑτέραν· μᾶλλον μὲν οὖν καὶ ἀφορισθήσεται. Καὶ ὁ ἐλευθέραν δὲ μὴ λαβὼν, ἀλλὰ καὶ ἀπολελυμένην (ἔστι δὲ ἀπολελυμένη ἡ μὴ κατὰ νόμους διαζυγεῖσα τοῦ οἰκείου ἀνδρὸς) κἂν ὡς μοιχὸς

BALS. Qui suam uxorem præter rationem ejicit, aliam accipere non potest; potius autem segregabitur; etiam qui liberam non accepit, sed solutam (est autem soluta, quæ non ex lege a suo marito est separata), etsi ut adulter condemnatur, conve-

[14] Marc. x, 39. [15] Luc. xii, 50.

nienter ei quod dixit Dominus : *Et qui solutam duxerit, mœchatur* [14], segregatur. Quare apud canones adulteri et fornicatoris ecclesiastica pœna est segregatio, sicut dicunt nonnulli : sed mihi non videtur. Lege etiam canones sancti Basilii, qui inter fornicatorem et adulterum differentiam introducunt. Scias autem, quod vir quidem, si adhuc constante matrimonio cum aliqua muliere libera rem habeat, fornicationem, non adulterium committit : non ita autem si cum ea quæ viro conjuncta est : tunc enim ut adulter punitur. Mulier autem, si cum alio quocunque, constante matrimonio coeat, ut adultera punitur. Et hæc quidem ita se habent. Justiniani autem Novella, quæ sita est in libro Basilic. XXVIII, tit. 7, dicit, quod etsi ante poterat uterque conjux quando volebat, mittere libellum divortii, vir enim dicebat, Mulier, habe tibi res tuas, et mulier, Vir, age res tuas : deinceps autem ût divortium ex certis causis. Hæ autem in Novella quoque causæ scriptæ sunt. Sed antiquitus quoque non fiebat libere divortium nisi cum cognitione judicis. Qui eam ergo uxorem duxit, quæ non sic dimissa est, adulterium commisit.

ZONAR. Verum, si quis suam non ejiciat uxorem : sed hanc apud se retinens, cum alia corrumpatur : secundum quidem exactam rationem, committit adulterium, (similiter et mulier si cum viro vivens alteri misceatur) : secundum vero similem legem, tanquam fornicans judicatur. Quod etiam magnus Basilius insequens, hoc dicit. Si vir uxori cohabitans, cum altera fuerit, fornicatorem talem judicamus : et magis ipsum extendimus in pœnis. Non tamen habemus canonem, quo adulterii crimini subjiciatur, si sit in non nuptam peccatum. Uxor itaque a fornicatione redeuntem maritum suum recipiet ; maritus vero pollutam ab ædibus suis excludet. Horum certe ratio non est expedita. Consuetudo autem sic obtinuit. Sed a viro sine causa dimissam, qui domum introducit, mœchus est manifeste secundum Domini sententiam dicentem, et qui repudiatam duxerit, mœchatur.

ARIST. *Laicus suam ejiciens uxorem, et aliam, vel dimissam ducens, excommunicandus est.*

Sine aliqua causarum legibus sancitarum si quis uxorem suam ejiciet et aliam ducet, excommunicatur.

33 CANON XLIX.

Si quis episcopus, vel presbyter, ex Domini ordinatione non baptizaverit in Patrem, Filium et Spiritum sanctum, sed in tres principii expertes, vel tres Filios vel tres paracletos, deponatur.

καταχρίνηται, κατὰ τὸν Κυρίου λόγον, τὸν φάσκοντα, *Καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται*, ἀφορίζεται. Ὥστε παρὰ τοῖς κανόσι μοιχοῦ καὶ πόρνου ἐκκλησιαστικὸν ἐπιτίμιον ὁ ἀφορισμός ἐστι, καθά τινες λέγουσιν· ἐμοὶ δὲ οὐ δοκεῖ. Καὶ ἀναγνωθι τοὺς κανόνας τοῦ ἁγίου Βασιλείου, διαφορὰν εἰσάγοντας πόρνου καὶ μοιχοῦ. Ἔσο δὲ εἰδὼς ὅτι ὁ μὲν ἀνὴρ, ἔτι τοῦ συνοικεσίου συνισταμένου, συμφθειρόμενος μεθ' ἑτέρας γυναικὸς ἐλευθέρας, πορνείαν, οὐ μοιχείαν, ἁμαρτάνει· οὐ μὴν καὶ μετὰ ὑπάνδρου· τότε γὰρ ὡς μοιχὸς τιμωρεῖται· ἡ δὲ γυνὴ, ἑτέρῳ οἱωδήτινι συμφθαρεῖσα συνεστῶτος τοῦ γάμου, ὡς μοιχαλὶς τιμωρεῖται. Καὶ ταῦτα μὲν οὕτως Ἡ δὲ Ἰουστινιάνειος Νεαρὰ ἡ κειμένη ἐν βιβλίῳ τῶν Βασιλικῶν κη'., τίτλῳ ζ', φησὶν ὡς εἰ καὶ ἠδύνατο πρώην ἕκαστος τῶν ὁμοζύγων καθ' ὃν ἠβούλετο τρόπον διαζύγιον στέλλειν· ἔλεγε γὰρ ὁ ἀνὴρ, Γύναι, πρᾶττε τὰ σὰ, καὶ ἡ γυνὴ, Ἄνερ, πρᾶττε τὰ σά· ἀλλ' ἐφεξῆς ἀπὸ ῥητῶν αἰτιῶν διαζύγιον γίνεται· Ἐγράφησαν δὲ καὶ ἐν τῇ νεαρᾷ αἱ τοιαῦται αἰτίαι. Πλὴν καὶ τὸ παλαιὸν οὐκ ἐγίνετο αὐτονόμως τὸ διαζύγιον, ἀλλὰ μετὰ δικαστικῆς διαγνώσεως. Ὁ γοῦν γαμήσας τὴν μὴ οὕτως ἀπολυθεῖσαν ἐμοιχᾶτο.

ΖΩΝΑΡ. Ἐὰν δὲ μὴ ἐκβάλῃ τὴν ἑαυτοῦ γυναῖκά τις, ἔχων δὲ ταύτην παρ' ἑαυτῷ, ἑτέρᾳ συμφθείροιτο, κατὰ μὲν τὸν ἀκριβῆ λόγον μοιχείαν τολμᾷ· ὥσπερ καὶ ἡ γυνὴ, ἐὰν ἀνδρὶ συζῶσα, ἑτέρῳ μιγῇ· κατὰ δὲ τὸν πολιτικὸν νόμον ὡς ὁ πορνεύων κρίνεται. ὯΙ καὶ ὁ μέγας Βασίλειος ἑπόμενος ταῦτά φησιν· Εἰ ἀνὴρ, γυναικὶ συνοικῶν, μεθ' ἑτέρας γένηται, πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλέον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις. Οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται. Ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται. Ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἴκων αὐτοῦ ἀποπέμψει. Τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος. Ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν. Ὁ δὲ τὴν ἐξ ἀνδρὸς ἀναιτίως ἀπολελυμένην εἰσοικιζόμενος μοιχός ἐστιν ἄντικρυς κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν τὴν λέγουσαν· *Καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται.*

ΑΡΙΣΤ. *Τὴν οἰκείαν ἐκβάλλων ὁ κοσμικὸς, καὶ ἄγων ἑτέραν, ἢ ἀπολελυμένην, ἀφοριστέος.*

Ἄνευ τινὸς τῶν νενομοθετημένων αἰτιῶν εἴ τις τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλῃ καὶ ἑτέραν ἀγάγηται, ἀφορίζεται.

ΚΑΝΩΝ ΜΘ'.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος κατὰ τὴν τοῦ Κυρίου διάταξιν μὴ βαπτίσῃ εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα (70), *ἀλλ' εἰς τρεῖς Ἀνάρχους, ἢ τρεῖς Υἱοὺς, ἢ τρεῖς Παρακλήτους, καθαιρείσθω.*

[14] Matth. v, 19.

Guill. Beveregii notæ

(70) *Εἰς Πατέρα, καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα.* Ab ipsis etiam Ecclesiæ primordiis baptismum juxta Domini præceptum Matth. XXVIII. 19, nomine Patris et Filii et Spiritus sancti, celebratum fuisse, ex Justino Martyre liquet, dicente : Ἐπ' ὀνόματος γὰρ τοῦ Πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ καὶ

ΒΑΛΣ. Τὸν μὴ βαπτίζοντα ἐπίσκοπον ἢ πρεσβύτερον κατὰ τὴν τοῦ Κυρίου διάταξιν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἀλλ' εἰς τρεῖς Ἀνάρχους ἢ τρεῖς Υἱοὺς ἢ τρεῖς Παρακλήτους, καθαιρεῖσθαι φησιν ὁ κανών. Ἦσαν γάρ τινες αἱρετικοὶ τοιαῦτα βλασφημοῦντες, καὶ οὕτω βαπτίζοντες· ὑμεῖς δὲ, μίαν θεότητα πιστεύοντες ἐν τρισὶν ὑποστάσεσιν, ἐν βαπτιζόμεθα βάπτισμα δι' ἐπικλήσεως Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Διὰ τοῦτο δὲ ἐπισκόπων καὶ πρεσβυτέρων μόνον ἐμνήσθη ὁ κανὼν, διότι ἑτέρῳ τινὶ οὐκ ἐφεῖται βαπτίζειν. A

BALS. Episcopum, vel presbyterum, qui non baptizat secundum Domini constitutionem, in nomine Patris, et Filii, et Spiritus sancti, sed in tres principii experies, vel tres Filios, vel tres Paracletos, dicit canon esse deponendos. Erant enim quidam hæretici, qui hæc blaspheme dicebant, et sic baptizabant : nos autem unam Deitatem credentes in tribus personis, baptizamur in uno baptismate, per invocationem Patris, Filii et Spiritus sancti. Ideo autem episcoporum et presbyterorum tantum meminit canon, eo quod alicui alii non permittitur baptizare.

ΖΩΝΑΡ. Ὁ Κύριος, εἰς τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων, *Πορευθέντες μαθητεύσατε*, ἔφη, *πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*. Πάντα τοίνυν ὀρθόδοξον κατὰ τὴν τοιαύτην ἐπιταγὴν βαπτίζειν χρεών, ἀλλὰ μὴ εἰς τρεῖς Ἀνάρχους, ἢ τρεῖς Υἱοὺς ἢ τρεῖς Παρακλήτους. Τοῦτο γὰρ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσίν ἐστι καὶ συνήθειαν. Ἕνα γὰρ Ἄναρχον ἡ Ἐκκλησία παρέλαβε, τὸν Πατέρα, διὰ τὸ ἀναίτιον· καὶ ἕνα Υἱὸν διὰ τὴν ἄῤῥητον γέννησιν· καὶ ἕνα Παράκλητον, τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὴν ἐκπόρευσιν. B

ZONAR. Dominus ad prædicationem mittens discipulos ait : *Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti* [17]. Necesse est igitur orthodoxum quemque baptizare secundum tale præceptum, et non in tres qui principio carent, vel tres Filios, vel tres Paracletos. Id enim est contra ecclesiasticam traditionem et consuetudinem. Unum enim principii expertem Ecclesia sumpsit adorandum, Patrem, quia sine causa est, et unum Filium, propter ineffabilem generationem, et unum Paracletum Spiritum sanctum, propter processionem.

ΑΡΙΣΤ. *Ὁ μὴ βαπτίζων εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἀλλὰ παρεκβαίνων, ἀνίερος.*

ARIST. *Qui non baptizat in Patrem, et Filium, et Spiritum sanctum, sed transgreditur, a sacerdotio deponitur.*

ΚΑΝΩΝ Ν'.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος μὴ τρία βαπτίσματα (71) *μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλὰ* C

CANON L.

Si quis episcopus, vel presbyter non tria unius mysterii baptismata perfecerit, sed unum baptisma,

[17] Matth. XXVIII, 19.

Guill. Beveregii notæ

τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Πνεύματος ἁγίου τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται. Justin. Apol. 2, p. 73, l. XXXV, edit. Sylbur. v ; et Tertul. *Adv. Praxeam.*, c. 26, in fine, et constit. apostol., l. VIII, c. 16, et notas ad proximum canonem.

(71) *Μὴ τρία βαπτίσματα.* Trinam in baptismo peragendo immersionem antiquitus usitatam fuisse, locupletes habemus testes. Tertullianus enim, *Nec semel*, inquit, *sed ter ad singula nomina in singulas personas tingimur*, Tertul. *Adv. Prax.* c. 26, ult. verbis. *Dehinc ter mergitamur.* Id. *De corona milit.* c. 3. Athanasius, Τὸ γὰρ καταδύσαι τὸ παιδίον ἐν τῇ κολυμβήθρᾳ τρίτον, καὶ ἀναδύσαι, τοῦτο δηλοῖ τὸν θάνατον καὶ τὴν τριήμερον ἀνάστασιν τοῦ Χριστοῦ, Athan. quæst. 94, *De parabolis Evang.* p. 345, t. II, edit. Commel. Cyrillus Hierosolymitanus, καὶ καταδύετε τρίτον εἰς τὸ ὕδωρ, καὶ πάλιν ἀναδύετε, Cyril. *Catech. mystag.*, c. 2, p. 232, B. edit. Prevot. Paris. 1631. S. Basilius, τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον ad apostolicam traditionem refert, lib. *De Spiritu sancto*, c. 27, mox ab initio : Ἐν τρισὶν οὖν καταδύσεσι καὶ ἰσαρίθμοις ταῖς ἐπικλήσεσι τὸ μέγα μυστήριον τοῦ βαπτίσματος τελειοῦται, ibid., c. 15, circa medium. Sozomenus scribit nonnullos dixisse, Πρῶτον τοῦτον Εὐνόμιον τολμῆσαι εἰσηγήσασθαι ἐν μιᾷ καταδύσει χρῆναι ἐπιτελεῖν τὴν θείαν βάπτισιν, καὶ παραχαράξαι τὴν ἀπὸ τῶν ἀποστόλων εἰσέτι νῦν ἐν πᾶσι φυλαττομένην παράδοσιν. Sozom. *Hist. Eccles.* l. VI, c. 26. Et propter hunc quidem errorem Eunomiani a concilio primo CP., can. 7, ut alii hæretici et ethnici in Ecclesiam recepti sunt. V. Dionys. Arco- C pag. *De Eccles. Hier.* c. 2 ; sect. 2 ; Ambros. *De Sacrament.* l. II, c. 5 et 7, tom. IV, p. 433, 434 ; Oper. Bas. 1567 ; Isidor. Hispal. *De offic. Eccles* l. II, c. 25 ; Didymum *De Spiritu sancto.* l. II, Bibl. Patrum Lat. tom. VIII, p. 106, etc. Porro Severus, patriarcha Alexandrinus, in rituum baptismi rubrica hæc habet : *Et dimittit eum in baptisterium, respiciens ad orientem, et ponit dextram suam super caput ejus qui baptizatur, et sinistra sua ter attollit aquas, ex aquis a fronte, a tergo, et ab altero laterum ejus, atque in hunc modum ait* (tunc protinus occurrunt ipsa verba, quæ ab eo qui baptizat pronuntiantur) : *Baptizatur N. in nomine Patris, amen, et Filii, amen, et Spiritus sancti ad vitam sæculi sæculorum.* Idem baptizandi ritus a Græcis etiamnum observatur, apud quos qui baptizat hæc verba pronuntiat, Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς, Ἀμὴν, καὶ τοῦ Υἱοῦ, Ἀμὴν, καὶ τοῦ ἁγίου Πνεύματος, Ἀμὴν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Euchолog., p. 355, edit. Jac. Goar. v, et notas ad edit. loc., p. 365. Et in rubrica, ἐκάστῃ προσρήσει κατάγων αὐτὸν καὶ ἀνάγων. Sic habetur in quibusdam impressis codicibus ; in quibus tamen non desunt e Græcis, qui mirati sunt, quo tandem pacto τὸ Ἀμὴν post cujusque Trinitatis personæ pronuntiationem interseratur, ac proinde in plurimis omittitur. Sed fortasse ex prædicto Severi rituali in Græcum amanuensis alicujus incuria translatum est, vel potius, siquidem diaconi astantes post singulas Trinitatis personas enuntiatas, dicere soliti fuerunt, Ἀμὴν, hinc tandem evenit, ut ipsis a sacerdote pronuntiatis verbis insereretur, v. notas ad dict. loc. Eu

quod datur in mortem Domini, deponatur. Non enim dixit Dominus, In mortem meam baptizate, sed, « Euntes, docete omnes gentes, baptizantes ipsos in nomine Patris, et Filii, et Spiritus sancti. »

BALS. Hic quoque canon est ejusdem potestatis : statuit enim per tres immersiones peragi oportere mysterium sacri baptismatis, scilicet in nomine Patris, et Filii, et Spiritus sancti : semel autem baptizare propter unitatem Deitatis, et trinitatem personarum : vel propter mortem Christi in cruce, et ejus triduanam resurrectionem. Dicit enim etiam Apostolus : *In mortem ejus baptizati sumus* [18]. Baptismata autem hic pro immersionibus accipi mihi videntur : eum igitur qui per unam immersionem in mortem Domini baptizat, canon dicit deponendum, ut qui præter Domini doctrinam faciat, et aperte sit impius.

ἓν βάπτισμα εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, καθαιρείσθω. Οὐ γὰρ εἶπεν ὁ Κύριος (72), *Εἰς τὸν θάνατόν μου βαπτίσατε· ἀλλὰ, « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος* (73). »

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τῆς αὐτῆς δυνάμεώς ἐστι· διορίζεται γὰρ διὰ τριῶν μὲν καταδύσεων τὴν μύησιν ἐπιτελεῖσθαι τοῦ ἁγίου βαπτίσματος, ἤγουν εἰς ὄνομα Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος· ἅπαξ δὲ βαπτίζειν διὰ τὸ ἑνιαῖον τῆς θεότητος, καὶ τὸ τρίτον τῶν ὑποστάσεων, ἢ διὰ τὸν ἐν τῷ σταυρῷ θάνατον τοῦ Χριστοῦ, καὶ τὴν τριήμερον τούτου ἀνάστασιν. Φησὶ γὰρ καὶ ὁ Ἀπόστολος· *Εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν*. Τὰ δὲ βαπτίσματα ἐνταῦθα ἀντὶ καταδύσεων ὑπολαπτέον μοι· τὸν μέντοι διὰ μιᾶς καταδύσεως εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτίζοντα καθαιρεῖσθαί φησιν ὁ κανὼν, ὡς παρὰ τὴν τοῦ Κυρίου διδαχὴν ποιοῦντα, καὶ προφανῶς ἀσεβοῦντα.

[18] Rom. vi, 3.

Guill. Beveregii notæ.

chologii p. 365. Hic autem non omittendum est mersionis in baptismo antiquitus usurpari solitæ loco, aspersionem sive profusionem aquæ, in Occidentali præsertim Ecclesia, plusquam mille abhinc annis, Gregorii viz. primi ætate, substitutam esse, per quam baptismum legitime perfici, ipse quoque Cyprianus, non agnovit tantummodo, sed et multis comprobavit; idque ex ipsis etiam Scripturis, e quibus colligit, *Aspersionem quoque aquæ instar salutaris lavacri obtinere, et quando hæc in Ecclesia fiunt, ubi sit et dantis et accipientis fides integra, stare omnia et consummari ac perfici posse majestate Domini et fidei veritate*, Cyprian. epist. 76, ad Magnum de iis qui in lecto gratiam consequuntur, p. 101, l. 49, 4; ep. edit. Manut. Quin etiam ipse quoque Tertullianus huc alludere videtur, ubi ait, *Quis enim tibi tam infidæ pœnitentiæ viro asperginem unam cujuslibet aquæ commodabit?* Tertull. *De pœnitentia*, cap. 6, p. 144 A edit. Rigalt.

(72) *Οὐ γὰρ εἶπεν ὁ Κύριος*. Sic præter ms. Bodleianum hic impressum, etiam vulgati Balsamonis, Zonaræ, aliique canonum Græcorum codices legunt, ut et Ivo Carnutensis decret. part. I, c. 128. At in Joannis Antiocheni collectione, ut a Justello edita tit. 136, legitur οὐ γὰρ εἶπεν ὁ Κύριος ἡμῶν. In eadem autem collectione manuscripta in Bibliotheca Bodleiana est, οὐ γὰρ εἶπεν ὁ Κύριος ἡμῶν, quomodo legit et codex Seguierii a Justello citatus, et Dionysius etiam Exiguus, qui vertit, *Non enim dixit nobis Dominus* : quam lectionem retinet et Crisconius episcopus Africanus in collect. ca., tit. 52. E tribus hisce lectionibus quænam sit præferenda, non adeo facile est conjectura persequi, nobis autem pronomen ἡμῖν vel loco ἡμῶν substitutum videtur, vel de novo interjectum, idque ab interpolatore aliquo, qui vel ipse credidit, vel aliis credendum obtruderet, antiquos hosce canones ab ipsis etiam apostolis constitutos esse.

(73) *Καὶ τοῦ ἁγίου Πνεύματος*. Ad calcem quinquagesimi hujusce canonis, ubi Dionysiana versio desinit, in Joan. Antiocheni collectione hæc sine interstitio adjiciuntur : Διδασκέσθω μὲν ὁ βαπτιζόμενος, ὅτι ὁ Πατὴρ οὐκ ἐσταυρώθη, οὔτε γέννησιν ἀνθρώπου ὑπέμεινεν, οὔτε δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἄνθρωπος ἐγένετο· ἀλλ' οὔτε τὸ πάθος ὑπέστη. Οὐ γὰρ ἐσαρκώθη, ἐλυτρώσατο δὲ τὸν κόσμον τῆς ἐπικειμένης ὀργῆς ὁ μονογενὴς Υἱός· ἐνηνθρώπησε γὰρ διὰ φιλανθρωπίαν ἑαυτῷ ἐκ Παρθένου σῶμα δυαπλάσας· ἡ σοφία γὰρ ᾠκοδόμησεν ἑαυτῇ οἶκον, ὡς δημιουργός· σταυρὸν δὲ ὑπέμεινεν ἑκών, ἐξείλετο δὲ τὸν κόσμον τῆς ἐπικειμένης ὀργῆς·, βαπτιζομένους εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Οἱ δὲ μὴ οὕτως βαπτίζοντες, ὡς ἀγνοοῦντες τὸ μυστήριον τῆς εὐσεβείας καθαιρείσθωσαν. Postea in edita ejusdem Joannis collectione alius sub canonis 512 nomine hisce verbis exprimitur. Ὁ τὸν Πατέρα πεπονθέναι λέγων ἀσεβεῖ Ἰουδαίων βαρύτερον, μετὰ Χριστοῦ καὶ τὸν Πατέρα προσηλῶν· ὁ δὲ τὸν Υἱὸν ἀρνούμενος τὸν μονογενῆ δι' ἡμᾶς σαρκωθῆναι, καὶ τὸν σταυρὸν ὑπομεῖναι, θεομάχος ἐστὶ, καὶ τῶν ἁγίων πολέμιος. Ὁ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ὀνομάζων Πατέρα ἢ Υἱὸν, ἀνεπιστήμων ἐστὶ καὶ ἀνόητος· ὁ γὰρ Υἱὸς συνδημιουργὸς τῷ Πατρὶ καὶ σύνθρονος, καὶ συννομοθέτης, καὶ κριτὴς, καὶ τῆς ἀναστάσεως αἴτιος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον· τρεῖς γὰρ ὑποστάσεις εἰσὶν ὁμοούσιοι τῇ θεότητι, ἐφ' ἡμῶν γὰρ Σίμων ὁ Μάγος ἐξηρεύξατο, σπάσας τὸ ἄλαλον, πλάνον, καὶ ἄστατον καὶ πονηρὸν εἰς ἑαυτὸν Πνεῦμα, καὶ ἕνα τριώνυμον εἶναι φλυαρήσας τὸν Θεόν· ποτὲ δὲ καὶ τὸ πάθος τοῦ Χριστοῦ καὶ τὴν γέννησιν περικόψας· ὑμεῖς οὖν, ὦ ποθεινότατοι, εἰς ἕνα Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα τρίτον βαπτίζετε, κατὰ τὴν τοῦ Κυρίου γνώμην καὶ τὴν ἡμετέραν ἐν Πνεύματι διάταξιν. Joan. Antioch. coll. can. tit. 36. Verum in codice nostro Oxoniensi et Græca Turriani editione hæc etiam appendix est ad canonem 50, quamvis revera nec ad canonem 50, nec ad 51 pertinet : non ad 51, ut ex ipsa Joannis Antiocheni collectione patet, apud quam in tit. 29 alius, isque idem qui hic ordine suo imprimitur, quinquagesimus primus canon laudatur; nec ad 50 idcirco quod nec Balsamon, nec Zonaras, in codicibus vel impressis vel mss. nec Dionysius Exiguus, nec Crisconius Afer talem ad dictum canonem appendicem agnoscit; et quod hæc appendix, non disciplinam, quæ his canonibus sola traditur, sed Ecclesiæ doctrinam contineat, eamque quæ longe post hos canones synodice constituta est; quod tres viz. Trinitatis personæ sunt ὁμοούσιοι; ut Christophoro Justello, ex epistola ad Philippenses S. Ignatio falso attributa, desumpta non immerito videatur.

ΖΩΝΑΡ. Τρία βαπτίσματα ἐνταῦθα τὰς τρεῖς κατα- A δύσεις φησὶν ὁ κανὼν ἐν μιᾷ μυήσει, ἤτοι ἐν ἑνὶ βαπτίσματι· ὥστε τὸν βαπτίζοντα ἑκάστῃ τῶν καταδύσεων ἓν τῆς ἁγίας Τριάδος ἐπιλέγειν ὄνομα. Τὸ γὰρ ἅπαξ καταδύειν τὸν βαπτιζόμενον εἰς τὴν ἱερὰν κολυμβήθραν, καὶ εἰς τὸν θάνατον τοῦ Κυρίου τὴν μίαν ἐπιφημίζειν κατάδυσιν, ἀσεβές ἐστι. Καὶ ὁ οὕτω βαπτίζων καθαιρεθήσεται.

ΑΡΙΣΤ. *Ὁ μὴ τρισὶ μυῶν καταδύσεσιν, ἀλλὰ μιᾷ, εἰς τὸν τοῦ Κυρίου θάνατον, [ὃ μὴ εἶπεν ὁ Κύριος] ἀνίερος.*

Τοῦ Κυρίου εἰπόντος βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος; ἐναντιωθῇ τῷ Δεσποτικῷ προστάγματι, καὶ εἰς μίαν κατάδυσιν βαπτίσει, ὡς τοῦ βαπτίσματος τοῦ Κυρίου καταγγέλλοντος B θάνατον, καθαιρεθήσεται.

ΚΑΝΩΝ ΝΑ'

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν καὶ οἴνου (74) οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται, ἐπιλαθόμενος ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλει τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς Ἐκκλησίας ἀποβαλλέσθω. Ὡσαύτως καὶ λαϊκός.

ΒΑΛΣ. Τὸν ἔννομον γάμον ἡ Ἐκκλησία οὐκ ἀποσείεται· ὅτι διὰ τοῦτο καὶ ὁ Θεὸς ἄρσεν καὶ θῆλυ ἐποίησεν· οὐδὲ τοὺς κρεωφαγοῦντας καὶ οἴνῳ χρωμένους; βδελύττεται, εὐκαίρως πάντα ποιοῦντας, καὶ καθὼς τὰ ἱερὰ παραδιδόασι Λόγια. Οὐδὲν γάρ, φησὶ, τῶν παρὰ Θεοῦ γενομένων κακόν· ἀλλὰ πάντα καλὰ ἐν καιρῷ αὐτῶν. Ἀλλ' οὐδὲ τοὺς ἀπεχομένους τούτων αὖθις δι' ἄσκησιν κολάζει. Διὸ προσεκτέον τίνι τρόπῳ τούτων ἀπέχεταί τις· καὶ εἰ μὲν, ὡς οἱ ἀθεώτατοι Βογόμιλοι (75) διὰ βδελυρίαν, καὶ διὰ τὸ γενέσθαι παραίτια κακοῦ τοῖς κακῶς παραχρωμένοις αὐτοῖς, καθαιρεθήσεται, μετὰ παραγγελίαν μὴ διορθούμενος, μᾶλλον δὲ καὶ τῆς Ἐκκλησίας γενήσεται ἐκκήρυκτος, ὡς βλασφημῶν κατὰ τῶν τοῦ Θεοῦ κτισμάτων· εἰ δὲ διὰ ἄσκησιν καὶ εὐλάβειαν ἀπέχεται τούτων, οὐ κατακριθήσεται. Διὰ γὰρ τοῦτο καὶ

ZONAR. Hic per tria baptismata canon tres immersiones intelligit in uno mysterio, videlicet, in uno baptismate: sic ut ad unamquamque immersionem baptizans addat unum sanctæ Trinitatis nomen. Nam, semel eum, qui baptizatur, in sacrum lavacrum demergere, et in mortem Domini duntaxat unam celebrare immersionem, impium est. Atque sic baptizans ordine movebitur.

ARISST. *Qui non tribus initiat immersionibus, sed una, in mortem Domini (quod Dominus non dixit) a sacerdotio deponitur.*

Domino mandante baptizare in nomine Patris, et Filii et Spiritus sancti, si quis episcopus aut presbyter contrarium faciet Dominico mandato, et una immersione baptizabit, quia baptisma Domini indicat mortem, deponetur.

34 CANON LI

Si quis episcopus, vel presbyter, vel diaconus, vel omnino ex sacerdotali numero, a nuptiis, carnibus et vino, non propter exercitationem, sed propter abominationem abstinet, oblitus quod omnia valde bona, et quod masculinum et femininum fecit Deus hominem: sed blasphemans calumniatur opificium, vel corrigatur, vel deponatur, et ex Ecclesia ejiciatur. Similiter et laicus.

BALS. Legitimas nuptias Ecclesia non rejicit: quia ob hanc causam Deus masculum et feminam creavit: nec eos qui carnibus vescuntur, et vino utuntur, abhorret, si omnia opportune faciant, et sicut sacra tradunt Oracula. Nihil enim eorum, inquit, quæ a Deo creata sunt, malum est: sed bona omnia sunt suo tempore. Sed nec eos rursus, qui ab his propter exercitationem abstinent, punit. Ideo animadvertendum est quomodo quis ab eis abstinet: et si quidem, ut vel maxime impii Bogomili, propter eorum odium, et quod mali causa sint iis qui eis abstinentur, deponetur, si post denuntiationem non corrigatur, vel quod magis est, etiam ex Ecclesia exterminabitur, ut qui adversus Dei creaturas blasphemet. Si autem propter exercitationem, et quamdam religionem ab iis abstinet,

Guill. Beveregii notæ.

(74) *Καὶ κρεῶν καὶ οἴνου.* In Joannis Antiocheni collectione tit. 29, Καὶ οἴνου omittitur. Sed Josephus Ægyptius in Arabica paraphrasi legit, vertit enim, *A nuptiis, et esu carnis, et potu vini*, Balsamonem quoque, Zonaram et Aristenum legisse, ex eorum scholiis et hujus epitome constat.

(75) *Βογόμιλοι.* Anno circiter 1099, Alexio Comneno imperante, orta est Bogomilorum hæresis; de qua sic Harmenopulus, Ἡ τῶν Βογομίλων αἵρεσις οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος; οὖσα τῆς τῶν Μασσαλιανῶν καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν. Harmenop. *De sectis* c. 19, l. IX, Jur. Græco Rom. Hujus hæreseos convicti sunt et condemnati Leontius Balbissæ, et Clemens Sosandrorum monachus, in synodo sub Michaele patriarcha CP. habita. In synodali decreto inter alia, quorum accusati sunt, eos docuisse traditur, ἄνδρας ἀπέχεσθαι τῆς τῶν νομίμων τούτοις συναφθεισῶν γυναικῶν συνουσίας, κρέατός τε καὶ γάλακτος, καὶ ἰχθύος, καὶ οἴνου, ἄχρι χρόνων τριῶν ἀποχήν. Editum est hoc synodale decretum a Leone Allatio, in Eccl. Orient., et Occident. perp. consens. l. II, cap. 12, p. 674. Unde collegimus, Bogomilos recte hic a Balsamone citatos esse tanquam a nuptiis carne et vino διὰ βδελυρίαν abstinentes. Primarius hujus hæreseos præco fuit Basilius quidam medicus, qui propterea in theatro exustus est, ut refert Zonaras in Alexii Hist. tom. III, p. 238, l. XXXV, etc. edit. Wolf. Basil. 1557. Quo Balsamonem quoque respexisse videtur, ubi ait: Μὴ γοῦν θαυμάσῃς, ὅτι ἐν Κωνσταντινουπόλει σύνοδος ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Μιχαὴλ τοῦ Ὀξειτ· διέγνω, καὶ ἐπέτρεψε καυθῆναι Βογομίλους. Bals. in Phot. nomoc. tit. 8, c. 25, p. 979, Biblioth. Juris Canonici Justel.

non condemnabitur. Et ideo multi etiam monachi, qui satis longo tempore propter continentiam, nec caseum, nec ovum, nec vinum gustaverant, ea aliquando gustarunt, et omne quod malam de eis suspicionem afferebat, offendiculum amputaverunt. Ut beatus ille eremita, qui Ferratus dictus est, et qui Eleæ episcopus vocatus est, monachus Theodulus, in synodo, ut offendiculum, et improborum quorumdam nugas tolleret, caseum et ovum gustaverunt

A

ZONAR. A nuptiis, et esu carnium, vinique potu propter abstinentiam temperare, probandum est. Sed hæc abhorrere velut animæ perniciosa ac rejicere, non caret crimine. Nihil enim eorum, quæ fecit Deus, malum est, sed eorum abusus noxius est. Certe, si mulier mali causa foret, et vinum, et reliqua, exhibita nunquam fuissent a Deo. Quare, qui Dei facta damnat, in universum ejus opificium blasphemat. Cæterum, talis indiget correctione; si vero non corrigatur, ordine suo movebitur, et ab Ecclesia extrudetur. Non enim depositione tantum dignus est, sed etiam, velut hæreticus, in Ecclesiam non est recipiendus.

B

ARIST. *Omnis clericus a vino, carne, et nuptiis non propter exercitationem abhorrens, si non corrigatur, voce præconis exterminatur.*

Hoc est, deponitur talis, et ex Ecclesia ejicitur.

C

CANON LII.

Si quis episcopus, vel presbyter, vel diaconus, eum qui a peccatis convertitur non recipit, sed ejicit, deponatur : quoniam Christum molestia afficit, qui dixit : « Gaudium est in cœlo propter unum peccatorem pœnitentiam agentem [19]. »

BALS. Non est peccatum quod Dei benignitatem superet : et ideo omnes qui pœnitentia ducuntur, et a bono ad malum convertuntur, Dominus obviis ulnis excipit. Propter peccatorum enim salutem e cœlo descendit, et dixit : *Non veni vocare justos, sed peccatores ad pœnitentiam* [20]. Episcopus ergo, vel presbyter, qui eos qui sic convertuntur non recipit, sed illius Novati instar eos abhorret, deponatur, ut qui Dei voluntati adversatur, qui dicit : *Gaudium est in cœlo ob unum peccatorem pœnitentiam agentem.* Nota ergo ex præsenti canone, quod non solis **35** episcopis et sacerdotibus concessum est hominum confessiones audire, et peccata remittere ; sed etiam presbyteri cum episcopali per-

D

πολλοὶ μοναχοὶ, ἐπὶ χρόνοις ἱκανοῖς δι' ἐγκράτειαν μήτε τυροῦ, μήτε ὠοῦ, μήτε οἴνου γευσάμενοι, ἐν τισι καιροῖς αὐτῶν ἀπεγεύσαντο, καὶ ἅπαν καχύποπτον περιεῖλον σκάνδαλον, ὡς ὁ μακαρίτης ἐκεῖνος ἡσυχαστὴς ὁ Σεσιδηρωμένος λεγόμενος, καὶ ὁ χρηματίσας ἐπίσκοπος Ἠλείας μοναχὸς Θεόδουλος ἐπὶ συνόδου διὰ περιαίρεσιν σκανδάλου καὶ φλυαρίας κακῶν τινων τυροῦ καὶ ὠοῦ γευσάμενοι.

ΖΩΝΑΡ. Τὸ μὲν δι' ἐγκράτειαν ἀπέχεσθαι γάμου καὶ κρεωφαγίας καὶ οἰνοποσίας ἀποδεκτέον· τὸ δὲ ταῦτα βδελύττεσθαι, ὡς βλαβερὰ πρὸς ψυχὴν, καὶ ἀποσείεσθαι, οὐκ ἀνέγκλητον. Οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γενομένων κακὸν, ἀλλ' ἡ τούτων παράχρησις βλαβερόν. Εἰ δὲ κακίας αἰτία ἦν ἡ γυνὴ καὶ ὁ οἶνος καὶ τὰ λοιπὰ, οὐκ ἂν παρῆχθησαν παρὰ τοῦ Θεοῦ. Ὥστε ὁ διαβάλλων τὰ ποιήματα τοῦ Θεοῦ κατὰ τῆς αὐτοῦ βλασφημεῖ δημιουργίας. Λοιπὸν ὁ τοιοῦτος διορθώσεως δεῖται· εἰ δὲ μὴ διορθοῦται, καθαιρεθήσεται, καὶ τῆς Ἐκκλησίας ἀποβληθήσεται. Οὐ μόνον γὰρ καθαιρέσεώς ἐστιν ἄξιος, ἀλλ' οὐδὲ προσδεκτέος εἰς Ἐκκλησίαν, ὡς αἱρετικός.

ΑΡΙΣΤ. *Κληρικὸς ἅπας, οἴνου, καὶ κρέως, καὶ γάμου μὴ δι' ἄσκησιν βδελυσσόμενος, εἰ μὴ διορθοῖτο, ἐκκήρυκτος.*

Τοῦτ' ἔστι, καθαιρεῖται ὁ τοιοῦτος, καὶ τῆς Ἐκκλησίας ἐκβάλλεται.

ΚΑΝΩΝ ΝΒ'.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος τὸν ἀποστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται (76), ἀλλ' ἀποβάλλεται, καθαιρείσθω· ὅτι λυπεῖ τὸν Χριστὸν, τὸν εἰπόντα· « Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. »

ΒΑΛΣ. Οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν φιλανθρωπίαν τοῦ Θεοῦ· διὸ καὶ πάντας τοὺς μετανοοῦντας καὶ ἐπιστρεφομένους ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν ἀγκαλίζεται ὁ Κύριος. Διὰ γὰρ τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν κατέβη ἐξ οὐρανοῦ, καὶ εἶπεν· *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.* Ὁ γοῦν μὴ παραδεχόμενος ἐπίσκοπος ἢ πρεσβύτερος τοὺς οὕτως ἐπιστρέφοντας, ἀλλὰ κατὰ τὸν Ναυατον ἐκεῖνον μυσαττόμενος αὐτοὺς, καθαιρείσθω, ὡς ἐναντιούμενος τῷ τοῦ Θεοῦ θελήματι, τοῦ εἰπόντος· *Χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι*· ὥστε σημείωσαι διὰ τοῦ παρόντος κανόνος ὅτι οὐ μόνοις ἐπισκόποις καὶ ἱερεῦσιν ἐνεδόθη ἐξομολογήσεις ἀνθρώπων δέχεσθαι,

[19] Luc. VII, 10. [20] Marc. II, 17.

Guill. Beveregii notæ.

(76) *Οὐ προσδέχεται.* Cyprianus, *Quos utique ad pœnitentiam Dominus non hortaretur, nisi quia pœnitentibus indulgentiam pollicetur. Et in Evangelio, Dico, inquit, vobis, sic erit gaudium in cœlo super uno peccatore pœnitentiam agente, quam super nonaginta novem justis quibus non opus est pœnitentia* (*Luc.* XV, 7). Cyprian. epist. ad Antonian. l. IV, ep. 2, p. 89, l. 31, edit. Manut. v. ejusdem librum *De lapsis*, p. 179, etc. Hanc et ante Cyprianum ab Ecclesia exultam fuisse disciplinam, viz. ut a peccatis conversi in Ecclesiæ sinum reciperentur, ex Origene constat, dicente, Οὗτοι δὲ, ὡς ἀπολωλότας καὶ τεθνηκότας τῷ Θεῷ, τοὺς ὑπ' ἀσελγείας ἢ τινος ἀτόπου νενικημένους, ὡς νεκροὺς πενθοῦσι, καὶ ὡς ἐκ νεκρῶν ἀναστάντας, ἐὰν ἀξιόλογον ἐνδείξωνται μεταβολὴν, χρόνῳ πλείονι τῶν κατ' ἀρχὰς εἰσαγομένων, ὕστερόν ποτε προσίενται, Orig. *Contra Cels.*, l. III, p. 147, edit. Hœschel. 1605.

καὶ συγχωρεῖν ἁμαρτήματα· ἀλλὰ καὶ οἱ πρεσβύτεροι μετὰ προτροπῆς ἐπισκόπων δέχονται λογισμούς. Ζήτει τὸν ς' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου καὶ τὰ ἐν αὐτῷ γραφέντα.

A missione confessiones audiunt. Quære etiam 6 can. Carth. syn.; et quæ in eum scripta sunt.

ΖΩΝΑΡ. Ὁ Κύριος ἡμῶν διὰ τοὺς ἁμαρτήσαντας *ἔκλινεν οὐρανούς, καὶ κατέβη*· αὐτὸς γὰρ ἔφη· *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.* Ὁ γοῦν τὸν ἐξ ἁμαρτίας μετανοοῦντα μὴ προσιέμενος ἀντιπράττει Χριστῷ τῷ Θεῷ ἡμῶν. Ὁ δὲ ἀντιπράττων αὐτῷ καὶ ἀντιδιατασσόμενος οὐκ ἔστιν αὐτοῦ μαθητής· ὁ δὲ μὴ ὢν αὐτοῦ μαθητὴς ἱεράσθαι οὐκ ἄξιος. Πῶς γὰρ ὁ Ἀντίχριστον ἑαυτὸν καθίστησιν ἐναντιούμενος τῷ ἐκείνου θελήματι, δεκτὸς τυγχάνει αὐτῷ;

ZONAR. Dominus noster propter peccatores *inclinavit cœlos, et descendit* [1]. Etenim dicit ipse: *Non veni vocare justos, sed peccatores ad pœnitentiam.* Qui non recipit igitur ex peccato resipiscentem, contrarium quid facit Christo Deo nostro. Qui vero contrarium quid agit, et ex adverso illi opponitur, non est ejus discipulus. At vero qui non est ipsius discipulus, indignus est, qui sacrum faciat. Nam quomodo qui hostem Christi se gerit, ipsius repugnans voluntati, ab eo recipiatur?

ΑΡΙΣΤ. *Ὁ τοῖς μετανοοῦσι μὴ συγγινώσκων ἀσυγγνωστότερος.*

ARIST. *Qui resipiscentibus non ignoscit, ipse ignoscentia indignus est.*

Καὶ οὗτος, κληρικὸς ὤν, καθαιρεῖται, ὡς ἐναντιούμενος τῷ Κυρίῳ εἰπόντι, χαρὰν γίνεσθαι ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Et hic, si sit clericus, deponitur, ut qui Domino adversatur dicenti, gaudium esse in cœlo super uno peccatore resipiscente.

ΚΑΝΩΝ ΝΓ'.

CANON LIII.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, βδελυσσόμενος καὶ οὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκαυτηριασμένος τὴν οἰκείαν συνείδησιν· καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

Si quis episcopus, vel presbyter, vel diaconus, in festis diebus carnem et vinum non sumit, abhorrens, et non propter exercitationem, deponatur, ut qui habeat inustam conscientiam propriam, et sit multis offensionis causa.

ΒΑΛΣ. Κατὰ πᾶσαν Κυριακὴν καὶ κατὰ πᾶσαν ἑορτὴν πανηγυρίζοντες οὐ νηστεύομεν, ἀλλὰ καὶ ἐν τοῖς Σαββάτοις πᾶσιν ἄνευ ἑνὸς Σαββάτου, τοῦ μεγάλου δηλαδή, καταλύομεν, ἵνα μὴ δόξωμεν κατὰ τοὺς Ἰουδαίους σαββατίζειν. Ὁ γοῦν ἐν ταύταις ταῖς ἡμέραις νηστεύων, εἰ μὲν ὡς βδελυττόμενος τὰ ὑπὸ τοῦ Θεοῦ εἰς βρῶσιν ἡμῖν δοθέντα, καὶ σκανδαλίζων ἐντεῦθεν τὸν λαὸν, καθαιρεῖται, ἐπίσκοπος ὢν δηλονότι ἢ πρεσβύτερος ἢ διάκονος. Εἰ δὲ δι' ἄσκησιν ἀπέχεται τούτων, συγγνωσθήσεται. Καὶ ἀνάγνωθι τὴν εἰς τὸν να' κανόνα ἑρμηνείαν, καὶ τὸν ιδ' κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου. Λαϊκὸς μέντοι οὕτω νηστεύων κακῶς (77), καὶ πενθῶν μετὰ τῶν Μαρκιανιστῶν αἱρετικῶν, ἀφορίζεται, κατὰ τὸ τέλος τοῦ να' κανόνος.

BALS. Omnem diem festum, et omnem diem Dominicum celebrantes non jejunamus, sed et Sabbatis omnibus, præterquam uno, id est magno Sabbato, jejunium solvimus, ne juxta Judæorum ritus Sabbatum celebrare videamur. Qui ergo his diebus jejunat, siquidem ut ea quæ nobis a Deo in cibum data sunt abhorrens, et hinc populo offensionis causam præbens, deponitur, si sit videlicet episcopus, vel presbyter, vel diaconus. Sin autem propter exercitationem ab eis abstinet, ei ignoscetur. Lege canonis 51 expositionem, et 14 can. syn. Ancyr. Laicus vero qui sic male jejunat, et cum Marcionistis hæreticis luget, segregatur, ut in fine 51 canonis.

ΖΩΝΑΡ. Κεκανόνισται ἐν τοῖς Σαββάτοις ἄνευ ἑνὸς τοῦ μεγάλου, καὶ ἐν ταῖς Κυριακαῖς καὶ ταῖς ἑορτασίμοις ἡμέραις μὴ νηστεύειν. Ἀλλὰ διάφοροι τῶν ἁγίων Πατέρων, ἐν δέκα τυχὸν ἡμέραις ἢ εἴκοσι, καὶ τούτων ἐπέκεινα, ἤσθιον· τινὲς δὲ καὶ ἄχρι τῶν τεσσαράκοντα τὴν νηστείαν παρέτεινον. Ὥσπερ οὖν οὐ παραβαίνειν ἐκείνοι τοὺς κανόνας ἐκρίνοντο, ἐν Σαββάτοις νηστεύοντες, οὕτως οὐδ' εἴ τις ἐν ὡρισμέναις ἡμέραις ἐθέλει ἐγκρατεύεσθαι, καὶ διὰ τόσων ἐσθίειν, κἂν Σάββατον ἐν αὐταῖς παρεμπίπτῃ, κἂν ἄλλη ἡμέρα τις ἑορτάσιμος, ὡς παραβάτης τῶν κανόνων κριθήσεται. Εἰ δὲ αὐτὰ

ZONAR. Canonibus institutum fuit, ut in Sabbatis (uno magno excepto) et in Dominicis, et in festivis diebus non jejunaretur. Attamen nonnulli sanctorum Patrum in decem forte diebus vel etiam viginti, ultraque dies istos, non comedebant. Et etiam quidam ad dies usque quadraginta jejunium protendebant. Quemadmodum igitur in sabbatis illi jejunantes transgredi canones non judicabantur: sic neque, si quis per certos quosdam dies velit abstinere, et per totidem comedere, sive Sabbatum in ipsos inciderit, sive alius dies festus, judicabitur ut canonum transgressor. Si vero in Sabbatis qua-

[1] Psal. xvii, 20.

Guill. Beveregii notæ.

(77) *Νηστεύων κακῶς.* Reliqua, usque ad ἀφορίζεται exclusive, ex ms. Bodleiano restituimus. Marcionistas autem hic citatos, etiam Sabbato je-junasse, testis est Epiphanius hær. 42, par. iii, tom. I, pag. 304, oper. edit. Petav.

tenus ipsis jejunet : aut ut carnes abominans, et vinum, his abstineat . nec etiam festis diebus ea sumat : haudquaquam abstinens existimabitur, imo et dignus depositione judicabitur : ut qui multis cogitandi præbeat occasionem, quod noxia sint opera Dei : quorum tamen nullum malum est, nec abominandum. Decimus etiam quartus Ancyranæ synodi canon præcipit eos, qui sunt in clero carnibus abstinentes, ut eas tangant, hoc est, ut degustent, deindeque sic rursus abstineant; quod si hoc non faciant, ut ipsi deponantur.

ARIST. *Sacerdos qui vinum et carnem non sumit, nisi exercitationis causa, deponitur.*

36 CANON LIV.

Si quis clericus in caupona comedens deprehensus fuerit, segregetur, præterquam si in publicum diversorium in via propter necessitatem diverterit.

BALS. Divini et sancti apostoli cum vellent clericos agere vitam ab omni reprehensione alienam, nec vulgus offendere, sed potius ad bonum excitare, decernunt, ut non solum ab omni turpi mercatura abstineant ut in aliis canonibus dictum est; sed etiam ut ne in cauponam ingrediantur cibi potusve sumendi causa : quandoquidem vilium et obscurorum hominum hæc sunt, et magnæ condemnationi obnoxia. Quam ob causam eum qui tale quid egerit clericum segregari mandat canon : eum autem qui in itinere propter necessitatem in caupona diversatus est, non punit propter circumstantiam. Qui ergo dicunt clericos posse vini mercaturam facere, vel lavacra conducere, vel aliquam aliam turpem mercaturam exercere, male dicunt. Si enim absolute prohibitum est, ne clericus cauponam ingrediatur, multo magis prohibebitur ejusmodi turpem mercaturam exercere, vel per se, vel per interpositam personam. Lege etiam syn. Laodic. can. 24 et Carth. 40. Quia autem 42 canon apostolicus episcopum quidem, et presbyterum, et diaconum aleis vel ebrietatibus vacantes deponi jubet, si non cessaverint : hypodiaconum autem, et omnem, ut semel dicam, clericum tale quid facientem similiter et laicos segregari, nisi corrigantur post denuntiationem : existimo ego quod hic quoque post primam et secundam admonitionem, segregabitur clericus qui cauponam ingreditur, et a malo non abstinet. Probatur autem hoc quoque ex eo quod dicit canon : Si quis clericus in caupona comedens deprehensus fuerit, sæpe scilicet malo usus.

ZONAR. In sortem Dei vocatos oportet exemplo laicis esse vitæ venerandæ, et undequaque inculpa-

καθ' αὑτὰ τὰ Σάββατα νηστεύει, ἢ ὡς βδελυσσόμενος τὰ κρέα καὶ τὸν οἶνον, τούτων ἀπέχεται, καὶ οὐδὲ ἐν ταῖς ἑορταῖς μεταλαμβάνει αὐτῶν, οὔτ' ἐγκρατὴς λογισθήσεται, ἀλλὰ καὶ καθαιρέσεως κριθήσεται ἄξιος, ὡς πολλοῖς λογισμοὺς ὑποβάλλων βλαβερὰ τὰ τοῦ Θεοῦ τυγχάνειν ποιήματα, ὧν οὐδὲν κακόν ἐστιν οὐδὲ ἀποτρόπαιον. Καὶ ὁ τεσσαρεσκαιδέκατος τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν τοὺς ἐν κλήρῳ θεσπίζει ἀπεχομένους κρεῶν ἐφάπτεσθαι αὐτῶν, ἤτοι ἀπογεύεσθαι, καὶ οὕτως εὐθὺς ἐγκρατεύεσθαι· εἰ δὲ μὴ οὕτω ποιοῦσι, καθαιρεῖσθαι αὐτούς.

ΑΡΙΣΤ. *Μὴ μεταλαμβάνων ἱερεὺς οἴνου καὶ κρεῶν, εἰ μὴ δι' ἄσκησιν, καθαιρεῖται.*

ΚΑΝΩΝ ΝΑ'.

Εἴ τις (78) κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω, παρὲξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύσαντος.

ΒΑΛΣ. Οἱ θεῖοι καὶ ἅγιοι ἀπόστολοι, θέλοντες τοὺς κεκληρωμένους ἀνεπιλήπτου βίου εἶναι, καὶ μὴ σκανδαλίζειν τοὺς πολλούς, ἀλλὰ μᾶλλον διεγείρειν εἰς τὸ ἀγαθὸν, διορίζονται μὴ μόνον ἀπέχεσθαι τούτους πάσης ἐμπορίας αἰσχροκερδοῦς, ὡς εἴρηται ἐν ἑτέρῳ κανόνι, ἀλλὰ μηδὲ εἰς καπηλεῖον εἰσιέναι χάριν βρώσεως ἢ πόσεως· ἀσέμνων γὰρ ἀνδρῶν ταῦτα καὶ μεγάλης κατακρίσεως ἄξια. Διὸ καὶ τὸν τοιοῦτόν τι ποιοῦντα κληρικὸν ὁ κανὼν ἀφορίζεσθαι διορίζεται· τὸν δὲ καταλύσαντα εἰς πανδοχεῖον ἐν ὁδῷ διὰ ἀνάγκην οὐ κολάζει διὰ τὸ περιστατικόν. Οἱ γοῦν λέγοντες ὅτι δύναται κληρικὸς οἰνάρια ἐμπορεύεσθαι, ἢ πακτεύειν λουτρὸν, ἢ ἑτέραν αἰσχροκερδῆ μετιέναι ἐμπορίαν, κακῶς λέγουσιν. Εἰ γὰρ τὸ ἁπλῶς εἰσιέναι κληρικὸν εἰς καπηλεῖον κεκώλυται, πολλῷ μᾶλλον κολασθήσεται τὸ ἐμπορεύεσθαι αὐτὸν τοιαύτην αἰσχρὰν ἐμπορίαν ἢ δι' ἑαυτοῦ ἢ διὰ παρενθέτου προσώπου. Ἀνάγνωθι καὶ τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα κδ' καὶ τῆς ἐν Καρθαγένῃ κανόνα μ'. Ἐπεὶ δὲ ὁ ἀποστολικὸς μβ' κανὼν τὸν μὲν ἐπίσκοπον, τὸν πρεσβύτερον, καὶ τὸν διάκονον κύβοις ἢ μέθαις σχολάζοντα καθαιρεῖσθαί φησιν, εἰ μὴ παύσονται· τὸν δὲ ὑποδιάκονον καὶ πάντα ἁπλῶς κληρικὸν τοιοῦτόν τι ποιοῦντα, ὡσαύτως καὶ τοὺς λαϊκοὺς ἀφορίζεσθαι, εἰ μὴ διορθωθῶσι μετὰ παραγγελίαν, νομίζω ὅτι καὶ ἐνταῦθα μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἀφορισθήσεται ὁ ἐν καπηλείῳ εἰσερχόμενος κληρικὸς, καὶ μὴ ἀπεχόμενος τοῦ κακοῦ. Παρίσταται δὲ τοῦτο καὶ ἐκ τοῦ λέγειν τὸν κανόνα· Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, δηλονότι τῷ κακῷ χρησάμενος πολλάκις.

ΖΩΝΑΡ. Τοὺς τῷ Θεῷ κεκληρωμένους δεῖ καὶ τοῖς λαϊκοῖς ὑπόδειγμα εἶναι βίου σεμνοῦ καὶ πάν-

Guill. Beveregii notæ.

(78) *Εἴ τις κληρικὸς ἐν καπηλείῳ.* Hoc etiam Julianus sacrificulis suis in gentilium religione prohibuit, in Epistola ad Arsacium pontificem Galatiæ scripta, ubi inter alia ait, παραίνεσον ἰσοῖα μήτε θεάτρῳ παραβάλλειν, μήτε ἐν καπηλείῳ πίνειν. Julian. apud Sozom. Hist. Eccles. l. v, c. 15.

τοῦεν ἀνεπιλήπτους, ἵνα μὴ δι' αὐτοὺς βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ· τὸ δὲ ἐν καπηλείῳ εἰσιέναι βίον ἄσεμνον ἔχειν τοὺς αὐτὸ ποιοῦντας δείκνυσι, καὶ οὐ περὶ βρῶσιν καὶ πόσιν μόνην διεφθάρθαι αὐτοῖς τὰ ἤθη, ἀλλὰ καὶ περὶ τὴν ἄλλην πᾶσαν διαγωγήν. Ἀσέμνων γὰρ ἀνδρῶν τε καὶ γυναικῶν ἐν τοῖς καπηλείοις συναγομένων, ὁ τούτοις συναναστρεφόμενος, οὐκ ἀμέθεκτος ἔσται τῆς ἐκείνων κακίας. *Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί.* Διὸ ἀφορίζεσθαι τοὺς τοιούτους κληρικοὺς διακελεύεται ὁ κανών· εἰ δὲ ὁδοιπορῶν ὁ κληρικὸς, καὶ μὴ ἔχων ἔνθα καταλύσει, τουτέστι μονὴν ποιήσεται καὶ διαναπαύσεται, ἐξ ἀνάγκης εἰς πανδοχεῖον εἰσέλθῃ, ἀναίτιος ἂν εἴη καὶ ἀτιμώρητος. Τὸ αὐτὸ φησι καὶ ὁ εἰκοστὸς τέταρτος τῆς ἐν Λαοδικείᾳ συνόδου κανών, καὶ ὁ τεσσαρακοστὸς τῆς ἐν Καρθαγένῃ.

ΑΡΙΣΤ. *Ὁ δίχα τῆς κατὰ τρίβον ἀνάγκης κληρικὸς εἰς καπηλεῖον ἐσθίων ἀφοριστέος.*

Ὁ παροδεύων κληρικὸς, εἰ δι' ἀνάγκην καταλύσει εἰς πανδοχεῖον, συγγνωστέος· ὁ δὲ χωρὶς ποιοστάσεως εἰς καπηλεῖον ἐσθίων ἀφοριστέος.

A tos : ne propter ipsos nomen Dei vituperetur. In cauponam autem ingredi, demonstrat hoc agentes inhonestam vitam ducere : neque tantum circa cibum, potumque corruptos ipsis mores esse, verum etiam circa omnem aliam vivendi consuetudinem. Nam, cum promiscue confluant in cauponam et inhonesti viri et inhonestæ mulieres, qui cum talibus conversatur eorum turpitudinis expers non erit : *Mala nempe colloquia corrumpunt bonos mores* [22]. Ideo canon jubet istiusmodi clericos segregari. Quod si clericus iter faciens, nec habens quo diverlat (hoc est, mansionem faciat, et quiescat), in cauponam tum per necessitatem sit ingressus, culpa vacat, nec obnoxius est ulli pœnæ. Dicit hoc etiam vicesimus quartus canon synodi Laodicenæ, et quadragesimus synodi Carthaginensis

ARIST. *Clericus qui absque itineris necessitate in cauponam comedit, excommunicandus est.*

Clerico iter facienti, si in diversorium propter necessitatem divertit, ignoscendum est : qui sine illa autem circumstantia in cauponam manducat, excommunicandus.

B

ΚΑΝΩΝ ΝΕ'.

Εἴ τις κληρικὸς ὑβρίσει τὸν ἐπίσκοπον, καθαιρεῖσθω. Ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

CANON LV.

Si quis clericus episcopum contumelia affecerit, deponatur : principi enim populi tui non maledices.

ΚΑΝΩΝ ΝϚ'.

Εἴ τις κληρικὸς ὑβρίσει πρεσβύτερον ἢ διάκονον, ἀφοριζέσθω.

ΒΑΛΣ. Οἱ διττοὶ κανόνες οὗτοι ὁ νε' καὶ ὁ νϛ' κολάζουσι τοὺς ὑβριστὰς κληρικούς· ἀλλ' ὁ μὲν νε' καθαιρεῖσθαί φησι τὸν κληρικὸν τὸν ὑβρίσαντα τὸν ἐπίσκοπον· ὁ δὲ νϛ' ἀφορίζεσθαι διορίζεται τὸν ὑβρίσαντα κληρικὸν πρεσβύτερον ἢ διάκονον, πάντως διὰ τὸ τιμὴν πλείονα χρεωστεῖσθαι τῷ ἐπισκόπῳ. Οἱ μὲν κανόνες οὕτω διαιροῦσι τὴν τιμωρίαν τῶν ὑβριστῶν κληρικῶν. Ὁ δὲ πολιτικὸς νόμος πάντα ὑβριστὴν ἀτιμοῦσθαι διορίζεται, σὺν τῷ διδόναι καὶ χρηματικὴν ποινήν. Νομίζω οὖν ὅτι τῇ ἀτιμίᾳ ἐπακολουθεῖ καὶ καθαίρεσις.

ΖΩΝΑΡ. Οἱ μὲν ἀρχιερεῖς εἰς τύπον ὄντες τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κεφαλὴ τοῦ τῆς Ἐκκλησίας σώματος λογιζόμενοι, καὶ τελείονος τιμῆς εἰσιν ἄξιοι. Διὸ καὶ ὁ ὑβρίσας αὐτοὺς καθαιρεῖται. Οἱ δὲ πρεσβύτεροι καὶ διάκονοι χειρῶν σώζοντες τύπον, ὡς δι' αὐτῶν τὰς ἐκκλησιαστικὰς διοικήσεις ἐνεργοῦντος τοῦ ἐπισκόπου, τιμᾶσθαι μὲν κἀκείνοι ἄξιοι, οὐχ ὡς ὁ ἐπίσκοπος δέ· οὐ γὰρ ὁμοίως τῆς κεφαλῆς καὶ τῶν χειρῶν ἐπιμελητέον· διὸ ὁ ὑβρίσας αὐτοὺς ἧττον κολάζεται, μόνον ἀφοριζόμενος.

C

CANON LVI.

Si quis clericus presbyterum vel diaconum injuria affecerit, segregetur.

BALS. Illi duo canones 55 et 56 puniunt injuriosos clericos : sed 55 dicit deponendum clericum, qui episcopum injuria affecit 56 autem decernit segregandum clericum, qui presbyterum, vel diaconum injuria affecit : idque quia episcopo major honor debetur. Canones quidem sic dividunt supplicium insolentium clericorum. Jus autem civile definit, quemvis injuriam facientem notari infamia præter pœnam pecuniariam. Existimo autem quod infamiam sequitur etiam depositio.

ZONAR. Pontifices in typum Domini nostri Jesu Christi existentes, et caput Ecclesiæ corporis existimati, majore etiam sunt honore digni. Quapropter, qui aliquid in hos agit contumelioso, deponitur. Presbyteri vero, et diaconi manuum typum gerentes (per quos, ut per manus, episcopus administrationes exercet ecclesiasticas) et hi quidem digni sunt honorari : non tamen ut episcopus : nec enim capitis, et manuum cura similiter habenda est. Quapropter qui contumeliosus his fuerit, minus punitur, ab aliorum conventu solum separatus.

D

ΚΑΝΩΝ ΝΕ'.

ΑΡΙΣΤ. *Ὑβρίζων ἐπίσκοπον κληρικὸς καθαιρεῖται.*

CANON LV.

ARIST. *Clericus episcopum contumelia afficiens deponitur.*

ΚΑΝΩΝ ΝϚ'.

Πρεσβύτερον ἢ διάκονον ὑβρίζων ἀφορίζεται.

CANON LVI.

Presbyterum vel diaconum contumelia afficiens excommunicatur.

[22] I Cor. xv, 33.

CANON LVII.

Si quis clericus claudum, vel surdum, vel cæcum, vel eum cui vitiosus est incessus, irriserit, segregetur. Similiter et laicus.

BALS. Clericos et laicos segregat canon, qui eorum qui quomodocunque sunt corpore mutilati, non miserentur, sed eos irrident. Plerique autem ex ejusmodi rebus accipiunt ridendi occasionem, Dei judiciis resistentes.

ZONAR. Membris aliquibus mutilatos misereri convenit, illosque, quantum fieri potest, infirmos suscipere, manuque regere, non autem illudere. Hoc enim significat verbum, χλευάζειν. Quod si laicos istud facientes canon excommunicationi subjicit, quid existimet quispiam de clericis, quos (ut sæpe dictum) populo propositos oportet esse virtutis omnis exemplo, stimuloque probitatis.

ARIST. *Sic vero et cæcum, et surdum et claudum irridens.*

Irridens cæcum, surdum, vel claudum, vel aliter corpore mutilatum, excommunicatur, ut formatorem eorum vituperans.

38 CANON LVIII.

Episcopus vel presbyter, qui cleri vel populi curam non gerit, et eos pietatem non docet, segregetur: et si in negligentia et socordia perseveret, deponatur.

BALS. Episcopalis dignitas in docendo consistit: et omnis episcopus debet docere populum pia dogmata, et statum orthodoxorum. Speculator enim ideo constituitur, ut quæ sui sunt populi attendat: et ideo episcopus est appellatus. Porro autem etiam presbyteri tales esse debent, quia etiam prope episcopos sedent in superioribus cathedris. Episcopus ergo et sacerdos, qui non sic facit, sed negligenter est affectus, segregatur: sin autem in socordia perseverat, etiam deponitur. Presbyteri enim secundum episcopalem admonitionem, et non suo arbitrio docent.

ZONAR. Inexcusabile est hoc omnis episcopi debitum, docere sibi subditum populum pia dogmata, dirigereque rectas in opiniones, et honestam vitam. Dicit enim Deus per prophetam populorum prælatis: Si non denuntiaveris, neque locutus fueris, morietur injustus in injustitia sua: ejus autem san-

ΚΑΝΩΝ ΝΖ'

Εἴ τις κληρικὸς χωλὸν ἢ κωφὸν ἢ τυφλὸν ἢ τὰς βάσεις πεπληγμένον χλευάσει, ἀφοριζέσθω. Ὡσαύτως καὶ λαϊκός.

ΒΑΛΣ. Καὶ τοὺς κληρικοὺς καὶ τοὺς λαϊκοὺς ἀφορίζει ὁ κανὼν μὴ ἐλεοῦντας τοὺς ὁπωσδήποτε πεπηρωμένους τὸ σῶμα, ἀλλὰ παίζοντας αὐτούς. Οἱ πλείους δὲ τὰ τοιαῦτα πρόφασιν ἔχουσι γέλωτος, τοῖς τοῦ Θεοῦ κρίμασιν ἀντιπράττοντες.

ΖΩΝΑΡ. Τοὺς μέλη τινὰ πεπηρωμένους ἐλεεῖσθαι προσήκει, καὶ ὡς δυνατὸν ἀντιλαμβάνεσθαι τούτων, καὶ χειραγωγεῖν, ἀλλ' οὐχὶ διαπαίζειν. Τοῦτο γὰρ δηλοῖ τὸ χλευάζειν. Εἰ δὲ τοὺς τοῦτο ποιοῦντας λαϊκοὺς ὁ κανὼν ἀφορισμῷ ὑποβάλλει, τί ἂν τις λογίσαιτο περὶ κληρικῶν, οὓς, ὡς πολλάκις εἴρηται, ὑπόδειγμα πρὸς πᾶσαν ἀρετὴν καὶ παροξυσμὸν πρὸς χρηστότητα τῷ λαῷ προκεῖσθαι χρεών;

ΑΡΙΣΤ. *Ὡς δὲ καὶ τυφλὸν καὶ κωφὸν καὶ χωλὸν χλευάζων.*

Ὁ ἐμπαίζων τυφλὸν καὶ κωφὸν ἢ χωλὸν ἢ ἄλλως τὸ σῶμα πεπηρωμένον ἀφορίζεται ὡς τὸν πλάσαντα τούτους ἐπιμεμφόμενος.

ΚΑΝΩΝ ΝΗ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου (79) ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ἀμελείᾳ καὶ (80) ῥαθυμίᾳ, καθαιρείσθω.

ΒΑΛΣ. Τὸ ἐπισκοπικὸν ἀξίωμα διδασκαλικόν ἐστι· καὶ πᾶς ἐπίσκοπος ὀφείλει διδάσκειν τὸν λαὸν τὰ εὐσεβῆ δόγματα καὶ τὴν τῶν ὀρθοδόξων κατάστασιν. Σκοπὸς γὰρ τίθεται χάριν τοῦ ἐπισκοπεῖν τὰ ὑπὸ τὸν λαὸν αὐτοῦ· κἀντεῦθεν καὶ ἐπίσκοπος κέκληται. Καὶ οἱ πρεσβύτεροι δὲ τοιαῦτοι ὀφείλουσιν εἶναι, ὅτι καὶ πλησίον τῶν ἐπισκόπων ἐν ταῖς ἀνωτέρω καθέδραις κάθηνται. Ὁ γοῦν μὴ ποιῶν οὕτως ἐπίσκοπος καὶ ἱερεύς, ἀλλὰ ἀμελῶς διακείμενος ἀφορίζεται· ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ, καὶ καθαιρεῖται· οἱ πρεσβύτεροι γὰρ (81) καὶ κατὰ προτροπὴν ἐπισκοπικὴν, καὶ οὐκ οἰκοθεν διδάσκουσι.

ΖΩΝΑΡ. Χρέος ἐστὶν ἀπαραίτητον παντὶ ἐπισκόπῳ διδάσκειν τὸν ὑπ' αὐτὸν λαὸν τὰ εὐσεβῆ δόγματα, καὶ πρὸς ὀρθοδοξίαν ῥυθμίζειν, καὶ βίον σεμνόν. Φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου πρὸς τοὺς τῶν λαῶν προεστῶτας· Εἰ μὴ διαστείλῃ, μηδὲ λαλήσεις, ἀποθανεῖται ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐ-

Guill. Beveregii notæ.

(79) Ἀμελῶν τοῦ κλήρου. Cum ordinatur metropolitanus, vel archiepiscopus, ut hujus perpetuo canonis officiique sui in eo constituti, memor sit, hæc inter alia in mandatis ei, apud Græcos præsertim, dari solent, Χρή σε μὴ ἀποκάμνειν διδάσκοντα, ἀλλὰ διηνεκῶς τὸν ἐγχειρισμένον σοι λαὸν τὰ πρὸς σωτηρίαν ἐκπαιδεύειν, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρου τοῦ τὴν τοιαύτην διακονίαν ἐκπληροῦν δυναμένου, ὅπως μὴ καταμελῶν τῇ κανονικῇ αὐστηρίᾳ σαυτὸν ἐγκαταστήσῃς ὑπεύθυνον· ἐπίσκοπος γὰρ, φησὶν, ἀμελῶν τοῦ κλήρου, etc., usque ad finem hujus canonis nihil immutato: nisi quod pro εὐσέβειαν substituitur εὐλάβειαν. Quomodo legit et Joan. Antiochenus in collect. can. tit. 10, et quod verba τῇ ἀμελείᾳ καὶ omittuntur. Exstat hoc mandatum in Juris Græco-Romani l. VI, p. 427.

(80) Τῇ ἀμελείᾳ καὶ. Hæc verba in ms. Bodleiano desiderantur, nec exstant in mandato, quod metropolitano et archiepiscopo, cum ordinatur, dari solet, ut ante notatum est: nec legit Gentianus Hervetus, nec Josephus Ægyptius, qui in paraphrasi Arabica vertit, *Et si ille perseveraverit in ista ignavia, gradu suo dejiciatur.* Quoniam vero exstant, tam in Græcis impressis, quam in Joan. Antiocheni collectione, tit. 10, nos etiam ea retinere satius duximus.

(81) Οἱ πρεσβύτεροι γάρ. Hæc usque ad hujus interpretationis exitum in impressis omissa, ex ms. Bodleiano nunc primum edimus.

του, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἀπαιτη- A
θήσεται. Ὁ γοῦν τῆς διδασκαλίας ἀμελῶν ἐπίσκοπος
ἀφορίζεται· εἰ δὲ μὴ οὕτω τῆς ἀμελείας ἀφίσταται,
καὶ καθαιρεῖται. Ὁμοίως καὶ οἱ πρεσβύτεροι. Δι-
δακτικοὺς γὰρ εἶναι καὶ τούτους ἀπαιτεῖ ὁ κανών.
Καὶ ὁ μέγας δὲ Παῦλος διδακτικὸν καὶ νηφάλιον
εἶναι διατάττεται τὸν ἐπίσκοπον (νήφοντα δηλαδὴ καὶ
ἐγρηγορότα), ἀλλὰ μὴ ἀνειμένον καὶ ἀμελῆ· καὶ τὸ
ὄνομα δὲ τοῦ ἐπισκόπου εἰς νῆψιν αὐτὸν διεγείρει.
Σκοπὸς γὰρ ὠνόμασται· τὸν δὲ σκοπὸν ἐγρηγορέναι
δεῖ, ἀλλ' οὐ ῥᾳθυμεῖν. Διὰ τοῦτο τοῖς ἐπισκόποις ἐν
τῷ θυσιαστηρίῳ καθέδρα ἐφ' ὕψους ἵδρυται (82),
δηλοῦντος τοῦ πράγματος, οἷον εἶναι τοῦτον, καὶ
ὅτι δεῖ τὸν ὑπ' αὐτὸν λαὸν ὁρᾶν ἀφ' ὕψους, καὶ
ἐπισκοπεῖν ἀκριβέστερον. Καὶ οἱ πρεσβύτεροι συν-
ιστάναι ἐκεῖ τῷ ἐπισκόπῳ, καὶ συγκαθῆσθαι ἐτά- B
χθησαν, ἵνα καὶ οὗτοι διὰ τῆς ἀφ' ὕψους καθέδρας
ἐνάγωνται εἰς τὸ ἐφορᾶν τὸν λαὸν, καὶ καταρτί-
ζειν αὐτὸν, ὥσπερ σύμπονοι δοθέντες τῷ ἐπισκόπῳ·
καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου ιθ' κανών, Δεῖ,
φησὶ, τοὺς προεστῶτας ἐν πάσῃ ἡμέρᾳ, ἐξαιρέτως
δὲ ταῖς Κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν
ἐκδιδάσκειν.

ΑΡΙΣΤ. *Τὴν εὐσέβειαν μὴ διδάσκων ἐπίσκο-
πος, ἀφορίζεται· καθαιρεῖται δὲ μένων ἀδί-
δακτος.*

Διδάσκειν δεῖ τὸν ἐπίσκοπον τῷ κλήρῳ καὶ τῷ
λαῷ τὴν εὐσέβειαν· ὁ δὲ καταῤῥᾳθυμῶν τῆς διδα-
σκαλίας ταύτης ἀφορίζεται· εἰ δὲ καὶ μετὰ τὸν
ἀφορισμὸν πρὸς τοῦτο οὐ διεγείρεται, καὶ καθαι- C
ρεῖται.

ΚΑΝΩΝ Νθ'.

*Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος,
τινὸς τῶν κληρικῶν (83) ἐνδεοῦς ὄντος, μὴ*

guis de manu tua requiretur [82]. Episcopus igitur, qui docendi curam negligit, excommunicatur. Et, si ne sic quidem desistat a negligentia, deponitur. Similiter etiam presbyteri. Exigit enim canon et hos tales esse, qui docere quoque possint. Et ille magnus etiam Paulus episcopum jubet aptum esse ad docendum, sobrium videlicet ac vigilantem, sed non pigrum vel negligentem [84]. Nomen etiam episcopi ad sobrietatem ipsum excitat. Nam σκοπὸς (id est, custos) nominatus est. Custodem vero vigilare oportet, non autem otio indulgere. Cathedra propterea constituitur episcopis in edito et sublimi templi loco; quæ quidem res denotat qualem eum esse, et quod ab illa sublimitate subditum populum respicere, valdeque diligenter observare debet. Ibi vero presbyteri simul cum episcopo assistere unaque sedere jussi: ut per eam sic in alto sitam cathedram ipsi pariter inducantur populum cum providentia inspicere, ejusque mores componere, tanquam dati laboris socii episcopo. In Trullo quoque synodi canon decimus nonus ait, Præsules oportet omni die, maxime Dominicis, omnem clerum et populum docere.

ARIST. *Pietatem non docens episcopus excommunicatur: deponitur autem perseverans non docere.*

Episcopum oportet docere clerum et populum pietatem; qui autem socordia instructionem istam prætermittit excommunicatur. Si autem et post excommunicationem ad eam non excitatur, etiam deponitur

CANON LIX.

Si quis episcopus, vel presbyter, cum sit aliquis ex clericis egenus, ea quæ sunt necessaria, ei non

[82] Ezech. III, 18. [84] Tit. I, 8.

Guill. Beveregii notæ.

(82) *Καθέδρα ἐφ' ὕψους ἵδρυται.* In antiquis Latinorum et recentioribus etiam Græcorum Ecclesiis, juxta altare sedes sacerdotibus, episcopo assistentibus, simulque celebrantibus, exstrui solitæ fuerunt, in quarum medio thronus eminentior ipsi episcopo sive patriarchæ, si adesset, erectus est, qui in Chrysostomi liturgia ἡ ἄνω καθέδρα nuncupatur, ubi viz. dicitur a diacono, Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν, p. 69. E tom. II, Patr. Græc. Sublimioris hujusce throni, quo episcopus, ut et alterius, quo sacerdotes consedebant, Gregorius Nazianzenus meminit in insomnio de Anastasiæ templo oper. tom. II, p. 78, hisce carminibus:

Ἕζεσθαι δοκέεσκον ὑπέρθρονος, οὐχ ὑπερόφρυς·
Οὐδὲ γὰρ οὐδὲ δναρ τὸν ἀγηνορίην·
Οἱ δέ μοι ἀμφοτέρωθεν ὑφεδρίοωντο γεραιοὶ
Ποίμνης ἡγεμόνες, ἔκκριτος ἡλικίη.
Οἱ δ' ἄρ' ὑποδρηστῆρες ἐν εἵμασι παμφονόωσιν
Ἕστασαν ἀγγελικῆς εἰκόνες ἀγλαΐης.

Ubi videre licet, ut ipse sedebat ὑπέρθρονος; *tarono sublimis*, presbyteri vero ei ὑφεδρίοωντο *subsidebant*, diaconi autem, hic ὑποδρηστῆρες vocati stabant. Hujusmodi quoque throni in panegyrica oratione, de ecclesiarum ædificatione, Paulino Tyriorum episcopo, dicta, hisce verbis commemorantur, Ἀλλὰ γὰρ ὧδε καὶ τὸν νεὼν ἐπιτελέσας, θρόνος τε τοῖς ἀνωτάτω εἰς τὴν τῶν προέδρων τιμὴν, καὶ προσέτι βάθροις ἐν τάξει τοῖς καθ' ὅλου κατὰ τὸ πρέπον κοσμήσας, Euseb. *Hist. Eccles.* l. x, c. 4, p. 381 C, edit. Vales. De hisce thronis ita præterea Simeon Thessalonicensis, Ἡ ἄνω καθέδρα τὴν ὑπερουράνιον δείκνυσι καθέδραν τοῦ Ἰησοῦ· αἱ ὑπ' αὐτὴν δὲ βαθμίδες τὴν ἑκάστου τῶν ἱεραρχῶν καὶ ἱερέων τάξιν τε καὶ ἀνάβασιν, ἔνθα δὴ καὶ οὐ θέμις τινὰ ἕτερον καθίσαι, οὐδὲ διακόνων αὐτῶν. Sym. Thessal. *De sacram.* Hujusmodi quoque thronum Jacobum apostolum Hierosolymis habuisse, eumdemque usque ad Gallieni tempora conservatum, et summo honore habitum fuisse, testatur Eusebius *Hist. Eccles.* l. VII, cap. 19. In hujusmodi throno episcopus quivis post consecrationem collocatur, ut ex Euchologio patet p. 364. Hinc ἐνθρονίζεσθαι, ἐνθρονισμὸς, τὸν θρόνον ἐγχειρισθῆναι, ἐπιβῆναι τοῦ θρόνου, etc. Hinc etiam summa in Ecclesia dignitas *throni* appellatur: ut thronus Hierosolymitanus, thronus Alexandrinus, etc.; vocatur autem et σύνθρονος a sacerdotum consessis, qui et ipsi σύνθρονοι nonnunquam audiunt.

(83) *Τινὸς τῶν κληρικῶν.* Joan. Antiochenus legit, τινὸς τῶν ἐκκλησιαστικῶν, ἤγουν κληρικοῦ ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγήσοι, Joan. Ant. Collect. can. tit. v.

suppeditat, segregetur : sin autem perseveret, de- A *ponatur, ut qui fratrem suum interfecerit.*

(2) *Εἰ μή που δι' ὡρισμένων.* Eamdem exceptionem admittit et scholiastes Harmenopuli, his verbis, εἰ μήπου τινὸς δι' ἄσκησιν ὀκτὼ τυχὸν ἡμέρας ἢ δέκα νηστεύοντος συνεισαχθῇ ταύταις ἐξ ἀνάγκης καὶ Σάββατον καὶ Κυριακή. Harmen. epist. can. sect. 3, tit. 3.

ἔχειν τὴν βιασθεῖσαν, καὶ μὴ λαμβάνειν ἑτέραν, καὶ ταῦτα τοῦ νόμου λέγοντος ἐν βιβλίῳ ξ', τίτλ. λζ', κεφ. πα'. Ὁ βιασάμενος κόρην καὶ φθείρας αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ. Ἔοικε τοίνυν ὡς ἀκολούθως τῷ τρίτῳ κεφ. τοῦ λζ', τίτλου τοῦ ξ' βιβλίου, τῷ διοριζομένῳ ἀναγκάζεσθαι τὸν μετὰ σώφρονος γυναικὸς παλλακευόμενον καὶ εἰς γάμου κοινωνίαν λαμβάνειν αὐτὴν, καὶ τὸν παρόντα κανόνα νοεῖσθαι καὶ διὰ τὴν βίαν μὲν ἀφορίζεσθαι τὸν ταύτην πλημμελήσαντα, διὰ δὲ τὴν σωτηρίαν τῆς παρθένου ἀναγκάζεσθαι αὐτὸν νομικῶς ταύτῃ συνάπτεσθαι. Ἀνάγνωθι καὶ τοῦ παρόντος συντάγματος τίτλον θ', κεφ. λ' καὶ τὰ ἐν αὐτῷ. Καὶ βιβλίου τῶν Βασιλικῶν ξ', τίτλον νη', κεφ. γ' λέγον· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάζοντι αὐτὴν· ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. Καὶ μὴ ἐναντιωθῇ σοι. Ἄλλως γὰρ κολάζεται ὁ ἁρπάσας κόρην, καὶ ἄλλως ὁ κατὰ βίαν φθείρας παρθένον. Καὶ ἡ μὲν ἁρπαγὴ διὰ τὴν ἀναίδειαν τοῦ ἁρπάσαντος οὐ συγγινώσκεται· ἡ δὲ κατὰ βίαν γενομένη φθορὰ, ἐὰν ὑπὸ τῆς βιασθείσης καταδέχηται, συγγινώσκεται. Ὁ μέντοι παρθένῳ συναφθεὶς κατὰ γνώμην ἐκείνης ἑτεροίως τιμωρεῖται. Φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ξ', τίτλῳ λζ', κεφ. κ'· Ὁ παρθένῳ κόρῃ μεγνύμενος ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἑνὸς μέρους τῶν γονέων, τουτέστιν ἑκατέρου προσώπου, οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ. Εἰ δὲ παντελῶς εἴη ἀνύπορος, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

ΖΩΝΑΡ. Ὁ παρθένον φθείρας βίᾳ, εἰ μὲν μεμνηστευμένην τινὶ, ὡς μοιχὸς τιμωρεῖται· εἰ δὲ ἀμνήστευτον, παρὰ μὲν τοῦ κανόνος ἔχειν αὐτὴν, καὶ μὴ ἀποπέμπειν ὁρίζεται, κἂν πενιχρὰ εἴη, καὶ ἀναξία ἴσως ἐκείνου. Παρὰ δὲ τοῦ πολιτικοῦ νόμου ἄλλως τιμωρεῖται.

ΑΡΙΣΤ. *Ὁ βιασάμενος κόρην ἀφοριζόμενος κατεχέτω, καὶ ἄπορον αὐτὴν ὑπάρχουσαν.*

Ὁ βιασάμενος παρθένον ἀμνήστευτον, καὶ συμφθαρεὶς αὐτῇ, ἀφοριζέσθω, μὴ ἐξέστω δὲ αὐτῷ ἑτέραν λαβεῖν, ἀλλ' ἐκείνην κατέχειν ἣν ᾑρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ. Ἡ δὲ ὀγδόη διάταξις ἡ ἐν τῷ οη' κεφαλαίῳ τοῦ λζ' τίτλου τοῦ ξ' βιβλίου τῶν Βασιλικῶν κειμένη προστάττει τὸν τοιοῦτον ῥινοκοπεῖσθαι, καὶ τὸ τρίτον τῆς οὐσίας αὐτοῦ δοθῆναι τῇ παρ' αὐτοῦ βιασθείσῃ καὶ φθαρείσῃ κόρῃ.

ΚΑΝΩΝ ΞΙΒ'.

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος δευτέραν χειροτονίαν δέξεται (3) παρά τινος,

idque cum lex dicat in libro LX, tit. 37, cap. 81. Qui puellæ vim affert, et eam corrumpit, ei nares abscindantur, et det ei etiam tertiam partem suarum facultatum. Videtur ergo hic quoque canon intelligi convenienter 3 capiti 37 tit. 60 libri, decernenti, eum qui cum continente muliere rem habet, eam in matrimonii societatem accipere : et propter vim quidem, segregari eum qui in istam peccavit, propter virginis autem salutem cogi ipsum ei legitime copulari. Lege et præsentis operis tit. 9, cap. 30, et quæ in eo sunt, et librum Basilic. LX, tit. 38, cap. 3 dicentem : Ne nubat rapta ei qui eam rapuit : sed si tali matrimonii copulæ consenserint ejus parentes, **ab** exterminantur. Et ne contraria existimaveris. Aliter enim punitur qui puellam rapuit, aliter qui vi virgini vitium attulit. Et raptus quidem propter ejus qui rapuit impudentiam, non condonatur. Per vim autem stupratio, si ab ea cui vis allata est, suscipiatur, remittitur. Sed qui illius voluntate cum virgine congressus est, alio modo punitur. Ait enim lex in libro LX, tit. 37, cap. 80 : Qui cum virgine puella coiit, illius quidem voluntate, parentibus autem ignorantibus, re cognita, si eam quidem in uxorem habere voluerit, et parentes consentiant, fiat contractus. Si autem una pars parentum, id est utriusvis personæ, non velit, si dives quidem est qui vitium attulit, violatæ puellæ det unam auri libram. Sin autem sit egentior, suarum facultatum dimidium : sed si in extrema sit paupertate, verberatus et tonsus exterminetur.

ZONAR. Qui virginem vi corrupit, si quidem jam alicui desponsam, veluti mœchus punitur : sin non desponsam, canon definit hunc habere illam debere, nec eam rejicere posse, tametsi pauperecula foret, illoque fortassis indigna. Civili autem lege aliter punitur.

ARIST. *Qui puellæ vim attulerit, excommunicatus, habeat et eam licet pauperem.*

Qui virgini non desponsæ vim attulerit, eamque violaverit, excommunicetur, ne liceat autem ei aliam accipere, sed eam habere quam elegit, quamvis paupercula sit. Octava autem constitutio in 78 capite, 37 tit. LX lib. Basilicorum posita, statuit talinasum esse amputandum, et tertiam partem substantiæ ejus dandam puellæ ab ipso violatæ et corruptæ.

CANON LXVIII.

Si quis episcopus, vel presbyter, vel diaconus secundam ordinationem ab aliquo susceperit, deponatur,

Guill. Beveregii notæ.

(3) *Δευτέραν χειροτονίαν δέξεται.* Cyprianus, *Nam baptismum repeti ecclesiasticæ prohibent regulæ, et semel sanctificatis nulla deinceps manus iterum consecrans præsumit accedere. Nemo sacros ordines semel datos iterum renovat.* Cyprian. *De obitu. ped.*, p. 250, l. XXVII, edit. Manut. *Sicut semel baptizatus iterum baptizari non debet, sic et semel consecratus iterum consecrari non potest.* Greg. apud Gratian. distinct. 68, cap. 1. Hæc autem ita intelligenda sunt, ut is demum ad eumdem ordinem consecrari non debeat, qui ab aliquo consecratus est, quem jus consecrandi habuisse certum est, qui

et ipse, et qui ordinavit, nisi utique constiterit quod ab hæreticis ordinationem habeat. Qui enim ab eis baptizati, vel ordinati sunt, ut fideles vel clerici sint, fieri non potest.

καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας· εἰ μή γε ἄρα συσταίη ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν. Τοὺς γὰρ παρὰ τῶν τοιούτων βαπτισθέντας (4) ἢ χειροτονηθέντας οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν.

BALS. Is qui bis quovis modo ordinatus unum et eumdem gradum sacerdotalem suscepit, deponitur, nec ipse tantum, sed et qui sciens ipsum ordinavit. Videntur enim aut priorem ordinationem damnare, aut post defectionem a priore, fieri posteriorem, quod perfici nequit. Qui enim semel datæ sibi ordinationis gratiæ renuntiavit, non amplius potest aliquod sacerdotale munus obire. Quoniam autem ordinatio et baptisma hæreticorum neque clericos, neque fideles facit, decretum est sine periculo ordinari et baptizari eos, qui ab hæreticis ordinati sunt, aut baptizati, quod quæ facta sint ab eis perinde habeantur, ac si facta non essent.

ΒΑΛΣ. Ὁ καθ' οἱονδήτινα τρόπον δὶς χειροτονηθεὶς ἐπὶ τῷ αὐτῷ καὶ ἑνὶ ἱερατικῷ ἀξιώματι καθαιρεῖται, καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ ἐν εἰδήσει τοῦτον χειροτονήσας. Ἔοικασι γὰρ ἢ τῆς προτέρας χειροτονίας καταγινώσκειν, ἢ κατὰ ἀπόστασιν τῆς προτέρας γίνεσθαι τὴν δευτέραν, ὅπερ τελεσθῆναι ἀδύνατον. Ὁ γὰρ ἅπαξ παραιτησάμενος τὴν δοθεῖσαν αὐτῷ χειροτονίας χάριν οὐκέτι δύναται ἱερατικόν τι ἐνεργῆσαι. Ὅτι δὲ ἡ χειροτονία καὶ τὸ βάπτισμα τῶν αἱρετικῶν, οὔτε κληρικοὺς οὔτε πιστοὺς ποιεῖ, ὥρισθη ἀκινδύνως χειροτονεῖσθαι καὶ βαπτίζεσθαι τοὺς παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας ἢ βαπτισθέντας, ὡς τῶν γενομένων παρὰ τούτων ἀντὶ μηδὲ γενομένων λογιζομένων.

ZONAR. Quempiam bis ordinari varie quis intelligere poterit. Aut enim tanquam despiciens eum, qui prius ordinavit, ordinationem secundam quærit : aut etiam tanquam se putans majorem Spiritus gratiam suscepturum, magisque sanctificatum iri per eum, qui secundo ordinaverit, ut fidem in eum habens : vel quia fortassis a sacerdotio defecerit, iterum velut de integro ordinatur : vel etiam propter alias forsitan causas. Quocunque autem modo hoc fecerit, et qui bis fuit ordinatus, et quisquis ordinavit eum, depositionis pœnæ subditur, nisi forte prior ordinatio facta fuisset ab hæreticis. Nec enim baptisma hæreticorum potest quempiam facere Christianum : nec ordinatio eorum efficere clericum potest. Ab hæreticis igitur ordinatos rursus ordinari, sine periculo est.

ΖΩΝΑΡ. Τὸ δὶς τινα χειροτονηθῆναι διαφόρως ἄν τις νοήσῃ. Ἢ γὰρ ὡς τοῦ πρότερον αὐτὸν χειροτονήσαντος καταγινώσκων, δευτέραν χειροτονίαν ἐπιζητεῖ. Ἢ ὡς παρὰ τοῦ δεύτερον αὐτὸν χειροτονήσαντος πλείονά τινα χάριν τοῦ Πνεύματος δέξεσθαι οἰόμενος, καὶ ἁγιασθήσεσθαι, ὡς πίστιν εἰς ἐκεῖνον ἔχων· ἢ ἀποστὰς τῆς ἱερωσύνης τυχὸν, αὖθις ὡς ἐξ ἄλλης ἀρχῆς χειροτονεῖται· ἢ καὶ δι' ἑτέρας ἴσως αἰτίας. Ὅς ἂν δὲ τοῦτο ποιήσῃ, καὶ ὁ δὶς χειροτονηθεὶς καὶ ὁ χειροτονήσας αὐτὸν καθαιρέσει ὑπόκεινται εἰ μή που ἡ προτέρα χειροτονία παρὰ αἱρετικῶν ἐγένετο. Οὔτε γὰρ βάπτισμα αἱρετικῶν δύναταί τινα ποιῆσαι Χριστιανὸν, οὔτε χειροτονία τούτων κληρικὸν ἐργάσαιτο ἄν. Τοὺς οὖν παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας αὖθις χειροτονεῖσθαι ἀκίνδυνον.

45 ARIST. *Qui bis ordinatur, simul cum ordinatore deponitur, nisi manus prior fuerit hæretica.*

ΑΡΙΣΤ. *Ὁ δισχειροτόνητος μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται, εἰ μὴ αἱρετικὴ χεὶρ ἡ προτέρα.*

Episcopus aut presbyter qui secundam ordinationem susceperit, ut visus primam detestari, simul cum ordinatore deponitur; nisi prima facta fuit ab hæretico.

Ὁ δευτέραν χειροτονίαν δεξάμενος ἐπίσκοπος ἢ πρεσβύτερος, ὡς δοκῶν τὴν πρώτην βδελύσσεσθαι, μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται, εἰ μὴ παρ' αἱρετικοῦ ἡ προτέρα γέγονε.

CANON LXIX.

Si quis episcopus, vel presbyter, vel diaconus, vel lector, vel cantor, sanctam Paschæ Quadragesimam non jejunat, vel quartum diem, vel Parasceven, prælerquam si propter imbecillitatem corporalem impediatur, deponatur : si sit autem laicus, segregetur.

ΚΑΝΩΝ ΞΘ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ Τετράδα, ἢ Παρασκευὴν, καθαιρείσθω· ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

Guill. Beveregii notæ.

autem ab illo consecratur, quem non constat jus consecrandi habuisse, iterum consecrandus est, juxta Gloss. ad Gratian. distinct. 68, cap. 2.

(4) *Βαπτισθέντας.* Hæc vox in Joan. Antiocheni collect. tit. 25 omittitur. At Balsamonem legisse, ipsius scholia palam faciunt. Legit et Josephus Ægyptius in paraphrasi Arabica, utpote qui hunc canonem sic vertit : *Qui ordinationem bis accivit, gradu suo dejiciatur, nisi manifestum fuerit, quod, qui eum primo constituit sacerdotem, hæreticus erat. Qui enim sacerdotium aut baptismum accipit ab hæreticis, nec sacerdos est, nec fidelis. Nam hæreticorum vobis sacerdotium non reputatur.* Quin etiam sequentia verba, οὔτε πιστοὺς, hanc vocem βαπτισθέντας necessario requirunt, ad quam solam referri possunt.

ΒΑΛΣ. Ὑπέξελε τὴν Τετράδα (5) καὶ τὴν Παρασκευὴν τὰς πρὸ τῆς Ἀπόκρεω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τοὺς Νινευΐτας, καὶ τὰς τῆς Τυροφάγου διὰ τοὺς Τεταδίτας, καὶ τὰς τῆς Διακινησίμου· πᾶσα γὰρ ἡ ἑβδομὰς αὕτη ὡς ἡ μεγάλη Κυριακὴ λογίζεται. Ἡ τεσσαρακονθήμερος νηστεία τοῦ Πάσχα πρῶτα μὲν παρεδόθη ὑπὸ τοῦ Κυρίου, νηστεύσαντος ἐπὶ τοσαυταρίθμοις ἡμέραις, εἶτα καὶ διὰ τοῦ παρόντος κανόνος ὑπὸ τῶν ἁγίων ἀποστόλων. Φησὶ γὰρ, εἴ τις πιστὸς οὐ νηστεύει κατὰ τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ Πάσχα καὶ κατὰ πᾶσαν Τετράδα καὶ Παρασκευὴν (καὶ ἐν ταύταις γὰρ παρομοίως τῇ ἁγίᾳ Τεσσαρακοστῇ ξηροφαγεῖν ὡρίσθημεν, ἄνευ ὧν εἰρήκαμεν τὰς πρὸ τῆς Ἀπόκρεω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι, καὶ τὰς τῆς Τυροφάγου καὶ τῆς Διακινησίμου), εἰ μέν ἐστι κληρικὸς, καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Ὑπέξελέ μοι τοὺς νοσοῦντας· οὗτοι γὰρ καταλύσαντες διὰ ἰχθύων, συγγνωσθήσονται. Διὰ κρέατος γὰρ οὐ καταλύσει τις καθ' οἱανδήτινα Τετράδα καὶ Παρα-

BALS. Excipe feriam quartam et sextam quæ sunt ante apocreon sive carnisprivium, quibus jejunant Armenii propter Ninevitas; item feriam quartam et sextam tyrophagi propter Tetraditas, ut et Diacinesimi; tota enim illa hebdomas tanquam magna Dominica reputatur. Quadragesimale Paschæ jejunium, primum quidem a Domino traditum est, qui tot diebus jejunavit. Deinde per præsentem canonem a sanctis apostolis. Dicit enim, si quis fidelis non jejunat in sancta Quadragesima Paschæ, et in omni quarto die, et Parasceve (nam et in iis similiter ac in Quadragesima aridis vesci jussi sumus, exceptis iis de quibus locuti sumus, nempe feria quarta et sexta ante carnisprivium, quibus jejunant Armenii, item tyrophagi et Diacinesimi) si est quidem clericus, deponatur: si vero laicus, segregetur. Excipe mihi eos qui ægrotant. Hi enim si per pisces jejunium non solvant, eis venia datur. Per carnem autem non solvet quis quemcunque quartum diem, et Parasceven (ex-

Guill. Beveregii notæ.

(5) *Ὑπέξελε τὴν τετράδα.* Hæc usque ad Κυριακὴ λογίζεται inclusive ex ms. Bodleiano restituimus: ut et ea, quæ nonnullis interjectis sequuntur, viz. ἄνευ ὧν εἰρήκαμεν, usque ad καὶ τῆς διακινησίμου. Porro hic tres quotannis excipiuntur septimanæ, quibus feriæ quartæ et sextæ jejunia prætermittere licet, vel potius, quibus jejunare Græcis non licet. Dictæ tres septimanæ sunt, primo quæ Apocreon præcedit, deinde quæ τυροφάγος, et tertio quæ διακινήσιμος appellatur. Primo autem, Græcorum κυριακὴ ἀπόκρεως nostræ Dominicæ Sexagesimæ respondet. Septimana, quæ dictam Dominicam antecedit, ἑβδομὰς τῆς ἀπόκρεω nuncupatur. Hebdomadis igitur, quæ hanc præcedit, et προσφωνήσιμος dicitur, feria quarta et sexta non jejunandum esse, Balsamon hic tradit, idque propterea, quod Armenii tunc temporis propter Ninevitas jejunant. Alii autem tradunt, Armenios dictam hebdomadem προσφωνήσιμον, sive προφωνήσιμον (ut nonnunquam scribitur), jejuniis deputasse propter Artziburium: (unde et ipsa hebdomadas Ἀρτζιβούριος etiam appellatur) nimirum Sergius Armeniorum hæreseos auctor canem habuit Ἀρτζιβούριον vocatum, quem a feris devoratum Armenii cum Sergio lugebant, διὰ τοῦτο καὶ νηστείαν τῷ πένθει προσέθηκαν, ut in typico Sabæ traditur: ubi etiam aliæ hujus jejunii causæ commemorantur, inter quas et hæc a Balsamone tradita, nimirum propter Ninevitas, recensetur. At idem Balsamon in responsis ad Marcum Alexandrinum, Armenios hebdomadem πρὸ τῆς ἀπόκρεως propter Ninevitas, et δωδεκαήμερον propter Artziburium, jejunasse scribit, ὅτι καὶ τὸ δωδεκαήμερον νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τὸν Ἀρτζιβούριον, Bals. ad interrog. 52. Ut ut est, cum Armenii hæretici ludicrum hoc et ridiculum hebdomadæ πρὸ τῆς ἀπόκρεως instituissent jejunium Græcis orthodoxis visum est, nec quarta nec sexta ejusdem septimanæ feria jejunare, ne cum Armeniis consentire viderentur. De his jejuniis a Græcis prætermissis, sic Nicolaus patriarcha ad Anastasium abbatem scribit,

Τὴν ἑβδομάδα οὖν λαλῶ πρὸ τῆς ἀποκρεου,
Ἣν καὶ ἐπονομάζομεν τὴν τοῦ Ἀρτζιβουρίου,
Οἱ πλεῖστοι ἔθος ἔλαβον ἀδεῶς καταλύειν.
Τετράδα καὶ παρασκευὴν, οἱ κοσμικοὶ τὸ κρέας·
Ὡσαύτως καὶ οἱ μοναχοὶ τυροῦ μεταλαμβάνειν,
Καλῶς νοοῦντες, ἀληθῶς καὶ πράττοντες ὁμοίως.
Εἰ μὲν φυλῆς κατάγονται ἐκ τῆς τῶν Ἀρμενίων,
Καὶ εἶχον καὶ τὴν αἵρεσιν τοῦ Ἀρτζιβουρίου.
Καλῶς ποιοῦσι λύοντες ἅπασαν ὑποψίαν·
Εἰ δὲ πιστοὶ ὀρθόδοξοί εἰσι καὶ ἐκ προγόνων
Εἰς μάτην προφασίζονται λύοντες τὴν νηστείαν.

Proxima hebdomas, cujus quarta sextaque feriæ jejuniis hic eximuntur, est ἡ τῆς τυροφάγου. At Dominica τῆς τυροφάγου eadem est ac nostra Quinquagesima, ac proinde septimana præcedens, quæ ab ea ἑβδομὰς τῆς τυροφάγου denominatur, hic intelligenda est. Hujus enim hebdomadis quarta et sexta feria non jejunant. Nicephorus quidem patriarcha, qui et ὁμολογητὴς dicitur, monachis solis, non item aliis istis diebus jejunare præcepit: et ipsis quoque monachis post Missam præsanctificatam, caseum et ova comedere permisit, ὅτι δεῖ, inquit, νηστεύειν τοὺς μοναχοὺς τῇ Τετράδι τῆς τυροφάγου, καὶ τῇ Παρασκευῇ, καὶ μετὰ τὴν τῶν προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρὸν καὶ ὠά. Ἀνατρέπει δὲ ὁ κανὼν οὗτος τοῦ Ἰακώβου τὸ δόγμα καὶ τὴν τῶν τεταδιτῶν αἵρεσιν. Exstat hic Nicephori canon in Juris Græco-Romani t. III, ubi pro καὶ ὠά legitur, ὅπως ἂν εὑρεθῶσιν. Sed Anastasius Cæsariensis canonem hunc citans καὶ ὠὰ legit: quæ etiam verior haud dubie est lectio. Joannes Leunclavius loco citato τῆς τυροφάγου *Septuagesimæ* male vertit, pro *Quinquagesimæ*. Nam Dominica Septuagesimæ Græcis κυριακὴ τοῦ ἀσώτου vocatur. Ultima hebdomas, cujus hic fit mentio, est διακινήσιμος vel ut nonnunquam scribitur, διακαινήσιμος et διακαινίσιμος. Sic vocatur tota illa septimana, quæ festum Paschatis sequitur. Hujus autem quartam sextamque ferias jejuniis exceptas esse, typicum quoque docet, ἐξαιροῦνται δὲ τῶν νηστίμων αἵ τε τετράδες καὶ παρασκευαὶ, αἵ τε δηλαδὴ τῆς διακαινησίμου. At quare hac quoque septimana non sit jejunandum? Respondet Balsamon hoc loco, propterea quod tota hæc septimana ὡς μεγάλη Κυριακὴ, hoc est, *tanquam magna dies Paschatis*, reputatur. Consentit typicum, Ἡ μὲν διακαινησίμου πᾶσα, ὡς μία ἡμέρα λογίζεται, ἡ ὡς αὕτη ἡ μεγάλη Κυριακή. Et ipse rursus Balsamon in responsis ad Marcum Alexandrinum, κατὰ δὲ τὴν ἑβδομάδα τῆς διακινησίμου ἀκινδύνως κρεωφαγήσομεν κατὰ τὴν αὐτῆς τετράδα καὶ παρασκευήν· ὡς μία γὰρ λογίζεται κυριώνυμος τὸ ἑπταήμερον τοῦτο διάστημα. Bals. ad Marc. interrog. 52.

ceptis iis de quibus verba ante fecimus) etiamsi extremum spiritum agat. Similiter excipe mihi et ex Quadragesima, Sabbata, et dies Dominicos. Nam et in his etiam jejunium solvimus, ut vult apostolicus canon 66. Nota et ex hoc præsenti canone proprie unum esse jejunium quadragesimale Paschæ. Si enim essent et alia, eorum canon quoque meminisset. Sed et si in aliis jejunii diebus, scilicet sanctorum apostolorum, Dormitionis sanctissimæ Deiparæ, et Natalis Christi, jejunaverimus, pudore non afficiemur. Lege et quæ a nobis scripta sunt in tertiam interrogationem responsionum synodalium factarum in diebus patriarchæ domini Nicolai.

A σκευήν, ἄνευ ὧν εἰρήκαμεν ἔμπροσθεν, κἂν τὰ λοίσθια πνέῃ. Ὡσαύτως ὑπέξελέ μοι καὶ ἀπὸ τῆς Τεσσαρακονθημέρου τὰ Σάββατα καὶ τὰς Κυριακάς. Καταλύομεν γὰρ ὁμοίως καὶ εἰς ταύτας κατὰ τὸν ξς' ἀποστολικὸν κανόνα. Σημείωσαι δὲ καὶ ὑπὸ τοῦ παρόντος κανόνος ὅτι κυρίως μία ἐστὶν νηστεία ἡ Τεσσαρακονθήμερος ἡ τοῦ Πάσχα· εἰ γὰρ ἦσαν καὶ ἄλλαι, ἐμνήσθη ἂν καὶ τούτων ὁ κανών, πλὴν καὶ κατὰ τὰς ἄλλας νηστίμους, ἤγουν τῶν ἁγίων Ἀποστόλων, καὶ τῆς Κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῆς γεννήσεως τοῦ Χριστοῦ, νηστεύοντες, οὐκ αἰσχυνόμεθα. Ἀνάγνωσον καὶ τὰ (6) παρ' ἡμῶν γραφέντα εἰς τὴν γ' ἐρώτησιν τῶν γενομένων συνοδικῶν ἀποκρίσεων ἐπὶ τῶν ἡμερῶν τοῦ πατριάρχου κυροῦ Νικολάου.

ZONAR. Omni modo canon requirit, ut fideles agant in jejunio sanctam Paschæ Quadragesimam, et uniuscujusque cæterarum hebdomadarum diem quartum, atque Parasceven : nisi quis ob imbecillitatem corporis jejunare non possit. Nam jejunium fuit introductum, ad humiliationem carnis. Quod si caro morbo, vel aliqua alia infirmitate laboret, illa ex jejunio humiliatio non est necessaria. Hunc autem canonem non observantes, consecratos quidem deponi canon jubet, laicos autem excommunicari. Notandum igitur quod eodem in ordine canon ponit, sanctam Paschæ Quadragesimam, et quartam feriam, et Parasceven.

B ΖΩΝΑΡ. Ἐκ παντὸς τρόπου ὁ κανὼν ἀπαιτεῖ τοὺς πιστοὺς τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, καὶ Τετράδα καὶ Παρασκευὴν ἑκάστης τῶν ἄλλων ἑβδομάδων ἐν νηστείᾳ διάγειν, εἰ μή τις διὰ σωματικὴν ἀσθένειαν νηστεύειν οὐ δύναται· ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σαρκός. Εἰ δ' ἐκ νόσου ἢ ἀσθενείας ἄλλης τινὸς καταπονοῖτο ἡ σὰρξ, ἡ ἐκ τῆς νηστείας ταπείνωσις ἐκείνη οὐκ ἀναγκαία. Τοὺς δὲ μὴ τὸν κανόνα τοῦτον φυλάττοντας ἱερωμένους μὲν καθαιρεῖσθαι προστάττει ὁ κανών, λαϊκοὺς δὲ ἀφορίζεσθαι. Σημειωτέον οὖν ὅτι ἐν ἴσῃ τάξει τίθησιν ὁ κανὼν τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, καὶ Τετράδα καὶ Παρασκευήν.

ARIST. *Clericum non jejunantem Quadragesimam,* C *vel quartum diem, vel Parasceven depones, laicum autem excommunicabis, nisi per infirmitatem impediatur.* Perspicuus.

ΑΡΙΣΤ. *Τὸν μὴ νηστεύοντα τὴν Τεσσαρακοστὴν ἢ Τετράδα καὶ Παρασκευὴν κληρικὸν καθαιρήσεις, τὸν δὲ λαϊκὸν ἀφορίσεις, εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζεται.* Σαφής.

46 CANON LXX.

Si quis episcopus, vel presbyter, vel diaconus, vel omnino ex clericorum catalogo, jejunat cum Judæis, vel cum ipsis festos dies agit, vel ab ipsis festi xenia accipit (ut verbi gratia azyma, aut quid tale) deponatur. Si vero sit laicus, segregetur.

ΚΑΝΩΝ Ο'

Εἴ τις ἐπίσκοπος (7), *ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύει μετὰ Ἰουδαίων, ἢ ἑορτάζει μετὰ αὐτῶν ἢ δέχεται, παρ' αὐτῶν τὰ τῆς ἑορτῆς ξένια* (8) (*οἷον, ἄζυμα ἤ τι τοιοῦτον*), *καθαιρείσθω. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.*

BALS. Cum præcepissent per alios canones apostoli, quid fieri debeat in eos qui cum hæreticis precantur aut cum excommunicatis, jam decernunt, aut qui cum Judæis jejunant, aut azyma festivitatum ipsorum recipiunt, aut aliud ejusmodi aliquod munus, si quidem clerici sint, deponi, sin laici, excommunicari : ne dixeris autem eos judaizare, tanquam idem cum Judæis sentiant : omnino enim non depositioni vel segregationi solum subji-

D ΒΑΛΣ. Ὀρισθετήσαντες οἱ ἀπόστολοι διὰ ἑτέρων κανόνων τί ὀφείλει γίνεσθαι εἰς τοὺς συνευχομένους μετὰ αἱρετικῶν ἢ ἀφωρισμένων, ἄρτι παρακελεύονται τοὺς μετὰ Ἰουδαίων νηστεύοντας ἢ δεχομένους τὰ τῶν ἑορτῶν αὐτῶν ἄζυμα, ἢ ἕτερον ξένιον, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Μὴ εἴπῃς δὲ τούτους Ἰουδαΐζειν, ὡς καὶ τοῖς Ἰουδαίοις ὁμόφρονας ὄντας· πάντως γὰρ οὐ καθαιρέσει μόνῃ ἢ ἀφορισμῷ καθυποβληθήσονται, ἀλλὰ

Guill. Beveregii notæ.

(6) *Ἀνάγνωσον καὶ τά.* Hæc usque ad finem interpretationis ex ms. Bodleiano nunc primum edimus. Exstant autem, quæ hic Balsamone commemorantur, ad calcem scholiorum ipsius in Nomocanonem Photii in editione Gentiani Herveti.

(7) *Εἴ τις ἐπίσκοπος.* Joannes Antiochenus hunc canonem sic legit. Εἴ τις ἐπίσκοπος ἢ κληρικὸς νηστεύει μετὰ Ἰουδαίων, ἢ συνεορτάζει μετ' αὐτῶν, ἢ δέχεται αὐτῶν τὰ τῆς ἑορτῆς ξένια, οἷα ἄζυμα ἤ τι τοιοῦτον, καθαιρείσθω· εἰ λαϊκὸς, ἀφορίζέσθω. Joan. Antioch. collect. can. tit. 37.

(8) *Τὰ τῆς ἑορτῆς ξένια.* Cum solemne Purim celebrarent Judæi, sibi invicem partes de convivio mittere solebant (*Esth.* IX, 19.) Et sic in aliis quoque festivitatibus, Christianos olim inter Judæos versantes, hujusmodi ab iis portiones accipere non puduit. De hoc Ecclesiæ primitivæ præsules certiores facti, hoc canone id interdicunt : et pœnas ab accipientibus exigunt, idque ne Christiani cum Judæis jejunia vel festa peragere viderentur.

καὶ παντελεῖ ἀκοινωνησίᾳ, καθὼς καὶ ὁ κθ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου παραπλήσιον. Ἀλλ' εἰκὸς τούτους ὀρθοδόξους μὲν εἶναι, παναφρονητὰς δὲ τῶν ἐκκλησιαστικῶν παραδόσεων, καὶ ἀδιαφόρως ζῶντας· κἀντεῦθεν μετριωτέρως αὐτοὺς ὡς σκανδαλοποιοὺς χολάζεσθαι. Διὰ γὰρ τοῦτο καὶ ἡμεῖς, ἐναντία τοῖς Ἰουδαίοις καὶ τοῖς ἄλλοις αἱρετικοῖς φρονοῦντες καὶ πράττοντες, καταλύομεν ἀνενδοιάστως, ὅταν ἐκεῖνοι νηστεύωσι, τυχὸν διὰ τὴν κατὰ τῆς Νινευὶ ἀπειλήν, ἢ καὶ δι' ἑτέρας αἰτίας δοκούσας αὐτοῖς· ἀπὸ μέντοι τοῦ καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι τοὺς λαμβάνοντας ἐξ Ἰουδαίων τὰ τῆς ἑορτῆς αὐτῶν ξένια, τὰ ἄζυμα δηλαδή, καὶ τὰ λοιπά, λέγουσιν οἱ πολλοὶ ἁλίσκεσθαι τοὺς τοιουμένους διὰ ἀζύμων τὴν μυστικὴν θυσίαν. Εἰ γὰρ τὸ ἁπλῶς, φησί, φαγεῖν ἄζυμα Ἰουδαϊκῆς καθαίρεσιν ἐπάγει καὶ ἀφορισμὸν, τὸ μεταλαμβάνειν αὐτῶν, ὡς Κυριακοῦ σώματος, καὶ παρομοίως ἐκείνοις διὰ τούτων τὸ Πάσχα ποιεῖν, ποίαν οὐχ ἕξει κατάγνωσιν καὶ κόλασιν; Σημείωσαι οὖν τοιοῦτον κανόνα, καὶ ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'.

ΖΩΝΑΡ. Εἰ ὁ ἀκοινωνήτῳ συνευξάμενος ἢ καθῃρημένῳ, διὰ τοὺς ἤδη γεγραμμένους κανόνας ὑπὸ ἐπιτίμιον ἐστὶν, ὁ μετὰ Ἰουδαίων ἑορτάζων, ἢ συννηστεύων αὐτοῖς, ἢ μερίδας τινὰς ἑορτῆς αὐτῶν ἐξ ἐκείνων δεχόμενος (ἀνθρώπων οὐκ ἀφωρισμένων, οὐδὲ ἀκοινωνήτων, ἀλλὰ Χριστοκτόνων, καὶ πόρρω τῆς τῶν πιστῶν ὁμηγύρεως, ἢ μᾶλλον καταράτων) πῶς οὐκ ἂν εἴη ἄξιος, ἱερωμένος ὤν, καθαιρέσεως, ἢ λαϊκὸς ὤν, ἀφορισμοῦ; Κἂν γὰρ μὴ τὰ ἐκείνων φρονῇ, ἀλλά γε πολλοῖς σκανδάλου δίδωσιν ἀφορμὴν καὶ ὑπόνοιαν καθ' ἑαυτοῦ ὡς τὰς Ἰουδαϊκὰς τιμῶν τελετάς. Ἅμα δὲ καὶ μιαίνεσθαι πιστεύεται τῇ ἐκείνων συναναστροφῇ· πρὸς οὓς ὁ Θεὸς διὰ τοῦ προφήτου καὶ πρὸ τῆς Χριστοκτονίας εὐρίσκεται εἰρηκώς· *Νηστείαν, καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου.* Καὶ ὁ κθ' τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν Χριστιανὸν ἐν Σαββάτῳ μὴ σχολάζειν ὁρίζει. Οἱ δὲ Ἰουδαΐσται ἀνάθεμα ἔστωσαν, φησί. Καὶ ὁ ξ' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου κωλύει τὸ συνεορτάζειν καὶ συμποσιάζειν Ἕλλησι.

ΚΑΝΩΝ ΟΑ'.

Εἴ τις Χριστιανὸς ἔλαιον ἀνενέγκοι εἰς ἱερὸν ἐθνῶν, ἢ εἰς συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἅπτει, ἀφοριζέσθω.

ΒΑΛΣ. Διαφόρως εἴρηται ὅτι οὐδεμία κοινωνία πιστῷ μετὰ ἀπίστου· ὅθεν καὶ ὁ παρὼν κανὼν ἀφορίζεσθαί φησι τὸν Χριστιανὸν τὸν μετὰ οἰουδήτινος ἀπίστου συνεορτάζοντα, ἢ ἔλαιον ἢ λύχνον ἀνάπτοντα εἰς ψευδοτελεστὴν αὐτοῦ, διὰ τὸ λογίζεσθαι τοῦτον τοῖς ἀπίστοις ὁμόφρονα. Καὶ ἀπὸ μὲν τοῦ καιρόντος ἐλαφρότερον ὁ τοιοῦτος χολάζεται, ἐξ ἑτέρων δὲ μεγάλως τιμωρεῖται.

ΖΩΝΑΡ. Ὡς γὰρ τιμῶν τὰ τῶν Ἰουδαίων, ἢ ἐθνικῶν, τὴν τοῦ ἐλαίου πωλεῖται προσαγωγὴν, καὶ τὴν λυχναψίαν· εἰ δὲ τιμᾷ τὰ ἐκείνων ὄργια, καὶ τὰ αὐτὰ ἐκείνοις φρονεῖν λογισθήσεται.

[24] Amos v, 28. [25] II Cor. vi, 15.

cientur, sed etiam absolutæ et omni ex parte perfectæ excommunicationi, uti etiam jubet 29 canon Laodic. syn. Sed dic hos quidem recte sentire et orthodoxos esse, sed ecclesiasticarum traditionum contemptores, et indiscriminatim viventes : et ideo ipsos mitius, ut qui offendiculum generent, puniri. Propterea namque et nos qui Judæis aliisque hæreticis contraria et sentimus et agimus, solvimus citra dubitationem, quando illi jejunant, forte propter minas Ninives, vel alias quæ eis videntur causas. Ac ex hoc quidem quod deponuntur vel segreganter ii qui a Judæis festorum ipsorum xenia accipiant, azyma et cætera, dicunt multi eos arguí qui per azyma mysticum sacrificium faciunt. Si enim simpliciter azymum comesse Judaici festi, depositionem et segregationem inducit, eorum tanquam Dominici corporis esse participes, et similiter ac illi Pascha facere, quam non habebit condemnationem et animadversionem? Nota ergo hunc canonem, et quære Carthaginen. synodi canonem 60.

ZONAR. Si qui simul erat cum excommunicato, vel deposito, per jam scriptos canones, pœnæ reus est, cum Judæis agens festum vel cum ipsis jejunans, vel aliquas eorumdem festi partes ab illis accipiens (hominibus non separatis et excommunicatis, sed Christi occisoribus et procul exclusis a fidelium cœtu vel potius maledictis), quomodo non etiam dignus fuerit, sacratus quidem, depositione, vel laicus, excommunicatione? Nam tametsi non sentiat, quod illi : multis tamen occasionem scandali præbet, in seque ipsum suspicionem, quasi Judaicos habeat in honore ritus, simul et illorum conversatione contaminari creditur : ad quos Deus per prophetam, prius etiam quam Christum trucidassent, invenitur dixisse, Jejunium, et ferias, et festivitates vestras odit anima mea[24]. Vicesimus autem nonus in Laodicea synodi canon definit Christianos in Sabbatis ab operibus suis non debere vacare. Judaistæ vero sint anathema, dicit. Et sexagesimus in Carthagine synodi canon prohibet agere festa, convivarique cum gentilibus.

CANON LXXI.

Si quis Christianus oleum deferat in templum gentium, vel in synagogam Judæorum, in eorum festis, vel lucernam accendit, segregetur.

BALS. Alio modo dictum est nullam esse societatem fideli cum infideli[25], unde et præsens canon segregari dicit Christianum qui cum infideli quovis festa celebret, vel oleum aut lucernam ad ejus falsa sacrificia accendat, eo quod iste cum infidelibus consentire censeatur. Atque ex hoc quidem canone levius castigatur talis, ex aliis autem graviter punitur.

ZONAR. Nam velut honorans ea, quæ Judæorum sunt, aut gentilium, oleum offert, et lampadem accendit. Quod si defert illorum festis honorem, jam eadem, quæ et illi, sentire censebitur.

ARIST. CAN. LXX. *Laicum Judaizantem aut gentilia sapientem excommunicabis.*

CAN. LXXI. *Clericum autem deponet.*

Qui quæ Judæorum sunt sapit, aut cum iis jejunat vel festum agit, si clericus quidem sit, deponitur, si laicus autem, excommunicatur.

CANON LXII.

Si quis clericus vel laicus a sancta Ecclesia ceram vel oleum auferat, segregetur.

BALS. Segregari dicit canon fidelem omnem, qui ab ecclesia ceram vel oleum abstulerit. Auferre autem, ne de furto intelligas (qui enim ceram aut oleum ecclesiasticum hoc consilio furatur, ut sacrilegus punitur), sed hic puniri dicas eum qui quovis modo auferat, et quod Deo dicatum est, commune faciat, sive imperii dominium in tempo habeat, sive ejus sit minister.

ARIST. *Excommunicatur qui ceram aut oleum ecclesiæ aufert, illudque cum quintuplo persolvet.*

Latitudo canonum non vult quintuplicatum reddi ablatum, sed illum ipsum quod aufertur et illius sesquiquintum.

CANON LXXIII.

Vas aureum, vel argenteum, vel velum sanctificatum nemo amplius in suum usum convertat : hoc fit enim præter jus et contra leges. Si quis autem deprehensus fuerit, multetur segregatione.

ΑΡΙΣΤ. ΚΑΝ. Ο'. *Λαϊκὸν ἀφορίσεις* (9) *Ἰουδαΐζοντα ἢ τὰ τῶν ἐθνῶν φρονοῦντα.*

ΚΑΝ. ΟΑ'. *Τὸν δὲ κληρικὸν καθαιρήσεις.*

Ὁ τὰ Ἰουδαίων φρονῶν, καὶ μετ' αὐτῶν συννηστεύων, ἢ ἑορτάζων, εἰ μὲν κληρικὸς εἴη, καθαιρεῖται, εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

ΚΑΝΩΝ ΟΒ'.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀπὸ τῆς ἁγίας Ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω (10)

ΒΑΛΣ. Ἀφορίζεσθαί φησιν ὁ κανὼν πάντα πιστὸν ἀφελόμενον ἀπὸ τῆς ἐκκλησίας κηρὸν ἢ ἔλαιον. Τὸ ἀφελέσθαι δὲ μὴ νοήσῃς ἐπὶ κλοπῆς· ὁ γὰρ διαθέσει τοιαύτῃ κηρὸν ἢ ἔλαιον ἐκκλησιαστικὸν ἀφελόμενος ὡς ἱερόσυλος κολασθήσεται· ἀλλ' εἰπὲ κολάζεσθαι ἐνταῦθα τὸ ἁπλῶς ἀφελέσθαι, καὶ κοινῶσαί τινα τὸ προσενεχθὲν τῷ Θεῷ, κἂν κυριαρχικὸν δίκαιον ἔχῃ ἐπὶ τῷ ναῷ κἂν διακονητὴς αὐτοῦ ἐστι.

ΑΡΙΣΤ. *Ἀφορίζεται ὁ κηρὸν ἢ ἔλαιον τῆς ἐκκλησίας συλῶν· μετὰ τοῦ πενταπλοῦ τοῦτο κατατιθέναι.*

Τὸ πλάτος τῶν κανόνων οὐ πενταπλοῦν βούλεται (11) ἀποδίδοσθαι τὸ ἀποσυλώμενον, ἀλλ' αὐτό τε ἀποσυληθὲν καὶ τὸ τούτου ἐπίπεμπτον.

ΚΑΝΩΝ ΟΓ'.

Σκεῦος χρυσοῦν (12) *ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετερίζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.*

Guill. Beveregii notæ.

(9) *Λαϊκὸν ἀφορίσεις.* In Aristeni epitome a Justello edita nihil de iis, qui gentilia sapiunt, exprimitur, nec quidquam aliud loco canonis 70 et 71 occurrit quam, Λαϊκὸν ἀφορίσεις τὸν Ἰουδαΐζοντα· τὸν δὲ κληρικὸν καθαιρήσεις.

(10) *Ἢ ἔλαιον, ἀφοριζέσθω.* Post ista verba in Joan. Antiocheni collectione tit. 46. hæc adduntur, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν. Quæ etiam in Græcis Balsamonis codicibus antehac editis leguntur. Legit et Aristenus, ut tam ex epitome, quam interpretatione ipsius patet: uti et Josephus Ægyptius in paraphrasi Arabica qui hunc canonem sic interpretatur : *Quicunque sacerdos aut laicus oleum vel ceram ex Ecclesia furtim acceperit, expellatur Ecclesia ; vel loco ejus rei, quam accepit, quintuplum restituat, et puniatur insuper, prout præfecto ipsius visum fuerit, et cum recipiat : sin contradixerit, eadem pœna multetur, et prorsus excommunicetur.* At in codice Bodleiano quem nunc edimus, hæc verba non habentur ; uti nec in Harmenopuli canonum epitome sect. 3, tit. 2 omittuntur et in Latina Gentiani Herveti translatione : et quod præcipuum est, nec Balsamon in hujus, ut nec Zonaras in proximi canonis (quo hunc etiam tractat) interpretatione, horum verborum meminit ; et idcirco nec eos in suis codicibus ista legisse non immerito suspicemur.

(11) *Οὐ πενταπλοῦν βούλεται.* Ad finem integri præsentis canonis, ut ante observatum est, in nonnullis codicibus additur, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν. Qui epitomen canonis fecit, ἐπίπεμπτον per πενταπλοῦν interpretatus est, ut et Josephus Ægyptius per *quintuplum*, sic enim et חמש ירות LXX πενταπλασίως, Arabice vertitur, Gen. XLIII, 34, quomodo et Avicenna ait, *loco ejus* (viz. opii) *triplum seminis hyoscyami usurpatur.* Avicen. p. 133. Verum recte hic notat Aristenus, ἐπίπεμπτον non tantumdem esse ac πενταπλοῦν, nec canonem velle πενταπλοῦν ἀποδίδοσθαι, sed αὐτὸ τὸ ἀποσυληθὲν, *illud ipsum quod aufertur*, et insuper τούτου ἐπίπεμπτον. Quid autem per ἐπίπεμπτον intelligendum sit, ex Macrobii definitione τοῦ ἐπιτρίτου (nam eadem est utriusque ratio) optime dignoscamus, *et est ἐπίτριτος inquit, cum de duobus numeris major habet totum minorem, et insuper ejus tertiam partem ; ut sunt quatuor ad tria ; nam in quatuor sunt tria, et tertia pars trium, id est unum ; et is numerus vocatur ἐπίτριτος, deque eo nascitur symphonia, quæ appellatur διὰ τεσσάρων.* Macrob. in *Somn. Scipion.* l. II, c. 1. Eadem itaque ratione ἐπίπεμπτον hoc in loco *sesquiquintum*, hoc est, semel rei ablatæ pretium et quintam insuper ipsius partem continet ; adeo ut canon latissimo sensu τὸ πενταπλοῦν non exigat, quemadmodum Aristenus recte monet.

(12) *Σκεῦος χρυσοῦν.* Basilica, ὁ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν ἢ μνημείων ἢ δημοσίων χρημάτων ἢ στρέψαντος εἰς ἰδίας χρείας. Basil. l. 60, tit. 45, cap. 2, τῷ δὲ πεκουλάτους ὑπόκειται καὶ ὁ ἱερὰ ἢ ἐκ μνημείων χρήματα λαμβάνων, ἢ τὸ δωρηθὲν τῷ Θεῷ, ibid. cap. 5. Joannes Antiochenus ex prima constitutione tit. 29, IX libri codicis, Εἴ τε ἀγνοῶν τις ἱερὰ πράγματα, εἴ τε εἰδὼς καὶ περιφρονῶν ὑποκλέψει αὐτὰ, ὡς ἱερόσυλος τιμωρείσθω. Joan. Antioch. Nomocan. tit. 46, Egbertus archiepiscopus Eboracensis : *Si quis episcoporum, vel presbyterorum, vel ministrorum ex rebus Ecclesiæ, quæ in quibuscunque locis a fidelibus largiuntur, aliquid auferat, et male rapta cum confusione restituet, et excommunicationis annuæ sententiam subibit.* Egbert. in excerpt. can. 71. vide et Alexii Comneni Novellam περὶ τῶν ἱερῶν σκευῶν, καὶ περὶ τοῦ μὴ ἄλλοτε ποτὲ ταῦτα κοινωθῆναι, in Juris Græco-Rom. l. II, p. 121.

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ οβ' κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται χάριν τοῦ μὴ κοινοῦσθαι τὰ τῷ Θεῷ προσαγόμενα καὶ ναοῖς ἀφιερούμενα· οἱαδήτινα σκεύη καὶ ἔπιπλα. Τῷ γὰρ ὀνόματι τῆς ὀθόνης πᾶν ὕφασμα δηλοῦται. Ὁ Ἄχαρ δὲ ἐκεῖνος ἰδιωσάμενος γλῶτταν χρυσῆν ἀπὸ τῶν ἐπαγγελθέντων τῷ Θεῷ χρυσῶν λαφύρων, καὶ μήπω ἀφιερωθέντων, ἐλιθοβολήθη παγγενῆ. Ἀνάγνωθι καὶ τὸν ι' κανόνα τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων α' καὶ β' συνόδου.

ΖΩΝΑΡ. Τὰ τῷ Θεῷ ἀφορισθέντα κοινοῦσθαι οὐ χρή. Ἡγίασται γὰρ, κἂν σκεῦος ᾖ οἱονδήτι, κἂν ὕφασμα· διὰ γὰρ τῆς ὀθόνης ἐδήλωσεν ἅπαν ὕφασμα, κἂν ἔλαιον εἴη, κἂν κηρός. Ἡ γὰρ πρὸς τὸν τοῦ Θεοῦ ναὸν προσαγωγὴ τούτων ἁγιάζει αὐτά. Οὐ χρὴ οὖν οὔτε κηρὸν, οὔτε ἔλαιον ἀφαιρεῖσθαι τῆς ἐκκλησίας, οὔτε τι σκεῦος, ἀλλ' οὐδὲ ὕφασμα ἀνατεθὲν τῷ Θεῷ, καὶ εἰς οἰκείαν χρῆσίν τινα λαμβάνειν αὐτά. Ἀφορισμῷ γὰρ τοῦτο ὑπόκειται. Ὁ δὲ Ἄχαρ οὐδὲ προσαχθέντα, καὶ ἁγιασθέντα ὤφειλετο τῷ Θεῷ, ἀλλὰ μόνον ἐπαγγελθέντα· καὶ ὅμως ἔδωκε δίκην παγγενῆ λιθοβοληθείς.

ΑΡΙΣΤ. *Ὁ ἱερὰ σκεύη εἰς χρῆσιν σφετεριζόμενος, ἀφορίζεται.*

Ὁ εἰς χρῆσιν οἰκείαν τὰ ἱερὰ οἰκειούμενος, σκεῦος ἢ ὀθόνην, ἁγιασθέντα, ὡς παρανομῶν ἀφορισθήσεται.

ΚΑΝΩΝ ΟΔ'.

Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιοπίστων ἀνθρώπων καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῶν ἐπισκόπων· κἂν μὲν ἀπαντήσῃ, καὶ ὁμολογήσῃ, ἢ ἐλεγχθείῃ, ὁρίζεσθαι τὸ ἐπιτίμιον. Ἐὰν δὲ καλούμενος μὴ ὑπακούσῃ, καλεῖσθω καὶ δεύτερον, ἀποστελλομένων ἐπ' αὐτὸν δύο ἐπισκόπων. Ἐὰν δὲ καὶ οὕτω μὴ ὑπακούσῃ, καλεῖσθω καὶ τρίτον δύο πάλιν ἐπισκόπων ἀποστελλομένων πρὸς αὐτόν. Ἐὰν δὲ καὶ οὕτως καταῤῥονήσας μὴ ἀπαντήσῃ, ἡ σύνοδος ἀποραινέσθω κατ' αὐτοῦ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

ΒΑΛΣ. Περὶ τοῦ, τίνες δύνανται κατηγορεῖν ἐπισκόπων ἢ κληρικῶν, καὶ τίνες καταμαρτυροῦσιν αὐτῶν, ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλον θ' κεφαλαίου α', καὶ τὰ ἐν αὐτῷ, καὶ κεφάλαιον β', καὶ τὰ ἐν αὐτῷ. Ὁ δὲ παρὼν κανὼν θεσπίζει τὸν κατηγορηθέντα ἐπίσκοπον χάριν ἐγκληματικῆς αἰτιάσεως μετακαλεῖσθαι κατὰ νόμους ὑπὸ ἐπισκόπων· ἀπόντα γὰρ τοῦτον καταδικάζεσθαι ἄδικον ἔδοξε· καὶ παρουσιάζοντα μὲν, καὶ ἐξ ἀναντιῤῥήτων ἐλέγχων ἢ ἀπὸ οἰκείας ὁμολογίας καταδικαζόμενον, κανονικῶς ἐπιτιμᾶσθαι· μὴ παραγενόμενον δὲ, καλεῖσθαι καὶ αὖθις παρὰ ἐπισκόπων δύο· ἀλλὰ μὴν καὶ ἐκ τρίτου, ὡς ἂν, εἰ μηδὲ οὕτως παραγένηται, ἀποφήνηται κατ' αὐτοῦ ἡ σύνοδος καὶ μονομερῶς τὰ δοκοῦντα αὐτῇ· Ὅπως, φησὶ, μὴ κερδήσῃ ὁ καταφρονητὴς ἐκ τῆς ἀναιδοῦς ὑπερθέσεως. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἐζητήθη πολλάκις εἴπερ

BALS. Eadem quæ can. 72. præsens etiam canon decernit, quæcunque Deo fuerunt dedicata, et templis consecrata, non fieri communia et profana; qualia sunt vasa et supellex. Veli enim nomine, quidquid est textile, significatur. Achaz autem ille, cum linguam auream ex aureis spoliis Deo quidem votis ac promissis, sed nondum consecratis, sibi ut propriam attribuisset, generatim ab omnibus, lapidibus obrutus est. Lege et can. 1 et 2 synodi quæ fuit in templo SS. Apostolorum.

ZONAR. Ea quæ Deo separata sunt, usu communi pollui non oportet. Sunt enim sanctificata, seu vas aliquod tale sit, seu pannus. (Nam per velum significat omne textum) sive sit oleum, sive cera. In Dei nempe templo facta hujuscemodi rerum oblatio sanctificat eas. Auferri non oportet igitur ab ecclesia, nec ceram, nec oleum, nec vas aliquod sed neque pannum, qui Deo sit oblatus, et ista sumere in aliquem privatum usum. Propter hoc enim subjiciuntur excommunicationi. Certe Achaz nec oblata Deo, nec sanctificata subtraxit, sed solum promissa. Nihilominus pœnas dedit ab universo populo lapidibus obrutus.

ARIST. *Qui sacra vasa in usum proprium transfert, excommunicatur*

Qui in proprium usum sacra vertit, vas aut linteum, sanctificata; ut legem transgrediens, excommunicabitur.

48 CANON LXXIV.

Episcopum a viris fide dignis ob aliquid accusatum, ipsum ab episcopis vocari necesse est: et si se quidem stiterit, et confessus, vel convictus sit statuatur pœna. Si autem vocatus non paruerit, secundo etiam vocetur, missis ad ipsum episcopis duobus. Si autem etiam sic non obedierit, vocetur et tertio, duobus ad eam rursus missis episcopis. Si autem vel sic aspernans et contumax se non stiterit, synodus ea quæ videntur adversus eum pronuntiet, ne lucrifacere videatur dum judicium subterfugit.

BALS. Quinam possint episcopos et clericos accusare, et quinam adversus eos testimonium ferant, lege præsentis operis tit. 9, cap. 1, et quæ in eo sunt: et cap. 2, et quæ sunt in ipso. Præsens autem canon statuit, accusatum episcopum, ut ei crimen intendatur, legitime ab episcopis vocari: eum enim absentem condemnari, iniquum visum est: et præsentem quidem, et vel ex non refellendis probationibus, vel ex propria confessione, in judicio convictum, canonice multari. Si autem non accesserit, a duobus rursus episcopis vocari. Atqui et tertio quoque, ut si ne sic quidem se sti terit, synodus adversus eum pronuntiet, etiamsi pars una tantum adsit, ea quæ sibi videbuntur: Ne comtemptor, inquit, seu contumax, ex impudenti dilatione lucretur. Hæc cum decernat canon, sæpe quæsitum est an per præsentem canonem

synodo permissum sit, inobedientem ac contumacem episcopum depositioni subjicere. Dixerunt autem aliqui, a misericordia nimis alienum esse, ut ob inobedientiam sive contumaciam deponatur episcopus : sed aliter debere illum puniri. Si enim ea esset, inquiunt, apostolorum sententia, ut deponeretur episcopus, depositionis in hoc canone meminissent. Alii autem dixerunt, quod ex proxime edita a Deo coronati et sancti imperatoris nostri veneranda Novella, quicunque is sit adversus quem actio intenditur, si in judicium vocetur, et post tres denuntiationes per tres scriptas citationes accersitus, et non veniens, condemnatur vel una tantum parte præsente. Si ergo etiam episcopus cum datione libelli ac scriptis legitimis accusatus fuerit, et in jus vocatus, primum quidem per denuntiationes, deinde etiam per tria scriptis mandata edicta, et se judicio non obtulerit, damnabitur vel una tantum parte præsente. Hic ergo vocari, legitime intelligitur, scilicet per 30 dierum edicta, et non ut nonnulli dixerunt per pavcorum dierum scriptis mandatas denuntiationes. Hoc autem alio modo dictum est in tribunali imperiali, et magis in causa episcopi Besænæ, et judicatum est, per tria legitima edicta debere vocari episcopum, adversus quem actio intenditur, et ita propter contumaciam condemnari. Condemnari quidem episcopum contumacem juxta illustris imperatoris domini Manuelis Comneni Novellam, extra omnem est controversiam. Sic enim ut dictum est, judicatum fuit apud regium et divinum tribunal. A duobus autem antistitibus et non aliter vocationem ejus fieri, ut nonnulli dixerunt, non est secundum legem nec e sententia præsentis canonis. Cum hic enim scriptus fuit nec judicibus et notariis patriarchalibus per se fidem haberi in usu fuit, et ideo determinatum fuit, antistitum vocationes a duobus fieri episcopis. Hodie autem cum judicibus et notariis patriarchalibus per se habeatur fides, necessario et quæ ab eis fiunt edicta, reprobari non possunt. Recte itaque condemnabitur qui per ea evocatus fuerit et in judicio non stiterit, quandoquidem edicta non sunt ex eo labefactata quia ab antistitibus non fiunt.

ZONAR. Et in sexagesimo primo canone dictum fuit a nobis, quod episcopum non quivis accusare potest, sed inculpati, et orthodoxi homines : quod et significat 49 hic canon, dum dicit, *ab hominibus fide dignis*. A talibus igitur si accusetur episcopus, in absentem non oportet sententiam ferre, sed eum citare : cumque venerit, ea, quæ dicuntur in ipsum, audire. Postquam audierit autem vel objecta sibi crimina fatebitur, vel inficians convince-

ἐνεδόθη διὰ τοῦ τοιούτου κανόνος τῇ συνόδῳ καὶ καθαιρέσει καθυποβάλλειν τὸν ἀπειθῆ ἐπίσκοπον. Καὶ εἶπόν τινες ὡς ἀσυμπαθές ἐστιν ἐξ ἀπειθείας καθαιρεῖσθαι ἐπίσκοπον· ἄλλως δέ πως ὀφείλειν ἐπιτιμᾶσθαι αὐτόν. Εἰ γὰρ ἦν θελητὸν, φασὶ, καὶ τοῖς ἀποστόλοις καθαιρεῖσθαι τὸν ἐπίσκοπον, ἐμνήσθησαν ἂν ἐν τῷ κανόνι καὶ καθαιρέσεως. Ἄλλοι δὲ εἶπον ὡς καὶ ἀπὸ τῆς συνεχῶς ἐξενεχθείσης προσκυνητῆς νεαρᾶς τοῦ θεοστεφοῦς κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, ἅπας ἐναγόμενος μετακαλούμενος εἰς τὸ δικαστήριον, καὶ μετὰ μέτρια μηνύματα διὰ τριῶν ἐπιφωνημάτων ἐγγράφων ἐλθεῖν παρεγγυώμενος, καὶ μὴ ἐρχόμενος, καταδικάζεται καὶ μονομερῶς. Εἰ γοῦν καὶ ἐπίσκοπος μετὰ δόσεως λιβέλλων καὶ νομίμων ἐγγράφων κατηγορηθῇ, καὶ μετακληθῇ, πρῶτον μὲν διὰ μηνυμάτων, εἶτα καὶ διὰ τριῶν ἐγγράφων ἐπιφωνημάτων, καὶ οὐκ ἀπαντήσει εἰς τὸ δικαστήριον, κἂν μονομερῶς καταδικασθήσεται. Τὸ γὰρ καλεῖσθαι ἐνταῦθα μετὰ νόμους νοεῖται, ἤγουν δι' ἐπιφωνημάτων τριακονθημέρων, καὶ μὴ, ὥς τινες εἶπον, διὰ μηνυμάτων ἐγγράφων ὀλιγοημέρων. Τοῦτο δὲ ἐλαλήθη διαφόρως ἐπὶ βήματος βασιλικοῦ, καὶ μᾶλλον ἐν τῇ ὑποθέσει τοῦ ἐπισκόπου Βεσαίνης· καὶ ἐκρίθη διὰ τριῶν νομίμων ἐπιφωνημάτων, ὀφείλειν μεταλεῖσθαι τὸν ἐναγόμενον ἐπίσκοπον, καὶ οὕτως ἐξ ἀπειθείας καταδικάζεσθαι. Τὸ μὲν καταδικάζεσθαι (13) τὸν ἀπειθῆ ἐπίσκοπον κατὰ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἀμαχόν ἐστι. Κέκριται γὰρ οὕτω, καθὼς εἴρηται, παρὰ τῷ βασιλικῷ καὶ θείῳ βήματι. Τὸ δὲ μετὰ δύο ἀρχιερέων καὶ μὴ ἄλλως πως τὴν τούτου μετάκλησιν γίνεσθαι, ὥς τινες εἶπον, οὐκ ἔστι νόμιμον οὐδὲ τῆς ἐννοίας τοῦ παρόντος κανόνος. Ὅτε γὰρ οὗτος ἐγράφη οὔτε δικαστῶν οὔτε πατριαρχικῶν νοταρίων ἐνήργει αὐτοπιστία, καὶ διὰ τοῦτο προβαίνειν ὡρίσθη τὰς τῶν ἀρχιερέων μετακλήσεις ἐπὶ ἐπισκόπων δύο. Σήμερον δὲ τῆς τῶν δικαστῶν καὶ τῶν πατριαρχικῶν νοταρίων αὐτοπιστίας ἐνεργούσης, ἐξ ἀνάγκης καὶ τὰ δι' αὐτῶν γινόμενα ἐπιφωνήματα ἔξουσι τὸ ἀπαρεγχείρητον. Καλῶς οὖν καταδικασθήσεται ὁ δι' αὐτῶν ἐπιφωνηθεὶς καὶ μὴ ἀπαντήσας εἰς τὸ δικαστήριον, ὡς τῶν ἐπιφωνημάτων μὴ κατασειομένων ἐκ τοῦ μὴ γενέσθαι παρὰ ἀρχιερέων.

ΖΩΝΑΡ. Καὶ ἐν τῷ ξα' κανόνι εἴρηται ἡμῖν ὡς οὐ πᾶς τις κατηγορεῖν ἐπισκόπου δύναται, ἀλλ' ἀνεπίληπτοι ἄνθρωποι καὶ ὀρθόδοξοι· τοῦτο οὖν καὶ ὁ κανὼν οὗτος δηλοῖ διὰ τοῦ λέγειν, *παρὰ ἀξιοπίστων ἀνθρώπων*. Κἂν οὖν παρὰ τοιούτων κατηγορεῖται ἐπίσκοπος, οὐ χρὴ αὐτοῦ ἀπόντος καταψηφίζεσθαι· ἀλλὰ μεταλεῖσθαι αὐτὸν, καὶ ἐρχόμενον, τῶν κατ' αὐτοῦ λεγομένων ἀκούειν. Ἀκούσας δὲ, ἢ ὁμολογήσει τὰ ἐπαγόμενα αὐτῷ αἰτιάματα, ἢ ἀρ-

Guill. Beveregii notæ

(13) *Τὸ μὲν καταδικάζεσθαι*. Hæc usque ad absoluta in hunc canonem Balsamonis scholia in impressis codicibus Græcis desiderantur. Sed Gentianus Herveius legit, et Latine vertit. Nos Græcum textum ex ms. Bodleiano nunc primum in lucem proferimus.

νούμενος εἰσεγχθήσεται, καὶ οὕτως ἡ ψῆφος ἐξενεχθήσεται· εἰ δὲ κληθεὶς ἅπαξ οὐ παραγένηται, καὶ δευτέραν ὁ κανὼν πρὸς αὐτὸν ὁρίζει γίνεσθαι διαλαλιὰν διὰ δύο ἐπισκόπων· καὶ ταύτης δὲ καταφρονοῦντα, καὶ τρίτον καλεῖσθαι πρὸς τὴν ἐξέτασιν ὁμοίως παρὰ ἐπισκόπων δύο. Καὶ εἰ μηδὲ οὕτως παραγένοιτο, ἀπόφασιν γίνεσθαι κατ' αὐτοῦ παρὰ τῆς συνόδου, καὶ ἐκ μοίρας μιᾶς· ἵνα μὴ ἐξ ἀναιδείας φυγοδικῶν ὠφελοῖτο, ὑπερτιθεμένης τὴν ζητήσεώς τε καὶ ἀποφάσεως.

A tur, atque sic sententia proferetur: Quod si semel vocatus non adfuerit, etiam canon definit a duobus episcopis secundam fieri conventionem: quam si contemnat, a duobus similiter episcopis tertio vocari præcipit ad examen. Et si nec sic quidem adfuerit a synodo ferri sententiam jubet in ipsum, ex una etiam parte, ne per impudentiam fugiens judicium consequatur commodum, protelata inquisitione atque sententia.

ΑΡΙΣΤ. *Ὁ κατηγορούμενος ἐπίσκοπος, καὶ καλούμενος, καὶ οὐκ ἀκούων, καὶ δὶς καλείσθω, καὶ τρίς· εἰ δ' ἐπιμένοι, τὸ δόξαν ἡ σύνοδος ἀποφαινέτω.*

ARIST. *Episcopus accusatus, et vocatus, si non parens, vocetur et ter. Si perseveret autem, quod sibi visum fuerit synodus pronuntiet.*

Τὸν κατηγορούμενον ἐπί τινι πταίσματι παρὰ ἀξιοπίστων ἀνδρῶν ἐπίσκοπον, καὶ καλούμενον εἰς τὸ δικαστήριον, καὶ μὴ ὑπακούοντα, οὐκ ἀπευκτέον ἐφείλει καταδικάζειν ἡ σύνοδος· ἀλλὰ καὶ δὶς καὶ τρὶς μεταπαλεῖσθαι, στελλομένων εἰς αὐτὸν ἐφ' ἑκάστῃ προσκλήσει δύο ἐπισκόπων. Εἰ δὲ ἐπιμένει καταφρονῶν, καὶ μὴ ἀπαντῶν εἰς τὸ δικαστήριον, δοκιμάσει τὰ τῆς αἰτιάσεως καὶ κατὰ μίαν μοῖραν ἡ σύνοδος, καὶ τὰ δοκοῦντα αὐτῇ κατ' αὐτὸν ψηφίσεται.

B Episcopum de aliquo crimine accusatum a viris fide dignis, et ad tribunal vocatum, et non parentem non ideo debet synodus condemnare; sed debet bis terque vocari, missis ad eum singula vocatione, duobus episcopis. Si perseverat autem contemnens, et non se sistens tribunali, examinabit ea quorum accusatur, et jam ex una tantum parte synodus, et quæ sibi visa sunt in eum decernet.

ΚΑΝΩΝ ΟΕ'.

Εἰς μαρτυρίαν τὴν κατὰ ἐπισκόπου αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μηδὲ πιστὸν ἕνα μόνον (14). *Ἐπὶ στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.*

CANON LXXV.

In testimonium adversus episcopum hæreticus ne admittatur, sed nec unus solus fidelis. In ore enim duorum vel trium stabit omne verbum.

ΒΑΛΣ. Καὶ, ὡς ἄνωθεν εἶπον, εἰ θέλεις μαθεῖν πόσοι καὶ τίνες κατιμαρτυροῦσιν ἐπισκόπων ἢ κληρικῶν, ἀνάγνωθι τίτλον θ' τοῦ παρόντος συντάγματος κεφ. β'. Ἐκ τοῦ παρόντος δὲ κανόνος μανθάνεις μήτε αἱρετικὸν μήτε ἕνα πιστὸν παραδέχεσθαι καταμαρτυροῦντα ἐπισκόπου. *Ἐπὶ γὰρ δύο ἢ τριῶν μαρτύρων*, φησὶ, *πᾶν ῥῆμα σταθήσεται*. Πλὴν τοῦτο μὴ ἀδιαστίκτως νοήσεις. Ἀλλ' εἰπὲ κατὰ νομικὴν ἀκρίβειαν ὡς, εἰ μὲν χρηματική ἐστιν αἰτίασις καὶ μέχρι λίτρας μιᾶς, δύο μάρτυρες πιστοὶ ἔντιμοι κατὰ τοῦ ἐπισκόπου ἀνωμότως μαρτυροῦντες ἀρκέσουσιν· εἰ δὲ μέχρι πεντήκοντα λιτρῶν, τρεῖς· εἰ δὲ τούτων ἐπέκεινα, πέντε. Εἰ δ' οὐκ ἔστι χρηματικὴ αἰτίασις, ἀλλ' ἐγκληματική, διὰ πέντε μαρτύρων πιστῶν καὶ ἐντίμων ὀμνυόντων ἡ κατὰ τοῦ ἐπισκόπου αἰτίασις ἀποδείκνυται· καὶ ἀνάγνωθι περὶ τούτων τὸν α' τίτλον τοῦ κα' βιβλίου τῶν Βασιλικῶν, πολλὰ τοιαῦτα διδάσκοντα.

BALS. Jam ut ante dixi, si scire velis quot et quinam adversus episcopos vel clericos testimonium dicant, lege titulum 9 præsentis operis cap. 2. Ex hoc autem canone discis neque hæreticum, neque unum fidelem ad testimonium dicendum adversus episcopum admitti. *In duobus enim aut tribus testibus*, inquit, *stabit omne verbum* [20]. Hoc autem sine distinctione ne intelligas. Sed dicas secundum juris rigorem quod si est causa pecuniaria, et usque ad libram unam, duo testes, fide digni, bonæ existimationis adversus episcopum jurati testificantes sufficiant. Sin autem usque ad quinquaginta libras, tres, si autem ultra hæc, quinque. Si autem non est pecuniaria causa, sed criminalis, per quinque fide dignos testes et jurantes, qui sunt et ipsi bonæ famæ, adversus episcopum accusatio probatur. Et de hoc lege 4, tit. lib. XXI Basil. constit. qui hæc hujusmodi multa docet.

ΖΩΝΑΡ. Οὐ μόνον εἰς κατηγορίαν αἱρετικὸς οὐκ ἔστι δεκτός, ἀλλ' οὐδὲ εἰς μαρτυρίαν. Εἷς δὲ κατα-

ZONAR. Hæreticus, non solum ad accusationem, sed nec ad testimonium venit admittendus. Nec

[20] Matth. XVIII 16.

Guill. Beveregii notæ.

(14) *Ἀλλὰ μηδὲ πιστὸν ἕνα μόνον. Accusatio episcoporum non est facile recipienda, dicente Domino, Non suscipies vocem mendacii; et Apostolus inquit, adversus presbyterum inscriptionem non recipiendam absque duobus vel tribus idoneis testibus. Si hæc de presbyteris vel cæteris fidelibus sunt præcauenda, quanto magis de episcopis?* Sixtus pap. 2. apud Gratian. decret. part. II. caus. 2, quæst. 7, c. 19: Ἑνὸς δὲ μαρτυρία οὐκ ἐστὶ δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη. Basil. lib. XXI, tit. 1, c. 32. Εἷς μόνος μάρτυς οὐ πιστεύεται κἂν ἀξιωματικὸς εἴη. Gloss. ibid.

unus in alium dicens testimonium, quamvis etiam sit fidelis, admittitur. Magnus enim Paulus ad Timotheum scribens sic dicit : Adversus presbyterum ne recipias accusationem, nisi sub duobus, aut tribus testibus [21]. Arbitror vero nunc in accusationibus, per quas consecratis ministris casus proprii gradus infertur, non sufficere duos testes, et si fideles, et irreprehensibiles sint.

ARIST. *Hæreticus non accusat episcopum, nec unus fidelis.*

Qui synopsin præsentis canonis fecit, non bene eum intellexit. Illud enim quod hæreticus non potest accusare episcopum, nec in eum testimonium dicere verum est; hoc autem quod unus fidelis non potest in episcopum accusationem ferre, falsum : testimonium enim unius contra quempiam non admittitur : accusatio autem fit et per unum et per plures.

50 CANON LXXVI.

Quod non oportet episcopum fratri, vel filio, vel alii cognato gratificantem, ad episcopatus dignitatem quem vult eligere. Episcopatus enim hæredes facere justum non est, ea quæ Dei sunt, humano affectu largientem; non enim licet Ecclesiam Dei in hæredes conferre. Si quis autem hoc fecerit, irrita quidem electio maneat, ipse autem segregatione multetur.

ΖΩΝΑΡ. Τοὺς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνησαμένους, εἶτα μετανοήσαντας εἰς ἱερωσύνην προάγεσθαι οὐ χρή. Πῶς γὰρ ἱερεὺς ἔσεται, ὃς τῶν ἁγιασμάτων διὰ βίου οὐκ ἀξιοῦται, εἰ μὴ ἐν τῷ θανάτῳ αὐτοῦ; εἰ δ' ἴσως ἀγνοοῦντος τοῦ χειροτονοῦντος ἢ καὶ εἰδότος ἱερωσύνης ἀξιωθείη, καθαιρεθῆναι αὐτὸν, εἰ μετὰ ταῦτα γνωσθείη, ὁ παρὼν κανὼν διατάττεται. Τὸ γὰρ ἀθέσμως γενόμενον τῷ κανόνι οὐ προκρίνει, ἀντὶ τοῦ, οὐκ ἐμποδίζει, οὐ βλάπτει

ZONAR. Qui Christum Dominum semel abnegaverunt, licet resipiscentes, ad sacros ordines evehi non oportet. Quo pacto namque sacerdotis officia obeat, cui præterquam extremum spiritum agenti, ad sacrorum munerum perceptionem aspirare nullatenus licet? Quod si quis forte, eo qui creavit insscio, aut etiam sciente, sacerdotio dignus habeatur, hominem, re patefacta, hic canon deponi jubet. Neque enim quod contra legum interdicta effectum est, canoni præjudicium affert, hoc est, illius auctoritatem non retundit, nec lædit.

ΑΡΙΣΤ. *Οἱ παραπεπτωκότες* (57) *ἢ ἀγνοίᾳ ἢ γνώσει τῶν χειροτονησάντων, καὶ προαχθέντες, καθαιρεῖσθωσαν.*

ARIST. *Qui lapsi sunt, sive insciis, sive consciis iis aut eos ordinarunt, et promoti, deponantur.*

Κἂν ἠγνόησαν οἱ χειροτονήσαντες τῶν χειροτονηθέντων τὰ πταίσματα, ἢ καὶ ἐν εἰδήσει τούτων ὄντες, παρεβλέψαντο ταῦτα, τῷ ἐκκλησιαστικῷ κανόνι τοῦτο οὐ φέρει κατάκριμα· ἀλλὰ καὶ μετὰ τοῦτο γνωσθέντες οἱ χειροτονηθέντες, ὡς ἁμαρτήσαντες, καθαιρεθήσονται.

Quamvis qui eos ordinant eorum qui ordinantur delicta ignorant, vel etiam cognitis connivent, hoc nullum ecclesiastico canoni affert præjudicium, sed et postea qui ordinati sunt, peccasse deponentur.

ΚΑΝΩΝ ΙΑ'.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἢ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικιννίου· ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. Ὅσοι οὖν γνησίως μεταμελῶνται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν ὡς πιστοί, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν.

CANON XI.

De iis qui sine necessitate, vel sine facultatum suarum ablatione, vel sine ullo periculo, vel aliquo ejusmodi transgressi sunt, quod sub Licinii tyrannide factum est, synodo visum est, etsi humanitate indigni sunt; clementia tamen in eos uti. Quicunque ergo germane pœnitentia ducuntur, tres annos inter auditores exigent, ut fideles, et septem annis prosternentur: duobus autem annis, absque oblatione, erunt orationum cum populo participes.

Guill. Beveregii notæ.

(56) *Οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ.* Ex his verbis satis aperte constat aliquem canonem ecclesiasticum ante hanc synodum constitutum esse, quo cautum fuerat, ut clerici lapsi gradibus suis deponerentur. Hoc autem nullo alio præsentem antecedente, præterquam sexagesimo secundo apostolorum canone sancitum legimus: ad quem propterea Patres hoc loco respectum habuisse, cupiam, nisi nimio partium studio occæcatus, primo intuitu patet; usque adeo, ut antiquus iste canon ecclesiasticus hic denuo confirmatus et ulterius explicatus videatur (quemadmodum in præfatione ad apostolicos canones prænotavimus) quem consulas velim, una cum annotationibus ad dictum apost. can. 62.

(57) *Οἱ παραπεπτωκότες.* Hæc Alexii Aristeni hujus canonis Epitome in Justelli Codice desideratur. Verum in Symeonis logothetæ Synopsi iisdem verbis concipitur, quæ hic imprimuntur, nisi quod καὶ ante προαχθέντες in ea omittatur.

BALS. 62 canon apostolicus tractat de clericis qui per vim transgressi sunt: præsens autem canon, de iis qui sine vi Christum negaverunt: et dicit eos oportere recipi, si germane, id est vere, pœnitentiam agant: et tribus quidem annis stare extra templum; et Dei **72** hymnos audire: septem autem annis substerni sive intra ecclesiam stare, sed post ambonem, et cum catechumenis exire. Completo autem septennio, cum fidelibus quidem una comprecabuntur integre: post biennium vero digni habebuntur sacramentis.

ΒΑΛΣ. Ὁ ξβ' ἀποστολικὸς κανὼν διαλαμβάνει περὶ τῶν κατὰ βίαν παραβάντων κληρικῶν· ὁ δὲ παρὼν περὶ τῶν χωρὶς βίας ἀρνησαμένων τὸν Χριστόν· καί φησι δέχεσθαι τούτους, γνησίως ἤτοι ἀληθῶς μετανοοῦντας· καὶ τρία μὲν ἔτη ἔξω ἱστασθαι τοῦ ναοῦ, καὶ ἀκροᾶσθαι τῶν ὑμνῳδιῶν τοῦ Θεοῦ, ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἱστασθαι ἐντὸς τῆς ἐκκλησίας, ὀπισθεν μέντοι τοῦ ἀμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Πληρωθείσης δὲ τῆς ἑπταετίας συνεύξονται μὲν μετὰ τῶν πιστῶν καθολόκληρον, τῶν δὲ ἁγιασμάτων μετὰ διετίαν ἀξιωθήσονται.

ZONAR. De iis qui ob violentiam multam et necessitatem fidem negarunt, alii canones exstant. Hic autem eos tangit, qui sua voluntate a fidei proposito desciverunt. Ac hujusmodi quidem homines, licet, inquit, indignos venia, si tamen germana pœnitentia, hoc est, vera, non ficta et simulata duci constet, ardoremque animi non vulgarem præ se ferant, ex indulgentia videlicet quadam, fidelium numero aggregari placet. Et mandat ut triennium quidem inter audientes agant, cum quibus scilicet extra templum religati in porticu consistant, divinisque Scripturis audiendis vacent, septem annis in substratione sint, hoc est, in ecclesiam quidem ingrediantur, verum post ambonem stent, et cum catechumenis exeant; biennio demum cum fidelibus stationem habeant, cumque iis precationi vacent, non tamen ad sanctorum perceptionem, nisi elapso decennii tempore, admittantur.

ΖΩΝΑΡ. Ἕτεροι μὲν κανόνες περὶ τῶν ἐκ βίας πολλῆς καὶ ἀνάγκης ἀρνησαμένων τὴν πίστιν διαγορεύουσιν· ὁ δὲ παρὼν περὶ τῶν χωρὶς ἀνάγκης παραβάντων διαλαμβάνει, οὓς καὶ ἀναξίους εἶναι φιλανθρωπίας φησίν. Ἀλλ' ὅμως καὶ τοὺς τοιούτους διὰ χρηστότητα δέχεται, εἰ γνησίως μεταμέλονται, τουτέστιν ἀληθῶς, ἀλλ' οὐ νόθως καὶ ἐψευσμένως, μετὰ θερμότητος δὲ καὶ προθυμίας πολλῆς. Καὶ τρία μὲν ἔτη ἀκροᾶσθαι διακελεύεται, ἤγουν ἔξω τῆς ἐκκλησίας ἱστασθαι ἐν τῷ νάρθηκι καὶ τῶν θείων ἀκούειν Γραφῶν, ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι, ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἀμβωνος ἱστασθαι καὶ ἐξιέναι μετὰ τῶν πιστῶν, μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ.

ARIST. *Quotquot citra necessitatem transgressi sunt, etiamsi venia sint indigni, aliquali tamen venia dignati duodecim annos prosternantur.*

Quicunque fidem citra necessitatem abnegarunt, quanquam humanitate sint indigni, nihilominus aliqua indulgentia censentur digni, ut qui ex iis legitime pœnitentiam egerint, tres quidem annos inter audientes sive in foribus stent basilicis, et divinas Scripturas audiant. Sed post illud triennium intra ecclesiæ ambitum introducantur, et cum succumbentibus in postica ambonis parte septem annos permaneant, una cum catechumenorum exclamatione exeuntes. Et post septennium expletum, per alios duos annos una cum fidelibus consistant, participes eum eis precationum usque ad mystagogiam completam, divinæ autem communionis nec istis duobus annis participes fiant. Sed iis exactis et mysteriorum participatione digni habebuntur.

ΑΡΙΣΤ. *Ὅσοι χωρὶς ἀνάγκης παρέβησαν, εἰ καὶ συγγνώμης ἦσαν ἀνάξιοι, συγγνώμης τινὸς ἀξιούμενοι, δώδεκα ἔτη ὑποπιπτέτωσαν* (58).

Ὅσοι τὴν πίστιν ἀπηρνήσαντο χωρὶς ἀνάγκης κἂν ἀνάξιοι φιλανθρωπίας ἦσαν, ὅμως συγγνώμης τινὸς ἀξιοῦνται· ὥστε τοὺς γνησίως ἐξ αὐτῶν μεταμελουμένους τρία μὲν ἔτη ἐν τοῖς ἀκροωμένοις, ἤτοι ἐν τοῖς βασιλικοῖς ἑστάναι πυλῶσι, καὶ τῶν θείων δὲ ἀκροᾶσθαι Γραφῶν. Μετὰ καὶ τὸν τριετῆ χρόνον ἔνδον τοῦ περιβόλου τῆς ἐκκλησίας εἰσαχθῆναι, καὶ μετὰ τῶν ὑποπιπτόντων ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἀμβωνος ἑπτὰ ἔτη διατελέσαι, τῇ τῶν κατηχουμένων ἐκφωνήσει συνεξερχομένους· καὶ μετὰ παρέλευσιν τοῦ ἑπταετοῦς χρόνου ἐπὶ δυσὶν ἄλλοις ἔτεσι μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξασθαι, κοινωνοῦντας αὐτοῖς τῶν προσευχῶν μέχρι συμπληρώσεως τῆς μυσταγωγίας τῆς θείας μέντοιγε μεταλήψεως οὐδὲ ἐπὶ τοῖς δυσὶ τούτοις μετασχῶσιν ἔτεσιν. Ἀλλὰ μετὰ τοῦτο καὶ τῆς μετοχῆς τῶν ἁγιασμάτων ἀξιωθήσονται.

CANON XII.

Qui autem a gratia quidem evocati, et primum suum ardorem ostenderunt, et cingula deposuerunt, postea autem ut canes ad suum vomitum reversi

ΚΑΝΩΝ ΙΒ'.

Οἱ δὲ προσκληθέντες μὲν ἀπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας (59), *μετὰ δὲ ταῦτα ἐπὶ τὸν*

Guill. Beveregii notæ.

(58) *Ὑποπιπτέτωσαν.* Vox ista hic late sumitur pro omni pœna pœnitentibus imposita, usquedum ad communionem recipiantur: a leo ut ὑποπιπτέτωσαν hic idem significat, quod ἀφοριζέσθωσαν. Quo quidem sensu auctor Epitomes canonum ea voce sæpius utitur. Unde ubi Patres Nicæni in proximo canone dicunt, δέκα ἔτη ὑποπιπτέτωσαν, in epitome ejusdem canonis vis istorum verborum exprimitur per ἀφοριζέσθωσαν.

(59) *Καὶ ἀποθέμενοι τὰς ζώνας.* Hic ἀποθέσθαι τὰς ζώνας, idem est, quod *militiæ renuntiare;* hæc autem loquendi formula exinde orta est, quod cum

οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κύνες, ὡς τινὰς καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ ἀναστρατεύσασθαι· οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. Ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. Ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις, τὴν ἐπιστροφὴν ἔργῳ καὶ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι· ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφήν, ἐξ ἅπαντος πληρούτωσαν τὸν χρόνον. A

ΒΑΛΣ. Βενεφίκιον λέγεται κατὰ Λατίνους πᾶν δώρημα, καὶ εὐεργέτημα. Ἐπεὶ οὖν τινες στρατιῶται ἐν καιρῷ διωγμοῦ, ζήλῳ θείῳ κινηθέντες, τὰς ζώνας τῶν στρατειῶν αὐτῶν ἀπέθεντο καὶ πρὸς μαρτύριον ὥρμησαν· ὕστερον δὲ, ὑπὸ δαιμονιώδους μεταμελείας συνωθηθέντες, ἀπέστησαν τοῦ μαρτυρίου, καὶ τοῖς ἀπίστοις διώκταις ἠκολούθησαν, καὶ χρήμασιν ἢ ἄλλοις δωρήμασι, τοῦτο γάρ ἐστι τὸ βενεφίκιον, ὡς εἴρηται, τὰς προτέρας αὐτῶν στρατείας ἔλαβον, καὶ εἰς τὸν οἰκεῖον ἔμετον ἀνέδραμον, φησὶν ὁ κανών, ὡς εἴγε καὶ οὗτοι μετὰ εἰλικρινοῦς κατανύξεως προσέλθωσι τῇ ἐκκλησίᾳ, δεχθήσονται, ὀφείλοντες τρία μὲν ἔτη ἔξωθεν τῆς ἐκκλησίας ἑστάσθαι, καὶ ἀκροᾶσθαι τῶν θείων Γραφῶν, δέκα δὲ ἔτη ὑποπίπτειν ἤτοι ἑστάσθαι ὄπισθεν τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων· μετὰ δὲ ταῦτα συνεύχεσθαι μετὰ πιστῶν· πάντως δὲ τῶν ἁγιασμάτων οὐχ ἀξιωθῶσιν, εἰ μὴ διετία παρέλθῃ, καθὼς καὶ ἄνωθεν εἴπομεν, ὅτι καὶ οὗτοι ἐκ τῶν ἑκουσίως παραπιπτόντων εἰσίν. Ἐνέδωκε δὲ ὁ κανὼν τῷ ἐπισκόπῳ μειοῦν τὰ ἐπιτίμια κατὰ τὴν τοῦ ἐπιτιμηθέντος ἐπιστροφήν. B C

ΖΩΝΑΡ. Περὶ στρατευομένων ὁ κανὼν διαλέγεται, καὶ ἀποῤῥιψάντων μὲν τὰς ζώνας, ἤγουν τὰ τῆς στρατείας παράσημα, ὁρμημα δὲ πρὸς μαρτυ-

sunt, ut nonnulli etiam pecuniam profunderent et beneficiis militiam assequerentur, hi decem annis prosternuntur supplices, etiam post triennii auditionis tempus. In his autem omnibus examinare convenit consilium et speciem pœnitentiæ. Quicunque enim, et metu, et lacrymis, et tolerantia, et bonis operibus, conversionem opere et non tantum habitu ostendunt, hi impleto auditionis tempore quod præfinitum est, merito orationum communionem habebunt, cum eo quod etiam liceat episcopo humanius aliquid de eis statuere. Quicunque autem non adeo graviter tulerunt, satisque sibi esse putarunt in ecclesias ingredi ad conversionem, tempus omnino impleant.

BALS. Beneficium apud Latinos omne donum et benefactum dicitur. Quoniam ergo nonnulli milites, tempore persecutionis divino zelo moti, ipsarum militiarum cingula deposuerant, et ad martyrium impetu quodam procurrerant: postea autem dæmoniaca pœnitentia adacti, a martyrio defecerant, et infideles persecutores secuti erant et pecuniis vel aliis donis priores suas militias receperant, hoc enim est beneficium, ut dictum est, et ad proprium vomitum redierant, dicit canon, quod si ii cum sincera compunctione ad Ecclesiam accesserint, recipientur, debentes tribus quidem annis **73** extra ecclesiam stare, et divinas Scripturas audire, decem autem annis ὑποπίπτειν, id est post ambonem stare, et cum catechumenis exire; post hæc autem una cum fidelibus orare: sacramentis autem omnino digni non habeantur, nisi biennium præterierit, sicut et superius diximus. Quoniam et ii sunt ex iis qui sua sponte labuntur. Concedit autem canon episcopo ut pœnam minuat, pro ejus cui pœna imposita est, conversione.

ZONAR. De militibus hoc canone igitur, qui zonas, insignia militiæ videlicet, obeundi martyrii cupiditate demonstrata semel abjecissent, quos

Guill. Beveregii notæ.

quis in militiam conscriptus, milesque factus fuit, cingulum, sive zona, qua cingebatur, ei data est: unde Julianus nullos in exercitum suum Christianos admittere statuens, *Militiæ cingulum non dari, nisi immolantibus jubet*, ut tradidit Rufinus, *Hist. Eccles.* l. 1, c. 32, quo etiam usu venit, ut σώζεσθαι idem sit atque ἐνδῦναι τὰ ὅπλα, *arma induere*, ut scribit Cælius Rhodeginus, l. xxii, c. 19, ut et ζώννυσθαι idem quod ὁπλίζεσθαι, ut scribit Eustathius in Homerum, ubi eo sensu sæpe usurpatur, ut *Iliad.* A, initio. D

Ἀτρείδης δ' ἐβόησεν. Ἰδὲ ζώννυσθαι ἄνωγεν
Ἀργείους, ἐν δ' αὐτὸς ἐδύσσατο νώροπα χαλκόν.

Atrides autem clamavit, atque armari jussit
Græcos, et ipse induit splendidum ferrum.

Et Odyss. Ω.

Ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος,
Ζώννυνταί τε νέοι, καὶ ἐπεντύνονται ἄεθλα.

Quando autem mortuo rege
Armantur que juvenes, et parant certamina.

Sic etiam tam Hesychius, quam Suidas ζώννυσθαι exponit per καθοπλίζεσθαι. Et in politicis etiam legibus *cingi*, idem sonat, quod in militum numerus referri et armari, ubi dicitur, *Filius familias equestri militia exornatus, et in comitatu principum retentus, cingi confestim jussus, testamentum de castrensi peculio facere potest*, l. xliii, ff. De testamento militis. Ut igitur zona cingitur, qui in militum delectum recipitur, et operam militarem navare aggreditur, sic etiam qui a militia recedit, ἀποθέσθαι τὴν ζώνην, *zonam deponere*, merito dicatur. Unde vetus interpres ζώνας hoc loco *baltea* recte vertit, et Dionysius Exiguus *militiæ cingulum*.

BALS. 62 canon apostolicus tractat de clericis qui per vim transgressi sunt: præsens autem canon, de iis qui sine vi Christum negaverunt: et dicit eos oportere recipi, si germane, id est vere, pœnitentiam agant: et tribus quidem annis stare extra templum; et Dei **72** hymnos audire: septem autem annis substerni sive intra ecclesiam stare, sed post ambonem, et cum catechumenis exire. Completo autem septennio, cum fidelibus quidem una comprecabuntur integre: post biennium vero digni habebuntur sacramentis.

ΒΑΛΣ. Ὁ ξβ' ἀποστολικὸς κανὼν διαλαμβάνει περὶ τῶν κατὰ βίαν παραβάντων κληρικῶν· ὁ δὲ παρὼν περὶ τῶν χωρὶς βίας ἀρνησαμένων τὸν Χριστόν· καὶ φησι δέχεσθαι τούτους, γνησίως ἤτοι ἀληθῶς μετανοοῦντας· καὶ τρία μὲν ἔτη ἔξω ἱστασθαι τοῦ ναοῦ, καὶ ἀκροᾶσθαι τῶν ὑμνῳδιῶν τοῦ Θεοῦ· ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἱστασθαι ἐντὸς τῆς ἐκκλησίας, ὀπισθεν μέντοι τοῦ ἀμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Πληρωθείσης δὲ τῆς ἑπταετίας συνεύχονται μὲν μετὰ τῶν πιστῶν καθολόκληρον, τῶν δὲ ἁγιασμάτων μετὰ διετίαν ἀξιωθήσονται.

ZONAR. De iis qui ob violentiam multam et necessitatem fidem negarunt, alii canones exstant. Hic autem eos tangit, qui sua voluntate a fidei proposito descivernnt. Ac hujusmodi quidem homines, licet, inquit, indignos venia, si tamen germana pœnitentia, hoc est, vera, non ficta et simulata duci constet, ardoremque animi non vulgarem præ se ferant, ex indulgentia videlicet quadam, fidelium numero aggregari placet. Et mandat ut triennium quidem inter audientes agant, cum quibus scilicet extra templum religati in porticu consistant, divinisque Scripturis audiendis vacent, septem annis in substratione sint, hoc est, in ecclesiam quidem ingrediantur, verum post ambonem stent, et cum catechumenis exeant; biennio demum cum fidelibus stationem habeant, cumque iis precationi vacent, non tamen ad sanctorum perceptionem, nisi elapso decennii tempore, admittantur.

ΖΩΝΑΡ. Ἕτεροι μὲν κανόνες περὶ τῶν ἐκ βίας πολλῆς καὶ ἀνάγκης ἀρνησαμένων τὴν πίστιν διαγορεύουσιν· ὁ δὲ παρὼν περὶ τῶν χωρὶς ἀνάγκης παραβάντων διαλαμβάνει, οὓς καὶ ἀναξίους εἶναι φιλανθρωπίας φησίν. Ἀλλ' ὅμως καὶ τοὺς τοιούτους διὰ χρηστότητα δέχεται, εἰ γνησίως μεταμέλονται, τουτέστιν ἀληθῶς, ἀλλ' οὐ νόθως καὶ ἐψευσμένως, μετὰ θερμότητος δὲ καὶ προθυμίας πολλῆς. Καὶ τρία μὲν ἔτη ἀκροᾶσθαι διακελεύεται, ἤγουν ἔξω τῆς ἐκκλησίας ἱστασθαι ἐν τῷ νάρθηκι καὶ τῶν θείων ἀκούειν Γραφῶν, ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι, ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἀμβωνος ἱστασθαι καὶ ἐξιέναι μετὰ τῶν πιστῶν, μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ.

ARIST. *Quotquot citra necessitatem transgressi sunt, etiamsi venia sint indigni, aliquali tamen venia dignati duodecim annos prosternantur.*

Quicunque fidem citra necessitatem abnegarunt, quanquam humanitate sint indigni, nihilominus aliqua indulgentia censentur digni, ut qui ex iis legitime pœnitentiam egerint, tres quidem annos inter audientes sive in foribus stent basilicis, et divinas Scripturas audiant. Sed post illud triennium intra ecclesiæ ambitum introducantur, et cum succumbentibus in postica ambonis parte septem annos permaneant, una cum catechumenorum exclamatione exeuntes. Et post septennium expletum, per alios duos annos una cum fidelibus consistant, participes eum eis precationum usque ad mystagogiam completam, divinæ autem communionis nec istis duobus annis participes fiant. Sed iis exactis et mysteriorum participatione digni habebuntur.

ΑΡΙΣΤ. *Ὅσοι χωρὶς ἀνάγκης παρέβησαν, εἰ καὶ συγγνώμης ἦσαν ἀνάξιοι, συγγνώμης τινὸς ἀξιούμενοι, δώδεκα ἔτη ὑποπιπτέτωσαν* (58).

Ὅσοι τὴν πίστιν ἀπηρνήσαντο χωρὶς ἀνάγκης κἂν ἀνάξιοι φιλανθρωπίας ἦσαν, ὅμως συγγνώμης τινὸς ἀξιοῦνται· ὥστε τοὺς γνησίως ἐξ αὐτῶν μεταμελουμένους τρία μὲν ἔτη ἐν τοῖς ἀκροωμένοις, ἤτοι ἐν τοῖς βασιλικοῖς ἑστάναι πυλῶσι, καὶ τῶν θείων δὲ ἀκροᾶσθαι Γραφῶν. Μετὰ καὶ τὸν τριετῆ χρόνον ἔνδον τοῦ περιβόλου τῆς ἐκκλησίας εἰσαχθῆναι, καὶ μετὰ τῶν ὑποπιπτόντων ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἀμβωνος ἑπτὰ ἔτη διατελέσαι, τῇ τῶν κατηχουμένων ἐκφωνήσει συνεξερχομένους· καὶ μετὰ παρέλευσιν τοῦ ἑπταετοῦς χρόνου ἐπὶ δυσὶν ἄλλοις ἔτεσι μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξασθαι, κοινωνοῦντας αὐτοῖς τῶν προσευχῶν μέχρι συμπληρώσεως τῆς μυσταγωγίας τῆς θείας μέντοιγε μεταλήψεως οὐδὲ ἐπὶ τοῖς δυσὶ τούτοις μετασχῶσιν ἔτεσιν. Ἀλλὰ μετὰ τοῦτο καὶ τῆς μετοχῆς τῶν ἁγιασμάτων ἀξιωθήσονται.

CANON XII.

Qui autem a gratia quidem evocati, et primum suum ardorem ostenderunt, et cingula deposuerunt, postea autem ut canes ad suum vomitum reversi

ΚΑΝΩΝ ΙΒ'.

Οἱ δὲ προσκληθέντες μὲν ἀπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας (59), *μετὰ δὲ ταῦτα ἐπὶ τὸν*

Guill. Beveregii notæ.

(58) *Ὑποπιπτέτωσαν.* Vox ista hic late sumitur pro omni pœna pœnitentibus imposita, usquedum ad communionem recipiantur: a leo ut ὑποπιπτέτωσαν hic idem significat, quod ἀφοριζέσθωσαν. Quo quidem sensu auctor Epitomes canonum ea voce sæpius utitur. Unde ubi Patres Nicæni in proximo canone dicunt, δέκα ἔτη ὑποπιπτέτωσαν, in epitome ejusdem canonis vis istorum verborum exprimitur per ἀφοριζέσθωσαν.

(59) *Καὶ ἀποθέμενοι τὰς ζώνας.* Hic ἀποθέσθαι τὰς ζώνας, idem est, quod *militiæ renuntiare;* hæc autem loquendi formula exinde orta est, quod cum

οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κύνες, ὡς τινὰς καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ ἀναστρατεύσασθαι· οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. Ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. Ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις, τὴν ἐπιστροφὴν ἔργῳ καὶ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι· ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφήν, ἐξ ἅπαντος πληρούτωσαν τὸν χρόνον.

A

B

sunt, ut nonnulli etiam pecuniam profunderent et beneficiis militiam assequerentur, hi decem annis prosternantur supplices, etiam post triennii auditionis tempus. In his autem omnibus examinare convenit consilium et speciem pœnitentiæ. Quicunque enim, et metu, et lacrymis, et tolerantia, et bonis operibus, conversionem opere et non tantum habitu ostendunt, hi impleto auditionis tempore quod præfinitum est, merito orationum communionem habebunt, cum eo quod etiam liceat episcopo humanius aliquid de eis statuere. Quicunque autem non adeo graviter tulerunt, satisque sibi esse putarunt in ecclesias ingredi ad conversionem, tempus omnino impleant.

ΒΑΛΣ. Βενεφίκιον λέγεται κατὰ Λατίνους πᾶν δώρημα, καὶ εὐεργέτημα. Ἐπεὶ οὖν τινες στρατιῶται ἐν καιρῷ διωγμοῦ, ζήλῳ θείῳ κινηθέντες, τὰς ζώνας τῶν στρατειῶν αὐτῶν ἀπέθεντο καὶ πρὸς μαρτύριον ὥρμησαν· ὕστερον δὲ, ὑπὸ δαιμονιώδους μεταμελείας συνωθηθέντες, ἀπέστησαν τοῦ μαρτυρίου, καὶ τοῖς ἀπίστοις διώκταις ἠκολούθησαν, καὶ χρήμασιν ἢ ἄλλοις δωρήμασι, τοῦτο γάρ ἐστι τὸ βενεφίκιον, ὡς εἴρηται, τὰς προτέρας αὐτῶν στρατείας ἔλαβον, καὶ εἰς τὸν οἰκεῖον ἔμετον ἀνέδραμον, φησὶν ὁ κανὼν, ὡς εἴγε καὶ οὗτοι μετὰ εἰλικρινοῦς κατανύξεως προσέλθωσι τῇ ἐκκλησίᾳ, δεχθήσονται, ὀφείλοντες τρία μὲν ἔτη ἔξωθεν τῆς ἐκκλησίας ἑστάσθαι, καὶ ἀκροᾶσθαι τῶν θείων Γραφῶν, δέκα δὲ ἔτη ὑποπίπτειν ἤτοι ἑστάσθαι ὄπισθεν τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων· μετὰ δὲ ταῦτα συνεύχεσθαι μετὰ πιστῶν· πάντως δὲ τῶν ἁγιασμάτων οὐχ ἀξιωθῶσιν, εἰ μὴ διετία παρέλθῃ, καθὼς καὶ ἄνωθεν εἴπομεν, ὅτι καὶ οὗτοι ἐκ τῶν ἑκουσίως παραπιπτόντων εἰσίν. Ἐνέδωκε δὲ ὁ κανὼν τῷ ἐπισκόπῳ μειοῦν τὰ ἐπιτίμια κατὰ τὴν τοῦ ἐπιτιμηθέντος ἐπιστροφήν.

C

BALS. Beneficium apud Latinos omne donum et benefactum dicitur. Quoniam ergo nonnulli milites, tempore persecutionis divino zelo moti, ipsarum militiarum cingula deposuerant, et ad martyrium impetu quodam procurrerant: postea autem dæmoniaca pœnitentia adacti, a martyrio defecerant, et infideles persecutores secuti erant et pecuniis vel aliis donis priores suas militias receperant, hoc enim est beneficium, ut dictum est, et ad proprium vomitum redierant, dicit canon, quod si ii cum sincera compunctione ad Ecclesiam accesserint, recipientur, debentes tribus quidem annis **73** extra ecclesiam stare, et divinas Scripturas audire, decem autem annis ὑποπίπτειν, id est post ambonem stare, et cum catechumenis exire; post hæc autem una cum fidelibus orare: sacramentis autem omnino digni non habeantur, nisi biennium præterierit, sicut et superius diximus. Quoniam et ii sunt ex iis qui sua sponte labuntur. Concedit autem canon episcopo ut pœnam minuat, pro ejus cui pœna imposita est, conversione.

ΖΩΝΑΡ. Περὶ στρατευομένων ὁ κανὼν διαλέγεται, καὶ ἀπορῥιψάντων μὲν τὰς ζώνας, ἤγουν τὰ τῆς στρατείας παράσημα, ὁρμήσαντα δὲ πρὸς μαρτυ-

ZONAR. De militibus hoc canone igitur, qui zonas, insignia militiæ videlicet, obeundi martyrii cupiditate demonstrata semel abjecissent, quos

Guill. Beveregii notæ.

quis in militiam conscriptus, milesque factus fuit, cingulum, sive zona, qua cingebatur, ei data est: unde Julianus nullos in exercitum suum Christianos admittere statuens, *Militiæ cingulum non dari, nisi immolantibus jubet*, ut tradidit Rufinus, *Hist. Eccles.* l. i, c. 32, quo etiam usu venit, ut σώζεσθαι idem sit atque ἐνδῦναι τὰ ὅπλα, *arma induere*, ut scribit Cælius Rhodeginus, l. xxii, c. 19, ut et ζώννυσθαι idem quod ὁπλίζεσθαι, ut scribit Eustathius in Homerum, ubi eo sensu sæpe usurpatur, ut *Iliad.* A, initio.

D

Ἀτρείδης δ' ἐβόησεν. ἰδὲ ζώννυσθαι ἄνωγεν
Ἀργείους, ἐν δ' αὐτὸς ἐδύσσατο νώροπα χαλκόν.

Atrides autem clamavit, atque armari jussit
Græcos, et ipse induit splendidum ferrum.

Et Odyss. Ω.

Ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος,
Ζώννυνταί τε νέοι, καὶ ἐπευτύνονται ἄεθλα.

Quando autem mortuo rege
Armanturque juvenes, et parant certamina.

Sic etiam tam Hesychius, quam Suidas ζώννυσθαι exponit per καθοπλίζεσθαι. Et in politicis etiam legibus *cingi*, idem sonat, quod in militum numerus referri et armari, ubi dicitur, *Filius familias equestri militia exornatus, et in comitatu principum retentus, cingi confestim jussus, testamentum de castrensi peculio facere potest*, l. xliii, ff. De testamento militis. Ut igitur zona cingitur, qui in militum delectum recipitur, et operam militarem navare aggreditur, sic etiam qui a militia recedit, ἀποθέσθαι τὴν ζώνην, *zonam deponere*, merito dicatur. Unde vetus interpres ζώνας hoc loco *baltea* recte vertit, et Dionysius Exiguus *militiæ cingalum*.

etiam cœlesti munere vocatos, atque ut solidam in veræ fidei professione constantiam retinerent, divinitus confirmatos asserit, deinde mutato consilio priorem militiam repetiverunt, ad eamque sibi aditum, vel argento, vel beneficiis iterum aperuerunt. Ac argenti quidem nomine pecunia intelligitur, beneficii vero, quidquid in alterum gratiæ benignitatisque collocatur. Beneficium namque Latina vox est, εὐεργεσίαν, si Græce interpretemur, indicans. Ille vero beneficium contulisse dicitur, qui vel pecuniam largitus sit, vel quomodocunque alterius voluntati obsecundarit. Illud autem plane certum est, nemini reditum ad istiusmodi militiam, nisi abdicata religione patuisse. Ejusmodi igitur hominibus, post triennium inter audientes exactum, decennii substratio, et cum catechumenis abscessio multæ nomine, decreto canonis præfinita. Episcopo tamen, si alicujus in luendis pœnis ardorem animi, in propitiando Numine lacrymas, conceptumque divinæ Majestatis timorem in primis animadverterit et hominem ob irrogata supplicia patienter dolere, et bonis actionibus, hoc est virtutum exercitationi operam dare, ac si manus ejus abundet indigentibus elargiri, si denique, uno verbo, serio, non ficta specie resipiscentiam demonstrantem invenerit, de iisdem pœnis aliquid pro arbitrio remittendi conceditur facultas. Si quem vero impositis pœnis leviter tangi videat, atque eo quod ecclesiam ingredi permittitur, satis est contentus, et non moleste fert, nec dolore movetur quod inter fideles non constituatur, sed quod post ambonem stet, et cum catechumenis exeat (hoc enim præ se fert speciem ingrediendi, sed qui sic ingreditur, vere non ingreditur) sibi sufficere arbitratur; totum ab eo decennium in substrationis pœna canon expleri jubet.

ARIST. *Qui vim passi et restitisse visi, deinde impietati consenserunt, militiamque resumpserunt, decennium excommunicentur. Considerandum vero est in omnibus pœnitentiæ genus. Et si is qui pœnam suscipit, se ferventiorem in pœnitendo gesserit, humanius cum eo agat episcopus, severius vero si frigidiorem.*

Quicunque divina vocati gratia, primo quidem impetu compulsi in impietate societatem inire reluctati sunt, adeo ut militarem etiam zonam deponerent, postea cedentes quæ sunt impiorum iterum sapiunt, adeo ut ad priorem redeant isti statum, et militiam rursus suscipiant, per triennium stent audientes, per decennium succumbentes, et sic perfectione digni habeantur. Liceat autem episcopis et minuere, et augere supplicia, ad conversorum respicientibus pœnitentiam, si cum timore et patientia, et lacrymis, aut contemptim et indifferenter fiat.

74 CANON XIII.

De iis autem qui exeunt, antiqua et canonica

ρίαν ἐνδειξαμένων, οὓς καὶ ὑπὸ τῆς θείας χάριτος κληθῆναί φησιν, ὡς δι' ἐκείνης ἐπιῤῥωσθέντας πρὸς τὴν ἔνστασιν τῆς ὁμολογίας τῆς πίστεως, εἶτα ἐν μεταμελείᾳ γενομένων καὶ αὖθις εἰς τὴν προτέραν ἐπανελθόντων στρατείαν, καὶ ταύτην ἀργυρίοις ἀνακτησαμένων ἢ βενεφικίοις. Διὰ μὲν γὰρ τῶν ἀργυρίων δηλοῦται τὰ χρήματα, διὰ δὲ τῶν βενεφικίων ἅπαν εἶδος χάριτός τε καὶ δεξιώσεως. Τῆς γὰρ Λατίνων διαλέκτου οὖσα ἡ λέξις, εὐεργεσίαν δηλοῖ πρὸς Ἑλληνίδα μεθερμηνευομένη διάλεκτον. Εὐεργετεῖ δέ τις ἢ χρήματα παρέχων, ἢ ἄλλως θέλημα οἱονδήποτε πληρῶν τινος. Δῆλον δὲ πάντως ὅτι οὐδεὶς τοιοῦτος ἀναστρατεύσασθαι ἠδυνήθη ἄν, εἰ μὴ τῇ πλάνῃ συνέθετο. Τοὺς γοῦν τοιούτους μετὰ τὴν τριετῆ ἀκρόασιν ἐπὶ δεκαετίαν ὑποπίπτειν ὁ κανὼν διατάττεται, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων. Δίδωσι δὲ τῇ κρίσει τοῦ ἐπισκόπου καὶ μειοῦν τὰ ἐπιτίμια, εἰ εὕροι τὸν μετανοοῦντα θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνύμενον, καὶ δάκρυσι τὸν Θεὸν ἱλεούμενον, καὶ τῷ φόβῳ αὐτοῦ στοιχειούμενον, καὶ τὴν ἐκ τῶν ἐπιτιμίων κάκωσιν ὑπομένοντα, καὶ ἀγαθοεργίαις, ἤγουν ἀρετῶν ἀσκήσει καὶ μεταδόσει τῇ πρὸς τοὺς δεομένους, εἰ εὐπορίᾳ ἡ χεὶρ αὐτοῦ, προσκείμενον, καὶ τὸ ὅλως εἰπεῖν, ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν σχήματι τὴν μετάνοιαν ἐνδεικνύμενον. Εἰ δὲ ἀδιαφόρως καὶ ἀνειμένως ὁρᾷ τὸν ἐπιτιμηθέντα πρὸς τὴν ἐπιτίμησιν διακείμενον, καὶ ὅτι ὅλως παραχωρεῖται εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκούμενον, καὶ οὐ δακνόμενον καὶ λυπούμενον, ὅτι οὐ συνίσταται τοῖς πιστοῖς, ἀλλὰ καὶ τὸ ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων, τοῦτο γὰρ δηλοῖ τὸ σχῆμα τοῦ εἰσιέναι, οὐ γὰρ ἀληθῶς εἴσεισιν ὁ οὕτως εἰσιών, ἀρκοῦν αὐτῷ λογιζόμενος, τὸν ὅλον τῆς δεκαετίας χρόνον ἐν τῷ ἐπιτιμίῳ τῆς ὑποπτώσεως πληροῦν αὐτὸν διακελεύεται ὁ κανών.

ΑΡΙΣΤ. *Οἱ βιαζόμενοι, καὶ δόξαντες ἀντιστῆναι, εἶτα καταβέμενοι τῇ ἀσεβείᾳ, καὶ διαστρατευσάμενοι, δεκαετίαν ἀφοριζέσθωσαν. Σκοπητέον δὲ ἐφ' ἅπασι τὸ εἶδος τῆς μετανοίας· καὶ θερμοτέρως μὲν μεταμελουμένου τοῦ δεξαμένου τὸ ἐπιτίμιον φιλανθρωπότερον ὁ ἐπίσκοπος διατιθέσθω, ψυχροτέρως δὲ, δραστικώτερον.*

Ὅσοι ὑπὸ τῆς θείας χάριτος προσκληθέντες κατὰ μὲν τὴν πρώτην ὁρμὴν βιασθέντες συνθέσθαι τῇ εὐσεβείᾳ ἀντέστησαν, ὥστε καὶ τὴν στρατιωτικὴν ἀποθέσθαι ζώνην· εἶτα ὑπείξαντες, κατέθεντο φρονεῖν τὰ τῶν ἀσεβῶν, ὥστε εἰς τὴν προτέραν αὐτοὺς καταστῆναι τιμήν, καὶ τὴν στρατείαν αὖθις ἐπαναλαβεῖν· ἐπὶ τριετίαν ἑστῶσαν ἀκροώμενοι, ἐπὶ δεκαετίαν ὑποπίπτοντες· καὶ οὕτω τῆς τελειώσεως ἀξιούσθωσαν. Ἐξέστω δὲ τοῖς ἐπισκόποις καὶ μειοῦν, καὶ αὔξειν τὰ ἐπιτίμια, πρὸς τὴν μετάνοιαν ἀφορῶσι τῶν ἐπιστρεφόντων, εἴτε σὺν φόβῳ, καὶ ὑπομονῇ, καὶ δάκρυσι γίνεται, εἴτε καταφρονητικῶς καὶ ἀδιαφόρως.

ΚΑΝΩΝ ΙΓ'.

Περὶ δὲ τῶν ἐξοδευόντων ὁ παλαιὸς καὶ κανονι-

κὸς νόμος διαφυλαχθήσεται καὶ νῦν, ὥστε, εἴ A τις ἐξοδεύοι τελείου καὶ ἀναγκαιοτάτου ἐφοδίου μὴ ἀποστερεῖσθαι. Εἰ δὲ, ἀπογνωσθεὶς καὶ κοινωνίας πάλιν τυχὼν (60), πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθῇ, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω (61). Καθόλου δὲ καὶ περὶ παντὸς οὕτινος οὖν ἐξοδεύοντος, αἰτοῦντος τοῦ μετασχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

lex nunc quoque servabitur, ut si quis vita excedat, ultimo et maxime necessario viatico ne privetur. Si autem deploratus et communionem assecutus, rursus in vivos relatus sit cum iis sit qui orationum sunt tantum communionis participes. In summa autem, de quolibet excedente, et Eucharistiæ participationem petente, episcopus cum examinatione eum oblatione impertiat.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν γενικός ἐστι. Παραχελεύεται γὰρ πάντα ἐπιτιμηθέντα, καὶ τῶν ἁγιασμάτων στερούμενον, ἀξιοῦσθαι τοῦ καλοῦ ἐφοδίου τῆς ἁγίας μεταλήψεως ἐν ταῖς τελευταίαις ἀναπνοαῖς μετὰ δοκιμασίας τοῦ ἐπισκόπου. Μὴ ὄντος δὲ ἐπισκόπου μετὰ δοκιμασίας ἱερέων, ἵνα μὴ στερηθῇ τοῦ καλοῦ ἐφοδίου ὁ ἄνθρωπος διὰ τὴν ἀποδημίαν τοῦ ἐπισκόπου. Προστίθησι δὲ ὡς, εἴπερ ὁ τοιοῦτος μετὰ τὴν μετάληψιν τῶν ἁγιασμάτων διαφύγῃ τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, τῶν δὲ ἁγιασμάτων οὐκ ἐπιτεύξεται, εἰ μὴ πληρωθῇ πάντως ὁ νενομισμένος χρόνος τοῦ ἐπιτιμίου. Νομίζω δὲ ὅτι τότε μετὰ τὴν ὑγιείαν συνεύχεσθαι τοῖς πιστοῖς παραχωρηθήσεται ὁ ἐπιτιμηθείς, ὅτε καὶ πρὸ τῆς νόσου τούτοις συνηύχετο. Εἰ γὰρ ἐν τόπῳ ἀκροωμένων ἵστατο, τὸν αὐτὸν ἕξει τόπον καὶ μετὰ τὴν ὑγίειαν.

BALS. Hic est canon generalis. Jubet enim, omnem cui pœna imposita est, et sacramentis est privatus, præclaro sanctæ communionis viatico non privari, in extremo spiritu, cum examinatione episcopi. Si non sit autem episcopus, cum examinatione B sacerdotum, ne bono viatico privetur homo, ob episcopi absentiam. Addit autem, quod si talis post sacramentorum participationem, mortem evaserit, una cum fidelibus precabitur. Sacramenta autem non assequetur, nisi præstitutum pœnæ tempus omnino impletum fuerit. Puto autem, quod tunc post sanitatem una cum fidelibus orare permittetur ei cui pœna imposita est, quando et ante morbum una cum eis precabatur. Si enim in loco audientium stabat, eumdem habebit locum etiam post sanitatem.

ΖΩΝΑΡ. Διαταξάμενοι οἱ ἱεροὶ Πατέρες περὶ ἐπιτιμίων, καὶ ὅπως καὶ ἐφ' ὅσον οἱ παραπίπτοντες ἀκοινώνητοι ἔσονται, ὁρίζουσι διὰ τοῦ παρόντος C κανόνος, κἂν ὑπὸ ἐπιτίμιον ἀκοινωνησίας ὦσί τινες, τελευτῶσι δὲ, μεταδίδοσθαι αὐτοῖς τῶν ἁγιασμάτων ἵνα ἐφόδιον αὐτὸ ἔχωσι, καὶ μὴ στερηθῶσι τοῦ ἐκ τούτων ἁγιασμοῦ. Εἰ δέ τις περὶ τὴν ζωὴν κινδυνεύων ἀξιωθείη, ὡς θνήσκων τῆς κοινωνίας, εἶτα διαφύγῃ τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, οὐ μέντοι καὶ τῶν ἁγιασμάτων μεταλήψεται. Καὶ πᾶς δὲ ἐν ἐπιτιμίῳ ὢν περὶ τὴν τελευταίαν γενόμενος, ἐξοδόν φησιν ὁ κανὼν, εἰ ζητεῖ μεταλαβεῖν τῆς ἁγίας προσφορᾶς, μεταλαμβανέτω, μετὰ δοκιμασίας, ἤγουν γνώμης, τοῦ ἐπισκόπου καὶ ἐξετάσεως.

ZONAR. Cum iis qui lapsi fuerant, ad constitutas pœnas, certa quoque tempora communione abstinendi sancti Patres definivissent, iisdem nihilominus in extremo vitæ discrimine positis, quamvis multæ nomine communione interdictum sit, sacramenta impartiri, ut eo quasi viatico instructi decedant, nec ea quæ ex illis efficitur sanctitate priventur, hoc canone Patres jubent. Si cui vero in eo vitæ discrimine, communio quasi morienti concessa est, seque is postea morti subtraxerit, cum fidelibus quidem orare, non tamen iterum communicare sacramentis licebit. Et vero quicunque in extremo spiritu, inquit canon, luendis pœnis obnoxius, sanctæ oblationi communicare se velle ostendit, ei cum approbatione episcopi, hoc est, re per illum examinata et probata, fiat facultas.

ΑΡΙΣΤ. *Οἱ ἐξοδευόμενοι κοινωνείτωσαν· εἰ δέ τις αὐτῶν ὑγιάνοι, ἔστω μετὰ τῶν τῆς εὐχῆς* D *κοινωνούντων καὶ μόνον.*

ARIST. *Vita excessuri communicent. Si quis autem eorum convalescat, cum iis sit qui precum sunt participes et cum iis solum*

Guill. Beveregii notæ.

(60) *Εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας πάλιν τυχών.* In Joannis Antiocheni Collectione canonum πάλιν hic non legitur : et post τυχὼν additur καὶ προσφορᾶς μετασχών, Joh. Antioch. Coll. can. tit. 18 : quæ verba vetus etiam interpres legit, vertitque et *oblatione percepta* can. 12, necnon Dionysius Exiguus, qui transtulit, *oblationisque particeps factus.*

(61) *Μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω.* Verbum ἔστω, quod hic in fine, in Joh. Antioch. Collectione tit. 18, initio horum verborum collocatur, quibus etiam alia adduntur, hic desiderata nimirum, ἄχρις ἂν πληρωθῇ ὁ ὁρισθεὶς ὑπὸ τῆς μεγάλης καὶ οἰκουμενικῆς συνόδου χρόνος, *quousque adimpleatur tempus a magno et universali concilio definitum.* Hæc autem, nec a veteri interprete, nec a Dionysio Exiguo, nec ab Isidoro Mercatore leguntur : sed Balsamon ea legisse videtur, eo quod constitutum hic asserat, eum qui post receptam communionem convalescit, sacramenta non assequi εἰ μὴ πληρωθῇ πάντως ὁ νενομισμένος χρόνος τοῦ ἐπιτιμίου. Et quidem, etiamsi certa non essent, necessario tamen intelligenda sunt. Sacramenta enim tunc temporis recepta, nulli esse possunt pœnitentibus impedimento, quominus post elapsum pœnitentiæ tempus ad communionem admittantur.

Omnis fidelis in extremo spiritu boni viatici participeps fiet, sanitati autem restitutus cum iis erit qui orationum sunt participes, sed divinorum sacramentorum partem non habebit. Sed expleto tempore quo in orationibus consistere debet, postea et illa gratia dignus habebitur.

A

Πᾶς πιστὸς (62) ἐν ταῖς τελευταίαις ἀναπνοαῖς γινόμενος τοῦ ἀγαθοῦ ἐφοδίου ἐπιτεύξεται. Ὑγιάνας δὲ, μετὰ τῶν κοινωνούντων τῶν εὐχῶν ἔσται· οὐ μέντοι γε καὶ τῶν θείων ἁγιασμάτων μετάσχοι· ἀλλὰ πληρώσας ἐν ταῖς εὐχαῖς τὸν τῆς συστάσεως χρόνον, ἔκτοτε καὶ τῆς χάριτος ταύτης ἀξιωθήσεται.

CANON XIV.

De catechumenis, et qui lapsi sunt, visum est sanctæ et magnæ synodo, ut ii tribus annis tantum audientes, postea orent cum catechumenis.

ΚΑΝΩΝ ΙΔ'.

Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε, τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

BALS. Eum qui ex infidelitate ad veram fidem accessit, et initiatus est : et post initiationem aberravit, et priorem superstitionem repetiit, non simpliciter ad catechumenorum locum rursus recipi redeuntem sancti Patres definiunt : sed prius triennio extra templum stare cum audientibus : eo autem impleto, in priorem statum et ordinem catechumenorum recipi.

B

ΒΑΛΣ. Τὸν ἐξ ἀπιστίας τῇ ἀληθεῖ πίστει προσελθόντα, καὶ κατηχηθέντα, καὶ μετὰ τὴν κατήχησιν πλανηθέντα, καὶ τὴν πρώτην θρησκείαν ζητήσαντα, μὴ ἁπλῶς δέχεσθαι εἰς τὸν τόπον τῶν κατηχουμένων, πάλιν ὑποστρέφοντα, οἱ ἅγιοι Πατέρες διορίζονται, ἀλλὰ πρότερον ἐπὶ τριετίᾳ ἔξωθεν τοῦ ναοῦ ἵστασθαι μετὰ τῶν ἀκροωμένων· πληρωθείσης δὲ ταύτης, ἀποκαθίστασθαι εἰς τὴν προτέραν τάξιν καὶ στάσιν τῶν κατηχουμένων.

ZONAR. Qui ob fidei amplectandæ studium inter catechumenos relati, postea lapsi fuerunt, eos ordine et statione catechumenorum movendos esse, ac triennium inter audientes exigere, eo elapso, priorem ordinem et **75** stationem repetere, et cum catechumenis orare, sanctorum Patrum decreto cautum est.

ΖΩΝΑΡ. Ἐάν τινες προσελθόντες τῇ πίστει, καὶ γενόμενοι κατηχούμενοι, παραπέσωσιν, ὑποβάζεσθαι τῆς τάξεως καὶ τῆς στάσεως τῶν κατηχουμένων ὡρίσθησαν παρὰ τῶν ἁγίων Πατέρων, καὶ ἐν τῷ τῶν ἀκροωμένων ἐπιτιμίῳ γίνεσθαι ἐπὶ τριετίαν, εἶτα πάλιν ἐπανέρχεσθαι πρὸς τὴν προτέραν τάξιν καὶ στάσιν, καὶ συνεύχεσθαι τοῖς κατηχουμένοις.

ARIST. *Si quis catechumenus lapsus fuerit, tres iste annos audiat idque solum, deinde cum catechumenis oret.*

C

ΑΡΙΣΤ. *Εἴ τις παραπέσοι κατηχούμενος, οὗτος τρισὶν ἀκροάσθω καὶ μόνον· εἶτα μετὰ τῶν κατηχουμένων εὐχέσθω.*

Duæ sunt species catechumenorum : nonnulli enim modo advenerunt, alii evaserunt perfectiores, in fide sufficienter initiati. Perfectior itaque catechumenus lapsus et peccans sine reprehensione non relinquitur, tametsi sacrum baptisma ad omnem diluendam sordem sufficiens sit, sed inter audientes collocatur, et post triennium cum catechumenis rursum precatur. Quære et synodi Neocæsariensis can. 5.

Δύο εἴδη τῶν κατηχουμένων. Οἱ μὲν γὰρ ἄρτι προσέρχονται, οἱ δὲ γεγόνασι τελεώτεροι, ἐφ' ἱκανὸν τὰ τῆς πίστεως μυηθέντες. Ὁ γοῦν τελεώτερος κατηχούμενος, παραπεσὼν καὶ ἁμαρτήσας ἀνεπιτίμητος οὐκ ἐᾶται, κἂν καὶ τὸ ἅγιον βάπτισμα ἱκανόν ἐστι πάντα ῥύπον ψυχικὸν ἀποπλῦναι· ἀλλὰ μετὰ τῶν ἀκροωμένων συντάττεται, καὶ μετὰ τριετίαν μετὰ τῶν κατηχουμένων αὖθις συνεύχεται. Καὶ ζήτει τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ε'.

CANON XV.

Propter multum tumultum, et seditiones quæ fiunt, omnino visum est, ut consuetudo quæ præter canonem in nonnullis partibus invenitur, tollatur, ut a civitate in civitatem nec episcopus, nec presbyter, nec diaconus transeat. Si quis autem post sanctæ et magnæ synodi definitionem tale quidpiam aggressus fuerit, vel se rei ejusmodi dederit, quod factum erit omnino infirmabitur, et ecclesiæ restituetur cui episcopus vel presbyter ordinatus fuerit.

D

ΚΑΝΩΝ ΙΕ'.

Διὰ τὸν πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. Εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη.

Guill. Beveregii notæ.

62, *Πᾶς πιστός*. Hic erratum in Aristeni scholia irrepsisse nemo ambigat. Canon enim, non de fidelibus, sed tantum de lapsis, et pœnitentiam in exitu vitæ agentibus loquitur. Et præterea πᾶς πιστὸς, *omnes fideles* etiam sanitati restituti sacramentorum participes erunt ; contra ac hic asseritur : quod itaque codici ms. quo usi sumus, potius quam ipsi Aristeno attribuendum est. Neque enim hæc tam obvia Aristenum latere potuerunt.

ΒΑΛΣ. Ὁ μὲν ἀποστολικὸς ιε' κανών, Μηκέτι λειτουργείτω, φησίν, ὁ κληρικὸς ὁ παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου ἀπὸ πόλεως εἰς πόλιν μεθιστάμενος· ὁ δὲ παρὼν κανὼν τὰ αὐτὰ καὶ περὶ ἐπισκόπων διοριζόμενος ἄκυρον εἶναί φησι τὸ παρὰ ταῦτα ἴσως γενησόμενον.

Ἑτέρα ἐξήγησις.

Τοῦ ιδ' ἀποστολικοῦ κανόνος τὴν μὲν ἀπὸ παροικίας εἰς παροικίαν ἐπίβασιν ἤτοι ἐπιπήδησιν τῶν ἐπισκόπων κωλύοντος, τὴν δὲ μετάθεσιν ἐπιτρέποντος διὰ μεγάλην καὶ εὔλογον αἰτίαν· καὶ τοῦ ις' κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διορίζομένου τὸν σχολάζοντα ἐπὶ σχολάζουσαν μεταβαίνειν μετὰ διαγνώσεως καὶ παρακλήσεως τελείας συνόδου· ὡσαύτως καὶ τοῦ α' καὶ δευτέρου κανόνος τῆς ἐν Σαρδικῇ συνόδου μεγάλως κολαζόντων τὸν διὰ μεθόδου καὶ οἰκονομίας φαύλης τὴν λαχοῦσαν αὐτὸν καταλιμπάνοντα, καὶ μείζονα ἐκκλησίαν ἁρπάζοντα, καὶ τοῦ παρόντος ιε' κανόνος τῆς α' συνόδου παντάπασι μὲν κωλύοντος τὴν ἀπὸ πόλεως εἰς πόλιν μετάβασιν τῶν ἐπισκόπων, τῶν πρεσβυτέρων, καὶ τῶν διακόνων, μὴ κολάζοντος δὲ ταύτην, ἀλλὰ διοριζομένου ἀκυροῦσθαι τὸ κατασκεύασμα, καὶ ἀποκαθίστασθαι τῇ προτέρᾳ ἐκκλησίᾳ τὸν ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον, ἢ τὸν διάκονον εἰς ἣν ἐχειροτονήθησαν, εἴποι τις ἐναντιοῦσθαι τοὺς κανόνας ἀλλήλοις, ἄλλα καὶ ἄλλα θεσμοθετοῦντας. Ἀλλ' οὐκ ἔστι τοῦτο. Διαφορὰ γάρ ἐστιν ἀλλήλοις μεταθέσεως, μεταβάσεως, καὶ ἐπιβασίας. Μετάθεσις γάρ ἐστιν ἡ ἀπὸ παροικίας εἰς παροικίαν μετένεξις, ὅταν τυχὸν ἐπίσκοπος παντοίᾳ σοφίᾳ κεκοσμημένος μετακληθῇ παρὰ πλήθους ἐπισκόπων εἰς μείζονα ἐκκλησίας χηρευούσης βοήθειαν κινδυνευούσης περὶ τὴν εὐσέβειαν. Οἷόν τι γέγονεν εἰς τὸν μέγαν Γρηγόριον τὸν Θεολόγον, ἀπὸ τῶν Σασίμων εἰς Κωνσταντινούπολιν μετατεθέντα. Καὶ ἔστιν αὕτη συγχωρητέα, καθὼς παρίσταται ἀπὸ τοῦ ιδ' κανόνος τῶν ἁγίων ἀποστόλων. Μετάβασίς ἐστιν, ὅταν τις σχολάζων, δηλονότι μὴ ἔχων παροικίαν, ὡς ὑπὸ ἐθνῶν κατεχομένην, ἀναγκασθῇ παρὰ ἐπισκόπων πολλῶν εἰς σχολάζουσαν ἐκκλησίαν μεταβῆναι διὰ τὸ περὶ τὴν ὀρθοδοξίαν καὶ τὰ λοιπὰ ἐκκλησιαστικὰ χρησιμώτατον αὐτοῦ. Καὶ ἔστι καὶ αὕτη δεκτέα παρὰ τοῖς θείοις κανόσι τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἁγίων Πατέρων. Ἐπίβασις δέ ἐστιν ἡ αὐτόνομος ἢ καὶ μετὰ οἰκονομίας φαύλης τοῦ σχολάζοντος, ἢ καὶ τοῦ ἔχοντος ἐκκλησίαν ἐπισκόπου, πρὸς χηρεύουσαν ἐκκλησίαν παράλογος μετένεξις· ἣν τοσοῦτον οἱ ἐν Σαρδικῇ συνελθόντες ἅγιοι Πατέρες ἐβδελύξαντο, ὥστε καὶ ἀκοινώνητον εἶναι παντὶ Χριστιανῷ τὸν ἐργάτην ταύτης διωρίσαντο, καὶ μηδὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς λαϊκῆς κοινωνίας ἀξιοῦσθαι αὐτόν. Ὁ δὲ ιε' κανὼν τῆς α' συνόδου, περὶ μηδενὸς τοιούτου μνείαν ποιούμενος, οὐδ' ἐναντιοῦταί τινι τῶν ἀνωτέρω καταστρωθέντων κανόνων. Οὔτε γὰρ περὶ μεταθέσεως, οὔτε περὶ μεταβάσεως, οὔτε περὶ ἐπιβασίας διδάσκει· ἀλλὰ κωλύει τὸ μεταπίπτειν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν ἀνήκουσαν τῇ αὐτῇ παροικίᾳ, ὥσπερ ποτὲ ὁ

BALS. Apostolicus quidem decimus quintus canon, Ne amplius ministret, inquit, clericus qui præter proprii episcopi sententiam, a civitate in civitatem transit. Præsens autem canon eadem etiam de episcopis definiens, irritum esse statuit quod præter hæc fortasse factum fuerit.

Altera expositio.

Cum 14 canon apostolicus a parochia in parochiam invasionem seu irruptionem prohibeat : translationem autem propter magnam et honestam causam permittat, et 16 canon Antioch. synodi decernat, ut qui vacat in vacantem ecclesiam transeat, cum dijudicatione et examinatione perfectæ synodi : similiter primus et secundus canon Sardic. synod. eum valde puniat qui improbe via ac ratione, eam quæ ipsum sortita est, relinquit, et majorem ecclesiam occupat et arripit : et præsens 15 canon primæ synodi transitum episcoporum, presbyterorum et diaconorum a civitate in civitatem omnino prohibeat, eum autem non puniat, sed irritum esse decernat id quod factum fuerit, et priori ecclesiæ restitui episcopum et presbyterum, vel diaconum, in quam ordinati erant, dixerit quispiam canones sibi invicem repugnare, ut alia atque alia sancientes. At non ita est. Nam est differentia inter translationem, transitionem et invasionem. Translatio enim est, quæ fit a parochia in parochiam traductio : quando fortasse episcopus varia ac multiplici scientia instructus ab episcoporum multitudine, in majus ecclesiæ viduæ de vera religione in periculum adductæ, auxilium accersitus fuerit. Quod magno Gregorio Theologo usu venit, qui a Sasimis Constantinopolin translatus est : et ea est permittenda, quandoquidem a sanctorum apostolorum 14 canone inducitur. Transitio est, quando vacans videlicet quispiam, non habens parochiam quæ a gentilibus detinetur, a multis episcopis in vacantem ecclesiam transire coactus fuerit propter ejus in recta de fide sententiam et reliquis ecclesiasticis utilitatem : et est hæc quoque suscipienda a divinis canonibus sanctorum Patrum qui in Antiochia convenerunt. Invasio autem est libera, vel etiam cum malis artibus improboque consilio, ejus qui vacat, vel qui etiam habet ecclesiam episcopi, ad viduam ecclesiam injusta aggressio. Quam, qui in Sardic. synodo 76 convenerunt sancti Patres, adeo adversati sunt, ut qui eam admiserit, eum cum nullo posse Christiano communicare statuerint, et nec in extremo quidem spiritu eum laica communione dignum censuerint, 15 autem primæ synodi canon de nullo ejusmodi mentionem faciens, nulli eorum, qui superius positi sunt, canoni adversatur : neque enim de translatione, nec de transitione, nec de invasione docet : sed prohibet episcopum, vel presbyterum, vel diaconum ab urbe in urbem ad suam parochiam pertinentem transmeare ac transilire, sicut ille Derci epi
minus Joannes, conatus est Derci thro

ferre in Philippopolim, in qua superiorem ipse jurisdictionem habeat, eo quod esset illa frequentior, et fuit synodice prohibitus. Propterea enim non punitur hæc conatus episcopus, sed in priorem suam cathedram reducitur. Quod hoc autem verum sit, ex ipsis canonis verbis declaratur, quæ civitatis meminerunt, non parochiæ. Ut idem enim episcopus multas quidem habeat civitates intra limites ejus, fieri potest : sed nequaquam ut multas parochias seu diœceses. Sed et ex eo quod canon presbyterorum et diaconorum meminit, evidenter veritas ostenditur. Quæ enim translatio, vel transitio, vel invasio in his unquam potest tractari? Nulla omnino : sed sola transmutatio ab urbe in urbem, non alienam, sed ad parochiam, in quam ordinati sunt pertinentem, et propterea non deponuntur, ut qui extra fines suos sacra fecerint, sed ecclesiæ, ad quam ordinati sunt, restituuntur.

A ἐπίσκοπος Δέρκου ἐκεῖνος; κύριος Ἰωάννης ἐπεχείρησε τὸν θρόνον τῆς Δέρκου μεταγαγεῖν εἰς τὸ τοῦ Φιλέα πρωτοπαπαδίκιον αὐτοῦ, διὰ τὸ πολυανθρωποτέραν εἶναι, καὶ ἐκωλύθη συνοδικῶς. Διὰ γὰρ τοῦτο οὐδὲ κολάζεται ὁ τοῦτο ἐπιχειρήσας ἐπίσκοπος, ἀλλὰ τὴν προτέραν αὐτοῦ καθέδραν ἐπανάγεται. Ὅτι δὲ τοῦτο ἀληθές ἐστι, δηλοῦται καὶ ἀπ' αὐτῶν τῶν ῥημάτων τοῦ κανόνος, πόλεως μεμνημένου καὶ οὐχὶ παροικιῶν. Τὸν αὐτὸν γὰρ καὶ ἕνα ἐπίσκοπον πολλὰς μὲν πόλεις ἔχειν ὡς ἐνορίαν δυνατόν ἐστι, πολλὰς δὲ Παροικία; οὐδαμῶς. Ἀλλὰ καὶ ἀπὸ τοῦ μεμνῆσθαι τὸν τοιοῦτον κανόνα πρεσβυτέρων καὶ διακόνων ἐναργῶς παρίσταται ἡ ἀλήθεια. Ποία γὰρ μετάθεσις ἢ μετάβασις ἢ ἐπίβασις ἐπὶ τούτων τρακταῖσθείη ποτέ; πάντως οὐδεμία· μετάπτωσις δὲ μόνη ἀπὸ πόλεως B εἰς πόλιν οὐκ ἀλλοτρίαν, ἀλλὰ τῇ παροικίᾳ, εἰς ἣν ἐκληρώθησαν, ἀνήκουσαν. Διὰ γὰρ τοῦτο οὐδὲ καθαιροῦνται ὡς παρ' ἐνορίαν ἱερουργήσαντες, ἀλλὰ τῇ προτέρᾳ ἐκκλησίᾳ, εἰς ἣν καὶ ἐχειροτονήθησαν, ἀποκαθίστανται.

ZONAR. Ne ex alia ecclesia in aliam, episcopus, presbyter, aut diaconus migret sanctorum quoque apostolorum decreto constitutum est. Sed neglectam et contemptam constitutionem hoc canone synodus restituit : ac sive de migrando e civitate in civitatem aliam episcopus quispiam, presbyter, aut diaconus cogitarit, sive reipsa migrarit, cogitataque perfecerit, irritum id haberi, cuique primo ecclesiæ ordinatus est ad eam restituendum esse decernit. Neque enim licere cuipiam absolute ac sine nomine sed certo vel episcopatui, vel ecclesiæ, C vel monasterio nominatim addictum ordinibus insigniri, altero canone definitum est.

ΖΩΝΑΡ. Τὸ μὴ μετιέναι ἐξ ἐκκλησίας εἰς ἑτέραν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, καὶ τοῖς ἱεροῖς κεκανόνισται ἀποστόλοις. Ἀλλὰ παρορώμενον καὶ καταφρονούμενον τὸ διάταγμα ἡ ἁγία σύνοδος αὕτη διὰ τοῦ παρόντος κανόνος ἀνεκαίνισε, διορισαμένη, κἂν ἐπιχειρήσῃ μεταβῆναι ἐκ πόλεως εἰς ἑτέραν πόλιν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κἂν μεταβαίη, καὶ εἰς ἔργον ἀγάγῃ τὸ ἐπιχείρημα, ἀκυροῦσθαι τὴν πρᾶξιν αὐτοῦ, καὶ ἀποκαθίστασθαι ἐν ᾗ χειροτονούμενος ὠνομάσθη· ἕτερος γὰρ κανὼν διατάττεται μηδένα ἀπολελυμένως, ἤγουν ἀνωνύμως, χειροτονεῖσθαι, ἀλλ' εἰς τήνδε τὴν ἐπισκοπὴν, ἢ τὴν ἐκκλησίαν, ἢ τὴν μονήν.

ARIST. *E civitate in civitatem neque episcopus, nec presbyter, nec diaconus transiliat. Alioquin ecclesiis in quibus ordinati sunt, rursus restituentur.*

ΑΡΙΣΤ. *Ἐκ πόλεως εἰς πόλιν μήτε ἐπίσκοπος, μήτε πρεσβύτερος, ἢ διάκονος μεταβαινέτω· ἐπεὶ πάλιν ἀποδοθήσονται ταῖς ἐκκλησίαις ἐν αἷς κεχειροτόνηνται.*

Hic canon non tantum episcoporum translationes omnino tollit, sed et presbyterorum et diaconorum, et eos quoque qui tale quid facere vel aggrediuntur, restituit rursum ecclesiis in quibus ordinati fuere. Primus autem et secundus in Sardica canon eos severius punit, excommunicationis supplicio eos subjiciens.

Κανὼν οὗτος οὐ μόνον τὰς τῶν ἐπισκόπων μεταθέσεις παντελῶς ἀναιρεῖ, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ διακόνων, καὶ τοὺς ἐπιχειρήσαντας τοιοῦτόν τι ποιῆσαι ἀποκαθιστᾷ πάλιν ταῖς ἐκκλησίαις ἐν αἷς κεχειροτόνηνται· ὁ δὲ τῆς ἐν Σαρδικῇ πρῶτος καὶ δεύτερος κανὼν αὐστηροτέρως αὐτοὺς τιμωρεῖ, ἀκοινωνησίας τούτους ὑποβάλλων ἐπιτιμίῳ.

CANON XVI.

ΚΑΝΩΝ ΙϚ'.

Quicunque temere et inconsiderate, nec Dei timorem præ oculis habentes, nec ecclesiasticum canonem scientes, presbyteri vel diaconi, vel quicunque omnino in canone recensentur, ab ecclesiis secesserint, ii in aliena ecclesia nullo modo recipi debent, sed omnino cogendi sunt in suas ipsorum parochias redire. Vel si perseverent, eos a communione separatos esse oportet. Sin autem etiam ausus fuerit quispiam eum qui ad alium pertinet, subripere, et in ecclesia sua ordinare, non consentiente proprio episcopo, a quo recessit qui in canone censetur, irrita sit ordinatio.

D *Ὅσοι ῥιψοκινδύνως μήτε τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσουσι τῆς ἐκκλησίας, πρεσβύτεροι ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι· οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ· ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας ἀκοινωνήτους εἶναι προσήκει. Εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου ἐπισκόπου, οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.*

ΒΑΛΣ. Ἀπὸ τοῦ τέλους τοῦ ιε' κανόνος παρίστατα[ι] ὅτι πάντες οἱ χειροτονούμενοι ἢ εἰς ἐπισκοπὰς ἐκληροῦντο, ἤτοι ἐχειροτονοῦντο, ἢ εἰς μοναστήρια, ἢ εἰς θείους ναούς· ὅθεν ἀκολούθως τούτῳ καὶ ὁ ς' κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου καὶ ὁ ι' διορίζονται οὕτω τοὺς κληρικοὺς γίνεσθαι, καὶ τὴν παρὰ ταῦτα γενησομένην χειροθεσίαν ἄκυροῦσθαι. Διὸ καὶ δέδοκται μὴ ἔχειν ἐπ' ἐξέσας τινὰ κληρικὸν ἀπὸ παροικίας εἰς παροικίαν μεταβαίνειν καὶ ἀμείβειν τὸν κλῆρον ἄνευ γραφῆς ἀπολυτικῆς τοῦ χειροτονήσαντος τοῦτον. Τοὺς δὲ μεταλαμβανομένους κληρικοὺς παρὰ τῶν χειροτονησάντων αὐτοὺς, καὶ μὴ πειθομένους, ἀναστρέφειν ἀκοινωνήτους αὐτοὺς εἶναι, ἤγουν μὴ παραχωρεῖσθαι συνιερουργεῖν τούτοις. Εἰς τοῦτο γὰρ τὸ μὴ κοινωνεῖν ἐκλαμβάνεται, οὐ μὴν εἰς τὸ μὴ ἐκκλησιάζειν, ἢ εἰς τὸ μὴ μεταλαμβάνειν τῶν ἁγιασμάτων, ἀκολούθως πάντως τῷ ιε' ἀποστολικῷ κανόνι, τῷ διορίζομένῳ μὴ λειτουργεῖν τοὺς τοιούτους. Ὁ δὲ ις' ἀποστολικὸς κανὼν ἀφορισμῷ καθυποβάλλει τὸν δεξάμενον ἐπίσκοπον ἐξ ἑτέρας παροικίας κληρικὸν ἄνευ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτόν. Ὥστε καλῶς ποιεῖ ὁ κατὰ καιροὺς τῆς Μεγάλης ἐκκλησίας χαρτοφύλαξ, μὴ παραχωρῶν τοῖς ἐξωχειροτονήτοις ἱερεῦσιν ἱερουργεῖν, μὴ προκομίζουσι συστατικὰς καὶ ἀπολυτικὰς γραφὰς τῶν χειροτονησάντων αὐτούς. Ἀνάγνωθι καὶ τὸν λε' ἀποστολικὸν, συνόδου Ἐφέσου κανόνα η'.

A

B

BALS. Ex fine decimi quinti canonis oftenditur, quod omnes qui ordinantur, vel ad episcopatus eliguntur 77 sive ordinantur, vel ad monasteria, vel ad divinas ædes. Unde ei consequenter et 6 canon Chaleed. syn. et 10 statuunt clericos sic fieri, et quæ aliter facta fuerit, manuum impositionem irritam haberi. Quocirca etiam placuit non esse in clerici potestate a civitate in civitatem migrare, et clerum commutare sine dimissoriis litteris ejus qui ordinavit : clericos autem qui ab eis qui ordinarunt ipsos, evocantur, et redire non persuadentur, esse a communione separatos, id est non permitti eis ut simul sacrificent. In ea enim significatione non communicare accipitur : non autem in ea quæ est, in ecclesiam non accedere, vel sacramenta non participare : idque omnino fit consequenter 15 canoni apostolico, qui decernit eos non ministrare. 16 autem canon apostolicus segregationi subjicit etiam episcopum qui ex alia parochia clericum recipit, sine dimissoriis litteris ejus qui eum ordinavit. Quare recte facit is qui pro tempore est Magnæ Ecclesiæ chartophylax, non permittens iis qui extra ordinati sunt, sacerdotibus, sacrificare, nisi et commendatitias et dimissorias litteras eorum a quibus sunt ordinati afferant. Lege et 35 can. apost. synod. Antioch. can. 43 et 22, et synod. Ephes. can. 8.

κανόνα, συνόδου Ἀντιοχείας κανόνας ιγ' καὶ κϛ'

ΖΩΝΑΡ. Ὁ μὲν πρὸ τούτου κανὼν τοὺς ἀναχωροῦντας τῶν οἰκείων ἐκκλησιῶν καὶ ἄλλαις προσερχομένους ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ διορίζεται ἐν ᾗ κεχειροτόνηται ἕκαστος· οὗτος δὲ τοὺς μὴ πειθομένους ἐπανελθεῖν, καὶ ἀκοινωνήτους εἶναι θεσπίζει. Ἔοικεν οὖν ἐναντιοῦσθαι τῷ ιε' κανόνι τῶν ἱερῶν ἀποστόλων. Ἐκεῖνος γὰρ τοὺς καταλείψαντας κληρικοὺς τὰς ἑαυτῶν παροικίας, καὶ εἰς ἄλλην παροικίαν παντελῶς μεταστάντας παρὰ γνώμην τοῦ ἐπισκόπου αὐτῶν μηκέτι λειτουργεῖν κελεύει, ὡς δὲ λαϊκοὺς κοινωνεῖν ἐπιτρέπει ἐκεῖ. Οἶμαι τοίνυν ἐπὶ τοῦ παρόντος κανόνος τὸ ἀκοινωνήτους εἶναι οὕτως νοεῖσθαι, ἤγουν μὴ συγκοινωνεῖν αὐτοῖς τοὺς ἱερατικοὺς δηλαδή. Ἀλλὰ ἀποτρέπεσθαι τὸ συνιερουργεῖν αὐτοῖς τοὺς τοιούτους· κοινωνίαν ἐνταῦθα τῶν ἁγίων Πατέρων οὐχὶ τὴν μετάληψιν τῶν ἁγιασμάτων ὀνομασάντων, ἀλλὰ τὴν τῶν ἱερῶν συμμεταχείρισιν καὶ κοινοπραξίαν, καὶ τὸ συλλειτουργεῖν τοῖς οἷσπερ προσῆλθον. Οὕτω γὰρ νοούμενος ὁ παρὼν κανὼν, οὐ διαφωνεῖν πρὸς τὸν ἀποστολικὸν κανόνα δόξει τινί. Εἶτα ἐπάγει ὡς, εἰ ἐπίσκοπός τις τὸν ἀφ' ἑτέρας πόλεως εἰς ἑτέραν μεταναστεύσαντα κληρικὸν χειροτονήσει, προαγαγὼν ἴσως αὐτὸν εἰς βαθμὸν μείζονα μὴ βουλομένου τοῦ ἐπισκόπου, ἐξ οὗ ἀνεχώρησεν, ἄκυρος ἔσται ἡ χειροτονία.

C

D

ZONAR. Quicunque suis relictis ecclesiis, in alias divertissent, ecclesiæ in qua quisque ordinatus est, superiori canone restitui jubentur. Illic vero eos qui non paruerint reverti, ac propterea communione privatos esse decernit. Hinc ergo aliquis, sanctorum apostolorum decimo quinto canoni, constitutionem hanc adversari facile suspicetur. Nam illo quoque, quicunque clerici in aliam parœciam, sua relicta, invito episcopo suo transmearint, sacris unquam operari, facta nihilominus laicorum communicandi potestate, prohibentur. Communionis igitur privationem hoc loco eam intelligendam esse arbitror, qua initiati videlicet iis sacra facientibus nullo modo communicare, sed eos in sacro ministerio penitus aversari jubentur. Communionisque nomine, non sacrorum mysteriorum perceptionem, sed in sacris muneribus ac ministeriis una cum iis ad quos accedunt obeundis societatem hic a Patribus reor esse significatam. Hac siquidem ratione explicatum, nihil hanc ab apostolico canone discrepare, facile apparebit. Deinde subjicit, quod si quis episcopus clericum qui ab una in aliam urbem transivit ordinaverit, promoveus fortassis eum in majorem gradum, episcopo a quo discessit, non consentiente, irrita erit ordinatio.

ΑΡΙΣΤ. *Ὅσοι πρεσβύτεροι καὶ διάκονοι τῆς ἐκκλησίας ἀναχωρήσουσιν, ἄδεκτοι εἰς ἑτέραν ἐκκλησίαν γενήσονται· ἀλλ' ἐπιστρεφέτωσαν εἰς τὴν αὐτῶν παροικίαν. Εἰ δέ τις τὸν ἑτέρῳ*

ARIST. *Quicunque presbyteri vel diaconi ab ecclesia recesserint, in aliam ecclesiam non sunt admittendi, ad suam vero paræciam revertantur. Si quis autem eum qui ad aliam pertinet, sine pro-*

prii episcopi sententia ordinaverit, irrita erit ordinatio.

Et hic canon eadem ac prior decernit, ut nullus presbyter aut diaconus qui ab ecclesia in qua clericus factus fuit recessit, ab alio episcopo admittatur, sed ut ad suam rursus parœciam redeat. Si quis autem episcopus clericum qui ad alium pertinet, receperit, et eum cum ordinavit ad majorem in sua ecclesia gradum provexerit, præter proprii episcopi sententiam, irrita erit ordinatio.

διαχέροντα χειροτονήσοι χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου, ἄκυρος ἡ χειροθεσία.

Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ διορίζεται· ὥστε μήτε τινὰ πρεσβύτερον ἢ διάκονον τῆς ἐκκλησίας ἐν ᾗ κεκλήρωται ἀναχωρήσαντα, ἐφ' ἑτέρου ἐπισκόπου παραδεχθῆναι, ἀλλ' ἐπιστρέφειν αὖθις εἰς τὴν ἑαυτοῦ παροικίαν. Εἰ δέ τις ἐπίσκοπος τὸν ἑτέρῳ διαφέροντα κληρικὸν παραδέξεται, καὶ χειροτονήσας αὐτὸν, εἰς μείζονα προαγάγῃ βαθμὸν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου, ἀκυρωθήσεται ἡ χειροθεσία.

78 CANON XVII.

Quoniam multi qui in canone recensentur, plura habendi studium et turpe lucrum persequentes, divinæ Scripturæ obliti sunt : quæ dicit : « Argentum suum non dedit ad usuram [41] : » et fœnerantes, centesimas exigunt : æquum censuit sancta

ΚΑΝΩΝ ΙΖ'.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκερδίαν διώκοντες, ἐπελάθοντο τοῦ θείου Γράμματος λέγοντος· « Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, » καὶ δανείζοντες ἑκατοστὰς (63) ἀπαιτοῦσιν· ἐδι-

[41] Lev. xxv, 37

Guill. Beveregii notæ.

(63) *Ἑκατοστάς.* Apud veteres Græcos, pariter ac Latinos, antiqua obtinuit consuetudo, ut qui pecunias fenori dederint, singulis mensibus centesimam sortis sive summæ, quanta fuit, partem a debitoribus exigerent : adeo ut centum elapsis mensibus usura ipsam sortem adæquaret. Et hinc est, quod S. Basilius M. dicat, quod qui nummos fenore accepit, φοβεῖται τοὺς μῆνας ὡς τόκων πατέρας, *expavescit menses tanquam usurarum parentes.* Basil. in Psal. xiv. De hac menstrua fenoris solutione Aristophanes sæpe meminit, apud quem Strepsiades, qui multum pecuniæ mutuo acceperat, cum Socrate deliberans, qua demum ratione creditores suos circumscriberet, egregium se commentum excogitasse ait, quo rem sibi statim effectam daret, ut lunam nimirum cœlo direptam in loculo veneficæ ope concluderet; luna enim non oriente, nec creditores ejus noscere potuissent, quando exigenda esset usura; sic enim illi colloquuntur in Aristoph. Nubibus, Act. II, scen. 1 :

Στρ. Γυναῖκα φαρμακὶδ' εἰ πριάμενος Θετταλὴν,
Καθέλοιμι νύκτωρ τὴν σελήνην· εἶτα δὴ
Αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
Ὥσπερ κάτοπτρον κἄτα τηροίην ἔγχυτον.
Σω. Τί δῆτα τοῦτ' ἂν ὠφελήσειέ σ'· Στρ. ὅτι
Εἰ μηκέτ' ἀντέλλοι σελήνη μηδαμοῦ,
Οὐκ ἂν γ' ἀποδοίην τοὺς τόκους. Σω. Τίη τί δή;
Στρ. Ὑτιὴ κατὰ μῆνά γ' ἀργύριον δανείζεται.

Str. Si Thessalicam mihi quamdam emam veneficam
Et nocte lunam ipsam diripiam cœlitus,
Atque in rotundum loculum concludam, velut
Spectrum : ac postea sic asservans custodiam.
So. Quid vero hoc commodaverit tibi? Str. Quia,
Si luna nunquam terræ oriatur amplius,
Nulli persolvam usuras. So. Quid ita? mi senex.
Str. Quia argentum secundum mensem fenerat.

In quem locum scholiastes observat, τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο· εἰ γοῦν οὐκ ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; *Nam confecta luna usuræ pendebantur; si igitur ea non oriretur, quomodo creditores ex eo quod vertentem mensem cognoscerent, usuras repeterent?* Hinc etiam constat; non qualibet mensis die, sed τελουμένης σελήνης, ultima nimirum die, quæ ἕνη καὶ νέα dicta est, usuras exactas esse. Unde et idem Strepsiades alibi ait, Act. IV, scen. 1 :

Πέμπτη, τετρὰς, τρίτη, μετὰ ταύτην δευτέρα,
Εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
Δέδοικα, καὶ πέφρικα, καὶ βδελύττομαι,
Εὐθὺς μετὰ ταύτην ἔσθ' ἕνη καὶ νέα.
Πᾶς γάρ τις ὄμνυσ' οἷς ὀφείλων τυγχάνω
Θείς μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν.

En quinta, quarta, tertia et secunda : et quam ego
Ex omnibus diebus timeo maxime
Planeque horreo, et abominor, nox imminet,
Vetus et nova, mensium dies tricesima.
Nam omnes, quibus ego aliquid argenti debeo,
Depositi in judicio pecunia mihi minantur,
Ac jurant, quod funditus velint
Me perdere, et omnibus bonis evertere.

Hinc Pasias Danista eumdem Strepsiadem vocat ἐς τὴν ἕνην καὶ νέαν, ibid. scen. 4. Alibi etiam Solon hanc legem primus tulisse dicitur, ἵνα θέσεις γίγνοιντο τῇ νουμηνίᾳ, *ut depositiones fierent neomenia*, ibid. scen. 3. Creditor igitur usuras suas ἕνῃ καὶ νέᾳ, hoc est, ultima die mensis exigebat, ἕνα καὶ νέα vocata, ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτὸς, *quod tam de vetere quam novo lumine participet :* ut ait ibidem Scholiastes. Deponendæ autem erant usuræ a debitore τῇ νουμηνίᾳ, proxima die, Kalendis Latine dictis. Hoc autem et Latinis in more positum fuisse, ut fenerators usuram a debitoribus, Kalendis cujusque mensis repeterent, testis est Horatius, Satyr. I. I, sat. 3 :

Odisti et fugis, ut Drusonem debitor æris,
Qui nisi cum tristes misero venere Kalendæ
Mercedem, et nummos unde unde extricat.

Et hinc etiam est, quod Kalendis nummos in fenore ponere consueti sunt, Horat. Epod. 2 :

Hæc ubi locutus fenerator Alphius
Jam jam futurus rusticus,
Omnem redegit Idibus pecuniam;
Quærit Kalendis ponere.

Porro fenerator non indefinitam aliquam, sed centesimam nummi locati partem singulorum mensium Kalendis exigere solitus est; adeo ut centum librarum sors, singulis mensibus unam, et consequenter singulis annis vertentibus duodecim libras pareret. Hinc τόκος ἑκατοστιαῖος; appellatur a D. Chrysostomo, in Matth. hom. 56, p. 362, sed frequentius simpliciter Græcis ἑκατοστὴ, Latinis, *centesima;* ut apud Chrysostomum loco ante citato, οὗτος μόλις ἑκατοστὴν ἀποδίδωσι, ἐκεῖνος δὲ (Θεὸς) ἑκατονταπλασίονα καὶ ζωὴν αἰώνιον. Et alibi, ὅτι ἐπὶ τούτου τοῦ δανείου οὐκ ἔστιν ἀγνωμοσύνην

καίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος ὡς, εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων, ἐκ μεταχειρίσεως, ἢ ἄλλως μεταχόμενος τὸ πρᾶγμα, ἡμιολίους ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

et magna synodus, ut si quis inventus fuerit post statutum usuras ex mutuo sumere, vel eum aliter persequi, sesquialteras exigens, vel aliquid aliud excogitare turpis quæstus gratia, e clero deponatur, et sit alienus a canone.

ΒΑΛΣ. Ὁ μδ' ἀποστολικὸς κανὼν τοὺς ἀπαιτοῦντας τόκους ἀπὸ δανείου, πρεσβυτέρους ἢ διακόνους, καθαιρεῖσθαι φησιν εἰ μὴ παύσωνται. Ὁ δὲ παρὼν κανὼν πάντας τοὺς κληρικοὺς τοὺς μετὰ τόκου δανείζοντας, ἢ ἡμιολίας ἀπαιτοῦντας, ἢ ἕτερόν τι αἰσχρὸν κέρδος ἑαυτοῖς ἐπινοοῦντας, καθαιρεῖσθαι ἐδικαίωσεν, ἀντὶ τοῦ οὕτω δίκαιον εἶναι ἔκρινε. Ζήτει τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα, καὶ τὸ κζ' κεφάλ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, λέγον ἐν μέρει ἀπαιτεῖσθαι τόκους καὶ παρὰ ἱερωμένων, δηλονότι ἀπὸ διαφέροντος, καὶ τοὺς ἐξ ὑπερθέσεως. Τοῦ δὲ ἀποστολικοῦ κανόνος καὶ ἑτέρων διοριζομένων τοὺς ἱερωμένους τοκίζοντας καθαιρεῖσθαι, εἰ μὴ παύσωνται, ἐρωτήσει τις, Ἐκείνοις ὀφείλομεν προσέχειν, ἢ τῷ παρόντι κανόνι λέγοντι ἀπεντεῦθεν αὐτοὺς καθαιρεῖσθαι ; Λύσις. Ὡς ἐμοὶ δοκεῖ, μετὰ παραγγελίαν ὁ κληρικὸς μὴ ἀφιστάμενος τῆς αἰσχροκερδείας, καθαιρεθήσεται, διὰ τὸ τοῦ ἀποστολικοῦ κανόνος φιλανθρωπότερον. Σημείωσαι οὖν τὸν κανόνα διὰ τοὺς ἱερωμένους τοὺς ἐμπορευομένους οἰνάρια, καὶ

BALS. Quadragesimus quartus canon apostolicus, eos qui ex mutuo usuras exigunt, presbyteros, vel diaconos deponi jubet, nisi cessent. Præsens autem canon, omnes clericos qui fœnerantur, vel sesquialteras exigunt, vel aliquod aliud turpe lucrum excogitant, deponi ἐδικαίωσεν, hoc est, sic æquum censuit. Quære et quæ scripta sunt in dicto apostolico canone : et 27, cap. 9, tit. præsentis Operis, dicens, ex parte ab iis qui sacris ordinibus initiati sunt, etiam usuras repeti, scilicet et ex eo quod interest, et ex mora. Cum vero apostolicus canon et alii, decernant, sacerdotes fœnerantes deponi, nisi cessaverint, an eos attendere debemus, an præsentem canonem, qui dicit ipsos ex hoc ipso deponi? Solutio. Ut mihi videtur, clericus, post denuntiationem, a turpi lucro non abstinens, deponetur, eo quod canon apostolicus humanius loquatur. Nota ergo canonem propter sacerdotes, qui vina cauponantur, et balnea conducunt, et quædam alia ejusmodi faciunt, et quæ canoni non subjicitur, ultimam ancoram paupertatem prætexunt. Verbum

Guill. Beveregii notæ.

ὑποπτῆναι, οὐδὲ ἑτέραν τινὰ ζημίαν· οὐδὲ γὰρ καθάπερ ἐνταῦθα ἑκατοστὴν μόνον ὑπισχνεῖται δώσειν, ἀλλὰ ἑκατονταπλασίονα τῶν διδομένων, καὶ οὐδὲ μέχρι τούτου ἵσταται. Id. in *Gen.* λογ. γ'. p. 16, rursus, τὸ μὴν εὐγνωμονοῦντα θεὸν καὶ οὐχὶ ἑκατονταπλασίονα παρέχοντα ἀφέμεν. Id. in Rom. λογ'. ζ'. p. 52. Plinius secundus, *Proinde prima quaque occasione mitte, appositis quidem usuris, quas ego (non possum parcius) centesimas computabo.* Plin. epist. 205. Cicero, *Postquam tu es profectus in creditorum causa, ut centesimæ perpetuo fenore ducerentur.* Cicer. ad Att. l. v. Epist. 21. *Interim cum ego in edicto Tralaticio centesimas me observaturum haberem, cum anatociis anniversario.* ibid. *Nam a Cæcilio propinquus minore centesimis nummum movere non possunt,* ibid. l. i, xii. Justinianus, *In trajectitiis autem contractibus, vel specierum fenori dationibus, usque ad centesimam tantummodo licere stipulari,* l. xxvi, c. *de usuris.* Sed ut alia, quæ passim occurrunt, hujusmodi testimonia mittam, D. Ambrosius centesimarum harum rationem optime explicat, dicens, *Unde etiam τόκους Græci appellaverunt usuras, eo quod dolores partus animæ debitoris excitare videantur. Veniunt Kalendæ, parit sors centesimam. Veniunt menses singuli, generantur usuræ. Malorum parentum mala proles ; hæc est generatio viperarum. Crevit centesima, petitur, nec solvitur, applicatur ad sortem. Fit maledictum propheticum, dolus in dolo, usura improbi fenoris fœtura deterior. Itaque non jam centesima incipit esse, sed summa, id est, non fenoris centesima, sed fœnus centesimæ.* D. Ambros. de Tobia, c. 12. Ex his enim verbis liquet., singulis mensibus centesimas e sorte qualibet generari; adeo ut e sorte centum librarum duodecim fœnebres libræ quotannis oriantur. Unde illud Plinii secundi, *Nec inveniuntur, qui velint debere reipublicæ, præsertim duodecis assibus, quanti a privatis mutuantur.* Plin. *Epist.* l. x. 62. Et disertius Zonoras in hunc canonem, Καὶ ἦν ὁ τόκος τῶν ἑκατὸν νομισμάτων, νομίσματα δώδεκα, videlicet annuatim. Hæc igitur est illa usuræ species, qua accipienda in præsenti canone clericis nominatim interdicitur : nec a præsenti solo, sed etiam a Syn. Trull. can. 10. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Quinetiam lex civilis laicis quoque centesimalem hanc usuram moderata est ; sic enim statuit Justinianus : « Super usurarum vero quantitate, etiam generalem sanctionem facere necessarium esse duximus, veterem duram, et gravissimam earum molem ad mediocritatem deducentes. Ideoque jubemus illustribus quidem personis, sive eas præcedentibus, minime licere ultra tertiam partem centesimæ, usurarum nomine, in quocunque contractu, vili, vel maximo stipulari. Illos vero, qui ergasteriis præsunt, vel aliquam licitam negotiationem gerunt, usque ad bessem centesimæ, usurarum nomine, in quocunque contractu suam stipulationem moderari. In trajectitiis autem contractibus, vel specierum fenori dationibus, usque ad centesimam tantummodo licere stipulari, nec eam excedere ; licet veteribus legibus hoc erat concessum. Cæteros autem omnes homines dimidium tantummodo centesimæ usurarum nomine posse stipulari, et eam quantitatem usurarum, etiam in aliis omnibus casibus, nullo modo ampliari, in quibus citra stipulationem exigi usuræ solent, » l. xxvi, par. i, c. *de usuris.* Ubi obiter observatum velim leges civiles eamdem admittere usuræ quantitatem, quæ in nostra hac natione etiamnum obtinet. Nam dimidia centesimæ, est 6, per centum. Vide etiam Balsamonis responsum ad Interrog quart. Marci Alexandr. in juris Græco-Romani t. v, p. 564. Attaliatæ synopsin, tit. 20, et Basilic. l. xxiii, tit. 5.

autem quod in præsenti canone comprehenditur, et dicit, vel rem aliter persequi, vel sesquialteras exigere, est hujusmodi : quidam sacerdotes canonem intelligentes, et ipsum circumscribentes, verba quidem servant, mentem autem negligunt. Dant enim nonnullis pecuniam, et tantam ex lucro partem se capturos paciscuntur : periculum autem agnituros qui eam accipiunt, et cum sint revera fœneratores, verbo tamen societatem prætexunt. Hoc ergo canon aversatur, et eos qui hujusmodi quid faciunt, deponit. Sesquialteras autem intellige leviores usuræ exactiones. Quamvis enim, inquit, centesimas usuras gravissimas non exigat clericus, sive pro singulis nummorum libris, duodecim solidos (centesimæ namque a canonibus appellatæ sunt usuræ centesimæ, utpote quod olim non exagia 72 libra complecteretur, ut nunc usus obtinet, sed centum) petat autem dimidium totius usuræ, hoc est, sex solidos, vel etiam his pauciores : sic quoque deponetur. Scito autem quandoquidem hodie libra exagia complectitur 72, non 100 ut olim, eum qui centesimas pro libra usuras se accepturum pactus est, non duodecim solidos exacturum, sed pro rata parte.

βαλανεῖα παχτεύοντας, καὶ ἄλλα ἄττα τινὰ τοιαῦτα ποιοῦντας, καὶ προβαλλομένους ἀκανόνιστον τελευταίαν ἀγκυραν τὴν πενίαν. Τὸ δὲ ῥῆμα τὸ περιεχόμενον ἐν τῷ παρόντι κανόνι, καὶ λέγον, Ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα ἢ ἡμιολίας ἀπαιτῶν, τοιοῦτόν ἐστιν · τινὲς τῶν ἱερωμένων, εἰδότες τὸν κανόνα καὶ περιγράφοντες αὐτὸν, τὰ μὲν ῥήματα φυλάττουσι, τὸν δὲ νοῦν ἀθετοῦσι. Διδόασι γὰρ πρός τινας ἀργύρια, καὶ συμφωνοῦσι τοσήνδε μερίδα ἐκ τοῦ κέρδους αὐτοὺς λαμβάνειν · τὸν δὲ κίνδυνον ἐπιγινώσκεσθαι παρὰ τῶν λαμβανόντων αὐτά · καὶ τῇ ἀληθείᾳ δανεισταὶ ὄντες, κοινωνοὶ λέγεσθαι σχηματίζονται. Ἀποτρέπεται γοῦν καὶ τοῦτο ὁ κανών, καὶ καθαιρεῖ τοὺς ποιοῦντας τοιοῦτόν τι. Ἡμιολίας δὲ νόησον τὰς ἐλαφροτέρας ἀπαιτήσεις τοῦ τόκου. Κἂν καὶ, φησὶν, οὐκ ἀπαιτῇ ὁ κληρικὸς ἑκατοστιαίους τόκους βαρυτάτους, ἤτοι ὑπὲρ ἑκάστης ὑπερπύρων λίτρας ὑπέρπυρα ιβ', δώδεκα (64) (ἑκατοσταὶ γὰρ παρὰ τῶν κανόνων ἐκλήθησαν οἱ ἑκατοστιαῖοι τόκοι · ὡς ἐκ παλαιοῦ τῆς λίτρας μὴ ποσουμένης εἰς ἐξάγια οβ' κατὰ τὸ σήμερον ἐνεργοῦν, ἀλλὰ εἰς ρ') · ζητεῖ δὲ τὰ ἡμίσια τοῦ ὅλου τόκου, ἤγουν ιβ'. ἓξ ἢ καὶ τούτων ἥττονα · καὶ οὕτω καθαιρεθήσεται. Ἔσο δὲ εἰδὼς ὡς, ἐπεὶ ἡ λίτρα σήμερον ἐξάγια ἔχει οβ', καὶ οὐχὶ ρ', ὡς τὸ παλαιὸν, ὁ συμφωνήσας τόκους λαβεῖν ὑπὲρ λίτρας, οὐκ ἀπαιτήσει ιβ, ἀλλὰ τὸ ἀναλογοῦν.

ZONAR. Fœnus, veteri quoque Lege vetitum

ΖΩΝΑΡ. Ἐπὶ τόκῳ δανείζειν καὶ ὁ παλαιὸς νόμος

Guill. Beveregii notæ.

(64) *Ὑπὲρ ἑκάστης ὑπερπύρων λίτρας ὑπέρπυρα* ιβ *δώδεκα.* Ex his verbis perspicuum redditur, quam egregie hallucinantur, qui ὑπέρπυρα *Ignita*, cum Leunclavio, aut *vela coloris ignei*, cum aliis interpretantur. Ex hoc enim loco apertissime constat, ὑπέρπυρον, non tantum nummi genus esse, sed et centesimam esse litræ sive libræ partem. Hic enim Balsamon docet, pro singulis hyperpyrorum libris duodecim hyperpyra accipere, esse τόκους ἑκατοστιαίους, *centesimas usuras* ; quæ, ut ante ostensum est, erant 12 in centum ; ac proinde centum fuisse ὑπέρπυρα in quavis libra, cuique obvium est ; alioquin enim duodecim ὑπέρπυρα pro singulis libris exigere, τόκος ἑκατοστιαῖος esse non potuit. Proximis autem verbis observatur, libram olim etiam ex centum exagiis constitisse. Unde constat ἐξάγια etiam ejusdem fuisse valoris atque ὑπέρπυρα. Dicta sunt autem et νομίσματα, in ejusdem Balsamonis responsis ad Marcum Alexandrinum, ὅπως δὲ καλοῦνται οἱ τόκοι ἑκατοστιαῖοι, τῆς λίτρας μὴ συμποσουμένης εἰς νομίσματα ρ', ἀλλ' εἰς οβ', καιρὸς οὐκ ἔστι λέγειν. Bals. ad Marci interrog. 4. Ergo ὑπέρπυρα, ἐξάγια, et νομίσματα hoc sensu accepta, ejusdem cujus drachmæ, ponderis fuerunt. Nonnunquam enim et centum drachmæ in una libra numerate sunt. Ποτὲ μὲν γὰρ αντὶ τῆς λίτρας ρ' δράχμας γράφουσιν αὐτοὶ, ποτὲ δὲ ἀντὶ τῆς μνᾶς. Galen. των κατὰ γένη lib. VI. Proprie autem libra tantum 96 drachmas continet. Ubi itaque centum habuisse traditur, pro μνᾶ *mina* usurpata est. Et minam quidem nonnunquam idem esse ac libram, testis est Kimchius, dicens, המנא הוא ליטרא *Mina est* λίτρα. Kimch. in 1. Sam. 25. Mina autem centum drachmas pependit. Suidas, ἡ δὲ μνᾶ δραχμῶν ρ'. Suid. in ταλαντον, ἑκατὸν δραχμαὶ ποιουσι μνᾶν μίαν. Id. in μνᾶ. Plinius, *Mina, quam nostri minam vocant, pendet drachmas Atticas centum.*

Plin. nat. Hist. l. XXI, c. 34. Drachma autem Attica *denarii argentei pondus*, uti ibidem scribit Plinius, unde Talmudistæ, המנה מאה דינרין *Mina centum sunt denarii*, Bava 'kama. cap. 4, sect. 1, ὑπέρπυρα igitur ejusdem olim ponderis fuerunt, atque drachmæ, et denarii, nimirum centesima pars libræ ; quo factum est ut quemadmodum centum drachmæ, in Galeni verbis ante laudatis, sic et centum hyperpyra nonnunquam pro libra scribantur. Scholiastes Harmenopuli, Καὶ ἐνταῦθα γὰρ δῆλόν ἐστιν, εἴτε τῷ Πέτρῳ παρ' ἐμοῦ ἠριθμήθησαν τὰ ρ' ὑπέρπυρα, εἴτε ἐμοὶ παρ' ἐκείνου. Schol. Harmenop. lib. I, tit. 15. Sic et in Chronico Constantinopolitano ut a Meursio laudato et correcto, ὅπερ λαβὼν ὁ βασιλεὺς καὶ θαυμάσας δέδωκε τῷ κομίσαντι ὑπέρπυρα ἑκατόν. Utrobique enim τὰ ρ' ὑπέρπυρα unam libram designant. Et ubi Wilhelmus Tyrius ait, *Dotis autem quantitas erat in centum millibus hyperorum justi ponderis, exceptis decem: aliis ejusdem monetæ millibus.* Wilhel. Tyr. de bell. sacro lib. XVIII, c. 12, *hyperorum* mendose scribitur, pro *hyperpyrorum*, quorum centum millia constituunt mille libras : decem millia, centum libras. Secundum hæc in præsenti Balsamonis loco observandum est, post vocem ὑπέρπυρα notam hanc II occurrere, quæ ipsorum hyperpyrorum nota est, ac propterea hoc in loco redundat, quo vox ipsa ὑπέρπυρα tota scribitur. Paucis autem interjectis eadem recurrit, ὑπέρπυρα significans, ut ζητεῖ δὲ τὰ ἡμίσια τοῦ ὅλου τόκου, ἤγουν II ἓξ. et postea, οὐκ ἀπαιτήσει II ιβ'. ἀλλὰ τὸ ἀναλογοῦν. Utrobique enim ista figura ὑπέρπυρα denotat, ut ex ipso verborum sensu constat. Gentianus Hervetus ὑπέρπυρα hic *solidos* vertit ; quam etiam versionem nos admittimus, quoniam usus obtinuit, ut libra in solidos primo distribuatur. Solidus autem hoc in loco non vicesimam, sed centesimam libræ partem significat.

ἅπασιν ἀπηγόρευσε. Φησὶ γὰρ, *Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου.* Εἰ δὲ ὁ ἀτελέστερος; τοῦτο ἐνομοθέτησε, πολῷῳ πλέον ὁ τελειώτερος; καὶ ὁ πνευματικώτερος. Ἰδοὺ γὰρ πλέον τοῦ ἱεροῦ ὧδε. Ἅπασι μὲν οὖν ἀποτέτραπται τὸ ἐπὶ τόκῳ δανείζειν· εἰ δ' ἅπασι, μᾶλλον ἂν εἴη τοῖς ἱερωμένοις τοῦτο ἀνάρμοστον, οἳ καὶ τοῖς λαϊκοῖς εἰς ὑπόδειγμα καὶ προτροπὴν εἰς ἀρετὴν εἶναι ὀφείλουσι. Διὸ καὶ ὁ κανὼν ἀπαγορεύει τοῖς ἐν τῷ κανόνι ἐξεταζομένοις, ἤτοι τοῖς ἐν κλήρῳ τεταγμένοις ἑκατοστὰς ἀπαιτεῖν, τόκους δηλαδὴ ἑκατοστιαίους. Πολυαρίθμων γὰρ ὄντων τῶν τόκων, βαρύτεροι τῶν ἄλλων οἱ ἑκατοστιαῖοί εἰσιν. Ὥσπερ γὰρ τοῖς νῦν αἱ λίτραι μέχρι τῶν ἑβδομήκοντα δύο ἀριθμοῦνται, οὕτω τοῖς παλαιοῖς αἱ ἑκατοντάδες ἦσαν, καὶ ἦν ὁ τόκος τῶν ἑκατὸν νομισμάτων νομίσματα δώδεκα· διὸ καὶ ἑκατοστιαῖος ἐλέγετο, ὡς ἐπὶ τοῖς ἑκατὸν ἀπαιτούμενος. Ἀπαγορεύσασα οὖν ἡ σύνοδος λαμβάνειν τόκους τοὺς ἐν κλήρῳ, ἐπάγει τοῖς μὴ φυλάξουσι τὸν κανόνα καὶ ἐπιτίμιον, καί φησιν· Ἐδικαίωσεν ἡ ἁγία σύνοδος, ἀντὶ τοῦ, δίκαιον ἡγήσατο, ἵνα εἴ εὑρεθείη τις μετὰ τὰ ὁρισθέντα νῦν λαμβάνων τόκους ἐκ μεταχειρίσεως, ἤγουν ὡς οἷόν τινα πραγματείαν τὸ τοκίζειν μεταχειριζόμενος ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα. Τινὲς γὰρ, ἐκφεύγοντες τὸ λέγεσθαι περὶ αὐτῶν ὅτι τόκους λαμβάνουσι, διδόασι τοῖς χρῄζουσιν ἀργύρια, καὶ συμφωνοῦσι συμμερίζειν αὐτοῖς τὸ κέρδος· καὶ οὐ δανειστὰς ἑαυτοὺς, ἀλλὰ συγκοινωνοὺς ὀνομάζουσι, καὶ ζημίας μὴ ὄντες κοινωνοὶ, ἐπὶ τῷ κέρδος μόνῳ κοινοπραγοῦσι. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα πάντα ἀπαγορεύων ὁ κανὼν καθαιρεῖσθαι κελεύεται τοὺς τοιαῦτα τεχνάζοντας, ἢ ἕτερόν τι ἐπινοοῦντας; αἰσχροῦ κέρδους; χάριν, ἢ ἀπαιτοῦντας ἡμιολίας. Εἰπὼν ἄνω περὶ ἑκατοστιαίου τόκου, ὃς τῶν τόκων ἐστὶν ὁ βαρύτερος, ὡς προείρηται, παρακατιὼν καὶ τοῦ κουφοτέρου ἐμνήσθη τῆς ἡμιολίας, ἥτις ἐστὶ τοῦ ὅλου τὸ ἥμισυ, ἤγουν τῶν δώδεκα νομισμάτων, ἅτινά εἰσι τῆς ἑκατοστῆς ὁ πληρέστατος καὶ ὁλόκληρος τόκος. Εἶποι δ' ἂν τις τὰς ἡμιολίας καὶ κατὰ ἀριθμητικούς. Ἐκείνοις γὰρ οἱ μὲν τῶν ἀριθμῶν ἐπίτριτοι (65) λέγονται, οἱ δὲ ἐπιτέταρτοι, ἐπίπεμπτοί τε καὶ ἔφεκτοι· οἱ δὲ ἡμιόλιοι ὡς ὁ ἕξ, καὶ ὁ ἐννέα, ὅτι ὅλους ἔχουσιν ἐν ἑαυτοῖς ἀριθμοὺς, καὶ τὰ ἥμισυ αὐτῶν. Ἔχουσι γὰρ ὁ μὲν ἓξ τὰ τέσσαρα καὶ τῶν τεσσάρων τὸ ἥμισυ, ὅ ἐστι

A universis fuit. Dicit enim, *Pecuniam fratri tuo non fœneraberis*[64]. Quod si illa minus perfecta Lex sanxit, multo magis nostra quæ perfectior est et spiritalior. Ecce enim aliquid templo amplius est hic. Omnibus quidem igitur fœneratitio lucro interdictum, sed ab eorum instituto, qui sacro ordini mancipati, exemplo laicis atque invitamento ad virtutem esse debent, alienissima ea ratio est. Proinde, quicunque in canone recensentur, hoc est, in clerum cooptati sunt, centesimas exigere prohibentur (usuras vid. centesimas), et quidem cum multa sunt usurarum genera, graviores reliquis sunt centesimæ. **79** Ut enim hoc tempore libræ, ad septuaginta, duabus additis, numerantur, ita prisci habuere centurias, atque in centenos nummos B duodeni, fœneris nomine, solvebantur. Ex quo centesimæ quoque nomen, quod ex centenis exigeretur, petitum est. Synodus itaque cum prohibuisset clericos usuras accipere, pœnam quoque in eos, qui non obtemperaverint, constituit. Et sit, ἐδικαίωσεν, hoc est, æquum censuit sancta synodus, ut si quis post ea quæ nunc statuuntur, inventus fuerit usuras ex tractatione, hoc est, quasi instar negotiatoris fœnerationem sibi tractandam suscipiens, aut alia quacunque ratione exigens. (Fœneratorii enim nominis infamiam aliqui declinantes, pecuniam ita dant mutuam, ut sibi lucri partem ex ea paciscantur, nec se fœneratores, sed socios dicunt, ac emolumentorum tantummodo participes, C nullum interea jacturæ periculum subeunt.) Hæc igitur et hujusmodi omnia canon vetat, eaque qui exercent, aut aliud quidpiam turpis lucelli gratia excogitaverint, aut sesquialteras exegerint, deponi jubet. Cum namque supra egerit de centesimis, quæ sunt omnium usurarum, ut diximus, iniquissimæ, mox eam quæ minus injuriæ habet, sesquialteram quoque rejicit. Est autem sesquialtera, totius dimidium, duodecim videlicet nummorum altera pars, ex quibus conficitur centesimæ integrum atque perfectum fœnus. Sed dicat fortasse aliquis sesquialteras etiam juxta arithmeticos. Apud illos namque numerorum alii ἐπίτριτοι dicuntur, hoc est, sesquitertii, alii ἐπιτέταρτοι, ἐπίπεμπτοι et ἔφεκτοι, quasi sesquiquartos dicas, quintos et sextos, alii vero sesquialteri, ut senarius et novenarius, quod totum, ac ejus præterea dimidiam partem D

[64] Deut. xxiii, 19.

Guill. Beveregii notæ.

(65) *Οἱ μὲν ἀριθμῶν ἐπίτριτοι.* Quisnam proprie sit ἀριθμὸς ἐπίτριτος docuit olim Aulus Gellius, dicens, *Epitritos autem est, qui habet totum aliquem numerum, et ejusdem partem tertiam: ut quatuor ad tres: duodecim ad novem: quadraginta ad triginta.* Aul. Gell. *Noct. Att.* l. xviii, c. 14. Necnon Macrobius, *Et est epitritus*, inquit, *cum de duobus numeris major habet totum minorem, et insuper ejus tertiam partem: ut sunt quatuor ad tria, nam in quatuor sunt tria et tertia pars trium, id est, unum. Et is numerus appellatur Epitritus, ex eoque nascitur symphonia, quæ appellatur διὰ τεσσάρων.* Macrob. in *Somn. Scip.* l. ii, c. 1. Eadem itaque ratione et ἐπιτέταρτος est major ille numerus, qui minorem habet, et quartam insuper istius partem: ut decem sunt ad octo; nam in decem sunt octo, et quarta pars octo, sive duo. Sic etiam quinque, quindecim, viginti, etc., sunt numeri ἐπιτέταρτοι. Idem et de numeris ἐπιπέμπτοις et ἐφέκτοις dicendum est: nam ἐπίπεμπτος est, qui minorem cum quinta, ἔφεκτος qui minorem cum sexta illius parte continet. Sic duodecim ad decem est ἐπίπεμπτος, quatuordecim ad duodecim ἔφεκτος.

continent, senarius quidem quaternum, ejusque dimidium, qui est binarius, novenarius senarium senariique dimidium, nempe ternarium. Sed quocunque demum pacto sesquialteram intelligas, ea videlicet canonis est sententia, ut clericis non gravissimarum solum, sed mediocrium quoque usurarum exactione interdictum esse denuntiet.

ARIST. *Si quis usuras, aut sesquialteras accipit, alienus erit, et post hanc Ecclesiæ determinationem depositus.*

Centesimæ quidem usuræ quæ omnium habentur maximæ, duodecim sunt numismata, dimidiæ autem earum, sex. Si quis itaque e consecratis mutuo dans alicui per usuram vel graviores exiget usuras sive centesimas, vel sesquialteras, sive dimidium earum aut sextas, ut divinæ oblitus Scripturæ dicentis, *Pecuniam suam non dedit in usuram* [43], clero deponetur : etsi quadragesimus quartus apostolorum canon et sextæ synodi in Trullo decimus non exinde eum deponunt nisi quando admonitus hoc facere non desinat.

80 CANON XVIII.

Pervenit ad sanctam synodum, quod in nonnullis locis et civitatibus diaconi dant presbyteris Eucharistiam, quod neque canon, neque consuetudo tradidit, ut qui offerendi potestatem non habent, iis qui offerunt, dent corpus Christi. Jam vero illud etiam cognitum est, quod quidam ex diaconis etiam ante episcopos Eucharistiam attingunt. Hæc ergo omnia auferantur, et diaconi intra suas mensuras permaneant, scientes quod sunt quidem episcopi ministri, presbyteris vero minores. Accipiant autem suo ordine Eucharistiam post presbyteros, ea præbente episcopo vel presbytero. Sed nec in medio quidem presbyterorum liceat diaconis sedere. Id fit enim præter canonem et ordinem. Si quis autem non vult obedire, etiam post has constitutiones, a diaconatu desistat.

BALS. Quod magna sit sacerdotum dignitas, sed multo major episcoporum, et quod debent diaconis præponi, ex ipsis factis ostenditur. Illis enim servitur, hi vero serviunt. Quidni ergo præferri debent ii quibus ministratur, iis qui ministrant? Quoniam autem nonnulli, inquit, diaconi, ordinem in civitatibus dissolventes, ante episcopos accipiunt, et dant presbyteris Eucharistiam : et cum omnino debeant a presbyteris et sacerdotibus sanctificari, quoniam etiam Apostolus dicit, Quod minus est, ab eo quod est præstantius, benedicitur [44] : non stant iis quæ decreta sunt, et in congregationibus etiam sedent in medio presbyterorum : definitum est ut diaconi ab episcopo vel presbytero accipiant, et ut post sacerdotes sacrorum mysteriorum participes fiant : et ne in medio-

[43] Levit. xxv, 37. [44] Hebr. vii 7

τὰ δύο · ὁ δὲ ἐννέα τὰ ἓξ καὶ τούτων τὸ ἥμισυ, τὰ τρία δηλονότι. Διὰ γοῦν ἡμιολίας, ὡς ἂν νοοῖτο αὕτη, τοῦτο μονονουχὶ λέγει ὁ κανών, ὡς εἰ μόνον τὸν βαρύτερον οὐ λήψονται τόκον οἱ ἐν τῷ κλήρῳ, ἀλλ' οὐδὲ ἄλλον τινὰ μετριώτερον.

ΑΡΙΣΤ. *Εἴ τις τόκους ἢ ἡμιολίας λαμβάνοι, ἀλλότριος ἔσται, μετὰ τὸν ὅρον τοῦτον τῆς Ἐκκλησίας καθαιρούμενος.*

Οἱ μὲν ἑκατοστιαῖοι τόκοι, οἵτινες καὶ μείζονες τῶν τόκων πάντων γνωρίζονται, τὰ δώδεκά εἰσι νομίσματα · οἱ δὲ ἡμίσεις τούτων τὰ ἓξ. Εἴ τις οὖν τῶν ἱερωμένων, δανείσας τινὶ, ἢ τοὺς βαρυτέρους ἀπαιτήσει τόκους, ἤγουν τοὺς ἑκατοστιαίους, ἢ ἡμιολίας, ἤτοι τὸ ἥμισυ τούτων, ἤγουν τὰ ἓξ, ὡς τοῦ θείου ἐπιλαθόμενος γράμματος τοῦ λέγοντος, *Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ*, τοῦ κλήρου καθαιρεθήσεται · κἂν ὁ τεσσαρακοστὸς τέταρτος τῶν ἁγίων ἀποστόλων καὶ ὁ δέκατος τῆς ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ οὐκ ἀπεντεῦθεν αὐτὸν καθαιροῦσιν · ἀλλ' ὅταν παραγγελθεὶς οὐ παύηται τοῦτο ποιῶν.

ΚΑΝΩΝ ΙΗ'.

Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον ὅτι ἔν τισι τόποις καὶ πόλεσι τοῖς πρεσβυτέροις τὴν Εὐχαριστίαν οἱ διάκονοι διδόασιν, ὅπερ οὔτε ὁ κανὼν οὔτε ἡ συνήθεια παρέδωκεν, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. Κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς Εὐχαριστίας ἅπτονται. Ταῦτα οὖν πάντα περιῃρήσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ ἐπισκόπου ὑπηρέται εἰσὶ, τῶν καὶ πρεσβυτέρων ἐλάττους. Λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν τὴν Εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου μεταδιδόντος αὐτοῖς ἢ τοῦ πρεσβυτέρου. Ἀλλὰ μὴ καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις · παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. Εἰ δέ τις μὴ θέλει πειθαρχεῖν καὶ μετὰ τούτους τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας.

ΒΑΛΣ. Ὅτι μέγα ἐστὶ τὸ τῶν ἱερέων ἀξίωμα, πολλῷ δὲ πλέον τὸ τῶν ἐπισκόπων, καὶ οὗτοι τῶν διακόνων προτιμᾶσθαι ὀφείλουσιν, ἐξ αὐτῶν τῶν ἔργων παρίσταται. Οἱ μὲν γὰρ δουλεύονται, οἱ δὲ δουλεύουσι. Πῶς γοῦν οὐκ ὀφείλουσι προτιμᾶσθαι οἱ διακονούμενοι τῶν διακονούντων; Ἐπεὶ δέ, φησὶ, τινὲς διάκονοι τὴν τάξιν ἔν τισι πόλεσι παραλύοντες, πρὸ τῶν ἐπισκόπων μεταλαμβάνουσι, διδόασι δὲ καὶ τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν, καὶ ἁπλῶς ὀφείλοντες ἁγιάζεσθαι ὑπὸ τῶν ἐπισκόπων καὶ τῶν ἱερέων, ὅτι καὶ ὁ ἀπόστολός φησι . Τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, οὐκ ἐμμένουσι τοῖς δεδομένοις · καὶ ἐν ταῖς συνάξεσι δὲ κάθηνται μέσον τῶν ἱερέων · ὡρίσθη, ἀπὸ τοῦ ἐπισκόπου ἢ τοῦ πρεσβυτέρου μεταλαμβάνειν τοὺς διακόνους, καὶ μετὰ τοὺς ἱερεῖς τῶν ἁγιασμάτων ἀξιοῦσθαι, καὶ μηδὲ μέσον καθῆσθαι

πρεσβυτέρων· ἢ μὴν τοὺς μὴ πειθαρχοῦντας οὕτω ποιεῖν παύεσθαι τῆς διακονίας. Ταῦτα τοῦ κανόνος διορίζομένου, τὸ μὲν μεταλαμβάνειν τοὺς διακόνους πρὸ τῶν ἐπισκόπων, ἢ διδόναι αὐτοὺς τὴν εὐχαριστίαν ἤτοι τὰ ἅγια τοῖς ἱερεῦσιν, οὐ παραχωρεῖται· ἀλλ' οὐδὲ τὸ καθῆσθαι διάκονον ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ μέσον τῶν ἱερέων· τὸ δὲ καθῆσθαί τινας ἀπὸ τῶν ἐκκλησιαστικῶν διακόνων εἰς τὰς ἔξω τοῦ βήματος συνάξεις τέως πρὸ τῶν πρεσβυτέρων βλέπομεν γινόμενον· καὶ οἶμαι γίνεσθαι τοῦτο διὰ τὰ ἀρχοντίκια· μόνοι γὰρ οἱ ἀξιωθέντες ἀρχοντικίων ἐκκλησιαστικῶν παρὰ τοῦ πατριάρχου, πρὸ τῶν ἱερέων κάθηνται. Γίνεται δὲ τοῦτο παραλόγως. Ἀνάγνωσον τῆς ς' συνόδου κανόνα ζ'. Ὁ γὰρ κατὰ καιροὺς χαρτοφύλαξ τῆς ἁγιωτάτης Μεγάλης ἐκκλησίας προκάθηται ἐν ταῖς ἔξω τῆς συνόδου συνάξεσιν οὐ μόνον τῶν ἱερέων, ἀλλὰ καὶ τῶν ἀρχιερέων ἀπὸ προστάξεως τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, οὕτως ἐχούσης· Ἡ βασιλεία μου (66), τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔτακτον καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπὶ πλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν ἀπονεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν, κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἑξῆς εἶναι καὶ διαμένειν βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀνεξάλλακτον ἕως τοῦ νῦν μεταβάσεσιν ἐπικριθεῖσαν, καὶ βεβαιωθεῖσαν καλῶς. Ἐπεὶ δὲ νῦν ἡ βασιλεία μου μάθοι ὡς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προσφέροντες, διὰ τούτων φιλονεικοῦσι μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέει τούτου συνέρχεσθαι κατά τινα χρείαν, καὶ συνεδριάζειν κατὰ ταὐτὸν, πρὸ τῆς εἰς τὴν ἁγιωσύνην σου εἰσελεύσεως οὐκ ἀνασχετὸν τῇ βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν καὶ τοῖς πρὶν πατριάρχαις καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ' εὐλόγῳ ἐρίζουσι πράγματι διὰ τῆς πολυημέρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι, καὶ ὡς τι τῶν ἠμελημένων παρασυρῆναι. Τοίνυν καὶ διορίζεται πρᾶγμά τι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο. Εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα Πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδόξαντα σιωπῆς, καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς, ἐκ παλιμβολίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι, καὶ χάρις ὅτι τὸ μάχιμον καταθέμενοι τὸ εἰρηναῖον προτετιμήκασιν. Εἰ δὲ καὶ ἔτι τούτων

quidem presbyterorum sedeant: vel, ut ii qui non ad ita faciendum se morigeros præbuerint, a diaconatu desistant. Hæc definiente canone, diaconos quidem ante episcopos accipere, vel dare Eucharistiam aut sacramenta sacerdotibus, non permittitur: sed nec diaconum ad sanctum altare in medio sacerdotum sedere. Ut autem nonnulli ex ecclesiasticis diaconis, in congregationibus quæ sunt extra sacrum tribunal, ante sacerdotes sedeant, fieri videmus: et existimo hoc fieri propter officia. Soli enim ii qui a patriarcha officiis ecclesiasticis digni sunt habiti, sedent ante sacerdotes. Fit autem et hoc præter rationem: lege sexti synodi canonem 7. At is qui pro tempore est sanctissimæ Ecclesiæ Magnæ chartophylax, in congregationibus quæ fiunt extra synodum, sedet non solum ante sacerdotes, sed etiam ante pontifices, ex constitutione inclyti imperatoris domini Alexii Comneni, quæ sic se habet: Regia mea administratio, quæ ecclesiasticæ honestatis maximam curam gerit, et bonum quidem ordinem, cum in omni civili ratione quærit, tum autem multo magis in rebus divinis eum versari studet, quæ unicuique gradui ecclesiastico sunt ab initio tributa privilegia, et eam quæ in his hucusque obtinuit constitutionem, deinceps quoque esse immutabilem, et perseverare vult, et censet, sanctissime domine, utpote quæ per tot annos suscepta, et in usu civili longo tempore versata, et ab alio in aliud immutabilibus hucusque transmissionibus vindicata ac bene confirmata sit. Sed quoniam imperatoria mea sublimitas didicit, quod nonnulli pontifices contentione quadam et gloriæ studio incitati, chartophylacis privilegium minuere conantur, et canones in medium adducentes per eos contendunt illum ante pontifices sedere non oportere, quando aliquo usu exigente oportet eos convenire et una considere ante accessum ad tuam sanctitatem, non ferendum regiæ meæ majestati visum est, ut res quæ tanto tempore approbata est, et a prioribus patriarchis et ab aliis pontificibus, sed et ab iis qui nunc non justa de causa contendunt, longissimi temporis silentio admissa, nunc obiter aboleretur, et tanquam neglectum **81** quippiam convelleretur. Hanc ergo rem decuit esse valde rationi consentaneam et justam. Si enim adhuc vellent pontifices immobilia non movere, nec quæ iis qui prius fuerunt Patribus placuere, sed et iis ipsis longo silentio, et hucusque patientia probata fuere, ex inconstantia velut oppugnare, recte se haberet, et eis gratia haberetur, quod pugnandi studio abjecto, pacem prætulissent. Si autem etiam adhuc nonnulli, verba canonis usurpantes (a sententia enim longe absunt) volun-

Guill. Beveregii notæ.

(66) *Τῇ βασιλείᾳ μου.* Exstat hæc novella Alexii Comneni in *Juris Græco Romani* t. II, p. 143; sed, ni fallor, ex hoc ipso Balsamonis loco traducta. Ibi autem Leunclav. per totam hanc novellam χαρτοφύλακα *chartularium* vertit, quod satis mirari nequeo; si quidem chartophylacis et chartularii officia multum inter sese distiterunt, ut alibi ostendemus.

tatem suam confirmare conantur, et non recte ordinem, ad id quod est inordinatum, transferunt, permittit quidem imperatoria mea serenitas canonis interpretari et declarare contextum, qui facile comprehendi potest, et pulchre discerni iis qui exacte penetrant, et canonicum sensum attingunt. Hoc autem utique ipsum pontificibus probro est, quod cum canonem scirent, et ejus verba perfecte intelligerent, suam ipsorum conscientiam præter rationem conculcarunt, et dum disturbaretur canon, toleraverunt, atque inferiorem sessionem sub prioribus chartulariis amplexi fuerunt. Ideoque pro sacrorum canonum contemptu mercedem hanc eis (majestas mea) tribuit, ut suas ad ecclesias abigantur, ecclesiastici canonis etiam hac in parte vestigiis insistens, et adversus canonum contemptores ipsos canones sacros in subsidium producens. Nec enim pontifices ii, qui occidentalibus ecclesiis præsunt, et a multo jam tempore fidei suæ creditorum ovilium curam nullam gessere, nec, uti conveniebat, iis præfuerunt, dicere poterunt, rabiem hostilem, quæ per Orientem grassata fuit, ad ipsos pertigisse, atque hoc modo sibi ovium ratione præditarum inspectionem ademptam esse. Et hoc quidem in hunc modum a majestate mea dispositum eventus eis judicium relinquit. Quia vero et illud ad aures ejus relatum est, quosdam scilicet ecclesiæ proceres eximios præteriri, cum electiones fiunt, eisque præferri nonnullos, tam ætate quam meliori vitæ conditione inferiores, quique non magnos pro Ecclesia labores sustinuerunt, nec igitur illa quidem res sacra pontificum synodo digna visa est. Quapropter omnibus religiose pariter, et imperiali cum auctoritate mandat, ne ludant in minime ludicris, nec affectui divinis in rebus indulgeant. Nam ubi anima versatur in periculo, cujus alius rei potior habenda cura est? Illos autem præferant aliis, et honore suffragiorum digneutur, quos, una cum doctrina, inculpata vita ornat; aut in quibus si doctrina forte vacillet, longi temporis usus, et multi pro Ecclesia labores exantlati, quod deest, supplent. Sic enim suffragiis suis recte statuent, et a Deo suæ ad animæ condemnationem suffragia tulisse non arguentur.

A τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι, (τῆς γὰρ ἐννοίας πόρρω ἀποδιεστήκασι) πειρῶνται τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν ἡ βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφὴν, ῥᾴστην οὖσαν καταληφθῆναι, καὶ διαγνωσθῆναι, καλῶς τοῖς βάπτουσιν εἰς ἀκρίβειαν, καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν· αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ, τί δήποτε τὸν κανόνα εἰδότες καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι, τὴν ἑαυτῶν συνείδησιν ἀνευλόγως ἐπάτησαν, καὶ τοῦ κανόνος παραῤῥιπτομένου ἠνείχοντο, καὶ τὴν ὑφεδρίαν ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο· καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων περιφρονήσεως τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας B ἀπέλασιν δίδωσι, κανόνι στοιχοῦσα κἀνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς περιφρονηταῖς τῶν κανόνων ἐκείνων αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς δμυναν ἀντεξάγουσα. Οὐδὲ γὰρ ἂν ἔχοιεν λέγειν οἱ τῶν δυτικῶν προεστῶτες ἀρχιερεῖς ἐπὶ χρόνον μακρὸν τῶν ἐμπιστευθέντων αὐτοῖς μὴ φροντίζοντες ποιμνίων, μηδ' ὡς ἐχρῆν ἐν τούτοις ἐπιστατήσαντες ὡς ἡ τὴν Ἕω κατατρέχουσα τῶν ἐχθρῶν λύσσα, προσέστηκε τούτοις, καὶ τὴν ἐπισκοπὴν ἐντεῦθεν τῶν λογικῶν προβάτων περιῃρέθησαν. Καὶ τὸ μὲν οὕτως οἰκονομηθὲν παρὰ τῆς βασιλείας μου τὴν κρίσιν αὐτοῖς τοῦ ἀποτελέσματος περιλέλοιπεν. Ἐπεὶ δὲ καὶ τοῦτο εἰς ἀκοὰς ἀνήχθη αὐτῷ, ὡς τινες τῶν τῆς Ἐκκλησίας λογάδων ἐν ταῖς γινομέναις ψήφοις C καταλιμπάνονται, πρωτιμῶνται δὲ τούτων ἔνιοι, ὑποδεεστέρους ἴσως καὶ χρόνῳ καὶ καταστάσει βίου τῇ κρείττονι, καὶ μηδὲ πολλὰ περὶ τῆς Ἐκκλησίας πονήσαντες, οὐκ οὖν ἔδοξεν οὐδὲ τοῦτο τὸ πρᾶγμα τῆς ἱερᾶς συνόδου τῶν ἀρχιερέων ἐπάξιον, ὅθεν καὶ ἐπισκήπτει πᾶσι φιλοθέως ὁμοῦ καὶ βασιλικῶς μὴ παίζειν ἐν τοῖς οὐ παικτοῖς, μηδὲ πάθει περὶ τὰ θεῖα χαρίζεσθαι. Οὐ γὰρ ψυχὴ τὸ κινδυνευόμενον, τίνος φροντιστέον ἑτέρου; Ἐκείνους δὲ προτιθέναι τῶν ἄλλων, καὶ τὴν ἐν ταῖς ψήφοις ἐπιτιμίαν χαρίζεσθαι, οὓς μετὰ λόγου καὶ βίος κοσμεῖ ἀνεπίληπτος, ἢ τοῦ λόγου σκάζοντος ἴσως, ὁ μακρὸς χρόνος, καὶ τὸ περὶ τὴν Ἐκκλησίαν πολύπονον ἐπαναπληροῦσι, τὸ ἐλλιπές. Οὕτω γὰρ ἂν ταῖς ψήφοις καλῶς διαιτήσουσι, καὶ ἐπὶ κρίματι τῆς ἑαυτῶν ψυχῆς οὐκ D ἂν ἁλοῖεν ψηφοφοροῦντες τῷ Θεῷ.

ZONAR. Ordinis quidem ubique rationem haberi necesse est, sed ab iis maxime hominibus, qui sacris ordinibus initiati sacrorum procuratione funguntur. Rem igitur in qua ordinis vitio peccabatur, hic canon emendavit. Quod enim diaconi sacerdotibus Eucharistiam ministrarent, eosque vel episcopum quoque in ejus sumptione præverterent, id vero non sine ordinis perturbatione eveniebat. Proinde ut abstineant, ac suo singuli se pede metiantur, in posterum monet. Et ut sciant diaconi se episcoporum esse in sacris ministros, ab ipso nomine hoc edocti; et quod major est presbyterorum quam diaconorum dignitas. Quo jure igitur

ΖΩΝΑΡ. Τὴν εὐταξίαν ἁπανταχοῦ τηρεῖσθαι ἀναγκαιότατον, μάλιστα δὲ ἐν τοῖς ἱεροῖς καὶ μεταχειριζομένοις τὰ ἅγια. Διὸ πρᾶγμα οὐ κατὰ τάξιν γινόμενον διωρθώσατο ὁ κανών. Τὸ γὰρ τοὺς διακόνους μεταδιδόναι τοῖς ἱερεῦσι τῶν ἁγιασμάτων, καὶ πρὸ αὐτῶν, ἢ καὶ τοῦ ἐπισκόπου μεταλαμβάνειν αὐτοὺς, ἀταξίας ἦν, ὅθεν παραχελεύεται μηκέτι τοῦτο γίνεσθαι, ἀλλ' ἕκαστον γινώσκειν τὸ ἴδιον μέτρον, καὶ εἰδέναι τοὺς διακόνους, ὅτι τῶν ἐπισκόπων ὑπηρέται εἰσὶν ἐν τοῖς ἱεροῖς, ἐξ αὐτῆς τῆς κλήσεως τοῦτο διδασκομένους, καὶ ὅτι μείζων ἡ ἀξία τῶν πρεσβυτέρων παρὰ τὴν τῶν διακόνων. Πῶς οὖν οἱ ἥττονες τοῖς μείζουσι μεταδώσουσι τῆς εὐ-

χαριστίας, καὶ οἱ μὴ δυνάμενοι προσφέρειν τοῖς προσφέρουσι; Κατὰ γὰρ τὸν μέγαν Ἀπόστολον, χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ὁρίζει τοίνυν ἡ ἁγία σύνοδος πρότερον τοὺς πρεσβυτέρους μεταλαμβάνειν, εἶτα τοὺς διακόνους, τῶν πρεσβυτέρων αὐτοῖς, ἢ τῶν ἐπισκόπων μεταδιδόντων τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Κυρίου· ἀπαγορεύει δὲ καὶ τὸ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι διάκονον, ὡς παρὰ κανόνα τοῦτο καὶ παρὰ τὴν τάξιν τυγχάνοντος. Τοὺς δὲ μὴ πειθαρχοῦντας παύεσθαι τῆς διακονίας κελεύει.

A humiliores honestioribus, et offerentibus, qui nulla ejusmodi potestate præditi sunt, Eucharistiam præbeant? Ut enim magnus Apostolus ait, *Sine ulla contradictione, quod minus est, a meliore benedicitur* [a]. Ut ergo presbyteri primum, deinde diaconi, presbytero ipsis, aut episcopo sacrosanctum Domini corpus et sanguinem ministrante communicent, sancta synodus edicit. Medium vero et locum in sacerdotum concessu usurpare diaconos vetat, quod ea res, et canonum sanctionibus et ordini adversetur. Qui vero non paruerint, a sacro ministerio removeri jubet.

ΑΡΙΣΤ. *Οἱ διάκονοι ἐν τοῖς ἰδίοις μέτροις* (67) *μενέτωσαν· καὶ μήτε διδότωσαν εὐχαριστίαν τοῖς πρεσβυτέροις, μήτε πρότερον ταύτης ἀπτέσθωσαν, μηδὲ μέσον πρεσβυτέρων καθεζέσθωσαν· παρὰ κανόνα γὰρ καὶ εὐταξίαν ἐστὶν, εἴ τι τοιοῦτον γένηται.* B

82 ARIST. *Diaconi intra proprios suos terminos maneant, et nec Eucharistiam presbyteris ministrent, nec eam prius tangant, neque inter presbyteros sedeant. Est enim contra canonem et decentem ordinem, si quid istiusmodi factum sit.*

Ὁ παρὼν κανὼν, ἀπρεπές ἴσως τι καὶ ἄτακτον εὑρὼν ἔν τισι γινόμενον πόλεσι, διορθοῦται· καὶ διορίζεται μή τινα τῶν διακόνων τοῖς πρεσβυτέροις ἐπιδιδόναι τὴν θείαν μετάληψιν, μήτε πρώτους αὐτοὺς ταύτης ἅπτεσθαι, ἀλλὰ μετὰ τοὺς πρεσβυτέρους τὴν εὐχαριστίαν ταύτην λαμβάνειν αὐτοὺς ἢ παρὰ τοῦ ἐπισκόπου ἢ παρὰ πρεσβυτέρου· μηδὲ μεταξὺ πρεσβυτέρων αὐτοὺς καθέζεσθαι· ἵνα μὴ καθήμενοι ἄνωθεν τούτων εὑρίσκωνται.

Hic præsens canon indecorum fortasse aliquid et inordinatum inveniens in nonnullis factum civitatibus, illud emendat; et decernit ne quispiam diaconorum presbyteris divinam ministret communionem, neque illam ante eos tangat, sed ut ii post presbyteros hanc Eucharistiam accipiant, vel ab episcopo vel presbytero, neque in medio presbyterorum isti sedeant: ne supra eos inveniantur sedentes.

ΚΑΝΩΝ ΙΘ.

Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ Ἐκκλησίᾳ ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εἰ δέ τινες τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς Ἐκκλησίας ἐπισκόπου. Εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκοι, καθαιρεῖσθαι αὐτοὺς προσήκει. Ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν, καὶ ὅλως περὶ τῶν ἐν τῷ κλήρῳ ἐξεταζομένων ὁ αὐτὸς τύπος παραφυλαχθήσεται. Ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μηδὲ χειροθεσίαν τινὰ ἔχουσι, ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι. C

CANON XIX.

De Paulianistis, qui deinde ad catholicam Ecclesiam confugerunt statutum est, ut ii omnino rebaptizentur. Si qui vero tempore præterito in clericorum numero erant, siquidem a culpa et reprehensione alieni visi fuerint, rebaptizati ordinentur a catholicæ Ecclesiæ episcopo. Si vero examinatio eos non esse aptos deprehendit, deponi eos oportet. Similiter autem et diaconissis, et omnino de omnibus qui inter clericos annumerantur, eadem forma servabitur. Diaconissarum autem meminimus, quæ in habitu quidem censentur, quoniam nec ullam habent manuum impositionem, ut omnino inter laicos ipsæ connumerentur.

ΒΑΛΣ. Παυλιανισταὶ λέγονται οἱ Παυλικιανοί. Ἐκτέθειται γοῦν παρὰ τῶν ἁγίων Πατέρων ὅρος, ἤτοι κανὼν καὶ τύπος, ἀναβαπτίζεσθαι αὐτούς. Ἐπάγει δὲ ὡς, ἐπεὶ τῶν εἰκότων ἐστὶ τινὰς ἐκ τούτων κατὰ ἄγνοιαν κληρωθῆναι, ὀφείλει ὁ ἐπίσκοπος ἀναβαπτίζειν τούτους, καὶ ἔκτοτε πολυπρα-

BALS. Paulianistæ dicuntur Pauliciani. Editum D est ergo a sanctis Patribus decretum, sive canon et forma, ut ipsi rebaptizentur. Addit autem: Quoniam nonnulli eorum, ut est verisimile, per ignorantiam in clerum ordinati sunt, debet episcopus eos rebaptizare, et tunc de eorum vitæ de-

[a] Hebr. VII, 7.

Guill. Beveregii notæ.

(67) *Οἱ διάκονοι ἐν τοῖς ἰδίοις μέτροις*. In Bibliotheca Juris canonici veteris, hæc præsentis canonis epitome tam sub ipsius hujusce Alexii Aristeni, quam Symeonis Logothetæ nomine aliter legitur, videlicet, Οἱ διάκονοι τοῖς ἰδίοις μέτροις μενέτωσαν, μηδὲ μέσον πρεσβυτέρων καθεζέσθωσαν· παρὰ κανόνα γὰρ καὶ εὐταξίαν ἐστὶν, εἴ τι καὶ τοιοῦτο γένοιτο, *Diaconi in suis terminis maneant, neque inter presbyteros sedeant. Nam contra canonem et decentem ordinem est, si quid tale fiat.* Ubi, ut leviores discrepantias mittam, hæc verba in nostris codicibus mss. lecta, καὶ μήτε διδότωσαν εὐχαριστίαν τοῖς πρεσβυτέροις, μήτε πρότερον ταύτης ἁπτέσθωσαν, tota desiderantur; quæ tamen universæ canonis menti exprimendæ necessaria sunt, ideoque ibi perperam omissa.

gendæ ratione post baptismum inquirere : et, si inculpatos invenerit, sacerdotio quoque dignos judicare : sin minus, eos et ab ordinatione, quæ fuit ante baptismum, removere. Eadem autem in diaconissas quoque fiant. De diaconissis autem res ita se habet : virgines aliquando ad Ecclesiam accedebant, et episcopi suasione servabantur, ut Deo dedicatæ, sed cum amictu laico. Id enim est, eas in habitu censeri. Cum autem 40 annorum ætatis essent, diaconissarum quoque ordinationem recipiebant, si omnino dignæ invenirentur. Si quæ ergo et ex istis, inquit, Paulianissæ erant, fiet et in his quod in masculis superius statutum est. Quære et Carthaginen. syn. can. 6 et 44. Hæc cum canon statuerit, dixerit quispiam, cum quæ ante baptismum facta est ordinatio, ut ne facta quidem reputatur (propterea enim Paulianistam post baptismum ordinari cautum est) quomodo dicit canon eum post examinationem deponendum, si indignus inveniatur qui ordinetur? Solutio. Depositionis nomen hic abusive pro expulsione acceptum est. Ante baptismum enim in clericatum ordinatio, clericatum non tribuit. Si autem nolis hoc dicere, statue verba depositionis non accipi de ordinatione quæ fuit ante baptismum, sed de ea quæ fuit post baptismum. Deponetur enim, inquiunt Patres, et qui post illuminationem indigne ordinatus est, ut vult universalis canon, qui eos, qui post ordinationem peccant, deponit. De Paulianistis autem aliquando quæsitum est, quinam essent : et alii quidem alia dixerunt : ego autem in diversis libris inveni, quod Manichæi Pauliciani dicti sunt, a quodam Paulo Samosateno mulieris Manicææ filio, cui nomen erat Callinice. Samosatenus autem appellatus est, ut qui Samosatenorum episcopus nominatus fuit. Is prædicavit unum esse Deum, qui et Pater et Filius et sanctus Spiritus idem dicitur. Unus enim, inquit, est Deus, et Filius ipsius in ipso, quemadmodum in **83** homine ratio vel sermo. Ipsa autem ratio, cum in terram venisset, habitavit in homine qui dicebatur Jesus, œconomiaque completa, ascendit ad Patrem. Hic autem Jesus, ex inferioribus regio-

A γμονεῖν τὴν μετὰ τὸ βάπτισμα διαγωγὴν αὐτῶν· καὶ εἰ εὑρήσει ἀνεπιλήπτους, καὶ ἱερωσύνης ἀξιοῦν· εἰ δὲ μή. καὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας ἀπαλλοτριοῦν. Τὰ αὐτὰ δὲ γινέσθωσαν καὶ εἰς τὰς διακονίσσας. Τοιοῦτον δέ ἐστι τὸ τῶν διακονισσῶν· Παρθένοι ποτὲ προσήρχοντο τῇ ἐκκλησίᾳ, καὶ κατὰ προτροπὴν τοῦ ἐπισκόπου ἐφυλάττοντο, ὡς ἀνατεθειμέναι τῷ Θεῷ, πλὴν μετὰ σχήματος λαϊκοῦ. Τοῦτο γάρ ἐστι τὸ ἐξετάζεσθαι αὐτὰς ἐν τῷ σχήματι. Τεσσαρακονταετοῦς δὲ ἡλικίας γενόμεναι, ἠξιοῦντο καὶ χειροτονίας διακονισσῶν, εὑρισκόμεναι πάντως ἄξιαι. Εἰ γοῦν καί τινες ἐκ τούτων, φησὶ, Παυλιανίσσαι ἔτυχον, γενήσεται καὶ ἐπ' αὐταῖς, εἴ τι καὶ ἐπὶ τοῖς ἄρρεσιν ὡρίσθη ἄνωθεν. Ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνας ς' καὶ μδ'. Ταῦτα τοῦ κανόνος διορισαμένου, εἴπῃ τις ὡς, ἐπεὶ ἡ πρὸ τοῦ βαπτίσματος χειροτονία ὡς μηδὲ γενομένη λογίζεται (διὰ γὰρ τοῦτο ὡρίσθη τὸν Παυλιανίσαντα χειροτονεῖσθαι μετὰ τὸ βάπτισμα) πῶς φησιν ὁ κανὼν καθαιρεῖσθαι αὐτὸν μετὰ ἐξέτασιν, ἀνάξιον τοῦ χειροτονηθῆναι εὑρισκόμενον; Λύσις. Καταχρηστικῶς ἐνταῦθα παρελήφθη τὸ τῆς καθαιρέσεως ῥῆμα ἀντὶ τῆς ἐξωθήσεως. Ἡ γὰρ πρὸ τοῦ βαπτίσματος κλήρωσις οὐκ ἔστι κλήρωσις. Εἰ δὲ μὴ τοῦτο θέλῃς εἰπεῖν, θεμάτισον τὰ ῥήματα τῆς καθαιρέσεως, μὴ ἐκλαμβάνεσθαι περὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας, ἀλλὰ περὶ τῆς μετὰ τὸ βάπτισμα. Καθαιρεθήσεται γὰρ, φασὶν οἱ Πατέρες, καὶ ὁ μετὰ τὸ φώτισμα ἀναξίως χειροτονηθεὶς κατὰ τὸν καθολικὸν κανόνα τὸν καθαιροῦντα τοὺς μετὰ τὴν χειροτονίαν ἁμαρτάνοντας. Περὶ δὲ τῶν Παυλιανισάντων ἐρώτησις γέγονε, τίνες εἰσί. Καὶ ἄλλοι μὲν ἄλλα εἶπον· ἐγὼ δὲ εὗρον ἐν διαφόροις βιβλίοις ὅτι Παυλικιανοὶ οἱ Μανιχαῖοι μετωνομάσθησαν ἀπὸ Παύλου τινὸς Σαμοσατέως υἱοῦ γυναικὸς Μανιχαίας, Καλλινίκης τοὔνομα. Σαμοσατεὺς δὲ ἐκλήθη ὡς χρηματίσας ἐπίσκοπος Σαμοσατέων (68). Οὗτος ἐκήρυξεν ἕνα Θεὸν εἶναι Πατέρα, καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν αὐτὸν λεγόμενον. Εἷς γάρ, φησὶν, ἐστὶ Θεὸς, καὶ ὁ Υἱὸς αὐτοῦ ἐν αὐτῷ, ὡς ὁ λόγος ἐν ἀνθρώπῳ. Αὐτὸς δὲ ὁ Λόγος, ἐλθὼν ἐπὶ τῆς γῆς, ὤκησεν ἀνθρώπῳ Ἰησοῦ καλουμένῳ, καὶ τὴν οἰκονομίαν πληρώσας

B

C

Guill. Beveregii notæ.

(68) *Σαμοσατεὺς δὲ ἐκλήθη, ὡς χρηματίσας ἐπίσκοπος Σαμοσατέων.* Si Paulus iste a quo Pauliciani cognominati sunt, Samosatensium episcopus fuerit, alius sit necesse est ab eo, qui Paulianistarum magister exstitit. Hic enim Samosatenus dictus est, non quod Samosatorum episcopus fuit, sed quod ibi, ubi et Lucianus natus. Hic enim ἀπὸ Σαμοσάτων ἦν, τῆς ἐπὶ τὰ μέρη τῆς Μεσοποταμίας καὶ Εὐφράτου, ut ait Epiphanius, hær. 65. Idcoque Eusebius eum vocat τὸν ἐκ Σαμοσάτων Παῦλον. Euseb. *Hist. Eccles.* l. v, c. 28, et l. vii, c. 37. Samosatis igitur ortus est, sed non ibi, verum Antiochiæ episcopus constitutus est, Demetriani nimirum Antiocheni vita defuncti loco. Quapropter Σαμοσατεὺς idcirco tantum vocatur, quia Samosatis oriundus. Suidas, Σαμόσατα πόλις, καὶ Σαμοσατεὺς ὁ ἐκ τούτων. Suid. in Σαμόσατα. Adhæc Balsamon hoc loco, ut et Cedrenus, Blastaresque ante laudati, Paulicianos dictos esse a Paulo *quodam Samosateno* mulieris Manichææ, Callinices

D vocatæ, filio tradunt. Hoc autem de Paulo Paulianistarum magistro dici non potest. Nam Paulus Samosatenus ob hæresin suam sede Antiochena prius depositus est, quam Manichæorum hæresis exorta fuit; ut ex Eusebii Chronico constat, quo Pauli depositio refertur ad an. 2, Olymp. 216, sive an. Dom. 267; at Manichæorum hæreseos exortus ad. an. 1, Olymp. 264, sive ad annum Dom. 278. Quomodo itaque Paulus iste Manichææ mulieris filius esse potuit, cum multis annis ante ipsam Manichæorum hæresin natus fuerit? His igitur adducor, ut credam Paulum istum Samosatenum, cujus Balsamon hic alique meminerunt, alium fuisse Paulum, Samosatensium episcopum (nam Samosata metropolis fuit Antiocheno patriarchæ subdita), et ab eo novos quosdam Manichæos exortos Paulicianos dictos fuisse, quos Balsamon et Zonaras cum Paulianistis hoc canone commemoratis male confundunt; ut et antea observatum est.

ἀνῆλθε πρὸς τὸν Πατέρα. Ὁ δὲ Ἰησοῦς οὗτος κάτωθέν ἐστιν Ἰησοῦς Χριστὸς, ὡς ἀπὸ Μαρίας ἀρξάμενος. Τοῦτον καθεῖλεν ἐν Ἀντιοχείᾳ ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς καὶ ἄλλοι τινές. Ἔτι ἀμφιβολία ἐστὶ περὶ τοῦ εἰ ὀφείλουσιν οἱ ἀπὸ ὀρθοδόξων Χριστιανῶν Παυλιανίσαντες ἀναβαπτίζεσθαι. Καὶ τινὲς μὲν λέγουσιν ὡς ἐκείνους ὁ κανὼν ἀναβαπτίζεται, τοὺς ἐκ γενετῆς Παυλικιανοὺς, οὐ μὴν τοὺς ἀπὸ ὀρθοδόξων τὴν αἵρεσιν τῶν Παυλικιανῶν ἀνα- A δεξαμένους. Τούτους γὰρ ὑπὸ μύρου καὶ μόνου ἁγιάζεσθαι χρή· καὶ εἰς πίστωσιν τοῦ λόγου αὐτῶν παράγουσι πολλοὺς Μουσουλμανίσαντας (69) ἐκόντας, καὶ μὴ ἀναβαπτισθέντας, ἀλλὰ μυρωθέντας μόνον. Ἐμοὶ δὲ δοκεῖ (70) τὸν κανόνα ταῦτα διορίζεσθαι μᾶλλον περὶ τῶν ἀπὸ ὀρθοδόξων εἰς αἵρεσιν B Παυλικιανῶν παραπεσόντων, καὶ βάπτισμα ἐξαμένων θρησκείας μυσαρᾶς· καὶ τοῦτο εἶναι κυρίως Παυλιανισμὸν, οὐ μόνον τὸ εἶναί τινα ἀρχῆθεν Παυλικιανόν. Διὸ καὶ κατὰ τὸν παρόντα κανόνα ὀφείλουσιν ἀναβαπτίζεσθαι οἱ τοιοῦτοι. Ἀλλὰ καὶ τὸ ῥῆμα τοῦ ἀναβαπτισμοῦ, οὐ μικρῶς συμβάλλεται πρὸς τὸ λεγόμενον. Ζήτει καὶ τὸν μζ' ἀποστολικὸν κανόνα λέγοντα καθαιρεῖσθαι τὸν ἐπίσκοπον καὶ τὸν πρεσβύτερον τὸν δὶς βαπτίζοντα οἷον δήτινα πιστὸν, καὶ τὸν μὴ βαπτίζοντα τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν. Ἀνάγνωθι καὶ τὴν τοῦ αὐτοῦ κανόνος ἑρμηνείαν, καὶ τὸν ζ' κανόνα τῆς β' συνόδου.

ΖΩΝΑΡ. Τοὺς τῆς αἱρέσεως τῶν Παυλικιανῶν προσερχομένους τῇ καθολικῇ Ἐκκλησίᾳ ἀναβαπτίζεσθαι ὁ κανὼν προστάσσει. Ὅρος γὰρ ὁ τύπος καὶ C ὁ κανὼν λέγεται. Εἰ δέ τινες τούτων ἐν κλήρῳ ἔτυχον τετάχθαι, ἀγνοησάντων ἴσως τὴν αἵρεσιν αὐτῶν τῶν χειροτονησάντων αὐτούς, τοὺς τοιούτους μετὰ τὸ ἀναβαπτισθῆναι ἐξετάζεσθαι διορίζεται, καὶ ἀνακρίνεσθαι τὸν βίον αὐτῶν τὸν μετὰ βάπτισμα, καὶ εἰ εὑρεθείεν ἄμεμπτοι καὶ ἀνεπίληπτοι, χειροτονεῖσθαι ὑπὸ τοῦ ἐπισκόπου τῆς ἐκκλησίας ᾗ προσῆλθον. Ἡ γὰρ προτέρα χειροτονία, ἡ αἱρετικῶν ὄντων αὐτῶν γενομένη, οὐδὲ χειροτονία λογίζεται. Πῶς γὰρ ὁ μὴ κατὰ τὴν ὀρθόδοξον πίστιν βεβαπτισμένος Πνεύματος ἁγίου ἐπιφοίτησιν ἐν τῇ χειροτονίᾳ δέξασθαι πιστευθήσεται; Εἰ δὲ ἀνακρινόμενοι ἀνεπιτήδειοι πρὸς χειροτονίαν εὑρίσκοντο, καθαιρεῖσθαι αὐτοὺς κελεύει ἡ σύνοδος. Τὸ δὲ τῆς D καθαιρέσεως ὄνομα ἐνταῦθα καταχρηστικῶς οἶμαι κεῖσθαι. Καθαιρεῖται γὰρ ὁ κυρίως χειροτονίαν δεξάμενος, καὶ εἰς ὕψος ἱερωσύνης ἀρθείς, ὁ δὲ τὴν ἀρχὴν μὴ χειροτονηθεὶς ἀληθῶς, πῶς ἢ πόθεν καὶ ἀπὸ ὕψους ποίου καθαιρεθήσεται; Ἀντὶ γοῦν τοῦ εἰπεῖν ἐξωθήσεται τοῦ κλήρου τέθειται· κατὰ παράχρησιν τὸ καθαιρεθήσεται. Τὰ αὐτὰ δὲ καὶ περὶ διακονισσῶν καὶ τῶν ἁπλῶς ἐν κλήρῳ τεταγμένων

nibus est Jesus Christus, ut qui a Maria cœperit. Eum Antiochiæ deposuerunt sanctus Gregorius Thaumaturgus, et alii quidam. Rursus dubitatur an Christiani, qui ex orthodoxis ad Paulianistas defecerunt, rursus debeant baptizari. Et nonnulli quidem dicunt, quod eos solos jubet canon rebaptizari, qui a nativitate Pauliciani fuerint, non autem eos qui ex orthodoxis Paulicianorum hæresim susceperint. Eos enim vel sola unctione sanctificari oportet : et ad suam rationem confirmandam afferunt, quod multi qui sua sponte Musulmanisjæ fuerant, rebaptizati non fuerint, sed tantum unguento delibuti. Mihi autem videtur hic canon magis statuere de iis qui ex orthodoxis in Paulicianorum hæresim ceciderunt, et exsecrandæ superstitionis baptismum susceperunt : et hoc esse proprie Paulianismum, non solum esse aliquem a principio Paulicianum. Et ideo ex sententia hujus canonis, debent, qui tales sunt, rebaptizari. Sed et rebaptizationis verbum non parum confert ad id quod hic dicitur. Quære et 47 canonem apostolicum, dicentem deponendum episcopum et presbyterum, qui quemcunque fidelem bis baptizat, et eum non baptizat, qui ab impiis est inquinatus. Lege et ejusdem canonis interpretationem, et 7 can. 2 synodi.

ZONAR. Eos qui ex Paulicianorum hæresi ad catholicam Ecclesiam accedunt, rebaptizari hic canon statuit. Definitionis enim nomine, forma, decretumque intelligitur. Quod si qui ex eo numero ab iis qui illos hæreticos esse ignorarent, clero forte ascripti sunt, eos post alterum baptismum examinari, et qualis eorum vita post baptismum fuerit explicari jubet; ac si quidem criminis suspicione, omnique reprehensione vacare inventi sint, ab illius ecclesiæ antistite, in quam dedere nomen, ordinibus insigniri. Prior enim ordinatio qua, dum hæresi tenerentur, initiati fuerint, ordinatio non reputatur. Quomodo enim is, qui ritu ab orthodoxa fide alieno baptizatus est, manuum impositione Spiritum sanctum accepisse credetur? Sin examinati ad ordinationem minus idonei judicentur, deponendos esse synodus decernit. Verum depositionis nomen hoc loco improprie usurpatum esse arbitror. Deponitur enim qui proprie ordinatus, et ad sacri honoris fastigium erectus fuit. Qui vero in principio non vere ordinatus fuit, quo pacto iste, aut unde, aut ex quo honoris gradu deturbari queat? Ejiciendos itaque homines a clero, depositionis vocabulo minus proprie adhibito synodus indicavit. Eadem vero etiam in diaconissis, ac de-

Guill. Beveregii notæ.

(69) *Μουσουλμανίσαντας*. Sic vocantur Muhammedani, sive pseudoprophetæ Muhammedis sectatores.

(70) *Ἐμοὶ δὲ δοκεῖ*. Hic aliud nobis atque Balsamoni videtur. Neque enim qui semel rite baptizatus est, in quamcunque hæresim lapsus fuit, a Catholicis rebaptizatur. Quod autem de voce ἀναβαπτίζεσθαι infert nullius est momenti : idem et nos περὶ τοῦ ἀναβαπτίζεσθαι nos dicimus, quod περὶ τοῦ καθαιρεῖσθαι, istam nimirum vocem in hoc canone καταχρηστικῶς usurpari, ut ante observatum est. Hic itaque agitur de Paulianistis, non factis, sed genitis, sive de iis, qui a Paulianistis, non item a Catholicis, baptizati sunt.

nique omnibus in clerum receptis canon servanda esse constituit. Illud vero, diaconissarum autem meminimus, quæ in habitu censentur, et quæ sequuntur, est ejusmodi. Virgines olim Deo dicatæ erant castimoniam professæ, quas episcopi consecrabant, ex synodi Carthaginiensis canone sexto, earumdemque custodiæ curam gerebant, ex ejusdem synodi 47 canone. Ex earum virginum numero opportuno tempore, cum videlicet 40 annum implevissent, diaconissæ ordinabantur. Verum hæ mulieres, 25 ætatis anno certum quemdam habitum ab episcopis accipiebant, ut 140 allatæ synodi canone videre est. Hujusmodi ergo virgines, diaconissarum nomine, quæ habitu censerentur, manuum vero impositione sacratæ non essent, synodus intelligit, ac hæresim suam confitentes, ab eaque se abstinentes, inter laicos adnumerandas esse decernit.

A διετυπώσατο ὁ κανών. Τὸ δὲ, Ἐμνήσθημεν δὲ διακονισσῶν τῶν ἐν σχήματι ἐξετασθεισῶν καὶ τὰ λοιπὰ, τοιοῦτόν ἐστι· Παρθένοι τὸ παλαιὸν προσήγοντο τῷ Θεῷ ἀγνεύειν ὁμολογοῦσαι, ἃς οἱ ἐπίσκοποι καθιέρουν κατὰ τὸν ς' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. καὶ τῆς τούτων ἐφρόντιζον φυλακῆς κατὰ τὸν μζ' κανόνα τῆς αὐτῆς συνόδου, ἐξ ὧν δὴ παρθένων καὶ διακόνισσαι ἐχειροτονοῦντο κατὰ τὸν καιρὸν τὸν προσήκοντα, ἤγουν ὅτε ἐτῶν ἐγένοντο μ'. Αἱ δὲ τοιαῦται καί τι σχῆμα ἐνεδύοντο παρὰ τῶν ἐπισκόπων ἐν τῷ κε' ἐνιαυτῷ τῆς ἡλικίας αὐτῶν κατὰ τὸν ρμ' κανόνα τῆς εἰρημένης συνόδου. Τοιαύτας οὖν παρθένους ἡ σύνοδος αὕτη καλεῖ διακονίσσας ἐν τῷ σχήματι ἐξετασθείσας, χειροθεσίαν δὲ μὴ ἐχούσας, ἃς καὶ ἐν τοῖς λαϊκοῖς ἐξετάζεσθαι κελεύει, ὅτε B ὁμολογήσουσι τὴν αἵρεσιν αὐτῶν, καὶ ἀπόσχωνται αὐτῆς.

ARIST. *Paulianistæ rebaptizantur : et si qui clerici irreprehensibiles videntur, rebaptizati ordinentur. Si vero non videntur irreprehensibiles, deponantur. Diaconissæ* **84** *autem seductæ, ut ordinationis non participes, inter laicos recenseantur.*

Qui a Paulianistarum veniunt hæresi, rebaptizantur, et si aliqui eorum clerici apud Paulianistas munere functi sunt, si inculpatam agant vitam, a catholicæ Ecclesiæ episcopo ordinantur : qui indigni autem deprehenduntur, deponuntur. Diaconissæ autem eorum, quoniam nullam habuerunt C manuum impositionem, si ad catholicam veniant Ecclesiam et baptizentur, inter laicos collocantur. Paulianistæ autem sunt qui a Paulo Samosateno descendunt, qui humilia de Christo sensit, dixitque eum communem esse hominem, et originem a Maria sumpsisse.

ΑΡΙΣΤ. *Οἱ Παυλιανισταὶ ἀναβαπτίζονται· καὶ εἴ τινες κληρικοὶ ἄμεμπτοι δείκνυνται, ἀναβαπτισθέντες χειροτονείσθωσαν. Εἰ δὲ μὴ ἄμεμπτοι δείκνυνται, καθαιρείσθωσαν. Αἱ δὲ διακόνισσαι ἐξαπατηθεῖσαι, ἐπεὶ μὴ χειροτονίας μετέχουσιν, ἐν τοῖς λαϊκοῖς ἐξεταζέσθωσαν.*

Οἱ ἐκ τῆς Παυλιανιστῶν αἱρέσεως μετελθόντες ἀναβαπτίζονται· καὶ εἴ τινες αὐτῶν ὡς κληρικοὶ ἐνήργουν παρὰ τοῖς Παυλιανισταῖς, ἐὰν τὸν βίον ἄμεμπτον ἔχωσιν, ὑπὸ τοῦ τῆς καθολικῆς Ἐκκλησίας ἐπισκόπου χειροτονοῦνται· εἰ δὲ ἀνάξιοι εὑρίσκονται, καθαιροῦνται. Αἱ δὲ διακόνισσαι αὐτῶν, ἐπεὶ μή τινα ἔχουσι χειροθεσίαν, ἐὰν τῇ καθολικῇ προσέλθωσιν Ἐκκλησίᾳ, καὶ βαπτισθῶσι, μετὰ τῶν λαϊκῶν συντάττονται. Παυλιανισταὶ δέ εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως καταγόμενοι, τοῦ ταπεινὰ περὶ τοῦ Χριστοῦ φρονήσαντος, καὶ κοινὸν ἄνθρωπον αὐτὸν δογματίσαντος, καὶ τὴν ἀρχὴν ἀπὸ Μαρίας εἰληφότα.

CANON XX.

Quoniam sunt quidam, qui in die Dominico genu flectunt, et ipsis diebus Pentecostes : ut omnia similiter in omni parochia serventur, visum est sanctæ synodo, ut stantes Deo orationes effundant.

BALS. Apostolicus 67 canon eum qui quovis die Dominico, vel quovis Sabbato, præter unum et D solum Sabbatum, scilicet magnum, jejunat, si sit quidem clericus, deponi; si vero laicus, segregari jubet : præsens autem canon in omni Dominico et omnibus Pentecostes diebus feriari, et omnes stantes orare decernit, ut qui cum Christo consurrexerimus, et supernam habitationem quæramus. Quæsitum est autem et ex dicto apostolico canone, qui nos non jejunare statuit quovis Sabbato vel quovis Dominico, et ex præsenti canone, statuente non oportere nos genu flectere in Dominico, et per totam Pentecosten : nunquid apparet non debere nos jejunare, sed jejunium solvere in omnibus diebus hebdomadis, ut in Dominico. Et nonnulli quidem dixerunt totam Pentecosten ut unum diem

ΚΑΝΩΝ Κ'.

Ἐπειδή τινές εἰσιν ἐν τῇ Κυριακῇ γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παροικίᾳ ὁμοίως παραφυλάττεσθαι ἐστῶτας εὔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς ξς' κανὼν τὸν νηστεύοντα καθ' οἱανδήτινα Κυριακὴν, ἢ οἱονδηποτοῦν Σάββατον, πλὴν ἑνὸς καὶ μόνου Σαββάτου, τοῦ μεγάλου δηλαδὴ, φησὶ κληρικὸν μὲν ὄντα καθαιρεῖσθαι, λαϊκὸν δὲ ἀφορίζεσθαι. Ὁ δὲ παρὼν κανὼν διορίζεται κατὰ πᾶσαν Κυριακὴν καὶ ἐν πάσαις ταῖς τῆς Πεντηκοστῆς ἡμέραις πανηγυρίζειν, καὶ ἑστῶτας πάντας εὔχεσθαι, ὡς συναναστάντας τῷ Χριστῷ, καὶ τὴν ἄνω ζητοῦντας κατοικίαν. Ἐζητήθη δὲ μή ποτε ἀπὸ τοῦ ῥηθέντος ἀποστολικοῦ κανόνος, τοῦ διοριζομένου μὴ νηστεύειν ἡμᾶς καθ' οἱονδήποτε Σάββατον, ἢ καθ' οἱανδήτινα Κυριακὴν, καὶ ἀπὸ τοῦ παρόντος κανόνος, τοῦ διορίζοντος μὴ κλίνειν ἡμᾶς γόνυ ἐν Κυριακῇ καὶ δι' ὅλης τῆς Πεντηκοστῆς, ἀλλὰ καταλύειν ἐν πάσαις ταῖς ἡμέραις τῆς ἑβδομάδος, ὥσπερ καὶ ἐν τῇ Κυριακῇ. Καί τινες μὲν εἶπον ὡς

μίαν ἡμέραν κυριώνυμον λογίζεσθαι τὴν ὅλην Πεν- A
τηκοστὴν, καὶ ὀφείλειν ἡμᾶς διὰ τοῦτο πανηγυρίζειν, καὶ μήτε νηστεύειν μήτε γόνυ κάμπτειν· ἐμοὶ δὲ ἀρέσκει τοὺς κανόνας κρατεῖν ἐφ' ὧν ἐξεφωνήθησαν.

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν Κυριακῇ, καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, καὶ ἄλλοις Πατράσιν ἱεροῖς διατέτακται, καὶ τῷ μεγάλῳ δὲ Βασιλείῳ, ὃς καὶ τοὺς λόγους προστέτακται, καὶ τῷ μεγάλῳ δὲ Βασιλείῳ, ὃς καὶ τοὺς λόγους προστίθησι δι' οὓς ἀπηγόρευται τὸ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις, ἑστῶτας δὲ προσεύχεσθαι ἐπιτέτραπται, οἵτινές εἰσι· τὸ συναναστῆναι ἡμᾶς τῷ Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλειν· καὶ ὅτι τοῦ προσδοκωμένου αἰῶνος εἰκὼν ἐστιν ἡ Κυριακὴ, ἡ αὐτὴ μία οὖσα καὶ ὀγδόη, ὡς καὶ παρὰ τοῦ Μωσέως ἐν τῇ κοσμογενείᾳ, μία καὶ οὐχὶ πρώτη ὀνομασθεῖσα, καὶ τὴν μίαν οὕτως καὶ ἀληθινὴν ὀγδόην· ἐκείνην τυποῦσα, τὴν ἀνέσπερον ἡμέραν, τὸν ἄληκτον ἐκεῖνον αἰῶνα τὸν μέλλοντα. Διὸ ῥυθμίζουσα τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία τῆς ἡμέρας ἐκείνης μεμνῆσθαι, καὶ πρὸς ἐκείνην προετοιμάζεσθαι, ἑστῶτας διετάξατο εὔχεσθαι· ἵνα πρὸς τὴν ἄνω λῆξιν ὁρῶντες διηνεκῶς αὐτὴν φανταζώμεθα. Τοῦτο γοῦν τὸ μὴ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις οὐ πανταχοῦ παραφυλαττόμενον ὁ παρὼν κανὼν τηρεῖσθαι παρὰ πάντων θεσμοθετεῖ.

ΑΡΙΣΤ. *Ἐν ταῖς Κυριακαῖς, καὶ ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, οὐ δέον κλίνειν γόνυ, ἀλλ' ὀρθίους εὔχεσθαι τοὺς ἀνθρώπους.*

Οὐ δεον κλίνειν γόνυ ἐν ταῖ; Κυριακαῖς, καὶ ἐν C
ταῖς ἡμέραις τῆς Πεντηκοστῆς, ἀλλ' ἑστῶτας τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

Dominicum existimari, et debere nos propterea diem festum agere, et neque jejunare, nec genu flectere. Mihi autem placet canones in iis vim suam obtinere in quibus emissi sunt.

ZONAR. Non esse Dominicis, aut Pentecostes diebus in genua procumbendum, cum aliorum Patrum, tum magni quoque Basilii præcepto admonemur; a quo etiam, cur id vetitum, ac stantibus per eos dies orare permissum, suis quidque rationum momentis explicatur. Quæ quidem sunt primo ut cum Christo surgendum, ac ea quæ sursum sunt, quærenda nobis esse meminerimus [6]: deinde quod futuræ vitæ quam exspectamus, Dominica dies imago exsistat, cum ipsa una sit et octava, sicut et a Mose in ea historia, qua rerum creationem persequitur, una non prima fuerit nuncupata; unamque illam, et vere octavam, carentemque occasu diem, ævum videlicet sempiternum quod futurum est, referat. Proinde ut alumnos suos Ecclesia ad ejus diei memoriam sæpius usurpandam, moresque ad illam conformandos erudiret, ut stantes precaremur, edixit; ut supernam aspicientes hæreditatem, ipsam perpetuo contemplemur. Morem hunc igitur, genua, commemoratis diebus haud flectendi, ubique non observatum, hic canon omnibus locis retineri jubet.

ARIST. *Dominicis et Pentecostes diebus non oportet genu flectere, sed erectos homines orare.*

In Dominicis et Pentecostes diebus non genua flectere, sed stantes Deo preces fundere oportet.

ΚΑΝΟΝΕΣ Ζ΄

ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΔΕΥΤΕΡΑΣ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΣΥΝΟΔΟΥ.

—

CANONES VII

SYNODI CONSTANTINOPOLITANÆ ŒCUMENICÆ SECUNDÆ

—

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ἡ ἁγία καὶ οἰκουμενικὴ D
δευτέρα σύνοδος γέγονεν ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων συνελθόντων κατὰ τῶν πνευματομάχων, οἵτινες ἐξέθεντο καὶ τοὺς ὑποτεταγμένους κανόνας

ΚΑΝΩΝ Α΄.

Ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες ἅγιοι Πατέρες μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν τριακοσίων δεκαοκτὼ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων. Ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν·

85 BALS. et ZONAR. Sancta et œcumenica secunda synodus, Constantinopoli Magno Theodosio imperante celebrata est, cui quidem centum quinquaginta, contra nefarios Spiritus sancti hostes convocati Patres interfuere, ac eos qui proxime sequuntur canones edidere.

CANON I.

Statuerunt, qui Constantinopoli convenerunt sancti Patres, 318 Patrum qui Nicææ convenerunt fidem non abrogari, sed firmam manere, et omnem hæresin anathematizari: et specialiter Eunomianorum seu Eudoxianorum, et Semiarrianorum

sive Spiritus sancti adversariorum, et Sabellianorum, et Marcellianorum, et Photianorum, et Apollinaristarum.

BALS. Præsens sancta secunda synodus congregata est adversus Macedonium, et eos qui erant ejusdem cujus ipse sententiæ, asserentes sanctum Spiritum esse creaturam et non Deum, nec Patri et Filio consubstantialem : quos præsens canon Semiarianos appellat, ut qui mediam partem hæresis Arianorum haberent. Illi enim et Filium et Spiritum, creaturam, et esse alius a Patre substantiæ decernebant. Illi vero, Spiritus sancti adversarii, de Filio quidem recte sentiebant, sanctum autem Spiritum et creatum, et a Divinitate alienum blaspheme asserebant. Appellabantur autem etiam Semiariani, qui quidem creaturam et ipsi Filium et Spiritum dicebant, sed se sentire inferebant eam non fieri eo modo quo reliquæ creaturæ, sed alio quodam modo : idque ne per generationem Patri aliquam affectionem ab eis attribui quis putaret, qui non substantialem quidem, sed substantia similem Patri Verbum et Spiritum sanctum decernebant. Confirmavit autem hæc secunda synodus, per præsentem canonem et orthodoxam fidem, quæ a sanctis Patribus Nicææ edita est, et omnem hæresim statuit anathematizandam, præcipue autem Eunomianorum. Eunomius enim cum esset Galata, Cyzici dicebatur episcopus, eadem quæ Arius sentiens, et multo etiam pejora. Mutabilem enim, et servum, et omnino Patri dissimilem Filium esse docebat. Qui etiam qui suæ opinioni assentiebantur, rebaptizabat, eos capite demergens, et eorum pedes sursum vertens, et inter baptizandum unam tantum demersionem faciebat. Jam vero et futuram punitionem et gehennam vere non esse nugabatur, et ad terrorem tantum eorum esse minas intentatas. Appellabantur autem iidem et Eudoxiani a quodam Eudoxio Eunomio hæretico : qui cum esset Constantinopolitanus episcopus, Eunomium Cyzici pontificem constituit. Qui etiam Anomœi, (id est Dissimiles) nominabantur, quod dicerent Filium et Spiritum nullam cum Patre, quod ad substantiam attinet, habere similitudinem. Anathematizari

καὶ εἰδικῶς τὴν τῶν Εὐνομιανῶν, εἴτ' οὖν Εὐδοξιανῶν (71), *καὶ τὴν τῶν Ἡμιαρείων, εἴτ' οὖν Πνευματομάχων, καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ τὴν τῶν Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν Ἀπολλιναριανῶν.*

ΒΑΛΣ. Ἡ παροῦσα ἁγία δευτέρα σύνοδος (72) συγκεκρότηται κατὰ Μακεδονίου καὶ τῶν ὁμοδόξων ἐκείνῳ, κτίσμα τὸ ἅγιον Πνεῦμα δογματιζόντων, καὶ οὐ Θεὸν οὐδ' ὁμοούσιον Υἱῷ καὶ Πατρὶ, οὓς ὁ παρὼν κανὼν Ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. Οἱ μὲν γὰρ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα κτίσμα καὶ ἑτεροούσιον τῷ Πατρὶ ἐδογμάτιζον. Οἱ δὲ πνευματομάχοι περὶ μὲν τοῦ Υἱοῦ ὑγιῶς ἐφρόνουν, τὸ δὲ ἅγιον Πνεῦμα κτιστὸν καὶ ἀλλότριον τῆς Θεότητος ἐβλασφήμουν. Ἐκαλοῦντο δὲ Ἡμιάρειοι καὶ οἵτινες μὲν κτίσμα μὲν καὶ αὐτοὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἔλεγον· ἐπῄγον δὲ ὅτι οὐχ ὁμοίως τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτὸν, ἕτερον δὲ καί τινα τρόπον· καὶ τοῦτό φαμεν, ἵνα μὴ πάθος τῷ Πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἳ οὐχ ὁμοούσιον μὲν, ὁμοιούσιον δὲ τῷ Πατρὶ τὸν Λόγον καὶ τὸ Πνεῦμα ἐδογμάτιζον. Ἐκύρωσε δὲ ἡ δευτέρα αὕτη σύνοδος διὰ τοῦ παρόντος κανόνος καὶ τὴν παρὰ τῶν ἐν Νικαίᾳ Πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν, καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τὴν τῶν Εὐνομιανῶν. Ὁ δὲ Εὐνόμιος Γαλάτης ἦν, καὶ Κυζίκου ἐπίσκοπος ἐχρημάτιζε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέντοι καὶ πλείω χείρονα. Τρεπτὸν γὰρ καὶ δοῦλον καὶ πάντα ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζεν. Ὅς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους ἀνεβάπτιζε, κατὰ κεφαλὴν αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. Καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν ἐφλυάρει μὴ ἀληθῶς εἶναι, δι' ἐκφόβησιν δὲ μόνην ἀπειλῆθῆναι. Ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ, ὃς Κωνσταντινουπόλεως γενόμενος ἐπίσκοπος τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν· οἳ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν Πατέρα. Ἀναθεματίζεσθαι δὲ θεσπίζει καὶ τοὺς Σαβελλιανούς, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃς Πτο-

Guill. Beveregii notæ.

(71) *Εἴτ' οὖν Εὐδοξιανῶν*, Eudoxius primo Germanicis, postea Antiochiæ, et ultimo Constantinopoleos episcopus ordinatus est. Socrat. *Hist. Eccl.* l. II, c. 37, 43, Theodoret. *Hæret. fab.* l. IV, c. 2; Sozom. *Hist. Eccl.* l. III, c. 5. Hic eadem omnino omnia, quæ Eunomius docuit; ut patet ex Theodoret. *Hæret. fab.*, l. IV, c. 3, ac proinde hoc in loco hæc duo tanquam synonyma, eorumdem hæreticorum nomina usurpantur, Εὐνομιανῶν εἴτ' οὖν Εὐδοξιανῶν. Theodoretus autem, Arianos etiam Eudoxianos ipsius Eudoxii temporibus audiisse tradidit, Οἱ δὲ Ἀρειανοὶ καὶ Εὐδοξιανοὶ προσωνομάσθησαν κατὰ τὸν Εὐδοξίου καιρόν. Theodoret. Ibid. Statim autem post Eudoxii obitum hoc nomen usurpari desiit, et posteris pene inauditum est : unde Gregorius Magnus in epistola ad Eulogium Alexandrinum, *Præterea*, inquit, *idem frater noster omnia in suis synodicis Deo auctore Catholice locutus est. Quemdam vero Eudoxium damnavit, quem neque in synodis damnatum invenimus neque a decessoribus suis in suis synodis reprobatum.* Greg. Epist. lib. VI, epist. 125. Sane non ipse Eudoxius, sed tamen Eudoxiani præsenti canone diserte damnatur.

(72) *Ἡ παροῦσα ἁγία σύνοδος.* Hic scholia Balsamon αὐτολεξεὶ propemodum ex Zonara transscripsit : sed sub utroque nihilominus nomine eadem imprimere necessarium duximus, quoniam et nonnullæ hic illic dispersæ sunt variæ lectiones, et quod sub utriusque nomine circumferantur.

λεμαΐδος τῆς Πεντακώλεως ἐπίσκοπος; γέγονε, συνα- A etiam jubet Sabellianos, qui quidem a Sabellio Li-
λοιφὴν δογματίζων καὶ σύγχυσιν. τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, καὶ ἀντὶ τρισσεύων ἐπὶ τῆς ἁγίας Τριάδος τριώνυμον πρόσωπον λέγων τὸν αὐτὸν ποτὲ μὲν ὡς Πατέρα φανῆναι, ποτὲ δὲ ὡς Υἱὸν, ποτὲ δὲ ὡς ἅγιον Πνεῦμα μεταμορφούμενον, καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. Ὁμοίως δὲ ὑπὸ ἀνάθεμα τίθησι καὶ τὴν τῶν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται· ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς ἐπίσκοπος γέγονεν· ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδογμάτιζεν. Ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν ἀναθέματι ὑποβάλλει. Οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔσχον τὴν κλῆσιν ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν Τριάδα ὁμολογοῦντος, καὶ Πνεῦμα μόνον ὀνομάζοντος τὸν Θεὸν δημιουργὸν ἁπάντων, τὸν δὲ Λόγον προφορικὸν φρονοῦντος, καὶ θεῖόν τι πρόσταγμα, ὑπουργοῦντα τῷ Θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντὸς, ὡς ὀργανόν τι μηχανικόν· τὸν δὲ Χριστὸν ψιλὸν κηρύττοντος ἄνθρωπον, τὸν τοῦ Θεοῦ Λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικὸν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. Καὶ ἄλλα δὲ πλείονα ὁ Σαμοσατεὺς ἐληρώδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Ἀντιοχείᾳ σύνοδος. Τοῖς λοιποῖς καὶ τὴν τοῦ Ἀπολιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. Ὁ δὲ Ἀπολιναρίος τῆς ἐν Ἀσσυρίᾳ Λαοδικείας ἐπίσκοπος ἦν περὶ τὴν οἰκονομίαν φανερῶς βλασφημῶν. Ἔλεγε γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνουν δὲ, ὡς τῆς θεότητος ἀρκούσης ἀντὶ νοὸς, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ Κυρίου ἐφρόνει· καὶ οὕτως καὶ οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε, καὶ μίαν φύσιν ἐπὶ τοῦ Σωτῆρος ἐδίδασκεν.

brio denominati sunt, qui Ptolemaidis, quæ urbs est Pentapolis, fuit episcopus; is coalitionem quamdam ac commistionem decernendo, tres hypostases unius essentiæ ac divinitatis in unam personam conjungebat ac confundebat, et pro sancta Trinitate unam trium nominum Personam statuebat, dicens eum aliquando ut Patrem apparuisse, aliquando ut Filium, aliquando autem ut Spiritum sanctum transformatum, et alias aliter transfiguratum. 86 Similiter autem anathemati subjicit etiam Marcellianorum hæresim, quæ a Marcello hæresiarcha appellatur, qui ex Ancyra quidem Galatiæ urbe ortus est, ejusdemque episcopus fuit: idem B autem quod Sabellius sentiebat. Sed et Photinianorum hæresim anathemati subjicit. Ii vero ex Photino denominationem habuere, qui ex Sirmio quidem oriundus illic episcopatum gessit, in eadem autem qua Paulus Samosatenus opinione fuit: et neque sanctam Trinitatem confitebatur, et Spiritum solum nominabat Deum omnium opificem, Verbum autem prolatitium esse sentiebat, et divinum aliquod imperium, Deo deserviens ad universi productionem, tanquam mechanicum aliquod instrumentum: Christum autem nudum hominem prædicabat, qui Dei Verbum susceperat, non ut essentiale, sed ut prolatitium, et a Maria existentiæ suæ principium cepisse eum decernebat. Et multas alias ejusmodi ineptias Paulus Samosatenus proferebat, quem deposuit Antiochena synodus. Cum reliquis autem, Apollinarii quoque hæresim anathemate condemnat. Apollinarius autem, Laodiceæ, quæ est in Assyria, erat episcopus, et de Dei œconomia aperte blasphemabat. Dicebat enim, Dei Filium corpus quidem animatum ex sancta Deipara accepisse, sed mentis expertem, cum videlicet divinitas pro mente sufficeret, et irrationalem ut animam Domini sentiebat: et sic nec eum esse perfectum hominem dicebat, et unam in Servatore naturam esse docebat.

ZΩΝΑΡ. Κατὰ Μακεδονίου καὶ τῶν ὁμοδόξων ἐκείνῳ ἡ δευτέρα σύνοδος συγκεκρότηται κτίσμα τὸ ἅγιον Πνεῦμα δογματιζόντων καὶ οὐ Θεὸν, οὐδ' ὁμοούσιον Πατρὶ, καὶ Υἱῷ, οὓς ὁ παρὼν κανὼν Ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. Οἱ μὲν γὰρ τὸν Υἱόν τε καὶ τὸ Πνεῦμα ἑτεροούσια τῷ Πατρὶ καὶ κτίσματα ἐδογμάτιζον· οἱ δὲ Πνευματομάχοι περὶ μὲν τοῦ Υἱοῦ ὑγιῶς ἐφρόνουν, τὸ δὲ ἅγιον Πνεῦμα κτιστὸν καὶ ἀλλότριον τῆς θεότητος ἐβλασφήμουν. Ἐκαλοῦντο δὲ Ἡμιάρειοι καὶ οἵτινες κτίσμα μὲν καὶ αὐτοὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἔλεγον, ἐπῆγον δὲ ὅτι Οὐχ ὁμοίως τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτοὺς, ἕτερον δέ τινα τρόπον· καὶ τοῦτό φαμεν, ἵνα μὴ πάθος τῷ Πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἱ οὐχ ὁμοούσιον μὲν, ὁμοιούσιον δὲ τῷ Πατρὶ τὸν Λόγον καὶ τὸ Πνεῦμα ἐδογμάτιζον. Ἐκύρωσε δὲ ἡ δευτέρα σύνοδος αὐτὴ διὰ τοῦ παρόντος κανόνος καὶ τὴν ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων Πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν,

ZONAR. Contra Macedonium ejusque asseclas, qui Spiritum sanctum creaturam esse, non Deum, asserebant, et Patri ac Filio consubstantialem negabant, synodus hæc secunda celebrata fuit. Quos quidem, eo quod alterum hæreseos Arianæ caput amplecterentur, Semiarianos hic canon vocat. Nam cum Ariani Filium quoque, cum sancto Spiritu inter creatas res numerarent, ac diversam a Patris substantia naturam utrique tribuerent: Macedoniani, de Filio nihil opinati sani, sanctum Spiritum creaturam, et a divinitate alienum impie affirmabant. Fuit aliud quoque Semiarianorum genus, qui cum utramque Filii, Spiritusque personam inter res creatas non eodem tamen modo, sed alio quodam et a reliquis diverso genitam, constituerent, eo tantum, ne in Patre, propterea quod genuisset, passionis aliquid admittere cogerentur; [illegible] Verbi, ac sanc[illegible] Spiritus personas, non Pa[illegible] substantiales, sed tantum substantiæ simi[illegible] asserebant. Quæ igitur ad orthodoxam [illegible]

ctantia in Nicæna synodo a sanctis Patribus promulgata sunt, ea primo rata firmaque haberi, deinde omnes hæreticorum errores anathemati subjectos esse, præcipue vero Eunomianorum, synodus hæc secunda per præsentem canonem decrevit. Eunomius porro, in Galatia natus, Cyzicení episcopi nomen obtinuit, ac iisdem quibus Arius, quin et pluribus, et gravioribus multo erroribus tenebatur. Filium quippe, mutabilem, et servum, et rebus omnibus Patri dissimilem constituebat; quique animum ad ipsius opiniones appulissent, eos elatis in sublime pedibus, capite in aquam demisso, demersione una contentus, rebaptizabat. Futura supplicia, gehennæque cruciatum, nihil aliud quam fabulas ad terrorem hominum excogitatas esse nugabatur. Ili Eudoxiani quoque ab Eudoxio, qui eadem qua Eunomius hæresi infectus, Constantinopoli cum esset episcopus, Eunomium antistitem Cyzicenæ urbi præfecerat, appellati. Iidem, propt rea quod Filio ac Spiritui, spectata substantiæ ratione, nihil cum Patre simile intercedere vellent, Anomœi (id est dissimiles) nuncupati. Jubet etiam anathematizari Sabellianos, qui a Sabellio quodam Lybico nomen accepere. Is Ptolemaidis, quæ urbs in Pentapoli fuit, episcopus, concretione quadam confusioneque excogitata, tres hypostases unius essentiæ ac divinitatis in unam personam conjungebat ac commiscebat, ac unam in Trinitate, tribus licet variam nominibus, personam agnoscebat. Cum unum, **87** idemque numen, nunc Patris specie, nunc Filii, nunc sancti Spiritus, idem alio alias habitu mutatum, sese mortalibus videndum exhibuisse contenderet. Inde, Marcellianorum, cui nomen Marcellus hæresiarcha dedit, hæresis quoque damnata. Hic ex Ancyra, Galatiæ urbe ortus, ejusdem postea episcopus, et quidem Sabelliana peste infectus fuit. Eodem, Photiniani quoque, (nomen iis a Photino auctore) decreto jugulati. Porro Photinus ortus e Sirmio, mox in eadem urbe episcopatus honore perfunctus est. Sed iisdem quibus Paulus Samosatenus erroribus depravatus, neque sanctam Trinitatem admittebat, solamque pro Deo, rerum omnium conditore ac parente, Spiritum agnoscebat; Verbum quiddam esse prolatum extrinsecus, videlicet ipsum divinæ mentis imperium, ipsi Deo ad rerum molitionem fabrilium instrumentorum more deserviens, opinabatur. In Christo nihil, præter nudum hominem, agnoscebat; illi, Dei Verbum, non essentiale quidem, sed illud prolatum tantummodo insedisse, neque Christum aliud sui initium, quam a Maria parente habuisse asseverabat. Hæc, et alia plura, Samosatenus ille Paulus effutiebat, quem depositione synodus Antiochena multavit. Eadem postremo, quæ in cæteros, in Apollinaristas quoque anathematis pœna constituta. Fuit Apollinarius Laodicenæ, ejus quæ in Syria est, urbis episcopus, qui de sacro divinæ

A καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τῶν Εὐνομιανῶν. Ὁ δὲ Εὐνόμιος, Γαλάτης ὢν, Κυζίκου ἐπίσκοπος ἐχρημάτιζε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέντοι καὶ πλείω καὶ χείρονα. Τρεπτὸν γὰρ καὶ δοῦλον καὶ κατὰ πάντα ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζεν, ὃς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους ἀνεβάπτιζε; Κατὰ κεφαλῆς αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. Καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν καὶ τὴν γέενναν ἐφλυάρει μὴ ἀληθῶς εἶναι, ὅτι ἐκφόβησιν δὲ μόνην ἀπειληθῆναι. Ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ, ὃς Κωνσταντινουπόλεως γεγονὼς ἐπίσκοπος τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα
B κατέστησεν. Οἱ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν Πατέρα. Ἀναθεματίζεσθαι δὲ θεσπίζει καὶ τοὺς Σαβελλιανούς, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃ, Πτολεμαΐδος τῆς Πενταπόλεως ἐπίσκοπος γέγονε, συναλοιφὴν δογματίζων καὶ σύγχυσιν, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, καὶ ἓν πρεσβεύων ἐπὶ τῆς Τριάδος τριώνυμον πρόσωπον, λέγων τὸν αὐτὸν ποτὲ μὲν ὡς Πατέρα φανῆναι, ποτὲ δὲ ὡς Υἱὸν, ποτὲ δὲ ὡς Πνεῦμα ἅγιον μεταμορφούμενον καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. Ὁμοίως δὲ
C ὑπὸ ἀνάθεμα τίθησι καὶ τὴν τῶν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται, ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς ἐπίσκοπος γέγονεν, ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδόξαζεν. Ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν ἀναθέματι ὑποβάλλει. Οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔσχον τὴν κλῆσιν, ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν Τριάδα ὁμολογοῦντος, καὶ Πνεῦμα μόνον ὀνομάζοντος τὸν Θεὸν δημιουργὸν ἁπάντων τὸν δὲ Λόγον προφορικὸν φρονοῦντος, καὶ θεῖόν τι πρόσταγμα ὑπουργοῦντα τῷ
D Θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντὸς, ὡς ὄργανόν τε μηχανικόν. Τὸν δὲ Χριστὸν ψιλὸν κηρύττοντος ἄνθρωπον τὸν τοῦ Θεοῦ Λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικὸν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. Καὶ ἄλλα δὲ πλείω ὁ Σαμοσατεὺς ἐληρώδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Ἀντιοχείᾳ σύνοδος. Τοῖς λοιποῖς δὲ καὶ τὴν τοῦ Ἀπολλιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. Ὁ δὲ Ἀπολλινάριος τῆς ἐν Συρίᾳ Λαοδικείας ἐπίσκοπος ἦν περὶ τὴν οἰκονομίαν φανερῶς βλασφημῶν. Ἔλεγε γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνουν δὲ ὡς τῆς θεότητος ἀρκούσης ἀντὶ νοὸς, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ Κυρίου ἐφρόνει. Καὶ οὕτως οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε, καὶ μίαν φύσιν ἐπὶ τοῦ Σωτῆρος ἐδίδασκεν.

incarnationis mysteria manifesto blasphemus fuit. Siquidem Filium Dei, corpus quidem anima informatum ex sanctæ Deiparæ visceribus sibi adjunxisse fatebatur, verum mentis et rationis expertem, quasi

mentis locum divinitas expleret, Christi Domini animum esse opinabatur. Et sic eum nec perfectum hominem dicebat, et unam in Servatore naturam prædicabat.

ΑΡΙΣΤ. Ἡ κατὰ Νίκαιαν πίστις κρατείτω· τὰ δὲ τῶν αἱρέσεων ἀνάθεμα ἐχέτω. Σαφής.

A ARIST. *Fides Nicæna obtineat : hæreses vero anathema habeant.* Perspicuus.

ΚΑΝΩΝ Β'.

Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς ἐκκλησίας, ἀλλὰ κατὰ τοὺς κανόνας τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον, τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν, τοὺς δὲ τῆς Ἀνατολῆς ἐπισκόπους τηρεῖ Ἀνατολὴν μόνην διοικεῖν, φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων Ἐκκλησίᾳ. Καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως ἐπισκόπους τὰ κατὰ τὴν Ἀσιανὴν μόνον οἰκονομεῖν, καὶ τοὺς τῆς Ποντικῆς τὰ τῆς Ποντικῆς μόνα, καὶ τοὺς τῆς Θράκης τὰ τῆς Θράκης μόνον οἰκονομεῖν. B *Ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ὑπερβαίνειν ἐπὶ χειροτονίαις ἢ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. Φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα. Τὰς δὲ ἐν τοῖς Βαρβάροις ἔθνεσιν τοῦ Θεοῦ ἐκκλησίας οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν συνήθειαν τῶν Πατέρων.*

CANON II.

Episcopi ultra diœcesim in ecclesias extra suos termines ne accedant, nec ecclesias confundant, sed secundum canones, Alexandriæ quidem episcopus, Ægyptum solam regat, Orientis autem episcopi, Orientem solum administrent, servatis privilegiis ac præeminentiis, quæ sunt in Nicæni concilii canonibus Antiochenæ Ecclesiæ. Et Asianæ diœcesis episcopi, quæ sunt in sola Asiana administrent, et Ponticæ episcopi Ponticam tantum regant, et Thraciæ Thraciam. Non vocati autem episcopi ultra diœcesim ne transeant, ad ordinationes, vel aliquas alias administrationes ecclesiasticas. Servato autem præscripto de diœcesibus canone, clarum est quod unamquamque provinciam provinciæ synodus administrabit, secundum ea quæ fuerunt Nicææ definita. Quæ autem in Barbaris sunt gentibus, Dei ecclesias, administrare oportet, secundum Patrum, quæ servata est, consuetudinem.

ΒΑΛΣ. Ὁ ς' καὶ ὁ ζ' κανὼν τῆς α' συνόδου ὑπετύπωσαν ποίαι διοικήσεις ὀφείλουσιν ὑποκεῖσθαι τῷ πάπᾳ Ῥώμης, τῷ Ἀλεξανδρείας, τῷ Ἀντιοχείας καὶ τῷ Ἱεροσολύμων. Ὁ δὲ παρὼν κανὼν διορίζεται οἰκονομεῖν τοὺς ἐπισκόπους τῆς Ἀσίας, τῆς Ποντικῆς, τῆς Θράκης, καὶ ἑτέρους, τὰ τῶν ἐνοριῶν αὐτῶν, καὶ μὴ ἔχειν ἐπ' ἀδείας τινὰ ἐκ τούτων ὑπερορίου· ἐνεργείας ποιεῖν, καὶ συγχέειν τὰ δίκαια τῶν ἐκκλησιῶν. Εἰ δὲ δεήσει μεταβῆναί τινα ἐπίσκοπον ἐκ τῆς οἰκείας ἐνορίας πρὸς ἑτέραν διὰ χειροτονίαν ἢ ἑτέραν εὔλογον αἰτίαν, μὴ ἀτάκτως, καὶ οἷον εἰπεῖν ληστρικῶς ταύτῃ ἐπιπηδᾷν, ἀλλὰ μετὰ ἐκχωρήσεως τοῦ ἐγχωρίου ἐπισκόπου. Ὅτι δὲ ἐν Βαρβάροις ἔθνεσιν Ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐκ ἐχειροτονοῦντο πολλοὶ ἐπίσκοποι, ὥστε ἀρκεῖν εἰς σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν, τοὺς ἴσως ἐν λόγῳ διαλάμποντας προσφοιτᾷν, καὶ ἐν ταῖς τῶν ἄλλων τοιαύταις ἐπαρχίαις, ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσιόντας, ἐνέδωκεν ἡ ἁγία σύνοδος καὶ εἰσέτι πολιτεύσθαι τὸ τοιοῦτον ἔθνος, κἂν παρὰ κανόνας ἐστί, διὰ τὸ ἀναγκαῖον τοῦ πράγματος. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος ὅτι τὸ παλαιὸν πάντες οἱ τῶν ἐπαρχιῶν μητροπολῖται αὐτοκέφαλοι ἦσαν, καὶ ὑπὸ τῶν οἰκείων συνόδων ἐχειροτονοῦντο. Μετετυπώθη δὲ τὰ περὶ τούτου ὑπὸ τοῦ κη' κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου, διορισαμένης τοὺς μητροπολίτας τῆς Ποντικῆς, καὶ Ἀσιανῆς, καὶ Θρᾳκικῆς διοικήσεως, ἔτι δὲ καὶ ἑτέρους τινὰς τῷ αὐτῷ κανόνι περιεχομένους, ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως χειροτονεῖσθαι, καὶ ὑποκεῖσθαι αὐτῷ. Εἰ δὲ καὶ ἑτέρας ἐκκλησίας αὐτοκεφάλους

BALS. Can. 6 et 7 primæ syn., definierunt quænam diœceses Romano papæ, Alexandrino, Antiocheno et Hierosolymitano subesse debent. Præsens autem canon definit, Asiæ episcopos, Ponticæ, Thraciæ, et alios, ea quæ in suis sunt finibus administrare, et nulli eorum licere ultra suæ regionis limites jurisdictionis suæ exercitium extendere, et ecclesiarum jura confundere. Si autem oporteat episcopum aliquem, a propria regione in aliam, propter ordinationem, vel aliam justam causam, migrare : non inordinate, et, ut ita dicam, prædonis more eam invadere, sed cum illius loci episcopi permissione. Quoniam autem in Barbaris gentibus tunc erant fidelium ecclesiæ, ubi fortasse multi non ordinabantur episcopi ut ad synodum sufficerent : aut necesse etiam erat, eos qui verbo fortasse insignes erant, in tales quoque aliorum provincias 88 venire, ad eos confirmandos qui ad fidem accedebant, concessit sancta synodus, tamen quoque adhuc consuetudinem servari, etiamsi sit præter canones, propter rei necessitatem. Nota ergo ex præsenti canone quod olim omnes provinciarum metropolitani erant ipsi per se suarum provinciarum capita, et a propriis synodis ordinabantur. Id autem immutatum est a 28 canone Chalcedonen. synodi, quæ definit, Ponticæ, et Asianæ, et Thraciæ diœcesis metropolitanos, et aliquos etiam alios, qui eo canone continentur, a Constantinopol. patriarcha ordinari eique subjici. Si autem alias etiam ecclesias inveneris, quæ principales et per se sint capita, ut Bulgariam, Cyprum, Iberiam, ne

auferis. Bulgariæ enim archiepiscopum honoravit A rex Justinianus. Et lege 131 ejus Novellam, quæ in Basilic. lib. v, tit. 3, cap. 1, posita ad interpretationem 5, cap. primi tit. præsentis Operis: archiepiscopum Cypri honoravit tertia synodus. Et lege ejusdem syn. can. 8 et can. 39 syn. 6. Iberiæ autem episcopum honoravit Antiochenæ synodi dijudicatio. Dicitur enim quod tempore sanctissimi patriarchæ divinæ civitatis magnæ Antiochiæ, domini Petri, fuit synodica ordinatio, qua statutum est liberam esse ac principalem, et per se caput, ecclesiam Iberiæ, sed tamen tunc Antiocheno patriarchæ subjectam. Jam vero et Sicilia certis abhinc annis urbis Constantinopolitanæ throno subjecta, tyrannicis manibus ab ea avulsa est: eamque ad jus suum pristinum redire cupio, auxilio divinæ gubernantis B nostri imperatoris, tanquam quæ in servitutem abducta filia, ad liberam matrem revertatur. Quod liceat quidem ex œconomiæ ratione, alias ecclesias quæ a gentilibus occupantur, aliis ecclesiis concedere, ex præsenti, ut videtur, canone traditum est. Jam enim Constantinopolitana synodus metropolitano Nazianzeno dedit ecclesiam Ancyræ, et aliis diversis antistitibus alias ejusmodi ecclesias. Quibusdam autem etiam id ipsum concessum est, ut sedeant in ipso throno traditæ ecclesiæ in sacro tribunali.

εὑρίσκεις ὡς τὴν Βουλγαρίας, τὴν Κύπρου, τὴν Ἰβηρίας, μὴ θαυμάσῃς. Τὸν μὲν γὰρ ἀρχιεπίσκοπον Βουλγαρίας ἐτίμησεν ὁ βασιλεὺς Ἰουστινιανός. Καὶ ἀνάγνωθι τὴν ρλα' νεαρὰν αὐτοῦ κειμένην ἐν βιβλίῳ τῶν Βασιλικῶν ε', τίτλῳ γ', κεφ. α', καταστρωθεῖσαν εἰς τὴν ἑρμηνείαν τοῦ ε κεφ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος· τὸν ἀρχιεπίσκοπον Κύπρου ἐτίμησεν ἡ γ' σύνοδος. Καὶ ἀνάγνωθι τῆς αὐτῆς συνόδου κανόνα η' καὶ τὸν λθ' κανόνα τῆς ς' συνόδου. Τὸν δὲ Ἰβηρίας ἐτίμησε διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Λέγεται γὰρ ὅτι ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, κυροῦ Πέτρου, γέγονεν οἰκονομία συνοδικὴ, ἐλευθέραν εἶναι, καὶ αὐτοκέφαλον, τὴν ἐκκλησίαν τῆς Ἰβηρίας, ὑποκειμένην τότε τῷ πατριάρχῃ Ἀντιοχείας. Ἡ μέντοι Σικελία, πρὸ χρόνων μετρητῶν ὑποκειμένη τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, ὑπὸ τυραννικῶν χειρῶν ἐκ ταύτης ἀπεσπάσθη· καὶ εὔχομαι ἵνα καὶ αὐτὴ ἐπανέλθῃ εἰς τὰ πρότερα δίκαια τῇ ἀντιλήψει τοῦ θεοκυβερνήτου ἡμῶν αὐτοκράτορος, ὡσεὶ αἰχμαλωτισθεῖσα θυγάτηρ πρὸς ἐλευθέραν μητέρα. Τὸ μέντοι προσηνῶσθαι κατὰ λόγον οἰκονομίας ἐκκλησίαις τισὶν ἑτέρας ἐκκλησίας ὑπὸ ἐθνῶν κατεχομένας ἀπὸ τοῦ παρόντος κανόνος, ὡς ἔοικεν, ἐνδίδοται. αὐτίκα γὰρ ἡ ἐν Κωνσταντινουπόλει σύνοδος δέδωκε τῷ μητροπολίτῃ Ναζιανζοῦ τὴν ἐκκλησίαν τῆς Ἀγκύρας, καὶ ἑτέροις ἀρχιερεῦσι διαφόροις ἑτέρας τοιαύτας ἐκκλησίας. Τισὶ δὲ ἐνεδόθη καὶ αὐτὸ τὸ καθῆσθαι εἰς τὸν ἐν τῷ ἁγίῳ βήματι θρόνον τῆς ἐπιδοθείσης ἐκκλησίας.

ZONAR. Ut in ecclesiis tranquillitas, concordiaque vigeret, et ab apostolis primo, et a sanctis C Patribus non mediocri studio, curaque postea est elaboratum. Nam illi quidem, ne cui episcopo sua relicta, in alterius parœciam insilire liceat, decimoquarto canone sanxere. Patres autem in prima Nicæna synodo congregati, antiquas consuetudines, in hac parte retinendas, et quemque thronum provincias sibi subjectas administrare sexto et septimo canone decreverunt. Idem hic quoque statuitur, ac episcopus quilibet ecclesias, extra diœcesim suam, hoc est subjectam sibi provinciam, ditionisque suæ terminos positas invadere (verbo invadendi, latrocinium quodammodo, impressionemque turbulentam indicante) et alios limites ingredi prohibetur. Hoc enim intelligitur per episcopum ultra diœcesim ad D sacram aliquam functionem exercendam non vocatum, sed adhortatum, et a pluribus ad id persuasum episcopis juxta dictum canonem apostolicum. Ecclesiastica autem cujusque provinciæ negotia, nimirum electiones, ordinationes, et de excommunicationibus, mulctis, aliisque ejusmodi controversiarum decisiones synodi provincialis auctoritate administrari et constitui placet. Quæ vero inter Barbaras gentes Ecclesiæ fidelium excitatæ fuerant, cum pauciores forte episcopos haberent, quam qui synodo cogendæ satis esse possent, aut si quis ibi dicendi facultate præstaret, eum ad novos Christi milites confirmandos, atque in proposita fidei suscepta stabiliendos, in alienam quamdoque parœciam

ΖΩΝΑΡ. Κατάστασιν ἐν ταῖς ἐκκλησίαις καὶ εἰρήνην πολιτεύεσθαι διὰ πολλῆς φροντίδος καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ θεῖοι Πατέρες μετέπειτα ἐποιήσαντο. Οἱ μὲν γὰρ ἀπόστολοι ἐν τεσσαρεσκαιδεκάτῳ κανόνι μὴ ἐξεῖναι ἐπισκόπῳ ἑτέρᾳ ἐπιπηδᾷν καταλιπόντι τὴν ἑαυτοῦ διετάξαντο. Οἱ δὲ ἐν τῇ πρώτῃ συνόδῳ κατὰ Νίκαιαν συναθροισθέντες Πατέρες ἐν ἕκτῳ καὶ ἑβδόμῳ κανόνι τὰ ἀρχαῖα κρατεῖν ἔθη καὶ ἕκαστον θρόνον τὰς ἀνηκούσας αὐτῷ ἐπαρχίας διέπειν ἐθεσμοθέτησαν. Τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διορίζεται, καὶ ἐπίσκοπος ὑπὲρ διοίκησιν, ἤγουν ὑπὲρ τὴν ἀνήκουσαν αὐτῷ ἐπαρχίαν ἐν ταῖς ὑπερορίοις ἐκκλησίαις, ταῖς οὔσαις δηλαδὴ ὑπὲρ τὰ ἀφωρισμένα ἑκάστῳ ὅρια, μὴ ἐπιέναι διακελεύεται, διὰ τοῦ ἐπιέναι τὴν λῃστρικὴν οἷον ἐμφαίνων καὶ ἄτακτον ἔφοδον, καὶ μηδὲ ἐπιβαίνειν ἑτέρων ἐνορίᾳ. Τοῦτο γὰρ τὸ ὑπὲρ διοίκησιν ἐπίσκοπον ἄκλητον ἐπὶ οἱᾳδήτινι ἱερατικῇ ἀσχολήσει, ἀλλὰ παρακαλούμενον καὶ παρὰ πλειόνων ἐπισκόπων πρὸς τοῦτο ἐπιτρεπόμενον κατὰ τὸν εἰρημένον ἀποστολικὸν κανόνα. Τὰς δὲ καθ' ἑκάστην ἐπαρχίαν ἐκκλησιαστικὰς διοικήσεις, ἤγουν ψήφους, καὶ χειροτονίας, καὶ ἀμφιβολιῶν λύσεις ἐν ἀφορισμοῖς καὶ ἐπιτιμίοις καὶ λοιποῖς τοιούτοις τὴν ἑκάστης ἐπαρχίας σύνοδον διατάττει οἰκονομεῖν. Ἐπεὶ δὲ καὶ ἐν βαρβάροις ἔθνεσιν Ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐ πολλοὶ ἦσαν ἐπίσκοποι, ὥστε ἀρκεῖν εἰς σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν, εἴ τις ἐν λόγῳ διαλάμπων ἦν, ἐκεῖ παραγενέσθαι, καὶ τοὺς τῶν ἄλλων παραινέσεσιν, ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσελθόντας, καὶ

βεβαιοῦν ἐν αὐτῇ τὸ κρατῆσαν ἔθος μέχρι τότε ἐν τοῖς τοιούτοις ἐνδέδωκεν ἡ ἁγία σύνοδος καὶ εἰσέπειτα πολιτεύεσθαι.

commeare etiam necesse foret, nihil ex antiqua consuetudine, in ea re synodus censuit immutandum

ΑΡΙΣΤ. *Ὑπερόριος μηδεὶς συγχεέτω τὰς ἐκκλησίας, μήτε χειροτονῶν μήτε ἐνθρονιζων. Ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν ἡ τῶν Πατέρων κρατείτω συνήθεια.*

Ἐν πολλοῖς τῶν κανόνων εἴρηται ὅτι οὐ δεῖ ἐπισκοπον ἀλλοτρίας ἐπιβαίνειν ἐπισκοπῆς· ἀλλ' ἕκαστον ἐντὸς τῶν ἰδίων ὅρων μένειν, καὶ μὴ πηδᾶν ὑπερόρια, καὶ τὰς ἐκκλησίας συγχέειν. Ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν, τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πεντακόλει, κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Νικαίᾳ συνόδου τὰ ἀρχαῖα ἔθη κρατείτω.

89 ARIST. *Nullus peregrinus ecclesias confundat, neque ordinans, neque in sede collocans. Verumtamen in ecclesiis, quæ sunt inter gentiles, Patrum consuetudo servetur.*

In multis canonibus dicitur, quod non oportet episcopum ad alienum transire episcopatum; sed quemque intra suos manere terminos, et ultra suos limites non transilire, et ecclesias confundere. De iis autem quæ apud gentes sunt ecclesiis, in Ægypto, Libya et Pentapoli, secundum sextum Nicæni concilii canonem antiquæ consuetudines vim habeant.

ΚΑΝΩΝ Γ'.

Τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην.

ταύτας κινεῖ. Ἀκούων δὲ τοῦ παρόντος κανόνος λέγοντος αἱρετικοὺς καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχίσαντας δὲ καὶ ἀντισυναγαγόντας τοῖς κανονικοῖς ἡμῶν ἐπισκόποις, μὴ ἐναντιωθῇς τῷ β' κανόνι τοῦ μεγάλου Βασιλείου μὴ ὀνομάζοντι αἱρετικοὺς τοὺς σχισματικούς. Ἀλλ' εἰπὲ ἐκείνους τοὺς σχισματικοὺς ὀνομάζεσθαι ὑπὸ τοῦ παρόντος κανόνος αἱρετικοὺς τοὺς ἀλλοτριόφρονας, καὶ κατὰ προσποίησιν μὲν ὀρθοδοξοῦντας, κατὰ ἀλήθειαν δὲ ὄντας αἱρετικούς· τὸν δὲ κανόνα τοῦ ἁγίου Βασιλείου περὶ ἑτέρων σχισματικῶν διδάσκειν, τῶν ὄντων μὲν ὀρθοδόξων τῇ ἀληθείᾳ, διὰ δέ τινα πρόφασιν ἐκκλησιαστικοῦ ζητήματος ἀποσχισάντων ἑαυτοὺς κατὰ ἀλαζονείαν ἀπὸ τῆς ὁλότητος τῶν ἀδελφῶν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα τοῦ ἁγίου Πατρός. Ἀπὸ μέντοι τοῦ τελευταίου ῥητοῦ τοῦ παρόντος κανόνος, τοῦ λέγοντος ἀπαράδεκτον εἰς κατηγορίαν εἶναι τὸν παρὰ τὸν κανόνα ποιοῦντα, ὡς ὑβριστὴν τῶν κανόνων, ἐπεχείρησαν εἰπεῖν τινες καὶ ἀτιμίᾳ τοῦτον καθυποβάλλεσθαι. Ἐμοὶ δὲ δοκεῖ ἀπὸ τούτου μὴ γενέσθαι τὸν οὕτως ἀσυντάκτως ἐναγαγόντα ἔνοχον τῇ περὶ ὕβρεως ἀγωγῇ, ὥστε ἀτιμωθῆναι· καὶ ἀκολούθως καθαιρεθῆναι, διὰ τὸν κανόνα τὸν λέγοντα· Τὸ φανερὸν βλάπτει, τὸ ἐκτετυπωμένον οὐ βλάπτει (78)· ἄλλως δέ πως τιμωρηθήσεται κατὰ τὸ δοκοῦν τῷ δικάζοντι. Ἐπισκόπου δέ τινος ἐλκυσθέντος χάριν ἐγκληματικῆς ὑποθέσεως εἰς τὴν ἐν Κωνσταντινουπόλει ἁγίαν σύνοδον, καὶ ζητήσαντος τὴν κρίσιν τοῦ μητροπολίτου αὐτοῦ ἐκ τῆς οἰκείας συνόδου κατὰ τὸν παρόντα κανόνα, εἶπόν τινες ὡς, Ἐπεὶ ὁ μητροπολίτης παρουσιάζων θέλει τὸν ἐπίσκοπον αὐτοῦ παρὰ τῇ μεγάλῃ συνόδῳ κριθῆναι, καλῶς παρὰ ταύτῃ κριθήσεται. Ἀντέθεντο δ' ἕτεροι μὴ κεῖσθαι τὴν κρίσιν τούτου παρὰ τῇ ἐξουσίᾳ τοῦ μητροπολίτου, ἀλλὰ τῇ κατ' αὐτὸν συνόδῳ. Ἔχειν δὲ καὶ μέγα διαφέρον τὸν ἐπίσκοπον εἰς τὴν οἰκείαν δικάζεσθαι σύνοδον, καὶ μὴ ἑλκύεσθαι εἰς ἑτέραν σύνοδον, καὶ διὰ τοῦτο μηδὲ χώραν ἔχειν τὴν τοῦ μητροπολίτου καταδοχήν. Ἔτ' εἶπόν τινες περὶ οἰκουμενικῆς συνόδου τὸν κανόνα διαλέγεσθαι· τὴν δὲ ἐν Κωνσταντινουπόλει μεγάλην σύνοδον μὴ εἶναι οἰκουμενικήν· καὶ διὰ τοῦτο μηδὲ χώραν ἔχειν ἐπὶ τῇ παρούσῃ ὑποθέσει. Ἐμοὶ δὲ δοκεῖ ὅτι ἡ ἐν Κωνσταντινουπόλει σύνοδος, κἂν οἰκουμενικὴ σύνοδος οὐκ ἔστιν, ὡς μὴ παρουσιαζόντων καὶ τῶν ἄλλων πατριαρχῶν, ἀλλὰ μείζων ἐστὶ πασῶν τῶν συνόδων, καὶ ὁ ἀρχιεπίσκοπος ταύτης οἰκουμενικὸς πατριάρχης καλεῖται. Καὶ τὸ διαφέρον δὲ οὐχ ὁ μητροπολίτης, ἀλλ' ὁ ἐπίσκοπος ἔχει, ἢ ὁ ἑλκυσθεὶς κληρικός. Διὸ οὐδὲ βλαβήσεταί τις ἐξ αὐτῶν ἐκ τῆς

A sentem canonem, dicentem, hæreticos etiam eos, qui sanam fidem confiteri præ se ferunt, separatos autem se, adversus canonicos nostros episcopos congregationem faciunt, ne pugnare existimes cum 2. canone magni Basilii, non nominante hæreticos schismaticos. Sed dic illos schismaticos a præsenti canone hæreticos appellari, qui aliena sentiunt, et simulatione quidem ac specie sunt orthodoxi, sunt autem revera hæretici : sancti autem Basilii canonem de aliis schismaticis docere, qui sunt revera quidem orthodoxi, sed propter aliquem ecclesiasticæ quæstionis prætextum, se per arrogantiam a fratrum integritate abscinderunt : et lege dictum canonem sancti Patris. Ex ultimo autem dicto præsentis canonis, dicentis, ad accusationem non esse admittendum, qui præter canonem facit, ut qui sit in canones contumeliosus, conati sunt nonnulli dicere, eum etiam infamiæ subjici. Mihi autem videtur non ex eo, illum, qui adeo inordinate actionem intendit, injuriarum actione teneri, ut sit infamis ; et consequenter deponatur, propter Regulam quæ dicit, Expressa nocent : non expressa non nocent. Aliquo autem alio modo punietur prout judici videbitur. Cum autem episcopus aliquis pro criminali causa in sanctam Constantinopolitanam synodum tractus esset, et petivisset ut a suo metropolitano et propria synodo judicaretur, ut vult hic præsens canon, dixerunt nonnulli, quod quoniam metropolitanus præsens vult suum episcopum a magna synodo judicari, apud eam recte judicabitur. Contra autem dixerunt nonnulli, non esse situm ejus judicium in potestate metropolitani, sed synodi quæ est apud ipsum. Multum etiam episcopi interesse, ut in propria synodo judicetur, et ad aliam synodum non trahatur. Et propterea nec locum quidem habere, metropolitani admissionem. Præterea dixerunt nonnulli canonem loqui de universali synodo, magnam autem synodum, quæ est Constantinopoli, non esse universalem : et propterea nec locum habere in hac causa. Mihi autem videtur, quod etiamsi synodus, quæ est habita Constantinopoli, non est universalis synodus, cum alii quoque patriarchæ non adsint : est tamen major omnibus synodis, et ejus archiepiscopus universalis patriarcha vocatur. 95 Et metropolitani quidem non interest, sed episcopi, vel clerici qui trahitur. Quamobrem nec lædetur quidem quispiam ex his ex metropolitani admissione, propter legem quæ dicit : Quæ ab aliis fiunt, alios nec juvant, nec lædunt.

Guill. Beveregii notæ.

(78) *Τὸ φανερὸν βλάπτει, τὸ ἐκτετυπωμένον οὐ βλάπτει.* Modestinus, *Nonnunquam contingit, ut quædam nominatim expressa officiant, quamvis omissa tacite intelligi potuissent, nec essent obsutura ; quod evenit, si alicui ita legatur,* Titio decem do, lego, si Mævius Capitolium ascenderit. *Nam quamvis in arbitrio Mævii sit, an Capitolium ascendat, si velit efficere, ut Titio legatum debeatur ; non tamen poterit aliis verbis utiliter legari :* si Mævius voluerit, Titio decem do. *Nam in alienam voluntatem conferri legatum non potest. Inde dictum est, Expressa nocent, non expressa non nocent,* l. LII, ff. *De condition. et demonstrat.* Ultima ista verba repetuntur itidem l. CXCV, D. *De diver. reg. juris.*

τοῦ μητροπολίτου καταδοχῆς διὰ τὸν νόμον τὸν λέγοντα· Τὰ παρ' ἑτέρων γινόμενα ἑτέρους οὐδὲ ὠφελοῦσιν, οὐδὲ βλάπτουσιν.

ZONAR. Quibus hominibus episcoporum clericorumve accusatio permittenda, quibusque neganda sit, sancti Patres hoc loco decernunt, dicentes, Quod si quis privatam quidem litem intendat episcopo; veluti, de injuria illum postulans, rei scilicet, sive mobilis, sive immobilis, ablatione, aut de contumelia illata, aut de hujusmodi aliquo alio; qualiscunque tandem sit actor, infidelis nempe, vel hæreticus, vel excommunicatus, aut etiam ab Ecclesia catholica penitus ejectus, admittetur. Universis etenim cujuscunque demum religionis vel status sint, si injuriam sibi aliquo modo factam putent, in judicium venire, ac jus suum obtinere, ut liceat, par est. Privatam dixere controversiam, eam a criminalibus distinguentes. Sunt autem privatæ, quæ pecuniaria demum æstimatione lites absolvuntur; criminales vero, unde vitæ statum damnatus amittit. Propterea addunt: si vero ecclesiasticum sit crimen, quod episcopo objicitur, tale forsan, quod ab officio sacerdotali depositione multetur, sacrilegium videlicet, aut ordinis mercenaria collatio, aut in aliena diœcesi, non impetrata prius ab illius loci episcopo facultate, functionis episcopalis administratio, et quæ his similia sunt: tunc accusatorem diligenter examinari, et, si sit hæreticus, non admittere. Hæreticos autem omnes vocat, qui ab orthodoxa fide dissentiunt, sive jam olim ab Ecclesia, sive nuper ejecti sint, sive antiquis erroribus, sive novis adhæserint. Nec tantum, quorum mala sana est fides, sed schismaticos quoque, qui, repudiata episcopi sui auctoritate, conventicula seorsim celebravere, etiamsi inter orthodoxos alioqui locum obtinere posse videantur, arcendos omnino canon ab episcoporum criminatione decernit. Sunt porro schismatici, definiente magno Basilio, qui ob lites aliquas ecclesiasticas et controversias, quæ dirimi aliqua ratione possint, causam inter se dissidii nacti fuere. Similiter, et qui ab Ecclesia, quacunque demum de causa, ejecti sunt et excommunicati; per ejectos autem, qui ab Ecclesiæ corpore penitus excisi sunt intelligendi; per excommunicatos vero, ad certum tempus tantummodo segregatos sancti Patres indigitarunt, sive clerici sint, sive laici. Atque hos judicant ad episcoporum clericorumve accusationem non esse admittendos, donec proprium crimen diluerint, seque innocentes esse probaverint. Sed et quorum ita delata sunt nomina, ut de vitæ suæ statu judicio certare cogantur, nisi se prius a culpis sibi objectis immunes esse demonstrarint, ad episcoporum aut clericorum accusationem admitti vetat omnino canon. Si vero nullis istiusmodi causis obnoxii sint accusatores, sed inculpati prorsus inveniantur; tunc, siquidem episcopus sit, qui in judicium vocatur, illius provinciæ episcoporum conventus causam cognoscat, et vel quæstionem definiat, vel si id minus potuerit, ad majorem synodum deferant. Per majorem autem

ΖΩΝΑΡ. Ἐνταῦθα διατάττονται οἱ θεῖοι Πατέρες τίνας δεῖ προσδέχεσθαι ἐπισκόπων ἢ κληρικῶν κατηγοροῦντας, καὶ τίνας ἀπροσδέκτους εἶναι, καί φασιν ὅτι εἰ μὲν ἰδιωτικὴν δίκην ἐνίστησί τις κατὰ ἐπισκόπου, οἷον ἀδικίαν ἐπεγκαλῶν αὐτῷ, ἁφαίρεσιν ὑφ' ὅτου πράγματος ἀκινήτου, ἢ κινητοῦ, ἢ ὕβριν, ἤ τι τοιοῦτον, οἷος ἂν εἴη ὁ ἐνάγων, προσδεχθήσεται, κἂν ἄπιστος δηλαδὴ, κἂν αἱρετικὸς, κἂν ἀφωρισμένος, ἢ καὶ τέλεον τῆς καθολικῆς Ἐκκλησίας ἐκκεκομμένος. Δεῖ γὰρ πάντας, ὁποίας ἂν εἶεν θρησκείας ἢ καταστάσεως, ἀδικεῖσθαι, λέγοντας, προσίεσθαι καὶ τοῦ δικαίου τυγχάνειν. Ἰδιωτικὴν δὲ δίκην εἶπον, διαστέλλοντες ταύτην ἀπὸ τῶν ἐγκληματικῶν. Ἰδιωτικαὶ μὲν γὰρ λέγονται αἱ εἰς χρήματα τὴν ζημίαν ἐπάγουσαι· ἐγκληματικαὶ δὲ, αἱ εἰς τὴν οἰκείαν κατάστασιν τὸν κατηγορούμενον ζημιοῦσαι. Διὸ καὶ ἐπήγαγον· Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τοιοῦτον τυχὸν, οἷον ἔκπτωσιν αὐτῷ τῆς ἱερωσύνης ἐπάγειν, ἱεροσυλίαν δηλαδὴ, ἢ ἐπὶ δόσει χρημάτων χειροτονίαν, ἢ ἀρχιερατικοῦ δικαίου τινὸς τελεσιουργίαν ἐν ἀλλοτρίᾳ ἐνορίᾳ χωρὶς γνώμης τοῦ ἐκεῖσε ἀρχιερέως, καὶ ὅσα τούτοις εἰσὶν ὅμοια, τότε τὸν κατήγορον ἀκριβῶς ἐξετάζεσθαι, καὶ αἱρετικὸν ὄντα, μὴ προσδέχεσθαι· αἱρετικοὺς δὲ πάντας καλεῖ τοὺς παρὰ τὴν ὀρθόδοξον πίστιν δοξάζοντας, κἂν πάλαι ἀπεκηρύχθησαν, κἂν προσφάτως, κἂν παλαιαῖς αἱρέσεσι κοινωνῶσι, κἂν νέαις· καὶ οὐ μόνον τοὺς περὶ τὴν ὑγιῆ πίστιν σφαλλομένους ἀποπέμπεται ὁ κανὼν πρὸς ἐπισκόπων ἐγκληματικὴν κατηγορίαν, ἀλλὰ καὶ τοὺς ἀποσχίσαντας ἐκ τῶν ἰδίων ἐπισκόπων, καὶ ἐκείνοις ἀντισυνάγοντας, κἂν δοκῶσιν ὀρθοδοξεῖν. Σχισματικοὶ δέ εἰσι κατὰ τὸν μέγαν Βασίλειον, οἱ δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντες. Ὁμοίως δὲ καὶ τοὺς ἐπὶ αἰτίαις οἰαισδήτισιν ἀποβεβλημένους τῆς Ἐκκλησίας, ἢ ἀκοινωνήτους· ἀποβεβλημένους δὲ τοὺς τελείως ἐκκεκομμένους τῆς Ἐκκλησίας νοητέον. Τοὺς δὲ πρὸς καιρὸν ἀφορισθέντας ἐδήλωσαν οἱ θεῖοι Πατέρες διὰ τοῦ εἰπεῖν ἀκοινωνήτους· κἂν κληρικοὶ εἶεν οἱ τοιοῦτοι, κἂν λαϊκοί. Καὶ οὗτοι γὰρ οὐ προσδεκτέοι πρὸς κατηγορίαν ἐπισκόπων ἢ κληρικῶν λογίσονται, μέχρις ἂν τὸ οἰκεῖον αἰτίαμα ἀποσκευάσωνται, καὶ ἀνεγκλήτους καταστήσωσιν ἑαυτούς. Ἀλλὰ μὴν καὶ τοὺς ὑπὸ κατηγορίαν ὄντας τινὰ καθαπτομένην τῆς αὐτῶν καταστάσεως μὴ προσίεσθαι διακελεύεται ὁ κανὼν κατηγοροῦντας ἐπισκόπων ἢ κληρικῶν, εἰ μὴ αὐτοὺς τῶν ἐπενεχθέντων αὐτοῖς ἐγκλημάτων ἀθωώσουσιν. Εἰ δὲ οὐδεμιᾷ τῶν εἰρημένων αἰτιῶν ἔνοχοί εἰσιν οἱ κατηγοροῦντες, ἀλλ' ἀνέγκλητοι εὑρίσκοιντο πάντοθεν, τότε, εἰ μὲν ἐπίσκοπος ὁ κατηγορούμενος εἴη, οἱ τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοποι συνιόντες ἀκροάσονται τῆς κατηγορίας, καὶ ἢ λόσουσι τὴν ὑπόθεσιν, ἢ εἰ μὴ δύνανται λῦσαι αὐτὴν, μείζονι συνόδῳ προσελεύσονται. Μείζονα δὲ σύνοδον λέγει τοὺς τῆς διοικήσεως ὅλης ἐπισκόπους. Ἐπαρχίαν μὲν γὰρ νοητέον τυχὸν τὴν Ἀδριανούπολιν, ἢ

τὴν Φιλιππούπολιν, καὶ τοὺς περὶ αὐτοὺς ἐπισκόπους· διοίκησιν δὲ τὴν Θράκην ὅλην ἢ τὴν Μακεδονίαν. Ὅταν οὖν οἱ τῆς ἐπαρχίας πρὸς διόρθωσιν τῶν κατηγορουμένων ἀτυχῶσι, τότε συνάγεσθαι τοὺς τῆς διοικήσεως ἐπισκόπους ὁ κανὼν θεσπίζει, καὶ λύειν τὰ κατὰ τοῦ ἐπισκόπου λεγόμενα. Εἰ δὲ κληρικὸς εἴη ὁ κατηγορούμενος, παρὰ τῷ ἐπισκόπῳ ᾧ ὑπόκειται, ὁ ἐνάγων ἐνστήσεται τὴν κατηγορίαν. Καὶ εἰ μὴ παρ' ἐκείνῳ λυθῇ ἡ ὑπόθεσις, τότε τὰ ἑξῆς προβήσεται, ὡς ἄνωθεν εἴρηται. Οὐ πρότερον δὲ τὸν ἐνάγοντα τὴν κατηγορίαν τοῦ ἐγκλήματος ἐνιστᾶν οἱ ἱεροὶ Πατέρες ὡρίσαντο τῷ πολιτικῷ νόμῳ ἑπόμενοι, εἰ μὴ ἐγγράφως ὁ κατήγορος ἀσφαλίσεται ἔνοχον εἶναι αὐτὸν μὴ ἀποδείξαντα τὴν κατηγορίαν ταυτοπαθείᾳ, ὥστε αὐτὸν ὑποστῆναι, εἴ τι ἔμελλε παθεῖν ὁ κατηγορούμενος ἀποδεικνυμένης τῆς κατ' αὐτοῦ αἰτιάσεως. Ταῦτα δὲ ὁρίσαντες οἱ θεῖοι Πατέρες ἐπήγαγον τὸν μὴ τηρήσοντα τὸν συνοδικὸν τοῦτον κανόνα, ἀλλ' ἢ βασιλεῖ προσελευσόμενον, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ οἰκουμενικῇ συνόδῳ ἄδεκτον εἶναι παντάπασιν εἰς κατηγορίαν, ὡς ἀτιμάσαντα τοὺς τῆς διοικήσεως ἐπισκόπους, καὶ τοὺς κανόνας ὑβρίσαντα, καὶ τὴν τῆς Ἐκκλησίας εὐταξίαν συγχέαντα.

synodum, eam, quæ ex universis diœceseos episcopis conflatur, intelligit. Provinciam etenim, Adrianopolim, exempli causa, vel Philippopolim, cum iis, qui in eo tractu degunt, episcopis dicimus; Thraciam vero totam vel Macedoniam diœcesim. Quando ergo delatis criminibus corrigendis provinciales episcopi haud sufficiant, tum diœceseos episcopos convenire, et quæ contra episcopum proferuntur solvere jubet canon. Clericum vero si quis accuset, coram ejusdem clerici episcopo actionem intendat. Quod si litem non dirimat, ad superiores judices gradatim causa deferetur, ut supra diximus. Neque vero delatorem prius accusationem instituere, quam scripto professus sit, se eidem pœnæ 98 obnoxium esse, si objecta crimina non probaverit, quam reus patrati facinoris evictus (modo aliquam) subiturus sit, sancti Patres, (legem civilem in hoc imitati) definierunt. His vero ita constitutis, addunt; quicunque hujus canonis auctoritate neglecta coram imperatore, aut principibus sæcularibus, aut œcumenica synodo actionem instituere aggressus fuerit, quippe in episcopos omnes diœcesanos injurius, tum in canones contumeliosus, postremo ecclesiasticæ, quod in ipso fuit tranquillitatis eversor, ad accusationem omnino non esse admittendum.

ΑΡΙΣΤ. *Καὶ ὁ κακόδοξος πλεονεκτούμενος ἐγκαλείτω κατ' ἐπισκόπου. Εἰ δὲ ἐκκλησιαστικῶν εἴη τὸ ἔγκλημα, μὴ λεγέτω· μὴ λεγέτω δὲ μηδ' ἄλλος, εἰ προκατέγνωσται· μὴ λεγέτω ἀκοινώνητος, ἢ ἀπόβλητος, ἢ κατηγορούμενος ἔν τισιν, ἕως ἀποδύσωνται τὰ εἰκεῖα. Κατηγορείτωσαν δὲ ὁ ὀρθόδοξος, ὁ κοινωνικὸς, ὁ ἀκατάγνωστος, ὁ ἀκατήγορος· καὶ κινείσθω τοῖς ἐπαρχιώταις τὸ ἔγκλημα. Εἰ δ' ἀδυνατοῖεν, πρὸς μείζονα τρεπέσθωσαν σύνοδον, καὶ δίχα ἐγγραφῆς τῆς ταυτοπαθείας μὴ ἀκουέσθωσαν. Ὁ δὲ παρὰ ταῦτα τῷ βασιλεῖ προσιὼν καὶ ἐνοχλῶν, ἀποκήρυκτος.*

ARIST. *Et qui mala opinione imbutus est, si injuriam patiatur, accuset episcopum. Si vero ecclesiasticorum sit crimen, ne dicat. Neque etiam alius antea condemnatus, dicat. Ne dicat excommunicatus, vel ejectus, vel criminibus quibuslibet accusatus, donec intenta sibi crimina diluerit. Accusent autem orthodoxus, communionis particeps, non condemnatus, non accusatus; et provincialibus crimen moveatur. Si vero non possint causam solvere, ad majorem se convertant synodum, ac sine professione ejusdem affectus, ne audiantur. Qui autem contra hæc imperatorem adit, eique molestiam exhibet, abdicetur.*

Δεῖ τὰ πρόσωπα τῶν κατηγορούντων ἐπισκόπων ἢ κληρικῶν ἐξετάζειν, μήποτε αἱρετικός ἐστιν οὗτος, ἢ κατεγνωσμένος, καὶ ἀποβεβλημένος, καὶ ἀκοινώνητος, ἢ παρ' ἑτέρων κατηγορούμενος ἐπ' ἐγκλήμασι, καὶ μήπω φανεὶς ἀθῶος τῆς αἰτιάσεως. Καὶ εἰ τοιοῦτοι οἱ κατηγοροῦντες εἶεν, μὴ παραδέχεσθαι αὐτοὺς εἰς αἰτίασιν. Εἰ δ' ὀρθόδοξός ἐστι, καὶ τὸν βίον ἀνεπίληπτος, καὶ κοινωνικὸς, ὁ τὴν ἐκκλησιαστικὴν μέμψιν ἐπιφέρων τῷ ἐπισκόπῳ παραδεχέσθω, καὶ κινείτω παρὰ τοῖς ἐπαρχιώταις ἐπισκόποις τὸ ἔγκλημα. Εἰ δ' ἐκεῖνοι ἴσως ἀδυνατήσουσι πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε καὶ μείζονι ὁ κατήγορος προσερχέσθω συνόδῳ, καὶ διδότω πρότερον ἐγγραφὰς, ὡς τὴν ταυτοπάθειαν ὑποστήσεται, εἰ συκοφαντῶν ἐλεγχθῇ· καὶ οὕτω συνιστάτω τὴν κατηγορίαν. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, καὶ τῷ βασιλεῖ δι' ὄχλου γινόμενος, καὶ κατηγορῶν ἐπισκόπου, ἢ κοσμικῶν ἀρχόντων δικαστηρίοις περὶ τούτου προσερχόμενος, ἄδεκτος εἰς κατηγορίαν. Αἱρετικὸς δὲ, ἀδικηθεὶς παρ' ἐπισκόπου, οὐ κωλυθήσεται ἐγκαλεῖν κατ' αὐτοῦ.

Eorum qui episcopos aut clericos accusant, personas examinare oportet, ne forte hæreticus sit iste, aut condemnatus et ejectus et excommunicatus, vel ab aliis de criminibus accusatus et nondum ab accusatione absolutus. Et si hujusmodi sint qui accusant, accusare non permittuntur. Sin orthodoxus sit et vita inculpatus, et non excommunicatus, qui contra episcopum ecclesiasticam instituit accusationem, admittatur, et apud provinciales episcopos moveatur actio. Si illi autem non sufficientes fuerint ad corrigenda episcopo objecta crimina: tunc accusator et ad majorem accedat synodum, et prius scriptum det, se eamdem subiturum pœnam si calumniator evictus fuerit: et sic accusationem intendat. Qui autem aliter fecerit, aut ad imperatorem tumultu accesserit, et episcopum accusaverit, aut sæcularium principum tribunalia hunc in finem adiverit, ad accusationem non est admittendus. Hæreticus autem injuria affectus ab episcopo, eum accusare non prohi-

CANON VII.

Eos, qui rectæ fidei se adjungunt, et parti eorum, qui ex hæreticis servantur, recipimus, secundum subjectam hic consequentiam et consuetudinem. Arianos quidem et Macedonianos, et Sabbatianos, et Novatianos, qui seipsos vocant Catharos et Sinistros : et Quartadecimanos sive Tetraditas et Apollinaristas, recipimus, dantes quidem libellos, et omnem hæresim anathematizantes, quæ non sentit ut sancta Dei catholica et apostolica Ecclesia : et signatos sive unctos primum sancto chrismate, et frontem, et oculos, et nares, et os, et aures ; et eos signantes dicimus, Signaculum doni Spiritus sancti. Atqui Eunomianos, qui una demersione baptizantur, et Montanistas, qui hic dicuntur Phryges, et Sabellianos, qui idem esse Patrem et Filium docent, et alia quædam perniciosa faciunt : et alias omnes hæreses (quoniam hic multi sunt, et maxime qui ex Galatarum regione prodierunt) quicunque ex his rectæ fidei ascribi volunt, ut Græcos admittimus, et primo quidem die ipsos Christianos facimus ; secundo, catechumenos : deinde tertio, exorcizamus ipsos, ter in **97** *faciem eorum et aures insufflando. Et sic eos in religionis fundamentis instituimus, et curamus ut diu in Ecclesia versentur, et audiant Scripturas, et tunc ipsos baptizamus.*

ΚΑΝΩΝ Ζ'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Σαββατιανούς, καὶ Ναυατιανούς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστερούς (79), καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤτοι Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα, διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία· καὶ σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας καὶ τὸ στόμα καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις (ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι), πάντας τοὺς ὑπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ ὡς Ἕλληνας δεχόμεθα, καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους, εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτούς, μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα. Καὶ οὕτως κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

BALS. Præsens canon hæreticos ad Ecclesiam accedentes in duo dividit, et hos quidem chrismate inungi, omnem primum hæresim anathematizantes, et credere profitentes, ut sancta Dei sentit Ecclesia : illos vero decernit recte de integro baptizandos. Ac eos quidem, qui solo chrismate inungi debent, dicit esse Arianos, Macedonianos, Apollinaristas et Novatianos, qui etiam Cathari dicuntur, quorum hæreses declaravimus in primo canone præsentis secundæ synodi. Novatiani autem appellati sunt et Sabbatiani, a quodam presbytero Sabbatio, qui, more Judaico, Sabbata servabat. Nominantur autem iidem et Sinistri, utpote manum sinistram abhorrentes, et ut per eam quidquam accipiant in animum non inducentes. Quartadecimani autem seu Tetraditæ dicuntur, qui Pascha non in die Dominico celebrant, sed quando quartadecima luna fuerit, quicunque is sit dies ; quod est Judaicæ superstitionis maxime proprium. Iidem autem etiam Tetraditæ dicuntur, quod cum Pascha celebrant, jejunium non solvunt, sed jejunant sicut et nos, quartas ferias : faciunt autem hoc ritu Judaico. Ii enim,

ΒΑΛΣ. Εἰς δύο διαιρεῖ ὁ κανὼν τοὺς αἱρετικοὺς τοὺς προσερχομένους τῇ Ἐκκλησίᾳ· καὶ τοὺς μέν φησι διὰ μύρου χρίεσθαι, ἀναθεματίζοντας πρῶτον πᾶσαν αἵρεσιν, καὶ ὁμολογοῦντας πιστεύειν, ὡς ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία φρονεῖ· τοὺς δὲ διορίζεται ἐξ ὁρθοῦ βαπτίζεσθαι. Καὶ τοὺς μὲν μόνῳ μύρῳ χρίεσθαι ὀφείλοντας εἶπεν εἶναι Ἀρειανούς, Μακεδονιανούς, Ἀπολλιναριστάς, καὶ Ναυατιανοὺς τοὺς Καθαροὺς λεγομένους, ὧν τὰς αἱρέσεις παρεδηλώσαμεν ἐν τῷ πρώτῳ κανόνι τῆς παρούσης δευτέρας συνόδου. Οἱ Ναυατιανοὶ δὲ ἐκλήθησαν καὶ Σαββατιανοὶ ἀπὸ πρεσβυτέρου τινὸς Σαββατίου, κατὰ τοὺς Ἰουδαίους σαββατίζοντος. Καλοῦνται δὲ οἱ αὐτοὶ καὶ Ἀριστεροὶ, ὡς τὴν ἀριστερὰν χεῖρα βδελυττόμενοι, καὶ μὴ ἀνεχόμενοι δι' αὐτῆς τὸ ὁτιοῦν ὑποδέχεσθαι. Τεσσαρεσκαιδεκατῖται δὲ λέγονται ἤγουν Τετραδῖται, οἵτινες τὸ Πάσχα τελοῦσιν οὐκ ἐν Κυριακῇ, ἀλλ' ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ, ὅπερ τῆς Ἰουδαϊκῆς θρησκείας ἐστὶν ἰδιαίτατον. Οἱ αὐτοὶ δὲ καὶ Τετραδῖται λέγονται, ὅτι τὸ Πάσχα ἑορτάζοντες οὐ καταλύουσιν, ἀλλὰ νηστεύουσιν, ὥσπερ ἡμεῖς τὰς τετράδας· ποιοῦσι δὲ τοῦτο

Guill. Beveregii notæ.

(79) *Καθαροὺς καὶ ἀριστερούς.* Legendum haud dubie ἀρίστους; vel saltem καθαρωτέρους. Sane Novatiani nuspiam leguntur se ἀριστερούς· sinistros vocasse : sed potius se ὀρθοτάτους, optimos omnium et præstantissimos esse jactitarunt.

κατὰ τοὺς Ἰουδαίους. Οὗτοι γὰρ μετὰ τὸ πασχάσαι ἐπὶ ὅλαις ἑπτὰ ἡμέραις νηστεύουσι, πικρίδας καὶ ἄζυμα ἐσθίοντες κατὰ τὴν τοῦ παλαιοῦ νόμου διάταξιν. Τοὺς δὲ ἀναβαπτίζεσθαι ὀφείλοντας εἶπεν εἶναι Εὐνομιανούς, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστάς, τοὺς οὕτω κληθέντας ἀπὸ Μοντανοῦ τινος, Παράκλητον ἑαυτὸν προσαγορεύοντος, καὶ διὰ δύο φαύλων γυναικῶν, τῆς τε Πρισκίλλας καὶ τῆς Μαξιμίλλας, ψευδοπροφητείας ἀποφοιβάζοντος· πρὸς δὲ καὶ Σαβελλιανοὺς τοὺς οὕτως ὀνομασθέντας ἀπό τινος Σαβελλίου λέγοντος μετὰ τῶν ἄλλων αὐτοῦ φλυαριῶν τὸν αὐτὸν εἶναι Πατέρα, τὸν αὐτὸν Υἱόν, τὸν αὐτὸν ἅγιον Πνεῦμα, ὡς εἶναι ἐν μιᾷ ὑποστάσει τρεῖς ὀνομασίας· ὡς ἐν ἀνθρώπῳ σῶμα, καὶ ψυχὴν καὶ πνεῦμα, ἢ ὡς ἐν ἡλίῳ τρεῖς ἐνεργείας ἤγουν τὸ τῆς περιφερείας σχῆμα, τὸ φωτιστικὸν, καὶ τὸ θάλπον. Λέγονται δὲ οἱ Μοντανισταὶ Φρύγες, ἢ ἔκ τινος αἱρεσιάρχου Φρυγὸς ἢ ἀπὸ τοῦ ἐκ Φρυγίας ἀναφανῆναι πρώτως τὴν τοιαύτην αἵρεσιν. Πρὸς τούτοις καλοῦνται καὶ Πεπουζιανοὶ ἀπό τινος Πεπούζας καλουμένης παρ' αὐτῶν κατὰ τὴν Ἱερουσαλήμ. Οἱ δὲ τοιοῦτοι λύουσι τοὺς γάμους ὡς μυσαροὺς, νηστεύουσιν ἀλλόκοτον νηστείαν, τὸ Πάσχα διαστρέφουσιν, εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συναιροῦσι, καὶ συγχέουσι, καὶ αἷμα παιδὸς κατακεντουμένου, ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες προσφέρουσιν. Καὶ ταῦτα μὲν οὕτως. Ἐὰν δέ τις ὀρθόδοξος Μοντανιστὴς γένηται ἢ Σαβελλιανὸς, καὶ βάπτισμα αἱρετικῶν δέξηται ἢ μὴ δέξηται, ἆρα ὁ τοιοῦτος μύρῳ χρισθήσεται, ἢ ἀναβαπτισθήσεται, ὡς οἱ λοποὶ Μοντανισταί; Ζήτει περὶ τούτου τῆς α' συνόδου κανόνα ιθ' καὶ τῶν ἁγίων ἀποστόλων κανόνα μζ'. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι πάντες οἱ βαπτιζόμενοι εἰς μίαν κατάδυσιν πάλιν βαπτίζονται.

A postquam Pascha celebraverint, totos septem dies jejunant, lactucas agrestes et azyma comedentes, juxta veteris legis constitutionem. Rebaptizandos autem esse dixit Eunomianos, qui una demersione baptizant, et Montanistas, a quodam Montano sic dictos, qui se Paracletum appellabat : et per duas improbas mulieres, Priscillam et Maximillam, falsas prophetias ut Phœbi numine afflatus edebat. Præterea autem et Sabellianos, a Sabellio quodam sic nominatos, qui etiam cum aliis quibusdam nugis dicebat, eumdem esse Patrem, Filium, et Spiritum sanctum ; ut sint in una persona tria nomina, sicut in homine corpus, et anima et spiritus : vel ut in sole triplex efficacia, scilicet circumferentiæ figura, B vis illuminandi et vis calefaciendi. Dicuntur autem Montanistæ Phryges, vel a quodam hæresiarcha Phryge, vel ex eo quod primum e Phrygia hæc hæresis exorta sit. Præterea autem vocantur et Pepuziani, ex quadam regione Pepuza dicta ab eis Hierusalem. Qui autem tales sunt, nuptias ut abhorrendas solvent, alienum jejunium jejunant, Pascha pervertunt, sanctam Trinitatem in unam personam contrahunt et confundunt, et sanguinem pueri, qui punctus fuerit, farinæ commiscentes, et panes facientes, offerunt. Et hæc quidem ita. Si quis autem orthodoxus, Montanista vel Sabellianus factus sit, et hæreticorum baptismum susceperit, num talis chrismate inungetur, aut rebaptizabitur, ut cæteri Montanistæ? Quære de hoc primæ synodi C can. 19 et sanctorum apostolorum canonem 47. Nota autem ex præsenti canone, quod omnes una demersione baptizati rebaptizantur.

ΖΩΝΑΡ. Ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων προσερχομένους τῇ ὀρθῇ πίστει, ὁ παρὼν διδάσκει κανών. Τοὺς μὲν οὖν τούτων οὐκ ἀναβαπτίζεσθαι διατάττεται, ἀλλὰ λιβέλλους ἀπαιτεῖσθαι, ἐγγραφα δηλονότι τὰς δόξας αὐτῶν ἀναθεματίζοντα καὶ στηλιτεύοντα τὴν κακοδοξίαν αὐτῶν καὶ πᾶσαν αἵρεσιν ἀναθέματι ὑποβάλλοντα. Εἰσὶ δὲ οὗτοι Ἀρειανοὶ, καὶ Μακεδονιανοὶ, καὶ Ναυατιανοὶ, οἱ ἑαυτοὺς Καθαροὺς ὀνομάζοντες, ὧν τὰς αἱρέσεις προδεδηλώκαμεν, καὶ Σαββατιανοὶ, ὧν ἡγήσατο Σαββάτιός τις πρεσβύτερος τῆς αἱρέσεως τοῦ Ναυάτου κἀκεῖνος ὤν, ἔχων δέ τι καὶ πλέον ἐκείνου, καὶ τὸν καθηγητὴν τῆς αἱρέσεως εἰς κακίαν νικῶν, καὶ τοῖς Ἰουδαίοις συνεορτάζων, καὶ Τεσσαρεσκαιδεκατίται, οἱ τὸ Πάσχα ἑορτάζουσιν οὐκ ἐν Κυριακῇ, ἀλλ' ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ ταύτην πλήρη γενέσθαι· ἑορτάζουσι δὲ, νηστεύοντες τότε, καὶ ἀγρυπνοῦντες, καὶ Ἀπολλιναριασταί· οὐκ ἀναβαπτίζονται οὖν οὗτοι, ὅτι περὶ τὸ ἅγιον βάπτισμα κατ' οὐδὲν ἡμῖν διαφέρουσι, ἀλλ' ἐπίσης τοῖς ὀρθοδόξοις βαπτίζονται. Ἀναθεματίζοντες οὖν ἕκαστος τὴν οἰκείαν αἵρεσιν ἰδικῶς, καὶ πᾶσαν δὲ κοινῶς αἵρεσιν, χρίονται τῷ ἁγίῳ μύρῳ, καὶ τὰ ἄλλα τελοῦνται κατὰ τὸν κανόνα. Οἱ δὲ Εὐνομιανοὶ καὶ Σαβελλιανοὶ ὧν αἱ αἱρέσεις ἤδη παρ' ἡμῖν ἐδηλώθησαν, καὶ Μον-

D

ZONAR. Redeuntibus ad rectam fidem hæreticis quæ cum eis agendi ratio tenenda sit, hoc canone præscribitur. Alios etenim, non iterato baptismo, sed libellos tantummodo exhibentes, hoc est, scriptos a se codicillos, quibus opiniones suas damnent, et errorem suum infamia notent, et universam hæresim exsecrentur, admitti placet. Sunt in eo numero Ariani, Macedonianique et Novatiani, illi, qui sese Catharos nominant, quorumque hæreses supra indicavimus : et Sabbatiani, quibus præfuit Sabbatius quidam presbyter is quoque ex hæresi Novati, sed qui aliquid tamen ad eam addidisset, et magistrum Novatum improbitate superasset, festivosque dies cum Judæis coli vellet. Cum his Quartadecimani quoque qui Paschæ solemnia non die Dominica sed decima quarta luna, quocunque tandem die plenam illam fieri contigerit, jejuniis autem et pervigilio noctem ducentes 98 celebrant et Apollinaristæ. Ab his igitur hominibus, quoniam in ea, quæ de baptismo est, disciplina, nihil a nobis discrepant, eodemque prorsus, quo orthodoxi, ritu baptizantur, baptismum propterea repeti non oportet. Suos igitur sigillatim, et alios generatim ac universe errores detestati, sacro chrismate inunguntur, aliaque canone præscripta peragunt. Eunomiani vero et Sa-

belliani, quorum hæreses antea explicuimus, et Montanistæ, a Montano sic dicti, qui et Phryges nominabantur, vel ab hæresiarcha Phryge, vel quod ea ex Phrygia hæresis exstitisset, multosque in ea regione mortales occupasset. Montanus ille igitur, Paracletum se esse jactabat, geminasque, quæ illum solitæ sequi, mulieres, prophetissas Priscillam et Maximillam, nominabat. Iidem, quod Pepuziam, Phrygiæ oppidum, divinis honoribus, Hierusalem quippe suam vocitantes, celebrarent, Pepuzianorum quoque cognomen assecuti. Ab illis divortia conjugum permissa, et a certis quibusdam ciborum generibus abstinentia imperata, tum Paschæ dies in alienum tempus rejecta, et in unam personam sancta Trinitas contracta et confusa. Illi quoque, compuncti aculeo lis pueri expresso sanguine farinam conspergere, indeque confectum panem in usum sacrorum adhibere, tum ex eo particulam, communicandi specie, sibi quisque desumere soliti sunt. Eos igitur, et alios omnes hæreticos, sancti Patres baptizari præceperunt. Baptismo namque, vel nullo penitus, vel ritu certe ab Ecclesiæ catholicæ institutis alieno initiati sunt, ac proinde, quasi eo perpetuo caruissent, haberi placet : quod iis verbis [ut Græcos eos admittimus] indicatur. Deinde recenset canon quæ ab iis peragenda sunt, et ut primo instruantur, et postea baptizentur.

τανίσται, οἱ ἀπὸ Μοντανοῦ τινος τὴν ἐπίκλησιν ἔσχον· καὶ Φρύγες δὲ ὠνομάζοντο, ἢ τοῦ αἱρεσιάρχου αὐτῶν Φρυγὸς ὄντος, ἢ τὴν ἀρχὴν ἐκ Φρυγίας ἀναφανείσης τῆς τοιαύτης αἱρέσεως, καὶ πολλῶν ἐν αὐτῇ πλανηθέντων. Ὁ Μοντανὸς οὖν ἐκεῖνος Παράκλητον ἑαυτὸν προσηγόρευε, καὶ δύο γυναῖκας ἑπομένας ἔχων αὐτῷ Πρίσκιλλαν, καὶ Μαξιμίλλαν, προφήτιδας αὐτὰς ἐκάλει. Καὶ Πεπουζιανοὶ δὲ οἱ τοιοῦτοι προσηγορεύοντο, Πέπουζάν τινα τῆς Φρυγίας κώμην ἐκθειάζοντες, καὶ Ἱερουσαλὴμ αὐτὴν ὀνομάζοντες. Οἱ καὶ τοὺς γάμους λύειν ἐπέτρεπον, καὶ βρωμάτων ἀπέχεσθαι ἐδίδασκον, καὶ τὸ Πάσχα διέστρεφον, καὶ εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συνῄρουν καὶ συνέχεον· καὶ αἵματι παιδὸς κατακεντουμένου ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες προσέφερον, καὶ ἐξ αὐτοῦ μετελάμβανον. Τούτους τοίνυν καὶ τοὺς ἄλλους πάντας αἱρετικοὺς βαπτίζεσθαι οἱ ἱεροὶ Πατέρες ἐθέσπισαν. Ἢ γὰρ οὐκ ἔτυχον τοῦ θείου βαπτίσματος, ἢ τυχόντες οὐκ ὀρθῶς οὐδὲ κατὰ τὸν τύπον τῆς ὀρθοδόξου Ἐκκλησίας αὐτοῦ ἔτυχον. Διὸ καὶ ὡς μηδὲ ἀρχὴν βαπτισθέντας αὐτοὺς λογίζονται. Τοῦτο γὰρ δηλοῖ τὸ, ὡς Ἕλληνας αὐτοὺς δεχόμεθα. Ἑξῆς δὲ καταλέγει ὁ κανὼν τὰ ἐπ' αὐτοῖς τελούμενα, καὶ ὅπως πρότερον κατηχοῦνται, καὶ τὸ καθ' ἡμᾶς μυοῦνται θεῖον μυστήριον, εἶτα βαπτίζονται.

A

B

initientur, et divino juxta nostros ritus mysterio

ARIST. *Quartadecimani, sive Tetraditæ, Arianus, Novatianus, Macedonianus, Sabbatianus, Apollinarianus cum libellis recipiendi sunt, uncti nimirum omnibus sentiendi organis.*

C

Hi libellos dantes, et omnem exsecrantes hæresim recipiuntur, solo chrismate sancto uncti oculos, nares, aures, os et frontem ; et eos signantes dicimus ; signaculum dœi Spiritus sancti.

ἈΡΙΣΤ. *Οἱ Τεσσαρεσκαιδεκατῖται, εἴτουν Τετραδῖται, Ἀρειανίσται, ὁ Ναυατιανὸς, ὁ Μακεδονιανὸς, ὁ Σαββατιανὸς, ὁ Ἀπολλιναριανὸς, μετὰ λιβέλλων ἀπόδεκτοι· χριόμενοι δηλαδὴ πάντα τὰ αἰσθητήρια.*

Οὗτοι λιβέλλους διδόντες, καὶ πᾶσαν αἵρεσιν ἀναθεματίζοντες, δέχονται, μόνῳ τῷ ἁγίῳ μύρῳ χριόμενοι, ὀφθαλμοὺς, ῥῖνας, ὦτα, στόμα, καὶ μέτωπα· καὶ ἐν τῷ σφραγίζειν αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου.

CANON VIII.

ARIST. *Eunomiani, una mersione baptizati, Sabelliani et Phryges, tanquam gentiles accipiantur.*

Hi autem et baptizantur et unguntur, quia ut Græci recipiuntur : et tempore idoneo ante baptisma sacris mysteriis instituuntur, et divinas Scripturas audiunt.

ΚΑΝ. Η'. *Οἱ καταδύσει μιᾷ βαπτιζόμενοι Εὐνομιανοὶ, Σαβελλιανοὶ, καὶ Φρύγες, ὡς Ἕλληνες δεχέσθωσαν.*

Οὗτοι καὶ βαπτίζονται, καὶ χρίονται, ὅτι ὡς Ἕλληνες παραδέχονται· καὶ καιρὸν ἱκανὸν πρὸ τοῦ βαπτίσματος κατηχοῦνται, καὶ τῶν θείων Γραφῶν ἀκροῶνται.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΤΡΙΤΗΣ ΣΥΝΟΔΟΥ.

—

CANONES

SANCTÆ ET ŒCUMENICÆ TERTIÆ SYNODI.

—

Sancta et œcumenica tertia synodus fuit sub im peratore Theodosio Minori, congregatis Ipsest

Ἡ τρίτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ἀθροισθέντων

D

ἐν Ἐφέσῳ διακοσίων Πατέρων κατὰ Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως, ὃς ψιλὸν ἄνθρωπον ἐδογμάτιζε τὸν Χριστὸν, ἐνοῦσθαι δὲ αὐτῷ κατὰ σχέσιν τὸν Υἱὸν τοῦ Θεοῦ. Διὸ οὐδὲ Θεοτόκον τὴν ἁγίαν Παρθένον ἠνείχετο λέγειν, ἀλλὰ Χριστοτόκον. Ὃς καὶ καθῃρέθη καὶ ἀνεθεματίσθη παρὰ τῶν ἁγίων Πατέρων.

A Ducentis Patribus adversus Nestorium patriarcham Constantinopolitanum, qui Christum solum esse hominem docebat: ei autem secundum habitum similem unum fuisse Dei Filium. Et ideo nec Deiparam sanctam Virginem dici ferre poterat, sed Christiparam. Qui et depositus est, et a sanctis Patribus anathematizatus.

ΚΑΝΩΝ Α'.

Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίας συνόδου, καὶ διά τινα αἰτίαν ἢ ἐκκλησιαστικὴν, ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ ἐν αὐτῇ τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι καὶ ἀγάπῃ, ὅτιπερ, εἴ τις μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο προστεθείη, ἢ τὰ τοῦ Κελεστίου ἐφρόνησεν ἢ φρονήσει, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος ὑπάρχων. Ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις, καὶ τοῖς πέριξ μητροπολίταις τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ὑποκείσεται εἰς τὸ πάντη, καὶ τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

99 CANON I.

Quoniam oportet etiam eos qui sanctæ synodo non interfuerunt, propter aliquam causam, vel ecclesiasticam, vel corporalem, non ignorare ea quæ in ipsa statuta sunt, vestræ sanctitati et dilectioni notum facimus, quod si quis provinciæ metropolitanus a sancta et universali synodo deficiens, apostasiæ seu defectionis consessui ac conventiculo B *adhæsit, vel posthac adhæserit, vel cum Cœlestio sensit aut senserit, is adversus suæ provinciæ episcopos nihil penitus agere potest, omni ecclesiastica communione abhinc jam a synodo ejectus, et ad nullum exercendum munus officiumque idoneus existens. Sed et ipsis provinciæ episcopis, et, qui sunt circumcirca, metropolitanis orthodoxæ sentientibus, omnino subjicietur, et de episcopatus gradu dejicietur.*

ΒΑΛΣ. Τοῦ Νεστορίου καθαιρεθέντος, ἐπέστη ἐν Ἐφέσῳ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης μετὰ Θεοδωρίτου ἐπισκόπου πόλεως Κύρου, καὶ Ἴβα Ἐδέσσης καὶ ἑτέρων· καὶ ὡς γενομένης τῆς καθαιρέσεως κατὰ ἀπουσίαν αὐτῶν, ἐμέμψατο τὰ γεγονότα, καὶ τὸν τῆς συνόδου προϊστάμενον ἁγιον Κύριλλον πάπταν Ἀλεξανδρείας, ἐπέχοντα καὶ τὸν τόπον Κελεστίνου τοῦ πάπτα Ῥώμης· ἀλλὰ μὴν καὶ Μέμνονα ἐπίσκοπον Ἐφέσου παραλόγως καθεῖλεν. Ὁ μέντοι Θεοδώριτος καὶ κατὰ τῶν ιβ' κεφαλαίων, ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας Νεστορίου, δώδεκα κεφάλαια ἕτερα συνεγράψατο, εἰς ἀνατροπὴν καὶ ἀνασκευὴν ἐκείνων· καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολὴν ἐποιήσατο. Ἅτινα ἡ δὲ σύνοδος ὡς ἀσεβῆ ἀπεκήρυξε. Καὶ αὐτοὶ δὲ οἱ τῆς γ' συνόδου Πατέρες, τὸ παρὰ τοῦ πατριάρχου Ἀντιοχείας Ἰωάννου καὶ τῶν λοιπῶν γεγονὸς κατὰ τοῦ ἁγίου Κυρίλλου καὶ τῶν σὺν αὐτῷ μαθόντες, τούτους μὲν ὡς ἀναιτίως καθαιρεθέντας ἀποκατέστησαν· τὸν Ἰωάννην δὲ καὶ τοὺς σὺν αὐτῷ τριάκοντα ἐπισκόπους πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησαν, ὡς τὰ τοῦ Νεστορίου καὶ τὰ τοῦ Κελεστίου ἀσεβῆ δόγματα κατασπασαμένους. Διορίζεται οὖν ὁ κανὼν ὡς, Ἐπεὶ ἐχρῆν τινας τῶν ἐπισκόπων, εὐλόγως ἀπολειφθέντας, οὐκ ἀγνοεῖν τὰ πεπραγμένα, ὀφείλουσι πάντες εἰδέναι ὅτι, εἴ τις ἐπίσκοπος ἢ προσιτέθη, ἢ προστεθείη τῇ τῆς ἀποστασίας συνεδρίῳ, δηλονότι τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας καὶ τοῦ Κελεστίου, οὗτος καθῃρημένος ἔσται, καὶ οὐδέν τι ὁπουδήποτε ἱερατικὸν ἐνεργήσει· ἀλλὰ πάντες οἱ πέριξ μητροπολῖται καὶ ἐπίσκοποι ἀπόβλητον τοῦτον ἕξουσιν, ὡς ἤδη τοῦ ἐπισκοπικοῦ βαθμοῦ ἀπαλλοτριωθέντα. Καὶ ὁ μὲν

BALS. Deposito Nestorio, Ephesi insurrexit Joannes patriarcha Antiochenus, cum Theodorito Cyri episcopo et Iba Edessæ et aliis, et tanquam in C eorum absentia depositione facta, quæ facta fuerant reprehendit, et sanctum Cyrillum papam Alexandrinum, synodo præsidentem, et Cœlestini Romani papæ locum tenentem; quin etiam Memnonem Ephesi episcopum, præter rationem deposuit. Ac Theodoritus quidem etiam adversus duodecim capita, quæ magnus Cyrillus ediderat, ad improbam Nestorii refellendam opinionem, duodecim alia conscripsit ad illorum eversionem et confutationem; et Ibas similiter epistolam fecit. Quæ quidem quarta synodus, ut impia rejecit. Et ipsi etiam tertiæ synodi Patres, cum quod ab Antiocheno patriarcha Joanne et reliquis factum fuerat, in Cyrilli, et eorum qui una cum ipso erant, depositione, intellexerunt; eos quidem ut sine causa depositos restituerunt: D Joannem autem et qui cum eo erant, 30 episcopos, ab omni ecclesiastica communione alienos fecerunt, ut Nestorii et Cœlestii impia dogmata complexos. Decernit ergo canon, quod, quoniam oportet aliquos episcopos, qui justis de causis non interfuerunt, non ignorare ea quæ facta sunt, debent omnes scire, quod si quis episcopus adhæsit, vel adhæserit apostasiæ seu defectionis conventiculo, parti scilicet Joannis Antiocheni et Cœlestii, is erit depositus, et nihil penitus sacerdotale exercebit: sed omnes qui sunt circumcirca, metropolitani et episcopi, eum ejectum habebunt, ut qui a gradu episcopali jam sit alienatus. Et hæc canon quidem dicit. Tu autem in nonnullis inveniens exemplaribus errorem de Cœlestino (pro Cœlestio enim

meminit) ne attenderis ils quæ sic scripta sunt. Cœlestinus enim papa Romanus erat orthodoxus, ut superius dictum est, Cœlestius autem idem quod Nestorius sentiens, sive hæreticus.

A κανὼν ταῦτά φησι· σὺ δὲ εὑρίσκων ἐν τισὶν ἀντιγράφοις σφάλμα γραφικὸν τὸ περὶ τοῦ Κελεστίνου (ἀντὶ γὰρ Κελεστίου Κελεστίνου μέμνηται (80)) μὴ προσσχῇς τοῖς οὕτω γεγραμμένοις. Ὁ γὰρ Κελεστῖνος πάππας ἦν Ῥώμης, ὀρθόδοξος, ὡς ἄνωθεν εἴρηται· ὁ δὲ Κελέστιος ὁμόφρων τοῦ Νεστορίου, ἤτοι αἱρετικός.

ZONAR. Cum Ephesi synodus convenisset, ac in ea quæstio de Nestorii erroribus agitata esset, præsidente orthodoxis **100** Patribus Cyrillo papa Alexandrino beatæ memoriæ, Cœlestini veteris Romæ papæ locum etiam tenente, eique strenue operam navante Ephesino episcopo Memnone : novæ Romæ hujus, ac reginæ urbium patriarcha Nestorius condemnatus, et sanctorum Patrum sententia depositus fuit. Sed cum trium postea dierum B intervallo Joannes Antiochenus patriarcha, magno episcoporum comitatu, quibus Theodoretus Cyropolitanus et Ibas Edessenus antistites præerant, adfuisset, quod adventus illorum a synodo non exspectatus fuit, irritati, et Nestorii depositionem rescindere, et sanctos, Cyrillum et Memnonem Ephesinum vicissim pœna depositionis afficere conati sunt. Ac Theodoretus quidem capita duodecim, a magno Cyrillo, ad confutandos Nestorii errores fidemque stabiliendam vulgata, totidem ipse ad ea labefactanda, ac evertenda capitibus editis oppugnavit. Idem, Ibas quoque, emissa epistola, præstitit; diuque discordibus animis utrinque certatum, donec a synodo in eos antistites, Nestorianis quippe erroribus haud dubie implicatos, depositione animadversum. Hæ causæ scilicet hujus canonis constituendi, quo provinciarum episcopis, qui a synodo abfuerant, Antiocheni patriarchæ, sociorumque synodi auctoritate constituta damnatio significatur; Nestorianosque vel qui jam essent, vel qui postea futuri essent antistites, jure omni de episcopis quibuscunque, aut laicis quidpiam statuendi, spoliatos esse decernitur.

ZΩΝΑΡ. Τῶν ἱερῶν Πατέρων συναθροισθέντων ἐν Ἐφέσῳ, καὶ συζητήσεως περὶ τῶν παρὰ τοῦ Νεστορίου εἰσαγομένων κακοδόξων γεγονυίας δογμάτων, προϊσταμένου τῶν ὀρθοδόξων Πατέρων τοῦ ἐν ἁγίοις Κυρίλλου πάππα Ἀλεξανδρείας, ἐπέχοντα δὲ καὶ τὸν τόπον Κελεστίνου τοῦ πάππα τῆς πρεσβυτέρας Ῥώμης, συναιρομένου δὲ τῷ ἁγίῳ Κυρίλλῳ καὶ Μέμνονος ἐπισκόπου Ἐφέσου· κατεδικάσθη ὁ Νεστόριος πατριάρχης ὢν τῆς νέας Ῥώμης ταύτης καὶ βασιλίδος τῶν πόλεων, καὶ ψήφῳ τῶν ἱερῶν Πατέρων καθῄρητο. Μετὰ δὲ τρεῖς ἡμέρας ὁ Ἀντιοχείας πατριάρχης Ἰωάννης, ἐπιστὰς σὺν πλείοσιν ἐπισκόποις, ὧν προεξῆρχον ὁ Κύρου πόλεως Θεοδώρητος καὶ Ἴβας Ἐδέσσης, λυπηθέντες ὅτι οὐχὶ καὶ τὴν αὐτῶν ἔλευσιν οἱ τῆς συνόδου ἀνέμειναν, τῇ καθαιρέσει τε τοῦ Νεστορίου ἐμέμψαντο, καὶ τὸν ἅγιον Κύριλλον τόν τε Ἐφέσου Μέμνονα ὑπὸ καθαίρεσιν ἐποιήσαντο. Ὁ μέντοι Θεοδώρητος καὶ κατὰ τῶν δώδεκα κεφαλαίων, ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας τοῦ Νεστορίου, στηριγμὸν δὲ τῆς ὀρθοδόξου πίστεως, δώδεκα κεφάλαια ἕτερα ἐκδέδωκεν εἰς ἀνατροπὴν καὶ ἀναC σκευὴν ἐκείνων. Καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολὴν ἐποιήσατο. Καὶ μέσον αὐτῶν διαφορὰ μεγάλη γέγονεν, ὡς καὶ καθαιρέσει παρὰ τῶν τῆς συνόδου τοὺς ἀρχιερεῖς ἐκείνους ὑποβληθῆναι, οἷα τοῖς Νεστορίου στοιχήσαντας. Διὰ ταῦτα τοίνυν καὶ ὁ παρὼν κανὼν ἐξετέθη, διδάσκων τοὺς μὴ τῇ συνόδῳ παρουσιάσαντας τῶν ἐπαρχιῶν ἐπισκόπους τὴν τοῦ Ἀντιοχείας καὶ τῶν ἄλλων συνοδικὴν καταδίκην, καὶ ὡς οὐ χρὴ ἀρχιερατικοῖς προνομίοις χρωμένους διαπράττεσθαί τι κατὰ ἐπισκόπων ἢ λαϊκῶν, οὔτε τοὺς τὰ Νεστορίου φρονήσαντας, οὔτε μὴν τοὺς φρονήσαντας.

ARIST. *Si metropolitanus, relicta synodo Cœlestino adhæsit vel adhæserit, rejiciendus.*

ΑΡΙΣΤ. *Ἐὰν ἀπολειφθεὶς* (81) *τῆς συνόδου μητροπολίτης τῷ Κελεστίνῳ ἀντέχηται, ἢ ἀνθέξηται, ἀπόβλητος.*

CANON II.

Si autem nonnulli provinciales episcopi sanctæ synodo non interfuerunt et apostasiæ accesserunt, vel accedere conati fuerunt, vel cum etiam Nestorii depositioni subscripsissent, ad apostasiæ consessum

ΚΑΝΩΝ Β'.

D *Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ τοῦ Νεστορίου καθαιρέσει*

Guill. Beveregii notæ.

(80) *Ἀντὶ γὰρ Κελεστίου Κελεστίνου μέμνηται.* Sic quidem Alexius Aristenus, ad quem forsitan Balsamon hic respicit, in epitome hujus canonis subsequente, pro Celestio, Celestinum legit. Idem mendum etiam in Gennadii catalogum illustrium virorum irrepsit, ubi dicitur, *Celestinus antequam ad Pelagium concurreret, imo adhuc adolescens, scripsit ad parentes suos de monasterio epistolas in modum libellorum tres.* Non enim Celestinus sed Celestius ad Pelagium concurrit. Celestinus autem orthodoxus fuit Romæ episcopus, acerrimus Celestii et Pelagii sectatorum antagonista. Vide etiam annotationes in quartum hujus concilii canonem.

(81) *Ἐὰν ἀπολειφθεὶς.* Simeon Logotheta hanc canonis epitomen sic legit, Ἐὰν ἀπολειφθεὶς ὁ μητροπολίτης τῶν Κελεστίνου ἀντέχηται, ἢ ἀνθέξηται, ἀπόβλητος, καὶ τὸ ἑξῆς ἀδιοίκητος, *Si metropolitanus, relicta synodo, Celestini sectatoribus adhæret, vel adhæserit, rejiciendus, ac deinceps ab administratione Ecclesiæ removendus est.* Ubi ultima illa verba καὶ τὸ ἑξῆς ἀδιοίκητος, in Aristeni epitome desiderata, ad plenum canonis sensum exprimendum recte adduntur. Hic etiam advertas nomen Κελεστίνου pro Κελεστίου mendose scriptum esse.

ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον· τούτους πάντη κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἐκπίπτειν.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος β' κανόνος ἡρμηνεύθησαν ἐν τῷ α' κανόνι, ὡς τὰ αὐτὰ ἐκείνῳ διαλαμβάνοντος. Προστίθησι δὲ οὗτος καθῃρημένους εἶναι καὶ τοὺς ὑπογράψαντας μὲν ἐν τῇ καθαιρέσει τοῦ Νεστορίου, ὕστερον δὲ προστεθέντας τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας. Ὅτι δὲ ὁ κανὼν ἐν τῷ τέλει μέμνηται ἀλλοτριώσεως ἱερωσύνης καὶ ἐκπτώσεως βαθμοῦ, εἰπὲ ἐκλαμβάνεσθαι τὴν μὲν ἀλλοτρίωσιν τῆς ἱερωσύνης εἰς τοὺς ἐπισκόπους, τὴν δὲ ἔκπτωσιν τοῦ βαθμοῦ εἰς οὓς κυρίως οἱ βαθμοὶ ἐξελήφθησαν· ὥστε καὶ τοὺς προστεθέντας κληρικοὺς τῷ μέρει τῶν ἀποστατησάντων ὁπωσδήποτε καθῃρημένους εἶναι. Τέως δὲ ὁ α' κανὼν περὶ ἐπισκόπων λέγων ἐν τῷ τέλει, φησὶ καὶ τὴν ἐπισκοπὴν βαθμόν.

ΖΩΝΑΡ. Τοῦ Ἀντιοχείας Ἰωάννου καὶ Θεοδωρήτου καὶ Ἴβα, ὡς εἴρηται, ἐναντιωθέντων τοῖς δόξασι τῷ ἀθροισμῷ τῶν Πατέρων, τινὲς καὶ τῶν ἄλλων ἐπισκόπων συνεπήχθησαν ἐκείνοις, οἱ μὲν ἀπολειφθέντες τῆς συνόδου, οἱ δὲ συμπαρουσιάσαντες, καὶ τὴν τῆς καθαιρέσεως τοῦ Νεστορίου ψῆφον ταῖς οἰκείαις ὑπογραφαῖς βεβαιώσαντες. Περὶ τῶν τοιούτων οὖν ὁ παρὼν διαλαμβάνει κανὼν ἐκπτώτους εἶναι τῆς ἱερωσύνης ἐκείνους διατάττόμενος· τοῦτο περὶ τῶν ἐπισκόπων νοητέον· τὸ δὲ καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας περὶ κληρικῶν ἐκληπτέον· οὗτοι γὰρ ὑπὸ βαθμούς εἰσιν. Οἱ μὲν οὖν ἱερεῖς μείζονός εἰσι βαθμοῦ ἤτοι ἀξίας, οἱ δὲ διάκονοι ἥττονος, καὶ καθεξῆς οἱ λοιποί.

ΑΡΙΣΤ. *Καὶ ὅστις Νεστορίῳ σύμφωρ καὶ ὁμόφρων ἐπίσκοπος, ἀποκήρυκτος.*

ΚΑΝΩΝ Γ'.

Εἰ δέ τινες τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν. Κοινῶς δὲ τοὺς τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις ἐπισκόποις μηδ' ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

ΒΑΛΣ. Τῶν εἰκότων ἦν τινας κληρικοὺς ὀρθοδόξους μὴ φρονῆσαι τὰ τοῦ Νεστορίου ἢ τὰ τῶν συμφρονησάντων αὐτῷ ἐπισκόπων, καὶ διὰ τοῦτο ἀφορισθῆναι. Ἀποκαθίστησιν οὖν ὁ κανὼν τούτους εἰς τοὺς οἰκείους βαθμούς, προσεπάγων μὴ μόνους αὐτοὺς ἔχειν τοὺς οἰκείας ἐπιτιμίας, ἀλλὰ καὶ πάντας τοὺς κληρικοὺς τῶν τοιούτων ἐπισκόπων μηδ' ὅλως ὑποκεῖσθαι αὐτοῖς ὡς ἀποστατήσασιν.

ΖΩΝΑΡ. Πατριάρχης ὢν, ὡς εἴρηται, Κωνσταντινουπόλεως ὁ Νεστόριος, ἀφώρισέ τινας κληρικοὺς μὴ συμφρονοῦντας αὐτῷ. Καὶ ἐν ἄλλαις δὲ πόλεσιν οἱ ὁμοδοξοῦντες ἐκείνῳ ἐπίσκοποι τὸ αὐτὸ πεποιήκασι. Τοὺς οὖν τῆς ἱερωσύνης καλυθέντας, ὡς μὴ συντιθεμένοις τῇ τοῦ Νεστορίου καὶ τῶν ὁμοφρόνων αὐτῷ κακοδοξίᾳ, ἡ ἁγία σύνοδος διὰ τοῦ παρ-

recurrerunt, ii omnino, ut sanctæ synodo visum est, sint a sacerdotio alieni, et gradu excidant.

BALS. Hic canon secundus in primo canone est expositus, ut qui eadem cum illo tractet. Hic autem adjungit, eos etiam esse depositos, qui in Nestorii quidem depositione subscripserunt, Joannis autem Antiocheni parti postea accesserunt. Quoniam autem præsens canon in fine meminit alienationis a sacerdotio, et casus a gradu, die ita accipi ut alienetur quidem a sacerdotio episcopus, a gradu autem excidant clerici, in quibus proprie gradus sumuntur: ita ut clerici quidem ad partem eorum qui defecerunt quomodocunque accedentes, sint depositi. Interim autem canon primus loquens in fine de episcopis, episcopatum quoque gradum dicit.

ZONAR. Cum Antiochenus patriarcha Joannes et Theodoretus et Ibas, sanctorum Patrum decreta, ut diximus, infirmare conati fuissent, alios quoque in suam sententiam præsules adduxere, quorum aliqui non venerant in conventum synodi, alii cum adfuissent etiam Nestorii depositionem suis subscriptionibus confirmarant. Quos quidem propterea canon, sacri muneris dignitate, spoliandos esse decernit, quod de episcopis intelligendum est: illud autem, gradu excidere de clericis accipiendum: hi enim sub gradibus continentur. Sacerdotes enim majorem gradum sive dignitatem, diaconi autem minorem, et sic deinceps reliqui obtinent.

ARIST. *Et quicunque episcopus Nestorio assentitur, favetque, abdicandus.*

101 CANON III.

Si qui autem in unaquaque urbe, vel regione clerici sub Nestorio et iis qui cum ipso, sacerdotio sunt interdicti, eo quod recte sentiant, ut ii quoque proprium gradum recipiant, justum censuimus. Communiter autem omnibus, qui cum orthodoxa et universali synodo consentiunt, clericis jubemus, iis, qui desciverunt vel desciscunt, episcopis nullo penitus modo subjici.

BALS. Est verisimile aliquos clericos orthodoxos non sensisse idem, quod Nestorius et qui illi consentiebant episcopi, et propterea fuisse excommunicatos. Hic ergo canon eos restituit in proprios gradus, inferens præterea, eos non solum habere suos honores ac dignitates, sed omnes talium episcoporum clericos eis nequaquam subjici, ut qui desciverint.

ZONAR. Cum patriarcharum Nestorius, ut diximus, Constantinopoli gereret, clericos quosdam ab ipso dissentientes excommunicavit. Idem autem et in aliis urbibus a Nestorianæ factionis episcopis factitatum. Eos itaque qui a sacerdotio depulsi sunt eo quod malæ Nestorii, eique consentientium opinioni, assensum non præberent, per hunc cano-

nem in proprios gradus restituit sancta synodus, et orthodoxos clericos episcopis cum Nestorio sentientibus nequaquam obtemperare statuit neque ut clericos, neque ut in sacerdotium similiter cooptatos; licet eo ipso episcopis sint subjecti, vel etiam canonica ipsis persolvere teneantur.

ARIST. *Qui a Nestorio sacerdotium interdicitur, sacerdotio est dignissimus; qui vero ab illo suscipitur, profanus.*

CANON IV.

Si qui autem clerici defecerint et ausi sint, vel privatim vel publice, cum Nestorio aut Cœlestio sentire, eos quoque depositos esse sanctæ synodo justum visum est.

BALS. Hic quoque canon præcedentibus est similis. Dicit enim clericos esse depositos, qui cum Nestorio vel Cœlestio sentiunt, sive eadem docent, sive non. Vox autem δεδικαίωται pro justum visum est, accipiebatur.

ZONAR. De clericis hæreticis consentientibus hoc quoque canone actum; quos quidem, inquit, sive soli perversis opinionibus privatim adhæserint, sive publice docendis, et in vulgus disseminandis operam navarint, pro depositis haberi a sancta synodo δεδικαίωται, id est justum judicatum est. Et visum est quod Cœlestius quoque Nestorio consentiebat.

ARIST. *Si qui clerici Cœlestino vel Nestorio assentiantur, sunt deponendi.*

CANON V.

Quicunque autem propter indigna sua facta a sancta synodo, vel a propriis episcopis condemnati sunt, et iis non canonice, prout omnia facit indiscriminatim, Nestorius, vel qui idem cum eo sentiunt, restituere tentaverint communionem, vel gradum,

όντος κανόνος ἀποκατέστησεν εἰς τοὺς οἰκείους βαθμούς, καὶ διωρίσατο τοὺς ὀρθοδόξους κληρικοὺς τοῖς ὁμογνωμονοῦσι τῷ Νεστορίῳ ἐπισκόποις μὴ ὑποκεῖσθαι κατὰ μηδένα τρόπον, μήτε ὡς κληρικοὺς μήτε ὡς ἱερωμένους ἁπλῶς, καὶ διὰ τοῦτο τοῖς ἐπισκόποις ὑποκειμένους ἢ καὶ κανονικὰ τελεῖν αὐτοῖς ὀφείλοντας.

ΑΡΙΣΤ. *Ὃς ὑπὸ Νεστορίου τῆς ἱερωσύνης κεκώλυται, ἱερώτατος· ὁ δεκτέος ἐκείνῳ ἀνίερος*

ΚΑΝΩΝ Δ'.

Εἴ δέ τινες ἀποστατήσαιεν τῶν κληρικῶν (82). καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν ἢ δημοσίᾳ τὰ τοῦ Νεστορίου ἢ τὰ τοῦ Κελεστίου φρονῆσαι, καὶ τούτους εἶναι καθῃρημένους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ὅμοιος τοῖς πρὸ αὐτοῦ ἐστι. Φησὶ γὰρ καθῃρημένους εἶναι τοὺς κληρικοὺς τοὺς φρονήσαντας τὰ τοῦ Νεστορίου ἢ τοῦ Κελεστίου, εἴτε διδάσκουσιν αὐτὰ, εἴτε καὶ μή. Τὸ δὲ *δεδικαίωται* ἐξελήφθη ἀντὶ τοῦ δίκαιον ἔδοξε.

ΖΩΝΑΡ. Καὶ πάλιν περὶ κληρικῶν ὁ κανὼν οὗτος διαλαμβάνει τοῖς αἱρετικοῖς συμφρονησάντων· καὶ εἴτε ἰδίᾳ, φησὶ, καὶ καθ' ἑαυτοὺς τὰς ἀθέσμους δόξας φρονῶσιν, εἴτε δημοσίᾳ πάντας διδάσκουσιν, καὶ κηρύττουσι, καθῃρημένους εἶναι τοὺς τοιούτους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται· ἀντὶ τοῦ *δίκαιον ἐκρίθη, καὶ ἔδοξε.* Καὶ ὁ Κελέστιος δὲ ὁμόφρων τῷ Νεστορίῳ ἦν.

ΑΡΙΣΤ. *Εἴ τινες τῶν κληρικῶν Κελεστίνῳ ἢ Νεστορίῳ συμφρωνήσαιεν, καθαιρετέοι.*

ΚΑΝΩΝ Ε'.

Ἐὰν οἱ μοναστὰι ἢ οἱ ἅπαξ ἐν κλήρῳ ταχθέντες, καταλιπόντες τὸν μονήρη βίον ἢ τὸν ἐν κλήρῳ, καὶ τὸ σχῆμα μεταλλαξάμενοι, ἐπὶ στρατείαν μεταπέσωσιν ἢ κοσμικὴν ἀξίαν μετέλθωσι, καὶ οὐ μεταμεληθῶσιν, ὥστε ἐπιστρέψαι ἐπὶ τὸ σχῆμα τοῦτο, ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματιζέσθωσαν. Συνᾴδει γοῦν τῷ παρόντι κανόνι καὶ ἡ ὀγδόη Νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, μὴ συγχωροῦσα τοῖς μοναστᾶις λαϊκοῦ σχῆμα ἀναλαμβάνειν. Κἂν ἡ ἑνδεκάτη διάταξις (2) ἡ ἐν τῷ ἑξηκο-

Guill. Beveregii notæ

(2) *Κἂν ἡ ἑνδεκάτη διάταξις.* Neque hæc constitutio, neque ipsum caput ab Aristeno hic citatum, in Basilicis impressis exstat ; in quibus etiam sola 24 capita primo titulo quarti libri hic laudati ascribuntur, cum Aristenus undecimam constitutionem capitis 62 citet. Ac proinde ex hoc, ut et ex sexcentis fere aliis hujus operis locis, abunde constat, Basilica hodie impressa mutila admodum et imperfecta esse. Quod autem ad locum hic citatum spectat, hoc esse suspicor Justiniani statutum in Basilica tralatum, *Si vero relinquens monasterium ad quamdam veniat militiam, aut ad aliam vitæ figuram, substantia ejus etiam sic in monasterio (secundum quod a nobis prius dictum est) rema-*

στῷ δευτέρῳ κεφαλαίῳ τοῦ πρώτου τίτλου τοῦ τετάρτου βιβλίου τῶν Βασιλικῶν κειμένη, καὶ τῷ παρόντι κανόνι καὶ τῇ Νεαρᾷ ταύτῃ ἐναντιοῦται.

A Basilic. posita, et præsenti canoni et isti Novellæ adversatur.

ΚΑΝΩΝ Η'.

Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρίων ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων Πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου ἐπισκόπου. Οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν, εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις· εἰ δὲ μοναζοντες ἢ λαϊκοί, ἔστωσαν ἀκοινώνητοι.

CANON VIII.

Clerici ptochotrophiorum, monasteriorum, et templorum martyrum, sub potestate episcoporum, qui sunt in unaquaque civitate, ex sanctorum Patrum traditione permaneant, et non per arrogantiam se a proprio episcopo subducant. Qui hanc autem constitutionem evertere ausi fuerint : si sint quidem clerici, canonum pœnis subjiciantur : si autem monachi vel laici, sint excommunicati.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἔλεγόν ποτέ τινες μόνους τοὺς κληρικοὺς τῆς ἐπισκοπῆς ἢ τῆς μητροπόλεως ὑποκεῖσθαι τῷ κατὰ χώραν ἐπισκόπῳ· τοὺς δὲ μοναχοὺς ἢ καὶ τοὺς κληρικοὺς τῆς ἐν τοῖς ὀρφανοτροφείοις καὶ γηροκομείοις θείων ναῶν ἢ καὶ τῶν ἐκκλησιῶν τῶν μαρτυρίων μὴ ὑποκεῖσθαι τῷ ἐπισκόπῳ, κἂν ὑπὸ τὴν ἐνορίαν τούτου ὦσιν, ἀλλὰ καὶ τοῖς δομήτορσι τῶν μοναστηρίων καὶ τῶν λοιπῶν. Τὸν γοῦν τοιοῦτον ἀκανόνιστον αὐτῶν λόγον οἱ θεῖοι Πατέρες ἀποσκευαζόμενοι, ὥρισαν πάντας τούτους ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ κατὰ χώραν ἐπισκόπου κατὰ τὴν περὶ τούτου τῶν ἁγίων Πατέρων παράδοσιν· τοὺς δὲ τολμῶντας ἀνατρέπειν τοῦτο, ἤγουν θέλοντας μὴ ὑποκεῖσθαι αὐτοὺς τῷ ἐπισκόπῳ· κληρικοὺς μὲν ὄντας, ἐπιτιμᾶσθαι παρὰ τοῦ ἐπισκόπου κατὰ τὸ δοκοῦν αὐτῷ, μονάζοντας δὲ ἢ λαϊκοὺς, ἀκοινωνήτους εἶναι, ἤγουν ἀφωρισμένους. Πτωχεῖα δὲ λέγονται πάντα τὰ εἰς πτωχῶν πρόνοιαν ὁρισθέντα. Οἱ γοῦν σήμερον λέγοντες μοναχοὶ ἢ κληρικοὶ μὴ ὑποκεῖσθαι τῷ πατριάρχῃ ἢ τῷ ἐγχωρίῳ ἐπισκόπῳ, ὡς ἀπὸ ἐλευθέρας μονῆς ἢ ἐκκλησίας ὄντες, προβαλλόμενοι ὅθεν καὶ κτητορικῶν τυπικῶν διατάγματα, τί πρὸς ταῦτα ἀπολογήσονται; Πάντως οὐδέν. Κἂν γὰρ δομήτωρ τις μοναστηρίου ἢ ἐκκλησίας ἐν τυπικῷ ἢ διατάξει αὐτοῦ διορίσηται μὴ ὑποκεῖσθαι τοὺς μοναχοὺς ἢ τοὺς κληρικοὺς τούτων τῷ κατὰ χώραν ἐπισκόπῳ, οὐκ εἰσακουσθήσεται, ὡς τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ὑπεναντίως διαταξάμενος, καὶ ἀνυπόστατα γράψας. Περὶ δὲ τῶν διατεττομένων παρὰ τῶν βασιλέων χάριν τῶν παρὰ τούτων κτιζομένων μοναστηρίων καὶ ἐκκλησιῶν ζήτει τῆς παρούσης συνόδου ς' καὶ ιζ' κανόνα.

BALS. Ut est verisimile, dicebant aliquando nonnulli, solos episcopatus vel metropolis clericos regionis episcopo subjici : monachos autem vel etiam clericos divinorum templorum, quæ sunt in orphanotrophiis vel etiam gerocomiis, vel etiam in martyriorum ecclesiis, episcopo non subjici, etiamsi sint in ejus diœcesi, sed eis qui monasteria et reliqua ædificarunt. Hanc ergo canonibus repugnantem eorum orationem divini Patres rejicientes, statuerunt eos omnes esse in potestate episcopi regionis, secundum sanctorum Patrum de eo traditionem : eos autem qui hoc evertere audeant, vel nolint episcopo subjici ; si sint quidem clerici, ab episcopo puniri, prout ei visum fuerit : si autem monachi vel laici sint, excommunicatos esse seu segregatos. Ptocheia vero dicuntur omnia quæ sunt designata, ut mendicis provideatur. Clerici ergo vel monachi, qui dicunt hodie se patriarchæ vel regionis episcopo non esse subjectos, tanquam sint liberæ mansionis vel ecclesiæ, proferentes utique etiam a fundatoribus factorum statutorum ordinationes, quid ad hæc respondebunt ? Omnino nihil. Etiamsi enim quis fundator monasterii vel ecclesiæ, in statutis suis, vel ordinatione sua decreverit, non subjici eorum monachos vel clericos regionis episcopo, non audietur, ut qui divinis sacrisque canonibus contraria statuerit, et quæ stare non possunt, scripserit. De iis autem quæ ab impp. ordinantur, propter ea quæ a se exstruuntur monasteria et ecclesias, quære præsentis synodi can. 6 et 17.

ΖΩΝΑΡ. Πάντας τοὺς ἐν ταῖς ἐκκλησίαις καὶ πόλεσι κληρικοὺς καὶ ταῖς τούτων ἐνορίαις μοναχοὺς οἱ θεῖοι κανόνες τοῖς ἐπισκόποις ὑπείκειν κελεύουσι. Διὸ καὶ ὁ παρὼν κανὼν τοὺς τῶν πτωχείων κληρικοὺς τῷ ἐπισκόπῳ ὑπέταξε. Πτωχεῖα δέ εἰσι τὰ εἰς πτωχῶν ἀφωρισμένα πρόνοιαν, καὶ διοίκησιν, τὰ γηροκομεῖα δηλονότι, ὀρφανοτροφεῖα, καὶ τὰ τοιαῦτα

ZONAR. Quicunque ecclesias vel urbes, vel attinentes urbi regiones clerici, aut monachi colunt, episcoporum auctoritati subjecti esse decreto divinorum canonum omnes jubentur. Quocirca et hic canon ptocheiorum clericos episcopo subjicit. Sunt vero ptocheia domus quæ pauperibus sustentandis curandisve destinatæ sunt. quales ea videlicet, in

Guill. Beveregii notæ.

nente, ipse inter officiales clarissimi provinciæ judicis statuetur, et hunc habebit mutationis fructum, ut qui sacrum ministerium despexit, tribunalis terreni observet servitium. Justinian. Novel. 5, cap. 6. Hæc enim constitutio, qua monachus monasterium deserens inter officiales statuitur, tam præsenti canoni, quam Leonis Novellæ, contraria est, quod Aristenus de constitutione a se ex Basilicis citata asserit.

quas aut pupilli, aut alii ætate variisque morborum generibus confecti homines recipi et ali so'ent. Ne iis enim, qui in illis accumbunt, precationum omni fructu carere necesse foret, per effœtam senectutem aut mutilati corporis debilitatem, aut morbos, ecclesias, quique in iis celebrantur conventus, adeundi erepta potestate; curam habuerunt hospitalium domorum conditores, et in eis ædiculas excitare, et divinis laudibus persolvendis clericos constituere, ut ad eas auscultandas tota illa qualiscunque familia non difficile conveniret. Eos igitur clericos, quique in martyriis, templis scilicet martyrum nomini dicatis, agunt, suæ quemque regionis episcopo subjectos esse synodus præsens jubet. Quin et idem de monasteriorum quoque clericis statuit. Nomine vero clericorum etiam eos qui sunt in monasteriis, consecratos indicavit. Cum enim quemdam ad sacros ordines admitti, nisi certæ cuidam ecclesiæ addictum hujus synodi sexto canone vetitum sit, proindeque quicunque ordinibus insigniti monachi forent, certi alicujus monasterii sacerdotes, aut diaconi, aut deinceps, sui quisque ordinis nomine, dicerentur; idcirco ejusdem monasterii clero ascripti quodammodo putabantur, eosque synodi sancti Patres hoc loco clericorum appellatione complexi sunt. Sint igitur illi omnes, inquit canon, episcopo subjecti, neque habenas excutiant, hoc est, episcopi imperium detrectent et reluctentur, ut equuleus respuens frenum; hoc enim est ἡνία. Quicunque porro hujus decreti constitutionem violarint, si quidem clerici sint, canonicis pœnis episcopi potestate ac judicio eligendis subjicit: si vero monachi, aut laici, communione privatos esse decernit. Sed cum clericos tantum hæc constitutio attingat, quomodo laicorum quoque mentio injecta est? Patrum igitur eam mentem fuisse arbitror, ut clericos sua sponte antistitibus per impudentiam obsistere, eorumque auctoritati adversari nunquam ausuros esse existimarent; sed fortassis a quibusdam potentioribus per potestatem suam fiduciam illis, vel potius audaciam ad superbiam usque evectam, ingenerantibus persuasos; proinde illos quoque excommunicationi subjicit,

ἐν οἷ, καταπαθεῖς ἀνάκεινται καὶ τρέφονται. Ἵνα γὰρ μὴ οἱ ἐν αὐτοῖς ἀνακείμενοι εὐχῶν εἶεν ἀμέθεκτοι, μὴ δυνάμενοι εἰς τὰς ἐν ἐκκλησίαις συνάξεις ἀπιέναι διὰ γήρως βαθέος βαρύτητα ἢ πηρώσεις σωματικὰς ἢ νόσους, πρόνοιαν ἔθεντο οἱ τῶν πτωχείων δομήτορες ναούς τε ἐν αὐτοῖς ἀνεγεῖραι καὶ κληρικοὺς κατατάξαι, ἵν' ἐκτελῆται παρ' αὐτῶν ἡ πρὸς τὸ Θεῖον ὑμνῳδία, καὶ οἱ ἐν αὐτῇ ἀνακείμενοι ἀταλαιπώρως ταύτης ἀκούωσι. Καὶ τοὺς τοιούτους τοίνυν κληρικοὺς καὶ τοὺς τῶν μαρτυρίων τῶν ἐπ' ὀνόματι μαρτύρων οἰκοδομηθέντων ναῶν, τῷ κατὰ χώραν ἐπισκόπῳ ὑποκεῖσθαι ἡ παροῦσα κελεύει σύνοδος, ἀλλὰ καὶ τοὺς τῶν μοναστηρίων. Τῷ ὀνόματι δὲ τῶν κληρικῶν καὶ τοὺς ἐν μοναστηρίῳ ὄντας ἱερωμένους διέλαβεν, ὅτι μηδένα χειροτονεῖσθαι ἀπολελυμένως ἡ τοιαύτη σύνοδος ὥρισεν ἐν τῷ ἕκτῳ κανόνι. Ἐπεὶ οὖν καὶ οἱ μοναχοὶ χειροτονούμενοι τῆς μονῆς τῆσδε ὠνομάζοντο ἱερεῖς ἢ διάκονοι, καὶ ἐφεξῆς οἱ τῶν κατωτέρων ταγμάτων· εἰκότως κεκληρῶσθαι ἕκαστοι τῇ μονῇ, ᾗ ὠνομάσθησαν, ἐνομίζοντο, καὶ κληρικοὺς καὶ αὐτοὺς οἱ τῆς συνόδου θεῖοι Πατέρες ἐκάλεσαν. Τούτους οὖν ἅπαντας ὑποκεῖσθαι κελεύει τῷ ἐπισκόπῳ, μηδὲ ἀφηνιάζειν, ἀντὶ τοῦ τῆς ἐξουσίας ἐκείνου ἐκφεύγειν τε καὶ ἀποσκιρτᾶν, ὥσπερ πῶλος ἀποπτύσας τὸν χαλινόν· οὗτος γὰρ ἡ ἡνία. Τοὺς δὲ παραβαίνοντας τὸν κανόνα, κληρικοὺς μὲν ὄντας, κανονικαῖς ἐπιτιμίοις ὑπέθετο τῇ τοῦ ἐπισκόπου ἐξουσίᾳ καὶ διακρίσει καταλιπὼν τὴν τῶν ἐπιτιμίων ποιότητα· μοναχοὺς δὲ ὄντας ἢ λαϊκοὺς ἀκοινωνήτους εἶναι ὡρίσατο. Πῶς δὲ περὶ κληρικῶν διαλεγόμενος ὁ κανὼν λαϊκῶν ἐμνήσθη; Οἶμαι τοίνυν τοιαύτην εἶναι τὴν ἔννοιαν τῶν Πατέρων· τοὺς κληρικοὺς μὴ ἐφ' ἑαυτῶν τολμᾷν καταναιδεύεσθαι τῶν ἀρχιερέων ἔκριναν καὶ ἀποσκιρτᾷν τῆς ἐξουσίας αὐτῶν· ἀλλ' ἴσως δυνατοῖς πεποιθότας τισὶ θάρσος ἐκείνοις περιποιοῦσιν ἐκ τῆς σφῶν δυναστείας, ἢ μᾶλλον θράσος πρὸς τὴν αὐθάδειαν· κἀκείνους οὖν τῇ ἀκοινωνησίᾳ ὑπάγει.

ARIST. *Qui in ptocheio aut monasterio degit clericus, episcopi civitatis auctoritati se submittat: qui vero excussis habenis ab eo resilit, pœnam luat.*

ΑΡΙΣΤ. *Ὁ ἐν πτωχείῳ ἢ σεμνείῳ κληρικὸς βλεπέτω τὴν ἐξουσίαν τοῦ ἐπισκόπου τῆς πόλεως· ὁ δὲ τούτου ἀφηνιάζων γινωσκέτω τὸ ἐπιτίμιον.*

Et hi episcopi civitatis auctoritati subjici debent. Si autem per arrogantiam suam ei se submittere non persuadeantur, canonum suppliciis subjicientur.

Ὑποκεῖσθαι καὶ οὗτοι ὀφείλουσι τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου τῆς πόλεως. Εἰ δὲ οὐ πείθονται κατ' οἰκείαν αὐθάδειαν ὑπ' αὐτὸν τελεῖν, τοῖς τῶν κανόνων ἐπιτιμίοις ὑποπεσοῦνται.

122 CANON IX.

Si quis clericus habeat cum clerico litem, proprium episcopum ne relinquat, et ad sæcularia judicia ne excurrat: sed causam prius apud proprium episcopum agat, vel episcopi voluntate apud eos, quos utraque pars elegerit, judicium agitetur. Si quis autem præter hæc fecerit, canonicis pœnis subjiciatur. Si clericus autem cum proprio vel etiam alio episcopo litem habeat, a provinciæ synodo judicetur. Si autem cum ipsius provinciæ metropoli-

ΚΑΝΩΝ Θ'.

Εἴ τις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχοι, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ δικαστήρια μὴ κατατρεχέτω, ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ἢ γοῦν γνώμῃ αὐτοῦ τοῦ ἐπισκόπου παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωνται τὰ τῆς δίκης συγκροτεῖσθαι. Εἰ δέ τις παρὰ ταῦτα ποιήσοι, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. Εἰ δὲ καὶ κληρικὸς πρᾶγμα ἔχοι πρὸς τὸν

ἴδιον ἢ καὶ πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω. Εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω.

tano episcopus vel clericus controversiam habeat, diœcesis exarchum adeat, vel imperialis urbis Constantinopolis thronum, et apud eum litiget.

ΒΑΛΣ. Ὡροθετήσαντες οἱ ἅγιοι Πατέρες πάντας τοὺς κληρικοὺς ὑποκεῖσθαι τῷ κατὰ χώραν ἐπισκόπῳ (τῷ ὀνόματι δὲ τῶν κληρικῶν καὶ οἱ μοναχοὶ περιέχονται), ἐπάγουσι διὰ τοῦ παρόντος κανόνος μὴ ἔχειν ἐπ' ἀδείας κληρικὸν παρὰ πολιτικῷ δικαστηρίῳ ἐνάγειν κατὰ κληρικοῦ, ἀλλὰ παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ· ἢ κατὰ γνώμην τοῦ ἐπισκόπου, παρ' οἷς ἂν τὰ μέρη θελήσωσιν, ὀφείλουσιν εἶναι πάντως προσφόροις, ἤγουν ἐκκλησιαστικοῖς. Εἰκὸς γάρ ἐστι μὴ θέλειν τὸν ἐπίσκοπον ἀκροάσασθαι τῆς ὑποθέσεως διά τινα εὔλογον αἰτίαν. Τὸν δὲ παρὰ ταῦτα ποιήσαντα κανονικοῖς ἐπιτιμίοις ὑποβάλλει ὁ κανών. Καὶ ταῦτα μὲν ὅταν δύο κληρικοὶ μιᾶς ἐνορίας κατ' ἀλλήλων δικαστήρια ἔχωσιν. Εἰ δὲ κληρικὸς ἔχει ἀγωγὴν κατὰ τοῦ ἰδίου ἐπισκόπου ἢ καθ' ἑτέρου ἐπισκόπου, τὰ τῆς ὑποθέσεως ἐξετασθήσονται παρὰ τῷ προσφόρῳ μητροπολίτῃ τῆς ἐπαρχίας. Εἰ δὲ κατὰ μητροπολίτου ἔχει ἀγωγὴν ἐπίσκοπος ἢ κληρικὸς μητροπολίτου, διορίζεται ὁ κανὼν δικάζειν τὴν ὑπόθεσιν ἢ τὸν ἔξαρχον τῆς διοικήσεως ἢ τὸν πατριάρχην Κωνσταντινουπόλεως. Ὀφείλομεν οὖν λέγειν ὡς, εἴ τις κληρικὸς μέλλει γυμνάσαι ὑπόθεσιν κατὰ κληρικοῦ ἢ ἐπισκόπου ἢ μητροπολίτου, τῷ φόρῳ τοῦ ἐναγομένου κατὰ νόμους ἀκολουθείτω. Οἱ μὲν γὰρ κληρικοὶ καὶ μοναχοὶ παρὰ τῷ ἐγχωρίῳ ἐπισκόπῳ ἑλκυσθήσονται, ὁ ἐπίσκοπος παρὰ τῷ μητροπολίτῃ, καὶ ὁ μητροπολίτης παρὰ τῷ πατριάρχῃ· καὶ οὐκ ἔσται ἄδεια τυχὸν κληρικῷ τῆς ἐπισκοπῆς τοῦ Ἀθύρα παρὰ τῷ μητροπολίτῃ Ἡρακλείας ἐναγαγεῖν κατὰ συγκληρικοῦ αὐτοῦ, ἀλλ', ὡς ἄνωθεν εἴρηται, ποιῆσαι ἀναγκασθήσεται. Ἐρωτήσει δέ τις, ἐὰν κληρικὸς οὐ θελήσῃ παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ δικάσασθαι μετὰ συγκληρικοῦ αὐτοῦ, ἀλλὰ παρὰ τῷ μητροπολίτῃ ἐνάγῃ, ἐκπεσεῖται τῆς οἰκείας ἐναγωγῆς, ὅπερ ἔμελλε παθεῖν, εἴπερ εἰς νοσμικὸν δικαστήριον εἵλκυσε τοῦτον; Λύσις. Οὐκ ἐκπέσῃ μὲν τῆς οἰκείας ὑποθέσεως, ὡς μὴ ἐναγαγὼν εἰς πολιτικὸν δικαστήριον· ἐπιτιμηθήσεται δὲ κατὰ τὸν παρόντα κανόνα. Μὴ ἐναντιωθῇ δέ σοι τὸ ς' κεφ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, λέγον· Δυνατὸν καὶ παρὰ τῷ πατριάρχῃ πρῶτον αἰτιάσασθαι, καὶ αἰτεῖν διὰ γραμμάτων αὐτοῦ, δοθῆναί τινα δικαστὴν τῶν κατὰ τόπον ἐπισκόπων· οὗ παραιτηθείσης τῆς ψήφου, πάλιν ὁ πατριάρχης δικάζει. Ἀλλὰ ἀνάγνωσον μετ' ἐπιστασίας τὸν παρόντα κανόνα, τὸν ιε' τῆς ἐν Καρθαγένῃ συνόδου, τὸν ς' τῆς β' συνόδου καὶ τὸ α' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, λύοντα τὸ ἐναντιοφανές. Τὸ δὲ εἰρημένον ἐνταῦθα, ἤγουν γνώμῃ τοῦ ἐπισκόπου, παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωνται τὰ τῆς δίκης συγκροτεῖσθαι, μὴ εἴπῃς περὶ αἱρετοῦ δικαστοῦ ἐκλαμβάνεσθαι, μὴ

BALS. Postquam definiissent sancti Patres, omnes clericos regionis episcopo subjici (clericorum autem nomine etiam monachi continentur), per præsentem canonem inferunt non licere clerico apud judicium civile adversus clericum actionem intendere, sed apud proprium episcopum : vel ejus voluntate, apud eos quos partes voluerint, qui tamen debent esse idonei, id est, ecclesiastici. Est enim verisimile, futurum ut nolit quandoque episcopus causam audire justa aliqua de causa. Eum autem qui præter hæc facturus est, canon canonicis pœnis subjicit. Et hæc quidem ita se habent, quando unius regionis duo clerici inter se invicem habent controversiam. Si autem clericus habet actionem adversus proprium episcopum, vel adversus alium episcopum, examinabitur causa apud idoneum provinciæ metropolitanum. Si autem episcopus vel metropolitani clericus habet actionem adversus metropolitanum, decernit canon ut de causa cognoscat vel diœcesis exarchus, vel patriarcha Constantinopolitanus. Debemus ergo dicere, quod si quis clericus adversus clericum vel episcopum vel metropolitanum agere velit, forum rei secundum leges sequatur. Clerici enim et monachi apud regionis episcopum trahentur, episcopus apud metropolitanum, metropolitanus apud patriarcham : et non licebit, verbi gratia, clerico episcopatus Athyræ apud Heracleæ metropolitanum adversus conclericum suum actionem intendere, sed, ut superius dictum est, facere cogetur. Interrogabit autem quispiam, si clericus noluerit apud proprium episcopum cum synclerico litigare, sed apud metropolitanum actionem intenderit, num causa cadet et propriam actionem amittet : quod quidem futurum est, si eum ad judicium sæculare traxerit ? *Solutio.* Causa quidem non cadet, ut qui non ad civile judicium actionem intentaverit : sed secundum præsentem canonem in eum animadvertetur. Nec tibi contrarium esse putetur 6 cap. primi tit. 3 lib. Basilic. dicens : Apud patriarcham quoque primum actionem quispiam intendere potest, et petere per litteras ejus sibi dari judicem aliquem loci episcoporum, cujus recusata sententia patriarcha rursus judicabit. Sed lege præsentem canonem diligenter, 15 can. Carth. syn. 6. 2 syn. et 1 cap. 9 tit. præsentis operis, et quæ in eo sunt : quæ quidem apparentem contrarietatem dissolvunt. Quod autem hic dictum est, Vel episcopi voluntate, apud eos quos utraque pars voluerit, judicium agitetur, ne dicas accipi de judice eligendo, qui jurisdictionem non habet; eum enim partium voluntas judicem facit et pœnæ stipulatio, quod quidem ex præsenti canone non apparet : sed de

judice, qui habet ecclesiasticam jurisdictionem, sed non est partibus idoneus. Quamobrem, qui præter proprii episcopi voluntatem apud non competens judicium litigare elegerit, etiamsi sit ecclesiasticus secundum præsentem canonem punietur. Provinciæ autem exarchus est, ut mihi quidem videtur, non uniuscujusque provinciæ metropolitanus, sed metropolitanus totius diœcesis. Diœcesis autem est, quæ multas sub se habet provincias. Hoc autem **123** exarchorum privilegium non est hodie in usu. Etsi enim dicuntur exarchi quidam ex metropolitanis, sed tamen alios metropolitanos, qui sunt in diœcesibus, non habent omnino sibi subjectos. Est ergo verisimile alios tunc temporis fuisse exarchos diœcesum, vel esse quidem adhuc ipsos, sed quæ eis data sunt a canonibus privilegia exolevisse.

A ἔχοντος δικαιοδοσίαν· τοῦτον γὰρ θέλησις τῶν μερῶν ποιεῖ δικαστὴν καὶ ἐπερώτησις προστίμου, ὅπερ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἀναφαίνεται ἀλλὰ περὶ δικαστοῦ ἔχοντος δικαιοδοσίαν ἐκκλησιαστικὴν, ἀπροσφόρου δὲ ὄντος τοῖς μέρεσιν. Ὥστε ὁ δίχα γνώμης τοῦ ἐγχωρίου ἐπισκόπου καταδεξάμενος κληρικὸν παρ' ἀπροσφόρῳ δικαστηρίῳ δικάσασθαι, κἂν ἐκκλησιαστικός ἐστι, ἐπιτιμηθήσεται κατὰ τὸν παρόντα κανόνα. Ὁ μέντοι ἔξαρχος τῆς διοικήσεώς ἐστιν, ὡς ἐμοὶ δοκεῖ, οὐχ ὁ ἑκάστης ἐπαρχίας μητροπολίτης, ἀλλ' ὁ τῆς ὅλης διοικήσεως μητροπολίτης. Διοίκησις δέ ἐστιν ἡ πολλὰς ἐπαρχίας ἔχουσα ἐν ἑαυτῇ. Τοῦτο δὲ τὸ τῶν ἐξάρχων προνόμιον σήμερον οὐκ ἐνεργεῖ. Κἂν γὰρ λέγονται ἔξαρχοί τινες τῶν μητροπολιτῶν, ἀλλὰ τοὺς ἐν ταῖς B διοικήσεσιν ὄντας ἑτέρους μητροπολίτας οὐκ ἔχουσιν ὅλως ὑποκειμένους αὐτοῖς. Ἔοικεν οὖν ἑτέρους τινὰς εἶναι κατὰ τοὺς τότε καιροὺς ἐξάρχους τῶν διοικήσεων, ἢ τούτους μὲν εἶναι, ἀπρακτῆσαι δὲ τὰ ὑπὸ τῶν κανόνων δοθέντα τούτοις προνόμια.

ZONAR. Negotia, lites nimirum et controversias, si quæ inter clericos exortæ sint, coram episcopo proprio agitari canon decernit; non autem apud sæculares judices, quoniam id in ipsius episcopi contemptum et contumeliam cedit; aut interim voluntate episcopi, sive ipso consentiente, coram quibus communi consilio utraque pars elegerit causas transigi. Quique constitutionem hanc violarint, canonicis ab episcopis suis pœnis multari jubet. Atque hæc quidem, cum inter se judicio clerici conflictantur. Quod si vel suo vel alteri cuipiam episcopo clerici actionem inteudant, illius provinciæ episcopos in isto casu judices canon constituit; C qui congregati quæstionem audient et definient. Sin autem cum provinciæ metropolitano aliquid habeat episcopus aut clericus negotii sive controversiæ et actionis, ad diœceseos in qua litigantes habitant exarchum, vel Constantinopolitanæ urbis archiepiscopum, arbitrium totius causæ deferendum. Exarchorum porro diœcesanorum nomine nonnulli patriarchas, alii metropolitanos intelligi volunt. Sed de his fusius decimo septimo canone agemus.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς πράγματα πρὸς ἀλλήλους ἔχοντας, δίκας δηλονότι καὶ ὑποθέσεις, βούλεται ὁ κανὼν παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ ταύτας γυμνάζειν, καὶ μὴ ἀπιέναι ἐπὶ κοσμικὰ δικαστήρια· τοῦτο γὰρ εἰς περιφρόνησιν καὶ ὕβριν τοῦ ἐπισκόπου ἐστίν· ἢ τέως γνώμῃ τοῦ ἐπισκόπου, ἤγουν αὐτοῦ ἐπιτρέποντος παρ' οἷς τὰ ἀντίθετα μέρη ἀρέσκονται, ζητεῖσθαι τὰς ὑποθέσεις. Τοὺς δὲ μὴ φυλάττοντας τὴν τοῦ κανόνος διαταγὴν ἐπιτιμᾶσθαι κανονικῶς παρὰ τῶν ἐπισκόπων αὐτῶν. Ταῦτα μὲν, ὅτε πρὸς ἀλλήλους δικάζονται οἱ κληρικοί· εἰ δὲ κληρικοὶ τῷ ἰδίῳ ἐπισκόπῳ ἢ ἑτέρῳ καὶ δίκην ἐνιστῶσι κατ' αὐτοῦ, τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους καθίζει δικαστὰς ὁ κανών. Συνιόντες καὶ ἀκροάσονται τῶν ὑποθέσεων, καὶ ψηφίσονται. Εἰ δὲ πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας ἔχει πρᾶγμα, ἤγουν ἀμφιβολίαν τινὰ, καὶ δίκην ἐπίσκοπος ἢ κληρικὸς, τὸν τῆς διοικήσεως ἐκείνης, παρ' ᾗ καὶ οἱ ἀμφισβητοῦντές εἰσιν, ἔξαρχον βούλεται ὁ κανὼν διαιτητὴν τῆς ὑποθέσεως γίνεσθαι, ἢ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον. Ἐξάρχους δὲ τῶν διοικήσεων τοὺς πατριάρχας εἶναί φασιν· ἄλλοι δὲ τοὺς μητροπολίτας. Πλατύτερον δὲ τὰ περὶ τούτου ἐν τῷ ιζ' κανόνι εἴρηται.

ARIST. *Clerici litigantes, si relicto episcopo ad sæcularia judicia se conferant, canonice puniantur. Et clericus cum episcopo contendens, synodum expectet, et episcopus cum metropolitano, ad Constantinopolitanum provocet.*

ΑΡΙΣΤ. *Κληρικοὶ διαδικαζόμενοι εἰ, ἀφέντες τὸν ἐπίσκοπον, κοσμικοῖς κριτηρίοις προσέλθωσι, κανονικῶς εὐθυνέσθωσαν. Καὶ κληρικὸς ἐπισκόπου διαφερόμενος μενέτω τὴν σύνοδον· καὶ μητροπολίτου ἐπίσκοπος τὸν Κωνσταντινουπόλεως ἐξαιτείτω.*

D

Non oportet clericum, qui contra alium clericum aliquid habet, a judicibus sæcularibus judicari, sed a proprio episcopo. Si proprium autem relinquens episcopum sæcularia judicia adiverit, canonicis pœnis subjiciatur. Similiter autem et contra episcopum si quid habuerit clericus, a provinciali synodo judicari debet. Sed et episcopus aut clericus si contra metropolitanum causam aliquam habuerit, vel apud diœceseos exarchum, sive patriarcham cui subsunt provinciarum illarum metropolitani litigare debet, vel apud patriarcham Constantinopolitanum. Quod quidem privilegium nemini aliorum patriarcharum

Οὐ δεῖ κληρικὸν ἔχοντα κατὰ κληρικοῦ, δικάζεσθαι παρὰ κοσμικοῖς δικασταῖς, ἀλλὰ παρὰ τοῦ ἰδίου ἐπισκόπου. Εἰ δὲ, τὸν οἰκεῖον οὗτος ἀφεὶς ἐπίσκοπον, κοσμικοῖς προσέλθοι δικαστηρίοις, κανονικῶς ἐπιτιμηθήσεται· ὥσπερ δὴ καὶ κατὰ ἐπισκόπου ἔχων ὁ κληρικὸς, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὀφείλει δικάζεσθαι· ἀλλὰ καὶ ἐπίσκοπος ἢ κληρικὸς, εἰ κατὰ μητροπολίτου ἔχει τινὰ ὑπόθεσιν, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἤτοι τῷ πατριάρχῃ, ὑφ' ὃν τελοῦσιν οἱ τῶν ἐπαρχιῶν ἐκείνων μητροπολῖται, δικάζεσθαι· ἢ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως· ὅπερ προνόμιον οὐδενὶ τῶν ἄλλων πατρι-

ρχῶν ἐδόθη οὔτε ἀπὸ τῶν κανόνων οὔτε ἀπὸ τῶν νόμων, τὸ δικάζεσθαι μητροπολίτην τελοῦντα ὑφ' ἕτερον πατριάρχην παρὰ πατριάρχῃ ἑτέρῳ εἰ μὴ μόνῳ τῷ Κωνσταντινουπόλεως.

A conceasum fuit, nec a canonibus nec a legibus, ut metropolitanus qui uni subjacet patriarchæ, ab alio judicaretur, nisi soli Constantinopolitano.

ΚΑΝΩΝ Ι'.

Μὴ ἐξεῖναι κληρικὸν (3) ἐν δύο πόλεων κατὰ ταυτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε τὴν ἀρχὴν ἐχειροτονήθη, καὶ ἐν ᾗ προσέφυγεν, ὡς μείζονι δῆθεν (4), διὰ δόξης κενῆς ἐπιθυμίαν· τοὺς δέ γε τοῦτο ποιοῦντας ἀποκαθίστασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ, ἐν ᾗ τὴν ἀρχὴν ἐχειροτονήθησαν, ἐκεῖ μόνον λειτουργεῖν· εἰ μέντοι ἤδη τις μετετέθη ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς προτέραις ἐκκλησίαις ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρίων ἢ πτωχείων ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασιν. Τοὺς δέ γε τολμῶντας μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου πράττειν τι τῶν νῦν ἀπηγορευμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ.

CANON X.

Non licere clerico in duarum civitatum ecclesiis eodem tempore in catalogum referri, et in ea, in qua a principio ordinatus est, et in ea, in quam tanquam ad majorem confugit, propter inanis gloriæ cupiditatem : eos autem, qui hoc faciunt, propriæ ecclesiæ restitui, in qua ab initio ordinati sunt, ut illic solum ministrent. Sed si jam quispiam ex alia in aliam ecclesiam translatus est, nihil prioris ecclesiæ vel eorum quæ sub ea sunt martyriorum, vel ptochotrophiorum, vel xenodochiorum rebus communicare. Eos autem qui ausi fuerint, post magnæ hujus et universalis synodi definitionem, aliquid eorum, quæ nunc sunt prohibita, facere, statuit sancta synodus eos proprio gradu excidere.

ΒΑΛΣ. Τινὲς δοξομανοῦντες κληρικοὶ μεθίστανται ἀπὸ πόλεων μικροτέρων εἰς ἑτέρας μείζονας πόλεις, τυχὸν ἀπὸ τοῦ Ἀθύρα εἰς Ἡράκλειαν. Φησὶν οὖν ὁ κανὼν μὴ ἔχειν τινὰ ἐπ' ἀδείας τοῦτο ποιεῖν διά τε τὴν τιμὴν τοῦ χειροτονήσαντος τοῦτον καὶ διὰ τὸ ἀδύνατον εἶναι τὸν αὐτὸν καὶ ἕνα δύο ἐπισκόποις ὑποκεῖσθαι. Τὸν δὲ τοῦτο ποιεῖν ἐπιχειρήσαντα ἀποκαθίστασθαι εἰς τὴν ἐκκλησίαν ἐν ᾗ πρώτως ἐχειροτονήθη, ἐφ' ᾧ ἐκεῖ μόνον λειτουργεῖν. Τοῖς δὲ πρὸ τοῦ κανόνος τούτου εἰς δύο ἐνοριῶν ἐκκλησίας ταχθεῖσι τιμωρίαν ἐπάγει τὸ μὴ δύνασθαι ἀνακαλεῖσθαι τὰ τῆς προτέρας ἐκκλησίας δίκαια. Εἶτα διορίζεται καθαιρεῖσθαι τοὺς τολμήσαντας διαπράξασθαί τι ἐκ τῶν ἀπηγορευμένων ἐν τούτῳ. Τούτων οὕτως ἐχόντων, τινὲς τὸ μὴ γίνεσθαί τινα κληρικὸν ἐν δύο πόλεων ἐκκλησίαις, καὶ εἰς δύο ἐκκλησίας μιᾶς πόλεως ἐξελάβοντο. Οὐκ ἔστι δὲ τοῦτο τῆς ἐννοίας τοῦ κανόνος, ὡς ἐμοὶ δοκεῖ. Ὅπως δὲ οὐ δύναται κληρικὸς ἐξ ἑτέρας ἐνορίας εἰς ἑτέραν ἀπέρχεσθαι δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτὸν, καὶ ὅπως κολάζεται ὁ τοῦτο ποιήσας καὶ ὁ δεξάμενος αὐτὸν, ἔμαθες ἀπὸ τοῦ ιε' καὶ ις' ἀποστολικοῦ κανόνος. Εἰ δέ τις ἐρωτήσει σε διά τί ὁ παρὼν κανὼν κατὰ τὰς ἀρχὰς μὲν ἀποκαθίστασθαί φησι εἰς τὴν προτέραν ἐκκλησίαν τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταπηδήσαντα, κατὰ δὲ τὸ τέλος παραχελεύεται καθαιρεῖσθαι τὸν τούτου παραβάτην; εἰπὲ ὅτι τὸν μὲν μεταπηδήσαντα ἀπὸ πόλεως εἰς πόλιν, μήπω δὲ κληρωθέντα εἰς τὴν δευτέραν ἐκκλησίαν, ἀποκαθίστασθαι διορίζεται εἰς τὴν πρώτην· τὸν δὲ κληρωθέντα καὶ ἐγκατασταθέντα εἰς τὴν δευτέραν, ἐκπίπτειν τοῦ οἰκείου

BALS. Quidam clerici insano gloriæ amore impulsi, a parvis urbibus in alias majores commigrant, ut verbi gratia, ab Athyra Heracleam. Dicit ergo canon, 124 nemini licere hoc facere, et propter honorem ejus qui ordinavit, et quia fieri non potest ut unus et idem subjiciatur duobus episcopis. Eum autem, qui hoc facere aggressus fuerit, restitui ecclesiæ in qua prius ordinatus fuerat, ut illic solum ministret. Iis vero, qui ante hunc canonem in duarum regionum ecclesiis ordinati sunt, pœnam statuit, ut prioris ecclesiæ jura revocare nequeant. Deinde eos deponendos decernit, qui aliquid facere ausi fuerint eorum quæ sunt in eo prohibita. Hæc cum ita se habeant, quidam illud, non esse aliquem clericum in duarum urbium ecclesiis, etiam ad duas unius civitatis ecclesias accipiebant. Non est autem hæc canonis sententia, ut mihi videtur. Quomodo autem non potest clericus ex una regione in aliam abscedere, sine commendatoria et dimissoria scriptura ejus qui eum ordinavit ; et quomodo punitur qui hoc fecerit, et qui eum excepit, didicisti a 15 et 16 canone apostolico. Si quis autem interrogaverit, Cur præsens canon in principio quidem dicit *priori* ecclesiæ restituendum eum qui a civitate in civitatem transilierit, in fine autem jubet hujus transgressorem deponi ? dic, quod eum qui a civitate in civitatem transilit, in secunda autem ecclesia in clerum nondum est cooptatus, primæ jubet restitui : eum autem qui in secunda ecclesia in clerum est cooptatus et constitutus suo excidere gradu. Quod autem talis non est exinde depositus nisi post denuntiationem, lege

Guill. Beveregii notæ

(3) *Μὴ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων.* Idem fere a synodo Nicæna 2 constituitur. Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ κατατάττέσθω ἐν δυσὶν ἐκκλησίαις. Syn. Nic. 2, can. 15.

(4) *Ὡς μείζονι δῆθεν.* Justinianus, *Illud quoque adjiciendum est, ut quod hactenus indecenter fiebat, nequaquam in republica geratur : id est multos reverendissimorum clericorum dedignari quidem in iis, quibus ordinati sunt, sanctissimis ecclesiis, aut hic aut in provinciis deservire, ad sanctissimum vero majorem ecclesiam, et venerabilem clerum ejus per patrocinium quodlibet accedere. Quod de cætero omnimodo fieri prohibemus.* Justin. Nov. 3, c. 2.

15 canonem apostolicum, et syn. in Trullo canonem 17.

ZONAR. Clericum aliquem duarum simu. urbium ecclesiis hic canon ascribi vetat. Fiebat enim ut cui in minore forte civitate locus obtigisset, is ambitione ductus in urbis amplioris ecclesiam in metropolitanam scilicet ex episcopali, aut in patriarchalem ex metropolitana transcribi cuperet. Quos quidem omnes ad eam ecclesiam, cui primum addicti sunt, redire synodus constituit. Hæc autem post canonem editum fieri jubet. Si quis autem, inquit, ex ecclesia in ecclesiam translatus est, in ea ad quam transfertur manens, ex prioris ecclesiæ e qua translatus est negotiis nullam omnino partem attingat. Quam enim ecclesiam sponte reliquit, cum ea nullum consortium nihilve commune amplius habere debet. Quicunque vero hujus constitutionis auctoritate neglecta, aliquid hoc canone vetitum attentare ausi fuerint, suo gradu moveri, hoc est, depositione multari placet. Verum tertio Basilic. libro, titulo tertio, Novella decima sexta cautum est ne alicujus ecclesiæ clerico demortuo, ibidem in ejus locum alius confestim subrogetur, sed ex alia ecclesia, in qua præfinitum jam inde a primis temporibus numerum clerici superent, qui demortui locum expleant, accersiri jubet, donec ad eum numerum, qui initio præscriptus est, ecclesiæ cujusque clerici revocentur.

ARIST. *In duarum urbium ecclesiis clericus in catalogum non refertur. Sin vero relatus fuerit, priori restituetur. Si quis autem jam translatus sit, in prioris ecclesiæ rebus nullo modo particeps sit.*

Eidem sub duobus ministrare episcopis et ambobus esse clerico non permittitur. Sed si propter inanis gloriæ cupiditatem ad majorem confugerit ecclesiam, ei rursus restituetur in quam prius ordinatus fuit. Sin episcopi sui voluntate in aliam ecclesiam translatus fuerit, et ibi in clerum cooptatus; nullam in prioris ecclesiæ rebus partem habeat, nisi proprio vellet gradu excidere, talia inexplebili cupiditate aggrediens.

125 CANON XI.

Omnes pauperes, et qui auxilio indigent, cum examinatione, cum epistolis seu pacificis ecclesiasticis solis viam ingredi statuimus, et non cum

βαθμοῦ. Περὶ δὲ τοῦ μὴ εἶναι τὸν τοιοῦτον ἀπεντεῦθεν καθηρημένον, ἀλλὰ μετὰ παραγγελίαν, ἀνάγνωθι τὸν ιε' ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ιζ'.

ΖΩΝΑΡ. Δύο πόλεων ἐκκλησίαις κατατάττεσθαί τινα ὡς κληρικὸν ὁ παρὼν ἀπαγορεύει κανών. Ἴσως γὰρ εἰς πόλιν μικρὰν ἐχειροτονήθη, διὰ δὲ φιλοδοξίαν εἰς μείζονος (5) πόλεως ἐκκλησίαν, εἰς μητρόπολιν τυχὸν ἐξ ἐπισκοπῆς μετατεθῆναι, ἢ ἐκ μητροπόλεως εἰς πατριαρχεῖον. Τοὺς τοιούτους οὖν ἡ σύνοδος ὥρισεν ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ ἐν ᾗ ἐχειροτονήθησαν. Ταῦτα δὲ μετὰ τὸν κανόνα ἐκέλευσε γίνεσθαι. Εἰ δὲ ἤδη, φησὶ, τὶς μετετέθη ἐξ ἐκκλησίας εἰς ἐκκλησίαν, μένων ἐν τῇ μεταθέσει μὴ ἐνοχλείτω τοῖς πράγμασι τῆς ἐκκλησίας. ἐξ ἧς μετετέθη. Ἀποστὰς γὰρ ἐκείνης οὐδεμίαν μετουσίαν πρὸς αὐτὴν ἕξει, οὐδὲ κοινόν τι αὐτῷ πρὸς ἐκείνην ἔσται. Τοὺς δὲ μὴ φυλάσσοντας τὰ τετυπωμένα, ἐπιχειροῦντας δέ τι ποιεῖν τῶν διὰ τοῦ κανόνος (6) ἀπαγορευθέντων ἐκπτώσει κολάζει τοῦ οἰκείου βαθμοῦ, ἤτοι καθαιρέσει. Ἡ δὲ ις' Νεαρὰ κειμένη εἰς τὸν τρίτον τίτλον τοῦ τρίτου βιβλίου τῶν Βασιλικῶν διετάξατο, εἰ τελευτήσει ἐν ἐκκλησίᾳ τινὶ κληρικὸς, μὴ εὐθὺς ἄλλον χειροτονεῖσθαι ἐκεῖ, ἀλλ' εἰ ἑτέραις ἐκκλησίαις εἰσὶ κληρικοὶ πλείονες τοῦ ἐξ ἀρχῆς ἑκάστῃ αὐτῶν ταχθέντος ἀριθμοῦ, ἐκεῖθεν μετάγειν τινὰς, καὶ ἀντὶ τῶν λειψάντων αὐτοὺς εἰσάγειν, μέχρις ἂν εἰς τὸν ἀρχῆθεν ὡρισμένον ἀριθμὸν κατασταθέν οἱ ἐκκλησίας ἑκάστης κληρικοί.

ΑΡΙΣΤ. *Δύο πόλεων ναοῖς κληρικὸς οὐ καταλέγεται· εἰ δὲ καταλεχθείη, τῷ προτέρῳ ἐπιστραφήσεται. Εἰ δὲ μετετέθη τις ἤδη, μηδὲ κοινωνείτω κατά τινα τρόπον τοῖς τῆς προτέρας ἐκκλησίας.*

Οὐ συγκεχώρηται ὁ αὐτὸς ὑπὸ δύο ἐπισκόπους τελεῖν, καὶ ἀμφοτέρων εἶναι ὁ κληρικός· ἀλλὰ εἰ δι' ἐπιθυμίαν δόξης κενῆς μείζονι ἐκκλησίᾳ προσφύγῃ, ἀποκατασταθήσεται αὖθις εἰς ἣν ἐχειροτονήθη πρότερον· εἰ δὲ μετὰ γνώμης τοῦ ἰδίου ἐπισκόπου εἰς ἑτέραν ἐκκλησίαν μετετέθη, καὶ ἐκληρώθη, μὴ μετεχέτω ὅλως ἐν τοῖς τῆς προτέρας ἐκκλησίας (7) πράγμασιν, εἰ μὴ βούλεται τοῦ ἰδίου ἐκπεσεῖν βαθμοῦ, τοιαῦτα δι' ἀπληστίαν ἐπιχειρῶν.

ΚΑΝΩΝ ΙΑ'.

Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας μετὰ δοκιμασίας ἐπιστολίοις ἤτοι εἰρηνικοῖς (8) ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρί-

Guill. Beveregii notæ.

(5) *Διὰ δὲ φιλοδοξίαν εἰς μείζονος.* Hic deest verbum ἐσπούδασεν, quod codices Augusti Gallandi et Amerbachii post φιλοδοξίαν ponunt, legentes, διὰ δὲ φιλοδοξίαν ἐσπούδασεν εἰς μείζονος πόλεως ἐκκλησίαν.

(6) *Διὰ τοῦ κανόνος.* Codex Amerbachianus rectius legit διὰ τούτου τοῦ κανόνος.

(7) *Τοῖς τῆς προτέρας ἐκκλησίας.* Hic locus in epitome hujus canonis sub nomine Aristeni, et in altera Simeonis logothetæ, in Justelli bibliotheca editis, plenius legitur, τοῖς τῆς προτέρας πράγμασιν ἐκκλησίας.

(8) *Ἐπιστολίοις ἤτοι εἰρηνικοῖς.* Concilium etiam Antiochenum εἰρηνικῶν meminit, statuens, Μηδένα ἄνευ εἰρηνικῶν δέχεσθαι τῶν ξένων. Can. 7. Hujusmodi εἰρηνικαὶ ἐπιστολαὶ, sive γραφαὶ datæ sunt olim tam clericis quam laicis pauperibus peregre proficiscentibus, quibus ostensis, quocumque se convertunt, hospitio excepti sunt. Εἰρηνικαὶ, *pacificæ litteræ* ab archiepiscopo suo indultæ sunt clericis, qui in aliam urbem migrare, et in clerum ejus recipi cupiunt, vel etiam ab archiepiscopo episcopis ad imperatorem proficisci volentibus : ut Balsamon et Zonaras in hunc canonem,

σαμεν, καὶ μὴ συστατικοῖς· διὰ τὸ τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὔτιν ἐν ὑποψίᾳ μόνοις παρέχεσθαι προσώποις.

ΒΑΛΣ. Συστατικαὶ γραφαὶ λέγονται αἱ διδόμεναι κληρικοῖς παρὰ τῶν χειροτονησάντων αὐτοὺς ἐπισκόπων, καὶ συνιστῶσαι ἤτοι δηλοποιοῦσαι τὴν χειροτονίαν τούτων, καθὼς παρίσταται ἀπὸ τοῦ ιγ' κανόνος τῆς παρούσης συνόδου. Συστατικαὶ γραφαὶ λέγονται αἱ διδόμεναι ἐπισκόποις ἢ κληρικοῖς ἢ καὶ λαϊκοῖς ἀφορισθεῖσι, καὶ ἄλλως γενομένοις ἐν ὑποψίᾳ οὐκ ἀγαθῇ· καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ παρόντος κανόνος. Αἱ μέντοι ἀπολυτικαὶ γραφαὶ αἱ καὶ εἰρηνικαὶ λεγόμεναι ἕτεραί εἰσι· λέγονται δὲ ἀπολυτικαὶ μὲν, ὡς παριστῶσαι κατὰ γνώμην καὶ ἀπόλυσιν ἀρχιερατικὴν τὸν κληρικὸν ἢ τὸν ἐπίσκοπον μεταπιεῖν· εἰρηνικαὶ δὲ, ὅτι, τοιαύτης προκομιζομένης γραφῆς παρὰ τοῦ χειροτονηθέντος, εἰρήνη ἔσται μέσον τῶν ἀρχιερέων. Οὔτε γὰρ ὁ δεχόμενος τὸν ἀλλότριον κληρικὸν τὸν συνάδελφον αὐτοῦ θλίψει καὶ προκριματισθήσεται, οὔτε ὁ κληρικὸς βλαβήσεται ὡς ὑβρίζων τὸν χειροτονήσαντα αὐτόν. Φησὶν οὖν ὁ κανὼν ὅτι τοὺς μὴ δεομένους συστατικῶν ἐπιστολῶν, ἤτοι τοὺς μὴ διά τινα πρόA

commendatitiis : quoniam litteras commendatitias iis solis personis, quæ sunt suspectæ, præberi oportet.

BALS. Commendatitiæ scripturæ dicuntur, quæ dantur clericis ab iis, qui illos ordinarunt, episcopis, eos commendantes, ac eorum ordinationem declarantes, ut ex 13 can. hujus syn. ostenditur. Commendatoriæ autem scripturæ dicuntur, eæ quæ dantur episcopis vel clericis vel etiam et laicis segregatis, et qui alioqui fuerunt in non bona existimatione : sicut hoc ex præsenti canone ostenditur. Dimissoriæ vero, quæ etiam pacificæ dicuntur, aliæ sunt : dicuntur autem dimissoriæ, ut quæ ostendant, ex voluntate ac dimissione antistitis clericum vel episcopum transiturum. Pacificæ autem dicuntur, quod cum talis affertur scriptura ab eo qui ordinatus est pax erit inter antistites. Neque enim qui alienum clericum recipit, confratrem suum opprimet, et ei præjudicabitur, nec detrimentum accipiet clericus, tanquam ei qui ipsum ordinavit injuriam faciens. Dicit ergo canon, quod eos quidem qui commendatoriis litteris opus non habent, eos scilicet qui propter

B

Guill. Beveregii notæ.

atque etiam Matthæus Blastares, tit. A, cap. 9, affirmant : quibus etiam scholiastes Harmenopuli suffragatur, Εἰρηνικαί εἰσιν ἐπιστολαὶ αἱ παρὰ τῶν ἐπισκόπων διδόμεναι τοῖς κληρικοῖς θέλουσι δι' ἔνδειαν εἰς ἑτέραν ἀπελθεῖν πόλιν, καὶ τῷ ἐκεῖ κλήρῳ καταλεγῆναι, ἢ καὶ αἱ τοῖς ἐπισκόποις παρὰ τῶν ἀρχιεπισκόπων διδόμεναι πρὸς βασιλέα διά τινα χρείαν ἀπερχομένοις. Harmenop. epit. sect. 3, tit. 2. Et hæ quidem pacificæ clericis concessæ in citato synodi Antiochenæ canone intelligendæ sunt, quippe qui non de laicis, sed clericis agit. Præsens autem canon de pauperibus in genere, laicis etiam, loquitur, statuitque ut quicumque auxilio indigent, non nisi cum pacificis litteris viam ingrediantur : quæ quidem a Sozomeno optime describuntur, ubi de Juliano ait, Οὐχ ἥκιστα δὲ ζηλῶσαι λέγεται τὰ συνθήματα τῶν ἐπισκοπικῶν γραμμάτων, οἷς ἔθος ἀμοιβαδὸν τοὺς ξένους ὅποι δήποτε διιόντας, καὶ παρ' οἷς ἂν ἀφίκωνται, πάντως κατάγεσθαι, καὶ θεραπείας ἀξιοῦσθαι, οἷά γε γνωρίμους καὶ φιλτάτους διὰ τὴν τοῦ συμβόλου μαρτυρίαν. *Sed præcipue notas ac tesseras episcopalium litterarum admiratus esse dicitur, quibus solent peregrinos sibi invicem commendare, ut undelibet venientes ad quoscumque accesserint, tanquam noti atque amici excipiantur hospitio, et benigne curentur, ob testimonium ejusmodi notæ.* Sozom. *Hist. eccl.* l. v, c. 16. Et Greg. Naz. etiam de eodem apostata verba habens, ait, Ἔτι δὲ καταγώγια πῆξασθαι καὶ ξενῶνας, καὶ τὴν εἰς τοὺς δεομένους φιλανθρωπίαν, τὴν δ' ἄλλην ὀπόση καὶ τὴν ἐν τοῖς ἐπιστολιμαίοις συνθήμασιν, οἷς ἡμεῖς ἐξ ἔθνους εἰς ἔθνος τοὺς χρῄζοντας παραπέμπομεν. *Quinetiam diversoria et domos excipiendis hospitibus exstruere constituebat, simulque humanitatem erga pauperes adjungere, cum aliam, tum eam, quæ in tesseris epistolaribus consistit, quibus nos egenos ex gente ad gentem transmittimus.* Greg. Naz. orat. 1, adv. Jul. E quibus constat pacificas hujusmodi litteras crebro olim in usu fuisse, et vocatas esse συνθήματα τῶν ἐπισκοπικῶν γραμμάτων, et συνθήματα ἐπιστολιμαῖα. Easdem etiam Tertulliani temporibus usitatas fuisse, ex his ipsius verbis colligere est, *Communicatio pacis, et appellatio fraternitatis, et contesseratio hospitalitatis, quæ jura non alia ratio regit, quam ejusdem sacramenti una traditio.* Tertul. *De præscript.* adv. hæret. cap. 20. Nam verba illa *contesseratio hospitalitatis*, indicant symbolum aliquod tunc temporis inter Christianos usurpatum fuisse, quo ostenso, hospitio a se invicem accepti sunt. Contesserationem autem vocat a tessera illa hospitali, quam dimidiatam gentiles etiam hospitibus dare soliti fuerunt, ut qui eam afferebant, agnosci illico et hospitio accipi poterant, tanquam veteres amici atque hospites. Unde Plautus in *Pœnulo*, Act. v :

C

Ag. *Siquidem Antidamæ demarchi quæris adoptatitium.*
Ego sum ipsus, quem tu quæris. Pœ. *Hem! quid ego audio?*
Ag. *Antidamæ gnatum me esse.* Pœ. *Si ita est, tesseram*
Conferre si vis hospitalem, eccam attuli.
Ag. *Agedum huc ostende. Est par probe, nam habeo domi.*
Pœ. *O mi hospes, salve multum ; nam mihi tuus pater,*
Pater tuus ergo hospes Antidamas fuit.
Hæc mihi hospitalis tessera cum illo fuit.
Ag. *Ergo hic apud me hospitium tibi præbebitur.*

D

Hinc tesseram frangere idem est, quod jus hospitii violare ; unde idem Plautus in Cistellaria, Act. II :

Hic apud nos jam Alcesimarche confregisti tesseram.

In pacificis autem litteris, quas episcopi pauperibus peregrinantibus dare soliti fuerunt, ut fideles iis subvenirent, hæc duo comprehensa sunt, illos nimirum, qui eas afferebant, et revera pauperes esse, et dignos quibus eleemosynæ darentur. Et sic quidem hanc primam canonis hujus partem Josephus Ægyptius interpretatus est. *De omnibus pauperibus, qui eleemosynas rogant, mandamus modo, ut scribantur iis epistolæ, cum inquisitum est in negotia eorum, et quod illi digni sunt eleemosynis, et quod necessaria iis deficiunt.* Quidquid enim hujusmodi epistolis necessarium est, ad hæc duo capita referatur.

minus bonam aliquam existimationem non sunt segregati vel suspecti (de iis enim, qui commendatoriis litteris opus habent, hic non agitur), per solas pacificas scripturas in via instruere debemus. Hæc autem de pauperibus, et iis qui auxilio indigent, definiit, non quod reliqui, qui subsunt episcopo, non hoc debeant viatico instrui : sed quod ut plurimum, qui sunt pauperes, ecclesiastico auxilio indigent. Recte autem additum est, ut cum examinatione dentur. Si enim est iniquum ejus qui indiget postulatum, etiamsi est pauper, ei non dabitur epistola. Quære 12, 15, 16 et 33 canonem apostolor., 17 syn. in Trullo et 11 Antioch. syn. deponentes episcopum, qui sine pacifica metropolitani epistola ad imperatorem abierat. Quod autem necesse habent omnes episcopi, iis, quibus præsunt, litteris suis opem ferre, si per se præsentes esse nequeant, ex 7 et 8 Sardicensis syn. ostenditur. Nota ergo, quod qui volunt in aliis regionibus sacra celebrare, debent non solum commendatitias epistolas afferre, sed etiam pacificas.

ZONAR. Pacificæ epistolæ sunt, quæ alio nomine dimissoriæ dicuntur; cujus generis eæ sunt, quæ episcopis a metropolitanis, quibus subjecti sunt, et metropolitanis a patriarchis, a quibus designantur, dari solent, cum ad imperatorem necessaria de causa mittuntur; et quales sunt illæ, quæ clericis quoque ab episcopis suis, si in aliam urbem migrare ecclesiæque quæ ibi est clero ascribi velint, traduntur; ut 17 can. synodi in Trullo palatii habitæ continetur. Sunt nonnullæ præterea ejusdem rationis aliæ. Pacificæ porro, quasi pacem conciliantes, appellatæ sunt. Si quis enim clericus ex hac in aliam urbem absque episcopi sui facultate proficiscatur, tum clericus ipse, tum qui eum admittit uterque multæ est obnoxius. Ac clericus quidem sacro ministerio interdicitur, episcopo autem, qui eum admisit, ex 15 et 16 apostol. canone, segregationis pœna irrogatur. Qui vero episcopi, absque metropolitani sui provincialiumque episcoporum litteris, ad imperatorem abierint, non communione tantum, sed et sacerdotii dignitate, ex Antiochenæ synod. can. 11 privantur. Commendatitiæ vero epistolæ dicuntur quæ segregatis antea clericis aut laicis, aut omnino ignotis hominibus in aliam urbem migrantibus 12 ac 33 canonis apostolici decreto tradi consuevere, virosque, ut a pœnis solutos aut fideles, illius civi-

φασιν οὐκ ἀγαθὴν ἀφορισθέντα; ἢ ὑπόπτους ὄντας (περὶ γὰρ τῶν δεομένων συστατικῶν οὐκ ἔστι λόγος ἐνταῦθα), διὰ μόνων εἰρηνικῶν γραφῶν ὀφείλομεν ἐφοδιάζειν. Ὥρισε δὲ ταῦτα περὶ πενήτων καὶ δεομένων ἐπικουρίας, οὐχ ὡς τῶν λοιπῶν τῶν ὑπὸ τὸν ἐπίσκοπον μὴ ὀφειλόντων οὕτως ἐφοδιάζεσθαι· ἀλλ' ὅτι ἐπὶ πλέον οἱ πενητεύοντες τῆς ἐκκλησιαστικῆς ἐπικουρίας δέονται. Καλῶς δὲ προσετέθη ταῦτα δίδοσθαι μετὰ δοκιμασίας. Εἰ γὰρ ἄδικόν ἐστι τὸ τοῦ δεομένου ζήτημα, κἂν πένης ἐστὶν, οὐ δοθήσεται αὐτῷ ἐπιστολή. Ζήτει τὸν ιβ', ιε', ις' καὶ λγ' ἀποστολικὸν κανόνα, τὸν ιζ' τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ια' τῆς ἐν Ἀντιοχείᾳ, καθαιροῦντα τὸν ἐπίσκοπον τὸν ἄνευ ἐπιστολῆς εἰρηνικῆς τοῦ μητροπολίτου ἀπελθόντα εἰς βασιλέα. Ὅτι δὲ ἀναγκάζονται οἱ ἐπίσκοποι πᾶσι τοῖς ὑπ' αὐτοὺς βοηθεῖν διὰ γραμμάτων, εἴπερ δι' ἑαυτῶν οὐ δύνανται παρουσιάζειν, δηλοῦται ἀπὸ τοῦ ζ' καὶ η' κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. Σημείωσαι οὖν ὅτι οἱ θέλοντες ἱερουργεῖν εἰς ἀλλοτρίας ἐνορίας, ὀφείλουσι μὴ μόνον συστατικὰς ἐπιστολὰς προκομίζειν, ἀλλὰ καὶ εἰρηνικάς.

ΖΩΝΑΡ. Εἰρηνικαὶ μὲν ἐπιστολαί εἰσιν αἱ λεγόμεναι ἀπολυτικαὶ (9), οἷαί εἰσιν αἱ διδόμεναι τοῖς ἐπισκόποις παρὰ τῶν μητροπολιτῶν, οἷς ὑπόκεινται, καὶ τοῖς μητροπολίταις παρὰ τῶν πατριαρχῶν, ὑφ' ὧν προχειρίζονται, ὅτε διά τινα χρείαν ἀναγκαίαν ἀπίασι πρὸς βασιλέα, καὶ οἷαί εἰσιν αἱ παρεχόμεναι κληρικοῖς παρὰ τῶν οἰκείων ἐπισκόπων, θέλουσιν εἰς ἑτέραν πόλιν ἀπελθεῖν, καὶ καταλεγῆναι τῇ ἐκεῖ ἐκκλησίᾳ κατὰ τὸν ιζ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συνόδου συστάσης. Καὶ ἄλλαι δὲ τοιαῦταί εἰσιν. Εἰρηνικαὶ δὲ λέγονται, ὡς εἰρήνην βραβεύουσαι. Εἰ γάρ τις ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ἀπέλθῃ κληρικὸς ἄνευ γνώμης τοῦ ἐπισκόπου αὐτοῦ, ὑπὸ ἐπιτίμιόν ἐστι κἀκεῖνος καὶ ὁ δεξάμενος αὐτόν. Ὁ μὲν γὰρ κληρικὸς παύεται τῆς λειτουργίας· ὁ δὲ ἐπίσκοπος ὁ τοῦτον δεξάμενος ἀφορίζεται κατὰ τὸν ιε' κανόνα καὶ ις' ἀποστολικόν. Οἱ δὲ πρὸς βασιλέα ἀπιόντες ἐπίσκοποι ἄνευ γραμμάτων τοῦ μητροπολίτου καὶ τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων ἐκπίπτουσιν οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας τῆς ἱερατικῆς κατὰ τὸν ια' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Συστατικαὶ δὲ ἐπιστολαὶ λέγονται αἱ ἐγχειριζόμεναι κληρικοῖς ἢ λαϊκοῖς ἀφωρισμένοις ἢ ἀγνώστοις παντάπασιν ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐν τῇ πόλει ἐκείνῃ ἐπισκόπῳ τοὺς ἄνδρας, ὡς λυθέντας τῶν ἐπιτιμίων ἢ πιστοὺς ὄντας κατὰ τὸν ιβ' ἀποστο-

Guill. Beveregii notæ.

(9) Ἀπολυτικαὶ γραφαί, αἱ καὶ εἰρηνικαί. Balsamon dimissorias cum pacificis litteris hic confundit. Et sic ab aliis sæpe confunduntur. Et quidem, si pacificæ clericis datæ intelligantur, eædem propemodum fuerunt, quæ dimissoriæ, et eodem nomine merito appellentur : quippe quibus ostensis clericus quilibet in alienæ parœciæ clerum admitti potest : de quibus videsis annotationes in synodo Trull. can. 17. Pacificæ autem proprie sic dictæ, quæque hoc canone intelliguntur, longe aliæ fuerunt; utpote quæ non clericis, ut in clerum, sed pauperibus, ut in hospitium alibi reciperentur, datæ sunt. Adeo ut distinctio a nobis ante observata inter pacificas clericis et laicis concessas hunc locum egregie explicat. Etsi enim pacificæ laicis indultæ, dimissoriæ proprie non dicuntur; de iis tamen, quæ clericis datæ sunt, recte hic Balsamon ait, ἀπολυτικαὶ γραφαί, αἱ καὶ εἰρηνικαὶ λεγόμεναι.

λικὸν κανόνα καὶ τὸν ιγ' · ἢ ὅταν κατηγορία κατά τινος γένηται, καὶ φανῇ ἀθῷος ὁ κατηγορηθείς, καὶ δοθῇ αὐτῷ ἐπιστολὴ συνιστῶσα αὐτὸν τῷ πρὸς ὃν ἀπεστάλη, καὶ διδάσκουσα συκοφαντικῶς αὐτὸν κατηγορηθῆναι. Οὕτως ἐχουσῶν τῶν ἐπιστολῶν τούτων, φησὶν ὁ κανὼν τοῖς πένησι καὶ δεομένοις βοηθείας, καὶ διὰ τοῦτο προσερχομένοις τῇ Ἐκκλησίᾳ, εἰρηνικὰς δεῖν δίδοσθαι ἐπιστολὰς ἐκ τῆς ἐκκλησίας, καὶ μὴ συστατικάς. Χρέος γὰρ εἶχον οἱ ἀρχιερεῖς ἀντιλαμβάνεσθαι τῶν προσφευγόντων τῇ Ἐκκλησίᾳ πενήτων, ἢ ὀρφανῶν καὶ χηρῶν (10), ὡς καταδυναστευομένων ἴσως, ἢ ἀδικουμένων, ἢ ἀποστερουμένων τῶν ἀνηκόντων αὐτοῖς · καὶ τοσοῦτον, ὥστε κωλυόμενοι οἱ ἐπίσκοποι ἀπιέναι πρὸς βασιλέα διὰ δεήσεις οἰκείας καὶ ἐνοχλεῖν, ἐπιτρέπονται τοῦτο ποιεῖν διὰ τοὺς τῇ Ἐκκλησίᾳ προσφεύγοντας, ἢ στέλλειν διακόνους ἰδίους εἰς ἐπικουρίαν τῶν δεομένων, καὶ εἰς καταλλαγὴν τῶν διὰ πταίσματος καταδικασθέντων κολασθῆναι ἢ περιορισθῆναι, ὡς ὁ ζ' καὶ ὁ η' κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διαλαμβάνει. Τοῖς γοῦν καθ' οἱονδήτινα τρόπον ἐπικουρίας δεομένοις ἐνεχείριζον ἐπιστολὰς οἱ ἐπίσκοποι βοηθούσας αὐτοῖς, ἐφ' οἷς ἐδέοντο, κἀκεῖναι εἰρηνικαὶ ἐκαλοῦντο, ὡς εἰρήνην βραβεύουσαι, τοῖς δι' ὀργὴν ἀρχόντων ἢ δυναστευόντων ἄδικον γνώμην πάσχουσι. Παρέχειν δὲ ταύτας αὐτοῖς ὁ κανὼν διατάττεται μετὰ δοκιμασίας. Οὐ γὰρ ἁπλῶς καὶ ἀδοκιμάστως παντὶ προσερχομένῳ δεῖ βοηθεῖν, ἀλλὰ τῷ ἀδικουμένῳ. Εἰ γάρ τις ἀδικῶν προσέλθῃ τῇ Ἐκκλησίᾳ ἢ κακουργῶν, οὐ χρὴ τοῖς τοιούτοις ἐπικουρεῖν. *Μὴ ἐλεήσῃς* γὰρ, φησὶ, *πτωχὸν ἐν κρίσει*. Ἐπεὶ γὰρ ἡ πενία πρὸς οἰκτόν ἐστιν εὐκατάφορος, Ἀδικοῦντα, φησὶν ἡ Γραφὴ, μὴ ἐλεήσῃς ἐν κρίσει, κἂν πτωχός ἐστι. Εἰ γοῦν χρεωστῶν τις προσρυῇ τῇ Ἐκκλησίᾳ, μὴ ἀδίκως μὲν ἀπαιτηθῆναί τι αὐτὸν δεῖ διὰ φροντίδος ποιεῖσθαι τὸν ἐπίσκοπον · ὃ δὲ δικαίως χρεωστεῖ, ἀποδώσει, πρὸς τοῦτο τοῦ ἐπισκόπου μὴ κωλύοντος. Ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν.

latis episcopo commendantes. Accipiunt ii quoque commendatitias, qui vocati in judicium se a culpa immunes ostenderint, quibus et ei ad quem missi sunt **126** episcopo commendentur, et falsa delatione ipsorum innocentiam tentatam fuisse testatum fiat. Cum hæc igitur esset ratio epistolarum, qui inopia pressi, vel auxilii quoquo modo indigentes, ab Ecclesia sibi opem exposcerent, pacificas iis hominibus, non autem commendatitias litteras concedi canon oportere decernit. Fuit namque episcopalis officii pauperum, pupillorumque ac viduarum, adversus potentiorum injurias et illata detrimenta, rerumque ad illos pertinentium ablationes ecclesiæ opem implorantium, defensionem suscipere: adeo ut cum sui negotii causa imperatorem adire ac interpellare episcopi vetarentur, ut hoc facerent illorum gratia, qui ad Ecclesiam confugissent, aut diaconos suos ad indigentium auxilium, et eorum, qui ob delictum aliquod pœnis vel exsilio damnati fuerunt, liberationem, mitterent 7 et 8 Sardicensis synodi can. illis concedebatur. His igitur hominibus, qui se omnimodo opis indigos profiterentur, suppetiis, quas optaverant, ferendis, ab episcopis litteræ tradebantur eæque pacificæ dicebantur, pacem scilicet illis, quibus aut principum aut primotum iracundia causam injustæ damnationis attulisset, afferentes. Litteras porro ejusmodi, canon, nisi explorata postulationis æquitate cuiquam concedi vetat. Nec enim inconsulte ac temere omnes, sed quos injuste vexati compertum sit, auxilio juvandi. Si quis etenim injuria afficiens aut malum perpetrans ad Ecclesiam confugerit, ei suppetiæ non sunt ferendæ. *Ne miserearis*, inquit, *pauperis in judicio*[81]. Nam quia paupertas animis ad misericordiam alliciendis idonea est, sacræ Litteræ injurii, licet pauperis, in judicio misereri non sinunt. Si quis igitur obæratus ad Ecclesiam confugerit, ne quid amplius exigatur ab eo quam jus postulat, curabit episcopus; quæ autem jure debet, episcopo nequaquam interpellante, persolvet. Similiter et in reliquis.

ΑΡΙΣΤ. *Οἱ δεόμενοι ἐπικουρίας πένητες ἐπιστολαῖς εἰρηνικαῖς, ἀλλὰ μὴ συστατικαῖς ὁδευέτωσαν · αἱ γὰρ συστατικαὶ τοῖς ἐν ὑπολήψει μόνοις παρέχονται.*

Εἰρηνικὴ ἐπιστολή ἐστιν ἡ ἄνευ σκανδάλου τινὸς τῷ ἐπικομιζομένῳ ἐγχειριζομένη· συστατικὴ δὲ ἡ τὸ ἀνεπίληπτον τοῦ βίου καὶ τῆς θρησκείας τῷ ἐπιφερομένῳ προσμαρτυροῦσα. Οἱ γοῦν δεόμενοι βοηθείας πένητες μετὰ εἰρηνικῶν ἐπιστολῶν τῶν ἐπισκόπων ὁδεύειν ὀφείλουσιν, ἵν' ἐλεῶνται ὑπὸ τῶν δυναμένων βοηθεῖν αὐτοῖς. Συστατικῶν δὲ ἐπιστολῶν χρείαν

ARIST. *Pauperes auxilio indigentes, epistolis pacificis, sed non commendatitiis, iter faciant: nam commendatitiæ suspectis tantum personis exhibentur.*

Epistola pacifica est quæ sine ullo scandalo advehenti traditur; commendatitia autem quæ inculpatum vita et religione afferentem attestatur. Qui pauperes itaque auxilio indigent, cum litteris episcoporum pacificis iter facere debent, ut qui opem iis ferre possunt, misericordia in eos commoveantur. Epistolis autem commendatitiis iis non

[81] Exod. xxiii, 6.

Guill. Beveregii notæ.

(10) *Καὶ χηρῶν*. Hæc verba, usque ad ἀνηκόντων αὐτοῖς, in ms. Amerbachiano desiderantur; quemadmodum et ea, quæ, nonnullis interjectis, occurrunt, ὡς εἰρήνην βραβεύουσαι τοῖς δι' ὀργὴν ἀρχόντων ἢ δυναστευόντων ἄδικον γνώμην πάσχουσι.

opus est : hæ enim presbyteris et diaconis et reliquis clericis exhibentur.

A οὐκ ἔχουσιν· αὗται γὰρ πρεσβυτέροις, καὶ διακόνοις, καὶ τοῖς λοιποῖς τοῖς ἐν κλήρῳ παρέχονται.

CANON XII.

Pervenit ad nos, quod quidam, cum præter ritus ecclesiasticos ad potentatus accessissent, per pragmaticas unam provinciam in duas diviserunt : ut ex eo duo essent metropolitani in eadem provincia. Statuit ergo sancta synodus, ne episcopus deinceps tale quid audeat : quoniam is, qui hoc aggreditur, a suo gradu excidit. Quæcunque autem civitates per litteras imp. metropolis nomine honoratæ sunt, solo honore fruantur, et qui ejus ecclesiam administrat episcopus, servatis scilicet veræ metropoli suis juribus.

ΚΑΝΩΝ ΙΒ'.

Ἦλθεν εἰς ἡμᾶς ὡς τινες, παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον· ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. Ὥρισεν τοίνυν ἡ ἁγία σύνοδος τοῦ λοιποῦ μηδὲν τοιοῦτο τολμᾶσθαι παρὰ ἐπισκόπου· ἐπεὶ τὸν τοιοῦτο ἐπιχειροῦντα ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ. Ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος, σωζομένων δηλονότι τῇ κατ' ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

BALS. Imperialia jussa, pragmatici typi dicuntur. Dicit ergo canon, quod quoniam nonnulli episcopi, propter imperandi cupiditatem, imp. jussione contenderunt, ut metropolitanorum honore afficerentur, et ex eo provinciam unam in duos metropolitanos diviserunt, deponi debent, non solum is qui tale mandatum imperiale acquisiverit, sed et qui tale quid aggredi ausus fuerit. **127** Eas autem ecclesias, quæ ante præsentem canonem ex episcopali dignitate metropolium honore imperialibus jussis affectæ sunt, solum honorem habere statuit, utpote quod reliqua jura, quæ illis adsunt, veræ metropoli citra ullam innovationem manere debeant. Hæc cum a canone statuantur, dixerit quispiam, Et quomodo permulti imperatores permultos episcopatus metropolium honore affecerunt? Jam enim Lacedæmoniæ metropolis erat episcopatus veterum Patrarum, Madita Heracleæ, Abydus Cyzici. Et alii etiam episcopatus honorati sunt. Mihi ergo videtur ex 38 can. syn. in Trullo, et 17 can. præsentis syn. ejusmodi fieri ab imperatoribus divisiones secundum potestatem illis superne datam. Propterea enim etiam exolevit 3 caput primum tit. 3 lib. Basilicor. quod collocatum est in 20 cap. primi tit. præsentis operis. Quænam autem jura esse debent apud primum, scilicet metropolitanum, in ecclesia, quæ ex episcopatu in metropolis dignitatem evecta est, quidam discere desiderarunt; et illis dictum fuit, quod præterquam quod episcopatus metropolis vocatur, in aliis omnibus antiquæ metropoli debet subjici. Ejus enim episcopus ab antiquo metropolitano ordinabitur, et ab ipso judicabitur, et ei omnino subjicietur. Lege etiam 2 canonem 2 synodi et 6 et 7 can. primæ syn. Hæc autem per imperialem jussionem aliter transformantur, ut superius dictum est. Lege et syn. in Trullo can. 58, et specialiter imp. constitutionem, quæ partim in illius expositione sita est.

ΒΑΛΣ. Τὰ βασιλικὰ προστάγματα πραγματικοὶ τύποι λέγονται· φησὶ γοῦν ὁ κανὼν ὡς, ἐπεί τινες ἐπίσκοποι διὰ φιλαρχίαν ἐσπούδασαν κατὰ πρόσταξιν βασιλικὴν εἰς μητροπολίτας τιμηθῆναι, κἀντεῦθεν τὴν μίαν ἐπαρχίαν διεῖλον εἰς μητροπολίτας δύο, ὀφείλουσι καθαιρεῖσθαι μὴ μόνος ὁ πορισάμενος τὴν τοιαύτην πρόσταξιν, ἀλλὰ καὶ ὁ τολμήσων τοιοῦτόν τι ἐπιχειρῆσαι. Τὰς μέντοι πρὸ τοῦ παρόντος κανόνος τιμηθείσας ἐκκλησίας ἀπὸ ἐπισκοπῶν εἰς μητροπόλεις κατὰ πρόσταξιν βασιλικὴν διορίζεται ἔχειν μόνην τὴν τιμήν, ὡς τῶν λοιπῶν δικαίων τῶν προσόντων ἐπ' αὐταῖς τῇ κατὰ ἀλήθειαν μητροπόλει ὀφειλόντων μένειν ἀκαινοτομήτων. Ταῦτα τοῦ κανόνος διοριζομένου εἴπῃ τις, Καὶ πῶς διάφοροι βασιλεῖς διαφόρους ἐπισκοπὰς εἰς μητροπόλεις ἐτίμησαν; Αὐτίκα γὰρ ἡ μητρόπολις Λακεδαιμονίας ἐπισκοπὴ ἦν τῶν παλαιῶν Πατρῶν, τὰ Μάδιτα τῆς Ἡρακλείας, ἡ Ἄβυδος τῆς Κυζίκου. Καὶ ἄλλαι δὲ ἐπισκοπαὶ ἐτιμήθησαν. Ἔοικεν οὖν ἀπὸ τοῦ λη' κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τοῦ ιζ' κανόνος τῆς παρούσης συνόδου, τοὺς τοιούτους γίνεσθαι ὁρισμοὺς παρὰ τῶν βασιλέων, κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν. Διὰ γὰρ τοῦτο καὶ ἠπράκτησε τὸ γ' κεφ. τοῦ πρώτου τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν· ὅπερ κατεστρώθη εἰς τὸ κ' κεφ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος. Τὰ μέντοι ὀφείλοντα εἶναι δίκαια παρὰ τῷ πρώτῳ, ἤγουν μητροπολίτῃ, κατὰ τῆς ἐκκλησίας τῆς τιμηθείσης ἀπὸ ἐπισκοπῆς εἰς μητρόπολιν ἐζήτησάν τινες μαθεῖν ὁποῖά εἰσι· καὶ ἤκουσαν ὅτι πλὴν τοῦ καλεῖσθαι τὴν ἐπισκοπὴν μητρόπολιν κατὰ τὰ ἄλλα πάντα ὑποκεῖσθαι αὖτῃ τῇ παλαιᾷ μητροπόλει ὀφείλει. Ὁ γὰρ ταύτης ἐπίσκοπος παρὰ τοῦ παλαιοῦ μητροπολίτου χειροτονηθήσεται, καὶ παρ' αὐτῷ κριθήσεται, καὶ ἁπλῶς αὐτῷ ὑποκείσεται. Ἀνάγνωθι καὶ τὸν β' κανόνα τῆς β' συνόδου, καὶ τὸν ζ' καὶ ς' κανόνα τῆς πρώτης συνόδου. Ταῦτα δὲ διὰ προστάξεως βασιλικῆς ἄλλως μετατυποῦνται, καθὼς ἄνωθεν εἴρηται. Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ (11) συνόδου κανόνα λη' καὶ τὸ ἐν τῷ σχολίῳ αὐτοῦ καταστρωθὲν βασιλικὸν σημείωμα ἐν μέρει.

Guill. Beveregii notæ.

(11) *Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ.* Hæc usque ad ἐν μέρει inclusive in codice Amerbachiano desiderantur.

Ἐπεὶ δὲ κατὰ τὸν Ἀπρίλλιον μῆνα τῆς ια' ἰνδικτ. τοῦ ,ςψα' ἔτους ἀπολυθέντος προσκυνητοῦ χρυσοβούλλου τοῦ θεοστεφοῦς κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυρίου Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ τοὺς ἀνακαλουμένους μητροπολίτας τὰς διαφερούσας τούτοις ἐπισκοπὰς, καὶ εἰς μητροπόλεις ἢ ἀρχιεπισκοπὰς τιμηθείσας, ἐπιστομίζοντος, οὐχ ἧττον δὲ καὶ τοὺς ἐπιχειρήσοντας ὅτι δέοιεν τὴν βασιλικὴν ἀποστερῆσαι περιωπὴν τοῦ ἀνάγειν ἐπισκοπὰς εἰς μητροπόλεις ἢ ἀρχιεπισκοπὰς κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν, ἠρωτήθη παρά τινων· Τί ἐστι τὸ περιεχόμενον τῷ κανόνι χάριν τοῦ ἔχειν τὰς τιμηθείσας μητροπόλεις μόνην τὴν τιμὴν, ὡς τῶν ἄλλων δικαίων σωζομένων τῇ κατὰ ἀλήθειαν μητροπόλει; Φαμὲν ὅτι καὶ τὸ περὶ τούτου ἀμφίβολον λύεται ἀπὸ τοῦ αὐτοῦ βασιλικοῦ σημειώματος. Συνεζητήθη γὰρ, καὶ μετὰ πολλὰς δικαιολογίας ἀνελήφθησαν χάριν τούτου ταῦτα ῥητῶς, καὶ ὅτι μὲν καθολικῷ λόγῳ καὶ διαγνώσει γενικῶς ἐκτιθεμένας τὰς εἰς ὑπερβαθμιώτερον θρόνον ἀναβιβαζομένας ἐκκλησίας προστάξει βασιλικῇ, καὶ τῆς τιμῆς ἀξιοῦσθαι χρεὼν, καὶ τὰς ψήφους ἐν ἀδείᾳ προβαίνειν κατὰ τὸν ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ παρηκολουθηκότα τύπον κανονικὸν τῶν μητροπολιτῶν συνιόντων, καὶ ἀρχιεπισκόπους καὶ μητροπολίτας ψηφιζομένων, ἥ τε βασιλεία μου διαγινώσκει καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῷ διατάγματι ἕψεται τούτῳ· ὡς τὴν ἐκκλησιαστικὴν παραφυλαττομένῳ ἀκρίβειαν, καὶ τῆς κανονικῆς εὐθύτητος μὴ ἐκπίπτοντι. Ἀνάγνωθι οὖν εἰς πλάτος τὸ τοιοῦτον σημείωμα, καὶ εἰπὲ πρὸς τοὺς λέγοντας ὡς, εἰ μὴ ἐν τῷ ἀνάγεσθαι τὴν ἐπισκοπὴν εἰς μητρόπολιν ἢ ἀρχιεπισκοπὴν προστεθῇ παρὰ τῆς βασιλικῆς ἐξουσίας τὸ τὰς ψήφους τούτων γίνεσθαι κατὰ προτροπὴν πατριαρχικὴν, ὁ κατ' ἀλήθειαν μητροπολίτης ποιήσει τὴν ψῆφον αὐτῶν· τοῦτο γὰρ φυλάττεται καὶ μέχρι τοῦ νῦν εἰς τὸν οἰκουμενικὸν πατριάρχην χειροτονούμενον παρὰ τοῦ Ἡρακλείας, διὰ τὸ εἶναι τὴν Κωνσταντινούπολιν ἤτοι Βυζάντιόν ποτε τοῦ Ἡρακλείας ἐπισκοπήν· ὅτι ἀπὸ τοῦ τοιούτου σημειώματος πᾶσα τοιαύτη δικαιολογία περιαιρεῖται, καὶ ὁ Κωνσταντινουπόλεως οὐκ ἐξ ἀνάγκης παρὰ τοῦ Ἡρακλείας χειροτονεῖται. Εὕρηται γὰρ καὶ Στέφανος ὁ ἀδελφὸς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ πατριάρχης χειροτονηθεὶς Κωνσταντινουπόλεως, παρὰ Θεοφάνους μητροπολίτου Καισαρείας, καὶ πρὸ ὀλίγων χρόνων ὁ Λεόντιος παρὰ Δημητρίου τοῦ Καισαρείας.

ZΩΝΑΡ. Ἐπίσκοποί τινες, διὰ φιλοπρωτίαν καὶ φιλαρχίαν προσιόντες τοῖς βασιλεῦσι διὰ προσταγμάτων ἐγγράφων· ταῦτα γάρ εἰσι τὰ πραγματικά· ᾐτοῦντο τὰς οἰκείας ἐπισκοπὰς τῇ τῶν μητροπόλεων τιμηθῆναι κλήσει· ὡς οὕτω συμβαίνειν εἰς δύο ἐπαρχίας τὴν μίαν μερίζεσθαι, καὶ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ δύο μητροπολίτας εἶναι, καὶ οὕτω διαφέρεσθαι ἀλλήλοις τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους. Ὅπερ ποτὲ καὶ ἐν τῇ Καππαδοκῶν ἐπαρχίᾳ συμβέβηκε, τῆς πόλεως τῶν Τυάνων νέας μητροπόλεως γενομένης, ὡς ὁ Θεολόγος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ μεγάλου Βασιλείου φησί. Διὰ ταῦτα

A Quoniam autem mense Aprili, 11 indict. anno 6701 edita summa cum veneratione suscipienda Aurea bulla a Deo coronati, fortissimi et sancti imper. nostri, domini Isaacii Angeli, quæ et metropolitanis episcopatus ad se pertinentes, et metropolium vel archiepiscopatuum honore donatos, ad se revocantibus, et iis iisdem qui imperialem circumspectionem privare conabuntur, ne episcopatus in metropoles et archiepiscopatus erigat secundum sibi datam a superis potestatem, os occludit, a nonnullis quæsitum est, Quid est quod canone comprehenditur, ut honore affectæ metropoles solum honorem habeant, atque aliis juribus veræ metropoli servatis? Dicimus de ea re dubitationem ab hac imperatoria constitutione dissolvi. Quæsitum enim B est, et post multas allatas ad justum esse eam ostendendam rationes, hæc ejus rei gratia expresse dicta sunt, et quod universali ratione, et generaliter exposita dispositione, ecclesias quæ jussione imperat. in altiorem thronum eriguntur, honore quoque dignas censeri oportet, et electiones libere procedere ex forma canonica, quæ in Magna Ecclesia consecuta est, metropolitanis convenientibus, et archiepiscopos ac metropolitanos eligentibus, quod et imp. mea sublimitas decernit, et hanc constitutionem divina et sancta quoque sequetur synodus; ut quæ ecclesiasticam ritam accurate servet, et a canonica rectitudine non excidat. Lege ergo diffuse hanc constitutionem, et dic iis qui dicunt quod, nisi dum erigitur episcopatus in metropolim C vel archiepiscopatum, ab imperial. potestate adjectum fuerit, eorum electiones patriarchali jussione et auctoritate debere fieri, verus metropolitanus eorum electionem faciet. Hoc enim etiam hucusque servatur in universali patriarcha, qui ab Heracleæ archiepiscopo ordinatur, quoniam fuerit aliquando Constantinopolis sive Byzantium Heracleæ antistitis episcopatus: dic, inquam, quod hac constitutione omnis juris omnino allegatio tollitur, nec Constantinopolitanus necessario ab Heracleæ episcopo ordinatur. Inventum est enim etiam Stephanum imp. domini Leonis Sapientis fratrem ordinatum fuisse Constantinopoleos patriarcham **128** a Theophane metropolitano Cæsareæ. Et paucis abhinc D annis Leontius a Demetrio Cæsareæ metropolitano.

ZONAR. Principem dignitatis locum episcopi quidam ambitiose affectantes, imperatores adire, atque ut edicto suo, quod hic pragmatici typi nomine intellexere Patres, ipsorum episcopatibus honorem metropoleos decerneret, precibus ab eo contendere soliti sunt. Hinc factum, ut in duas provincias una divideretur, duosque eadem provincia metropolitanos, et quidem crebris ob idipsum dissidiis, contentionibusque distractos haberet. Quod et in Cappadocum provincia quondam, Gregorio Theologo in epitaphio magni Basilii referente, cum Ty[anorum] metropolis constituta esset, evenit. P[r]o[p]

dem hunc, quo de nova metropoli instituenda labo- A rare aut agere episcopi prohibentur, synodus promulgavit : tale vero aliquid aggredi ausos, vel hoc ipso deponi jubet. Nec enim eum tantummodo puniri, qui cogitata perfecerit, sed ipsam quoque, quamvis irrito eventu, perficiendi voluntatem, iisdem pœnis obnoxiam esse decernit. Verum hæc quidem promulgato canone sic agi placuit. Quæ vero urbes, ante hanc constitutionem, imperatoris decreto metropolitani tituli dignitate ornatæ fuerant (quas enim obscurius antea pragmaticas, nunc imperatorias litteras, sive imperatoris decretum planius nuncupavit) ab iis, earum que episcopis, concessum honorem patitur retineri; ne qua vero re antiquæ metropolitanæ sedi molesti sint, sed ei quæ veram, ac temporis diuturnitate firmatam appellationem metropoleos retinet, ita sua jura serventur, ut ne ex iis quidquam novus sibi metropolitanus usurpet. Sed hujus etiam canonis auctoritas obsolevit, nec defuere nostris quoque temporibus imperatores, quorum edictis episcopales ecclesiæ ad metropolitani fastigii culmen evectæ sunt.

ARIST. *In duas provincias una provincia non scinditur : qui autem sciderit, episcopatu deficitur. Quæ vero imperatoris rescripto scissæ sunt civitates honore solo fruantur, ut et episcopus ibidem constitutus : ei vero quæ vere est metropolis, propria jura conserventur.*

Episcopus qui potentatus adit, et episcopatum suum metropolis nomine honorari contendit, ut ex C eo una provincia in duas divideretur, suo gradu excidet. Quicunque autem episcopatus non episcoporum studio sed potius ob eorum virtutem et civitatum dignitatem per litteras imperiales ut metropoles honorari assecuti sunt, honore illo et solo fruentur. Ei autem quæ vere est metropolis, cui antea suberant, propria servabuntur jura : et antea enim et postea istius episcopus eum qui ab imperatore postea honoratus fuit constituet, et omnes provinciæ episcopatus illum et solum metropolitanum habebunt, et non simul dividentur et ipsi secundum provinciæ divisionem, et si quid aliud jus episcopale in tota provincia habuit, illæsum ipsi servabitur. Et nihil omnino de ejus privilegiis auferetur, et honorato dabitur. D

συντηρηθήσεται. Καὶ ἁπλῶς οὐδέν τι ἀφαιρεθήσεται σεται.

τοίνυν τὸν κανόνα τοῦτον ἡ σύνοδος ἔθετο, κωλύοντα μὴ γίνεσθαι τοιαῦτα, μηδὲ ζητεῖν τοὺς ἐπισκόπους νέας ὀνομάζεσθαι μητροπόλεις· τὸν δὲ ἐπιχειροῦντα τοιαύτῃ πράξει καθαιρεῖσθαι καὶ διὰ μόνην τὴν ἐπιχείρησιν. Οὐ γὰρ τὸν εἰς πρᾶξιν ἀγαγόντα τὴν ἐπιχείρησιν κολάζει μόνον, ἀλλὰ καὶ τὸν μόνον ἐπιχειροῦντα, κἂν μὴ τύχῃ τοῦ ἐφετοῦ. Ἀλλὰ ταῦτα μὲν μετὰ τὸν κανόνα ὥρισε γίνεσθαι· τὰς δὲ πρὸ τοῦ κανόνος τιμηθείσας πόλεις εἰς μητροπόλεις διὰ γραμμάτων βασιλικῶν· (ἃ γὰρ ἄνω ὠνόμασε πραγματικὰ, ἐνταῦθα ἐσαφήνισε καὶ γράμματα ἔφη βασιλικά·) ἀπολαύειν παρεχώρησε τιμῆς μόνης, καὶ τοὺς ἐν αὐταῖς ἐπισκόπους, μὴ ἐνοχλεῖν δὲ τῇ παλαιᾷ μητροπόλει, σώζεσθαι δὲ ἐκείνῃ τῇ ὡς ἀληθῶς μητροπόλει, ὡς τῷ χρόνῳ βεβαίως κτησαμένῃ τὴν κλῆσιν, τὰ δίκαια πάντα μή τινος παρασπωμένου παρὰ τοῦ νέου μητροπολίτου. Καὶ οὗτος δὲ ὁ κανὼν οὐ φυλάττεται· τινὲς γὰρ ἐπίσκοποι καὶ ἐφ' ἡμῶν διὰ βασιλικῶν προσταγμάτων εἰς τιμὴν ἀνήχθησαν μητροπόλεως.

ΑΡΙΣΤ. *Εἰς ἐπαρχίας δύο ἐπαρχία μία οὐ τέμνεται· ὁ δὲ τεμὼν ἀνεπίσκοπος. Αἱ δὲ γράμματι βασιλικῷ τιμηθεῖσαι πόλεις, τῆς τιμῆς ἀπολαυέτωσαν μόνης, καὶ αὐτόθι ἐπίσκοπος· τῇ δὲ ἀληθῶς μητροπόλει τὰ οἰκεῖα σωζέσθωσαν.*

Ὁ προσελθὼν δυναστείαις ἐπίσκοπος, καὶ σπουδάσας τιμηθῆναι τὴν ἐπισκοπὴν αὐτοῦ τῷ τῆς μητροπόλεως ὀνόματι, ὡς ἐκ τούτου τὴν μίαν ἐπαρχίαν μερισθῆναι εἰς δύο, τοῦ ἰδίου ἐκπεσεῖται βαθμοῦ. Ὅσοι δὲ τῶν ἐπισκοπῶν οὐκ ἀπὸ σπουδῆς τῶν ἐπισκόπων, ἀλλὰ μᾶλλον δι' ἀρετὴν αὐτῶν, ἢ διὰ τιμὴν τῶν πόλεων, ἔφθασαν διὰ βασιλικῶν γραμμάτων τιμηθῆναι ὡς μητροπόλεις, ἀπολαύσουσι τῆς τιμῆς, καὶ μόνης· τῇ δὲ κατὰ ἀλήθειαν μητροπόλει, ὑφ' ἣν ἐτέλουν τὸ πρότερον, τὰ οἰκεῖα παραφυλαχθήσονται δίκαια. Ἄνωθεν γὰρ καὶ αὖθις ὁ ταύτης ἐπίσκοπος τοῦ μετὰ ταῦτα τιμηθέντος ὑπὸ βασιλέως καθίσει· καὶ αἱ τῆς ἐπαρχίας πᾶσαι ἐπισκοπαὶ τούτου, καὶ μόνου, μητροπολίτην ἕξουσι, καὶ οὐ συμμερισθήσονται καὶ αὗται κατὰ τὴν τῆς ἐπαρχίας διαίρεσιν· καὶ εἴ τι ἄλλο ἐπισκοπικὸν δίκαιον ἐν πάσῃ τῇ ἐπαρχίᾳ εἶχεν, ἀκέραιον αὐτῷ τῶν προνομίων αὐτοῦ, καὶ τῷ τιμηθέντι δοθή-

129 CANON XIII.

Externos clericos et ignotos in alia civitate sine proprii episcopi commendatitiis litteris nusquam ullo modo ministrare.

BALS. Sancti Patres etiam rursus definiunt, eos qui in aliqua ecclesia in clerum sunt cooptati in alia ecclesia non ministrare, sine commendatitiis litteris proprii episcopi. Et nonnulli quidem dixerunt commendatitias hic litteras pro dimissoriis dictas esse : alii autem canonem de commendatitiis litteris loqui, quæ dantur accusatis hominibus, qui post examinationem innocentes inventi sunt. Mihi vero

ΚΑΝΩΝ ΙΓ'.

Ξένους κληρικοὺς καὶ ἀγνώστους ἐν ἑτέρᾳ πόλει δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου μηδόλως μηδαμοῦ λειτουργεῖν.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι Πατέρες διορίζονται τοὺς κληρωθέντας ἔν τινι ἐκκλησίᾳ ἐν ἑτέρᾳ πόλει μὴ λειτουργεῖν ἄνευ συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου. Καί τινες μὲν εἶπον συστατικὰς γραφὰς ἐνταῦθα τὰς ἀπολυτικὰς εἰρῆσθαι· ἄλλοι δὲ εἶπον περὶ συστατικῶν γραφῶν λέγειν τὸν κανόνα, διδομένων ἀνθρώποις κατηγορηθεῖσι, καὶ μετὰ ἐξέτασιν ἀθωωθεῖσιν· ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα

διορίζεσθαι περὶ συστατικῶν γραμμάτων συνιστώντων εἰς τὴν τοῦ κληρικοῦ χειροτονίαν, καὶ ἀπολυόντων αὐτὸν καὶ ἀλλαχοῦ ἐνεργεῖν. Τὰ γὰρ συνιστῶντα τὴν ἑκάστου ὑπόληψιν συστατικὰ καὶ λεῖκλ δίδονται, περὶ ὧν οὐδαμοῦ γέγονεν ἐνθάδε μνεία. Ἀνάγνωθι δὲ καὶ τὴν ἑρμηνείαν τοῦ τε κανόνος.

ΖΩΝΑΡ. Τοῦτο πρὸ τῆς συνόδου ταύτης ὥρισαν οἱ θεῖοι ἀπόστολοι τὸν καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν εἰς ἑτέραν μετοικήσαντα παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου κελεύσαντες μηκέτι λειτουργεῖν ἐπιμένοντα τῇ ἀταξίᾳ, ὡς δὲ λαϊκὸν κοινωνεῖν, ὡς τε ἀποστολικὸς περιέχει κανών. Καὶ ὁ παρὼν οὖν κανὼν τὰ αὐτὰ διατάττεται, καὶ τὸν δίχα γραμμάτων τοῦ ἐπισκόπου ἀπιόντα ἐν ἑτέρᾳ πόλει κελεύει μήτε ἐκεῖ μήτε που ἀλλαχοῦ λειτουργεῖν. Τοῦτο γάρ ἐστι τὸ μηδέλως μηδαμοῦ. Ἐπὶ δ' ἐντεῦθεν συστατικῶν ἐμνήσθη ἐπιστολῶν, δείκνυται ἐκ τούτου ὅτι καὶ ἐπί τισι κατηγορήθησαν οἱ κληρικοὶ οἱ ἀναχωρήσαντες τῆς ἰδίας παροικίας. Αἱ γὰρ συστατικαὶ τοῖς κατηγορηθεῖσι δίδονται, ὅταν ἀθῶοι φανῶσιν, ὡς ἤδη δεδήλωται, ἢ ὅτι ἀφωρισμένοι ἦσαν παρὰ τοῦ ἰδίου ἐπισκόπου.

ΑΡΙΣΤ. *Κληρικὸς δίχα συστατικῶν ἀποσώματος εἰς πόλιν ἑτέραν.*

Τοῦτο ἐν πολλοῖς τῶν κανόνων κεῖται, ὡς οἱ ξενιχειροτονητοὶ κληρικοί, μὴ ἐπιφερόμενοι συστατικὰ τῶν ἐπισκόπων αὐτῶν, εἰς πόλιν ἑτέραν οὐ συγκεχώρηνται λειτουργεῖν.

ΚΑΝΩΝ ΙΔ'.

Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος μὴ ἐξεῖναί τινι αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν· τοὺς δὲ ἤδη ἐκ τοιούτου γάμου παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τέκνα παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς Ἐκκλησίας· μὴ βαπτίσαντας δέ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ ἐκ τοῖς αἱρετικοῖς, μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ ἢ Ἰουδαίῳ (12), ἢ Ἕλληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μεταθέσθαι εἰς τὴν ὀρθόδοξον πίστιν, τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ. Εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποπεσέσθω ἐπιτιμίῳ

ΒΑΛΣ. Ὦ; ἔοικεν, ἐν τισι μὲν χώραις ἐξεχωροῦντο ἀναγνῶσται καὶ ψάλται γαμικὰ συναλλάγματα συναλλάττειν ἀκολούθως τῷ ἀποστολικῷ κανόνι κς', ἐν τισι δὲ καὶ οὕτω παραλόγως ἐκωλύοντο. Ὡρίσθη οὖν διὰ τοῦ παρόντος κανόνος ὡς, εἰ καὶ ἐφειμένον ἐστὶν αὐτοῖς γυναῖκα λαμβάνειν, ἀλλ' οὐκ

A videtur hic canon de litteris commendatitiis definire, quæ clerici ordinationem declarant, eumque dimittunt ut etiam alibi ministret. Commendatitiæ enim, quæ ad tollendam suspicionem dantur, etiam laicis præbentur, de quibus nulla hic fit mentio. Lege et 11 canonis interpretationem.

ZONAR. Et ante hanc synodum editum, apostolico canone decimo quinto, quicunque, relicta sua parœcia, in alteram invito episcopo suo commigrarint, donec in ea pervicacia manserint, a sacro ministerio arceri, ac laicorum more tantum communicare jubentur. Eadem hic quoque canon statuit, et qui sine episcopi sui litteris in aliam civitatem abierit, vel in ea, vel alio quocunque loco sacris operari vetat. Hoc etenim verba illa significant, [nullibi, nullo modo]. Ex eo vero, quod hic epistolæ commendatitiæ fiat mentio, clericos, qui e sua parœcia diverterent, reos antea criminis alicujus factos esse facile apparet. Commendatitiæ namque litteræ iis qui crimine objecto se insontes probavissent, ut diximus, vel qui prius ab episcopo suo segregati fuissent, tradi consuevere.

ARIST. *Clericus sine litteris commendatitiis in alias urbis communionem non recipitur.*

Hoc in multis canonum ponitur, quod qui in aliena parœcia ordinantur clerici, commendatitias episcoporum suorum non afferentes litteras, in alia ministrare civitate non permittuntur.

CANON XIV.

Quoniam in nonnullis provinciis concessum est lectoribus et cantoribus uxores ducere, decrevit sancta synodus nulli eorum licere diversæ a recta opinionis uxorem ducere: eos autem qui ex ejusmodi matrimonio liberos susceperunt, si eos quidem baptizare apud hæreticos præsenserint, ad catholicæ ecclesiæ communionem adducere: Si autem non baptizaverint, non posse eos apud hæreticos baptizare, sed neque hæretico, vel Judæo, vel Gentili matrimonio conjungere, nisi utique persona, quæ orthodoxæ conjungitur, se ad orthodoxam fidem converti dam spondeat. Si quis autem hoc sanctæ Synodi decretum transgressus fuerit, canonicis pœnis subjiciatur.

BALS. In nonnullis quidem, ut est verisimile, provinciis, lectoribus et cantoribus permittebatur matrimonia contrahere consequenter apostolico 26 canoni. In nonnullis autem id eis præter rationem prohibebatur. Per præsentem ergo canonem definitum est, quod, etiamsi eis permissum est uxores

Guill. Beveregii notæ.

(12) Ἰουδαίῳ. Christianos cum Judæis matrimonium inire leges etiam civiles vetuerunt. Μὴ τις Χριστιανὴν γυναῖκα πρὸς γάμον Ἰουδαῖος λαμβανέτω· μήτε Ἰουδαία Χριστιανὸς εἰς συζυγίαν ἑνούσθω. Εἰ γάρ τι τοιοῦτον ἁμαρτάνει, ἐν τῇ τῆς μοιχείας ποινῇ ὑποβαλλόμενος εἴη. Basilic. l. I, tit. I, c. 35. *Ne quis Christianam mulierem in matrimonium Judæus accipiat, neque Judææ Christianus conjugium sortiatur. Nam si quis aliquid hujusmodi admiserit, adulterii vicem commissi hujusmodi crimen obtinebit, libertate in accusandum publicis quoque vocibus relaxata*, l. VI, c. *De Judæis.* statuit concilium Aurelianense 2, c. 19.

accipere, diversæ tamen a recta opinionis mulieribus eis conjungi non licet, et ut qui ex tali matrimonio liberos susceperint, eos ad orthodoxorum Ecclesiam adducant : ut si ii quidem **130** ab hæreticis baptizati fuerint, sancto solum chrismate inungantur : sin minus, ab Ecclesia baptizentur. Similiter definitum est, ne eorum liberi hæreticis vel Judæis vel Græcis conjungantur, nisi utique prohibitæ personæ polliceantur a sua hæresi vel superstitione recedere. Tunc enim si ad orthodoxam fidem accesserint, consequentur quoque nuptiæ. Eos autem qui hæc transgrediuntur, canonicis pœnis subjicit synodus. Lege Laod. syn. can. 10 et 31 et Carth. 21 et invenies separari matrimonium, quod cum hæretico contractum est. Existimo autem, etiam cum separatione, eos quoque puniri secundum præsentem canonem. Sic enim ad concordiam deducentur canones. Recte autem dixit, eos, qui antea ex hæreticis susceptí sunt, liberos ad Ecclesiæ communionem adduci. Scis enim hæreticos in duo dividi ; et in eos qui, quod secundum nos est, mysterium, et divinam condescensionem suscipiunt, in quibusdam autem falluntur, quos etiam accedentes chrismate solo inunginus : et in eos qui hoc omnino non suscipiunt et sunt infideles, Judæos scilicet et Græcos quos etiam baptizamus. Communionis ergo nomine utrumque declaravimus, ut vel chrismate ungantur vel baptizentur. Lege 7 can. 2 syn. primum cap. 4 tit. 28. lib. Basilic. et 72 canon. synodi in Trullo. Et nota secundum præsentem canonem videri partem ecclesiæ cogere, ut Latinos rejiciamus, qui uxores ex Romania volunt accipere.

A ἔξεστιν ἑτεροδόξοις συνάπτεσθαι, τοὺς δὲ προπαιδοποιήσαντας ἐκ τοιούτου γάμου παράγειν τὰ οἰκεῖα τέκνα παρὰ τῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ· ἐφ' ᾧ εἰ μὲν ἔφθασαν αὐτὰ βαπτισθῆναι παρὰ αἱρετικῶν, χρισθῆναι μόνον ὑπὸ ἁγίου μύρου· εἰ δὲ μή, βαπτισθῆναι ὑπὸ τῆς Ἐκκλησίας. Ὡσαύτως ὡρίσθη μὴ συνάπτεσθαι τὰ τούτων τέκνα αἱρετικοῖς ἢ Ἰουδαίοις ἢ Ἕλλησιν, εἰ μήπω τὰ κεκωλυμένα πρόσωπα κατάθωνται ἀποστῆναι τῆς οἰκείας αἱρέσεως ἢ θρησκείας. Τηνικαῦτα γὰρ, ἐὰν προσέλθωσι τῇ ὀρθοδόξῳ πίστει, ἐπακολουθήσει καὶ ὁ γάμος. Τοὺς μέντοι παραβαίνοντας ταῦτα κανονικοῖς ἐπιτιμίοις καθυποβάλλει ἡ σύνοδος. Ἀνάγνωθι τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνας ι' καὶ λα' καὶ τῆς ἐν Καρθαγένῃ κανόνα κα', καὶ εὑρήσεις διασπώμενον τὸν μετὰ
B αἱρετικῶν συστάντα γάμον. Οἶμαι δὲ σὺν τῷ διασπασμῷ καὶ ἐπιτιμᾶσθαι τούτους κατὰ τὸν παρόντα κανόνα. Οὕτω γὰρ οἱ κανόνες συμβιβασθήσονται. Καλῶς δὲ εἶπεν ὀφείλειν τοὺς πρὸ τούτου τεχθέντας ἐξ αἱρετικῶν παῖδας προσάγεσθαι τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας. Οἶδας γὰρ ὅτι οἱ αἱρετικοὶ εἰς δύο διαιροῦνται, εἴς τε τοὺς δεχομένους μὲν τὸ καθ' ἡμᾶς μυστήριον, καὶ τὴν θεϊκὴν συγκατάβασιν, ἔν τισι δὲ σφαλλομένους, οὓς καὶ μύρῳ μόνῳ χρίομεν προσερχομένους, καὶ εἰς τοὺς πάντη μὴ δεχομένους τοῦτο καὶ ὄντας ἀπίστους, Ἰουδαίους δηλονότι καὶ Ἕλληνας, οὓς καὶ βαπτίζομεν. Τῷ ὀνόματι γοῦν τῆς κοινωνίας ἐδηλώθησαν καὶ ἀμφότεροι, ὥστε ἢ μύρῳ χρισθῆναι ἢ βαπτισθῆναι. Ἀνάγνωσον τὸν ζ' κανόνα τῆς β' συνόδου, τὸ α' κεφ. τοῦ δ' τίτλου τοῦ κη' βιβλίου
C τῶν Βασιλικῶν, καὶ τὸν οβ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Καὶ σημείωσαι ὅτι κατὰ τὸν παρόντα κανόνα, ὡς ἔοικεν, ἀναγκάζει τὸ μέρος τῆς Ἐκκλησίας τοὺς Λατίνους ἐξόμνυσθαι θέλοντας γυναῖκας λαβεῖν ἐκ τῆς Ῥωμανίας.

ZONAR. Hoc idem et Laodicena synodus 10 et 31 et Carthaginensis 21 canone sanxere : et in Trullo palatii celebrata œcumenica synodus pluribus adhuc verbis explicavit. Sed Carthaginensis de solis clericis, quemadmodum et hic canon, loquitur : Laodicena vero, et Trullana, orthodoxorum prorsus omnium matrimonia cum hæreticis damnat, ac nuptiali quamvis fœdere contracto irrita nihilominus esse decernit. Non omnibus tamen locis, ut ipsa hujus canonis verba satis indicant, lectoribus olim et cantoribus, postquam in illum ordinem
D cooptati forent, uxores ducere permissum fuit ; quamvis apostolico canone 26 hæc continente : Ex omnibus qui in clerum leguntur, si cœlibes sint matrimonia inire lectoribus solis et cantoribus liceat. Clericos igitur orthodoxos, conjugio cum feminis a recta religione alienis in posterum sociari omnino synodus vetat. Qui vero sociati antea, liberos quoque suscepere, eos licet ab hæreticis jam baptizatos ducere, atque Ecclesiæ catholicæ sistere jubentur. Adducti enim, vel sancto chrismate solum inungentur, si ab hæreticis recepto ab Ecclesia more baptizati sint ; vel, si alieno ab ecclesiastica consuetudine damnatoque ritu initiati, salutaribus undis iterum repetito baptismo expiabuntur. Non-

ΖΩΝΑΡ. Τοῦτο καὶ ἡ ἐν Λαοδικείᾳ σύνοδος ἐν ι' καὶ λα' κανόνι διετυπώσατο, καὶ ἡ ἐν Καρθαγένῃ ἐν κα' διετάξατο, καὶ ἡ ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστᾶσα οἰκουμενικὴ σύνοδος πλατύτερον διωρίσατο. Ἀλλ' ἡ μὲν ἐν Καρθαγένῃ σύνοδος ὁμοίως τῷ παρόντι κανόνι περὶ μόνων κληρικῶν διαλέγεται· ἡ δὲ ἐν Λαοδικείᾳ, καὶ ἡ ἐν τῷ Τρούλλῳ καθάπαξ παντὶ ὀρθοδόξῳ ἀπαγορεύει συναλλάττειν γάμον πρὸς αἱρετικούς, καὶ διασπᾶσθαι τὸν τοιοῦτον γάμον, κἂν γένηται, παρακελεύεται. Ὡς δὲ ἐκ τῆς
D συγγραφῆς τοῦ παρόντος κανόνος δηλοῦται, οὐ πανταχοῦ τότε τοῖς ἀναγνώσταις καὶ ψάλταις ἐφεῖτο μετὰ τὴν χειροθεσίαν λαμβάνειν γυναῖκας, καίτοι τοῦ κς' κανόνος τῶν ἱερῶν ἀποστόλων περιέχοντος ταῦτα. Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. Καὶ εἰς τὸ ἑξῆς μὲν ἀπηγόρευσεν ἡ σύνοδος αὕτη τοὺς ὀρθοδόξους κληρικοὺς ἑτεροδόξοις συνοικεῖν γυναιξί· τοὺς δὲ ἤδη συνῳκηκότας, καὶ ἐξ ἐκείνων παιδοποιήσαντας ἀπαιτεῖ τοὺς οἰκείους παῖδας προσάγειν τῇ καθολικῇ Ἐκκλησίᾳ, κἂν ἔφθασαν ὑπὸ αἱρετικῶν βαπτισθῆναι. Προσαχθέντας γὰρ ἢ τῷ ἁγίῳ χρίσματι χρισθήσονται μόνον, εἰ ὑπὸ αἱρετικῶν ἐβαπτίσθησαν, ὧν τὸ βάπτισμα δεκτὸν τῇ Ἐκκλησίᾳ λογίζεται, ἢ καὶ ἄνωθεν βα-

πτισθήσονται, εἰ ἀπόβλητον τὸ βάπτισμα τῶν βαπτισάντων αὐτοὺς αἱρετικῶν τῇ Ἐκκλησίᾳ ἐστίν. Εἰ δὲ οὔπω βαπτίσματος ἔτυχον, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι, μήτε μὴν ὀνόματι τῶν παίδων αὐτῶν συναλλάττειν γάμον πρὸς αἱρετικούς, μήτε πρὸς Ἕλληνας, αἱρετικοὺς μὲν τοὺς τὸ καθ' ἡμᾶς δεχομένους, μυστήριον λέγων ἔν τισι δὲ σφαλλομένους καὶ διαφερομένους τοῖς ὀρθοδόξοις. Ἰουδαίους δὲ τοὺς χριστοκτόνους, καὶ Ἕλληνας τοὺς πάντη ἀπίστους καὶ εἰδώλων προσκυνητάς. Εἰ δ' ἴσως ὁ αἱρετικὸς ἢ ὁ ἄπιστος ἐπαγγέλλεται συνθέσθαι τῇ ὀρθοδόξῳ πίστει, τὸ μὲν συνάλλαγμα προβήσεται, ἡ δὲ συνάφεια ὑπερτεθήσεται, μέχρις ἂν τὴν ἐπαγγελίαν πληρώσῃ ὁ ταύτην ποιησάμενος. Ὁ δὲ τούτων παραβάτης ἐπιτιμίοις κανονικοῖς ὑποκείσεται.

A dum vero baptizatos nullo modo ab hæreticis baptizandos esse; neque quidem filiorum suorum nomine quidquam de nuptiis, cum hæretico, Judæo, aut Græco jungendis agere debere decernit. Sunt vero hæretici, qui mysteria nostræ religionis ita recipiunt, ut in quibusdam tamen hallucinentur, atque ab orthodoxis dissentiant. Judæi autem, qui nefario se Christi parricidio contaminavere, et Græcorum appellatione, a fide prorsus alieni et idolorum cultores significantur. Quod si fidem amplecti se velle hæreticorum quispiam aut infidelium polliceatur, cum eo pacisci de nuptiis, non tamen eas, antequam promissa qui ea dedit impleverit, celebrari licere, decernitur. Qui secus fecerit, canonicis in eum pœnis animadverti jubent.

B

ΑΡΙΣΤ. *Ἑτερόδοξος ψάλτης καὶ ἀναγνώστης, εἰ γήμας ἐτέκνωσε, προσάγει τῇ κοινωνίᾳ τὰ τέκνα, εἴπερ ἐκεῖσε βεβάπτισται· εἰ δ' ἔτι ἀβάπτιστα, οὐκ ἔτι βαπτίζεται τοις αἱρετικοῖς.*

131 ARIST. *Cantor aut lector a recta fide alienus, si uxore ducta liberos genuerit, eos ad communionem adducit, si ibidem baptizati sunt. Si vero nondum sunt baptizati, apud hæreticos postea non baptizantur.*

Τὸ συνάπτεσθαι ὀρθόδοξον αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν, καὶ ὁ δέκατος κανὼν, καὶ ὁ τριακοστὸς πρῶτος τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ δεύτερος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ ὁ παρὼν οὗτος ἀπαγορεύουσιν. Εἰ δέ τις τῶν ψαλτῶν καὶ τῶν ἀναγνωστῶν πρὸ τῶν κανόνων τούτων ἑτερόδοξον γυναῖκα ἔλαβε, καὶ ἐτέκνωσε ἐξ αὐτῆς, καὶ τὰ τέκνα ἐβάπτισε παρὰ τοῖς αἱρετικοῖς μένων, προσαγέτω ταῦτα τῇ κοινωνίᾳ τῆς καθολικῆς Ἐκκλησίας· εἰ δ' ἀβάπτιστα αὐτὰ ἔχοι, μηκέτι παρὰ τοῖς αἱρετικοῖς ποιούμενος τὴν ἀναστροφὴν, βαπτιζέτω· ἀλλ' ἐκεῖθεν ὑπαναχωρῶν, τῇ καθολικῇ προσαγέτω Ἐκκλησίᾳ καὶ τοῦ θείου ταῦτα καταξιούτω βαπτίσματος.

Orthodoxum hæreticæ matrimonio conjungi mulieri, aut vice versa et decimus et tricesimus primus synodi Laodicenæ canon, et secundus sextæ in Trullo synodi, et hic præsens prohibent. Si quis autem e cantoribus aut lectoribus ante editos hosce canones alterius sectæ duxerit uxorem, et liberos ex ea susceperit, eosque baptizaverit, dum apud hæreticos manserit, istos Ecclesiæ catholicæ communioni adducat. Si vero nondum baptizati fuerint, ne posthac apud hæreticos retrorsum se convertens eos baptizet. Sed illinc recedens, catholicæ adducat Ecclesiæ et divino eos dignetur baptismo.

C

ΚΑΝΩΝ ΙΕ'.

Διάκονον μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετὰ ἀκριβοῦς δοκιμασίας. Εἰ δέ τε δεξαμένη τὴν χειροτονίαν, καὶ χρόνον τινὰ παραμείνασα τῇ Λειτουργίᾳ, ἑαυτὴν ἐπιδῷ γάμῳ, ὑβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇ συναφθέντος.

CANON XV.

Diaconissam non esse mulierem ordinandam ante annum quadragesimum, et eam cum accurata examinatione. Si autem postquam ordinatione suscepta ministerio aliquo tempore permansit, seipsam matrimonio tradiderit, Dei gratiæ injuriam faciens, ea, una cum illo qui ei conjunctus est, anathematizetur.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος πάντη ἐσχόλασαν. Διακόνισσα γὰρ σήμερον οὐ χειροτονεῖται, κἂν καταχρηστικῶς τινες τῶν ἀσκητριῶν διακόνισσαι λέγωνται· ὅτι κανών ἐστι διοριζόμενος μὴ εἰσέρχεσθαι γυναῖκας ἐν τῷ ἁγίῳ βήματι. Ἡ γοῦν μὴ δυναμένη ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ εἰσελθεῖν, πῶς τὰ τῶν διακόνων ἐνεργήσει; Ἀνάγνωσον τὸν ιδ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιε' λέγοντας καθαιρεῖσθαι τὴν διακόνισσαν χειροτονηθεῖσαν πρὸ τοῦ πληρῶσαι τὸν τεσσαρακονταετῆ χρόνον. Ὁ δὲ παρὼν φησι κανὼν ἀναθεματίζεσθαι τὴν μετὰ τὴν χειροτονίαν γάμοις ἑαυτὴν ἐπιδοῦσαν, ὡς ὑβρίστριαν τῆς τοῦ Θεοῦ χάριτος. Περὶ δὲ μοναζουσῶν ὁ ἑφεξῆς διδάσκει κανών. Ζήτει καὶ τοῦ μεγάλου Βασιλείου κανόνα ιζ' καὶ κδ'.

BALS. Quæ in præsenti canone tractantur, omnino exolevere. Diaconissa enim hodie non ordinatur, etiamsi quædam ascetriæ abusive diaconissæ dicantur. Est enim canon, qui statuit mulieres in sacrum tribunal non debere ingredi. Quæ ergo ad sanctum altare accedere non potest, quomodo diaconatus officium exercebit? Lege et 14 can. syn. in Trullo et 15, dicentes deponendam diaconissam, quæ ordinata est priusquam quadragesimum annum explevisset. Præsens autem canon dicit anathematizari mulierem, quæ post ordinationem se nupium dederit, ut quæ Dei gratiam injuria afficiat. De monialibus autem sequens docet canon. Quære et magni Basilii canonem 17 et 24.

D

ΖΩΝΑΡ. Διὰ τὸ εὐεξαπάτητον τῶν γυναικῶν καὶ

ZONAR. Cum mulieres aut capi fraudibus, a

sponte ad deteriora labi facillimum sit, idcirco minorem quadraginta annis diaconissam eligi, hujus canonis sanctione vetitum est. Idem Trullanæ quoque œcumenicæ synodi 14 ac 15 canone constitutum; ac iis, qui præfinita singulis ordinibus tempora anteverterint, depositio irrogata. Sed hanc quoque quadragenariam mulierem non sine stricta examinatione, diligenter explorata prius ac probata vivendi ratione, hic canon admittit. Quod si in album diaconissarum relata, decursu postea temporis, sancti Spiritus munere repudiato, nuptiis sese implicaverit, utrumque tam mulierem, quam illam cum quo nupta fuerit, anathemate plectendos esse decernit. At vero magnus apostolus Paulus ad Timotheum scribens: *Vidua*, inquit, *ne eligatur minor sexaginta annis* [a]. Cur igitur sic Paulo præcipiente 40 annos natam mulierem ordini diaconissarum ascribi licere synodus constituerit? Dicunt Apostolum quidem de viduis, synodum autem de virginibus statuisse. Nam quæ se ad quadraginta annos integram incorruptamque conservarit, nec ullam ex virili commercio voluptatis partem degustaverit, postea diaconatus quoque honore et gratia aucta, animum ad nuptias intendere, et ejus vitæ cupiditate, cujus nullum antea usum habuit, accendi non ita facile est. At vidua, quippe in cubile viri olim deducta voluptatumque illecebris delinita, erit ad libidinem proclivior. Proinde magnus quoque Basilius decimo octavo suo canone quamvis in æquali peccato, graviorem tamen virgini ex canonicis **132** sanctionibus electæ, quam viduæ, pœnam infligit. Atque viduam quidem ancillæ, quæ fornicata est, et scelere domini sui domum impleverit: virginem vero sponsæ adulterio pollutæ comparat. Idcirco virginem adulterorum pœnis subjici; viduam autem instar ancillæ in flagitio deprehensæ puniri jubet. Viduam igitur, quod libidini longe proclivior sit quam virgo, ætate provectiorem eligi oportere, magnus Apostolus censuit. Hinc et sapientissimus ille Basilius, vicesimo quarto canone, de vidua, quæ in numerum viduarum relata postea nupserat loquens, addit: Quod si sexaginta annis minorem viduarum ordini ascripserimus, nostrum jam illud crimen, non mulierculæ fuerit.

ARIST. *Diaconissa, nisi quadraginta annos nata, non ordinatur. Si vero quæ per matrimonium initum sacro muneri dedecus attulerit, anathema.*

Non oportet mulierem ante annum quadragesimum ordinari diaconissam. Si autem cum quadragesimum ætatis attigerit annum ordinetur, et post ordinationem in matrimonio versetur, ut injuriam Dei gratiæ faciens, anathematizetur.

CANON XVI.

Virginem, quæ se Domino Deo dedicavit, similiter et monachos non licere matrimonio conjungi.

[a] 1 Tim. v, 9.

εὐλίσθον οὐχ ἧττονα τῶν τεσσαράκοντα ἐτῶν γυναῖκα χειροτονεῖσθαι διάκονον ὁ παρὼν βούλεται κανών. Καὶ ὁ ιδ' δὲ καὶ ιε' κανὼν τῆς ἐν τῷ Τρούλλῳ οἰκουμενικῆς συνόδου ὁμοίως φησὶ, καὶ τοὺς παρὰ τοὺς ὁρισθέντας ἑφ' ἑκάστῳ χρόνους χειροτονηθέντας καθαιρεῖσθαι κελεύει. Καὶ τεσσαράκοντα δὲ οὖσαν ἐνιαυτῶν τὴν γυναῖκα μετὰ ἀκριβοῦς δοκιμασίας χειροτονεῖσθαι βούλεται ὁ κανὼν οὗτος, τοῦ βίου καὶ τῆς διαγωγῆς αὐτῆς ἀκριβουμένης. Εἰ δὲ δέξεται τὴν χειροτονίαν, καὶ μετά τινα χρόνον ἀρνήσεται τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐπιδῷ ἑαυτὴν γάμῳ, ἀνάθεματίζεσθαι, κἀκείνην καὶ τὸν αὐτῆς γαμέτην διακελεύεται. Ὁ δὲ μέγας ἀπόστολος Παῦλος Τιμοθέῳ ἐπιστέλλων, *Χήρα μὴ καταλεγέσθω*, φησὶν, *ἐλάττων ξ' ἐτῶν*. Διὰ τί οὖν, οὕτω διαταξαμένου τοῦ Παύλου, ἡ σύνοδος αὕτη τεσσαράκοντα ἐτῶν εἶναι τὴν χειροτονουμένην εἰς διακόνισσαν διετυπώσατο; Φασὶν οὖν ὅτι ὁ μὲν Ἀπόστολος περὶ χηρῶν διωρίσατο, ἡ δὲ σύνοδος αὕτη περὶ παρθένων. Ἡ γοῦν ἑαυτὴν μέχρι τοῦ τεσσαρακοστοῦ χρόνου ἐν ἁγνείᾳ τηρήσασα, καὶ ἀπείραστος μείνασα τῆς ἐκ συναφείας ἀνδρὸς ἡδονῆς, καὶ τὸ τῆς διακόνου χάρισμα δεξαμένη οὐ ῥᾳδίαν πιστεύεται ἀποκλίναι εἰς γάμον καὶ εἰς ἐπιθυμίαν ἐλθεῖν μίξεως, ἧς οὕπω πεπείραται· ἡ δὲ χήρα, εὐνῆς ἀνδρῶας καταπολαύσασα, καὶ γευσαμένη τῆς ἐξ ἀνδρῴας μίξεως ἡδονῆς, μᾶλλον ἂν εἴη πρὸς τὸ πάθος ἐπικλινής. Διὸ καὶ ὁ μέγας Βασίλειος ἐν τῷ ιη' τῶν αὐτοῦ κανόνων οὐχ ὁμοίως παρθένον κανονικὴν ἐκπεσοῦσαν κολάζει, καὶ χήραν ἐπίσης ἁμαρτήσασαν, ἀλλὰ τὴν μὲν χήραν δούλῃ ἀπεικάζει πορνευθείσῃ, καὶ μύσους τὸν οἶκον τοῦ κυρίου αὐτῆς πλησάσῃ, τὴν δὲ παρθένον νύμφῃ μοιχευθείσῃ. Καὶ ταύτην μὲν τῷ τῆς μοιχείας ὑπάγει κρίματι· τὴν δὲ χήραν ὡς δούλην ἐπὶ πορνείᾳ ἁλοῦσαν καταδικάζει. Ὡς οὖν πρὸς τὸ πάθος τῆς μίξεως εὐκατάφορον μᾶλλον τὴν χήραν οὖσαν τῆς παρθένου ἐν χρόνῳ πλείονι κατατάττεσθαι ὁ μέγας Ἀπόστολος διετάξατο. Διὸ καὶ ὁ πολὺς τὴν σοφίαν Βασίλειος ἐν τῷ κανόνι περὶ χήρας μετὰ τὸ καταλεγῆναι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν ἀνδρὶ συνοικησάσης διαλεγόμενος ἐπάγει· Ἐὰν μέντοι πρὸ ἐξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

ΑΡΙΣΤ. *Διακόνισσα, εἰ μὴ τεσσαρακονταετὴς, οὐ γίνεται· τῇ δὲ διὰ γάμου τὴν λειτουργίαν ἐξυβρισάσῃ ἀνάθεμα.*

Οὐ δεῖ γυναῖκα πρὸ τεσσαράκοντα χρόνων χειροτονεῖσθαι διάκονον. Εἰ δὲ χρόνων τεσσαράκοντα οὖσα χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν γάμῳ προσομιλήσει, ὡς ἐξυβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἀναθεματιζέσθω.

ΚΑΝΩΝ Ις'.

Παρθένον ἀναθεῖσαν ἑαυτὴν τῷ Δεσπότῃ Θεῷ, ὡσαύτως καὶ μονάζοντας μὴ ἐξεῖναι γάμῳ προσ-

ομιλεῖν. Εἰ δέ τι εὑρεθεῖεν τοῦτο ποιοῦντες, ἐστωσαν ἀκοινώνητοι. Ὑρίσαμεν δὲ ἔχειν τὴν αὐθεντίαν τῆς ἐπ' αὐτοῖς φιλανθρωπίας τὸν κατὰ τόπον ἐπίσκοπον.

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες προσήρχοντο τῷ Θεῷ μετὰ λαϊκοῦ σχήματος, καὶ ὡμολόγουν παρθενεύειν. Διορίζονται τοίνυν οἱ Πατέρες τοὺς ὁμολογήσαντας τοῦτο, κἂν ἄνδρες εἶεν μονάζοντες, κἂν γυναῖκες, μὴ ἀφίστασθαι τῶν ὡμολογημένων, καὶ γάμοις προσμιλεῖν. Τοὺς δὲ παραβάτας τούτων ἀκοινωνήτους ἤτοι ἀφωρισμένους εἶναι. Τὴν μέντοι ἐξουσίαν τοῦ ἀφορισμοῦ ἤτοι τὴν ἐπέκτασιν ἢ τὴν μείωσιν τῷ ἐγχωρίῳ ἐπισκόπῳ ἀνέθετο. Σήμερον δὲ τέως ἐν τῇ Κωνσταντινουπόλει οὔτε παρθένοι μετὰ λαϊκοῦ τχήματος τῷ Θεῷ ἀνατίθενται, οὔτε παρθενῶν ἐστι. Μόνος δὲ ὁ ἅγιος μητροπολίτης ἐκείνης Θηβῶν ὁ Καλοκτένης ἐποίησε παρθενῶνα εἰς Θήβας. καὶ ἔταξε παρθένους ἐν αὐτῷ λαϊκάς. Διὸ καὶ ἔστι τὸ μνημόσυνον αὐτοῦ αἰωνίζον, καὶ χάριν τούτου. Εἰ δὲ θέλεις εἰπεῖν τὰς ἀσκητρίας τοιαύτας παρθένους, οὐδὲν εὑρήσεις ἐμποδών, εἰ μήπω θέλεις ταύτας παρεικάσαι ταῖς μοναζούσαις διὰ τὴν ἀπόκαρσιν, καὶ τὰς ἐπ' Ἐκκλησίας συνθήκας αὐτῶν. Ἀνάγνωσον τὸν ιθ' κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, τῷ τῶν διγάμων ἐπιτιμίῳ ταύτας καθυποβάλλοντα, τῆς ἐν τῷ Τρούλλῳ μϚ', καὶ τοῦ μεγάλου Βασιλείου ξ' καὶ ιθ'. Οἱ μὲν γὰρ ὡς πόρνους, οἱ δὲ ὡς μοιχοὺς τοὺς ἀθετητὰς τῶν ὁμολογιῶν αὐτῶν καταδικάζουσι. Μὴ γοῦν ἐναντιωθῇς τινι ἐξ αὐτῶν· ἀλλ' εἰπὲ ὅτι, ἐπεὶ παρὰ τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου τὰ τῶν ἐπιτιμίων ἀνετέθησαν, αὐτὸς τὸν ἁμαρτήσαντα κατὰ τὸ δοκοῦν αὐτῷ ἐπιτιμήσει μετὰ δοκιμασίας. Ἀνάγνωθι καὶ βιβλίον κη', τίτλον ς', κεφ. α' διοριζόμενον μὴ μόνον διασπᾶσθαι τὸν ἀθέμιτον γάμον, ἤτοι τὸν μετὰ συγγενοῦς καὶ τὸν παράνομον, ἤτοι τὸν μετὰ τῆς ἐπιτροπευομένης, καὶ τὸν κατάκριτον δηλονότι τὸν μετὰ τῆς τῷ Θεῷ ἀνατεθειμένης· ἀλλὰ καὶ δημεύεσθαι τοὺς συναλλάξαντας καὶ ἐξορίζεσθαι, εὐτελεῖς δὲ ὄντας καὶ μαστίζεσθαι. Ὥστε οὐ μόνον τὰ τῆς Νεαρᾶς γενήσονται, ἀλλὰ καὶ ἐπιτίμια ἐπακολουθήσουσι.

ΖΩΝΑΡ. Τοὺς ὁμολογήσαντας παρθενεύειν, κἂν ἄνδρες εἶεν, κἂν γυναῖκες, ὡς ἀνάθημα ἑαυτοὺς προσαγαγόντας τῷ Θεῷ, βούλεται ὁ κανὼν τὴν ὁμολογίαν φυλάττειν, καὶ μὴ παραβάτας τῶν ὡμολογημένων εὑρίσκεσθαι. Εἰ γὰρ τὰς πρὸς ἀλλήλους ὁμολογίας ἐμπεδοῖ Θεὸς μέσος παραληφθεὶς κατὰ τὴν θεολόγων φωνὴν (13), πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; Εἰ δέ τινες εὑρεθεῖεν μετὰ τὴν ὁμολογίαν γάμον ἑλόμενοι ἀκοινωνήτου; ἤτοι ἀφωρισμένους εἶναι τούτους ὁ κανὼν διατάττεται· τὴν δὲ ἐξουσίαν τοῦ φιλανθρωπεύεσθαι ἴσως καὶ λῦσαι τὸ ἐπιτίμιον αὐτοῖς ἢ ἐλαφρῦναι, καὶ τὸν χρόνον

Sin autem hoc fecisse inventi fuerint, sint excommunicati. Ostendendæ autem in eos humanitatis auctoritatem habere statuimus episcopum ejus loci.

BALS. Olim quædam mulieres cum laicali habitu ad Deum accedebant, et virginitatem profitebantur. Definiunt ergo Patres eos qui hoc professi fuerint, sive sint viri monachi, sive mulieres, ab iis, quæ voverunt ac professi sunt, non discedere, nec matrimonio conjungi debere. Horum autem transgressores excommunicatos esse seu segregatos. Segregationis autem potestatem, ejusque vel extensionem, vel diminutionem, illius loci episcopo attribuerunt. Hodie autem Constantinopoli nec sunt virgines cum laicali habitu Deo consecratæ, nec est virginum domicilium (quod Parthenon dicitur.) Solus autem sanctus ille Thebarum metropolitanus Caloctenes fecit Thebis parthenonem, et laicas in ipso virgines ordinavit. Et ideo æternum hoc est ejus monumentum, eique eo nomine gratia agenda est. Si autem velis etiam has ascetrias dicere virgines, nihil impedimenti invenies, nisi eas etiam velis monachis assimilare propter tonsuram, et quod earum pacta conventa seu vota fiant in Ecclesia. Lege 19 can. synodi Ancyranæ, quæ bigamorum eas pœnis subjicit: syn. in Trul. 44, Basilii Magni 60 et 19. Illi enim ut fornicatores, illi vero ut adulteros, qui vota sua non servaverint, condemnant. Ne ergo in aliquo eorum repugnantiam esse existimes: sed dic, quod quoniam episcopi potestati pœna permissa est, ipse peccatorem pro arbitrio puniet cum examinatione. Lege et librum XXVIII, tit. 6, cap. 1, in quo decernitur non solum separari illicitas nuptias, utpote cum cognata, easve quæ præter legum præcepta fiunt, aut cum ea, cujus is, qui ipsam ducit, tutelam gerit; et nefarias seu damnatas, ejus scilicet quæ Deo dedicata est: sed et eos, qui contraxerunt, publicari et segregari, et si sint humilis loci etiam flagellis cædi. Quamobrem non solum fiet quod jubet Novella, sed etiam pœnæ consequentur.

133 ZONAR. Qui se viri aut feminæ virginitatis legibus astringentes Deo instar anathematis devoverunt, in suscepto consilio permanere, ac promissi fidem nullo modo infirmare canon jubet. Si namque hominum inter se conventa Deo quasi advocato aut astipulatore, ex theologorum sententia, firmari solent, quid illi factum iri arbitrabimur, qui fidem ipsi Deo voluntaria pactione obligatam fallere non dubitarit? Quicunque igitur professione continentiæ edita, deinde se nuptiis alligarint, communione privatos, hoc est, segregationi obnoxios esse decernit: sed ita tamen, ut clementiæ aliquid hujusmodi hominibus impartiri, totamque pœnam,

Guill. Beveregii notæ.

(13) *Κατὰ τὴν θεολόγων φωνήν.* Codex Amerbachianus legit, κατὰ τὴν τοῦ Θεολόγου φωνήν.

ve ejus partem aliquam condonare, deque temporis præfiniti summa, quod libitum fuerit, deducere episcopo liceat. Ac Ancyranæ quidem synodi decimus nonus canon : Qui se virginitatis voto, dicit, obligavere, si fidem promissi fregerint, digamorum legibus judicentur. Trullanæ autem sextæ synodi quadragesimus quartus canon : Monachus, ait, qui cum scorto deprehensus fuerit, uxoremve duxerit, scortatorum pœnas luat. At vero magni Basilii can. 60 : Quæcunque virginitatem professa mulier a proposito defecerit, pœnas adulterio in vitæ suæ dispensatione constitutas jubetur expendere. Eademque lege monachos si peccarint, teneri placet. Quos etiam, si monachatum professi se ad vitam mollem voluptariamque postea converterint, scortatorum pœnis teneri ejusdem Basilii undecimo canone decretum est.

A αὐτοῖς, συστεῖλαι τῇ ἐξουσίᾳ τοῦ κατὰ τόπον ἐπισκόπου ἀνέθετο. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου ιθ' κανών, Οἱ παρθενίαν, φησὶν, ἐπαγγελλόμενοι, καὶ ἀθετοῦντες τὰ ἐπηγγελμένα τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. Ὁ δὲ μδ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συστάσης ἕκτης συνόδου· Μοναχὸς, φησὶν, ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμον γυναῖκα ἀγαγόμενος, τοῖς τῶν πορνευόντων ὑποβληθήσεται ἐπιτιμίοις. Ὁ δέ γε τοῦ μεγάλου Βασιλείου ξ' κανὼν οὕτως περιέχει· Ἣ παρθενίαν ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ μοναχῶν ἐκπιπτόντων. Ἐν δὲ τῷ ια' αὐτοῦ κανόνι, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ καταδικάζει τοὺς μετὰ τὴν ὁμολογίαν μετατιB θεμένους μονάζοντας εἰς φιλόσαρκον καὶ ἡδονικὸν βίον.

ARIST. *Monachi vel moniales matrimonium ne contrahant, quod si fecerint, excommunicentur.*

ΑΡΙΣΤ. *Μονάζοντες ἢ μοναιοῦσαι μὴ γαμείτωσαν· ἐπεὶ ἔστωσαν ἀκοινώνητοι.*

Hi promisso suo excidentes, et fœdera sua violantes, excommunicationi subjiciuntur. At sexagesimus Basilii magni canon fornicationis pœnæ eos subjicit.

Οὗτοι τῆς ἐπαγγελίας αὐτῶν ἐκπεσόντες, καὶ τὰς συνθήκας αὐτῶν ἀθετήσαντες, ἀκοινωνησίᾳ ὑπόκεινται. Ὁ δὲ ἑξηκοστὸς κανὼν τοῦ μεγάλου Βασιλείου τῷ τῆς μοιχείας ἐπιτιμίῳ τούτους καθυπάγει.

CANON XVII.

Quæ sunt in unaquaque provincia, rurales vicanasque parochias, firmas et inconcussas manere apud eos qui illas tenent episcopos : et maxime si triginta annorum tempore eas sine vi detinentes administraverint. Si autem intra triginta annos fuit C *aliqua vel fuerit de iis controversia, licere iis qui injuriam sibi fieri dicunt, de iis litem movere apud synodum provinciæ. Si quis autem injuria afficiatur a proprio metropolitano, apud exarchum diœ-*

ΚΑΝΩΝ. ΙΖ.

Τὰς καθ' ἑκάστην ἐπαρχίαν ἀγροικικὰς (14) *παροικίας ἢ ἐγχωρίους μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀδιάστως κατέχοντες ᾠκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἀδικεῖσθαι, περὶ τούτων κινεῖν παρὰ ἰδίου μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως* (15)

Guill. Beveregii notæ.

(14) *Τὰς καθ' ἑκάστην ἐπαρχίαν ἀγροικικάς.* In codice Amerbachiano præsenti canoni, de ruralibus et vicariis parœciis hoc scholium annectitur, Ἀγροικικὰς μὲν λέγει τὰς ἐπὶ τῶν ἐσχατιῶν ἱδρυμένας, ἃς καὶ μονοίκια νῦν φασιν. Ἐγχωρίους δὲ τὰς ἐν μέσοις ἄγροῖς ἢ κώμαις. Οὐ μάχεται δὲ τῷ ἡ' κανόνι τῶν ἐν Ἐφέσῳ, κελεύοντι μὴ ἐπιπηδᾶν ἀλλοτρίᾳ παροικίᾳ, ἀλλ' εἰ καὶ τετόλμηταί τι τοιοῦτον, ἀποκαθίστασθαι ταύτην τῷ δεσπόζοντι. Ἄλλο γὰρ παρ' ἐκείνοις τοῖς Πατράσι, καὶ ἄλλο περὶ D τούτου τὸ ἀμφισβητούμενον· οἱ μὲν γὰρ περὶ τῶν ἤδη κατηρτισμένων λαῶν, καὶ τῶν ἤδη ὑφ' ἑτέρῳ ἐπισκόπῳ γεγενημένων, εἶτα παρὰ τῶν πλεονεκτεῖν εἰωθότων κατιχομένων πόλεων, ἢ κωμῶν ἀπεφήναντο· οὗτοι δὲ περὶ ἀγρῶν, ὧν εἰκὸς μηδὲ τοσοῦτον εἶναι λόγου παρὰ τῷ ἐπισκόπῳ τῷ προκατειληφότι διὰ τὸ ἀγρεῖον καὶ μικροπρεπὲς παρορωμένων. *Rurales quidem parœcias vocat eas, quæ in ipsis extremitatibus sitæ sunt, quas etiam monœcia nuncupant : vicanas autem, quæ in mediis agris aut vicis positæ sunt. Neque pugnat hoc cum octavo canone concilii Ephesini, cavente ne quis in alienam parœciam transiliat, sed si quid istiusmodi præsumptum fuerit, eadem domino suo restituatur. Aliud enim ab istis Patribus, et aliud in præsenti canone disceptatur. Illi enim de populis jam pridem coagmentatis, et de civitatibus et vicis alii olim episcopo subjectis, postea autem ab iis, qui aliena usurpare consueti sunt, possessis loquuntur : præsentes autem Patres, de agris, quorum ut inutilium et vilium neglectui habitorum, non tantam habuisse rationem episcopum, qui præoccupavit, verisimile est.*

(15) *Παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως.* In codice Amerbachiano ἕτερον σχόλιον præsenti canoni subjunctum est, quod de exarchis erudite admodum agit, sicque se habet : Ἐξάρχους καλεῖ ἐκείνους ὑφ' οὓς τελοῦσιν οἱ μητροπολῖται· εἶεν δ' ἂν οὗτοι οἱ πατριάρχαι, ὑφ' ὧν καὶ κρίνεσθαι τὰς κατὰ τῶν μητροπολιτῶν κοινομένας βούλεται δίκας, ἢ ὑπὸ τοῦ Κωνσταντινουπόλεως, ἐξαιρέτῳ προνομίῳ τοῦτον ἡ σύνοδος τιμήσασα τὸν θρόνον. Ὅτι δὲ ἐξάρχους λέγει τοὺς τῆς πρώτης καθέδρας ἐπισκόπους, οἵ εἰσιν οἱ πατριάρχαι, τεκμηριοῖ καὶ ὁ τῆς ἐν Καρθαγένῃ ιθ' κανών, ἀπαγορεύων μὴ δεῖν αὐτοὺς ἐπὶ τῇ τοῦ ἐξάρχου προσηγορίᾳ καλεῖσθαι. Εἰ δὲ λέγει τις ὡς ὁ ς' τῆς ἐν Σαρδικῇ κανὼν ἔξαρχον καλεῖ τὸν μητροπολίτην, ἀληθεύσει μὲν, οὐδὲν δ' ἀξιόλογον ἐρεῖ πρὸς τὸ παρὸν ζήτημα. Αὐτὸς γὰρ οὗτος ὁ προκείμενος τῆς ἐν Χαλκηδόνι κανὼν, δεῖν λέγων τὸν παρὰ τοῦ μητροπολίτου ἀδικούμενον δικάζεσθαι παρὰ τοῦ ἐξάρχου, δείκνυσιν ἕτερον ὄντα τὸν ἔξαρχον παρὰ τὸν μητροπολίτην. Εἰ δ' ὑποτρέχει τις λογισμὸς, μήποτε τοὺς παρὰ τῶν πατριαρχῶν ἐπί τινας ἐκκλησιαστικὰς διοικήσεις πεμπομένους ἐξάρχους, οὕτω γὰρ ὀνομάζονται κατὰ τὸ νῦν ἐγχωριάζον ἔθος, ὁ κανὼν σημαίνει· οὐδεμίαν οὐδὲ οὗτος εὑρίσκει χώραν λογισμός. Πρῶτον μὲν γὰρ διὰ τί τῶν ἄλλων θρόνων ἐχόντων

ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὼς προείρηται. Εἰ δὲ καί τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις ἢ καὶ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ τῶν ἐκκλησιαστικῶν ἡ τάξις ἀκολουθείτω.

cesis, vel Constantinopolitanam sedem litiget, sicut prius dictum est. Sin autem etiam civitatis aliqua ab imperatoria auctoritate innovata est vel etiam deinceps innovata fuerit, civiles et publicas formas ecclesiasticarum quoque parochiarum ordo consequatur.

ΒΑΛΣ. Τινὲς εἶπον ἐνταῦθα μὴ περὶ ἐνοριῶν λέγειν τὸν κανόνα, ἀλλὰ περὶ ἑτέρων δικαίων διαφερόντων ἑκάστης ἐπαρχίας ἐπισκοπῇ. Οὐκ ἔστι δὲ

BALS. Quidam dicebant canonem hic non loqui de regionibus seu diœcesibus, sed de aliis juribus ad uniuscujusque provinciæ episcopatum pertinen-

Guill. Beveregii notæ.

» ἀγνοίας ἀνόμημα. Εὐλογεῖν γὰρ ἕτερον τὸν τὰ
» οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα ἀνακόλου-
» θον. Τοὺς δὲ γαμετῇ μὲν μιᾷ συναφθέντας, εἰ
» χήρα δὲ ἡ προσληφθεῖσα ἐτύγχανεν, ὡσαύτως
» δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ
» προσομιλήσαντας, τοῦτ' ἔστι πρεσβυτέρους καὶ
» διακόνους καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν
» τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας
» καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις
» ἀποκατασταθῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ
» προκόπτοντας βαθμῷ, προδήλως διαλυθέντος
» αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. Ταῦτα δὲ
» ἐπὶ τοῖς καταληφθεῖσιν μέχρι τῆς πεντεκαιδε-
» κάτης, ὡς εἴρηται, τοῦ Ἰανουαρίου μηνός,
» τῆς τετάρτης ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι
» πταίσμασι καὶ μόνον ἱερατικοῖς ἐτυπώσαμεν,
» ὁρίζοντες ἀπὸ τοῦ παρόντος, καὶ ἀνανεούμενοι
» τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοις
» συμπλακέντα μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν
» κτησάμενον, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ
» πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου
» τοῦ ἱερατικοῦ. Ὡσαύτως καὶ τὸν χήραν λαμ-
» βάνοντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέ-
» τιν, ἢ τῶν ἐπὶ τῆς σκηνῆς, μὴ δύνασθαι εἶναι
» ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως
» τοῦ καταλόγου τοῦ ἱερατικοῦ. »

BALS. Præsens canon de quibusdam, quæ prius dicta sunt, constituit : et propterea in ejus inter-

ΒΑΛΣ. Ὁ παρὼν κανὼν περὶ προλαβόντων τινῶν θεσμοθετεῖ, καὶ διὰ τοῦτο οὐκ ἐγράφη τι εἰς ἑρμη-

Guill. Beveregii notæ.

condito ad Christum natum, annos 5508 complet os numerat. Aufer itaque 5508 ex 6109, et reliquus fiet annus Christi 601, quo juxta hanc lectionem synodus hæc in Trullo congregata est. Verum habita fuit, ut inter omnes convenit, Justiniano secundo, Constantini Pogonati filio, imperante, qui ante annum D. 685 imperio non potitus est. Legendum est igitur haud dubie, ἔτους ἑξακισχιλιοστοῦ ἑκατοστοῦ ἐνενηκοστοῦ ἐννάτου, quemadmodum Elias Ellingerus, qui hunc cum aliis veterum conciliorum canonibus e canonicorum divi Hilarii Pictaviensis et Augustana Bibliotheca edidit, hunc locum legit. Sic etiam Gentianum Hervetum legisse ex eo constat, quod vertit *anni* 6199. Hanc etiam lectionem Theophanes confirmat, a quo hic præsentis canonis locus his verbis citatur, *Decernimus, ut qui bis uxorem duxerint, et ante hanc diem, quæ decima quinta mensis Januarii numeratur, quartæ indictionis, anni sexies millesimi centesimi nonagesimi noni in hac cupa fuerint.* Apud Baron. ad an. 692. Et hæc quidem lectio cum Justiniani secundi tempore ad amussim quadrat. Si subducas enim 5508 ex 6199, residuum habebis 691, quo Christi anno currente, et imperante Justiniano secundo, præsens sub eo concilium peragebatur : in quem etiam indictio quarta incidebat.

νείαν αὐτοῦ. Ἃ δὲ κρατεῖν καὶ ἐφεξῆς κεκανόνισται περὶ τὸ τέλος, τῶν ἁγίων ἀποστόλων εἰσὶ κανόνες ιζ' καὶ ιη', οὓς παραβαινομένους, ὡς ἔοικεν, οἱ Πατέρες ἀνενεώσαντο. Ζήτει οὖν τὰς τούτων ἑρμηνείας ἐκεῖσε· ἐξαιρέτως δὲ τὰ γραφέντα εἰς τὸν ιβ' κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ΖΩΝΑΡ. Τὰ μὲν τοῦ τρίτου κανόνος τούτου, ὡς καιρικὰ καὶ ἐπὶ τοῖς τότε δι' οἰκονομίαν ὁρισθέντα, οὐ μέντοι γε καὶ ἐπὶ τοῖς ἑξῆς κρατεῖν ὀφείλοντα, εἰάθησαν· ἃ δὲ κρατεῖν καὶ ἐπὶ τῶν ἐφεξῆς κεκανόνισται, τῶν ἁγίων ἀποστόλων εἰσὶ κανόνες ἑπταικαιδέκατος καὶ ὀκτωκαιδέκατος, οὓς παραβαινομένους ἡ σύνοδος αὕτη ἀνενεώσατο. Οἱ τοιοῦτοι δὲ καὶ ἄμφω κανόνες ἐξηγήθησαν, καὶ ὁ ζητῶν τὴν τούτων ἐξήγησιν εὑρήσει αὐτὴν ἐν τοῖς τῶν ἁγίων ἀποστόλων κανόσιν.

ΑΡΙΣΤ. « Ἱερεῖς δίγαμοι καὶ ἀμεταμέλητοι καθῃ-
« ρηνται. Οἱ δὲ τὸ κακὸν ἀμελήσαντες ἐπὶ ῥητὸν
« παύσονται χρόνον· οὐκ εὔλογεῖ γὰρ ὁ τραυμα-
« τίας. Καὶ οἱ παρανόμως γαμήσαντες, καὶ οἱ
« μετὰ τὴν χειροτονίαν συζυγέντες μετὰ τὸν
« ῥητὸν χρόνον τοὺς βαθμοὺς γνωριζέτωσαν, ἀπρό-
« κοποι μένοντες, δηλαδὴ τῆς συζυγίας ἀφέμενοι.
« Εἰ δὲ μετὰ τὸν ὅρον κωλυόμενοι, καθῃρημένοι
« μενέτωσαν. »

Οἱ τῆς συνόδου ταύτης Πατέρες, καὶ τὸ γινόμενον διορθούμενοι κακὸν, καὶ τὸ μέλλον ἐξασφαλιζόμενοι, τὸν παρόντα κανόνα ἐξέθεντο, καὶ διορίζονται ὡς ὅσοι μὲν τῶν ἱερέων καὶ διακόνων δευτέραν ἔλαβον γαμετὴν πρὸ τῆς αὐτῶν συνελεύσεως, καὶ ἔμειναν μέχρι τῆς παρουσίας αὐτῶν ἀμεταμέλητοι, τοὺς ἀθέσμους γάμους μὴ διασπάσαντες, καθαιρέσει κανονικῇ ὑποβληθήσονται, καὶ εἰς τοὺς λαοὺς μεταπέσωσιν· ὅσοι δὲ, πρὸ τῆς συνελεύσεως αὐτῶν μεταμεληθέντες, τὸ συμφέρον ἐπέγνωσαν, καὶ τὴν ξένην καὶ νόθον ταύτην συμπλοκὴν ἀπεδίωξαν, τῆς μὲν ἱερωσύνης παυθήσονται, ἐπιτιμηθέντες καὶ ἐπὶ ῥητὸν ἤδη χρόνον, μόνης δὲ τῆς τιμῆς μεθέξουσι τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν, καὶ ἀρκεσθήσονται τῇ προεδρίᾳ, τῷ Κυρίῳ προσκλαίοντες συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. Ἀνακόλουθον γὰρ τὸν τραυματίαν γενόμενον ἕτερον εὐλογεῖν. Ἀλλὰ καὶ οἱ πρὸ τῆς χειροτονίας πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, μιᾷ μὲν γαμετῇ συναφθέντες, χήρᾳ δὲ τυγχανούσῃ· ὡσαύτως δὲ καὶ οἱ μετὰ τὴν χειροτονίαν ἑνὶ γάμῳ προσομιλήσαντες τῆς μὲν ἱερωσύνης τέλεον οὐ παυθήσονται, ἀλλ' ἐπὶ ῥητόν τινα ἐπιτιμηθήσονται χρόνον καὶ τῆς ἱερᾶς κωλυθήσονται λειτουργίας, καὶ εἰς τοὺς οἰκείους αὖθις ἀποκαταστῶσι βαθμοὺς, προδήλως διαλυόμενοι τὸ ἄθεσμον συνοικέσιον, καὶ

pretationem nihil scriptum est. Quæ autem in posterum firma et rata esse circa finem canonice constitutum est, sunt sanctorum apostolorum 17 et 18, qui cum, ut est verisimile, non observati essent, eos Patres renovaverunt. Quære ergo illic eorum interpretationem, præcipue autem ea quæ scripta sunt in 12 can. Ancyr. synodi.

ZONAR. Quæ ad hunc tertium canonem pertinent, illi quippe solum tempori, quo canon editus est, accommodata, nullamque postea vim amplius habitura prætermissa sunt. Quæ autem apud posteros quoque firma Patres esse voluerunt, apostolico decimo septimo et decimo octavo canone continentur : quos passim neglectos hæc synodus censuit renovandos. Illi vero ambo canones explicantur : et eorum explicationem si quis quæsiverit, inter apostolicos canones suo loco eam reperiet.

ARIST. « Sacerdotes, qui secundas contraxerunt
« nuptias et non resipiscunt, deponuntur. Qui
« autem a malo abstinent, definito tempore ces-
« sabunt. Vulneratus enim non benedicit. Qui
« nefariis autem nuptiis implicati sunt, et qui
« post ordinationem matrimonium contraxerunt,
« post tempus definitum ad gradus suos restituan-
« tur, ulterius non promovendi, matrimonio scil.
« dissoluto. Sin post decretum, cum prohibiti
« fuerint, depositi maneant. »

Synodi hujusce Patres, ut malum quod jam factum fuit emendarent, et futurum propulsarent, præsentem **161** edidere canonem, et decernunt, quod quicunque quidem sacerdotes et diaconi secundam duxerunt uxorem ante hunc eorum conventum, et usque ad ipsorum adventum impœnitentes mansere, nefarias istas non distrahentes nuptias, depositioni canonicæ subjicientur, et ad laicos decident. Quicunque autem ante ipsorum conventum resipiscentes quod expedit agnoverunt, et alienam istam spuriamque congressionem expulerunt, sacerdotio quidem fungi supersedebunt, ad præfinitum etiam tempus puniti, illius autem honoris solus participes erunt qui in cathedra et statione, et primæ sedi acquiescent, Domino lacrymis supplicantes ut peccato suo per ignorantiam admisso venia concedatur. Non enim convenit, ut qui ipse est vulneratus alteri benedicat. Sed et presbyteri et diaconi et hypodiaconi, qui ante ordinationem unam duxerant uxorem, sed quæ vidua sit; similiter et qui post ordinationem uni matrimonio se applicuerunt, sacerdotio quidem non penitus abscedent, sed ad præfinitum aliquod tempus punientur, et a sacro ministerio prohibiti erunt, et ad proprios tandem gradus iterum restituentur, nefarium conjugium manifesto dissolventes, et ad alium gradum majorem ne-

Guill. Beveregii notæ.

(58) *Ἐξαιρέτως δὲ τὰ γραφέντα.* Hic locus in Parisiensi editione sic legitur, μάλιστα δὲ τὰ ἐν τῷ ιβ' γραφέντα τῆς ἐν Ἀγκύρᾳ συνόδου. In ms. Amerbachiano totus omittitur, et recte quidem ; neque enim in citato duodecimo illo synodi Ancyranæ canone de sacerdotum matrimonio agitur, sed de iis, qui ante baptismum sacerdotium, et postea baptizati sunt.

quaquam promovendi, sed in eodem quo inventi fuerunt ordine permanentes. Et hæc quidem constituerunt fieri, et ob humanitatem et commiserationem, ante eorum, ut dictum est, conventum. Post hanc autem constitutionem et canonem nihil ejusmodi fieri permittunt, sed et illum, qui binis implicatus est nuptiis, post baptismum, aut pellicem retinet, aut viduam, aut ab alio dimissam, aut meretricem, aut servam, aut scenicam ducit, non posse episcopum, aut presbyterum, aut diaconum, aut hypodiaconum fieri, juxta decimum septimum et decimum octavum apostolorum canones decernunt.

A μηδαμῶς ἐν ἑτέρῳ μείζονι βαθμῷ προκόπτοντες, ἀλλ' ἧς εὑρέθησαν μένοντες τάξεως. Καὶ ταῦτα μὲν προσέταξαν γενέσθαι, διὰ δὲ τὴν φιλανθρωπίαν τε καὶ συμπάθειαν, πρὸ τῆς αὐτῶν, ὡς εἴρηται, συνελεύσεως. Ἔκτοτε δὲ μετὰ τὸν ὅρον τοῦτον καὶ τὸν κανόνα, οὐδέν τι τοιοῦτον γίνεσθαι συγχωροῦσιν, ἀλλὰ καὶ τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, ἢ χήραν λαβόντα, ἢ παρ' ἑτέρου ἐκβεβλημένην ἢ πόρνην ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, μὴ δύνασθαι εἶναι ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον, κατὰ τοὺς ἀποστολικοὺς κανόνας, τὸν ἑπταικαιδέκατον καὶ ὀκτωκαιδέκατον διορίζονται.

CANON IV.

« Si quis episcopus vel presbyter vel diaconus vel « subdiaconus vel lector vel cantor vel ostiarius « cum muliere Deo dedicata coierit, deponatur, « ut qui Christi sponsæ vitium attulerit : sin autem laicus, segregetur. »

ΚΑΝΩΝ Δ'.

B « Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ « ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης ἢ θυρω- « ρὸς, γυναικὶ ἀφιερωμένῃ τῷ Θεῷ μιχθείη, κα- « θαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

BALS. Ante omnia nota ex hoc præsenti canone, quod olim cantorum ordo, non ex eunuchis solum, ut hodie fit, constituebatur, sed et ex iis qui non erant ejusmodi. Lectorum autem ordo, non ut ipsi cantarent, constitutus est, sed ut in ambone divinas Scripturas legerent, post finitum Matutinum; unde etiam lectores appellantur. Dicit enim deponendos cantores, sicut et reliquos clericos, qui cum mulieribus Deo consecratis coeunt : et non solum in eos animadvertit, sed laicos etiam qui tale quid faciunt, segregat. Non est autem novum si clericus propter tale delictum deponatur. Ex 25 enim canone apostolico, etiam qui qualemcunque mulierem stupravit clericus, deponitur : multo autem magis qui sponsam Christi et vas Deo dedicatum polluit, deponetur. Lege et sancti Basilii canonem 18, 20 et 60. Cum autem discis, quomodo punitur qui cum talibus mulieribus rem habent, ne subdistinguas virginem an viduam, sed de omni muliere Deo consecrata dic locutum esse canonem. Scias autem quod laicus, qui cum tali muliere rem habet, a præsenti quidem canone segregatur : a v autem cap. primi tit. IV lib. Basilic. seu 123 Novel. capite punitur. Lege et 30 cap. 9 tit. præsentis operis.

ΒΑΛΣ. Πρὸ πάντων σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος ὅτι τὸ παλαιὸν οὐκ ἀπ' εὐνούχων μόνον τὸ τῶν ψαλτῶν τάγμα συνίστατο, καθὼς γίνεται σήμερον, ἀλλὰ καὶ ἀπὸ μὴ τοιούτων. Τὸ τάγμα δὲ τῶν ἀναγνωστῶν, οὐ διὰ τὸ ψάλλειν αὐτοὺς, ἐτυπώθη, ἀλλὰ διὰ τὸ ἀναγινώσκειν ἐπ' ἀμβωνος τὰς θείας Γραφὰς μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου· ἐξ οὗ καὶ ἀναγνῶσται καλοῦνται. Φησὶ γὰρ καθαιρεῖσθαι τοὺς ψάλτας ὥσπερ καὶ τοὺς λοιποὺς κληρικοὺς μεγνυμένους ταῖς τῷ Θεῷ ἀφιερωθείσαις· καὶ οὐ μόνον τούτους κολάζει, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοιοῦτόν τι ποιοῦντας ἀφορίζει. Οὐκ ἔστι δὲ καινὸν, ἐὰν καθαιρῆται κληρικὸς ἐκ τούτου τοῦ ἁμαρτήματος. Ἀπὸ γὰρ τοῦ κε' ἀποστολικοῦ κανόνος καὶ ὁ οἱανδήτινα πορνεύσας γυναῖκα κληρικὸς καθαιρεῖται· πολλῷ οὖν πλέον ὁ τὴν νύμφην τοῦ Χριστοῦ καὶ τὸ σκεῦος τὸ ἀνατεθειμένον τῷ Θεῷ μολύνων καθαιρεθήσεται. Ἀνάγνωθι καὶ τοῦ ἁγίου Βασιλείου κανόνα ιη', κ' καὶ ξ'. Μανθάνων μέντοι πῶς τιμωροῦνται οἱ τοιαύταις γυναιξὶ μιγνύμενοι, μὴ ἀποδιαστείλῃς παρθενίαν ἢ χηρείαν, ἀλλὰ περὶ πάσης γυναικὸς ὀφιερωθείσης τῷ Θεῷ λέγε τὸν κανόνα ἐκφωνηθῆναι. Ἔσο δὲ εἰδὼς ὅτι ὁ τοιαύτῃ γυναικὶ μιγνύμενος λαϊκὸς ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἀφορίζεται, ἀπὸ δὲ τοῦ ε' κεφαλαίου τοῦ α' τίτλου τοῦ δ' βιβλίου τῶν Βασιλικῶν, ἤγουν τῆς ρκγ' Νεαρᾶς, κεφαλικῶς τιμωρεῖται. Ἀνάγνωθι καὶ τὸ λ' κεφ. τοῦ θ τίτλου τοῦ παρόντος συντάγματος.

C

ZONAR. Ut vas quodcunque aut vestem Deo dicatam, ac proinde sanctam, ad se quempiam avertere, iisque uti, vetitum est, aut qui id ausus fuerit secundum septuagesimum **162** tertium sanctorum apostolorum canonem segregatur : sic, multoque magis qui Deo sacratam, sive virginem, sive etiam commercii virilis haud inexpertam mulierem, violaverit, non impunis abibit ; sed si sacris ordinibus initiatus aut omnino in clerum cooptatus sit, ut sacrilegus vel etiam gravioris culpæ reus, quippe qui feminam Deo consecratam desponsamque rapuit, deponetur; si vero laicus sit qui talia audet, *segregatione multabitur*. Sed si initiatus aliquis

D ΖΩΝΑΡ. Ὥσπερ σκεῦος οἱονδηποτοῦν ἢ ὀθόνην ἀνατεθέντα Θεῷ, κἀντεῦθεν ἁγιασθέντα σφετερίζεσθαί τις καὶ χρᾶσθαι αὐτοῖς κωλύεται, ἢ τοῦτο ποιῶν ἀφορίζεται κατὰ τὸν ἑβδομηκοστὸν τρίτον κανόνα τῶν ἱερῶν ἀποστόλων· οὕτω καὶ πολλῷ πλέον τὴν ἀφιερωθεῖσαν Θεῷ φθείρων τις, κἂν παρθένος ᾖ, κἂν ἀνδρὸς ἐν πείρᾳ πρότερον γενομένη, οὐκ ἀτιμώρητος ἔσται, ἀλλ' εἰ μὲν ἱερωμένος εἴη ὁ τοῦτο ποιήσας, ἢ ὅλως ἐν κλήρῳ κατειλεγμένος, καθαιρεθήσεται ὡς ἱερόσυλος, ἢ καὶ βαρύτερόν τι τολμήσας· τὴν γὰρ τῷ Θεῷ ἀφιερωθεῖσαν ἐτυλησεν· εἰ δὲ λαϊκὸς ὁ τολμητίας ἐστὶν, ἀφορισμῷ ὑποβληθήσεται. Κἂν δὲ μὴ ἀφιερωμένῃ γυναικὶ

μιχθῇ τις τῶν ἱερωμένων, ἀλλὰ λαϊκῇ, καθαιρεθήσεται.

ΑΡΙΣΤ. « Κληρικὸς νύμφῃ Θεοῦ συναπτόμενος » καθαιρείσθω· ὁ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

Ὁ μὲν κανὼν οὗτος τὸν γαμικῶς συναφθέντα τῇ παρθένῳ τῇ καθιερωθείσῃ καὶ νυμφευθείσῃ Θεῷ, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖ αὐτόν· εἰ δὲ λαϊκὸς, ἀφορίζει· ὁ δὲ ὀκτωκαιδέκατος τοῦ μεγάλου Βασιλείου κανὼν ὡς μοιχὸν καὶ τοιοῦτον λογίζεται, καὶ εἰς κοινωνίαν αὐτὸν ἄλλως οὐ παραδέχεται, εἰ μὴ πρότερον τῆς ἁμαρτίας παυθῇ.

A cum non sacra, at laici ordinis femina rem habuerit, depositionis multam nihilominus non effugiet.

ARIST. « Clericus Dei sponsæ conjunctus deponitur : laicus autem excommunicetur. »

Ille quidem canon eum, qui virgini consecratæ et desponsatæ Deo copula matrimoniali conjungitur, si quidem clericus est, deponit : sin laicus, excommunicat. At decimus octavus Basilii magni canon talem ut adulterum reputat, eumque ad communionem non aliter admittit, nisi a peccato prius cessaverit.

ΚΑΝΩΝ Ε'.

« Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλόγῳ, τῶν ἐν τῷ « κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων « ἐκτὸς διάγων, γυναῖκα κεκτήσθω ἢ θεραπαι- « νίδα, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν. « Εἰ δὲ παραβαίνει τις τὰ παρ' ἡμῶν ὁρισθέντα, « καθαιρείσθω. Τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦ- « χοι παραφυλαττέσθωσαν, τὸ ἄμεμπτον ἑαυ- « τοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν « κληρικοὶ εἶεν, καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, « ἀφοριζέσθωσαν. »

B

CANON V.

« Nullus eorum qui in sacerdotali catalogo recen- « sentur, extra eas, quæ in canone inseruntur, a « suspicione alienas personas, degens, mulierem « possideat vel ancillam, se nulli reprehensioni « obnoxium ex hoc servans. Si quis autem quæ « a nobis definita sunt transilierit, deponatur. « Hoc ipsum autem etiam eunuchi servent, ut in- « culpati sint providentes. Qui autem transgre- « diuntur, si sint quidem clerici, deponantur : si « vero laici, segregentur. »

ΒΑΛΣ. Ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου πλατύτερον ἐγράψαμεν περὶ ὧν φησι καὶ ὁ παρὼν κανών· καὶ ζήτει τὰ ἐν ἐκείνῳ παραγραφέντα. Καὶ σημείωσαι ἐκ πάντων ὅτι καὶ οἱ εὐνοῦχοι ἀφορίζονται μετὰ γυναικῶν ἀλλοτρίων συνοικοῦντες.

BALS. In 3 can. primæ syn. Nicænæ fusius scripsimus de iis quæ dicit præsens canon, et quære quæ in illo adscripta sunt. Et nota ex omnibus, quod etiam eunuchi segreganter, qui cum alienis mulieribus cohabitant.

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ ὁ τρίτος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὡρίσατο, καὶ ζητητέον τὰ ἐν ἐκείνῳ εἰρημένα.

C

ZONAR. Quoniam eadem hoc loco quæ Nicænæ quoque primæ synodi canone tertio definiuntur, vide quæ ibi diximus.

ΑΡΙΣΤ. « Καὶ εὐνοῦχος ἱερεὺς θεραπαινίδα ἢ « ἑτέραν, πλὴν τῶν ἀνυπόπτων, μὴ κεκτήσθω, « προσώπων.

ARIST. « Eunuchus etiam sacerdos ancillam, vel « aliam, exceptis iis, in quas nulla cadit suspicio, « personis, ne possideat. »

Τὸ ἐπεισάκτους ἔχειν τοὺς ἱερωμένους γυναῖκας, κἂν εὐνοῦχοί εἰσι, κἂν ἄγαν γηραιοί, καὶ ὁ παρὼν κανὼν καὶ ἡ τοῦ μεγάλου Βασιλείου πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολὴ κωλύει, εἰ μή που τῶν ἀνυπόπτων προσώπων εἰσὶν αἱ γυναῖκες, οἷον μητέρες, ἀδελφαί, καὶ πρὸς πατρὸς ἢ πρὸς μητρὸς θεῖαι, καὶ ἄλλαι τινὲς τοιαῦται. Τοὺς δὲ παραβαίνοντας τὰ ὁρισθέντα καθαιρεῖσθαι προστάττουσιν. Ἐπὶ δὲ τῶν εὐνούχων τὸ πλέον ὁ παρὼν ἐπάγει κανών, ὅτι κἂν λαϊκοί εἰσι, καὶ συνοικῶσι γυναιξὶ μὴ οὔσαις ἀπὸ τῶν ἀνυπόπτων συγγενικῶν προσώπων, ἀφορίζονται.

Sacratos introductas habere mulieres, licet eunuchi sint, aut admodum senes, et præsens canon, et Basilii magni ad Gregorium presbyterum epistola prohibet, nisi forte mulieres sint personæ extra omnem suspicionis aleam positæ, puta matres, sorores, amitæ, materteræ, et ejusmodi aliæ. Eos autem, qui hæc decreta transilierint, deponi jubent. De eunuchis autem plus etiam addit hic præsens canon, quod licet laici sint, et una cum mulieribus, quæ non sunt ex cognatis istis personis omnem suspicionem effugientibus, cohabitent, excommunicantur.

D

ΚΑΝΩΝ ϛ'.

« Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εἴρηται « τῶν εἰς κλῆρον προσαγομένων ἀγάμων μόνους « ἀναγνώστας καὶ ψάλτας γαμεῖν· καὶ ἡμεῖς τοῦτο « παραφυλάττοντες ὁρίζομεν ἀπὸ τοῦ νῦν μηδα- « μῶς ὑποδιάκονον ἢ διάκονον ἢ πρεσβύτερον « μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν ἔχειν ἄδειαν « ἑαυτῷ συνιστᾶν συνοικέσιον. Εἰ δὲ τοῦτο τολμήσει « ποιῆσαι, καθαιρείσθω (59)· εἰ δὲ βούλοιτό τις

CANON VI.

« Quoniam in apostolicis canonibus dictum est, « eorum qui non ducta uxore in clerum promo- « ventur, solos lectores et cantores uxorem posse « ducere : et nos hoc servantes, decernimus, ut « deinceps nulli penitus hypodiacono, vel dia- « cono, vel presbytero, post sui ordinationem, « conjugium contrahere liceat. Si autem fuerit « hoc ausus facere, deponatur. Si quis autem co-

Guill. Beveregii notæ.

(59) *Καθαιρείσθω.* Harmenopulus sensum hujus canonis breviter sic exprimit, ἱερεὺς, ἢ διάκονος, ἢ ὑποδιάκονος μετὰ τὴν χειροτονίαν γήμας, καθαιρείσθω. Sacerdos aut diaconus, aut subdiaconus

« rum, qui 163 in clerum accedunt, velit lege A « matrimonii mulieri conjungi, antequam hypo- « diaconus vel diaconus vel presbyter ordinetur, « hoc faciat. »

BALS. Vicesimus sextus canon apostolicus decernit, ut soli lectores et cantores legitima matrimonia contrahant. De aliis autem clericis nihil dicit. Et propterea eorum doctrinam sancti Patres consequenter extendentes, hic quidem lectores et cantores uxores ducere posse decernunt : nullum autem alium præter hos, sive hypodiacopum sive diaconum sive presbyterum, post ordinationem legitimam uxorem accipere, vel propter canonis transgressionem deponi. Quomodo autem hi degunt, qui ordinationem recusant et uxores accipiunt, B disces ex 79 imperatoris domini Leonis Sapientis Novella, hæc partim expresse dicentis : Non admittentes ergo hac in re veterem legislatorem, qui vult presbyterum vel diaconum vel subdiaconum, post sui ordinationem uxori conjunctum, a tali omnino habitu recedere, et ad vitam laicam converti, decretum infirmamus : sancimus autem sufficientem iis esse pœnam, si solo ordine careant in quo ante matrimonium dignoscebantur : Non autem a clericali habitu et alio in ecclesiis ministerio, quod tangere non est illicitum, omnino alieni esse condemnentur. Est autem lex quæ ab hac Novella sublata est cap. 30 tit. 11 lib. III Basilic. quod est 27 cap. Novellæ Justiniani 23.

ZONAR. Apostolico canone vicesimo sexto, cujus hoc loco Patres auctoritatem secuti decretum hoc edidere, hæc eadem constituta reperias. Ne cuiquam igitur, inquiunt, ubi semel in clerum est cooptatus, præter eos qui solis cantorum aut lectorum ordinibus initiati sunt, uxorem postea ducere ullo modo liceat. Presbyteris autem, diaconis et hypodiaconis etiam nullo modo. Iis enim ante ordinationem uxores ducere permittit canon, post ordinationem autem abstinere mandat, vel ad matrimonium se convertentes deponi.

ARIST. « Qui ordinatur, si matrimonium con- « trahit, deponitur : si enim velit, antea matrimo- « nio conjungi debet. »

Decimus quidem synodi Ancyranæ canon jubet eum, qui presbyteri aut diaconi gradum est susceptarus, et cum eum susceperit, ante testatus est se non posse innuptum manere, sed velle uxorem ducere, etiam post ordinationem matrimonium inire, et in proprio manere ministerio. Præses

« τῶν εἰς κλῆρον προερχομένων γάμου νόμῳ « συνάπτεσθαι γυναικί, πρὸ τῆς τοῦ ὑποδιακόνου « ἢ διακόνου ἢ πρεσβυτέρου χειροτονίας τοῦτο « πραττέτω. »

ΒΑΛΣ. Ὁ κς' ἀποστολικὸς κανὼν διορίζεται μόνους ἀναγνώστας καὶ ψάλτας νομίμους συνάπτειν γάμους. Περὶ δὲ τῶν ἄλλων κληρικῶν οὐδέν τί φησι. Καὶ διὰ τοῦτο πλατύνοντες ἀκολούθως τούτῳ τὴν διδασκαλίαν, οἱ ἅγιοι Πατέρες διορίζονται ἐνταῦθα ἀναγνώστας μὲν καὶ ψάλτας γαμεῖν· ἕτερον δέ τινα παρὰ τούτους, ἤγουν ὑποδιάκονον ἢ διάκονον ἢ πρεσβύτερον, μετὰ τὴν χειροτονίαν μὴ λαμβάνειν νόμιμον γυναῖκα, ἢ μὴν ἐκ παραβάσεως τοῦ κανόνος καθαιρεῖσθαι. Ὅπως δὲ διάγουσιν οὗτοι παραιτούμενοι τὴν χειροτονίαν καὶ γυναῖκας λαμβάνοντες, μαθήσῃ ἀπὸ τῆς ρθ' νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λεγούσης ἐν μέρει ταῦτα ῥητῶς· Οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον ἢ διάκονον ἢ ὑποδιάκονον μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικὶ παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀκυροῦμεν τὸ δόγμα· θεσπίζομεν δὲ μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς. Τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι. Ἔστι δὲ ὁ παρὰ τῆς τοιαύτης νεαρᾶς ἀναιρεθεὶς νόμος κεφ. λ' τοῦ ια' τίτλου τοῦ γ' C βιβλίου τῶν Βασιλικῶν, κεφάλ. κζ' τῆς κγ' Ἰουστινιανείου Νεαρᾶς.

ΖΩΝΑΡ. Ὁ εἰκοστὸς ἕκτος ἀποστολικὸς κανὼν περὶ τούτου θεσμοθετεῖ, ᾧ ἑπόμενοι καὶ οἱ τῆς συνόδου ταύτης τὰ αὐτὰ διατάττονται, τῶν κληρικῶν μετὰ τὴν εἰς κλῆρον καταταγὴν μόνους ἀναγνώστας καὶ ψάλτας νομίμους γάμους συναλλάσσειν ὁρίζοντες, οὐ μέντοι πρεσβυτέρους ἢ διακόνους, οὐδὲ μὴν ὑποδιακόνους. Τούτους γὰρ πρὸ τῆς χειροτονίας λαμβάνειν γυναῖκας ἐφίησιν ὁ κανών, μετὰ δὲ τὴν χειροτονίαν σωφρονεῖν ἐπιτάσσει, ἢ πρὸς γάμον ἐκκλίνοντας καθαιρεῖσθαι.

« ΑΡΙΣΤ. Ὁ χειροτονηθεὶς, εἰ ζεύγνυται, καθαιρεῖ- « ται· εἰ γὰρ βούλοιτο, προζευχθῆναι ὤφειλεν. » D

Ὁ μὲν δέκατος κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου προστάττει τὸν μέλλοντα γενέσθαι πρεσβύτερον ἢ διάκονον, καὶ προμαρτυράμενον, ἐν τῷ γίνεσθαι, μὴ δύνασθαι μένειν ἄγαμον, ἀλλὰ λαβεῖν ἐθέλειν γυναῖκα, καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ ἐν τῇ ἰδίᾳ μένειν ὑπηρεσίᾳ· ὁ δὲ παρὼν

Guill. Beveregii notæ.

qui post ordinationem uxorem duxerit deponatur. Ubi scholiastes ad verbum καθαιρεῖσθω hæc notat : Ἤγουν τῆς μὲν ἱερωσύνης μετακινεῖσθω· τῆς δὲ τιμῆς μετεχέτω, καὶ τῆς καθέδρας. Πορνεύτα δὲ ἢ μοιχεύτα; τέλεον ἐξωθείσθω, καὶ εἰς μετάνοιαν ὁρίσθω. Οὕτω γὰρ ἔν τισι τῶν ἐξηγητῶν εὕρηται. *Hoc est, a sacerdotio quidem removetor; sed honoris tamen sedisque particeps esto. Qui vero scortationem vel adulterium commiserit, prorsus expellitor, et ad pœnitentiam adigitor. Sic enim in nonnullis interpretibus invenitur.* Harmenop. Epit. can. sect. 2, tit. 3. Sane hæc in interpretibus a nobis hic impressis non inveniuntur : unde scholiastem istum, quicunque demum fuerit, alios vidisse palam est.

κακῶν τὸν τοιοῦτον ἀνατρέπει κανόνα, καὶ παντελῶς ὁπείργει μετὰ τὴν χειροτονίαν τὸν πρεσβύτερον, τὸν διάκονον, καὶ τὸν ὑποδιάκονον, γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον, τῷ εἰκοστῷ ἕκτῳ ἀποστολικῷ κανόνι ἑπόμενος· καὶ διορίζεται τὸν μετὰ τὴν χειροτονίαν τοῦτο τολμήσαντα ποιῆσαι καθαιρεῖσθαι, δοὺς ἄδειαν ἑκάστῳ πρὸ τῆς χειροτονίας γαμικῷ νόμῳ συνάπτεσθαι γυναικί.

A autem canon istum evertit canonem et omnino prohibet presbyterum, diaconum aut hypodiaconum post ordinationem feminam sibi matrimonio conjungere, vicesimum sextum canonem apostolicum sequens : et decernit eum qui post ordinationem hoc facere ausus fuerit, deponi ; cuique concedens libertatem, ante ordinationem lege matrimoniali se feminæ conjungendi.

ΚΑΝΩΝ Ζ'.

« Ἐπειδὴ δὲ μεμαθήκαμεν ἐν τισι τῶν ἐκκλησιῶν « διακόνους τυγχάνειν ὀφφίκια ἐκκλησιαστικὰ (60) « ἔχοντας, ἐντεῦθέν τέ τινας αὐτῶν αὐθαδείᾳ καὶ « αὐτονομίᾳ κεχρημένους πρὸ τῶν πρεσβυτέρων « καθέζεσθαι, ὁρίζομεν ὥστε τὸν διάκονον (61) κἂν « ἐν ἀξιώματι, τοῦτ' ἔστιν ἐν ὀφφικίῳ οἱῳδήποτε B « ἐκκλησιαστικῷ, τυγχάνοι, τὸν τοιοῦτον μὴ πρὸ « τοῦ πρεσβυτέρου καθέζεσθαι, ἐκτὸς εἰ μὴ τὸ « πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου ἢ « μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγένηται ἐπί « τινι κεφαλαίῳ. Τότε γάρ, ὡς τὸν ἐκείνου τόπον « ἀναπληρῶν, τιμηθήσεται. Εἰ δέ τις τοιοῦτο « τολμήσοι τυραννικῷ (62) χρώμενος θράσει διαπράξασθαι, ὁ τοιοῦτος ἐκ τοῦ οἰκείου καταβιβασθεὶς βαθμοῦ, ἔσχατος πάντων γινέσθω τοῦ « ἐν ᾧπερ καταλέγεται τάγματος ἐν τῇ κατ' αὐτὸν « ἐκκλησίᾳ, τοῦ Κυρίου ἡμῶν παραινοῦντος μὴ « χαίρειν ἐν ταῖς πρωτοκλισίαις, κατὰ τὴν ἐν τῷ « ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ, ὡς ἐξ αὐτοῦ τοῦ « Κυρίου ἡμῶν καὶ Θεοῦ κειμένην διδασκαλίαν. « Ἔλεγε γὰρ πρὸς τοὺς κεκλημένους παραβολὴν C « τοιάνδε· « Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, « μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε « ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ

CANON VII.

« Quoniam in nonnullis ecclesiis diaconos officia « ecclesiastica habere didicimus, et ex hoc non- « nullis eorum arrogantia et licentia fretos ante « presbyteros sedere : statuimus, ut diaconus, « etiamsi in dignitate, id est, in quovis sit officio « ecclesiastico, ante presbyterum ne sedeat, præ- « terquam si proprii patriarchæ vel metropoli- « tani vicem gerens, adsit in alia civitate super « aliquo capite. Tunc enim, ut locum illius im- « plens, honorabitur. Si quis autem tyrannica « adductus audacia tale quid efficere ausus « fuerit, is ex proprio gradu dejectus, sit om- « nium ultimus ejus ordinis, in cujus est catalogo « in sua 164 ecclesia; Domino nostro præci- « piente, ne primis sedibus delectemur, secun- « dum eam, quæ in sancto evangelista Luca, ut « ex ipso Domino nostro et Deo profecta, posita « est, doctrinam. Iis enim, qui vocati erant, dice- « bat hanc parabolam : « Quando ab aliquo ad « nuptias invitatus fueris, ne in primo loco ac- « cubueris, ne forte quispiam te honoratior ab eo « invitatus fuerit, isque qui te et ipsum invitavit, « veniat et dicat, Da ei locum, et tunc incipies « cum pudore ultimum locum tenere : sed quando

Guill. Beveregii notæ.

(60) *Ὀφφίκια ἐκκλησιαστικά.* Officia ecclesiastica, quæ et ἀρχοντίκια, a sacris gradibus revera distincta sunt ; ut Balsamon, dicens, λέγομεν ὅτι τὰ ἐκκλησιαστικὰ ὀφφίκια καὶ ἀρχοντίκια καταχρηστικῶς ὀνομάζονται βαθμοί. Κυρίως γὰρ βαθμοὶ ὁ τῶν ἱερέων, καὶ τῶν διακόνων, καὶ τῶν ὑποδιακόνων, καὶ τῶν ἀναγνωστῶν ἐστι· τὰ δὲ ὀφφίκια καὶ τὰ ἀρχοντίκια τιμαί εἰσι καὶ πορισμῶν ἀφορμαί. Bals. in can. Apost. 17. Neque enim officiales ecclesiastici, quatenus officiales, sacra celebrarunt ; sed tantum ecclesiasticarum quarumdam rerum curam et administrationem sibi commissam habuerunt, quorum præcipui fuerunt hi sex : magnus œconomus, magno sacello præpositus, magnus D vasorum custos, chartophylax, parvo sacello præpositus, et primus defensor : quomodo non solum in ordine officialium Ecclesiæ Constantinopolitanæ recensentur ; verum etiam a Johanne episcopo Citri, qui ad hanc Constantini Cabasilæ interrogationes, ἐν τοῖς ἀρχοντικοῖς ἐκκλησιαστικοῖς ἀξιώμασι τίς τρίτος, καὶ τῶς ἑφεξῆς ἡ τούτων τάξις; respondit, Ἀπὸ μὲν παλαιᾶς παραδόσεως πρῶτός ἐστιν ὁ μέγας οἰκονόμος· δεύτερος ὁ ἐπὶ τῆς μεγάλης σακέλης, ἤγουν ὁ μέγας σακελλάριος· τρίτος ὁ μέγας σκευοφύλαξ· τέταρτος ὁ χαρτοφύλαξ· πέμπτος, ὁ ἐπὶ τῆς μικρᾶς σακέλλης, ἤγουν σακελλάριος· ὁ ἕκτος ὁ πρωτέκδικος, οἵτινες καὶ ἐξωκατάκτηλοι λέγονται. In *Juris Græc-Rom.* t. v, p. 327. Ubi observes, hos etiam ἐξωκαταχήλους dictos, qui tamen ἐξωκατάκοιλοι sæpius audiunt. Alii etiam quamplurimi officiales fuerunt, sed minoris dignitatis et honoris. Cum autem diaconi, aliique inferiores clerici, summis istis in Ecclesia officiis nonnunquam functi fuerint, hinc officii dignitate freti, ante ipsos presbyteros, superioris ordinis clericos, sedere præsumpserunt. Quod quidem hoc canone prohibetur, idque hac ratione, ἐπειδὴ τῶν κατὰ τὸν κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. Sed officiales, episcopi sui, aut metropolitani vicem gerentes, et tenentes locum, excipiunt. Verum scholiastes Harmenopuli chartularium Magnæ ecclesiæ Constantinopolitanæ etiam ante episcopos olim sedisse observat, in hunc canonem hæc notans, Ἰστέον ὅτι μόνῳ τῷ χαρτοφύλακι τῆς Μεγάλης ἐκκλησίας δέδοται καὶ ἐξ ἔθους μακροῦ, καὶ ἐξ ἐπιτάγματος ἐγγράφου τοῦ βασιλέως κυρίου Μιχαὴλ, καὶ τῶν ἀρχιερέων ἐν τοῖς ἔξω προκαθῆσθαι συνόδοις, *Sciendum, soli Majoris ecclesiæ chartophylaci concessum esse, tum ex longa consuetudine, tum scripto jussu imperatoris domini Michaelis, ut in exteris synodis etiam ante pontifices sedeat.* Harmenop. Epit. can. sect. 2, tit. 4. Balsamon in hunc canonem idem de eodem chartophylace observat, et in syn. Nicænæ can. 18 Alexii Comneni constitutionem producit, qua hoc ei privilegium confirmatur ; vide etiam istius responsa ad Marci Alexandrini interrog. 61.

(61) *Ὁρίζομεν ὥστε τὸν διάκονον.* Hæc usque ad εἰ μὴ ἐκτός exclusive in ms. Amerbachiano desiderantur, sed summa descriptoris incuria, ut cuivis canonem perlegenti patet.

(62) *Τολμήσοι τυραννικῷ.* Codex Amerbachianus legit, τολμήσειε τυραννικῶς.

« invitatus fueris, in ultimo loco accumbe, ut A « quando venerit qui te invitavit, dicat tibi, « Amice, ascende altius; tunc erit tibi gloria « coram iis qui tecum accumbunt. Nam quisquis « se extollit, humiliabitur, et qui se humiliat, « exaltabitur [70]. » Hoc ipsum autem etiam servatur in reliquis sacris ordinibus : quandoquidem sæcularibus seu mundanis dignitatibus spirituales præstantiores esse scimus. »

« ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι· Φίλε, « τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετὰ αἰσχύνης τὸν « ἔσχατον τόπον κατέχειν· ἀλλ' ὅταν κληθῇς, « ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ « κεκληκώς, εἴπῃ σοι, Φίλε, προσανάβηθι ἀνώ- « τερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συν- « ανακειμένων σοι. Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπει- « νωθήσεται· καὶ ὁ ταπεινῶν ὑψωθήσεται. Τὸ « δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν « ταγμάτων· ἐπειδὴ τῶν κατὰ τὸν κόσμον ἀξιω- « μάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. »

BALS. Decimus octavus canon syn. primæ Nicænæ jubet deponi diaconos qui sedent in medio presbyterorum. Præsens autem canon eos qui sic faciunt, ex propri› gradu dejici jubet. Si enim aliis forte diaconis in gradu prior erat qui se impudenter B gessit, et ante presbyteros sedit, in ultimum locum demittetur, et erit in gradu omnium infimo, nec id quod habet officium ecclesiasticum seu dignitas ei proderit. Sin autem a suo patriarcha vel metropolitano in aliquam urbem missus fuerit, ut locum illius repleturus, tunc perinde, ac qui ipsum misit, reputabitur et honorabitur. Quomodo vero 18 quidem canon Nic. syn. eum, qui in medio presbyterorum sedit, diaconum deponendum dicit : hic autem levius in eum animadvertit, nempe dimissione? *Solutio.* Ille quidem canon de iis qui in sacro tribunali tempore sacrificii se impudenter gesserunt, et ante sacerdotes sederunt, loquitur; de hujusmodi enim omnino disserit, scilicet de iis diaconis, qui C sacerdotibus communionem porrigunt, et quædam alia ejusmodi indigna faciunt. Præsens autem canon loquitur de diaconis, qui extra sacrum tribunal in quavis cathedra ante presbyteros sederunt, et ideo eis lenius supplicium infligit. Officia autem ecclesiastica dicuntur ἀρχοντίκια. Canon autem idipsum vult etiam servari in aliis sacris ordinibus : ne quis dignitate vel officio fretus, adversus alios extollatur, et adversus eos qui altiori gradu sunt, efferatur; hypodiaconus forte adversus diaconum, vel lector adversus hypodiaconum. Spirituales enim dignitates sæcularibus, inquit, sunt præstantiores. Nota vero quod etiam e præsenti canone manifestum est ecclesiastica officia sive dignitates gradus esse ecclesiasticos, ut diaconica et cætera. Miror D autem quomodo, cum canon statuat eum, qui missus est, obtinere locum mittentis quod ad honorem attinet, Gortynensis episcopus Basilius, qui in hac synodo totius Romanæ Ecclesiæ jure præsens aderat, post quatuor patriarchas et quosdam metropolitanos subscripsisse invenitur. Sed, ut est probabile, ipse quoque erat papæ legatus, et ideo subscripsit post

ΒΑΛΣ. Ὁ ιη' κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου καθαιρεῖσθαί φησι τοὺς ἐν μέσῳ πρεσβυτέρων καθεζομένους διακόνους. Ὁ δὲ παρὼν κανὼν τοὺς οὕτω ποιοῦντας ὑποβιβάζεσθαι ἐκ τοῦ οἰκείου βαθμοῦ παρακελεύεται. Εἰ γὰρ τυχὸν τῶν ἄλλων διακόνων προβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος, μὴ ὠφελούμενος ἐκ τοῦ αὐτῷ προσόντος ἴσως ἐκκλησιαστικοῦ ὀφφικίου ἤτοι ἀξιώματος. Εἰ δὲ ἀπὸ τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου ἐν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε ὡς αὐτὸς ὁ στείλας αὐτὸν λογισθήσεται καὶ τιμηθήσεται. Πῶς οὖν ὁ μὲν ιη' κανὼν τῆς ἐν Νικαίᾳ συνόδου καθαιρεῖσθαί φησι τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα διάκονον, οὗτος δὲ κουφότερον κολάζει αὐτόν, ἤγουν διὰ ὑποβιβασμοῦ; Λύσις. Ἐκεῖνος μὲν ὁ κανὼν περὶ τῶν εἰς τὸ βῆμα ἐν ἱερουργίας καιρῷ ἀναιδευσαμένων καὶ πρὸ τῶν ἱερέων καθισάντων φησίν· ὅτι καὶ περὶ τῶν τοιούτων (63) διόλου, διαλέγεται δηλονότι περὶ διακόνων μεταδιδόντων ἱερεῦσι καὶ ἄλλα τοιαῦτα ἀνάξια διαπραττομένων· ὁ δὲ παρὼν κανὼν περὶ τῶν ἐκτὸς τοῦ βήματος ἐν τυχούσῃ καθέδρᾳ καθισάντων διακόνων πρὸ τῶν πρεσβυτέρων· καὶ διὰ τοῦτο μετριωτέραν ἐπάγει τὴν κόλασιν. Ὀφφίκια μέντοι ἐκκλησιαστικὰ λέγονται τὰ ἀρχοντίκια. Τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι θαῤῥοῦντα ἢ ὀφφικίῳ κατεπαίρεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν ὑποβαθμιωτέρων (64) αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου, ἢ ἀναγνώστην κατὰ ὑποδιακόνου. Κρείττω γάρ, φησίν, εἰσὶ τὰ πνευματικὰ ἀξιώματα τῶν κοσμικῶν. Σημείωσαι δὲ ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται τὰ ἐκκλησιαστικὰ ἀρχοντίκια ἤτοι ἀξιώματα βαθμοὺς εἶναι ἐκκλησιαστικούς, ὡς τὰ διακονικὰ καὶ τὰ λοιπά. Θαυμάζω δὲ πῶς, τοῦ κανόνος διοριζομένου τὸν ἀποσταλέντα ἐπέχειν τὸν τόπον τοῦ ἀποστείλαντος; ὅσον κατὰ τὴν τιμήν, ὁ ἐπίσκοπος τῶν Γορτυναίων Βασίλειος παρουσιάζων ἐν τῇ συνόδῳ ταύτῃ δικαίῳ πάσης τῆς Ἐκκλησίας Ῥώμης εὑρίσκεται ὑπογράψας μετὰ

[70] Luc. xiv, 8 et seqq.

Guill. Beveregii notæ.

(63) *Ὅτι καὶ περὶ τῶν τοιούτων.* Hæc usque ad διαπραττομένων inclusive in Parisiensi editione desiderata, ex ms. Amerbachiano habentur, ubi *etiam pro ἀναιδευσαμένων* paulo ante, rectius legitur, ἀναιδευσαμένων.

(64) *Κατὰ τῶν ὑποβαθμιωτέρων.* Ms. Ætoniensis legit προβαθμιωτέρων, quam lectionem ipse etiam locus postulat.

τοὺς τέσσαρας πατριάρχας καὶ τινας μητροπολίτας. Ἀλλ' ὡς ἔοικε καὶ αὐτὸς λεγάτος ἦν τοῦ πάπα· καὶ διὰ τοῦτο μετὰ τοὺς πατριάρχας ὑπέγραψεν, ὥσπερ καὶ οἱ λοιποὶ λεγάτοι, ἤτοι ὁ Θεσσαλονίκης, ὁ Ἡρακλείας καὶ ἕτεροι. Ὁ δὲ χαρτοφύλαξ τῆς Κωνσταντινουπόλεως, ὅπως προκάθηται τῶν ἀρχιερέων, διάκονος ὢν, εἴρηται ἐν τῷ ιη' κανόνι, τῆς πρώτης συνόδου. Σημείωσαι δὲ τὸν κανόνα λέγοντα κρείττονα εἶναι τὰ πνευματικὰ ἀξιώματα τῶν κατὰ κόσμον ἀξιωμάτων· πλὴν μὴ ἐλκύσῃς τοῦτο, ὡς τινες εἶπον, χάριν τοῦ προτιμᾶσθαι τὰ ἐκκλησιαστικὰ ἀξιώματα τῶν βασιλικῶν. Ἑρμήνευσον τοῦτο εἰς τοὺς καταθαλλιζομένους τυχὸν ὑποδιακόνους κατὰ διακόνων, ἢ διακόνους κατὰ πρεσβυτέρων· καὶ εἰπὲ ὅτι, εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεστι τῷ ἥττονι ἀξίᾳ ὄντι προκαθῆσθαι ἢ προτιμᾶσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν ταῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσε, καὶ χρεωστοῦσι πᾶσαν εὐταξίαν ἐκ τοῦ ἐπαγγέλματος αὐτῶν. Σημείωσαι οὖν τὸν κανόνα ὀνομάζοντα περὶ τὸ τέλος τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς ἀξιώματα. Πολλάκις γὰρ εἰς τὸ δικαστήριον εἶπόν τινες μήτε τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας μήτε τοὺς μητροπολίτας ἐν ἀξιωματικοῦ μοίρᾳ συντάττεσθαι, καὶ διὰ τοῦτο μηδὲ δυνατὸν εἶναι τὸν στίχον τοῦ ἐκκλησιαστικοῦ κουβουκλεισίου ἤτοι τοῦ ἐπισκόπου, ἀλλὰ ταπεινόν. Ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ. Καὶ ἀνάγνωθι τὸ α' κεφάλαιον τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ ἐκεῖσε καταστρωθὲν ἔγγραφον ἔκτισμα τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου, καὶ τὸ σχόλιον τοῦ λς' κεφαλαίου τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος.

patriarchas; sicut et cæteri legati, scilicet Thessalonicensis episcopus et Heracleanus et alii. Constantinopolitanus autem chartophylax, quomodo cum sit diaconus, ante antistites sedet, in primæ synodi 18 can. dictum est. Nota autem et canonem qui dicit, spirituales dignitates esse præstantiores sæcularibus dignitatibus. Sed ne hoc eo traxeris, ut nonnulli dicebant, ad ecclesiasticas dignitates imperatoriis præferendas. Interpretare autem hoc adversus hypodiaconos, qui fortasse superbe et insolenter se gerunt adversus diaconos, vel diaconos qui adversus presbyteros: et dic, quod si in sæcularibus dignitatibus non licet ei, qui est minoris dignitatis, præsidere vel præferri ei, qui est majore dignitate honoratus, multo magis non licet hoc facere iis qui sunt ecclesiasticis dignitatibus **165** honorati, quas etiam spirituales appellavit; qui quidem ex sua professione debent omnem bonum ordinem observare. Nota ergo canonem, qui circa finem nominat ecclesiasticos gradus dignitates. Nonnulli enim sæpe in judicio dixere, nec ecclesiasticos præfectos, nec metropolitanos inter dignitates collocari, et propterea nec potentem quidem esse ecclesiastici cubicularii vel episcopi ordinem, sed vilem. Hoc autem mihi ita esse non videtur. Et lege primum cap. 8 tit. præsentis operis, et illic positum scriptisque mandatum sancti Constantini Magni qui est apostolis æqualis, decretum, et commentarium 36 cap. primi tit. præsentis operis.

ΖΩΝΑΡ. Ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου μὴ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι τοὺς διακόνους κελεύει, τοὺς δὲ μὴ πειθαρχοῦντας παύεσθαι τῆς διακονίας. Ὁ δὲ παρὼν κανὼν τοῖς αὐθαδῶς πρὸ τῶν πρεσβυτέρων καθῆσθαι ἀναιδευομένοις οὐκ ἐκπτωσιν τῆς διακονίας εἰς κόλασιν τῆς αὐθαδείας ἐπάγει, ἀλλὰ ὑποβιβασμὸν ἐκ τοῦ οἰκείου βαθμοῦ. Εἰ γὰρ τυχὸν τῶν ἄλλων διακόνων προβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος, καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος. Εἰ δὲ ὑπὸ τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου ἐν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε ὡς αὐτὸς ὁ στείλας αὐτὸν λογισθήσεται καὶ τιμηθήσεται. Πῶς οὖν ὁ μὲν τῶν κανόνων τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα βαρύτερον κολάζει, ποῦν αὐτὸν τῆς διακονίας, οὗτος δὲ κουφοτέραν ἐπάγει τὴν τιμωρίαν τῷ προκαθίσαντι πρεσβυτέρου, καταβιβάζων αὐτὸν εἰς τὸν ἔσχατον τόπον τοῦ οἰκείου βαθμοῦ; Φασὶν οὖν ὅτι ὁ μὲν τῆς πρώτης συνόδου κανὼν περὶ τῶν ἐν βήματι ἐν ἱερουργίας καιρῷ καθεζομένων ἐν μέσῳ πρεσβυτέρων φησὶν, ὅτι διακονεῖν μᾶλλον καὶ ὑπηρετεῖν τοῖς ἱερεῦσιν ὀφείλουσι καὶ παρεστάναι αὐτοῖς· ὁ δὲ τῆς συνόδου ταύτης περὶ τῶν ἐκτὸς βήματος ἐν τυχούσῃ καθέδρᾳ προκαθισάντων πρεσβυτέρων. Πανταχοῦ μὲν γὰρ τοῖς ἱερεῦσιν οἱ διάκονοι χρεωστοῦσι τιμὴν, μάλιστα δὲ ἐν ἱερουργίᾳ. Ὀρφίκια δὲ ἐκκλησιαστικὰ τὰ ἀρχον-

ZONAR. Ne medium in presbyterorum consessu locum diaconi occupent, 18 primæ in Nicæa synodi canone interdictum est, contumacesque a ministerio arceri eadem constitutione decretum. Hic vero canon, qui honestiorem sedendi locum impudenti temeritate sacerdotibus præripuerit, eum in arrogantiæ suæ pœnam non a ministerio quidem repelli, sed de suo gradu deturbari jubet. Proinde si primum forte locum inter diaconos obtinuerat, qui adeo impudenter se gerit et ante presbyteros sedet, in postremum detrudetur, honoreque cæteris omnibus inferior habebitur. Si quem tamen diaconum, muneris sui vicarium, in urbem aliquam patriarcha vel metropolitanus destinarit, debitos ipsis præsulibus honores legato deferri, eodemque quo ille loco haberi placet. Sed cum altero canone, qui medius inter presbyteros consederit, illi cessationis a ministerio pœna gravior inflicta sit, qua ratione factum arbitremur, ut qui honestiorem locum sacerdote assidente occuparit, cum eo hic canon remissius agat, levioreque animadversionis genere nihil aliud quam postremum inter sui ordinis homines gradum obtinere jubeat? Id igitur ita nonnulli explicant, ut de diaconis, qui dum sacra mysteria peraguntur, in sacrario medii inter presbyteros consedere, quo quidem tempore eos maxime sacerdotibus inservire atque astare oportuerat, primæ synodi canonem accipi velint: hunc vero de iis, qui extra sacrarium,

alio quocunque consessu, digniorem sibi inter sacerdotes locum arrogarint, intelligendum esse arbitrentur. Cum enim ubique sacerdotes vereri diaconi debeant, tum id eos, dum opera rei divinæ ministerio impenditur, præstare maxime decet. Officia vero ecclesiastica ἀρχοντίκια vocat. Idem porro ut in aliis quoque servetur sacris ordinibus, neve, quia profanam scilicet dignitatem magistratumve quis obtineat, insolenter efferri, ac in superiori ordine constitutis, diacono verbi causa hypodiaconus, aut huic lector insultare temere audeat, hac constitutione decretum. Est ecclesiastica siquidem civili quacunque dignitate præstantior. Cujus quidem argumenti ea vis est, ut quoniam inter eos qui profanos magistratus gerunt, et, qui inferioris est dignitatis, antesedere aut præferri ei, qui majori idem non liceat, qui ecclesiasticis ornantur dignitatibus, quas etiam spirituales canon hoc loco nominat, quippe quæ non hominum, sed Dei gratia, Spiritus sancti invocatione, conferri debent.

ARIST. « Diaconus etiam officium assecutus, nisi « patriarchæ vel episcopi locum teneat, si ante « presbyteros sederit, omnium erit infimus. »

Fastus sæculares et primos accubitus Patres divini ab Ecclesia amputantes, statuunt neminem diaconorum, qualecunque ecclesiasticum habeat officium, ante presbyteros sedere; nisi forte, ut vicarius, patriarchæ sui aut metropolitani vicem gerat, in aliam civitatem missus canonicarum quarumdam et ecclesiasticarum causa quæstionum : tunc enim, ut illius locum implens honorabitur. Si quis autem diaconus tyrannica adductus audacia, **166** aliter ausus fuerit supra presbyterum sedere, suo gradu dejectus erit, et omnium ultimus diaconorum evadet.

τίκια λέγει. Τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι κοσμικῷ θαρροῦντα ἢ ὀφφικίῳ καταναιδεύεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν προβαθμιωτέρων αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου ἢ ἀναγνώστην κατὰ ὑποδιακόνου. Κρεῖττω γάρ, φησὶ, τὰ πνευματικὰ ἀξιώματα τῶν κοσμικῶν, μονονουχὶ τοῦτο λέγων· Εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεστι τῷ ἥττονος ἀξίας ὄντι προκαθῆσθαι ἢ προτετιμῆσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν τοῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσεν, ὡς οὐ κατὰ ἀνθρωπίνην χάριν παρέχεσθαι ὀφειλούσας, ἀλλὰ κατὰ θείαν χάριν ἐπικλήσει τοῦ θείου Πνεύματος.

dignitate honoratur, non licet; multo magis iis

ΑΡΙΣΤ. « Καὶ ὀφφίκιον ἔχων διάκονος, εἰ μὴ τοποτηρητὴς εἴη πατριάρχου ἢ ἐπισκόπου, πρὸ τῶν « πρεσβυτέρων καθεζόμενος, ἁπάντων ἔσχατώτερος ἔσοιτο. »

Τοὺς κοσμικοὺς τύφους καὶ τὰς πρωτοκλισίας οἱ θεῖοι Πατέρες ἐκ τῆς Ἐκκλησίας περιαιροῦντες, προστάττουσι μηδένα τῶν διακόνων, κἂν οἱονδήποτε ἐκκλησιαστικὸν ὀφφίκιον ἔχῃ, τῶν πρεσβυτέρων καθέζεσθαι ἄνωθεν, εἰ μή που, ὡς τοποτηρητὴς, τὸ πρόσωπον ἐπέχει τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει σταλεὶς χάριν κανονικῶν καὶ ἐκκλησιαστικῶν ζητημάτων· τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται. Εἰ δὲ ἄλλως τολμήσει τις τῶν διακόνων, τυραννικῷ θράσει χρώμενος, τῶν πρεσβυτέρων ἄνωθεν καθεσθῆναι, τοῦ ἰδίου βαθμοῦ καταβιβασθήσεται, καὶ πάντων ἔσχατος τῶν διακόνων γενήσεται.

CANON VIII.

« In omnibus ea, quæ a nostris sanctis Patribus « decreta sunt, nos quoque rata ac firma esse « volentes, canonem quoque renovamus, qui ju- « bet singulis annis uniuscujusque provinciæ « episcoporum synodos fieri, ubi metropolitanus « episcopus satius esse duxerit. Quoniam autem « propter aliquas Barbarorum incursiones et « quasdam alias incidentes causas, non possunt « qui ecclesiis præsident synodos bis in anno fa- « cere, visum est, ut omnino semel in anno pro- « pter ecclesiasticas quæstiones, ut verisimile « est, emergentes, prædictorum episcoporum in « unaquaque provincia fiat synodus, a sancto « Paschæ festo, et usque ad Octobris mensis « complementum, singulis annis, in loco quem, « ut prædictum est, metropolitanus episcopus « aptiorem judicaverit : ii autem, qui non con- « veniunt, episcopi, cum in suis civitatibus agant

ΚΑΝΩΝ Η'.

« Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων Πατέρων ἡμῶν θε- « σπισθέντα καὶ ἡμεῖς κρατεῖν βουλόμενοι, ἀνα- « νεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα καθ' « ἕκαστον ἔτος συνόδους τῶν ἑκάστης ἐπαρχίας « γίνεσθαι ἐπισκόπων, ἔνθα ἂν ὁ τῆς μητροπό- « λεως δοκιμάσῃ ἐπίσκοπος. Ἐπειδὴ δὲ διά τινας « τε τῶν βαρβάρων ἐπιδρομὰς, διά τε προπι- « πτούσας ἑτέρας αἰτίας, ἀδυνάτως οἱ τῶν ἐκ- « κλησιῶν πρόεδροι ἔχουσι δὶς τοῦ ἐνιαυτοῦ τὰς « συνόδους ποιεῖσθαι, ἔδοξεν, ὥστε τρόπῳ παντὶ « ἅπαξ τοῦ ἐνιαυτοῦ (65) τὴν τῶν προγεγραμ- « μένων ἐπισκόπων διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα « ἐκκλησιαστικὰ κεφάλαια ἐν ἑκάστῃ ἐπαρχίᾳ γί- « νεσθαι σύνοδον ἀπὸ τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς « καὶ μέχρι συμπληρώσεως τοῦ Ὀκτωβρίου μηνὸς « ἑκάστου ἔτους κατὰ τὸν τόπον, ὃν ὁ τῆς μητρο- « πόλεως, καθὰ προείρηται, δοκιμάσει ἐπίσκοπος. « Τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδημοῦντας

Guill. Beveregii notæ.

(65) Ἅπαξ τοῦ ἐνιαυτοῦ. Hæc usque ad γίνεσθαι σύνοδον inclusive in ms. Amerbachiano non *sine summo canonis detrimento* desunt.

« ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διά- A
« γοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας
« ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπι-
« πλήττεσθαι.

« et sani sint, et ab omni inevitabili et necessario
« negotio liberi, fraterne corripiantur. »

ΒΑΛΣ. Περὶ τοῦ πῶς καὶ πότε ὀφείλουσιν οἱ ἐπίσκοποι παρὰ τοῖς πρώτοις αὐτῶν συνέρχεσθαι, ὥστε γίνεσθαι συνόδους, καὶ λύεσθαι τὰ ἐκκλησιαστικὰ ζητήματα, εἴρηται ἐν διαφόροις προλαβοῦσι κανόσιν. Ἀνάγνωθι καὶ κεφ. ἡ' τίτλου η' τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. Ὁ δὲ παρὼν κανὼν οὐδέν τι πλέον τῶν ἄλλων φησὶν ἀλλ' ἢ τὸ γίνεσθαι ἅπαξ τοῦ ἐνιαυτοῦ τὰς συνόδους. Ἀνάγνωθι καὶ τῆς δ' συνόδου κανόνα ιθ', καὶ τῆς α' συνόδου κανόνα ε', καὶ τῶν ἁγίων ἀποστόλων κανόνα λζ'. Εἴποι δέ τις (66) ὡς, τῶν ἐπισκόπων ἀναγκαζομένων παρὰ τοῖς μητροπολίταις ἐτησίως συνέρχεσθαι, οἱ μητροπολῖται οὐκ ἀναγκασθήσονται παρὰ τῷ πατριάρχῃ συνελθεῖν. Ἢ γὰρ οὗτοι παρὰ πατριάρχῃ συνέρχονται, καὶ συμβαίνει τὰς τῶν ἐπαρχιωτῶν ἐπισκόπων συνόδους ἀπράκτους, ἢ οὐ συνέρχονται, καὶ αἱ πατριαρχικαὶ σύνοδοι οὐ γενήσονται. Καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις· σὺ δὲ ἀνάγνωθι ἐπιστατικώτερον τὸ κ' κεφάλ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου λέγον ἐν μέρει οὕτως· Κελεύομεν πᾶσι τρόποις μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ ἢ τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ μηνὶ, καὶ συνιέναι παρὰ μὲν τοῖς μακαριωτάτοις πατριάρχαις ἐκείνους τοὺς παρ' αὐτῶν χειροτονουμένους, μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν (67)· παρὰ δὲ τοῖς ὁσιωτάτοις μητρο- C

BALS. Quomodo et quando debeant episcopi ad suos primos convenire, ut synodi habeantur, et ecclesiasticæ quæstiones solvantur, in diversis præcedentibus canonibus dictum est. Lege et caput octavum tituli octavi præsentis operis, et quæ ibi scripta sunt. Præsens autem canon nihil plus quam alii dicit, præterquam ut semel fiant in anno synodi. Lege et quartæ synodi canon. decimum nonum, et primæ synodi canonem quintum, et sanctorum apostolorum canonem tricesimum septimum. Dicat autem non nemo, quod cum episcopi quotannis apud metropolitanos convenire cogantur, metropolitani apud patriarcham convenire non cogentur. Vel enim illi apud patriarcham conveniunt, et provincialium episcoporum synodos cessare usu venit, vel non conveniunt, et patriarchæ synodi non fient. Et hæc quidem dicat aliquis, verisimile est. Tu autem diligentius lege caput vicesimum tituli primi lib. tertii, hæc ex parte dicens. Omnimodo unam synodum quotannis celebrari mandamus in unaquaque provincia, vel Junio vel Septembri mense, et eos qui ab illis ordinantur, alios autem episcopos ordinandi jus non habent apud beatissimos patriarchas convenire. Apud religiosissimos autem metropolitanos cujusque provinciæ qui ab iis ordinati sunt. Nota igitur ex hac Novella quam ob rem pro-

Guill. Beveregii notæ.

(66) *Εἴποι δέ τις.* Hæc usque ad finem hujus interpretationis nunc primum ex ms. Bodleiano in lucem Græce emittimus. Græce inquam, nam Latine antehac in Guilelmi Morelii editione edita sunt. Quinetiam in ms. Amerbachiano leguntur, eodem modo, quo in nostro; nisi quod pro ἀπράκτους ibi legatur ἀπραχτεῖν.

BALS. Armenii, cum aliis quæ eis adorant hæresibus, solo vino in sanctis mysteriis usi sunt : et dicebant se facere consequenter iis, quæ a magno Ecclesiæ doctore, linguaque aureo, Joanne Chrysostomo conscripta sunt in sua Evangelii interpretatione secundum Matthæum ; quæ tractani, non per aquam, sed vinum sacrum calicem exhiberi ; cum tamen non docerat sanctus pes solum vinum oblationem fieri. Hoc ergo, quod sic fit ab Armeniis, subvertentes divini Patres, per vinum et aquam sacrum calicem offerri oportere statuerunt interpretantes verba Chrysostomi, non ut ab Armeniis dicebatur esse accipienda ; sed ad Hydroparastatarum, qui per aquam solam sancti calicis oblationem faciebant, hæresis eversionem esse conscripta. Confutatis ergo ac collisis iis, quæ ab ipsis decreta sunt, et ex multis aliis, et ex tradito etiam sacrificio a prædicto sancto Patre, et a magno Basilio, episcopos et presbyteros depositioni subjecerunt, qui sancti calicis sacrificium per vini et aquæ unionem non faciunt. Hæc autem divina incitatione commoti præceperunt. In divina enim passione Dei et Domini nostri Jesu Christi, non sanguinem tantum, sed etiam aquam emisit ejus per lanceam punctum latus, ut duarum ejus naturarum non confusam unionem ostenderet. Nota ergo, quod a præsenti canone duæ hæreses subvertuntur : una quidem Hydroparastatarum, qui sola aqua in sancti calicis sacrificio utuntur ; alia autem Armeniorum, qui id per vinum solum faciunt. Quoniam autem non solum Armenii, sed etiam Latini reprehendunt aquæ ferventis in sacrum calicem immissionem, dicentes eam non esse traditam ab evangelico vel canonico præcepto, et ideo male fieri, et adversus hanc divinam traditionem, quæ decernit per aquam et vinum faciendam sancti calicis oblationem : audiant, quod **193** fervens addita, quæ fit per aquam et vinum sancti calicis, unionem non mutat ; quoniam non est aliquid aliud præter aquam. Injicitur autem ad significandum, quod sunt vivifica, quæ ex sancto Domini nostri Jesu Christi latere fluxerunt, sanguis scilicet et aqua, et non mortua ; quoniam ex hoc quoque miraculi magnitudo ostenditur. Cum enim ex corpore mortuo suapte natura non soleat fervens sanguis egredi, ex corpore Dominico etiam post mortem sanguis et aqua ferventes effluxerunt, ut ex vivifico corpore vivifica. Si quis autem dixerit, Et cur, antequam sit sanctificatus sanctus calix, fervens aqua ad unionem non injicitur, sed post sanctificationem ? audiet, quod si injiceretur fervens tempore unionis, ad sanctorum usque participationem refrigeraretur, et res in prio-

ΒΑΛΣ. Οἱ Ἀρμένιοι μετὰ τῶν προσουσῶν αὐτοῖς ἄλλων αἱρεσέων οἴνῳ μόνῳ κέχρηνται ἐν τοῖς ἁγίοις μυστηρίοις καὶ λέγουσι τοῦτο ποιεῖν ἀκολούθως τοῖς γραφεῖσι παρὰ τοῦ μεγάλου τῆς Ἐκκλησίας διδασκάλου καὶ χρυσοῦν τὴν γλῶτταν Ἰωάννου ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐξηγήσει αὐτοῦ, τοῖς διαλαμβάνουσι μὴ δι' ὕδατος τὸ ἅγιον ποτήριον προσάγεσθαι, ἀλλὰ δι' οἴνου· καὶ ταῦτα τοῦ ἁγίου μὴ διδασκοντος διὰ οἴνου μόνου τὴν προσαγωγὴν γινεσθαι. Τὴν γοῦν οὕτω γινομένην θυσίαν παρὰ τῶν Ἀρμενίων ἀνατρέποντες οἱ θεῖοι Πατέρες, διωρίσαντο διὰ οἴνου καὶ ὕδατος ἱερὸν ποτήριον προσάγεσθαι, ἑρμηνεύσαντες τὰ Χρυσοστομικὰ ῥήματα μὴ ἐκλαμβάνεσθαι πρὸς τὰ παρὰ τῶν Ἀρμενίων λεγόμενα, ἀλλ' εἰς ἀναίρεσιν γραφῆναι τῆς αἱρέσεως τῶν Ὑδροπαραστατῶν, τῶν δι' ὕδατος μόνου τὴν προσαγωγὴν τοῦ ἁγίου ποτηρίου ποιουμένων. Συγχροτήσαντες τὰ παρὰ τούτων διορισθέντα ἔκ τε ἄλλων πολλῶν, ἀλλὰ μὴν καὶ ἐκ τῆς παραδοθείσης θυσίας παρά τε τοῦ ῥηθέντος ἁγίου Πατρὸς ἡμῶν, καὶ παρὰ τοῦ μεγάλου Βασιλείου, καθαιρέσει ὑπέβαλον τοὺς ἐπισκόπους καὶ τοὺς πρεσβυτέρους τοὺς μὴ ποιοῦντας τὴν θυσίαν τοῦ ἁγίου ποτηρίου διὰ ὕδατος ἑνώσεως καὶ οἴνου. Ταῦτα δὲ παρεκελεύσαντο θεοκινήτως. Ἐν γὰρ τῷ θείῳ πάθει τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν ἡ διὰ λόγχης νυγεῖσα θεία τούτου πλευρά, ἵνα τὴν τῶν δύο τούτου φύσεων παράστησῃ ἀσύγχυτον ἕνωσιν. Σημείωσαι οὖν ὅτι δύο αἱρέσεις ἀνατρέπονται διὰ τοῦ παρόντος καν., μία μὲν τῶν Ὑδροπαραστατῶν, τῶν χρωμένων ὕδατι μόνῳ ἐν τῇ τοῦ ἁγίου ποτηρίου θυσίᾳ· ἑτέρα δὲ ἡ τῶν Ἀρμενίων, τῶν διὰ οἴνου μόνου ποιούντων αὐτήν. Ἐπεὶ δὲ οὐ μόνον οἱ Ἀρμένιοι, ἀλλὰ καὶ οἱ Λατῖνοι αἰτιῶνται τὴν εἰς τὸ ἅγιον ποτήριον τοῦ ζέοντος εἰσβολήν, λέγοντες μὴ παραδοθῆναι ταύτην ἀπὸ εὐαγγελικῆς ἢ κανονικῆς παραγγελίας, κἀντεῦθεν γίνεσθαι κακῶς, καὶ ὑπεναντίως δῆθεν τῇ θείᾳ ταύτῃ παραδόσει, τῇ διοριζομένῃ δι' ὕδατος καὶ οἴνου τὴν τοῦ ἁγίου ποτηρίου γίνεσθαι προσαγωγήν· ἀκουσάτωσαν ὅτι τὸ ζέον προστιθέμενον (8) τὴν δι' ὕδατος καὶ οἴνου ἕνωσιν τοῦ ἁγίου ποτηρίου οὐ μεταβάλλει, ὅτι δ' οὐκ ἔστιν ἕτερόν τι παρὰ τὸ ὕδωρ. Βάλλεται δὲ εἰς πληροφορίαν τοῦ εἶναι ζωοποιὰ τὰ ἀπὸ τῆς ἁγίας πλευρᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ῥεύσαντα, τὸ αἷμα δηλονότι καὶ τὸ ὕδωρ, καὶ μὴ νεκρά· ὅτι τὸ τοῦ θαύματος μέγεθος καὶ ἐκ τούτου πιστεύεται. Ἀπὸ γὰρ νεκροῦ σώματος μὴ πεφυκότος καταῤῥεῖν ζέοντος αἵματος, ἐκ τοῦ Κυριακοῦ σώματος καὶ μετὰ θάνατον αἷμα καὶ ὕδωρ ζέοντα ἐξέῤῥευσαν, ὡς ἐκ ζωποιοῦ σώματος ζωοποιά. Εἰ δέ τις εἴπῃ, Καὶ διὰ τί πρὸ τοῦ ἁγια-

Guill. Beveregii notæ.

Jacobi vel sancti Marci liturgiam commemorari : additque, Ἀλλὰ καὶ ἡ καθολικὴ Ἐκκλησία τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως οὐδ' ὅλως ταύτας ἐπιγινώσκει. Ψηφιζόμεθα οὖν μὴ εἶναι δεκτὰς αὐτάς. *Neque etiam catholica sanctissimi et œcumenici throni Constantinopolitani Ecclesia ullo modo eas liturgias agnoscit. Pronuntiamus igitur has non esse recipiendas.* Balsam. ad Marc. interrog. 1, in *Jur. Gr. Rom.* t. v, pag. 362, 363.

(8) *Ὅτι τὸ ζέον προστιθέμενον.* Eadem, quæ de aqua fervida sancto poculo immiscenda Balsamon tradidit, repetit etiam in responsis ad Marcum Alexandrinum, ad interrog. 18.

σθῆναι τὸ ἅγιον ποτήριον οὐ βάλλεται τὸ ζέον εἰς τὴν ἕνωσιν, ἀλλὰ μετὰ τὸν ἁγιασμόν; ἀκούσει ὅτι, ἐὰν ἐβάλλετο τὸ ζέον κατὰ τὸν καιρὸν τῆς ἑνώσεως, ἔμελλε καταψύχεσθαι μέχρι τῆς τῶν ἁγίων μεταλήψεως, καὶ ἀπειλεύτα τὸ πρᾶγμα εἰς τὸν πρότερον λόγον. Διὰ γοῦν τὴν αἰτίαν ταύτην βάλλεται τὸ ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ τὴν ὕψωσίν καὶ μεταλαμβάνουσιν αὐτοῦ οἱ πιστοὶ ὡς ζωποιοῦ. Οἱ μέντοι Ἴβηρες ἱερεῖς ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ οὐ βάλλουσιν, ὀρθοδοξότατοι καὶ ταῦτα ὄντες· καὶ ἐρωτηθέντες ποτὲ συνοδικῶς, πῶς τοῦτο ποιοῦσιν, εἶπον μηδέποτε ὕδατι θερμῷ χρήσασθαί τινα Ἴβηρα εἰς ποσὸν οἴνου ἀπὸ ἐγχωρίου συνηθείας μακρᾶς· καὶ διὰ τοῦτο μηδὲ αὐτοὺς χρᾶσθαι ζέοντι εἰς τὰ ἅγια. Ἀναδιδαχθέντες δὲ τοῦ μυστηρίου τὴν δύναμιν, ἐπετράπησαν ἐν τῷ ἁγίῳ ποτηρίῳ βάλλειν ἀπαραιτήτως ζέον κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος (9) ὅτι πρῶτος ὁ ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος ὡς πρῶτος ἀρχιερατεύσας τῆς Ἱεροσολυμιτῶν Ἐκκλησίας παρέδωκε τὴν θείαν ἱεροτελεστίαν, ἥτις παρ' ἡμῖν ἀγνοεῖται, παρὰ δὲ τοῖς Ἱεροσολυμίταις καὶ τοῖς Παλαιστιναίοις ἐνεργεῖται ἐν ταῖς μεγάλαις ἑορταῖς. Οἱ δὲ Ἀλεξανδρεῖς λέγουσιν εἶναι καὶ τοῦ ἁγίου Μάρκου· ἢ καὶ χρῶνται ὡς τὰ πολλά. Ἐγὼ δὲ συνοδικῶς, μᾶλλον δὲ καὶ ἐνώπιον Βασιλείου τοῦ ἁγίου ἐλάλησα τοῦτο· ὅτε ὁ πατριάρχης Ἀλεξανδρείας ἐνεδήμει εἰς τὴν βασιλεύουσαν. Μέλλων γὰρ λειτουργῆσαι μεθ' ἡμῶν καὶ τοῦ οἰκουμενικοῦ ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ, ὥρμησε κρατεῖν τὸ τῆς τοῦ Ἰακώβου λειτουργίας κοντάκιον, ἀλλ' ἐκωλύθη παρ' ἡμῶν, καὶ ὑπέσχετο λειτουργεῖν, καθὼς καὶ ἡμεῖς.

A rem statum desineret. Propter hanc ergo causam fervens in sanctum calicem injicitur post elevationem, et fideles ei tanquam vivifico communicant. Ac Iberi quidem sacerdotes ferventem aquam in sanctum calicem non injiciunt. Fieri sint aliqui in primis orthodoxi, et synodice aliquando interrogati quomodo hoc faciant, dixerunt, nunquam illum Iberum aqua calida usum esse ad vini potionem, ex longa regionis consuetudine: et propterea nec ne ferventi quidem aqua uti ad sacramenta. Mysterii autem facultatem edocti, citra ullam reprehensionem persuasi sunt in sacrum poculum ferventem sanctæ participationis tempore injicere. Nota ex præsenti canone, quod primus sanctus Jacobus Domini frater, ut Hierosolymitanæ Ecclesiæ archiepiscopus primus sacram liturgiam tradidit, quæ a nobis non agnoscitur, ab Hierosolymitanis vero et Palæstinæ incolis in festis majoribus usurpatur. Alexandrini vero dicunt a sancto etiam Marco constitutam esse, qua etiam ut plurimum utuntur. Ipse vero synodice, vel potius coram sancto imperatore de hac re sermonem habui, quo tempore patriarcha Alexandrinus in urbinam regina agebat. Etenim nobiscum et œcumenico in Magna ecclesia sacra celebraturus, Jacobi Liturgiæ volumen observare voluit, sed a nobis prohibitus est, et se non secus ac nos sacra celebraturum pollicebatur.

ΖΩΝΑΡ. Τὰ θεῖα μυστήρια, ὁ ἄρτος λέγω, καὶ τὸ

ZONAR. Panis sacer et calix, divina mysteria,

Guill. Beveregii notæ.

(9) *Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος.* Hæc, usque ad hujus interpretationis finem, ex ms. Bodleiano edimus. Quæ autem hic traduntur in Supplemento ad Parisiensem Balsamonis editionem ex mss. Vaticanis exscripta leguntur, sed longe aliis verbis, quæ propterea hic apponantur necesse est. Σημείωσαι, ὅτι ἀπὸ μόνου τοῦ παρόντος κανόνος φαίνεται τὴν θείαν ἱεροτελεστίαν παραδοθῆναι καὶ ὑπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου, πρώτως ἐπισκοπεύσαντος τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων, ἥτις τέως παρ' ἡμῖν οὐδὲ εὑρίσκεται, οὐδὲ γινώσκεται, ὡς ἀπρακτήσασα. Ὅπως δὲ οἱ κατὰ Παλαιστίνην ἱερατεύοντες λειτουργοῦσι μετὰ τῆς παραδοθείσης μυσταγωγίας, ὡς λέγουσι, παρὰ τοῦ αὐτοῦ ἀδελφοθέου, καὶ οἱ κατ' Ἀλεξάνδρειαν ἐπίσκοποι καὶ ἱερεῖς τὰς ἱεροτελεστίας ποιοῦσι μετ' εὐχῶν, ὡς φασι, παραδοθεισῶν ὑπὸ τοῦ ἁγίου Μάρκου, καὶ οὐκ ἀκολουθοῦσι τοῖς πρεττομένοις ὑπὸ τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ἱερουργούντων, ἤγουν οὐκ ἐπιστρέφονται τῶν παραδοθεισῶν μυσταγωγιῶν παρά τε τοῦ ἁγίου Βασιλείου, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἀγνοῶ. Τοῦτο δὲ καὶ συνοδικῶς μᾶλλον δὲ καὶ ἐνώπιον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ἐλαλήθη παρ' ἐμοῦ ὅτε ὁ πατριάρχης Ἀλεξανδρείας ἐνδημήσας εἰς τὴν πόλεων βασιλεύουσαν, καὶ μέλλων συλλειτουργῆσαι μεθ' ἡμῶν [ἤθελεν ἱερουργῆσαι μετὰ τῆς παραδοθείσης, ὡς εἰπεῖν, ἱεροτελεστίας παρὰ τοῦ ἁγίου Μάρκου, κἂν οὐκ ἔτυχε διορθώσεως] ἀρκεσθέντων παντῶν τῇ καταθέσει καὶ μόνῃ τοῦ πατριάρχου, εἰπόντος μηκέτι τοῦτο ποιῆσαι. *Nota, quod ex hoc solo præsenti canone appareat, divinam liturgiam etiam a sancto Jacobo Dei fratre, qui Hierosolymitanæ Ecclesiæ primus fuit episcopus, traditam esse, quæ tamen nunc apud nos non invenitur.*

C *cognoscitur, ut quæ exoleverit. Quomodo autem Palæstinæ sacerdotes celebrant, cum mysterii, ut ipsi dicunt, ritu a Deo fratre dato, et Alexandrini quoque episcopi et sacerdotes sacra peragunt mysteria, cum orationibus, ut aiunt, a sancto Marco traditis, nec quæ fiant ab iis, qui universo terrarum orbe sacra faciunt, sequuntur, sive a sancto Basilio, et sancto Joanne Chrysostomo traditos nobis mysterii ritus non curant, nescio. Hoc autem etiam synodice vel potius coram ipso potenti sanctoque nostro imperatore a me dictum est, quando patriarcha Alexandrinus in urbium regina ageret, et una nobiscum celebraturus cum tradito, ut dicebat, a sancto Marco mysterii ritu sacra celebrare vellet; etiamsi correctionem non habuerit; cum omnes patriarchæ assertione, eaque sola contenti essent, qui dixit se id amplius non facturum.* Hæc etiam hoc modo leguntur in ms. Amerbachiano, ex quo etiam verba illa ἤθελεν ἱερουργῆσαι, etc., uncis propterea inclusa, in Parisiensi editione desiderata, restituimus. Quanto autem hæc lectio a Bodleiana nostra discrepat, cuivis conferenti patebit. Unde etiam suspicio nobis oritur, hæc ad Balsamonis scholia proprie non pertinere, sed marginalem primo fuisse annotationem, quippe quæ a descriptoribus pro libitu incrementatur: ac proinde in nostro ms. contractius, in aliis fusius describitur. Conjectura ex eo etiam veristimilior redditur, quod hic asseratur, ex hoc canone apparere liturgiam a sancto Jacobo traditam esse; cum Balsamon diserte pronuntiavit, eam non recipiendam esse; ut e superius annotatis constat. Si illud enim Balsamoni ex hoc canone apparuisset, haud procul dubio pronuntiare noluisset.

ipsum nobis Christi Domini corpus et sanguinem exhibent. Nam panem suis ille quidem discipulis porrigens, *Accipite, comedite*, inquit; *hoc est corpus meum* [83]. Calicem vero præbens, *Bibite ex hoc omnes*, ait; *hic est sanguis meus, qui pro vobis et pro multis effunditur* [84]. Quoniam ergo in divina passione, hasta trajecto latere ejus sanguinem suum Dominus effundens, non sanguinem solum, sed et aquam emisit, Ecclesia proinde in sacris quoque mysteriis vinum infusa aqua miscori omnino necessarium existimavit. Verum Armenii vinum in mystica mensa merum adhibebant, divini Patris Chrysostomi in Evangelium Matthæi explicationem in ejus argumentum adducentes. Eo igitur errore damnato, Chrysostomi verba Patres hujus synodi explicant, quæque iis sententia sit subjecta demonstrant. Nec enim, inquiunt, ut solius vini potionem in sacris mysteriis adhibendam doceret, sed ut Hydroparastatarum, qui sola aqua sacrum faciendum opinarentur, hæresim convelleret, eosque Patribus sanctisque apostolis contraria sentire et facere doceret, sermonem illum instituit. Etenim et ipse, in ecclesia quam tenuit, vinum aqua dilutum in mystica oblatione adhibendum tradidit, et reliqui Patres Ecclesiæque lumina eumdem incruenti sacrificii pane et vino, admista aquæ potione, conficiendi ritum tradidere. Et præterea sexti hujus synodi Patres subjiciunt iis, qui præsentem canonem **194** transgrediuntur, quæ transgressioni justa credebant. Nam si episcopus aliquis aut presbyter acceptam ab apostolis consuetudinem neglexerit, ac vinum, aqua nullatenus infusa, in sacrificio purissimo obtulerit, hominem, mysterii quippe imperfecte enuntiati reum, deponi jubent. Minus vero perfecte mysterium enuntiat, quia, cum ex morientis Domini latere sanguis et aqua simul, ut diximus, emanarint, sacrificium tamen sola vini oblatione perficiendo, ex Domini corpore sanguinem solum effusum fuisse opere ipso demonstrat, et sacris evangelistarum testimoniis adversatur, et tradita immutat, dum juxta antiquam consuetudinem non sacrificat.

ARIST. « Chrysostomus Hydroparastatarum everteus hæresim, Quando, dicit, et passus est « Dominus et suscitatus, vino usus est. Hoc « arripientes Armenii, vinum solum offerunt, « non intelligentes, ipsum etiam Chrysostomum, « et Basilium, et Jacobum vino aqua communisto « usos fuisse, et, ut ita nos offeramus, tradi« disse. Si quis ergo vel solo vino, vel aqua sola « et non mista, utitur, deponatur. »

Armenii a Chrysostomi in Matthæi Evangelium interpretatione, in qua Hydroparastatarum, qui aqua sola in incruenta oblatione utebantur, hæresim auferre conatus est, seducti, vinum solum offerunt. Non intelligentes impii, quod ad hoc respicit tota sancti Patris oratio, ut Hydroparasta-

[83] Matth. xxvi, 26. [84] ibid. 28.

A ποτήριον, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου παριστῶσιν ἡμῖν. Τὸν γὰρ ἄρτον διδοὺς τοῖς οἰκείοις ὁ Κύριος μαθηταῖς, *Λάβετε, φάγετε*, ἔφη· *τοῦτό ἐστι τὸ σῶμά μου*. Καὶ τὸ ποτήριον παρέχων αὐτοῦ, *Πίετε ἐξ αὐτοῦ πάντες*, ἔφη· *τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον*. Ἐπεὶ οὖν ἐν τῷ θείῳ πάθει αὐτοῦ, κενῶν τὸ οἰκεῖον αἷμα ὁ Κύριος νυγείσης λόγχῃ τῆς πλευρᾶς αὐτοῦ, οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν, ἀναγκαίως πάντως τῇ Ἐκκλησίᾳ νενόμισται ἐν τοῖς ἱεροῖς μυστηρίοις ὕδωρ τῷ οἴνῳ παρακιρνᾶν. Ἀλλ' οἱ Ἀρμένιοι οἴνῳ μόνῳ ἐκέχρηντο ἐν τῇ μυστικῇ τραπέζῃ, χρώμενοι τῇ εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐξηγήσει τοῦ Χρυσοστόμου καὶ θείου Πατρός. Τοῦτο οὖν ἀναιροῦντες οἱ τῆς συνόδου ταύτης Πατέρες τὰ B ῥήματα τοῦ Χρυσοστόμου καὶ τὴν αὐτῶν διάνοιαν σαφηνίζουσι, καί φασιν ὅτι τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἀνατρέπων, οἳ μόνῳ ὕδατι τὴν θυσίαν ἱερουργεῖν οἰόμενοι κέχρηνται, καὶ δεικνύων αὐτούς ἐναντίως τοῖς Πατράσι καὶ τοῖς ἱεροῖς ἀποστόλοις πορευομένους καὶ ποιοῦντας, τὸν οἰκεῖον κατεσκεύασε λόγον, ἀλλ' οὐκ ἐπιτρέπων οἶνον μόνον ἐν τοῖς μυστηρίοις παραλαμβάνειν. Καὶ αὐτὸς γὰρ οὗτος ἐν τῇ κατ' αὐτὸν Ἐκκλησίᾳ οἶνον καὶ ὕδωρ ἐν τοῖς μυστηρίοις λαμβάνεσθαι παραδέδωκε, καὶ οἱ λοιποὶ Πατέρες καὶ φωστῆρες τῆς Ἐκκλησίας παραδεδώκασιν, ἄρτῳ καὶ οἴνῳ ὕδατι μεμιγμένῳ τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖν. Καὶ ἐπὶ τούτοις ἐπάγουσιν οἱ τῆς ἕκτης ταύτης συνόδου τοῖς παραβαίνουσι τὸν παρόντα κανόνα ἃ διὰ τὴν παράβασιν πείσονται· καί φασιν· C Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἁγίων ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μὴ μιγνὺς οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων. Ἀτελῶς δὲ τὸ μυστήριον ἐξαγγέλλει, διὰ τὸ οἴνῳ μόνῳ ἐπὶ τῇ θυσίᾳ κεχρῆσθαι, τοῦ Κυρίου, ὡς ἔφημεν, αἷμα καὶ ὕδωρ ἐκ τῆς οἰκείας πλευρᾶς ἐν τῷ πάθει προχέοντος. Διδάσκει γὰρ πραγματικῶς αἷμα μόνον ἐκ τῆς τοῦ Κυρίου κενωθῆναι σαρκὸς, καὶ ἐναντιοῦται τοῖς ἱεροῖς εὐαγγελισταῖς, καὶ καινίζει τὰ παραδεδομένα, μὴ κατὰ τὴν ἀρχαίαν θύων παράδοσιν.

ΑΡΙΣΤ. « Τὴν Ὑδροπαραστατῶν ἀναιρῶν αἵρεσιν ὁ « Χρυσόστομος. « Ἤνίκα, » φησὶ, « καὶ πέπονθεν ὁ « Κύριος, καὶ ἐγήγερται, οἴνῳ ἐχρήσατο. » Τοῦτο « λαβόντες οἱ Ἀρμένιοι, οἶνον προσάγουσι μόνον « οὐκ εἰδότες, καὶ αὐτὸν τὸν Χρυσόστομον, καὶ « Βασίλειον, καὶ Ἰάκωβον οἴνῳ μεμιγμένῳ ὕδατι « κεχρημένους, καὶ ἡμῖν οὕτω παραδεδωκότας « προσάγειν. Εἴ τις οὖν ἢ οἴνῳ μόνῳ ἢ ὕδατι μό« νῳ, ἀλλ' οὐχὶ μεμιγμένῳ χρῶτο, καθαιρείσθω. »

Ἀπὸ τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνείας τοῦ Χρυσοστόμου οἱ Ἀρμένιοι πλανηθέντες, ἐν ᾗ τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἔσπευσεν ἀναιρῆσαι, τῶν ὕδατι μόνῳ ἐν τῇ ἀναιμάκτῳ κεχρημένων θυσίᾳ, οἶνον μόνον προσάγουσι· μὴ νοήσαντες οἱ δυσσεβεῖς ὡς εἰς τοῦτο ὁρᾷ ἡ πᾶσα κατα-

σκευὴ τοῦ ἁγίου, εἰς τὸ ἀναιρῆσαι τὴν αἵρεσιν τῶν Ὑδροπαραστατῶν, καὶ πεῖσαι αὐτοὺς καὶ οἴνῳ χρῆσθαι ἐν τοῖς μυστηρίοις. Ἀλλὰ νομίσαντες ὅτι ἀνατρέπων τὸ ὕδωρ ἐμβάλλεσθαι ἐν αὐτοῖς, πρὸς τὸν ἔλεγχον ἀντικατέστη αὐτῶν, οἶνον μόνον προσφέρουσιν, ἀγνοοῦντες ὡς καὶ αὐτὸς ὁ Χρυσόστομος καὶ ὁ μέγας Βασίλειος καὶ ὁ ἀδελφόθεος Ἰάκωβος οἶνον μιγνύντες ὕδατι τὴν θυσίαν προσέφερον· καὶ ἡμῖν οὕτω προσάγειν παραδεδώκασιν. Εἴ τις οὖν ἐπίσκοπος ἢ πρεσβύτερος μὴ κατὰ τὴν παράδοσιν ταύτην τῶν ἀποστόλων καὶ τῶν θεοφόρων Πατέρων τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἁπλῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ ἀθετῶν τὰ παραδεδομένα.

A tarum hæresim tolleret, illaque vino etiam in mysteriis uti persuaderet. Sed arbitrantes, quod ille aquæ in iis immissionem refellens, ad eorum redargutionem sese opposuit, vinum solum offerunt, ignorantes quod et ipse Chrysostomus, et Basilius magnus, et Domini frater Jacobus vinum aquæ immiscentes sacrificium offerebant : et nobis ita offerre tradiderunt. Si quis itaque episcopus aut presbyter non secundum hanc apostolorum et divinorum Patrum traditionem, immaculatum offert sacrificium, deponatur, ut non accurate mysteria evulgans, et tradita contemptui habens.

ΚΑΝΩΝ ΑΓ'.

Ἐπειδήπερ ἐγνωμεν ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ B « μόνους ἐν κλήρῳ τοὺς ἐκ γένους ἱερατικοῦ « κατάγεσθαι (10), Ἰουδαϊκοῖς ἔθεσιν ἑπομένων « τῶν τοῦτο πράττειν ἐπιχειρούντων· τινὰς δὲ « αὐτῶν καὶ μὴ ἀποχειρομένους ἱεροψάλτας καὶ « ἀναγνώστας θείου ναοῦ καθίστασθαι· συνείδο- « μεν ὥστε ἀπὸ τοῦ νῦν μὴ ἐξεῖναι τοῖς κλῆρον « βουλομένοις προάγειν τινὰς εἰς τὸ γένος ἀποβλέ- « πειν τοῦ προχειριζομένου· ἀλλὰ δοκιμάζοντες, « εἰ ἄξιοι εἶεν, κατὰ τοὺς τεθέντας ἐν τοῖς ἱεροῖς « κανόσιν ὅρους, ἐν κλήρῳ καταλεγῆναι, τούτους « ἐκκλησιαστικοὺς προχειρίζεσθαι, εἴτε καὶ ἐκ « προγόνων γεγόνασι ἱερέων, εἴτε καὶ μή· ἀλλὰ « μηδέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ' ἄμβωνος « κατὰ τὴν τῶν ἐν τῷ κλήρῳ καταλεγομένων τάξιν C « τοῖς θείοις τῷ λαῷ λόγους ἀποφωνεῖν (11) εἰ « μή τι ἂν ἱερατικῇ κουρᾷ χρήσοιτο ὁ τοιοῦτος, « καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος « κανονικῶς ὑποδέξοιτο. Εἰ δέ τις φωραθείη « παρὰ τὰ προγεγραμμένα ποιῶν, ἀφοριζέσθω. »

CANON XXXIII.

« Quoniam cognovimus, in Armeniorum regione « eos solum in cleri ordinem referri, qui sunt « ex genere sacerdotali, iis, qui hoc facere aggre- « diuntur, mores Judaicos sequentibus, non- « nullos autem eorum, etiam non tonsos, sacros « cantores et divini templi lectores constitui : « decernimus, ut deinceps non liceat iis, qui vo- « lunt aliquos ad clerum adducere, ad ejus cui « manus imponitur, genus respicere ; sed exami- « nantes an digni sint juxta præscripta in sacris « canonibus decreta, qui in cleri catalogum « referantur, eos ecclesiasticos promovere, sive « sint ex majoribus suis sacerdotibus, sive non ; « sed etiam ut nulli ex omnibus eorum liceat, « qui sunt in clericorum ordinem relati, populo « in suggestu divinas Scripturas recitare, nisi is « sacerdotali tonsura usus fuerit, et benedictio- « nem a suo pastore canonice susceperit. Si quis « autem aliter facere deprehensus fuerit, depo- « natur. »

ΒΑΛΣ. Δύο ταῦτα ὁ παρῶν κανὼν διορθοῦται, τὸ κατὰ τὴν χώραν τῶν Ἀρμενίων κακῶς γινόμενον χάριν τοῦ μὴ ἄλλως γίνεσθαι κληρικοὺς, ἀλλὰ μόνους τοὺς ἐκ γένους ἱερατικοῦ καταγομένους καὶ τὸ ἐπὶ ἄμβωνος ἀναγινώσκεσθαι τὰ θεῖα λόγια παρὰ τῶν μὴ ἐχόντων ἐπισκοπικὰς ἐπικουρίδας, τὸν μὲν, ὡς Ἰουδαϊκὸν (νενομοθέτηται γὰρ παρὰ Ἰουδαίοις ἀπὸ τῆς Λευϊτικῆς φυλῆς καὶ μόνης τοὺς ἱερεῖς γίνεσθαι), τὸ δὲ, ὡς ἀλογίστως τελούμενον. Φασὶν οὖν οἱ Πατέρες ἐκείνους ἐν τῷ κλήρῳ κατατάττεσθαι, μὴ τοὺς ἐκ γένους κληρικῶν ὄντας, ἀλλὰ τοὺς ἀξίους, καὶ κατ' ἐπιλογὴν ἐπισκοπικὴν προτιμωμένους, κἂν μὴ ἐκ γένους τοιούτου ὦσιν· ὡσαύτως τὰς ἐπ' ἄμβωνος ἀναγνώσεις μόνους ποιεῖν τοὺς εἰς τοῦτο ἀποκληρωθέντας, ἤγουν τοὺς ἔχοντας ἐπισκοπικὰς ἐπικουρίδας. Ταῦτα τοῦ θείου κανόνος παρακελευομένου καὶ ἀφορίζοντος τοὺς παρὰ ταῦτα ποιοῦντας, ἐλαλήθη-

BALS. Hæc duo præsens canon corrigit, et quod in Armeniorum regione male fiebat, ut non alias fierent clerici, nisi ii qui ex genere sacerdotali descendissent ; et quod in suggestu divinæ Scripturæ legebantur ab iis qui episcopales tonsuras non habebant : illud quidem, ut Judaicum (lege enim apud Judæos cautum est, ut ex **195** tribu Levitica eaque sola sacerdotes fierent) ; hoc vero, ut quod inconsiderate fieret. Dicunt itaque Patres, D illos in clero ordinari oportere, non qui ex genere clericorum, sed qui digni sunt, et episcopali electione præponuntur, etiamsi non sint ex tali genere : similiter et in suggestu eos solos legere debere, qui ad hoc in clericorum numerum relati sunt, eos scilicet qui habent episcopales tonsuras. Hæc cum sacer canon jubeat, et eos excommunicet qui aliter faciunt, sæpe dictum est a diversis antistitibus, qui

Guill. Beveregii notæ.

(10) *Κατάγεσθαι.* Mss. Ætoniensis et Amerbachianus legunt κατατάττεσθαι *constitui, ordinari* : quin etiam κατάγεσθαι, pro καταταγέσθαι mendose scriptum videtur. Nam et ἐν κλήρῳ καταταγέσθαι est *in clero constitui, in cleri ordinem referri* : quemadmodum etiam Hervetus locum transtulit.

(11) *Ἀποφωνεῖν.* Codex Amerbachianus legit ὑποφωνεῖν. Utrumque idem hic significat, quod ἐκφωνεῖν, *pronuntiare, promulgare, recitare.* Sic interpretes per ἀναγινώσκειν exponunt. Neque enim hic de concionibus habendis, sed tantum de sacris Scripturis legendis agitur.

habent ex aurea bulla clericos, Athenarum scilicet, et Mesembriæ et aliis; quod, qui ex antiquis clericis descenderunt, ipsos cogunt eos qui non sunt clero digni ordinare, atque adeo etiam qui sæpe sunt laici; et quod ecclesiæ officium per alios ab illis datos fiat. Jam et in hac regia urbium, in æde sanctorum magnorum martyrum quadraginta, et in æde sanctissimæ Deiparæ Domini, et in aliis divinis templis, habent laici et complura etiam monasteria et clericorum officia. Sed audierunt antistites, quod præsens canon eis omnibus os occludit, qui eis molestiam exhibent. Quod autem fit in dictis catholicis Ecclesiis, quomodo permittitur, nescio. Nota autem, quod simul ac acceperunt aliqui tonsuræ characterem a manu antistitis, eos pro clericis habet canon : audivi enim nonnullos dicentes, non esse lectorem, nec dici clericum, qui in clerum templi non relatus est, sed solam habet tonsuram. Et ideo ei licere in laicalem habitum transmutari : quod mihi quidem non videtur : sed et monachos, qui non habent episcopales coronas, sed monachicam tonsuram, dicunt nonnulli posse in suggestis legere apostolum et reliqua, quemadmodum et clerici, tanquam monachalis tonsura utique sufficiat pro tonsura clericali. Mihi autem videtur monachum, qui a sacerdote qui præest lector est constitutus, secundum 14 canonem septimæ synodi, in suggestu posse legere : eum autem, qui solam habet monachalem tonsuram, hoc facere non posse, et lege quæ scripta sunt in dictum canonem septimæ synodi.

Θη πολλάκις περὶ διαφόρων ἀρχιερέων ἐχόντων ἀπὸ χρυσοβούλλων κληρικούς, ἤγουν τοῦ Ἀθηνῶν, τοῦ Μεσημβρίας (12) καὶ ἑτέρων, ὡς οἱ ἀπόγονοι τῶν ἀρχαίων κληρικῶν καταναγκάζουσιν αὐτοὺς μὴ τοὺς ἀξίους τῷ κλήρῳ κατατάττειν, ἀλλὰ τούτους πολλάκις ὄντας καὶ λαϊκούς, καὶ τὴν δουλείαν τῆς Ἐκκλησίας δι' ἑτέρων παρ' ἐκείνων διδομένων γίνεσθαι. Καὶ ἐν τῇ βασιλευούσῃ δὲ ταύτῃ τῶν πόλεων ἐν τῷ ναῷ τῶν ἁγίων μεγάλων μαρτύρων τεσσαράκοντα, καὶ ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου τοῦ Κυρίου, καὶ ἐν ἑτέροις θείοις ναοῖς, ἔχουσι λαϊκοὶ ἀλλὰ μὴν καὶ μοναστήρια διάφορα κληρικά τε ὀρφίκια. Πλὴν οἱ μὲν ἀρχιερεῖς ἤκουσαν ὡς ὁ παρὼν κανὼν ἐπιστομίζει τοὺς ὀχλοῦντας αὐτούς, τὸ δὲ γινόμενον εἰς τὰς ῥηθείσας καθολικὰς Ἐκκλησίας, ὅπως παραχωροῦνται, ἀγνοῶ. Σημείωσαι δὲ ὅτι ἁμα τῷ δέξασθαί τινα σφραγῖδα ἐπικουρίδος ἀπὸ χειρὸς ἀρχιερατικῆς κληρικὸν τοῦτον ἔχει ὁ κανών. Ἤκουσα γάρ τινων λεγόντων μὴ εἶναι ἀναγνώστην μηδὲ λέγεσθαι κληρικὸν τὸν εἰς κλῆρον ναοῦ μὴ κατατεθέντα, ἀλλὰ μόνην ἔχοντα ἐπικουρίδα. Διὸ καὶ ἔχειν ἐπ' ἀδείας ἀκινδύνως αὐτὸν μετασχηματίζεσθαι εἰς λαϊκούς· ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ. Ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας μοναχοὺς ἐπικουρίδα ἀρχιερατικὴν, ἀλλὰ μοναχικὴν ἀπόκαρσιν, λέγουσί τινες δύνασθαι ἐπ' ἀμβωνος ἀναγινώσκειν ἀπόστολον καὶ τὰ λοιπὰ κατὰ κληρικούς, ὡς ἀρκούσης δῆθεν τῆς ἀποκάρσεως ἀντὶ τῆς ἐπικουρίδος. Ἐμοὶ δὲ δοκεῖ τὸν μὲν παρὰ ἡγουμένου ἱερέως καταστάντα ἀναγνώστην μοναχὸν κατὰ τὸν ιδ' κανόνα τῆς ζ' συνόδου καλῶς ἀναγινώσκειν ἐπ' ἀμβωνος· τὸν δὲ μόνον ἀπόκαρσιν ἔχοντα μὴ δύνασθαι τοῦτο ποιεῖν· καὶ ἀνάγνωθι τὰ γραφέντα εἰς τὸν ῥηθέντα κανόνα τῆς ζ' συνόδου.

ZONAR. Judæis sola tribus Levitica in sacerdotium separata fuit, e qua sola qui sacra celebrarent eligebantur. Eum igitur, ab Armeniis quoque usurpatum, morem hic canon damnat; neque ullam in clero legendo generis et familiæ rationem haberi, sed uniuscujusque vitam ac mores inspici jubet. Ac si quidem ex præscripta sacris canonibus norma digni homines reperti fuerint, quocunque demum genere, et quamvis majoribus nullo sacerdotii munere perfunctis sint prognati, ecclesiastico tamen ordini adscribi licere decernunt. Sed neque præterea cuiquam, inquiunt, suggestum ascendere, divinasque Scripturas ibidem recitare astante populo liceat, nisi cui prius, usitata sacris hominibus consuetudine detonsa coma, benedictionem ex præscripto canonum suus pastor impertiverit, hoc est, charactere de more consignaverit. Qui vero hujus canonis decreta violarint, eos canon segregatione puniendos esse decernit.

ΖΩΝΑΡ. Τοῖς Ἰουδαίοις ἡ Λευϊτικὴ φυλὴ εἰς ἱερωσύνην ἀφώριστο, ἐξ ἧς μόνης οἱ ἱερᾶσθαι μέλλοντες ἐλαμβάνοντο. Τοῦτο οὖν καὶ παρὰ τοῖς Ἀρμενίοις γινόμενον ὁ παρὼν κωλύει κανών, θεσπίζων μὴ πρὸς γένος ἀφορᾷν τοὺς μέλλοντας εἰς κλῆρον τάττειν τινάς, ἀλλὰ δοκιμάζειν τὸν βίον αὐτῶν, καὶ τοὺς ἀξίους κατὰ τὰ ὁρισθέντα παρὰ τῶν θείων κανόνων εὑρεθέντας, ἐξ οἵου ἂν εἶεν γένους, ἐκείνους ἐκκλησιαστικῶς προχειρίζεσθαι, κἂν προγόνους μὴ εἴχον ἱερατικούς. Ἀλλὰ μηδὲ ἐπ' ἀμβωνος συγχωρεῖσθαι, φησὶν, ἀνιέναι τινὰ, καὶ τὰς θείας Γραφὰς ὑποφωνεῖν τῷ λαῷ, ὃς οὐ κατὰ τὴν ἱερατικὴν συνήθειαν τὴν κόμην κέκαρται, ὑπὸ τοῦ οἰκείου ποιμένος εὐλογηθεὶς κανονικῶς, ἤγουν τὴν συνήθη σφραγῖδα δεξάμενος. Τοὺς δὲ ἄλλως ποιοῦντας παρὰ τὰ ὁρισθέντα ὁ κανὼν ἀφορίζει.

ARIST. « Qui ordinatione dignus est, sive a genere « sacerdotali sive alio prognatus, ordinetur. Qui « non detonsus et benedictionem assecutus est, e « suggestu sacras Scripturas ne legat. »

ΑΡΙΣΤ. « Ὁ χειροτονίας ἐπάξιος, καὶ ἱερατικοῦ « τελῶν γένους καὶ ἑτέρου, χειροτονείσθω. Μὴ « κεκαρμένος καὶ εὐλογίας τυχὼν, ἐπ' ἀμβωνος « ἱεροὺς λόγους οὐκ ἀναγνώσεται. »

Guill. Beveregii notæ.

(12) *Τοῦ Μεσημβρίας*. Ms. Amerbachianus legit. τοῦ μέση μέρη. Verum Mesembria est urbs archiepiscopalis Thraciæ, cujus hic episcopus commemoratur.

Τοῖς Ἰουδαϊκοῖς ἑπόμενοι ἔθεσιν οἱ ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων, μόνους τοὺς ἐκ γένους ἱερατικοῦ ὄντας εἰς κλῆρον προσδέχονται. Ἀλλὰ καὶ τοὺς μὴ εὐλογίας τυχόντας ἐπισκόπου, καὶ ἱερατικῇ κουρᾷ χρησαμένους, ἱεροψάλτας καθίστων, καὶ τῷ λαῷ ἐπ' ἀμβωνος τὰς ἱερὰς βίβλους ἀναγινώσκειν ἐπέταττον. Διὰ τοῦτο γοῦν ταῦτα καὶ ἀμφότερα ὁ παρὼν οὗτος ἀπαγορεύων κανὼν, προστάττει μήτε εἰς τὸ γένος ἀφορᾷν τοῦ βουλομένου εἰς κλῆρον προαχθῆναι· ἀλλὰ τοῦτο μόνον ἀνερευνᾷν, εἰ ἄξιός ἐστι· μήτε τινὶ συγχωρεῖν, ὥστε ἀναγινώσκειν ἢ ψάλλειν ἐπ' ἀμβωνος, εἰ μὴ παρὰ τοῦ ἰδίου ἐπισκόπου εὐλογίας τύχῃ κανονικῆς, καὶ ἱερατικῇ κουρᾷ χρήσηται· τὸν δὲ παρὰ τὰ ἐνταῦθα διατεταγμένα ποιοῦντα ἀφορίζεσθαι.

A Qui in Armeniorum sunt regione Judaicos sequentes mores eos solos, qui ex genere sunt sacerdotali, in clerum admittunt. Sed et eos, qui episcopi benedictionem non habuerunt, nec sacerdotali tonsura sunt usi, sacros lectores constituebant, et e suggestu sacros libros populo legere imperabant. Propterea horum utrumque prohibens hic præsens canon, mandat nec ad genus illius respicere, qui in clerum promoveri **196** cupit; sed hoc tantum perscrutari an dignus sit: nec cuiquam concedere, ut legat aut canat e suggestu, nisi a suo episcopo canonicam susceperit benedictionem, et tonsura sacerdotali utatur: eum vero, qui contra ea quæ hic decernuntur, fecerit, deponi.

B

ΚΑΝΩΝ ΛΔ'.

« Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ κανόνος σαφῶς διαγορεύοντος, ὡς τὸ τῆς συνωμοσίας ἢ φρατρίας (13) ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων κεκώλυται· πολλῷ δὲ μᾶλλον ἐν τῇ Ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει· καὶ ἡμεῖς φυλάττειν σπουδάζομεν, ὡς, εἴ τινες κληρικοὶ ἢ μοναχοὶ εὑρεθείεν ἢ συνομνύμενοι ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ. »

CANON XXXIV.

« Porro autem, cum et hoc canon sacerdotalis aperte edicat, quod conjurationis vel sodalitatis crimen « etiam ab externis legibus est vetitum, multo « autem magis hoc fieri in Ecclesia prohibere « oportet: nos quoque observare studemus, ut si « qui clerici aut monachi inventi sint, vel con- « jurantes vel sodalitates ineuntes, vel adversus « episcopos vel conclericos aliquid struentes, a « proprio gradu prorsus excidant. »

ΒΑΛΣ. Περὶ συνωμοσίας καὶ φρατρίας ἐγράψαμεν ἐν τῷ ιη' κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου. Καὶ ἀνάγνωθι τοῦτον καὶ τὰ ἐν αὐτῷ. Ἐζητήθη δέ ποτε εἰ ὀφείλουσι κολάζεσθαι καὶ οἱ συνωμοσίας ποιήσαντες χάριν ἀγαθοῦ τινος, τυχὸν ἐὰν ὁμογνωμονήσωσι καὶ ὁμόσωσι χωρὶς προστάξεως βασιλικῆς ἢ ἀρχοντικῆς ὑπὲρ καταπολεμουμένης ὑπὸ ἐχθρῶν πόλεως ἀποθανεῖν, ἢ ἀναιρῆσαί τινα λυμεῶνα τῆς κατ' αὐτοὺς πόλεως, ἢ ἄλλο τι ἀγαθὸν ποιῆσαι. Καὶ τινὲς μὲν εἶπον ὡς, ἐπεὶ σπανίως γίνεται τὸ ὑπὲρ ἀγαθοῦ πράγματος συνομόσασθαί τινας, καὶ οὐδὲ ῥητῶς ὑπὸ τῶν νόμων ἢ τῶν κανόνων τοῦτο ἐπιτέτραπται, κεκώλυται πάντη τὸ συνομνύειν, ἵνα μὴ τῇ προφάσει τοῦ ἀγαθοῦ οἱ πολλοὶ καὶ ἐλαφρότεροι εἰς πολλὰ κακὰ περιπίπτωσι, νομίζοντες ἀγαθόν τι ποιεῖν· περιαιρεθῇ δὲ ἐντεῦθεν καὶ ἡ βασιλικὴ καὶ ἀρχοντικὴ ἐξουσία, ἡ τὰ κακὰ διεκδικοῦσα, καὶ εἰς τὰ καλὰ τὸν δῆμον διεγείρουσα. Ἐχρήσαντο δὲ καὶ τρίτῳ κεφ. τοῦ λς' τίτλου τοῦ ξ' βιβλίου λέγοντι περὶ τὰ μέσα κολάζεσθαι τὸν πολεμοῦντα παρὰ κέλευσιν βασιλέως καὶ τῇ ἐν αὐτῷ παραγραφῇ λεγούσῃ, Κἂν νικήσῃ, οὗτος τιμωρεῖται· ἕτεροι δὲ, τῷ παρόντι κανόνι χρώμενοι καὶ τοῖς καταστρωθεῖσι παρ' ἡμῶν νόμοις εἰς τὸ λζ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, διδάσκουσι δι' ὅλου περὶ συνωμοσίας κατά τινων τυρευθείσης, ἀντίθεντο μόνας τὰς ἐπὶ κακῷ γινομένας συνωμοσίας κωλύεσθαι καὶ κολάζεσθαι, οὐ μὴν καὶ τὰς χάριν ἀγαθοῦ τινος. Ἐμοὶ δὲ δοκεῖ πᾶσαν συνωμοσίαν ὑπὸ τοῦ νόμου κολάζεσθαι δι' ἃ τε ἄνωθεν εἴρηται, καὶ διὰ τὸ ἐν ἀδήλῳ εἶναι

BALS. De conjuratione et sodalitate scripsimus etiam in 18 canone Chalcedon. synodi. Lege autem eum, et quæ in eum scripta sunt. Est autem aliquando quæsitum an ii etiam puniri debeant, qui C boni alicujus gratia conjurationem fecere, forte si conspiraverint ac conjuraverint, sine imperatoris vel magistratus jussu, se pro defendenda ab hostibus oppugnata urbe morituros, vel aliquem suæ civitatis eversorem de medio sublaturos, vel aliquid aliud boni facturos. Ac nonnulli quidem dixerunt, quod, quoniam raro accidit ut pro aliqua re bona aliqui conjurent, et nec a canonibus vel legibus expresse permissum est, conjurare omnino prohibitum est, ne boni prætextu multi, iidemque leviores, in multa mala incidant, se boni aliquid facere existimantes. Hinc autem excepta sit imperatoria et magistratuum potestas, quæ mala ulciscitur, et populum ad honesta excitat. Usi sunt autem et 3 cap. 37 tit. 60 libri dicente circa D medium, Puniri eum qui bellum gerit injussu imperatoris; et quæ in eo est, præscriptione dicente, Etiam si is vicerit, punitur. Alii autem præsenti canone utentes, et legibus quæ a nobis positæ sunt in 37 cap. 9 tit. præsentis operis, quæ omnino docent de conjuratione, quæ adversus aliquos struitur, dixerunt, ea solas, quæ ad malum fiunt, conjurationes prohiberi et puniri; non autem eas quæ alicujus boni gratia fiunt. Mihi autem videtur omnem conjurationem a lege puniri, tum propter ea quæ superius dicta sunt, et quod incertus sit

Guill. Beveregii notæ.

(13) *Φρατρίας*. In ms. Amerbachiano scribitur φατρίας: ut et postea φατριάζοντες, pro φρατριάζοντες. Quemadmodum etiam in annotationibus ad syn. Chalced. can. 18, observatum est.

ejus eventus; et eo magis, quod turbam quomodo cunque cogi sine imperatoris facultate a lege valde punitur, etiamsi in bonum facta videatur conjuratio. Inveniens autem constitutionem imperatoris domini Alexii filii imperatoris domini Manuelis Comneni sitam in convenientibus secretis mense Julio, indict. 15, factam, et statuentem magnos nobilesque principes, qui conjurarunt, non condemnandos esse, quoniam quod factum est conjuratio non reputatur, sed legitimum jusjurandum, quia pro illius imperio juratum est, ne dicas conjurationem quæ fit ad malum puniri, quæ vero ad bonum facta est commendari; sed dic omnem conjurationem puniri, propter prædictas causas. Quæ autem in imperatoria prædicta constitutione continentur privata esse, et imperatoria misericordia digna: non autem legum et canonum interpretationes.

ZONAR. Hunc qui de conjuratione est canonem duodevicesimum quarta synodus numerat, eumdemque a nobis suo loco explicatum reperies.

197 ARIST. « Si qui clerici aut monachi conjura-
« tiones vel sodalitates inierint, vel insidias con-
« tra episcopum aut conclericum struxerint,
« gradu excidant. *Perspicuus.* »

CANON XXXV.

« Nulli omnium metropolitanorum liceat, mortuo
« episcopo qui ejus throno subest, res ejus ve-

Α το ἀποτέλεσμα ταύτης, καὶ μᾶλλον ὅτι καὶ τὸ συνάγεσθαι ὄχλον ὁπωσδήποτε χωρὶς ἐξουσίας βασιλικῆς μεγάλως ὑπὸ τοῦ νόμου τιμωρεῖται, κἂν ἐπὶ δοκοῦντι ἀγαθῷ (14) γίνηται ἡ συνωμοσία. Εὑρίσκων δὲ σημείωμα τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ κατεστρωμένον ἐν τοῖς προσφόροις σεκρέτοις γεγονὸς κατὰ μῆνα Ἰούλιον τῆς ιε' ἰνδικτ. καὶ διαλαμβάνον μὴ ὑποκεῖσθαι καθοσίωσιν τοὺς τότε συνωμοσαμένους μεγάλους καὶ ὑψηλοὺς ἄρχοντας διὰ τὸ μὴ λογίζεσθαι συνωμοσίαν καὶ γεγονὸς, ἀλλὰ θεμιτὸν ὅρκον διὰ τὸ ὑπὲρ τῆς βασιλείας αὐτοῦ τὸν ὅρκον γίνεσθαι, μὴ εἴπῃς τὴν ἐπὶ κακῷ γενομένην συνωμοσίαν εὐθύνεσθαι, τὴν δὲ ἐπὶ ἀγαθῷ εὐλογεῖσθαι· ἀλλὰ λέγε πᾶσαν συνωμοσίαν εὐθύνεσθαι διὰ τὰς προρρηθείσας
Β αἰτίας. Τὰ δὲ τῷ ῥηθέντι βασιλικῷ σημειώματι περιεχόμενα ἰδικὰ εἶναι καὶ ἄξια συμπαθείας βασιλικῆς· οὐ μὴν ἑρμηνείας νόμων καὶ κανόνων εἶναι.

ΖΩΝΑΡ. Ὁ περὶ τῆς συνωμοσίας κανὼν οὗτος τῆς τετάρτης ἐστὶ συνόδου ὀκτωκαιδέκατος, ὃς ἐκεῖσε ἡρμήνευται.

ΑΡΙΣΤ. « Εἴ τινες κληρικοὶ ἢ μοναχοὶ συνωμοσίας
« ἢ φρατρίας ποιήσαιεν, ἢ συσκευὰς κατ' ἐπισκό-
« που ἢ συγκληρικοῦ, τοῦ βαθμοῦ ἐκπιπτέτωσαν.
« *Σαφής.* »

ΚΑΝΩΝ ΛΕ'.

« Μὴ ἐξέστω τινὶ (15) τοῦ πάντων μητροπολιτῶν τε-
« λευτῶντος ἐπισκόπου, τελοῦντος ὑπὸ τὸν κατ' αὐ-

Guill. Beveregii notæ.

(14) *Κἂν ἐπὶ δοκοῦντι ἀγαθῷ.* Hæc usque ad finem C hujus interpretationis, in Parisiensi editione desiderata, ex ms. Bodleiano supplevimus. In Amebachiano non exstant. Sed in Supplemento ad Parisiensem Balsamonis editionem ex mss. Vaticanis, eorum loco, hæc habentur: Νομίζω καλῶς ἑρμηνευθῆναι τὸν κανόνα, καὶ μὴ ὀφείλειν ἐκλαμβάνεσθαι αὐτὸν, καθώς τινες λέγουσι, πρὸς τοὺς ποιησαμένους συνωμοσίαν ἐπὶ ἀγαθῷ· κἂν ὅπως γὰρ γίνηται, κολάζεται, καθὼς ἐγράφη ἄνωθεν. Εὑρίσκω δὲ σημείωμα κατεστρωμένον ἐν τοῖς προσφόροις σεκρέτοις τοῦ ἀειδίμου βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, τελεστὴν φέρον τὸν Ἰούλιον μῆνα, τῆς ιε' ἰνδικτ. καὶ διαλαμβάνον μὴ εὐθύνεσθαι τοὺς καθοσιώσει ὑποπεσόντας διὰ βασιλικῆς προστάξεως πολλοὺς εὐγενεῖς καὶ μεγάλους ἀνθρώπους, κατὰ τοὺς συνωμοσίαν ποιησαμένους, ὡς τοῦ βασιλέως ἀποφηναμένου μὴ συνωμοσίαν τὸ παρὰ τούτων γενόμενον εἶναι, ἀλλὰ θεμιτὸν ὅρκον, διὰ τὸ ὑπὲρ τῆς βασιλείας αὐτῆς τὴν συνωμοσίαν γενέσθαι. Μὴ εἴπῃς, τὴν μὲν ἐπὶ κακῷ D γενομένην συνωμοσίαν κολάζεσθαι, τὴν δὲ ἐπὶ καλῷ μὴ εὐθύνεσθαι, ἀλλὰ λέγε, πᾶσαν συνωμοσίαν ὑπεύθυνον εἶναι διὰ τὰς ἐν τῇ ἄνω κειμένῃ ἑρμηνείᾳ τεθείσας αἰτίας, τὰ δὲ ἐν τῷ ῥηθέντι βασιλικῷ σημειώματι ὑηλούμενα ἰδικὰ εἶναι καὶ συμπαθείας βασιλικῆς μέτοχα, οὐ μὴν καὶ ἑρμηνείας νόμων καὶ κανόνων. *Existimo recte expositum esse canonem, nec debere illum accipi, prout affirmant nonnulli, ad eos qui conjurationem instruxerunt ad bonum. Quocunque enim modo fiat, punitur, ut supra dictum est. Invenio autem constitutionem sitam in convenientibus secretis imperatoris domini Manuelis Comneni, Julium mensem, quo perfecta est, indicantem, indictione xv, quæ continet, multos nobiles magnosque homines, qui imperatoris jussu se invicem sacramentis obstrinxerunt, non esse corrigendos, ut qui conjurationem fecerunt. Nempe cum imperator pronuntiaverit, non esse conjurationem quod ab illis factum est, sed*

licitum jusjurandum; quoniam pro ipso imperio conjuratio facta est: ne dixeris, eam quidem conjurationem, quæ fit ad malum puniri, quæ vero ad bonum, non corrigi: sed dic, omnem conjurationem pœnæ esse obnoxiam, propter causas in supra posita interpretatione adductas. Quæ autem in dicta imperatoris constitutione declarata sunt, esse privata ac specialia, non autem etiam legum canonumque interpretationes. Qui hæc cum iis, quæ nos ex mss. Bodleiano edimus, contulerit, statim eumdem sensum, sed aliis verbis expressum, inveniet. Constitutio autem, quæ hic dicitur Manuelis Comneni, in nostro codice Alexio filio Manuelis Comneni ascribitur: quæ autem hic traduntur, se Balsamonis non esse produnt. In ipso enim exordio, uti videre est, dicitur, νομίζω καλῶς ἑρμηνευθῆναι τὸν κανόνα, quod Balsamon de sua ipsius interpretatione dicere voluisse vix credibile est. Sed ista verba in nostro codice Bodleiano desunt: omissa forsitan a transcriptore aliquo, ne quæ sequuntur supposititia viderentur. Et, ut alia taceam, si quæ hic traduntur revera Balsamonis fuissent, descriptores ea pro libitu ita non immutassent. Non enim variantes tantum occurrunt lectiones, sed totum variatur. Quod in genuinis Balsamonis Commentariis nunquam accidit.

(15) *Μὴ ἐξέστω τινι.* Cum hoc loco cautum sit, ne metropolitani episcoporum suorum vita functorum bona sibi vindicent, hinc fit, quod in Oriente, cum metropolitanus aliquis, aut archiepiscopus ordinaretur, hoc ei inter alia in mandatis dari consuetum est, Δεῖ τὴν σὴν θεοφίλειαν, εἴ ποτέ τινι τῶν ἐπισκόπων τὸ τοῦ βίου τέλος ἐπέλθοι, μηδὲ μηδαμῶς ἐκ τῶν αὐτοῦ ἀφαιρεῖσθαι πραγμάτων, μηδὲ σεμνῷ ὀνόματι συνηθείας ἐπισκιάζειν τὴν τῆς ἁρπαγῆς καὶ τυραννίδος ἀπηγορευμένην πρᾶξιν· παρεγγυᾶσθαι δὲ πᾶσι, σῶα πάντα διαφυλάττεσθαι, καὶ κατὰ τὴν αὐτοῦ ἐκείνου διάταξιν οὕτως ἕκαστον

« τὸν θρόνον, τὰ αὐτοῦ πράγματα ἢ τῆς κατ' A « αὐτὸν ἐκκλησίας ἀφαιρεῖσθαι ἢ σφετερίζεσθαι· « ἀλλ' ὑπὸ παραφυλακὴν ἑστῶσαν τοῦ κλήρου τῆς « ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανεν πρόεδρος, « μέχρι τῆς ἑτέρου ἐπισκόπου παραγωγῆς· ἐκτὸς « εἰ μὴ κληρικοὶ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐχ ὑπ- « ελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης « ταῦτα παραφυλάξει ἀμείωτα, τῷ χειροτονηθέντι « ἐπισκόπῳ πάντα ἀποδιδούς. »

« ipsius ecclesiæ auferre vel sibi vindicare; sed « sint sub custodia cleri ecclesiæ, cui defunctus « præfuit, usque ad alterius episcopi promotio- « nem : nisi in eadem ecclesia non relicti « sint clerici. Tunc enim metropolitanus ea non « diminuta servabit, ordinato episcopo omnia « reddens. »

ΒΑΛΣ. Ἐν τῷ κβ' κανόνι τῆς δ' συνόδου γέγραπται καθαιρεῖσθαι τοὺς ἁρπάζοντας κληρικοὺς τὰ διαφέροντα τῷ ἀποθανόντι ἐπισκόπῳ πράγματα· ὁ δὲ παρὼν κανὼν κωλύει τὸν μητροπολίτην σφετερίζεσθαι ταῦτα. Ἀκούων δὲ ὡς ὑπὸ φυλακὴν ὀφείλουσιν εἶναι ταῦτα ἢ παρὰ τῷ κλήρῳ ἢ παρὰ τῷ μητροπολίτῃ, ὅταν οὐκ ὦσι κληρικοί, ἐφ' ᾧ δοθῆναι τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, μὴ εἴπῃς ἐξ ἀνάγκης ὀφεῖλειν τοῦτο γίνεσθαι. Εἰ γὰρ ὁ τελευτήσας ἐπίσκοπος ἐποίησεν ἀπογραφήν, κατὰ τὸν μ' ἀποστολικὸν κανόνα, ἅμα τῷ χειροτονηθῆναι, τοῖς ἐξ ἀδιαθέτου κληρονόμοις τούτου δοθήσεται τὰ ἐκείνου πράγματα. Καὶ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι κβ' κανόνι χάριν τούτου γραφέντα. Ἐπὶ τούτοις ἔχε ἐπὶ μνήμης καὶ τὸ κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς ιδ' ἰνδικτιῶνος ἀπολυθὲν πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως (16), χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων, καὶ τάδε κατὰ ῥῆμα διαλαμβάνον· Πρᾶγμα καὶ εἰς Θεοῦ τολμώμενον περιφρόνησιν, καὶ εἰς ἀθέτησιν θεσμῶν φυσικῶν παρὰ τῶν, ὅ φασι, μήτε Θεοῦ ὅπα μήτ' ἀνθρώπων νέμεσιν ὑφορωμένων, ὡς ἔοικεν, οὐκ ἀνεκτὸν ὅλως ἐλογίσθη τῇ βασιλείᾳ μου, εἰς ἀκοὰς αὐτῇ πεπτωκός· ἔνθεν τοι καὶ ὡς πάντη τοῦ τῶν Χριστωνύμων ἀνάξιον ἐπαγγέλματος, διορθοῦται τοῦτο ἡ βασιλεία μου. Ἀνηνέχθη γὰρ αὐτῇ ὡς ἐν ταῖς ἀπὸ τοῦ ζῆν ἐκδημίαις τῶν ὁπωσδήποτε ἀρχιερατευόντων ἐν ταῖς τοῦ Θεοῦ ἁγιωτάταις ἐκκλησίαις, πῇ μὲν καὶ πρὸ τῆς αὐτῶν ἐκφορᾶς, πῇ δὲ καὶ κατὰ τὴν ἐκφοράν, οἱ κατὰ χώραν ἐνεργοῦντες προφάσει τῆς αὐτῶν τελευτῆς τῶν τε κελλίων αὐτῶν ἀπανθρώπως κατεπεμβαίνουσι καὶ τῶν ὑπὸ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀκινήτων, καὶ ἀφαιροῦνται μὲν ἅπαντα τὰ ἐν τούτοις παρευρεθέντα τῶν ὑπαρχόντων αὐτοῖς· καθολικὴν δὲ ποιοῦνται τῶν τοιούτων ἀκινήτων ἀπαίτησιν, καὶ παντοίως ἑτέρως ταῦτα συντρίβουσιν. Ἡ δὲ βασιλεία μου μηδὲ μέχρι καὶ εἰς ἄκουσμα μόνον ἀνεκτὴν ἡγησαμένη τὴν τοσαύτην

BALS. In vicesimo secundo canone quartæ synodi scriptum est, deponendos clericos, qui rapiunt bona quæ ad mortuum episcopum pertinent. Præsens autem canon prohibet metropolitanum ea sibi vindicare. Cum autem audis ea debere esse sub custodia, vel apud clerum, vel quando non fuerint clerici, apud metropolitanum, ut dentur ordinando episcopo : ne dixeris hoc debere necessario fieri. Si enim defunctus episcopus inventarium fecerit (ut vult 40 canon apostolicus) cum primum fuit ordinatus; hæredibus ejus ab intestato illius bona dabuntur. Et lege quæ in dicto 22 canone de eo scripta sunt. Præterea autem tene memoria constitutionem potentis sanctique imperatoris domini Emanuelis Comneni Septembri mense 14 indictione emissam, de non rapiendis, ab exactoribus, bonis quæ ad defunctos episcopos pertinent, quæ quidem hæc verbatim complectitur : Res, quæ et in Dei contemptum, et ad legum naturæ infirmationem, ab iis qui, ut aiunt, neque Dei vocem neque hominum vindictam formidant, ut est verisimile, audetur, non ferenda omnino imperiali meæ potestati, cum ad ejus aures pervenisset, visa est. Quamobrem eam, ut omnino Christiana professione indignam, mea corrigit imperialis potestas. Ei enim relatum est, quod in excessu e vita eorum, qui ubivis pontificatum gerunt in sanctissimis Dei ecclesiis, partim quidem et antequam funus efferatur, partim vero et postquam elatum fuerit, ii, qui in ea regione fisci procurationem exercent, ipsorum mortis prætextu, eorum cellas inhumane invadunt, et ecclesiarum, quæ eis obtigerant immobilia, et omnes quidem facultates, quæ in illis inventæ fuerint, auferunt, universam autem ejusmodi immobilium exactionem faciunt, et ea alioqui omnino eliquant. Imperialis ergo mea potestas ne vel auditu quidem ferendam eorum esse audaciam existimans, ne cum damnum et calamitas ex antistitum morte ad eorum

Guill. Beveregii notæ.

τῶν καταλιμπανομένων εἰδῶν διοικεῖσθαι. *Debet tua pietas si quis episcoporum vitam cum morte commutarit, omnino nihil ex ejus rebus auferre, nec honesto nomine consuetudinis prohibitum rapinæ tyrannidisque facinus obumbrare : sed universis denuntiare futurum, ut omnia salva conserventur, et secundum ipsiusmet dispositionem quævis relictæ species administrentur.* In *Jur. Gr. Rom.* t. VI, pag. 430. Quod quidem mandatum ex præsenti canone originem traxisse videtur.

(16) *Κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως.* Ms. Amerbachianus legit αὐθέντου βασιλέως. Sed nomen imperatoris hujus, qui constitutionem hic laudatam edixit, nec in isto, nec in nostris mss. commemoratur : at in codice Tiliano Emmanuel Comnenus nominatur; uti constat ex Latina Herveti versione, qui reddidit, *imperatoris domini Emanuelis Comneni*, quam propterea versionem nos immutare noluimus, ut imperatoris nomen indicantem. Nam Emanuelem Comnenum hanc edidisse constitutionem ex his ipsis etiam verbis constat, ἁγίου ἡμῶν βασιλέως. Nam Balsamonis temporibus ille imperator erat, cujus etiam jussu Balsamon præclarum hoc opus suscepit; ut ipse in præfatione ad Nomocanonem Photii testatus est. Hinc etiam est, quod hæc ipsa Constitutio sub ejusdem imperatoris nomine exstet etiam in *Juris Græco-Romani* t. II, p. 154.

ecclesias pervaserit, hi multo majorem calamitatem invehant, et ea sint quam jam habent molestia longe molestiores; statuit per hanc præsentem constitutionem, ne ab iis, qui ducales magistratus gerunt, vel descriptiones vel aliqua alia publici jure exercent, tale quid in sanctissimas ecclesias, vel earum immobilia, vel antistitum cellas, in eorum morte deinceps amplius innovetur: sed si testati quidem moriantur antistites juxta eorum voluntatem et ordinationem omnia fiant, quod ad ea attinet quæ in eorum cellis inveniuntur. Quod si forte etiam intestati decesserint, omnia quoque fiant, prout in sacris canonibus et legibus fieri præscriptum est. Atqui in viduarum ecclesiarum immobilia ne pedem quidem omnino immittet aliquis ex ducibus, vel aliquibus aliis, ut dictum est: sed nec quælibet illinc pars quomodocunque asseratur, sed omnia a partibus ejusmodi ecclesiarum in ipsis administrabuntur, quemadmodum de ea legitime et canonice edictum est, donec scilicet, qui post mortuos antistites in ecclesias renuntiati sunt, in regione fuerint, et eorum **198** administrationem susceperint. Interim sciat is, qui ad infirmationem alicujus eorum, quæ a præsenti imperialis potestatis meæ constitutione decreta sunt processerit, quod etiamsi Deus in tali ejus tamque audaci incepto in præsentia siluerit, omnino in futurum dignum ejus supplicium reservans, imperialis tamen mea potestas eum acerbius in præsentia aggredietur, pœnis eum corporalibus subjiciens, et suorum membrorum truncationibus, bonorumque publicationi, et diuturno exsilio. Non solum enim ex eo simplum reddet ecclesiæ, quod ei illo modo ab ipso auferendum est, sed etiam a fisco talis quantitatis duplum absque ulla commiseratione exigetur, perfectissima ea de re cognitione per antistitem ei, qui pro tempore mysticus erit, data, qui etiam utraque administrare debet: de suo autem peccato omnino excusationem non habebit. Venit enim imperialis mea potestas, et eis per præsentem constitutionem evangelice locuta est, quæ in sacro chartophylacio reponetur, sanctissimis ecclesiis sufficiens futura, si ejus solum exempla authentica ac competenti fide munita ab ipsis partibus ostendantur. Ea enim archetypi vim habebunt, et exhibentibus ad æternam securitatem erunt.

τόλμαν αὐτῶν, ἵνα μὴ καὶ τῆς ἐπὶ τοῖς θανάτοις τῶν ἀρχιερέων ἐπιούσης ταῖς κατ' αὐτοὺς ἐκκλησίαις ζημίας καὶ συμφορᾶς οὗτοι βαρυσυμφορώτεροι γίνοιντο, καὶ τῆς ἐπὶ αὐτοῖς ἀνίας ἀνιαρώτεροι, διορίζεται διὰ τῆς παρούσης προστάξεως μηκέτι παρὰ τῶν κατὰ χώραν τὰς δουκικὰς ἀρχὰς διεπόντων ἢ ἀναγραφὰς ἢ ἕτερ' ἄττα δικαίῳ τοῦ δημοσίου ἐνεργούντων τοιοῦτόν τι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἢ τῶν ὑπ' αὐτὰς ἀκινήτων, ἢ τῶν κελλίων τῶν ἀρχιερέων, ἐν ταῖς αὐτῶν τελευταῖς τοῦ λοιποῦ νεωτερισθῆναι· ἀλλ' εἰ μὲν ἐνδιαθήκως οἱ ἀρχιερεῖς τελευτῷεν, κατὰ τὰς αὐτῶν βουλάς τε καὶ διατάξεις ἅπαντα γίνεσθαι δσον ἐπὶ τοῖς παρευρισκομένοις ἐν τοῖς κελλίοις αὐτῶν· εἰ δ' ἴσως καὶ ἀδιάθετοι ἀπαλλάτοιντο, πάντα καὶ οὕτω συντελεωθῆναι κατὰ τὸ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νόμοις δοκοῦν. Τοῖς ἀκινήτοις μέντοι τῶν χηρευουσῶν ἐκκλησιῶν οὐδὲ πόδα ὅλως ἐπιβαλεῖ τις τῶν κατὰ χώραν δουκῶν ἢ τινων ἑτέρων, ὡς εἴρηται, οὐδέ τι οἰσνοῦν ἐκεῖθεν ὀπωσοῦν ἀναλάβηται· ἀλλὰ πάντα παρὰ τῶν μερῶν τῶν τοιούτων ἐκκλησιῶν ἐν αὐτοῖς οἰκονομηθήσεται, καθὼς ἄρα καὶ περὶ τούτου νομίμως καὶ κανονικῶς διηγόρευται, μέχρις ἂν δηλαδὴ οἱ κατὰ τοὺς τεθνηκότας ἀρχιερεῖς εἰς ἐκκλησίας ἐπικηρυττόμενοι κατὰ χώραν γεγονότες αὐτοί, τῆς τούτων οἰκονομίας ἀναδέξωνται. Εἰδέναι ὀφείλοντος τοῦ εἰς ἀθέτησίν τινος τῶν ἐν τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου διωρισμένων χωρήσαντος ὡς, εἰ καὶ Θεὸς ἐπὶ τῷ τοιούτῳ αὐτῶν τολμήματι πρός τε τὸ παρὸν παρασιωπήσεται, πάντως εἰς τὸ μέλλον αὐτοῖς τὴν δέξαν δίκην ταμιευόμενος, ἀλλ' ἡ βασιλεία μου καὶ εἰς τὸ παρὸν πικρότερον αὐτὸ μετελεύσεται, σωματικαῖς ποιναῖς αὐτὸν καθυποβαλοῦσα, μελῶν τε οἰκείων ἀκρωτηριασμοῖς, καὶ τῶν ὑπαρχόντων δημεύσει, καὶ ἐξορίᾳ μακρᾷ. Οὐ μόνον γὰρ τὸ ἁπλοῦν ἀπεντεῦθεν ἀποδώσει ὁ τοιοῦτος τῇ ἐκκλησίᾳ, τὸ ἐξ αὐτῆς τοιουτοτρόπως παρ' αὐτοῦ ἀφαιρεθησόμενον, ἀλλὰ καὶ πρὸς τοῦ δημοσίου εἰς τὸ διπλοῦν ἀσυμπαθῶς ἀπαιτηθήσεται τὴν τοιαύτην ποσότητα, εἰδήσεως ἀκριβεστάτης διδομένης περὶ τούτου παρὰ τοῦ τηνικαῦτα ἀρχιερέως τῷ κατὰ τὴν ἡμέραν μυστικῷ, ὃς καὶ ὀφείλει καὶ ἄμφω οἰκονομεῖν· πρόφασιν δὲ πάντως οὐχ ἕξει περὶ τῆς ἁμαρτίας αὐτοῦ. Ἦλθε γὰρ ἡ βασιλεία μου εὐαγγελικῶς καὶ ἐλάλησεν αὐτοῖς διὰ τῆς παρούσης προστάξεως, ἥτις καταστρωθήσεται καὶ τῷ ἱερῷ χαρτοφυλακίῳ ἐναποτεθησεται, ἀρκέσουσα ταῖς ἁγιωτάταις ἐκκλησίαις, κἂν ἰσότυπα καὶ μόνα ταύτης πεπιστωμένα παρὰ τῶν μερῶν αὐτῶν ἐμφανίζηται. Ἔξουσι γὰρ πρωτοτύπων ἰσχὺν ταῦτα καὶ τοῖς πορισαμένοις προσέσονται εἰς ἀσφάλειαν αἰωνίζουσαν.

ZONAR. Idem argumentum quartæ quoque synodi canon vicesimus secundus exsequitur. Ibi et hujus canonis mentio a nobis facta, et alia per quæ ejusdem explicationi satisfactum arbitramur, allata fuere.

ARIST. « Episcopo vita defuncto, clerus bona re-
« servabit. Si vero nullus relinquatur clericus,
« metropolitanus ea conservabit, donec alter
« ordinetur. »

Nec clericis post mortem episcopi sui nec metropolitano licet quidquam « vacantis ecclesiæ

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς δεύτερος κανὼν τῆς τετάρτης συνόδου περὶ τούτου τοῦ κεφαλαίου διαλαμβάνει, ἔνθα καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν· ἀρκεῖ οὖν τὰ εἰρημένα ἐκεῖ.

ΑΡΙΣΤ. « Τελευτῶντος ἐπισκόπου, ὁ κλῆρος φυλάξει
» τὰ πράγματα· εἰ δὲ μὴ ὑπολέλειπται κληρι-
» κὸς, ὁ μητροπολίτης ταῦτα διαφυλάξει ἕως τῆς
» ἑτέρου χειροτονίας. »

Οὔτε τοῖς κληρικοῖς μετὰ τὴν τελευτὴν τοῦ ἐπισκόπου αὐτῶν οὔτε τῷ μητροπολίτῃ ἔξεστιν ἀφαιρεῖ-

σθαί τι τῶν τῆς χηρευούσης ἐκκλησίας πραγμάτων· ἀλλὰ πάντα ὀφείλουσι παραφυλάττεσθαι παρ' αὐτῶν δὴ τῶν κληρικῶν, μέχρις ἂν ἕτερος ἐπίσκοπος χειροτονηθῇ. Εἰ δ' ἴσως κληρικὸς ἐν τῇ τοιαύτῃ οὐχ ὑπελείφθη ἐκκλησίᾳ, ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, ἀποδοῦναι μέλλων πάντα τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ.

A bonis auferre, sed omnia custodiri debent ab illis ipsis clericis, usque dum alius episcopus constituatur. Si forte autem clericus in illa non relinquatur ecclesia, metropolitanus ea imminuta servabit omnia futuro episcopo redditurus.

ΚΑΝΩΝ ΛϚ'.

« Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα « ἁγίων Πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ « καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακο- « σίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνελθόντων « νομοθετηθέντα, ὁρίζομεν τὸν Κωνσταντινουπό- « λεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ « τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς « ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πρά- « γμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα· μεθ' « ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμεῖ- « σθω θρόνος, εἶτα ὁ Ἀντιοχείας, καὶ μετὰ τοῦτον « ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως. »

CANON XXXVI.

« Renovantes quæ a sanctis centum et quinqua- « ginta Patribus, qui in hac a Deo conservata et « regia urbe, et sexcentis triginta, qui Chalce- « done convenere, constituta sunt, decernimus, « ut thronus Constantinopolitanus æqualia pri- « vilegia cum antiquæ Romæ throno obtineat, et « in ecclesiasticis negotiis ut ille magnifiat, ut qui « sit secundus post illum. Post quem magnæ « Alexandrinorum civitatis numeretur thronus, « deinde Antiochiæ, et post eum Hierosolymitanæ « civitatis. »

ΒΑΛΣ. Περὶ τοῦ δευτέρου καὶ τρίτου κανόνος φασὶ τῆς δευτέρας συνόδου· καὶ τοῦ κη' κανόνος τῆς δ' συνόδου. Καὶ ἀνάγνωθι τὰ ἐν τούτοις παρ' ἡμῶν γραφέντα.

BALS. De secundo et tertio canone secundæ synodi, et 28 can. quartæ synodi loquuntur. Et lege quæ in eos a nobis scripta sunt.

ΖΩΝΑΡ. Τὰ ἐν τῇ ἐξηγήσει τῶν εἰρημένων κανόνων, ὧν μέμνηται ὁ παρὼν κανών, εἰρημένα ἡμῖν περὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ζητητέον, καὶ οἶμαι ὡς οὐ πλειόνων δεήσει τῷ τοῦτον ἀναγινώσκοντι.

ZONAR. Quæ a nobis de Constantinopolitana sede in eorum canonum, qui hic laudantur, explicatione dicta sunt, ea quærenda; quæ qui legerit, plura in hanc sententiam ut arbitror, non requiret.

ΑΡΙΣΤ. « Ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώ- « μης ἔστω, τῶν ἴσων ἀπολαύων πρεσβείων· « μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας· ἔξῆς ὁ Ἀντιο « χείας· εἶτα ὁ Ἱεροσολύμων. »

ARIST. « Thronus Constantinopolitanus post « Romanum proximus, æqualibus fruatur privile- « giis. Post eum Alexandrinus, deinceps Antio- « chenus, et deinde Hierosolymitanus. »

Τὸ τὸν Κωνσταντινουπόλεως τῶν ἴσων ἀπολαύειν πρεσβείων μετὰ τὸν Ῥώμης οὕτως ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Κωνσταντινουπόλει συνόδου ἡρμηνεύσαμεν, καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ τῆς ἐν Χαλκηδόνι συνόδου· ὥστε μὴ κατὰ τὴν τιμὴν δεύτερον τοῦ Ῥώμης τάττεσθαι, ἀλλὰ κατὰ τοὺς χρόνους. Οὕτω γοῦν καὶ ἐνταῦθα δεῖ νοεῖν τὴν μετὰ πρόθεσιν τοῦ χρόνου εἶναι δηλωτικήν, ἀλλ' οὐ τῆς τιμῆς. Μετὰ γὰρ χρόνους πολλοὺς τῶν ἴσων πρεσβείων τῇ Ῥωμαίων Ἐκκλησίᾳ καὶ ὁ θρόνος οὗτος τῆς Κωνσταντινουπόλεως ἔτυχε, διὰ τὸ βασιλεία τε καὶ συγκλήτῳ τιμηθῆναι τὴν πόλιν ταύτην, καὶ τῶν ἴσων ἀπολαύειν πρεσβείων τῇ πρεσβυτέρᾳ Ῥώμῃ.

199 Episcopum Constantinopolitanum æqualibus frui privilegiis post Romanum, sic in tertio synodi Constantinopolitanæ, et in vicesimo octavo synodi Chalcedonensis canone interpretati sumus, ut non honoris, sed temporis respectu secundus a Romano collocetur. Sic itaque et hic intelligendum est præpositionem, post, tempus indicare, non autem honorem. Nam *post* annos multos æqualia Romanæ Ecclesiæ obtinuit thronus hic Constantinopolitanus privilegia; eo quod imperio et senatu hæc civitas honorata est, æqualibus veteri Romæ gaudet privilegiis.

ΚΑΝΩΝ ΛΖ'.

« Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γε- « γόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν « ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦ- « θεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως « πρόεδρον μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν τὸν « οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερα- « τικῇ καταστάσει ἐνιδρυνθῆναι· καὶ οὕτω κατὰ « τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας καὶ πάντα ἃ « τῷ ἐπισκόπῳ ἀνήκει πράττειν τε καὶ μεταχειρί- « ζεσθαι· ἡμεῖς, τὸ τίμιον καὶ σεβάσμιον τῇ ἰε- « ρωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην « τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπή-

CANON XXXVII.

« Quoniam diversis temporibus barbaricæ incur- « siones fuere, et ex eo plurimæ civitates ab hos- « quis subjugatæ, ut ideo non possit ejus civi- « tatis præsul, postquam ordinatus fuerit, suum « thronum occupare, et in sacerdotali statu in « eo collocari, et sic pro ea quæ invaluit consue- « tudine, ordinationes et omnia quæ ad episcopum « pertinent, agere et tractare: nos honorem ac « venerationem sacerdotio servantes, et gentilem « injuriam nequaquam ad ecclesiasticorum jurium « perniciem posse quidquam agere volentes, eis « qui sic ordinati sunt, et propter prædictas

« causam in suis thronis non sunt constituti, ut
« absque ullo ex ea re præjudicio conserventur
« decrevimus, et ut diversorum clericorum ordi-
« nationes canonice faciant, et præsulatus aucto-
« ritate secundum proprios fines utantur, et sit
« firma ac legitima quæcunque sub iis procedit
« administratio. Non enim a tempore necessitatis
« exacta juris observatione circumscripta dispen-
« sationis terminus definietur. »

« ρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειρο-
« τονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν
« τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι θρόνοις, τὸ ἀπρο-
« κριμάτιστον τηρεῖσθαι συνεωράκαμεν, ὥστε καὶ
« χειροτονίας κληρικῶν διαφόρων κανονικῶς
« ποιεῖν, καὶ τῇ τῆς προεδρίας ἀὐθεντίᾳ κατὰ
« τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ νε-
« νομισμένην εἶναι πᾶσαν ὑπ' αὐτῶν προῖοῦσαν
« διοίκησιν (17). Οὐ γὰρ ὑπὸ τοῦ τῆς ἀνάγκης
« καιροῦ τῆς ἀκριβείας περιγραφείσης ὁ τῆς οἰ-
« κονομίας ὅρος περιορισθήσεται.

BALS. Nota præsentem canonem propter eos qui dicunt, patriarchas Antiochenum et Hierosolymitanum, et alios qui ad ecclesias suas non prius veniebant, nec posse in throno constitui ad causas ecclesiasticas, de quibus synodice agendum est, dignoscendas, vel ad ordinandum, vel aliud quippiam sacerdotale celebrandum; hujusmodi enim hominibus os occludit. Hunc enim canonem incomparabilis ille dominus Alexius Aristenus contra sanctissimum illum patriarcham Hierosolymitanum dominum Nicephorum protulit. Tricesimus sextus canon apostolicus, et decimus septimus et decimus octavus Antiochenæ synodi, episcopos quidem, qui postquam ordinati fuerint in eas quæ illis obtigerunt diœceses non proficiscuntur, segregationi subjiciunt: eos autem, qui non sua culpa, sed propter causam aliquam rationabilem, non accesserint, puniendos non esse dicunt, et eos suum honorem habere decernunt, perinde ac si in regione versati, et in sede collocati essent. Præsens autem canon decernit episcopos, qui non potuerint, propter barbaricam incursionem, in eos qui eis obtigerunt thronos proficisci, similiter honorari, et sine ullo præjudicio omnia pontificalia exercere, et omnino reputari, perinde ac si in regionem secessissent, et in throno suo collocati essent. Quamobrem et Iconii metropolitanus, et Orientales alii metropolitani, non habentes ecclesias, ut quæ a Barbaris teneantur, episcopos recte ordinant, et pontificalia omnia exercent, etiamsi omnino in ecclesias, quæ illos sortitæ sunt, non venerint, nec in throno collocati fuerint. Vidi enim hoc sæpe dictum, et in controversiam deductum. Lege et, quæ in mense Novembri secunda indictione emissa est, constitutionem illustris imperatoris domini Alexii **200** Comneni, et decernentem eos, qui in Orientales ecclesias

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα (18) διὰ τοὺς λέγοντας μὴ δύνασθαι τόν τε Ἀντιοχείας καὶ Ἱεροσολύμων πατριάρχας, καὶ τοὺς λοιποὺς τοὺς μὴ φθάσαντας εἰς τὰς ἰδίας ἐκκλησίας ἀπελθεῖν, καὶ ἐνθρονισθῆναι μὴ δύνασθαι, διαγινώσκειν χάριν ἐκκλησιαστικῶν ὑποθέσεων λαλουμένων συνοδικῶς ἢ χειροτονεῖν, ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργεῖν· ἀντιστομίζει γὰρ τοὺς τοιούτους· προεβάλετο γὰρ τὸν τοιοῦτον κανόνα ὁ ὑπέρτιμος ἐκεῖνος κῦρος Ἀλέξιος ὁ Ἀριστηνὸς κατὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου Ἱεροσολύμων κυροῦ Νικηφόρου. Ὁ λς' ἀποστολικὸς κανών, καὶ ὁ ιζ' καὶ ὁ ιη' τῆς ἐν Ἀντιοχείᾳ συνόδου τοὺς μὲν ἐπισκόπους, τοὺς μετὰ τὸ χειροτονηθῆναι μὴ ἐπιδημήσαντας εἰς τὰς λαχούσας, αὐτοὺς ἀφορισμῷ καθυποβάλλουσι· τοὺς δὲ μὴ παρ' αἰτίαν οἰκείαν, ἀλλὰ διά τινα πρόφασιν εὔλογον μὴ ἀπελθόντας ἀνευθύνους εἶναί φασι, καὶ διορίζονται ἔχειν τούτους τὴν οἰκείαν τιμὴν τοιαύτην, ὥσπερ ἂν εἰ κατὰ χώραν ἐνεδήμησαν καὶ ἐνεθρονίσθησαν. Ὁ δὲ παρὼν κανὼν θεσπίζει τοὺς ἐπισκόπους, τοὺς μὴ δυνηθέντας διὰ βαρβαρικὴν ἔφοδον ἀπελθεῖν εἰς τοὺς λαχόντας αὐτοῖς θρόνους, παρομοίως τιμᾶσθαι, καὶ ἐνεργεῖν ἀπροκριματίστως πάντα τὰ ἀρχιερατικά, καὶ ἁπλῶς λογίζεσθαι, ὥσπερ εἰ κατὰ χώραν ἀπῆλθον καὶ ἐνεθρονίσθησαν. Ὥστε καὶ ὁ μητροπολίτης Ἰκονίου καὶ ἕτεροι Ἀνατολικοὶ μητροπολῖται μὴ ἔχοντες ἐκκλησίας, ὡς κρατουμένας ὑπὸ βαρβάρων καλῶς ἐπισκόπους χειροτονοῦσι, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐνεργοῦσι, κἂν οὐκ ἔφθασαν ὅλως εἰς τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπελθεῖν καὶ ἐνθρονισθῆναι. Εἶδον γὰρ τοῦτο πολλάκις λαληθὲν καὶ εἰς ἀμφιβολίαν ἐλθόν. Ἀνάγνωθι καὶ τὴν κατὰ τὸν Νοέμβριον μῆνα τῆς β' ἰνδικτιῶνος ἀπολυθεῖσαν πρόσταξιν τοῦ ἀοιδίμου βασιλέως (19) κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ διοριζομένην τοὺς ψηφισθέντας εἰς Ἀνατολικὰς ἐκκλησίας ἔχειν αὐθις

Guill Beveregii notæ.

(17) *Προῖοῦσαν διοίκησιν.* Mss. Amerbachianus et Æmiliensis legunt προνοῦσαν, reliqui nostræ, ut veriori quidem lectioni, suffragantur.

(18) *Σημείωσαι τὸν παρόντα κανόνα.* Hæc, usque ad κυροῦ Νικηφόρου inclusive, nec in Parisiensi editione neque in ms. Amerbachiano leguntur, sed tantum in codice nostro Bodleiano, cui ea accepta ferimus.

(19) *Πρόσταξιν τοῦ ἀοιδίμου βασιλέως.* Balsamon in *Meditat. de patriarcharum privilegiis*, non modo præsentem canonem laudat, verum hujus etiam ipsius Alexii Comneni edicti mentionem fecit et summam tradidit, dicens, Σὺν τῷ τοιούτῳ δὲ κανόνι ἀναδιδάσκω τοὺς ἐντυγχάνοντας τῇ παρούσῃ γραφῇ, ὡς καὶ πρόσταξίς ἐστι τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸν Νοέμβριον μῆνα τῆς δευτέρας ἐπινεμήσεως ἀπολυθεῖσα, καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς σεκρέτοις καταστρωθεῖσα, καὶ διοριζομένη μὴ μόνον ἀπαρεμποδίστως ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς ἀνατολικὰς Ἐκκλησίας, τὰς παρὰ τῶν ἐθνῶν κατεχομένας, κἂν οὐ δύνανται οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχοῦντας τούτους θρόνους διὰ τὴν ἐθνικὴν κακίαν, ἀλλὰ καὶ μετὰ τὴν χειροτονίαν ἔχειν ὅσα πρὸ ταύτης ἔσχον κατὰ τὴν μεγαλόπολιν δίκαια, ἡγουμενείας δηλαδὴ, ἀδελφάτων αἰτιρέσια, καὶ λοιπά. Bals. *Medit. in Jur. Gr. Rom.* t. VII, p. 455.

τὰ προσόντα αὐτοῖς ἡγουμενεῖα καὶ ἀδελφάτα καὶ ὀφφίκια· ἥτις ἔχει κατὰ ῥῆμα οὕτως· Ἀνέμαθεν ἡ βασιλεία μου, ἁγιωτατε δέσποτά μου καὶ οἰκουμενικὲ πατριάρχα, ὅτι τῶν ἐν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις ψήφων προβαινουσῶν, τινὲς τῶν εἰς τὰς ψήφους ἐπιλεγέντων ἡγουμενεύοντες ἐν μοναστηρίοις καὶ οἰκονομοῦντες, ἢ καὶ ἑτέρας τινὰς ὑπηρεσίας διενεργοῦντες, καὶ ἁπλῶς τυγχάνοντες μοναχοί, ἕτεροι δὲ ἐν τε τῇ τοῦ Θεοῦ Μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν ἑτέραις, ἀπό τε ὀφφικίων καὶ ἑτέρων τινῶν λειτουργιῶν τὰ ζωαρκῆ κεκτημένοι, δυσχερῶς ἔχουσι τὸν τῆς ἱερωσύνης ζυγὸν (20) ὑπελθεῖν, καὶ ταῖς ἐκκλησίαις ἐπιστατῆσαι αἷς ἐπεκηρύχθησαν, δεδιότες μήποτε, τῶν τοιούτων ἐκκλησιῶν ἐν τοῖς τῆς Ἀνατολῆς μέρεσι διακειμένων, ἐπιλείψειε τούτοις τὰ ἀναγκαῖα· ἅτε τῶν μὲν ἐν αἷς ἐπεψηφίσθησαν ἐκκλησιῶν πάντη τυγχανουσῶν ἀπόρων καὶ ἀπροσβάτων αὐτοῖς παντελῶς, στερουμένων δὲ καὶ αὐτῶν, διὰ τὸ τὴν ἐπιστασίαν τούτων ὑπεισελθεῖν, τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν καὶ οἰκονομιῶν, καὶ ἑτέρων λειτουργιῶν, καὶ τῶν ἁπλοϊκῶς λεγομένων ἀδελφάτων ἢ καὶ ὀφφικίων, καὶ ἑτέρων τινῶν ὑπηρεσιῶν. Διορίζεται τοίνυν ἡ βασιλεία μου, οἰκονομικῷ τινι λόγῳ διευθετοῦσα τὰ κατ' αὐτούς, μή τινα τούτων μετὰ ταῦτα δυσχεραίνειν τῷ ζυγῷ τῆς ἀρχιερωσύνης ὑποδραμεῖν. Πάντες γὰρ οὗτοι καταπολαύσουσι καὶ πάλιν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν τε καὶ οἰκονομιῶν, τῶν ἑτέρων τε ὑπηρεσιῶν καὶ λειτουργιῶν καὶ ὀφφικίων, καὶ τῶν προσόντων αὐτοῖς ἀδελφάτων· καὶ τὸν τῆς διδασκαλίας ὑπεισερχόμενοι λόγον, καὶ τὴν τελειοποιὸν τάξιν ἀναδεξάμενοι, καὶ τῶν ἀπ' ἐκείνων προσόδων κατεξουσιάσουσι μέχρις ἂν ἄνεσιν λάβοιεν, καὶ ἀπὸ τῆς νῦν δυσκληρίας κατασταῖεν πρὸς εὐκληρίαν τὴν τῶν ἐπιψηφισθεισῶν αὐτοῖς ἐκκλησιῶν, ὡς εἴρηται, ἀβάτων οὐσῶν τούτοις, ὡς ὑπὸ τῶν ἐχθίστων κατεχομένων ἐχθρῶν. Πλὴν τὰ ἐνταῦθα διωρισμένα παρὰ τῆς βασιλείας μου οὐκ ἐπὶ τῶν ἀρχοντικίων κρατήσει καὶ τῶν βαθμῶν τῶν ἱερέων τε καὶ τῶν διακόνων καὶ τῶν λοιπῶν τοῦ κλήρου τῆς τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας. Κατάστρωσον οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς κώδιξι τοῦ χαρτοφυλακίου τῆς τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας.

A electi sunt, habere in posterum monasteriorum præfecturas, et fraternitates, et officia, ad illos pertinentia. Quæ verbatim sic se habet : Didicit imperialis mea potestas, sanctissime domine et universalis patriarcha, quod cum in Dei Ecclesia electiones procedunt, quidam eorum, qui electi sunt, in monasteriis gubernantes et domus administrationis curam gerentes, vel alia etiam ministeria exercentes, et omnino monachi existentes, alii autem in Magna Dei ecclesia, et in aliis, ex officiis et aliis muneribus ac ministeriis, ea quæ victui sufficiunt possidentes, ægre ferunt pontificale jugum subire, et illis ecclesiis præesse, in quas renuntiati sunt, veriti ne cum ejusmodi ecclesiæ in Orientis partibus sint, eis necessaria desint ; utpote, cum ecclesiæ B quidem, in quibus electi sunt, admodum indigentes sint et illis omnino inaccessæ, priventur autem et ipsi, eo quod illarum curam suscipiant, præfecturis et œconomiis, quæ sibi adsunt, et aliis muneribus, et iis, quæ simpliciter dicuntur fraternitates, et officiis, et quibusdam aliis ministeriis. Mea itaque statuit imperialis potestas, ea, quæ ad ipsos pertinent, dispensativa quadam ratione disponens, ne quis posthac pontificale jugum subire recuset. Ii enim omnes etiam rursus fruentur iis, quæ sibi adsunt, præfecturis, et œconomiis, et aliis item ministeriis ac muneribus et officiis, et quæ illis adsunt fraternitates : et doctrinæ rationem subeuntes, perficiente a se suscepto ordine, illorum quoque C reditus libere percipient, donec remissionem acceperint, et ab ea, quæ nunc est, cleri calamitosa sorte ad meliorem cleri successum eis attributarum ecclesiarum, quæ ab eis, ut dixi, adiri non possunt, ut quæ ab infestissimis teneantur hostibus, pervenerint. Sed, quæ a mea imperiali potestate constituta sunt, locum non habebunt in officiis vel gradibus sacerdotum et diaconorum et cæterorum cleri Magnæ Dei ecclesiæ. Pone ergo præsentem constitutionem in codicibus chartophylacii Magnæ Dei ecclesiæ.

ΖΩΝΑΡ. Τοὺς κληθέντας εἰς λαοῦ προστασίαν, καὶ μὴ πειθομένους ἀπελθεῖν, ἀφορίζει ὁ ἑπτακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανών. Τοὺς δὲ χειροτονηθέντας, μὴ ἀπελθόντας δὲ, οὐ παρ' αἰτίαν οἰκείαν, ἀλλ' ἢ διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτῶν γενομένην, ὁ ὀκτωκαιδέκατος τῆς αὐτῆς συνόδου κανὼν μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας κελεύει. Τοῦτο δὴ πλατύτερον καὶ ὁ παρὼν θεσπίζει κανών, λέγων ὡς, ἐάν τις εἰς ἐπισκοπὴν προαχθεὶς μὴ δυνηθῇ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν πόλιν, ὑπὸ Βαρβάρων ἴσως κατεχομένην, ὁ τοιοῦτος ἅπαν ἕξει προνόμιον

D ZONAR. Qui assignatum præfecturæ munus defugiunt, Antiochenæ synodi 17 can. segregantur. Qui vero pastores renuntiati, non aliquo suo vitio, sed vel a multitudine exclusi, vel alia causa, in qua culpa ipsi vacarent, impediti, muneris sui partes obire vetarentur, iis ut honore nihilominus et ministerii prærogativis frui liceat, decimo octavo ejusdem synodi can. constitutum. Idem hoc canone, fusius explicata constitutione, decernitur. Si quis enim, inquit, ad episcopatum evectus, destinatam sibi civitatem, quippe a Barbaris forte occupatam, obire non queat, omnia is privilegia, sibi pro mu-

Guill. Beverogii notæ.

(20) *Τῆς ἱερωσυνης ζυγόν.* Amerbachianus et Æthoniensis codices mss. legunt ἀρχιερωσύνης, quam sane lectionem sensus requirit ; neque enim de sacerdotali, sed episcopali jugo hic agitur. Et quidem in vera hac lectione omnes codices paulo consentiunt, ubi dicitur, τῷ ζυγῷ τῆς ἀρχιερωσύνης ὑποδραμεῖν.

nere præfecturæ, quam obtinet debita, nihilominus vindicabit. Itaque et clericos ordinibus insignire, canonice tamen, hoc est, servatis in eo canonum sanctionibus poterit, et honorem episcopi et cathedræ dignitatem obtinebit. Est hæc namque præsulatus auctoritas secundum proprios fines sive prout definitum est et constitutum, honore affici illam civitatem, ita ut prima sit forte, vel secunda, vel alia deinceps. Non enim de ea dejicietur, propterea quod sacram ipsius urbis cathedram tenere adhuc non potuerit. Sed et quæcunque episcopali auctoritate ab eo constituta actave fuerint, rata omnia et quam optimo jure firma haberi placet. Nec enim, quia temporum iniquitate, excitatæque a Barbaris procellæ periculo exclusus ecclesiæ suæ possessionem episcopus adire non possit, idcirco circumscribetur diligentia, et œconomiæ sive dispensationis termini angustius definientur; hoc est, non ea de causa minus exacte ac religiose can. servari placet, quorum auctoritate episcopis, in sua cuique diœcesi, concessa facultas.

ἀρχιερατικὸν ἀνῆκον αὐτῷ. Καὶ χειροτονήσει γὰρ κληρικοὺς, πλὴν μέντοι κανονικῶς, ὡς οἱ κανόνες δηλαδὴ διατάττονται, καὶ τὴν τιμὴν ἕξει τοῦ ἐπισκόπου καὶ καθέδρας ἀξιωθήσεται. Αὕτη γὰρ ἡ τῆς προεδρίας αὐθεντία κατὰ τὸν ἴδιον ὅρον, ἤγουν καθὼς ὥρισται καὶ τετύπωται τιμᾶσθαι τὴν πόλιν ἐκείνην, πρώτην εἶναι τυχὸν, ἢ δευτέραν, ἢ ἑφεξῆς. Οὐ γὰρ ὑποβιβασθήσεται, διὰ τὸ μὴ ἐνιδρυνθῆναι αὐτῇ τῇ ἱερᾷ καθέδρᾳ. Ἀλλὰ καὶ ὅσα ἂν διοικήσῃ καὶ διαπράξηται ἀρχιερατικῷ δικαίῳ, βέβαια ἔσονται πάντα, καὶ νόμιμα λογισθήσονται. Οὐ γὰρ ἐκ τοῦ μὴ δυνηθῆναι αὐτὸν ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, καὶ τὴν περίστασιν τὴν ἐκ τῶν Βαρβάρων, παραγραφήσεται ἡ ἀκρίβεια, καὶ ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται, ἀντὶ τοῦ, συστολὴν ἕξει τινὰ καὶ ἐλαττωθήσεται ἡ τῶν κανόνων ἀκρίβεια, διδοῦσα τοῖς ἐπισκόποις ἐξουσίαν τῆς διοικήσεως τῶν ἐν ταῖς ἐπισκοπαῖς αὐτῶν πάντων.

de omnibus quæ ad eam pertinent statuendi est

201 ARIST. « Episcopus qui propter Barbarorum « incursionem in throno non collocatur, et cathe« dra sua fruatur, et ordinet, atque omnibus « sacerdotis muneribus firmissime fungatur. »

Si quis episcopus ordinetur, et propter Barbarorum incursiones non possit ad urbem, in quam ordinatus erat, se recipere, ut in ea constituatur, et in statu collocetur sacerdotali : ne prohibeatur agere quæ ad episcopum pertinent, sed omnia faciat tractetque, et honoris qui in cathedra est particeps sit, et clericorum variorum ordinationes canonice faciat, et quidquid ab eo secundum jus canonicum factum fuerit firmum habeatur. Temporis enim necessitas eum non circumscribet, ut dignitas ejus episcopalis ullo modo imminuta sit.

ΑΡΙΣΤ. « Ἐπίσκοπος ὁ διὰ Βαρβάρων ἔφοδον μὴ « ἱστὰς τῷ θρόνῳ, καὶ καθέδραν τὴν οἰκείαν « ἐχέτω, καὶ χειροτονείτω, καὶ πάντα τὰ τῆς ἱε« ρωσύνης ἐνεργείτω βεβαιότατα. »

Εἴ τις ἐπίσκοπος χειροτονηθῇ, καὶ διὰ τὰς τῶν Βαρβάρων ἐπιδρομὰς οὐ δυνηθῇ ἀπελθεῖν εἰς ἣν ἐχειροτονήθη πόλιν, ὥστε ἐν αὐτῇ καταστῆναι, καὶ ἐγκαθιδρυνθῆναι ἱερατικῇ καταστάσει· μὴ κωλυέσθω ἐνεργεῖν ἃ τοῖς ἐπισκόποις ἀνήκει, ἀλλὰ πάντα πραττέσθω, καὶ μεταχειριζέσθω, καὶ τὴν ἐν τῇ καθέδρᾳ τιμὴν ἐχέτω, καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιείτω, καὶ πᾶν ὑπ' αὐτοῦ πραχθὲν κατὰ κανονικὴν ἀκρίβειαν ἔστω βέβαιον. Ἡ γὰρ ἀνάγκη τοῦ καιροῦ εἰς περιγραφὴν αὐτοῦ οὐ γενήσεται, ὥστε τὴν ἐπισκοπικὴν αὐτοῦ ἐλαττοῦσθαι ἀξίαν.

CANON XXXVIII.

« Canonem, qui a Patribus factus est, nos quoque « observamus, qui sic edicit : Si qua civitas ab « imp. potestate innovata sit, vel posthac inno« vanda, civiles ac publicos typos et ecclesiasti« carum quoque rerum ordo consequatur. »

ΚΑΝΩΝ ΛΗ'.

« Τὸν ἐκ τῶν Πατέρων τεθέντα κανόνα καὶ ἡμεῖς « παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· Εἴ τις « ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις « καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύ« ποις καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων « τάξις ἀκολουθείτω. »

BALS. In duodecimo canone Chalcedonensis synodi scripsimus quæ quidem scripsimus. Quoniam autem præsens quoque canon statuit eas, quæ imperatoria potestate excitatæ, vel etiam excitandæ sunt civitates, ab ecclesiis quoque honorari, sicut imperiale jussum descripserit, id est, ut ipsæ habeant vel episcopalem dignitatem vel metropolitanam : (oportet enim ecclesiasticum ordinem civiles et publicos, sive imperatorios typos sequi) dicimus, quod etiam a præsenti canone imperatori datum est episcopatus novos facere, alios autem in jura metropoleos erigere, et de eorum electione aliaque administratione, prout ei visum fuerit, statuere. Interim autem debet scire, quod in mense Maio, decima indictione, anno 6595 exiit edictum ab illustri imperatore domino Alexio Comneno in hunc

ΒΑΛΣ. Ἐν μὲν τῷ ιβ' κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου ἐγράψαμεν ὅσα δὴ καὶ ἐγράψαμεν· ἐπειδὴ δὲ καὶ ὁ παρὼν κανὼν διορίζεται τὰς διὰ βασιλικῆς ἐξουσίας ἀνεγερθείσας πόλεις ἢ καὶ ἀνεγερθησομένας τιμᾶσθαι καὶ παρὰ τῶν ἐκκλησιῶν, καθὼς ἡ βασιλικὴ ὑποτυπώσει πρόσταξις, τουτέστιν ἔχειν αὐτὰς ἢ ἐπισκοπῆς ἀξίωμα ἢ μητροπόλεως· (δέον γάρ ἐστιν ἀκολουθεῖν τὴν ἐκκλησιαστικὴν τάξιν τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἤτοι τοῖς βασιλικοῖς προστάγμασι)· φαμὲν ὡς ἐνεδόθη μὲν ἀπὸ τοῦ παρόντος κανόνος τῷ βασιλεῖ ἐπισκοπὰς ποιεῖν ἐκ νέου, ἑτέρας δὲ ἀνάγειν εἰς δίκαια μητροπόλεως, καὶ ὑποτυποῦν τὰ περὶ τῆς ψήφου αὐτῶν καὶ τῆς ἄλλης οἰκονομίας κατὰ τὸ δόξαν αὐτῷ· τέως δὲ ὀφείλει εἰδέναι ὅτι κατὰ τὸν Μάϊον μῆνα τῆς ι' ἰνδικτιῶνι τοῦ ϛφιε' ἔτους γέγονε

σημείωμα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, διαλαμβάνον ὡς, τῆς μητροπόλεως τοῦ Βασιλαίου καὶ τῆς μητροπόλεως Μαδύτων χηρευουσῶν καὶ μελλουσῶν ψηφισθῆναι, διανέστησαν οἱ μητροπολῖται ὁ Ἡρακλείας καὶ ὁ Ἀγκύρας, καὶ εἶπον μὴ ὀφείλειν τὰς τοιαύτας ἐκκλησίας, κἂν ἐπιτιμήθησαν τῷ τῆς μητροπόλεως ἀξιώματι, παρὰ τοῦ μέρους τῆς Μεγάλης ἐκκλησίας ψηφισθῆναι, ἀλλὰ παρ' αὐτῶν· διὰ τὸ τὴν μὲν ἐκκλησίαν τῶν Μαδύτων ἐπισκοπὴν εἶναι τοῦ Ἡρακλείας, τὴν δὲ ἐκκλησίαν τοῦ Βασιλαίου ἐπισκοπὴν εἶναι τοῦ Ἀγκύρας. Χρησαμένων δὲ τῶν τοιούτων μητροπολιτῶν καὶ τῷ ιβ' κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, διοριζομένῳ σώζεσθαι τῇ κατ' ἀλήθειαν μητροπόλει τὰ προσόντα αὐτῇ δίκαια ἐπὶ τῇ τιμηθείσῃ ἐκκλησίᾳ, διάγνωσις γέγονε βασιλικὴ κατὰ παρουσίαν καὶ τῆς τότε συνδιαγνωμονούσης συνόδου, ὀφειλόντων εἶναι τῷ βασιλεῖ προεδρίας θρόνον ταῖς ἐκκλησίαις χαρίζεσθαι, καὶ τὰς ἐπισκοπὰς καὶ τὰς ἀρχιεπισκοπὰς εἰς μητροπόλεις ἀνάγειν· καὶ τὰ περὶ τῶν ψήφων αὐτῶν καὶ τῆς ἄλλης διευθετήσεως ὑποτυποῦν κατὰ τὸ αὐτῷ θελητὸν, μὴ ἐμποδιζομένῳ πρὸς τοῦτο ἀκ τοῦ κανόνος τοῦ διοριζομένου φυλάττεσθαι τῇ μητροπόλει τὰ κατὰ τῆς τιμηθείσης ἐπισκοπῆς προσόντα αὐτῇ ἀρχῆθεν δίκαια. Καὶ ἀνάγνωθι τὸ τοιοῦτον σημείωμα· ἑρμηνεῦον πῶς ὀφείλει νοεῖσθαι τὸ σώζεσθαι τὰ δίκαια τῆς παλαιᾶς μητροπόλεως, καὶ τὸ μὴ κατατέμνεσθαι τὴν μίαν ἐπαρχίαν εἰς δύο. Ἡμεῖς γὰρ, διὰ τὸ πολύστιχον εἶναι, οὐ κατεστρώσαμεν αὐτὸ ἐνταῦθα ἐξολοκλήρου. Τὸ αὐτὸ δὲ σημείωμα, μετὰ τὴν διήγησιν τὴν περιέχουσαν ὀφείλειν ψηφίζεσθαι τὰς τιμηθείσας ἐκκλησίας κατὰ πρόσταξιν βασιλικὴν παρὰ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, καὶ μηδὲν μετέχειν ἐπὶ αὐτοῖς τοὺς πρώην μητροπολίτας, διαλαμβάνει καὶ ταῦτα ῥητῶς. Ἐπεὶ δὲ οἱ ἀρχιερεῖς καὶ αὖθις τὸν τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα προσφέροντες τοὺς ἐκ προσελεύσεως τοῦ ὑψηλοτέρου ἀξιουμένους θρόνου παρὰ κανόνας ἔλεγον τῆς τελεωτέρας τυγχάνειν τιμῆς, καὶ ἤθελον ταῖς ἀλογίστοις ὁρμαῖς ἐπιτεθῆναι κώλυμα, καὶ ἦσαν κανονικὴν προσφέροντες ἀξίωσιν, ἡ βασιλεία μου, καὶ τῇ βασιλικῇ ἐξουσίᾳ τὸ παρὰ τῶν θείων κανόνων δεδομένον ταύτῃ προνόμιον παροράσθαι μὴ θέλουσα, καὶ τὰς ἐπὶ προκλήσει τιμῆς προσελεύσεις τῶν ἀρχιερέων ὡς μὴ κανονικὰς, μηδ' ἔννομον τὸ τῆς ἐφέσεως ἀποτέλεσμα μὴ λαμβάνειν ἐθέλουσα, εὐδοκεῖ μὴ ἄλλως ἐπισκοπὴν εἰς προβαθμιώτερον θρόνον ἀνάγεσθαι, ἀρχιεπισκοπῆς δηλονότι ἢ μητροπόλεως, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἰκοθεν ὁρμηθεὶς, χάριτος ἀνθρωπίνης μὴ μεσολαβούσης οὐκ εὐπρεποῦς, βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν, ἢ τιμῇ τῆς πόλεως, ἢ πίστει τῇ πρὸς τὴν ἁγίαν Ἐκκλησίαν, ἢ τοῦ πρωτοστῶτος αὐτῆς τὴν ἀρετὴν σεβασθεὶς, κἀντεῦθεν αὐθόρμητος γεγονὼς πρὸς τὸ χαρίσασθαι τὴν τιμήν. Καὶ τῷ γε δι' ἀνθρωπίνην προσπάθειαν καὶ τρόπον οὐκ ἐπαινούμενον τὸ ὑπερβεβηκὸς χαριζομένῳ τῆς τάξεως τὸ ἀπὸ τῶν θείων κανόνων δέος ἐπανατείνεται. Οἷς ἵνα μὴ περιπέσῃ

tenorem, quod cum metropolis Basilæi et metropolis Madytana viduæ essent, et antistitum electionem fieri oporteret, exsurrexerunt Heracleensis et Ancyranus metropolitanus, et dixerunt, non debere eas ecclesias, etiamsi metropolium dignitate honoratæ sint, a Magnæ ecclesiæ partibus earum antistitum electionem suscipere, sed ab ipsis : eo quod Madytana quidem ecclesia sit Heracleæ episcopatus, Basilæi autem ecclesia sit Ancyrani metropolitani episcopatus. Et cum usi essent ii metropolitani 12 canone Chalcedonensis synodi, quæ decernit servanda veræ metropoli jura, quæ illi adsunt in honorata ecclesia ; decretum fuit imperiale in præsentia synodi, quæ tunc erat, consentientis unaque decernentis, licere imperatoribus pontificalem thronum ecclesiis largiri, et episcopatus vel archiepiscopatus in metropoles erigere : eaque, quæ ad electionem pertinent et reliquam dispositionem, prout ipse voluerit, describere, nec a canone impediri, qui statuit metropoli jura servari, quæ illi adfuerunt ab initio in honorato episcopatu. Et lege hoc edictum, quod interpretatur quomodo intelligi debeat illud, servari jura antiquæ metropolis, et hoc, non dividendam esse unam provinciam in duas. Nos enim, eo quod sit prolixius, hic integrum non posuimus. Hoc ipsum autem edictum, post decretum quod continet, debere ecclesias quæ sunt honoratæ jussu imperiali a throno Constantinopolitano 202 præsulum electionem accipere, nec eos, qui paulo ante erant metropolitani ullam in eis partem habere ; hæc quoque expresse continet : Quoniam autem rursus quoque antistites, Chalced. synodi canonem adducentes, eos qui ex supplicatione altiore throno digni habiti sunt, dicebant, præter canones honorem perfectiorem consequi, et rationis experies eorum appetitiones coerceri volebant et canonicam auctoritatem afferebant ; imperium meum et imperiali sua potestate, quod a divinis canonibus et datum est privilegium, neglectui haberi non sinens, et antistitum ob honoris provocationem supplicationes, ut non canonicas neque legitimas, appellationis eventum accipere nolens statuit, episcopatum non aliter in sublimiorem thronum erigendum, archiepiscopatus scilicet vel metropolis, quam si qui tunc est imperator proprio motu impulsus, nulla humana indecore gratia intercedente, voluerit illam, quæ superior est ac eminentior, dignitatem ei præbere, vel propter civitatis honorem, vel propter ejus fidem in sanctam Ecclesiam, vel ejus, qui illi præest, virtutem honorans, et ex eo sua sponte incitatus ad largiendum honorem. Ac ei quidem, qui propter humanam affectionem, et mores non laudatos, ordinem sublimem largitur divinorum canonum metus intentatur. In quos ne sæpe imperator impingat, permittit et sanctissimo, qui pro tempore est, patriarchæ, non aliter a quovis allatam de cujuscunque ecclesiæ primatu chartam confirmare, nec ejus præsulum inter archiepiscopos vel metropolitanos recipere, quam postquam de ea re

ad imperialem potestatem patriarcha retulerit, et quid sacris cautum sit canonibus docuerit, et intellexerit, quod imperator, proprio motu, justa de causa ecclesiæ hunc honorem largitus est. Tunc enim et eam admittet, et in eorum qui sub se sunt antistitum numerum illum cooptabit, qui præstantiorem honorem ab imp. sortitus est. Nota ergo quæ a præsenti imp. edicto dicuntur, de ecclesiis honoratis erectisque ex episcopatibus et archiepiscopatibus in metropoles.

A πολλάκις ὁ βασιλεὺς, ἐφησι καὶ τοῦτο τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ, μὴ ἄλλως καταστρωνύειν τὸ παρ' οἱουδήτινος προκομιζόμενον πιττάκιον χάριν προεδρίας τῆς οἱασοῦν ἐκκλησίας, μηδὲ τὸν προεστῶτα αὐτῆς τοῖς ἀρχιεπισκόποις ἢ τοῖς μητροπολίταις συγκαταλέγεσθαι, εἰ μὴ ὁ πατριάρχης, περὶ τούτου ἀνενεγκὼν τῇ βασιλικῇ ἐξουσίᾳ, καὶ τὰ περὶ τῶν θείων κανόνων ἀναδιδάξας, μάθοι ὡς κατὰ τὸ ἐφειμένον οἴκοθεν ὁ βασιλεὺς ἐξ εὐλόγου προφάσεως τῇ Ἐκκλησίᾳ τὴν τιμὴν ἐχαρίσατο. Τότε γὰρ καὶ προσδέξεται τοῦτο, καὶ τῇ τῶν ὑπ' αὐτὸν ἀρχιερέων ὁμηγύρει συγκαταλέξει τὸν εἰληχότα ἐκ βασιλέως τὴν κρείττω τιμήν. Σημείωσαι οὖν τὰ τοῦ παρόντος βασιλικοῦ σημειώματος ῥητὰ χάριν τῶν τιμωμένων ἐκκλησιῶν ἀπὸ ἐπισκοπῶν καὶ ἀρχιεπισκοπῶν εἰς μητροπόλεις.

ZONAR. Renovari urbes, hoc est excitari, quæ nullæ fuerant, ab imperatoribus consuevere, quibus B cætera urbium privilegia, aut episcopatus quoque honorem, aut etiam metropolitani forte tituli dignationem, edictis promulgatis, quos etiam publicos typos, pragmaticos alibi, et imperatorias litteras vocavere, dilargiri soliti sunt. Pragmaticis igitur hujusmodi vel publicis typis ecclesiastici quoque ordinis dispositionem accommodandam suadet canon, ut sive episcopatus appellationem nova urbs habuerit, seu ad metropolitani fastigii honorem evecta sit, eodem prorsus ecclesiasticorum jurium ordine recenseatur.

ΖΩΝΑΡ. Καινίζουσι πόλεις οἱ βασιλεῖς, ἀντὶ τοῦ νέας; ἀνεγείρουσι, καὶ διδόασι ταύταις προνόμιον πολιτικὸν, ἢ καὶ τιμῶσιν αὐτὰς εἰς ἐπισκοπὰς, ἢ καὶ μητροπόλεις τυχὸν διὰ προσταγμάτων ἐγγράφων, ἃ καὶ δημοσίους τύπους ὠνόμασαν, ἀλλαχοῦ δὲ πραγματικοὺς αὐτοὺς καλεῖ, καὶ βασίλεια γράμματα. Τούτοις οὖν τοῖς πραγματικοῖς ἢ δημοσίοις τύποις παρακελεύεται ὁ κανὼν καὶ τὴν τῶν ἐκκλησιαστικῶν ταξιν ἀκολουθεῖν. Ὡς εἴτε ἐπισκοπῆς ἔσχε κλῆσιν ἡ καινὴ πόλις, εἴτε εἰς μητροπόλεως ἀνήχθη τιμὴν, οὕτω καὶ παρὰ τῇ τάξει τῶν ἐκκλησιαστικῶν δικαίων καταλογίζεσθαι.

ARIST. « Si quæ de novo ab imperatore exstructa
« est civitas, vel exstruetur, politicos publicosque
« typos rerum etiam ecclesiasticarum ordo con-
« sequatur. » C

ΑΡΙΣΤ. « Εἴ τις ἐκαινίσθη πόλις ἐκ βασιλέως, ἢ
« καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύ-
« ποις, καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων
« τάξις ἀκολουθείτω. »

Quæ ab imperatore de novo exstruitur aut exstruetur urbs, sub ejus episcopi diœcesi erit, sub qua descripta est, et cui subjacere jussa. Licet enim alterius episcopi parœciæ proximior sit, eam tamen sibi non vindicabit qui vicinior est, sed civiles et publicos typos etiam talis civitas sequetur, quemadmodum et in decimo septimo synodi Chalcedonensis canone decretum est.

Ἡ παρὰ βασιλέως καινισθεῖσα, ἢ καὶ καινισθησομένη πόλις, ὑπὸ τὴν ἐνορίαν ἐκείνου ἔσται τοῦ ἐπισκόπου, ὑφ' ἣν ἐναπεγράφη καὶ ὑπετέθη τελεῖν. Κἂν τῇ παροικίᾳ ἑτέρου ἐπισκόπου μᾶλλον ἐγγίζει, οὐκ ἐκδικήσει αὐτὴν οὕτως ὁ γειτνιάζων, ἀλλὰ τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἐπακολουθήσει καὶ ἡ τοιαύτη πόλις, καθὼς ἐν τῷ ἑπταικαιδεκάτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου ὥρισται.

CANON XXXIX.

« Cum frater et comministeri noster Joannes, insulæ
« Cypri præsul, una cum suo populo in Helles-
« pontica provincia, et propter barbaricas in-
« cursiones, et ut a gentilium servitute libera-
« rentur, et Christianissimæ potentiæ sceptris
« pure subjicerentur, a prædicta insula emigra-
« verint; clementis Dei providentia, et pii Chri-
« stique amantis imperatoris nostri labore, con-
« stituimus, ut citra ullam innovationem serventur
« quæ a divinis Patribus, qui Ephesi **203** olim
« convenerunt, prædicti viri throno privilegia
« concessa sunt; ut nova Justinianopolis Con-
« stantinopolis jus habeat, et, qui in ea consti-
« tuitur, in primis pius ac religiosissimus epi-
« scopus, præsit omnibus Hellespontiorum pro-

ΚΑΝΩΝ ΛΘ'.

« Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου
« τοῦ τῆς Κύπρου νήσου προέδρου ἅμα τῷ οἰκείῳ
« λαῷ ἐπὶ τὴν Ἑλλησπόντιον ἐπαρχίαν διά τε τὰς
« βαρβαρικὰς ἐφόδους διά τε τὸ τῆς ἐθνικῆς
« ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκή-
« πτροις τοῦ Χριστιανικωτάτου κράτους ὑποτα-
« γῆναι, τῆς εἰρημένης μεταναστάντος νήσου
« προνοίᾳ τοῦ φιλανθρώπου Θεοῦ καὶ μόχθῳ τοῦ
« φιλοχρίστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως,
« συνορῶμεν, ὥστε ἀκαινοτόμητα διατηρηθῆναι
« τὰ παρὰ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόν-
« των θεοφόρων Πατέρων τῷ θρόνῳ τοῦ προγε-
« γραμμένου ἀνδρὸς παρασχεθέντα προνόμια,
« τὴν νέαν ὥστε Ἰουστινιανούπολιν τὸ δίκαιον
« ἔχειν τῆς Κωνσταντινουπόλεως (21)· καὶ τὸν

Guill. Beveregii notæ.

(21) *Τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως.* Ita quidem non modo in ms. nostro Bodleiano, verum etiam in plerisque aliis codicibus tam mss. quam impressis legitur. Zonaram etiam ita legisse ex ipsius horum verborum interpretatione constat. Sed codex Amerbachianus legit τὸ δίκαιον ἔχειν τῆς τῶν Κωνσταντινέων πόλεως. Constantinopolis autem τοῦ Κωνσταντίνου quidem, sed

« ἐπ' αὐτῇ καθιστάμενον θεοφιλέστατον ἐπίσκο- A
« πον πάντων προεδρεύειν τῶν τῆς Ἑλλησπον-
« τίων ἐπαρχίας, καὶ ὑπὸ τῶν οἰκείων ἐπισκόπων
« χειροτονεῖσθαι κατὰ τὴν ἀρχαίαν συνήθειαν·
« τὰ γὰρ ἐν ἑκάστῃ Ἐκκλησίᾳ ἔθη καὶ οἱ θεοφό-
« ροι ἡμῶν Πατέρες παραφυλάττεσθαι διεγνώ-
« καοι, τοῦ τῆς Κυζικηνῶν πόλεως ἐπισκόπου
« ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰου-
« στινιανουπόλεως μιμήσει τῶν λοιπῶν ἁπάντων
« ἐπισκόπων, τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστα-
« τον πρόεδρον Ἰωάννην, ὑφ' οὗ, χρείας καλού-
« σης, καὶ ὁ τῆς αὐτῆς Κυζικηνῶν πόλεως ἐπί-
« σκοπος χειροτονηθήσεται.

« vinciæ episcopis, et a suis episcopis eligatur, « ex antiqua consuetudine. Mores enim, qui sunt « in unaquaque Ecclesia, divini etiam nostri « Patres servandos censuerunt, Cyzicenorum « civitatis episcopo prædictæ Justinianopoleos « præsuli subjecto existente, ad imitationem re- « liquorum omnium episcoporum, qui subsunt « prædicto Dei amantissimo præsuli Joanni, a « quo, cum usus postulaverit, etiam ipsius Cyzi- « cenorum civitatis episcopus ordinabitur.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ η' κανόνος τῆς γ' συνόδου παρίσταται ὅτι ἐκ προσελεύσεως ἐπισκόπου τινὸς Κυπρίων, Ῥηγίνου ἐπιλεγομένου, ὡρίσθη αὐτοκέφαλον εἶναι τὴν Ἐκκλησίαν τῆς Κύπρου· καὶ ἐκωλύθη ὁ Ἀντιοχείας χειροτονίας ἐν αὐτῇ ποιεῖν. Ὁ δὲ παρὼν κανὼν, ἐξενεχθεὶς ἀπὸ αἰτήσεως ἑτέρου ἀρχιεπισκόπου Κύπρου Ἰωάννου, ἐπιχυροῖ μὲν καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα, ὀνομάζων καὶ τὴν Ἐκκλησίαν τῶν Κυπρίων νέαν Ἰουστινιανούπολιν· διορίζεται δὲ ἔχειν αὐτὴν καὶ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως, ὡσαύτως καὶ τὰς Ἐκκλησίας τῶν ἐπαρχιῶν τοῦ Ἑλλησπόντου, καὶ τὴν Ἐκκλησίαν τῆς Κυζίκου· καὶ γίνεσθαι τὰς τῶν ἐπισκόπων αὐτῶν χειροτονίας παρὰ τοῦ ἐπισκόπου Κύπρου. Σήμερον δὲ οὐδεμία ἀπὸ τῶν Ἐκκλησιῶν τούτων τῇ ἀρχιεπισκοπῇ Κύπρου ὑπόκειται, ἀλλ' οὐδὲ τὰ δίκαια τῆς Κωνσταντινου- B

BALS. Ab octavo canone tertiæ synodi apparet, quod ex supplicatione cujusdam Cypriorum episcopi, Rhegini dicti, statutum est ipsam Cypri Ecclesiam esse principalem ac primam : et prohibitus est Antiochenus episcopus facere in ea ordinationes. Præsens autem canon editus ad postulationem alterius archiepiscopi Cypri, Joannis, confirmat quidem quæ Ephesi acta sunt, nominans etiam Cypriorum Ecclesiam novam Justinianopolin. Statuit autem, illam quoque habere jura Constantinopolis, similiter et Ecclesias provinciarum Hellesponti, et Ecclesiam Cyzici ; et ipsorum episcoporum ordinationes a Cypri episcopo fieri. Hodie autem nulla ex his Ecclesiis Cypri archiepiscopatui subjicitur, sed neque habet jura Constantinopolis. Quærendum ergo quomodo hoc fiat. Hellespontus

Guill. Beveregii notæ.

non τῶν Κωνσταντινέων πόλις uspiam, ut opinor, C appellatur. Et haud veri sane cuipiam simile videatur, ut novæ Justinianopoli, ipsius Constantinopolis privilegia concederentur. Etiamsi enim ex hujus canonis præscripto novæ Justinianopolis episcopus αὐτοκέφαλος esse asseratur : patriarcha tamen non sit, neque iisdem propterea, quibus Constantinopolitanus, privilegiis gaudet. Ex altera autem lectione clarior sensus facile eliciatur. Enimvero synodus Ephesina antehac decreverat, ut nec Antiochenus, nec alius quivis episcopus in insula Cypro episcopalem aliquam vel metropoliticam potestatem exercere debeat : sed ut omnia ecclesiastica negotia ibi emergentia metropolitano Constantiæ et synodo provinciæ definirentur. Ista autem Cypri metropolis, quæ antea Constantia dicebatur, a Justiniano imperatore suo de nomine *nova Justinianopolis* dicta est. Ex Amerbachiana itaque hujus loci lectione Patres hoc canone sanxerunt, ut novæ hujus Justinianopolis præsul iisdem privilegiis frueretur, quæ eidem a synodo Ephesina confirmata fuerant, cum τῶν Κωνσταντινέων πόλις, *Constantiensium civitas* sive *Constantia* dicebatur. Vel si altera cuivis lectio magis arrideat, verba hoc modo explicentur. Cum Saraceni insulam Cyprum invaderent, Joannes urbis metropolitanæ novæ Justinianopolis, sive Constantiæ, præsul, cum plerisque insulæ illius incolis in Hellesponticam provinciam migrare cogebatur. Cum itaque Joannes episcopos suos et sacerdotes æque ac laicos secum ibi haberet, tempore quo hæc synodus agebatur, Patres in ejus gratiam constituunt, consentiente etiam imperatore, ut is privilegia throno suo antiquitus indulta etiam in Hellespontiorum provincia retineret, ut nemo præ- D

ter ipsum in episcopos populosque suos potestatem haberet : atque insuper, ut ipsa etiam Hellespontiorum provincia, et Cyzicenus quoque episcopus, provinciæ illius metropolitanus, dicto Joanni subjiceretur. Hellespontica autem provincia throno Constantinopolitano tunc dierum suberat. Decernunt igitur hoc loco Patres, Joannem novæ Justinianopoleos præsulem istam Hellesponticam provinciam ita in posterum sibi subjectam habere, ut τὸ δίκαιον τῆς Κωνσταντινουπόλεως; in eam totum transferatur ; ut quodcumque ibi privilegium episcopus Constantinopolitanus antea vindicaverat, Constantiensis sive Justinianopolitanus postea exerceret. Hoc autem Patres dicto Joanni idcirco indulsisse videntur, quod ille provinciam suam, utpote a Saracenis sive Barbaris occupatam, jam amiserat. Neque enim rationi visum est consentaneum, ut qui metropolitanus, et quidem αὐτοκέφαλος fuerat, alieno postea metropolitano subesset, et omni ecclesiastica potestate propter Barbarorum incursiones privaretur. Cautum est igitur hoc canone, ut Joannes eadem in Hellesponto retineret jura, quæ in Cypro antea habuerat. Et hanc sane veriorem esse canonis hujus expositionem exinde quispiam suspicetur, quod egregium hoc privilegium Joanni Constantiensi indultum cum ipsius persona, vel saltem cum restitutione ejus ad Cypriam provinciam, exstinctum fuit : utpote ex quo illud in ipsius solius gratiam indultum esse manifestum est. Porro hic sensus utrique lectioni aperte convenit. Nam Joannes in Hellesponto degens quatenus ad episcopos Cyprios τὸ δίκαιον τῆς τῶν Κωνσταντινέων πολέως, quatenus ad Hellesponticos τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον habere potuit.

quidem est, qui ab Abydo ad Thraciam usque extenduntur fines orientales.

ZONAR. Cypri episcopis, ejus insulæ episcopum quemque renuntiandi auctoritas, divinorum tertiæ synodi Patrum decreto adjudicata est, Antiocheus enim Cyprum sub se habere, et episcopos ibidem ordinare conatus est. Prærogativam igitur suam Cypri Ecclesiis inviolatam servare hic canon jubet; novamque urbem, quæ Justinianopolis dicta, æquali cum urbe Constantinopolitana jure esse decernit. Et quemadmodum Constantinopolitanæ sedi Asiana provincia, Pontica, Thracicaque subjectæ, sic Hellespontica Justinianopolitanæ adjudicata, et in episcopum Cyzicenum auctoritas (nam ipsa quoque Cyzicus in Hellesponto est) ejusdemque renuntiandi facultas permissa. Hoc autem de Cyzico decretum utrum unquam in usu fuit, haud facile dixerim; nunc quidem hoc decretum, quod ad Cyziceni electionem attinet, negligi constat. Sed neque in Hellesponti regiones urbesque ulla hoc tempore Cypri episcopo est potestas.

ARIST. « Nova Justinianopolis Constantinopoleos « jus obtineat, ejusque præsul omnibus Helles- « pontiorum episcopis, ad quos emigravit, præ- « sit, et a suis episcopis ordinetur : uti Patres « Ephesini decreverunt. »

Hic qui Cypriorum præsidebat insulæ Joannes (hæc namque est et nova Justinianopolis) propter Barbarorum incursiones, et ut infidelium servitute eximeretur, planeque christianissimæ potentiæ sceptris subjiceretur, insula decedens, et ad Hellespontiorum se recipiens provinciam, Patrum indulgentia in Hellespontiacis episcopalibus jus Constantinopolitanum habere, omnibusque in ea provincia episcopis præsidere, et maxime propriam habere auctoritatem, et a suis episcopis ordinari permissus est : quemadmodum et synodus Ephesina decrevit. Postquam autem Cyprus gentilium manibus liberata fuit, quæ in Hellesponto erant metropoles ad thronum Constantinopolitanum redierunt.

204 CANON XL.

« Quoniam Deo hærere per secessum ex vitæ stre- « pitu, valde est salutare, oportet nos non sine « examinatione eos, qui vitam monasticam « eligunt, non intempestive admittere : sed nobis « a Patribus traditum decretum in eis quoque

πόλεως ἔχει. Καὶ ζητητέον ὅπως τοῦτο γίνεται· Ἑλλήσποντος μέντοι ἐστὶ τὰ ἀπὸ τῆς Ἀβύδου καὶ μέχρι τῆς Θρᾴκης παρεκτεινόμενα ἀνατολικὰ ὅρια.

ΖΩΝΑΡ. Ἐν τῇ τρίτῃ συνόδῳ ἐψήφισται παρὰ τῶν τῆς συνόδου ἐκείνης θείων Πατέρων τοὺς Κυπρίους ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν ἐπισκόπων ποιεῖν. Ἐπειρᾶτο γὰρ ὁ Ἀντιοχείας τότε ὑφ' ἑαυτὸν καὶ τὴν Κύπρον ἔχειν, καὶ παρ' ἐκείνου χειροτονεῖσθαι τοὺς ἐν αὐτῷ ἐπισκόπους· τοῦτο οὖν προνόμιον καὶ ὁ κανὼν οὗτος ἀκαινοτόμητον προσεῖναι ψηφίζεται ταῖς ἐκκλησίαις ταῖς ἐν τῇ Κύπρῳ, καὶ προστίθησι τῇ νέᾳ πόλει, ἥτις Ἰουστινιανούπολις ἐπεκλήθη, τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον. Καὶ ὥσπερ τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ὑποτέθειται ἡ τε Ἀσιανὴ, καὶ ἡ Ποντικὴ, καὶ ἡ Θρᾳκικὴ ἐπαρχία, οὕτω καὶ τούτῳ δέδοται προεδρεύειν τῆς Ἑλλησποντίων ἐπαρχίας, ὑποκεῖσθαι δὲ αὐτῷ καὶ τὸν Κυζίκου ἐπίσκοπον, καὶ παρ' αὐτοῦ χειροτονεῖσθαι· καὶ αὕτη γὰρ ἡ πόλις, τὴν Κύζικον φημὶ, Ἑλλησπόντιός ἐστιν. Εἰ μὲν οὖν καὶ εἰς ἔργον ἦλθεν ἡ περὶ τῆς Κυζίκου ψῆφός ποτε, οὐκ οἶδα· τέως δὲ οὐ κρατεῖ τὰ τῆς ψήφου ὅσον πρὸς τὴν Κύζικον. Ἀλλὰ οὐδ' ἐπὶ ταῖς ἄλλαις Ἑλλησποντίων χώραις καὶ πόλεσι πρόσεστί τι τῷ Κύπρου δίκαιον.

ΑΡΙΣΤ. « Ἡ νέα Ἰουστινιανούπολις τὸ δίκαιον « ἐχέτω Κωνσταντινουπόλεως, καὶ ὁ ταύτης πρόε- « δρος πάντων Ἑλλησποντίων, πρὸς οὓς μετῴκη- « σε, προεδρευέτω, καὶ ὑπὸ τῶν οἰκείων ἐπισκό- « πων χειροτονείσθω· ὡς οἱ ἐν Ἐφέσῳ ἐθέ- « σπισαν. »

Οὗτος ὁ τῆς τῶν Κυπρίων νήσου πρόεδρος Ἰωάννης (αὕτη γάρ ἐστι καὶ νέα Ἰουστινιανούπολις) διὰ τὰς τῶν Βαρβάρων ἐφόδους καὶ τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ Χριστιανικωτάτου κράτους ὑποταγῆναι, μετανάστης τῆς Κύπρου γενόμενος, καὶ εἰς τὴν τῶν Ἑλλησποντίων μετοικήσας ἐπαρχίαν, ἐπετράπη τὸ δίκαιον ἔχειν Κωνσταντινουπόλεως ἐπὶ ταῖς Ἑλλησποντίαις ἐπισκοπαῖς, καὶ πάντων τῶν ἐν τῇ τοιαύτῃ ἐπαρχίᾳ ἐπισκόπων προεδρεύειν αὐτὸν, καὶ ἰδιαιτάτην ἀρχὴν ἔχειν, καὶ ὑπὸ τῶν ἰδίων ἐπισκόπων χειροτονεῖσθαι· καθὼς καὶ ἡ ἐν Ἐφέσῳ σύνοδος ὥρισεν. Ἐπεὶ δὲ ἡ Κύπρος τῆς ἐθνικῆς ἠλευθερώθη χειρὸς, ἐπανῆλθον πάλιν αἱ καθ' Ἑλλήσποντον μητροπόλεις πρὸς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον.

ΚΑΝΩΝ Μ'.

« Ἐπειδὴ τῷ Θεῷ κολλᾶσθαι διὰ τῆς ἐκ τῶν τοῦ « βίου θορύβων ἀναχωρήσεως λίαν ἐστὶ σωτήριον, « χρὴ μὴ ἀνεξετάστως ἡμᾶς παρὰ τὸν καιρὸν τοὺς « τὸν μονήρη βίον αἱρουμένους προσίεσθαι· ἀλλὰ « τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν Πατέρων καὶ

Guill. Beveregii notæ.

(22) *Τοὺς ἐν αὐτῷ ἐπισκόπους.* Regulæ grammaticæ Amerbachianam hoc in loco lectionem exigunt, quæ est τοὺς ἐν αὐτῇ ἐπισκόπους, τέως δὲ οὐ κρατεῖ τὰ τῆς ψήφου. De hac re Balsamon quoque quæstionem movendam ducit, καὶ ζητητέον, inquit, ὅπως τοῦτο γίνεται. Verum hujc quæstioni facile respondetur ex ipsis Aristeni in epitomen hujus canonis scholiis; nimirum quod cum Cyprus a Gentilium sive Barbarorum manibus liberata fuerit, provincia Hellespontica ad thronum Constantinopolitanum redit. Nam canon hic personalis, vel etiam temporalis, ut ita loquar, solummodo fuit; quippe qui in Joannis solius gratiam constitutus, tantum obtinere debuit, quamdiu provincia Cypria a Barbaris detenta fuerit.

« εν αὐτοῖς φυλάττειν ὅρον, ὥστε τὴν ὁμολογίαν A
« τοῦ κατὰ Θεὸν βίου τότε προσίεσθαι, ὡς ἤδη βε-
« βαίαν καὶ ἀπὸ γνώσεως καὶ κρίσεως γινομένην
« μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν (23). Ἔστω
« τοίνυν (24) ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι
« ζυγὸν, οὐχ ἥττων ἢ δεκαετὴς (25), ἐν τῷ προ-
« ὁρῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ
« τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον
« ἡγεῖται πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰς ἀγωγὴν
« καὶ κατάστασιν. Εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος
« ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι τὴν ἑκουσίως ἑαυ-
« τὴν προσάγουσαν τῷ Θεῷ, καὶ τὴν παρθενίαν
« ἀσπαζομένην, τὸν ἑπταικαιδέκατον διανύουσαν
« χρόνον, τῷ τῶν παρθένων τάγματι ἀριθμεῖσθαι
« νομοθετεῖ· ἀλλὰ οὖν τῷ περὶ τῶν χηρῶν τε καὶ
« διακονισσῶν παραδείγματι κατακολουθήσαντες, B
« εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μο-
« νήρη βίον ἑλομένους περιεστήσαμεν· ἐν γὰρ τῷ
« θείῳ Ἀποστόλῳ γέγραπται ἑξήκοντα ἐτῶν τὴν
« ἐν τῇ Ἐκκλησίᾳ καταλέγεσθαι χήραν· οἱ δὲ
« ἱεροὶ κανόνες τεσσαράκοντα ἐτῶν τὴν διακόνισ-
« σαν χειροτονεῖσθαι παραδεδώκασιν, τὴν Ἐκκλη-
« σίαν χάριτι θείᾳ κραταιοτέραν γενομένην, καὶ
« ἐπὶ τὰ πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῶν
« πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν
« πάγιόν τε καὶ ἀσφαλές· ὅπερ καὶ ἡμεῖς ἄριστα
« κατανοήσαντες, ἀρτίως διωρισάμεθα τὴν εὐλο-
« γίαν τῆς χάριτος τῷ μέλλοντι τῶν κατὰ Θεὸν
« ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινὰ σφραγῖδα τα-
« χέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ C
« μὴ ἐπὶ πολὺ ὀκνεῖν καὶ ἀναβύεσθαι προβιβάζον-
« τες· μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ
« παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν. »

« servare, ut vitæ secundum Deum professionem,
« ut jam firmam et a scientia ac judicio factam,
« tunc admittamus, post rationis complemen-
« tum. Qui ergo monachicum jugum est subitu-
« rus, ne sit minor quam decem annos natus,
« ejus quoque rei examinatione in præsulis
« arbitrio sita, an augeri tempus conducibilius
« existimet ad introductionem et constitutionem
« in vita monastica. Etsi enim magnus etiam
« Basilius, in sacris suis canonibus, eam, quæ
« se sua sponte Deo offert, et virginitatem am-
« plectitur, si decimum septimum annum com
« pleverit, in virginum ordinem referendam esse
« statuit : sed tamen de viduis et diaconissis
« exemplum secuti, in dictum tempus, analogia
« et proportione habita, eos, qui vitam monasti-
« cam elegerunt, deduximus. In divino enim
« Apostolo scriptum est, sexaginta annorum
« viduam in Ecclesia eligendam : sacri autem
« canones quadraginta annorum diaconissam
« ordinandam esse statuerunt, cum Ecclesiam
« Dei gratia potentiorem evasisse et ulterius
« procedere vidissent, fideliumque, ad divinorum
« mandatorum observationem, firmitatem ac
« stabilitatem. Quod quidem cum nos quoque
« optime intellexissemus, perfecte statuimus be-
« nedictionem gratiæ, ei qui certamina secundum
« Deum aggressurus est, veluti quoddam signa-
« culum celeriter imprimentes, hinc eum ad non
« diu cunctandum et tergiversandum inducen-
« tes, vel potius etiam ad boni electionem et con-
« stitutionem incitantes. »

ΒΑΛΣ. Ὁ μὲν μέγας Βασίλειος ἐν τῷ ιη' κανόνι αὐτοῦ τὰς μετὰ τὰ δεκαξ ἔτη ὁμολογούσας παρθενίαν προσδέχεται· ὡς δυναμένας τὸ καλὸν ἀπὸ τοῦ φαύλου διακρίνειν καὶ ἐπιλέγεσθαι. Ὁ δὲ παρὼν κανὼν τὸν δεκαετῆ μονάσαι αἱρετισάμενον οὐκ ἀπο-

BALS. Magnus quidem Basilius in decimo octavo suo canone eas, quæ post sedecim annos se virginitatem suscipere profitentur, admittit : ut quæ bonum a malo possint secernere ac eligere. Præsens autem canon eum qui decem annos natus est,

Guill. Beveregii notæ.

(23) *Μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν.* In ms. nostro Bodleiano, post ista verba, hæc inseruntur, ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ιη' αὐτοῦ κανόνι, φησὶ μετὰ τὸν ις' ἐνιαυτὸν δέχεσθαι τὴν μέλλουσαν μονάσαι. *Magnus autem Basilius in* 18 *ipsius canone dicit, eam, quæ monasticam vitam susceptura est, post annum* 17 *admittendam esse.* Hæc autem e margine in textum a descriptore traducta sunt, eam advertente eadem in ipso canone paulo post haberi. D

(24) *Ἔστω τοίνυν.* In mss. Bodleiano, Amerbachiano et Æloniensi hic locus sic legitur, Ἔστω τοίνυν ἀπὸ τοῦ παρόντος κανόνος καὶ τῶν ἐν αὐτῷ, ὅτι χωρὶς εἰδήσεως τοῦ κατὰ χώραν ἐπισκόπου οὐκ ὀφείλουσι γίνεσθαι ἀποκάρσεις τῶν μοναχῶν, πολλῷ δὲ πλέον τῶν ἀτέλων καὶ ἀμφιλόγων, ὁ μέλλων, etc. Verum prima verba hic descripsi Ἔστω τοίνυν cum ultimis ὁ μέλλων necessario conjungenda sunt; aliter canonis sensus non coheret; uti cuivis eam legenti primo intuitu patebit. Reliqua igitur supposititia sunt, neque ad canonem pertinent, neque aliud primo fuisse videntur, quam nota quædam marginalis, cui prima vox ἔστω subjungeretur, vid. σημείωσαι, quæ si istis verbis præfigatur, sic transferantur, *Nota ex præsenti canone, et iis quæ in ipso sunt, quod sine episcopi, qui loco præest, cognitione, monachorum tonsuræ fieri non debent, multo autem magis eorum, qui imperfecti sunt et incessantes,* quam sane notam fuisse marginalem nemo non videat.

(25) *Οὐχ ἥττων ἢ δεκαετής.* Harmenopolus vim hujus canonis ex his verbis breviter sic exprimit, Δεκαετής τις μοναζέτω· εἰ καὶ τῷ τῆς χώρας ἐπισκόπῳ ἄξιος τούτου τότε δοκεῖ. *Qui decennis est monachus fiat, si regionis episcopo tunc dignus videtur.* In quam præsentis canonis epitomen scholiastes hæc notat, ὁ μὲν ιη' κανὼν τοῦ μεγάλου Βασιλείου ὑπὲρ τὰ ιστ' ἢ καὶ τὰ ις' ἔτη λέγει ὀφείλειν εἶναι τὴν προσάγουσαν ἑαυτὴν τῷ Κυρίῳ καὶ ἀποτασσομένην τῷ γάμῳ· ὁ δὲ παρὼν κανὼν ἐλαττοῖ τὸν χρόνον διὰ τὴν Ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν ὁρᾷν, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν καὶ προκόπτουσαν. *Canon quidem* 18. *magni Basilii ultra* 16 *vel etiam* 17 *annos esse debere dicit eam, quæ Domino sese offerat, et mundo renuntiet. Hic vero canon tempus illud diminuit, propterea quia Ecclesiam Dei gratia magis confirmatam cernebat, atque ulterius progredientem et proficientem.* Harmenop. Epit. can. sect. 5. tit. 1.

(47) *Καὶ τὰ τῶν κυνηγίων ϑεάματα.* Harmenopulus hunc canonem his verbis contrahit : Ὡσαύτως καὶ ὁ ἑαυτὸν ἐκδιδοὺς μίμοις καὶ ϑεάτροις καὶ τοῖς τῶν κυνηγίων ϑεωρίοις καὶ ταῖς ἐπὶ σκηναῖς ὀρχήσεσιν. *Similiter et qui seipsum dat mimis, ac theatris, et venationum spectaculis, et scenicis saltationibus,* ubi scholiastes ad ista verba κυνηγίων ϑεωρίοις, hæc observat : Ἐν ταῖς μεγίσταις τῶν πόλεων ϑηρία ἐτρέφετο, λέοντες καὶ ἄρκτοι, καὶ κατά τινας καιροὺς ἐξήγοντο εἰς τὸ ϑέατρον· καὶ ποτὲ μὲν ταύροις ἐμάχοντο, ποτὲ δὲ ἀνθρώποις, αἰχμαλώτοις τυχὸν ἢ κατακρίτοις, καὶ ἦσαν ταῦτα τοῖς ϑεωμένοις καϑ' ἡδονήν· τοῦτο οὖν ὁ κανὼν ἀπαγορεύει, οὐ τὸ διὰ κυνῶν ἢ ἄλλο ϑηρεύειν. *In maximis urbibus alebantur bestiæ, puta leones et ursi, certisque temporibus in theatrum educebantur : ac nonnunquam sane cum tauris pugnabant, nonnunquam cum hominibus, captivis forte aut damnatis, atque hæc spectatoribus voluptati erant. Istud igitur hic canon prohibet, non venationem, quæ sit cum canibus, aut aliter.* Harmenop. Epit. can. sect. 3, tit. 3. Hæc autem ex Zonaræ scholiis excerpta videntur.

(48) *Τὰς ἐπὶ σκηνῆς ὀρχήσεις.* Codex Amerbachianus legit τὰς ἐπὶ σκιῶν, sed non modo reliqui omnes codices, verum etiam scholiastes omnes legunt σκηνῆς.

λαϊκοὺς δὲ, ἀφορίζεσθαι; *Λύσις.* Ἕτερόν ἐστι φορητότερον τὸ ἀνιέναι τινὰ εἰς ἱπποδρομίας ἔστιν ὅτε, ἢ ἐπὶ θυμελικοῖς παιγνίοις ἁλῶναι· καὶ ἕτερον ἀσύγγνωστον τὸ ἐκδοῦναι ἑαυτοὺς εἰς τὰ τοιαῦτα, καὶ τοῦτο ἔργον ἔχειν διηνεκές. Ὅθεν καὶ οἱ μὲν ἅπαξ μετὰ προσοχῆς ἁμαρτάνοντες ἐπιτιμῶνται παύσασθαι, εἰ μὴ θέλουσι καθαιρεθῆναι· οἱ δὲ καταχρώμενοι τῷ κακῷ, κληρικοὶ μὲν ὄντες, ἀπεντεῦθεν καθαιροῦνται, λαϊκοὶ δὲ, ἀφορίζονται. Ἔσο δὲ εἰδὼς ὡς, εἰ καὶ ἐν ἐκείνῳ τῷ κανόνι ἐγράψαμεν τὰ παρά τινων λεγόμενα, χάριν τοῦ μὴ κωλύεσθαι τὰς σήμερον τελουμένας ἱπποδρομίας, ἀλλά γε τὰς ἐπὶ σκηνῆς ὀρχήσεις καὶ τὰ ἐπὶ θυμέλης τῶν μίμων θεάματα ἀδιαστίκτως κολάζεσθαι πάντες λέγουσι, καὶ ἐξ ἀμφοτέρων τῶν κανόνων. Κυνηγίων δὲ θεάματα λέγει ὁ κανὼν τὰς θηριομαχίας· αὗτοι δὲ κωλύονται· οὐ μὴν τὰ λαγωκυνήγια. Ἔοικε δὲ διὰ τὰ τῶν τοιούτων κανόνων ἐπιτίμια ἐπινοηθῆναι τὰ βασιλικὰ παίγνια· τὸν κοντοπαίκτην δηλαδὴ, τὸν Μάρωνα, τὸν Ἀχιλλέα (49), τὴν Ὀκτώηχον, καὶ τὰ λοιπὰ, ὡς μὴ διάχυσιν καὶ γέλωτα ἄσεμνον ἐμποιοῦντα τοῖς βλέπουσιν.

Gari? Solutio. Alterum est tolerabilius, ascendere quandoque aliquem ad equorum curricula, aut in ludis scenicis deprehendi: alteri autem venia dari non potest, si quis ejusmodi rebus se dediderit, et hoc opus perpetuo exerceat. Unde, qui semel quidem, prudentesque ac scientes peccant, ut cessent admonentur: si nolint, deponuntur. Qui autem malo utuntur, si sint quidem clerici, ex eo deponuntur: si autem laici, segregantur. Scias autem, quod etiamsi in illo canone scripsimus quæ a nonnullis dicuntur, quod non prohibentur qui hodie fiunt equorum cursus: sed tamen scenicas saltationes, et mimorum in thymele spectacula, indistincte prohiberi omnes asserunt ex utrisque canonibus. Venationum autem spectationes vocat canon, bestiarum pugnas, eæ enim prohibentur, non tamen et leporum venationes. Propter horum autem can. pœnas videntur esse excogitati ludi imp. contopæctes scilicet, Maro, Achilles, Octoechus et cæteri, ut qui spectantibus dissolutionem et immodicum risum non movent.

ΖΩΝΑΡ. Τοὺς πιστοὺς ἡ ἀκρίβεια τῆς εὐαγγελικῆς πολιτείας μὴ ἀνειμένως καὶ διαχεομένως βιοῦν βούλεται, ἀλλ' ὡς πρέπει ἁγίοις. Διὰ τοῦτο οὖν ὁ κανὼν οὗτος ὅσα διάχυσιν τῇ ψυχῇ ἐμποιοῦσι παρὰ τὸ ἀναγκαῖον, ἐκλύουσί τε καὶ χαυνοῦσι (50) τὸν τόνον αὐτῆς, καὶ πρὸς γέλωτας βρασματώδεις παρακινοῦσι καὶ καχασμοὺς, ἀπηγόρευσεν, οἷά εἰσι τὰ τῶν μίμων, οἵ ποτὲ μὲν Ἀραβίτας μιμούμενοι, ποτὲ δὲ Ἀρμενίους, ποτὲ δὲ δούλους, ἐνίοτε δ' ἕτερ' ἄττα τοῖς ἐπὶ κόρρης βαπίσμασι καὶ ψοφήμασι, γέλωτας ἀπρεπεῖς κινοῦσι, καὶ οἷον ἐκβακχεύουσι τοὺς ἀφελεστέρους ἢ ἀπροσεκτοτέρους. Τὰ δὲ τῶν κυνηγίων θεάματα οὐ τὸ θηρεύειν διὰ τῶν κυνῶν ἢ ἄλλως ἐστί. Τοῦτο γὰρ οὐ θεώριον, ἀλλ' ἔργον ἐστίν. Ἐν ταῖς πόλεσι δὲ ταῖς μεγίσταις θηρία ἐτρέφοντο λέοντες καὶ ἄρκτοι, καὶ κατά τινας καιροὺς ἐξήγοντο εἰς τὰ θέατρα, καὶ ποτὲ μὲν ταύροις ἐμάχοντο, ποτὲ δὲ καὶ ἀνθρώποις, αἰχμαλώτοις τυχὸν ἢ κατακρίτοις, καὶ ἦσαν ταῦτα τοῖς θεωμένοις πρὸς ἡδονήν. Ταῦτα δὲ ἀπαγορεύει γίνεσθαι ὁ κανὼν, ὡς ὠμότητα κατηγοροῦντα τῶν θεωμένων, καὶ τὰς ἑτέρων συμφορὰς χαρμονὰς οἰκείας λογιζομένων. Καὶ τὰς ἐπὶ σκηνῆς δὲ ὀρχήσεις κωλύει. Σκηνὴ δέ ἐστιν ἡ προσποίησις καὶ ὑπόκρισις, ὅθεν καὶ σκηνικοὶ λέγονται οἱ ὑποκρινόμενοι, καὶ ἀπεικάζοντες ἑαυτοὺς ποτὲ μὲν δούλοις, ποτὲ δὲ δεσπόταις, ποτὲ δὲ στρατηγοῖς καὶ ἄρχουσιν. Ὥσπερ οὖν ταῦτα ἐκώλυσεν ὁ κανὼν διὰ τῶν μίμων, οὕτω καὶ

ZONAR. Non remisse aut dissolute vitam instituere, sed eam quæ sanctos viros decet morum integritatem ac severitatem tueri, ex præscripto evangelicæ disciplinæ fideles jubentur. Igitur ea omnia, per quæ animus minime necessaria remissione laxari, ejusdemque contentio dissolvi potest, undeque risus immodici et cachinnationes exsistunt, vetita hujus canonis decreto atque interdicta fuere. Sunt ejus generis mimorum ludicræ artes, qui nunc Arabas, nunc Armenios, nunc servi personam, nunc alia quædam imitatione effingentes, colaphis sibi vicissim impactis strepituque incomposito risus inconditos movent, rudiorumque proinde simplices animos quodam quasi furore percellunt. Venationum vero spectacula, quæ hic prohibentur non ea intelligenda sunt, cum feræ canum ministerio, aut alia simili ratione captantur; nec enim spectaculi vicem, sed actionis potius cujusdam ea res obtinet. Verum in magnis urbibus feræ bestiæ, leones nimirum ursique, alebantur, quæ quidem, cum statis temporibus producerentur in theatrum, ibique vel cum tauris, vel etiam cum hominibus, aut captivis aut rei capitalis damnatis, committerentur, plures eo aspectu oblectari soliti sunt. **219** Ea igitur spectacula, quippe servitiæ astantium argumenta, qui aliena clade ad suas ipsi voluptates abuterentur, edi vetat canon. Saltationes quoque in scenis exhi-

Guill. Beveregii notæ.

(49) *Τὸν Ἀχιλλέα.* Ita quidem omnes nostri mss. una cum impressis codicibus legunt; sed Joannes Meursius in *Glossario Græco Barbaro* in voce Μάρων, ubi hunc Balsamonis locum citat, pro Ἀχιλλέα, legit ἀγχιαλλον. Et ne quis erratum typographicum esse suspicetur, ipsam vocem ἀγχίαλλος *lusus genus* interpretatur; sed alium non affert locum ubi occurrit, præter hunc Balsamonis, quem sub manibus habemus. Unde autem hanc lectionem hauserit me latet: sed ex ms. aliquo eam desumptam esse ex eo colligimus, quod hic locus inter ea recenseatur, quæ ipse ex auctoribus Græcis hactenus non editis se collegisse refert.

(50) *Ἐκλύουσί τε καὶ χαυνοῦσι.* Ms. Amerbachianus legit ἐλκύουσι καὶ χαυνοῦσι. Editio Parisiensis ἐκλύουσί τε χαυνοῦσι particula καὶ male omissa.

beri solitas damnat. Scena porro assimulatio atque imitatio quædam est, unde scenici histriones dicuntur, qui servos aut dominos, nonnunquam exercituum ductores ac principes viros agendo imitantur. Ut ergo ista mimorum appellatione, ita scenicas saltationes, sive a viris incomposito ac turpi motu inter saltandum lascivientibus, sive a feminis ad libidinem spectatores provocantibus, voluere. Cujus quidem auctoritate neglecta, si quis ad ea, quæ hic vetita sunt animum adjunxerit, depositione clericos, laicos vero segregatione multandos esse decernit.

ARIST. « Nec histrionem agere, nec spectaculis « et venationibus indulgere : segregatur enim. « Clericus autem deponitur. »

Etiam laici Christiani religiose vitam agere admonentur. Propterea canon eos, qui ex illis alea ludunt, vel saltationes in scena peragunt, vel histriones facti sunt, et ad spectaculum homines congregant, aut in venationibus sunt occupati, excommunicat. Clericos autem, si qui ex iis quæ prohibentur fecerint, deponit.

CANON LII.

« In omnibus sanctæ Quadragesimæ jejunii diebus, « præterquam Sabbato et Dominica et sancto « Annuntiationis die, fiat sacrum præsanctifi- « catorum ministerium. »

BALS. Statutum est ut jejuniorum dies, luctus et compunctionis dies sint, ad sua uniuscujusque expianda peccata. Deo autem sacrificium offerre, est festum celebrare. Festus autem dies nihil est aliud quam gaudium. Quomodo ergo potest quis simul et mœrere et lætitia diffundi ? Et ideo statuerunt Patres non fieri sacrificium tota Quadragesima, præterquam Sabbato et die Dominico et die Annuntiationis. In his enim festum agere, non deflere, vel jejunare vel genu flectere, jussi sumus. Præsanctificatorum autem ministerium incruentum sacrificium non dicimus, sed oblationem prius oblati et perfecti sacrificii sacrique mysterii. Existimo autem, quod quæ accuratam rationem sequuntur monasteria, propter præsentem canonem, ante Quinquagesimam canunt et legunt ca-

τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, εἴτε δι' ἀνδρῶν γίνοιντο ἀπρεπῶς λυγιζομένων καὶ ἀσχημονούντων ἐν τῷ ὀρχεῖσθαι, εἴτε διὰ γυναικῶν εἰς ἀκολασίαν τοὺς ὁρῶντας ἐκκαλουμένων. Τοῖς δὲ μὴ φυλάσσουσι τὸν κανόνα, ἀλλ' ἐκδιδοῦσιν ἑαυτοὺς δι' αὐτοῦ ἀπαγορευθεῖσι, κληρικοῖς μὲν οὖσι, καθαίρεσιν ἐπάγει, λαϊκοῖς δὲ, ἀφορισμόν.

ΑΡΙΣΤ. « Οὐδὲ μίμον εἶναι, οὐδὲ θεάτρων καὶ κυ- « νηγίων ἀνέχεσθαι· ἀφορίζεται γάρ. Ὁ δὲ κλη- « ρικὸς καθαιρεῖται. »

Καὶ οἱ λαϊκοὶ Χριστιανοὶ ὄντες σεμνῶς ἀπαιτοῦνται διαβιώσκειν. Καὶ διὰ τοῦτο ὁ κανὼν τοὺς κυβεύοντας ἐξ αὐτῶν, ἢ ὀρχήσεις ἐπὶ σκηνῆς ἐπιτελοῦντας, ἢ μίμους γινομένους, καὶ πρὸς θέαν ἀνθρώπους ἐπισυνάγοντας, ἢ πρὸς κυνηγέσια ἐνασχολουμένους, ἀφορίζει. Κληρικοὺς δὲ, εἴ τι τῶν ἀπηγορευμένων ποιήσουσι, καθαιρεῖ.

ΚΑΝΩΝ ΝΒ'.

« Ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν « νηστειῶν ἡμέραις παρεκτὸς Σαββάτου καὶ Κυ- « ριακῆς καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέ- « ρας γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λει- « τουργία. »

ΒΑΛΣ. Αἱ τῶν νηστειῶν ἡμέραι πένθους εἶναι ἐτάχθησαν, καὶ κατανύξεως εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων. Τὸ δὲ προσάγειν τῷ Θεῷ θυσίαν πανηγυρίζειν ἐστί. Τὸ δὲ πανηγυρίζειν οὐδέν τι ἄλλο ἐστὶν ἢ χαρμονή. Πῶς οὖν ἐν ταὐτῷ δύναταί τις πενθεῖν καὶ διαχεύσθαι; Διὰ τοῦτο ὥρισαν οἱ Πατέρες μὴ γίνεσθαι θυσίαν δι' ὅλης τῆς Τεσσαρακοστῆς ἄνευ Σαββάτου καὶ τῆς ἡμέρας τοῦ Εὐαγγελισμοῦ. Ἐν ταύταις γὰρ πανηγυρίζειν, ἀλλ' οὐ πενθεῖν ἢ νηστεύειν, ἢ γόνυ κάμπτειν, προστετάγμεθα. Τὴν δὲ λειτουργίαν τῶν προηγιασμένων ἀναίμακτον θυσίαν οὐ λέγομεν, ἀλλὰ προσαγωγὴν τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης θυσίας καὶ τελείας ἱεροτελεστίας. Νομίζω δὲ ὅτι καὶ τὰ ἀκριβῆ τῶν μοναστηρίων διὰ τὸν παρόντα κανόνα πρὸ τῆς Τυροφάγου (51) ψάλλουσι καὶ ἀναγινώσκουσι τοὺς

Guill. Beveregii notæ.

(51) *Πρὸ τῆς Τυροφάγου.* Gentianus Hervetus vertit, *ante Septuagesimam*, sed male. Græci enim Dominicam Septuagesimam Κυριακὴν τοῦ ἀσώτου non τῆς τυροφάγου vocant. Sed Κυριακὴ τῆς τυροφάγου illis eadem est, quæ Latinis *Quinquagesima* dicitur, et Quadragesimam proxime præcedit, a qua etiam præcedens hebdomas τῆς τυροφάγου denominatur. Græci enim aliter ac Latini has hebdomadas computant; apud hos feriæ cujusvis ex his hebdomadis a præcedente, apud illos a subsequente Dominica nomina sortitæ sunt : ut hebdomas Quinquagesimæ Latinis ea est, quæ Quinquagesimam sequitur ; sed hebdomas τῆς τυροφάγου Græcis ea est, quæ eamdem Dominicam præcedit, ac propterea eadem, quæ Sexagesimæ Latinis dicitur, proxima die post Dominicam Sexagesimæ incipiens, et in nostram Quinquagesimam desinens, quæ proin Κυριακὴ τῆς τυροφάγου dicitur. Et quidem ex hoc ipso Balsamonis loco Quinquagesimam hic intelligendam esse, quemadmodum nos transtulimus, clare satis evincatur. Asserit enim Balsamon monasteria, quæ accuratam sequuntur rationem, hujus ipsius canonis auctoritate ducta canere, et canones atque martyria festorum, et sacrarum memoriarum, quæ tota Quadragesima proveniunt, legere πρὸ τῆς τυροφάγου. Hoc est, quoniam Quadragesima currente hæc facere non licet, ideoque ea proxime ante Quadragesimam celebrant; quod πρὸ τῆς τυροφάγου aperte indicat, cum Κυριακὴν τῆς τυροφάγου Græcis Quadragesima statim subsequatur. Quare autem ea, quæ in ipsa Quadragesima proveniunt, ante Septuagesimam fierent, nulla ratio assignari potest. Ex eo igitur, quod ea πρὸ τῆς Τυροφάγου celebrari affirmat, eam Quinquagesimæ nostræ respondere constat. Adeo ut, quæ Balsamon hic πρὸ τῆς τυροφάγου facta dicit, ea in hebdomade ante Quinquagesimam nostram facta videantur : siquidem ipsa Κυριακὴ τῆς τυροφάγου hic intelligitur.

κανόνας καὶ τὰ μαρτύρια τῶν κατὰ τὴν ὅλην Τεσσαρακοστὴν προβαινουσῶν ἑορτῶν καὶ μνημῶν ἁγίων. Σημείωσαι οὖν καὶ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι κυρίως μία ἐστὶ Τεσσαρακονθήμερος; (52). Εἰ γὰρ ἐπεγινώσκετο καὶ ἑτέρα, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ μὴ γίνεσθαι τὴν λειτελεστίαν διὰ τελείας θυσίας, ἀλλὰ διὰ προηγιασμένων, καθὼς ὡρίσθη τοῦτο γίνεσθαι καὶ ἐν τῇ Τεσσαρακοστῇ τοῦ μεγάλου Πάσχα. A

ΖΩΝΑΡ. Αἱ τῶν νηστειῶν ἡμέραι πένθους εἶναι ἐτάχθησαν, καὶ κατανύξεως εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων. Τὸ δὲ τῷ Θεῷ προσάγειν θυσίας πανηγυρίζειν ἐστί· τὸ δὲ πανηγυρίζειν χαρμονῆς ἐστι. Καὶ πῶς ἐν ταὐτῷ τις πενθεῖν δύναται καὶ διαχεχύσθαι; Διὰ τοῦτο ἐν μὲν ταῖς ἄλλαις τῆς Τεσσαρακοστῆς ἡμέραις ἡ τῶν προηγιασμένων γίνεται λειτουργία, οὐ τότε γινομένης τῆς ἀναιμάκτου θυσίας, ἀλλὰ τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης αὖθις προσαγομένης· κατὰ δὲ τὰ Σάββατα καὶ τὰς Κυριακάς, ἐπεὶ ἐν ταύταις νηστεύειν ἀπηγόρευται, ἐνδίδοται καὶ θυσίαν προσφέρειν καὶ τελείαν λειτουργεῖν λειτουργίαν. Ὁμοίως καὶ κατὰ τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ. Τιμῶμεν γὰρ αὐτὴν ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς σωτηρίας ἡμῶν, καὶ πανηγυρίζομεν ἐν αὐτῇ. Διὸ οὐδὲ μνήμας ἁγίων ἐπιτελεῖν συγχεχώρηται ἐν ταῖς τῶν νηστειῶν ἡμέραις, εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ, κατὰ τὸν νδ' κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου. Καὶ αἱ μνῆμαι γὰρ τῶν ἁγίων χαρμόσυνοι. Ἐν δὲ ταῖς τῶν νηστειῶν ἡμέραις πενθεῖν, ἀλλ' οὐ χαίρειν χρεών. B C

ZONAR. Jejuniorum tempora mœrori potissimum dicata, expiandisque intimo animi dolore cujusque criminibus constituta sunt. Deo porro sacrificare festivæ celebritatis est, ea vero celebritas hilaritatis atque lætitiæ. At quo pacto quispiam et mœrere potest et gaudio simul effundi? Proinde aliis quidem Quadragesimæ diebus celebrari ex præsanctificatis sacra mysteria consuevere, neque ullus tunc quidem sacrificii incruenti usus admittitur, sed eorum, quæ jam consecrata semel atque altari admota sunt, oblatio iteratur, Sabbatis vero ac Dominicis diebus, per quos exerceri jejunia leges haud sivere, et sacrificium offerre, et undique suis partibus absolutum liturgiæ munus exhibere concessum est. Similiter et Annuntiationis die. Eam enim, ut principium caputque salutis nostræ, veneramur, festumque in ea celebramus. Atque id etiam causæ fuit, cur sanctorum quoque memoriam publice colere, quotiescunque jejunii tempora inciderint, Sabbatis Dominicisque diebus exceptis, 51 Laodic. syn. can. vetitum sit. **220** Habet siquidem sanctorum commemoratio jucunditatem et lætitiam. Jejunii vero dies non gaudio, sed luctu transigi par est.

ΑΡΙΣΤ. « Δι' ὅλης τῆς Τεσσαρακοστῆς δίχα « Κυριακῆς καὶ Σαββάτου καὶ τῆς ἡμέρας « τοῦ Εὐαγγελισμοῦ τὰ προαγιασθέντα προσ« άγεται. »

ARIST. « Per totam Quadragesimam, præterquam « Dominica, Sabbato et Annuntiationis die, « præsanctificata offeruntur. »

Ἡ αἰτία δι' ἣν ἐν ὅλῃ τῇ Τεσσαρακοστῇ ἄνευ Σαββάτου καὶ Κυριακῆς καὶ τῆς ἡμέρας τοῦ Εὐαγγελισμοῦ ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται, ἐγράφη κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἐν τῷ τεσσαρακοστῷ ἐννάτῳ κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου.

Ratio quare tota Quadragesima, præterquam Sabbato, Dominica et die Annuntiationis, panis non offertur, sed præsanctificata celebrantur, descripta est, quantum nobis licuit, in quadragesimo nono synodi Laodicensis canone.

ΚΑΝΩΝ ΝΓ'.

« Ἐπειδὴ μείζων ἐστὶν (53) ἡ κατὰ τὸ πνεῦμα

CANON LIII.

« Quoniam spiritualis affinitas corporum conjun-

Guill. Beveregii notæ.

(52) *Κυρίως μία ἐστὶ τεσσαρακονθήμερος.* Ms. Amerbachianus legit, κυρίως μία ἐστι νηστεία τεσσαρακονθήμερος, *proprie unum est jejunium quadragesimale*; nimirum quod ante paschalem celebritatem peragitur. Hoc ex præsenti canone colligit, quippe in quo unius solius τεσσαρακοστῆς facta est mentio; et si altera fuisset, præsanctificata etiam in ea celebrari hic cautum esset. Iis autem nequaquam assentiri possum, qui ex his Balsamonis verbis concludunt, nullum aliud quadragesimale jejunium præter Paschale a Græcis tunc temporibus observatum esse; nam contrarium potius ex his verbis conficitur. Ex eo enim, quod dicit unum solum κυρίως *proprie* quadragesimale esse, aperte indicat, aliud tunc dierum fuisse, sed quod improprie isto nomine appellare- D tur. Et præterea, si nullum aliud fuisset, superflua esset hæc Balsamonis observatio. Quorsum enim observaret unum proprie ita dicendum esse, si nullum aliud ita dictum fuerit? aliud itaque satis clare innuit. Utrum illud jejunium adventus sive Natalis Domini quadragesima fuerit, alii viderint.

(53) *Ἐπειδὴ μείζων ἐστί.* Demetrius Chomatenus archiepiscopus Bulgariæ ex hoc canone probat, eosdem gradus, quantum ad matrimonium, in spirituali hac cognatione atque in naturali consanguinitate observandos esse. Canone enim citato hæc dicit, ὅτι τοίνυν ὁ παρὼν κανὼν μείζονα καλεῖ τὴν πνευματικὴν συγγένειαν παρὰ τὴν σαρκικήν, ἀνάγκην ἔχουσιν οἱ διὰ ταύτης συνδεθέντες εἰς τοσούτους βαθμοὺς συντηρεῖν τὸ ταύτης σεβά-

« ctione major est, in nonnullis autem locis A « cognovimus quosdam, qui ex sancto et salu- « tari baptismate infantes suscipiunt, postea « quoque cum matribus illorum viduis matri- « monium contrahere : statuimus, ut in poste- « rum nihil fiat ejusmodi. Si qui autem post « præsentem canonem hoc facere deprehensi « fuerint, ii quidem primo ab illicito istiusmodi « matrimonio desistant : deinde et fornicatorum « pœnis subjiciantur. »

BALS. Præsens canon fornicatorum pœnis subjicit eos, qui suas commatres viduas in matrimonii societatem accipiunt: decernens has quoque esse divellendas contra leges contractas nuptias. B Existimo ergo, quod ille quidem fornicatorum pœnis subjicietur, qui ab eo malo protinus recedit, et id confitetur. Qui enim in peccato perseverat, etiam fortasse plus quam ii, qui cum consanguineis rem habent, punietur. Lege postremum decretum decimi capitis quinti tituli vicesimi octavi libri Basilic. positum in secundo commentario quinti decimi tertii tituli præsentis operis. Cum hæc ita se habeant, quæsiverunt nonnulli, ad quem usque gradum in ejusmodi spirituali cognatione matrimonium prohibeatur. Et nonnulli quidem dixerunt, quod quoniam ex canone et ex lege major est spiritualis cognatio cognatione carnali, debemus ea sequi quæ constituta sunt de carnalibus C nuptiis prohibitis. Compluribus autem non ita visum est, sed ad eas solas personas, quæ lege continentur, ejusmodi cognationem extenderunt, et prohibitionem intentarunt. Vicesima quarta vero imperatoris domini Leonis philosophi novella, quæ vetat adoptatas matrimonio conjungi cum liberis ejus qui adoptavit, hæc circa finem inducit : Sed qui olim quidem non convenienti ratione est adoptatus, etiam si turpe quid et indecorum habet matrimonium, non tamen quod contra leges fecerit, tenetur. Nunc autem cum justo et convenienti ritu fiat adoptio, et per sacrum mysterium hi quidem ad parentum, illi vero ad filiorum ordinem locumque deducantur : non jam restat ratio ulla ob quam filii adoptivi cum filiis D naturalibus ejus qui adoptavit matrimonio jungantur. Sancimus ergo, nequaquam licere eos, qui fratrum nomen sic subierunt, fraternitatis nomen conjugii nomine commutare. Nota ergo ex

« οἰκειότης τῆς τῶν σωμάτων συναφείας · ἔγνω- « μεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ « σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομέ- « νους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι « χηρευούσαις γαμικὸν συναλλάσσοντας συνοικέ- « σιον · ὁρίζομεν ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦ- « τον πραχθῆναι. Εἰ δέ τινες μετὰ τὸν παρόντα « κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτο- « τύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν συνοι- « κεσίου τοιούτου τοῦ παρανόμου · ἔπειτα δὲ « καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβλη- « θήτωσαν. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐπιτιμίοις πορνευόντων ὑποβάλλει τοὺς τὰς συντέκνους αὐτῶν χηρευούσας εἰς γάμου κοινωνίαν λαμβάνοντας· διοριζόμενος διασπᾶσθαι καὶ τὸν παράνομον γάμον. Οἶμαι οὖν ὅτι ἐκεῖνος ἐπιτιμίοις πορνευόντων ὑποβληθήσεται, ὁ ἑτοίμως ἀφιστάμενος τοῦ κακοῦ, καὶ ἐξομολογούμενος. Ὁ γὰρ ἐπιμένων τῇ ἁμαρτίᾳ καὶ ὑπὲρ τοὺς αἱμομίκτους σχεδὸν κολασθήσεται. Καὶ ἀνάγνωθι τὸ τελευταῖον θέμα τοῦ ε' κεφ. τοῦ ε' τίτλου τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, καταστρωθὲν εἰς σχόλιον β' τοῦ ε' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος. Τούτων οὕτως ἐχόντων, ἠρώτησάν τινες μέχρι πόσου βαθμοῦ ἐπὶ τῆς κατὰ πνεῦμα τοιαύτης συγγενείας ὁ γάμος κωλύεται. Καὶ τινὲς μὲν εἶπον ὡς, ἐπεὶ καὶ ἀπὸ τοῦ κανόνος καὶ ἀπὸ τοῦ νόμου μείζων ἡ πνευματικὴ συγγένειά ἐστι τῆς κατὰ σάρκα συγγενείας, ὀφείλομεν ἀκολουθεῖν τοῖς νομοθετηθεῖσι χάριν τῶν σαρκικῶν κεκωλυμένων γάμων. Τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἔδοξεν, ἀλλ' εἰς μόνα τὰ πρόσωπα τὰ τῷ νόμῳ περιεχόμενα τὴν τοιαύτην συγγένειαν καὶ ἐξέτειναν, καὶ τὴν κώλυσιν ἐπέτειναν. Ἡ μέντοι κδ' Νεαρὰ τοῦ βασιλέως Κυροῦ Λέοντος τοῦ Φιλοσόφου, κωλύουσα τοὺς υἱοθετουμένους πρὸς γαμικὴν ὁμιλίαν συνάπτεσθαι τοῖς τοῦ υἱοθετησαμένου παισίν, ἐπάγει περὶ τὸ τέλος ταῦτα. Ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον υἱοθετουμένων προσήκοντα, εἰ καὶ ὁ γάμος ἔχει πως τὸ ἄδοξον, ὅμως οὐχὶ καὶ παρανομίας ἀνέχεται. Νῦν δὲ κατὰ θεσμὸν γινομένης καὶ πρέποντα καὶ δίκαιον τῆς υἱοθετήσεως, καὶ διὰ τελετῆς ἱερᾶς τῶν μὲν εἰς γονέων τάξιν καθισταμένων, τῶν δὲ εἰς τὴν τῶν παίδων, οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ υἱοποιησαμένου παισὶ τοὺς υἱοποιητοὺς παῖδας. Τοιγαροῦν καὶ θεσπίζομεν μηδαμῶς ἐξεῖναι τοὺς οὕτως ὑποδεδηκότας τὸ τῶν ἀδελφῶν ὄνομα πρὸς τὸ τῆς συζυγίας ἀντὶ τοῦ τῆς ἀδελφότητος μεθαρμόζεσθαι. Σημείωσαι οὖν ἀπὸ

Guill. Beveregii notæ.

σμιον καὶ εὔπρεπὲς, εἰς ὅσους καὶ τὸ ἐξ αἵματος συγγενείας. Demet. Chomat. Περὶ βαθμῶν συγγενείας. Quinetiam leges ipsæ civiles statuunt spiritualem hanc magis quam carnalem cognationem matrimonium impedire. *Ea videlicet persona omnimodo ad nuptias venire prohibenda, quam aliquis, sive alumna sit, sive non, a sacrosancto suscepit baptismate. Cum nihil aliud sic inducere potest, paternam affectionem et justam nuptiarum prohibitionem, quam hujusmodi nexus, per quem Deo mediante animæ eorum copulatæ sunt.* l. xxvi, c. de nuptiis. Hinc Joannes episcopus Citri recte observat, tam politicas quam ecclesiasticas leges statuisse spiritualem cognationem carnali potiorem esse. Ἐπειδὴ τὴν κατὰ πνεῦμα συγγένειαν κρείττονα εἶναι τῆς σαρκικῆς, καὶ οἱ φιλευσεβεῖς νόμοι καὶ οἱ ἱεροὶ κανόνες σαφῶς γνωματεύουσιν. Joan. ep. Cit. respon. ad Constant. Cabasil. interrog. 5 in *Jur. Gr. Rom.* t. v, p. 525. Quod etiam a Balsamone in hunc canonem observatur.

τῆς Νεαρᾶς ὅτι, ὥσπερ κωλύονταί τινα πρόσωπα διὰ τοῦ ἁγίου βαπτίσματος λαβόντα πρὸς ἄλληλα συγγένειαν γαμικῶς συνάπτεσθαι, οὕτω κωλύονται καὶ τὰ διὰ τῆς υἱοθεσίας λαβόντα συγγένειαν ἀδελφότητος. Ἔτι σημείωσαι ὅτι καὶ διὰ ἱερᾶς εὐχῆς γίνεται υἱοθεσία. Ἔχε οὖν τοῦτο ἐπὶ μνήμης. Οὐδὲ γὰρ εὕρηταί που ἀλλαχοῦ κείμενον, καὶ διὰ τοῦτο ἀγνοεῖται τοῖς πολλοῖς. Τοῦ δὲ νόμου λέγοντος, Ἡ θέσις μιμεῖται τὴν φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους λαμβάνειν εἰς θέσιν υἱὸν, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κς' Νεαρὰ τοῦ αὐτοῦ βασιλέως τοῦ Φιλοσόφου ἐξεχώρησε τοῦτο γίνεσθαι· ἀνάγνωσον ταύτην. Ὡσαύτως καὶ ἡ κζ' Νεαρὰ τοῦ αὐτοῦ βασιλέως παρακελεύεται μὴ μόνας τὰς παιδοποιησάσας γυναῖκας υἱοθετεῖσθαι, ἀλλὰ καὶ τὰς παρθένους· ὥστε καὶ τοὺς παρὰ τούτων υἱοθετηθέντας ἔχειν, ὡς ὑπεξουσίους, δίκαια κληρονομίας ἐπ' αὐτῶν· καὶ μηδὲ δεῖσθαι προστάξεως βασιλικῆς ἢ πράξεως δικαστικῆς χάριν τοῦ υἱοποιήσασθαί τινα ὑπεξούσιον ἢ αὐτεξούσιον (54). Καὶ ἀνάγνωσον τὴν τοιαύτην Νεαράν. Πολλάκις γὰρ ἤκουσα ἀπὸ πολλῶν καὶ ταῦτα τριβακῶν περὶ τὰ νομικὰ καὶ τὰ ἐκκλησιαστικὰ μὴ ἔχειν χώραν τὰ τῆς υἱοθεσίας· ἀρτίως δὲ μηδὲ ἀπὸ μόνης εὐχῆς καὶ τῆς ἀπὸ τῆς Ἐκκλησίας ἀναδοχῆς γίνεσθαι νόμιμον υἱοθεσίαν· ὅπερ αἱ ῥηθεῖσαι βασιλικαὶ νεαραὶ οὐκ ἀνέχονται λέγεσθαι. Σὺ δὲ γίνωσκε (55) ὅτι τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφύλακος κατέστρωται σημείωμα οὕτως ἐπὶ λέξεως ἔχον· Μηνὶ Μαΐῳ ιζ' ἡμέρᾳ β' ἰνδικτ. ιε' προκαθημένου Νικολάου (56) τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων συγκλητικῶν καὶ πολιτικῶν δικαστικῶν τοῦ δεῖνος καὶ τοῦ δεῖνος, καὶ θεοφιλεστάτων μητροπολιτῶν· ὁ πανευτιμότατος ὑπέρτιμος Γρηγόριος ὁ Ξηρὸς διάγραμμα προκομίσας τὴν σήμερον συνοδικῶς οὕτως ἔχον· Ἡ Μαρία, ἔχουσα υἱὸν γνήσιον τὸν Κωνσταντῖνον, γέγονεν ἀνάδοχος ἀπὸ τοῦ θείου καὶ ἁγίου βαπτίσματος τῆς Εἰρήνης. Ἐγέννησεν ὁ Κωνσταντῖνος Θεόδωρον, καὶ ἡ Εἰρήνη Θεοδώραν, καὶ αὖθις ἐγέννησεν ἡ Θεοδώρα Ἄνναν. Θέλων οὖν ὁ Θεόδωρος νομίμῳ γάμῳ συζευχθῆναι τῇ Ἄννῃ, ἠρώτησε μαθεῖν εἰ ἐφεῖται τοῦτο πρᾶξαι. Ἀνεγνώσθη τοίνυν

A novella, quod sicut prohibentur quædam personæ, quæ per sacrum baptismum cognationem invicem acceperunt, matrimonio conjungi, ita etiam prohibentur quæ per adoptionem fraternitatis cognationem acceperunt. Nota præterea quod per sacras preces fit adoptio. Tene ergo hoc memoria : neque enim alibi invenitur, et ideo a multis ignoratur. Cum autem lex dicat, Adoptio imitatur naturam, et ideo prohibeat eunuchos adoptare filium, et eum in sua potestate habere : 26 ejusdem imperatoris Philosophi novella hoc fieri permisit, quam lege. Similiter **221** et 27 ejusdem imperatoris novella decernit, non eas solas mulieres, quæ filios pepererunt, posse adoptare, sed etiam virgines ; B ut etiam qui ab eis adoptati fuerint, non secus ac si in earum potestate essent, jus earum hæreditatis habeant, et ne imperatoris quidem jussione opus habeant, vel judiciali actione, ut possint eum qui est in alterius potestate, vel eum qui est sui juris adoptare. Illam etiam novellam lege. Multos enim sæpe audivi atque adeo in jure civili et ecclesiastico valde versatos, dicentes non habere locum adoptionem ; nunc autem nec ex sola precatione Ecclesiæque receptione legitimam adoptionem fieri : quod quidem dictæ regiæ novellæ dici non sinunt. Scias autem, quod in sacri custodis sigilli patriarchalis secreto constitutio reponitur verbatim sic se habens : Mense Maio, die 17, feria 2, Indict. 15, præsidente sanctissimo nostro C domino et œcumenico patriarcha Nicolao, assidentibus senatoriis magistratibus et judicibus politicis, his et illis et religiosissimis metropolitanis, vir longe clarissimus incomparabilis Gregorius Xerus scripturam hodie ad synodum attulit, quæ sic se habet : Maria habens filium germanum Constantinum, susceptrix fuit Irenes ex divino sanctoque baptismate. Constantius genuit Theodorum, et Irene Theodoram, et Theodora rursum genuit Annam. Theodorus itaque legitimum matrimonium cum Anna contrahere flagitans, an hoc fieri liceat scire rogavit. Lectus ergo est in synodo can. 53 sanctæ et œcumenicæ in Trullo synodi, et etiam

Guill. Beveregii notæ.

(54) *Ὑπεξούσιον ἢ αὐτεξούσιον.* Hæc verba ἢ αὐτεξούσιον ex ms. Bodleiano restituimus ; cui etiam Amerbachianus suffragatur.

(55) *Σὺ καὶ γίνωσκε.* Hæc et quæ sequuntur in hisce Balsamonis in præsentem canonem commentariis ex ms. nostro Bodleiano nunc primum edimus ; Græce nimirum : nam partim exstant in Latina Herveti versione, sed in ms. Amerbachiano penitus desiderantur.

(56) *Προκαθημένου Νικολάου.* Hujus synodicæ constitutionis, sub Nicolao patriarcha Constantinopolitano editæ. Balsamon etiam in responsis ad Marcum Alexandrinum mentionem fecit, his verbis, Γέγονε σημείωμα συνοδικὸν ἐπὶ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Νικολάου κατὰ μῆνα Μάϊον τῆς ιε' ἐπινεμήσεως, ἐπὶ ἐρωτήσει τοῦ ὑπερτίμου ἐκείνου Γρηγορίου τοῦ Ξηροῦ, διοριζόμενον τοῖς αὐτοῖς ὅροις συστῆγγεσθαι, καὶ ὑφαπλοῦσθαι τὴν διὰ τῆς συντεκνίας συστᾶσαν πνευματικὴν D συγγένειαν, οἷς καὶ αἱ σωματικαὶ συγγένειαι περιορίζονται. Bals. Resp. ad Marc. Alex. interrog. 45. Hinc lacuna in Joannis episcopi Citri responsis ad interrogationes Constantini Cabasili suppleatur. Dicit enim ille : Γέγονε καὶ πρᾶξις συνοδικὴ ἐπὶ τῆς ἐφημερίας τοῦ ἐν ἁγίοις. . . . . πατριάρχου Κωνσταντινουπόλεως γνωματεύσασα ἀκολούθως τῷ νγ' κανόνι τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου καὶ τῷ ς' θέματι τοῦ ι κεφαλαίου τοῦ ε' τίτλου τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, τοῖς αὐτοῖς βαθμοῖς περιγράφεσθαι καὶ τὴν πνευματικὴν συγγένειαν, οἷς καὶ ἡ φυσικὴ, ἤτοι σαρκικὴ περιορίζεται. Joan. Citr. respons. ad Constant. Cabasil. interrog. 5 in *Jur. Græc. Rom.* t. v, pag. 326. Procul enim omni dubio hic legendum est τοῦ ἐν ἁγίοις Νικολάου πατριάρχου Κωνσταντινουπόλεως sub quo edita est hæc constitutio.

decretum 6, cap. 10, tit. 5, lib. XXVIII, sic habens expresse : Qui quampiam a sacro baptismate suscepit, non potest eam postea uxorem ducere, ut quæ facta sit ipsius filia, neque matrem ejus filiamve ; sed nec filius ejus : quandoquidem nihil aliud æque potest inducere paternam affectionem justamque matrimonii prohibitionem, ac hujusmodi nexus, quo Deo intercedente animæ eorum conjunguntur. Et decretum est dictum contractum prohibitum esse, ut qui ad quintum gradum non perveniat ; propterea quod, juxta quæ in hac lege continentur, spiritualis cognatio naturali sive carnali præferatur. Ut hoc autem et in adoptione valeat cautum est, eo quod quæ ex ea etiam contrahitur cognatio a Deo et per divinarum precum mysteria constituitur, juxta inclyti imperatoris D. Leonis Sapientis novellam.

A ἐπὶ συνόδῳ ὁ νγ΄ κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ τὸ ζ΄ θέμα τοῦ ι΄ κεφ. τοῦ ε΄ τίτλου τοῦ κη΄ βιβλίου ἔχον ἐν μέρει οὕτως· Ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματος τινὰ δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀνάγεσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ. Ἐπειδὴ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμός, δι' οὗ Θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται. Καὶ διεγνώσθη κεκωλυμένον εἶναι τὸ διαληφθὲν συνάλλαγμα, ὡς οὐκ ἀναγόμενον εἰς πέμπτον βαθμόν· διὰ τὸ προτιμᾶσθαι κατὰ τὴν τοῦ τοιούτου νόμου περίληψιν τὴν πνευματικὴν συγγένειαν τῆς φυσικῆς ἤτοι τῆς σαρκικῆς. Τοῦτο δὲ ὡρίσθη κρατεῖν καὶ ἐπὶ τῆς B υἱοθεσίας, διὰ τὸ καὶ τὴν ἐκ ταύτης συγγένειαν ἀπὸ Θεοῦ καὶ διὰ θείων εὐχῶν τελετὴν συνίστασθαι κατὰ τὴν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ νεαράν.

ZONAR. Qui commatres suas, viro postea orbatas, in matrimonii societatem accepere, ab illarum commercio, eo quod contra leges initum est, fœdere dissoluto sejungi, utrumque vero conjugem pœnis scortatorum teneri canon decernit.

ARIST. « Qui filios a baptismate susceperunt « cum filiorum matribus copulari non permit- « tes. Si quis autem copulatus sit, post separa- « tionem, pœnam etiam subeat. »

Spiritualis affinitas major est corporali cognatione. Quare eum fornicatorum pœnæ obnoxium reddit hic canon, qui filii ab ipso in sacro baptismo susceptí matrem sibi in matrimonii communionem assumit, primo illegitimum conjugium dissolvens. C

ΖΩΝΑΡ. Τοὺς οἰκείας συντέκνους χηρευούσας εἰς συμβίωσιν γαμικὴν λαμβάνοντας ἀφίστασθαι τοῦ τοιούτου συνοικεσίου κελεύει ὁ κανών, τοῦ παρανόμου γάμου διασπωμένου, ἐκείνους δὲ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι.

ΑΡΙΣΤ. « Τοὺς ἀναδεχομένους παῖδας ἀπὸ βαπτίσμα- « τος οὐκ ἐάσεις συναφθῆναι ταῖς τῶν παίδων « μητράσιν· εἰ δέ τις καὶ συναφθείη, μετὰ τοῦ « ἀποσυναχθῆναι καὶ τὸ ἐπιτίμιον γνοίη. »

Ἡ κατὰ πνεῦμα οἰκειότης μείζων τῆς σωματικῆς συγγενείας ἐστί· διὰ τοῦτο γοῦν τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ἔνοχον καθιστᾷ ὁ κανὼν οὗτος τὸν πρὸς γάμου κοινωνίαν τῇ μητρὶ τοῦ παιδὸς συναφθέντα, τοῦ παρ' αὐτοῦ ἀναδεχθέντος ἀπὸ τοῦ ἁγίου βαπτίσματος, πρότερον διαλύων καὶ τὸ παράνομον συνοικέσιον.

222 CANON LIV.

« Cum divina Scriptura nos aperte doceat, Non « ingredieris ad omnem consanguineum carnis « tuæ ad revelandam ejus turpitudinem [88] : divi- « nus Basilius nonnullas prohibitas nuptias in « suis canonibus enumeravit ; multis silentio « præteritis, et his utrisque nobis utilitatem at- « tulit. Turpium enim nominum multitudine « evitata, ne verbis orationem pollueret, gene- « ralibus nominibus impuritates complexus est : « per quas legibus vetitas nuptias nobis in sum- D « ma ostendit. Quoniam autem propter ejusmodi « silentium, et quod non discerni posset illici-

ΚΑΝΩΝ νδ΄.

« Τῆς θείας ἡμᾶς (57) οὕτως σαφῶς ἐκδιδασκούσης, « Γραφῆς, « Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρ- « κός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ· » ὁ « θεοφόρος Βασίλειός τινας τῶν ἀπηγορευμένων « γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, « σιωπῇ τὰ πλεῖστα παραδραμών, καὶ κατ' ἀμφό- « τερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον. Τὸ γὰρ « τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησά- « μενος, ὡς ἂν μὴ τὸν λόγον καταῤῥυπαίνῃ τοῖς « ῥήμασι, γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέ- « λαβεν· δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους « γάμους ὑπέδειξεν. Ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ

[88] Levit. XVIII, 6.

Guill. Beveregii notæ.

(57) *Τῆς θείας ἡμᾶς.* Hic canon in Balsamonis Meditato, cui titulus, Τοῦ αὐτοῦ διάγνωσις χάριν τοῦ λαληθέντος συνοδικῶς ζητήματος περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ διεξαδέλφαις συνάπτεσθαι, laudatur, ubi etiam asseritur, una cum lege civili, hunc etiam canonem matrimonia usque ad gradum sextum, tam ex affinitate, quam cognatione contracta, constrinxisse, sed permisisse quæ istum gradum sequuntur. Τὸ δὲ β΄ θέμα τοῦ λβ΄ κεφαλαίου τοῦ ε΄ τίτλου τοῦ κη΄ βιβλίου τῶν Βασιλικῶν, καὶ ὁ νδ΄ κανὼν τῆς ἐν τῷ Τρούλλῳ τοῦ μεγάλου παλατίου συστάσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, μέχρι τοῦ ἕκτου βαθμοῦ καὶ αὐτοῦ τὰ ἐξ ἀγχιστείας καὶ τὰ ἐξ αἵματος ἐξεστενοχώρησαν συναλλάγματα· τὰ δὲ μετὰ τοῦτον ἀδεῶς ἀπέλυσαν ἀναχώνυσθαι. Bals. in medit. *Jur. Gr. Rom.* t. VII, p. 464. Citatur etiam a Demetrio Chomatiano in responso. ibid. past. 412, necnon a Demetrio syncello metropolitano Cyziceno in declamatione ib. pag. 400.

« καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνεί- « δομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, « ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ « πρὸς γάμου κοινωνίαν συναπτόμενον (ἢ πατέρα « καὶ υἱὸν μητέρι καὶ θυγατρὶ, ἢ δυσὶ κόραις ἀδελ- « φαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα « καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς) « ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφιστα- « μένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικε- « σίου. »

« tarum nuptiarum prohibitio, seipsam natura « confudit, nobis visum est ea paulo apertius ex- « ponere, ab hoc deinceps tempore decernendo, « ut qui cum fratris sui filia matrimonii socie- « tatem coierit, (vel pater et filius, qui cum « matre et filia, vel cum duabus puellis sororia- « bus, pater et filius, vel cum duobus fratribus, « mater et filia, vel fratres duo cum duabus so- « roribus) in septennii canonem incidant, iis « aperte separatis a nefario contubernio. »

ΒΑΛΣ. Τινὲς, τῷ πς' κανόνι τοῦ μεγάλου Βασιλείου χρώμενοι, ἀπαριθμοῦντι γάμους κεκωλυμένους διὰ συγγένειαν, ἔλεγον πάντας τοὺς παρὰ τούτους ἀκωλύτους εἶναι. Τοῦτο οὖν ἀνατρέποντες οἱ θεῖοι Πατέρες, πρῶτον μὲν εἶπον πᾶσαν συγγενικὴν συν- B ἀφειαν κωλύεσθαι διὰ τοῦ Μωσαϊκοῦ νόμου τοῦ διαλαμβάνοντος, « Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ· » εἶτα ὑπεραπολογούμενοι ὥσπερ τοῦ ῥηθέντος μεγάλου Πατρὸς, ἐπήγαγον ὡς, εἰ καὶ μὴ ῥητῶς ὁ θεοφόρος οὗτος Πατὴρ ἐν τοῖς οἰκείοις κανόσι πάντας τοὺς κεκωλυμένους συγγενικοὺς γάμους διέλαβεν, ἀλλ' ἐπεὶ τούτους ἀκαθάρτους ὠνόμασεν, ὡς ἀπηγορευμένους διὰ τὴν συγγένειαν κοινῷ λόγῳ πάντας συμπεριέλαβε, καὶ διὰ ῥημάτων ὀλίγων (58) οὐ μόνον τοὺς ἀπαριθμηθέντας ἐκώλυσεν, ἀλλὰ καὶ πάντας τοὺς ἀπὸ συγγενείας καταγομένους. Καὶ οὐ χρὴ τοὺς δι' εὐλάβειαν μὴ ἐκφωνηθέντας ἀκωλύτους κατονομάζεσθαι. Διὸ καὶ ὥρισαν γάμους ἀθέσμους εἶναι τόνδε καὶ τόνδε· προσθέμενοι τοὺς ἀφισταμένους αὐτῶν προδήλως, τουτέστι μετὰ ἐξομολογήσεως, τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι· ὡς εἶναι δῆλον σφοδρότερον κολάζεσθαι τοὺς μὴ ἀφισταμένους ῥᾳδίως, ἀλλὰ κατακρινομένους. Τοῦτο γὰρ ἀναφαίνεται ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος τῶν λεγόντων· Ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου. Ἐπεὶ δὲ περὶ κεκωλυμένων γάμων πλατύτερον ἐγράψαμεν εἰς τὸ β' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος, ἀνάγνωθι τοῦτο καὶ τὰ ἐν αὐτῷ χρησιμώτατα ὄντα.

BALS. Quidam 86 magni Basilii canone utentes, qui nuptias propter cognationem vetitas enumerat, dicebant omnes alias his exceptis non esse prohibitas. Divini ergo Patres hoc subvertentes, primum quidem dixerunt omnem cum sua cognatione conjunctionem prohiberi per Mosaicam legem, quæ sic habet : Non ingredieris ad omnem consanguineum carnis tuæ ad revelandam ejus turpitudinem : deinde, veluti prædictum magnum Patrem defendentes, subjunxerunt, quod etiamsi non expresse hic divinus Pater in suis canonibus omnes propter cognationem interdictas nuptias comprehenderit, sed quoniam has impuras nominavit, ut quæ sint propter cognationem prohibitæ, omnes communi ratione comprehendit, et paucis verbis non solum enumeratas prohibuit, sed et omnes quæ a cognatione deducuntur. Nec oportet dici eas non esse prohibitas quæ propter verecundiam non sunt expressæ. Et ideo definierunt illicitas et nefarias nuptias esse has et has; hoc adjecto, quod, qui ab illis aperte desistunt, id est cum confessione, et sine condemnatione, ex septennii canone puniuntur ; ut manifestum sit eos vehementius punire, qui non facile desistunt, sed condemnantur. Hoc enim apparet ex verbis canonis, quæ dicunt : His aperte desistentibus a nefario contubernio. Quoniam autem de vetitis nuptiis aliud scripsimus in 2, cap. 3, tit. præsentis operis, id lege, et quæ in ipsum scripta sunt longe utilissima.

ΖΩΝΑΡ. Ὁ μέγας Βασίλειος, ἐρωτηθεὶς εἰ δύναιτό τις μετὰ θάνατον τῆς ἰδίας συμβίου τῇ ἀδελφῇ ἐκείνης συνάπτεσθαι, ἀπηγόρευσε τοῦτο. Καὶ πρὸς τοὺς τὸ ἐναντίον φρονοῦντας γράψας τὸν οἰκεῖον λόγον D γενναιότατα κατεσκεύασε, καὶ ἀξίως τοῦ βάθους τῆς διανοίας αὐτοῦ. Εἶτα καί τινων ἀθέσμων ἐμνήσθη γάμων καὶ ἀπηγορευμένων, τοὺς ἄλλους τῷ τῆς ἀκαθαρσίας ὀνόματι συμπαραλαβὼν καὶ παραδηλώσας. Ἡ δὲ περὶ τούτων διαταγὴ ἐν τοῖς κανόσιν ἠρίθμηται τοῦ θεολήπτου Πατρὸς ὀγδοηκοστὸς ἕκτος οὖσα κανών (59). Τούτῳ οὖν τῷ κανόνι τινὲς κεχρη-

ZONAR. Cum de magno Basilio quæsitum esset, an marito defunctæ uxoris sibi matrimonio jungendi facultas esset, ille vero negavit licere. Tum, adversus eos qui secus opinabantur scribens, sententiam suam, pro ea qua mire valebat ingenii præstantia, egregie confirmavit. Inde vero, cum nuptiarum genera quædam legibus interdicta sigillatim commemorasset, reliqua deinde uno impuritatis vocabulo complexus est et indicavit. Atque hæc quidem sic a divino Patre constituta ejusdem octogesimo sexto canone explicata reperias. Eo

Guill. Beveregii notæ.

(58) *Καὶ διὰ ῥημάτων ὀλίγων.* Hæc usque ad ἀλλὰ καὶ in ms. Amerbachiano desiderantur.

(59) *Ὀγδοηκοστὸς ἕκτος οὖσα κανών.* Sic etiam Balsamon hunc sancti Basilii canonem vocat, videlicet octogesimum sextum, etiam in ms. Amerbachiano; ubi tamen in hoc Zonaræ loco scribitur ὀγδοηκοστὸς ὄγδοος. Et quidem in nostra hac editione canonum sancti Basilii, qui hic citatur, revera est octogesimus octavus. In Parisiensi autem editione nullus cuivis ex istis canonibus ultra octogesimum quintum numerus apponitur, quod mendum esse ex hoc ipso loco constat. Ex præmissis error etiam in Aristeni scholiis in epitomen hujus canonis deprehenditur ; quippe quibus ἑδδομηκοστὸν ὄγδοον, mendose scribitur pro ὀγδοηκοστὸν ὄγδοον.

igitur canone quidam utentes quæcunque eo loco nuptiæ inter damnatas nequaquam enumeratæ fuerant, easdem quasi concessas usurpare ipsi nitebantur, violataque naturæ lege cum propinquis coibant. Proinde illum canonem hoc loco synodus spectavit, eaque ratione adducta, multa in eo sanctum virum silentium involvisse defendi, ne scilicet dum damnati conjugii genera universa persequitur, orationem suam verborum turpitudine **223** inquinaret, ac idcirco generatim omnia voluisse uno impuritatis nomine indicare. Singulos deinde vetitarum nuptiarum modos Patres ipsi percensent, ac ejusmodi quidem conjugia omnino dissolvi, ea vero qui attentarint, septennii canone puniri jubent.

ARIST. « Fratris filium cum fratris filia matrimo-
« nia conjungi non permittes; nec cum filia et
« matre, filium et patrem: nec matrem et filiam
« cum duobus fratribus; nec fratres cum duabus
« sororibus. Si quid autem istiusmodi factum fue-
« rit, una cum matrimonii dissolutione septennio
« subjicientur. »

Et hujusmodi conjugia ut prohibita dissolventur: et qui ea contrahunt juxta præsentem et septuagesimum octavum Basilii magni canonem, unum annum deflebunt, duos audient, tres substernentur, et septimo una cum fidelibus consistent; et sic, si cum lacrymis resipiscant, divinis sacramentis digni habebuntur.

CANON LV.

« Quoniam intelleximus eos, qui sunt in Romano-
« rum civitate, in sanctis Quadragesimæ jejuniis
« ejus Sabbatis jejunare, præter ecclesiasticam
« traditam consequentiam: sanctæ synodo visum
« est, ut in Romanorum quoque Ecclesia invio-
« labiliter obtineat canon, qui dicit: Si quis cle-
« ricus inventus fuerit in sancto Dominico vel
« Sabbato jejunare, præter unum et solum, de-
« ponatur: sin autem laicus, segregetur. »

BALS. Tum propter alia multa, tum etiam propter præsentem canonem, dicunt, qui veterem Romam incolunt, non esse sanctam hanc synodum œcumenicam, sicut et in ejus proœmio scripsimus. Tanquam enim ferrum cor eorum pervasit, eosque pungit, ut qui contra apostolicum canonem faciant, qui dicit: Si quis clericus inventus fuerit sancto Dominico et Sabbato jejunare, præterquam uno et solo, deponatur: si autem laicus, segregetur. Ii ergo venia digni non sunt, qui suæ rursus privatæ constitutioni inhærent, et non solum in sanctæ Quadragesimæ Sabbatis jejunant, sed et in reliquis omnibus. Ego autem vidi quosdam Latinos, qui, cum propterea reprehenderentur, inanem quoque excusationem afferebant, ad sanctum nempe Domini et Servatoris nostri Jesu Christi sepulcrum aditionem, et quod hujus rei gratia ex longa consuetudine obtinuit jejunium. Alios autem vidi, qui

μένοι, τοὺς μὴ ἀπηριθμημένους ἐν αὐτῷ γάμους ὡς παρανόμους ἀκωλύτους ἐδιάζοντο φρονεῖν, καὶ τὴν φύσιν συνέχειν συγγενέσι μιγνύμενοι. Διὰ ταῦτα πρὸς τὸν κανόνα τοῦτον ἀπεῖδεν ἡ σύνοδος, καὶ ἀπολογεῖται μὲν διά τί τὰ πλείω σιωπῇ ὁ ἅγιος παρέδραμεν· Ἵνα, φησί, μὴ τὸν λόγον καταῤῥυπαίῃ τοῖς ῥήμασιν ἕκαστον τῶν ἀθέσμων γάμων ἀπαριθμῶν· περιεκτικῶς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι τοὺς παρανόμους γάμους ὑπέδειξεν. Εἶτα ἐπήγαγον οἱ τῆς συνόδου Πατέρες καὶ γάμους ἀθέσμους, οὓς καὶ ἀπηριθμήσαντο, καὶ διασπᾶσθαι μὲν τοὺς τοιούτους γάμους ἐκ παντὸς διωρίσαντο, τοὺς δὲ χρανθέντας αὐτοῖς τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι.

ΑΡΙΣΤ. « Οὐ συγχωρήσεις ἐξαδέλφῃ συζευχθῆναι
« ἐξάδελφον· οὐδὲ θυγατρὶ καὶ υἱὸν καὶ πατέρα·
« οὐδὲ δυσὶν ἀδελφοῖς μητέρα καὶ θυγατέρα· οὐ-
« δὲ δυσὶν ἀδελφαῖς ἀδελφούς· εἰ δέ τι τοιοῦτον
« γένοιτο, μετὰ τῆς διαλύσεως ἑπταετίαν ὑποπι-
« πτέτωσαν. »

Καὶ οὗτοι οἱ γάμοι, ὡς ἀπηγορευμένοι, διαλυθήσονται· καὶ οἱ συναλλάξαντες αὐτοὺς κατὰ τὸν παρόντα κανόνα καὶ τὸν ἑβδομηκοστὸν ὄγδοον τοῦ μεγάλου Βασιλείου ἐνιαυτὸν προσκλαύσουσι, διετίαν ὑπακροάσονται, τριετίαν ὑποπεσοῦνται, καὶ τῷ ἑβδόμῳ συστήσονται μετὰ τῶν πιστῶν· καὶ οὕτως, ἐὰν μετὰ δακρύων μετανοήσωσι, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται.

ΚΑΝΩΝ ΛΕ'.

« Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει
« ἐν ταῖς ἁγίαις τῆς Τεσσαρακοστῆς νηστείαις τοῖς
« ταύτης Σαββάτοις νηστεύειν παρὰ τὴν παρεδο-
« θεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν· ἔδοξε τῇ
« ἁγίᾳ συνόδῳ ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων
« Ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα, τὸν λέ-
« γοντα· Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ Κυ-
« ριακῇ νηστεύων ἢ τὸ Σάββατον πλὴν τοῦ ἑνὸς
« καὶ μόνου, καθαιρεισθω· εἰ δὲ λαϊκὸς, ἀφορι-
« ζέσθω. »

ΒΑΛΣ. Καὶ εἰς ἄλλα μὲν πολλὰ, τέως δὲ καὶ διὰ τὸν παρόντα κανόνα, λέγουσιν οἱ τῆς παλαιᾶς Ῥώμης, μὴ εἶναι τὴν ἁγίαν ταύτην σύνοδον οἰκουμενικὴν, καθὼς καὶ ἐν τῷ προοιμίῳ αὐτῆς ἐγράψαμεν. Ὡς γὰρ σίδηρος διῆλθε τὴν καρδίαν αὐτῶν, καὶ στηλιτεύει τούτους ὡς ὑπεναντίως ποιοῦντας τῷ ἀποστολικῷ κανόνι, τῷ λέγοντι· Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ Κυριακῇ καὶ τῷ Σαββάτῳ νηστεύων πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Οὐ χρὴ οὖν τούτους συγνώμης ἀξιωθῆναι, τῆς αὐτῆς ἐξερχομένους ἰδιορρυθμίας, καὶ πάλιν καὶ νηστεύοντας μὴ μόνον κατὰ τὰ Σάββατα τῆς ἁγίας Τεσσαρακοστῆς, ἀλλὰ καὶ κατὰ τὰ λοιπά. Ἐγὼ δὲ εἶδόν τινας Λατίνους αἰτιωμένους διὰ τοῦτο, καὶ ματαίαν προβαλλομένους πρόφασιν, τὴν εἰς τὸν ἅγιον τάφον τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπέλευσιν, καὶ τὴν χάριν τούτου κρατήσασαν νηστείαν ἐκ συνηθείας μακρᾶς.

Ἄλλους δὲ εἶδον μὴ ἀπελθόντας εἰς τὰ Ἱεροσόλυμα, καὶ νηστεύοντας ὁμοίως· καὶ ἄλλους ἀτιμάζοντας τὴν τοιαύτην νηστείαν καὶ ἀδιαφόρως κατὰ τὰ Σάββατα καταλύοντας, ἀπελθόντας καὶ ταῦτα εἰς τὸν τοῦ Κυρίου τάφον. Οὐκ ἔχω γοῦν εἰπεῖν ὅπως ταῦτα οὕτω παρὰ τῶν τοιούτων γίνονται. Ἔοικε δὲ ὡς τοῖς ἔθεσι μᾶλλον ἢ τοῖς κανόσιν ἀκολουθεῖν.

A Hierosolymam non venerant, et similiter jejunabant: et alios qui ejusmodi jejunium contemnebant et indiscriminatim in Sabbatis solvebant, qui etiam ad Domini sepulcrum venerant. Non possum itaque dicere quomodo hæc ab illis sic fiant. Videntur autem ii consuetudinem potius sequi, quam canones.

ΖΩΝΑΡ. Διορθώσασθαι τὸ σφάλμα τοῦτο τῶν Λατίνων ἡ συνόδος ἐπεχείρησεν, ἀλλ' ἀδιόρθωτοι καὶ αὖθις οἱ ἀλαζόνες ἔμεινάν τε καὶ μένουσι, μήτε τοῖς παλαιοτέροις κανόσι πειθόμενοι, τοῖς ἅπαξ τοῦ ἐνὸς Σαββάτου τοῦ μεγάλου δηλαδὴ μὴ νηστεύειν ἐν Σαββάτῳ κελεύουσι, μήτε τούτῳ ἐπιστρεφόμενοι, καὶ μήτε τὴν καθαίρεσιν οἱ ἱερωμένοι εὐλαβούμενοι, μήθ' οἱ λαϊκοὶ τὸν ἀφορισμόν.

ZONAR. Latinorum hoc peccatum emendare synodus conatus est; verum in sua pertinacia hactenus permanserunt arrogantes, hodieque permanent. Neque vero, aut antiquos canones audiunt, qui omne in Sabbato jejunium, uno excepto, nempe magni Sabbati die, vetitum esse voluere, aut hujus quoque moventur auctoritate. Quin et depositionem quoque qui sacris initiati sunt, et segregationem jejunantibus indictam laici negligunt.

B

ΑΡΙΣΤ. « Οἱ Ῥωμαῖοι τοῖς τῆς Τεσσαρακοστῆς νη-
« στεύουσι Σάββασιν· ὑπομιμνήσκει τοίνυν ἡ
« σύνοδος καὶ ἐπὶ τούτων τὸν ἀποστολικὸν κανόνα
« κρατεῖν. »

ARIST. « Romani Quadragesimæ Sabbatis jejunant:
« admonet itaque synodus in his etiam canonem apostolicum valere. »

Μαθοῦσα αὕτη ἡ ἁγία σύνοδος τοὺς ἐν τῇ Ῥωμαίων πόλει τὸν ἑξηκοστὸν τέταρτον κανόνα τῶν ἁγίων ἀποστόλων παραβαίνοντας, τὸν προστάττοντα ἄνευ τοῦ μεγάλου Σαββάτου ἕτερον Σάββατον ἢ Κυριακὴν μὴ νηστεύειν· ὥρισε καὶ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἀπαρασάλευτον τὸν τοιοῦτον ἀποστολικὸν κανόνα φυλάττεσθαι.

Intelligens hæc sancta syn. eos, qui in Romanorum sunt **224** civitate, sexagesimum quartum sanctorum apostolorum canonem alio præterquam magno Sabbato aut die Dominico non jejunare mandantem, transilire: decrevit, et in Romanorum Ecclesia illum apostolorum canonem firmo inviolabiliterque observandum esse.

ΚΑΝΩΝ ΝϚ'.

CANON LVI.

C

« Ὡσαύτως μεμαθήκαμεν ἔν τε τῇ Ἀρμενίων χώρᾳ
« καὶ ἐν ἑτέροις τόποις, ἐν τοῖς Σάββασι καὶ ἐν
« ταῖς Κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς ὠὰ
« καὶ τυρὸν ἐσθίειν τινάς· ἔδοξε τοίνυν καὶ
« τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν τὴν οἰκουμένην
« τοῦ Θεοῦ Ἐκκλησίαν, μιᾷ κατακολουθοῦσαν
« τάξει, τὴν νηστείαν ἐπιτελεῖν, καὶ ἀπέχεσθαι,
« ὥσπερ θυτοῦ παντὸς, οὕτω δὴ ὠοῦ καὶ τυροῦ,
« ἃ καρπός εἰσι καὶ γεννήματα ὧν ἀπεχόμεθα.
« Εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοί
« εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοί, ἀφοριζέ-
« σθωσαν. »

« Similiter accepimus et in Armeniorum regione
« et in aliis locis, in Sabbatis et Dominicis sanctæ Quadragesimæ, quosdam ova et caseum
« comedere. Visum est ergo et hoc, ut tota Dei
« Ecclesia, quæ est in universo terrarum orbe,
« unum ordinem sequens, jejunium perficiat, et
« abstineat, sicut ab omni mactabili, sic ab ovis
« et caseo, quæ quidem sunt fructus et fœtus
« eorum a quibus abstinemus. Si autem hoc non
« servaverint, si sint quidem clerici, deponantur: sin autem laici, segregentur. »

ΒΑΛΣ. Ἐν τῷ προλαβόντι κανόνι νενομοθέτηται μὴ νηστεύειν ἐν τοῖς Σαββάτοις καὶ ταῖς Κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς. Ἀρμένιοι οὖν καί τινες ὀρθόδοξοι, ὡς ἔοικε, πλανηθέντες ἀπὸ τοῦ τοιούτου κανόνος, κατέλυον ἐν τοῖς ῥηθεῖσι Σαββάτοις, καὶ ἤσθιον ὠὰ καὶ τυρὸν, ὡς δῆθεν μὴ μετέχοντα αἵματος, ἀλλ' ἐοικότα καρποῖς ὀπωρινοῖς. Τοῦτο οὖν διορθουμένη ἡ σύνοδος, διορίζεται μιᾷ τάξει καταλαμβάνειν τὰς ὅλας Ἐκκλησίας τοῦ Θεοῦ, καὶ πάντας ἀπέχεσθαι θυτοῦ παντοίου, ὅτι καὶ τὰ ὠὰ καὶ οἱ τυροὶ κἂν καρποὶ λογίζωνται, ἀλλ' ἐπεὶ τὰ ἐξ ὧν ταῦτα γεγόνασιν, οὐκ ἐσθίομεν, οὐδὲ εἰς αὐτὰ καταλύειν ὀφείλομεν. Τοὺς μέντοι μὴ φυλάττοντας τὰ διατεταγμένα, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι παρακελεύεται ὁ κανών· λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Καὶ πάντως τῷ αὐτῷ ἐπιτιμίῳ ὑπόκεινται καὶ οἱ διὰ τυροῦ καὶ ὠοῦ καταλύοντες εἰς τὰς ὅλας Τετράδας καὶ Παρασκευάς· ὅτι νενομοθέτηται κατὰ ταύ-

D BALS. In præcedenti quidem canone statutum est, in Sabbatis et Dominicis sanctæ Quadragesimæ non esse jejunandum. Armenii itaque et quidam, ut est verisimile, orthodoxi ex hoc canone errantes, in dictis Sabbatis comedebant ova et caseum, ut quæ essent sanguinis expertia et autumni fructibus similia. Hoc itaque corrigens definit synodus, omnes Dei Ecclesias debere unum ordinem sequi, et abstinere omnes ab omni mactabili, quoniam et ova et casei, etiamsi fructus reputentur, quia tamen ea, ex quibus illa processerunt, non comedimus, ne eis quidem ipsis vesci ac jejunium solvere debemus. Ac eos quidem, qui hæc decreta non servant, si sint quidem clerici, deponi jubet canon, laicos vero segregari. Ac eidem quidem omnino pœnæ subjiciuntur et qui per caseum et ovum jejunium solvunt omni quarta et sexta feria, seu Parasceve; quoniam

statutum est, ut fideles his diebus jejunent, quemadmodum et in Quadragesima.

ZONAR. Qui in iis regionibus Christiani degebant, cum canonem, ut arbitramur, quo jejunium Sabbatis ac Dominicis Quadragesimæ prohibetur, reperissent, ovis sese per eos dies et caseo saginabant. Id ergo cum emendare synodus cuperet, ab iis quoque cibis abstinendum esse decernit. Quemadmodum enim, inquit, omni mactabili, animantibus videlicet, quæ mactari jugularive solent, nequaquam vescimur, ita et quæ ex iisdem animantibus gignuntur attingere non oportet. Et eos qui hæc decreta non observant, clericos deponi, laicos vero segregatione puniri jubet.

ARIST. « Armenii ova et caseum Quadragesimæ « Sabbatis comedunt. Cautum est igitur, ut totus « terrarum orbis ab istis etiam abstineat : sin « minus, segregari. »

CANON LVII.

« Quod ad altare mel et lac offerre non oportet. »

BALS. De eo fuse scripsimus in 3 canone sanctorum apostolorum, nec ea sunt rursus repetenda. Quære et 28 can. præsentis synodi.

ZONAR. Hoc tertio quoque sanctorum apostolorum can. vetitum est, in quo cum melle ac lacte hujus generis alia quædam præterea recensentur.

ARIST. « Ad altare mel et lac offerri non oportet. » *Perspicuus.*

225 CANON LVIII.

« Nemo eorum qui sunt in ordine laicorum divina « sibi mysteria impertiat, præsente episcopo vel « presbytero vel diacono. Qui autem tale quid « ausus fuerit, ut præter ea quæ sunt constituta « faciens, una septimana segregetur, ex eo edo« ctus, non amplius sapere quam sapere opor« tet. »

BALS. Alii quidem diversi canones prohibuerunt, ne a laicis sancta mysteria tractarentur, et ea aliis vel sibi impertirent : quoniam episcopis et presbyteris et diaconis talis data est dignitas. Præsens autem canon eadem cum illis præcipiens, et unius quoque septimanæ segregationi eum subjiciens, qui præter ea quæ sunt statuta, id etiam adjicit, quod hæc tunc laicus non audebit facere, quando adest episcopus, presbyter vel diaconus, qui sacra tractare potest. Dicunt igitur quidam, sumpta a contrario distinctione, quod quando non adest eorum aliquis propter oblatam sibi necessitatem, sibi quis recte divina sacramenta impertiet. Mihi autem non videtur : ut enim tale quid audeant, ex interpretatione et e contrario sumpta distinctione, non concedetur. Latini autem azyma assidue in sinu ferentes, etiamsi sint laici, ea non solum sibi ut sacramenta impertiunt, sed etiam aliis.

ZONAR. Sancta tractare, eaque cæteris imper-

τας νηστεύειν τοὺς πιστοὺς, ὥσπερ καὶ εἰς τὴ Τεσσαρακονθήμερον νηστείαν.

ΖΩΝΑΡ. Οἱ ἐν ταῖς χώραις ἐκείναις Χριστιανοὶ, εὑρόντες, ὡς ἔοικε, τὸν κανόνα τὸν λέγοντα μὴ δεῖν ἐν τοῖς Σαββάτοις καὶ ταῖς Κυριακαῖς τῆς Τεσσαρακοστῆς νηστεύειν, ὡὰ καὶ τυρὸν ἐν αὐταῖς ἤσθιον. Τοῦτο οὖν διορθουμένη ἡ σύνοδος ἀπαγορεύει τὸ ταῦτα ἐσθίειν, λέγουσα ὅτι, ὥσπερ ἀπεχόμεθα παντοίου θυτοῦ, ζώων δηλαδὴ θυομένων ἤτοι σφαζομένων, οὕτω καὶ τῶν ἐξ αὐτῶν γινομένων ἀπέχεσθαι δεῖ, καὶ τοὺς μὴ τὰ διατεταγμένα ταῦτα φυλάττοντας κληρικοὺς καθαιρεῖσθαι κελεύει· τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι.

ΑΡΙΣΤ. « Οἱ Ἀρμένιοι ὠὰ καὶ τυρὸν τοῖς τῆς Τεσ« σαρακοστῆς ἐσθίουσι Σάββασιν· ὥρισται τοίνυν « πᾶσαν τὴν οἰκουμένην καὶ τούτων ἀπέχεσθαι· « εἰ δὲ μὴ, ἀφορίζεσθαι. »

ΚΑΝΩΝ ΝΖ'.

« Ὅτι οὐ χρὴ ἐντὸς θυσιαστηρίου μέλι καὶ γάλα « προσφέρειν. »

ΒΑΛΣ. Περὶ τούτου πλατέως ἐγράψαμεν ἐν τῷ γ' κανόνι τῶν ἁγίων ἀποστόλων, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν παλιλλογεῖν. Ζήτει καὶ τὸν κη' κανόνα τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ τρίτος κανὼν τῶν ἁγίων ἀποστόλων κεκώλυκε, τῷ μέλιτι καὶ τῷ γάλακτι καὶ ἕτερα εἴδη συναπαριθμησάμενος.

ΑΡΙΣΤ. « Ἐν τῷ θυσιαστηρίῳ οὐ χρὴ μέλι καὶ « γάλα προσφέρεσθαι. » *Σαφής.*

ΚΑΝΩΝ ΝΗ'.

« Μηδεὶς τῶν ἐν λαϊκοῖς τεταγμένων ἑαυτῷ τῶν « θείων μυστηρίων μεταδιδότω, παρόντος ἐπισκό« που ἢ πρεσβυτέρου ἢ διακόνου. Ὁ δέ τι τοιοῦτον « τολμῶν, ὡς παρὰ τὰ διατεταγμένα ποιῶν, ἐπὶ « ἑβδομάδα μίαν ἀφοριζέσθω, ἐντεῦθεν παιδαγω« γούμενος μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν. »

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες διάφοροι ἐκώλυσαν παρὰ λαϊκῶν τὰ ἅγια μυστήρια μετσχειρίζεσθαι, καὶ ἢ ἑτέροις μεταδιδόναι αὐτῶν, ἢ ἑαυτοῖς· ὅτι ἐπισκόποις καὶ ἱερεῦσι καὶ διακόνοις τὸ τοιοῦτον ἀπεχαρίσθη ἀξίωμα. Ὁ δὲ παρὼν κανὼν τὰ αὐτὰ ἐκείνοις παρακελευόμενος, καὶ ἀφορισμῷ καθυποβάλλων ἐπὶ ἑβδομάδα μίαν τὸν παρὰ τὰ διατεταγμένα ποιοῦντα, προστίθησιν ὡς τότε ταῦτα ὁ λαϊκὸς οὐ τολμήσει ποιῆσαι, ὅτε πάρεστιν ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, δυνάμενος μεταχειρισθῆναι τὰ ἅγια. Λέγουσι γοῦν τινες ἐξ ἀντιδιαστολῆς ὡς, ὅταν πάρεστί τις ἐξ αὐτῶν, διὰ προσκειμένην ἀνάγκην καλῶς μεταδώσει τις ἑαυτῷ τῶν θείων ἁγιασμάτων· ἐμοὶ δὲ οὐ δοκεῖ. Τοιοῦτον γὰρ τολμηθῆναι ἀπὸ ἑρμηνείας καὶ ἀντιδιαστολῆς οὐκ ἐχωρηθήσεται. Οἱ μέντοι Λατῖνοι ἄζυμα διηνεκῶς ἐγκόλπια φέροντες καὶ λαϊκοὶ ὄντες, οὐ μόνον ἑαυτοῖς τούτων μεταδιδόασιν ὡς ἁγιασμάτων, ἀλλὰ καὶ ἑτέροις.

ΖΩΝΑΡ. Τὸ μεταχειρίζεσθαι τὰ ἅγια, καὶ ἑτέρους

ὑτῶν μεταδιδόναι, τοῖς ἱερωμένοις δέδοται. Ὁ δὲ A tiri, qui sacris initiati sunt, soli debent. Quod si
ἄνευ ἀνάγκης, μὴ παρόντος δηλονότι ἱερωμένου, quis, nisi necessaria causa adductus, cum nullus
μεταχειρίζεσθαι ταῦτα τολμῶν καὶ ἑαυτῷ τούτων videlicet ex initiatis adfuerit, ea contingere, sibi-
μεταδιδόναι, ἱερωσύνης αὐτῷ δοκεῖ περιτιθέναι que ipse ministrare audeat, hic sibi sacri ordinis
ἀξίωμα. Τοῦτο δὲ οἴησιν ἐκείνῳ προσμαρτυρεῖ· διὸ dignitatem videtur arrogare. Hoc autem arrogan-
καὶ ἀφορισμῷ μιᾶς ἑβδομάδος κολάζεται, ἵνα μάθῃ, tem de se opinionem cum concepisse ostendit.
φησὶ, *μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν*, ἵνα ταπει- Proinde unius hebdomadæ segregatione punitur;
νωθῇ, καὶ ἐπιγνῷ ἑαυτὸν, καὶ μὴ τοῖς ὑπὲρ αὐτὸν ut discat, inquit, *non plus sapere quam oportet*
ἐγχειρῇ. *sapere* [80], sed humilis factus seipsum cognoscat,
majoraque suis meritis aggredi reformidet.

ΑΡΙΣΤ. « Λαϊκὸς οὐ μεταδίδωσιν ἑαυτῷ· εἰ δὲ μὴ, ARIST. « Laicus sibi non impertit. Alioquin se-
« ἑπταήμερον ἀφορίζεται. » « ptimana segregetur. »

Οὐ δεῖ λαϊκὸν ἑαυτῷ τῶν θείων μυστηρίων μετα- Non oportet laicum sibi divina impertire myste-
διδόναι, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διε- ria præsente episcopo vel presbytero vel diacono.
κόνου. Τὸν δὲ τοῦτο ποιοῦντα ὥρισεν ἡ σύνοδος ἐπὶ Eum autem, qui hoc fecerit, decrevit synodus una
ἑβδομάδα μίαν ἀφορίζεσθαι, ἵνα παιδαγωγηθῇ μὴ B septimana segregari, ut discat non sapere plus
φρονεῖν παρ' ὃ δεῖ φρονεῖν. quam oportet sapere.

ΚΑΝΩΝ ΝΘ'. CANON LIX.

« Μηδαμῶς ἐν εὐκτηρίῳ οἴκῳ ἔνδον οἰκίαν (60) τυγ- « In ædo oratoria, quæ est intra domum, baptis-
« χάνοντι βάπτισμα ἐπιτελεῖσθω· ἀλλ' οἱ μέλλον- « mus nequaquam peragatur : sed qui ab omni-
« τες ἀξιοῦσθαι τοῦ ἀχράντου φωτίσματος ταῖς « bus sordibus aliena illuminatione digni ha-
« καθολικαῖς προσερχέσθωσαν ἐκκλησίαις, κἀκεῖσε « bendi sunt, ad catholicas ecclesias accedant,
« τῆς δωρεᾶς ταύτης ἀπολαυέτωσαν. Εἰ δέ τις « et ibi hoc illi munere perfruantur. Si quis au-
« ἄλῳ τὰ παρ' ἡμῶν ὁρισθέντα μὴ φυλάττων, εἰ « tem quæ a nobis constituta sunt, non servare
« μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, « convictus fuerit, si sit quidem clericus, depo-
« ἀφοριζέσθω. » « natur : si autem laicus, segregetur. »

ΒΑΛΣ. Τὰ εἰς τὴν ἑρμηνείαν (61) τοῦ παρόντος BALS. Quæ in hujus canonis interpretatione
κανόνος γεγραμμένα σημείωσαι, καὶ πρόσσχες μᾶλ- scripta sunt nota, et attende potius Philosophi
λον τῇ Νεαρᾷ τοῦ Φιλοσόφου, καὶ μὴ τῷ παρόντι Novellæ, et non præsenti canoni de baptismatis in
κανόνι, χάριν τῶν γινομένων βαπτισμάτων εἰς τὸν æde oratoria celebrandis.
εὐκτήριον. C

Ἑτέρα ἑρμηνεία. *Alia interpretatio.*

Τοὺς ἐν εὐκτηρίῳ οἴκῳ καὶ μὴ ἐν καθολικαῖς ἐκ- Sacerdotes, qui in oratorio, et non in catholicis
κλησίαις βαπτίζοντας ἱερεῖς καθαιρεῖσθαί φησιν ὁ ecclesiis baptizant, deponi jubet canon : et eos
κανών· καὶ τοὺς συμπράττοντας αὐτοῖς κληρικοὺς quidem, qui eis opem ferunt, si sint clerici, deponi,
μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀφορίζεσθαι. si laici vero, segregari. Duodecimus autem primæ
Ὁ δὲ ιβ' κανὼν τῆς α' καὶ β' συνόδου τῆς ἐν τῷ et secundæ synodi canon, quæ in Sanctorum Apo-
ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης παρομοίως stolorum æde congregata est, eos similiter punien-
κολάζεσθαί φησι τοὺς ποιοῦντας· τοιοῦτόν τι παρὰ dos dicit, qui præter proprii episcopi sententiam
γνώμην τῶν ἐπισκόπων· ὥστε κατὰ γνώμην ἐπισκο- tale quid faciunt. Quocirca voluntate episcopi hæc
πικὴν καὶ πρὸ τούτου τοιαῦτα ἐγίνοντο. Ζήτει καὶ quoque fiebant antea. Quære etiam 31 can. præ-
τὸν λα' κανόνα τῆς παρούσης συνόδου καὶ τὰς ἐκεῖ sentis synodi, et illic sitas novellas imp. domini
καταστρωθείσας Νεαρὰς τοῦ βασιλέως· κυροῦ Λέοντος Leonis Philosophi, 4 scilicet et 15, et intelliges,
τοῦ Φιλοσόφου, ἤγουν τὴν δ' καὶ τὴν ιε', καὶ μάθῃς quod per eas permissum est in domesticis oratoriis
ὅτι διὰ τούτων ἐξεχωρήθη τὸ ἐν εὐκτηρίοις οἴκοις seu sacellis sacra peragere ac baptizare.
ἱερουργεῖν καὶ βαπτίζειν. D

ΖΩΝΑΡ. Ὁ μὲν κανὼν οὗτος καθάπαξ ἔοικε κω- **226** ZONAR. Videtur hoc quidem canone, ne
λύειν τὸ γίνεσθαι βάπτισμα ἐν εὐκτηρίῳ ἐντὸς οἴκου baptismus in privato sacello ministretur, penitus

[80] Rom. XII, 3.

Guill. Beveregii notæ.

(60) Ἔνδον οἰκίαν. Ms. Amerbachianus legit ut et paulo post ἀχράντου βαπτίσματος, pro ἀχράντου φωτίσματος. Nimirum hæc verba βάπτισμα et φώτισμα promiscue usurpantur.

(61) *Τὰ εἰς τὴν ἑρμηνείαν.* Hæc usque ad finem hujus primæ interpretationis ex ms. Bodleiano edimus. In Amerbachiano non exstant ; nec quidem Balsamonis esse videntur, quippe quæ potius marginalem quamdam annotationem ad Balsamonis interpretationem hujus canonis continent : ac propterea post istam interpretationem, melius quam ante, collocentur. Sed cum hæc in ms. Bodleiano tanquam prima hujus canonis interpretatio habeatur, eam alteri præmittere visum est, ne a ms. deviare videremur.

interdictum : quique id ausus fuerit, initiatum deponi, laicos vero segregatione teneri placet. Duodecimus vero canon primæ et secundæ in templo Sanctorum Apostolorum habitæ synodi, a clero sepositos, hoc est, episcopi auctoritate ex omni clero loci illius, qui in privata æde sacra facturi sunt, eique muneri separatim addictos esse oportere decernit. Illud ergo ex utroque hoc canone efficitur, ut in tali oratorio sacra peragere, baptismumque ministrare, nec omnino vetitum, nec omnibus permissum esse intelligamus : sed qui ejusmodi sacra ministeria privatim obituri sunt, eos delectos, et bene cognitos esse Patres voluerint, nec alium præterea ad illa quemquam admittit, nec cujusque sacerdotis voluntati hoc concessum esse ; sed ex regionis episcopo veniam impetrari. Quicunque vero sese non vocati operi accinxerint, deponi, quique eis communicaverint, segregari jubet. Primo quoque et tricesimo canone eadem hæc sexta synodus in ejusmodi oratorio sacra mysteria peragere et baptizare, nisi episcopo annuente, vetat.

ARIST. « In ædibus oratoriis intra domum constitu-
« tis baptismum non celebrabunt. Qui hoc au-
« tem non observat, clericus quidem deponitur :
« laicus autem segregatur. »

In oratorio quod est intra domum sacra facere, ita volente regionis istius episcopo, tricesimus primus synodi præsentis canon præscripsit : licet quinquagesimus octavus synodi Laodicensis canon illud ab episcopis aut presbyteris fieri prohibuit. Baptismum autem celebrari in ejusmodi ædibus oratoriis præsens canon vetat, mandatque eos, qui divina illuminatione habebuntur digni, catholicas adire ecclesias, et in iis dono isto perfrui. Sin minus, cum, qui decreta hæc transgreditur, si quidem clericus sit, deponi : si vero laicus, segregari.

CANON LX.

« Cum clamet Apostolus, quod « qui Domino
« adhæret, unus est spiritus [49], » clarum est, quod
« qui etiam cum contrario init familiaritatem ac
« consuetudinem, cum illo conjunctione unum
« fit. Eos ergo qui se dæmone correptos esse
« simulant, et morum improbitate eorum figuram
« et habitum simulate præ se ferunt, visum est
« omni modo puniri, et ejusmodi afflictionibus
« laboribusque subjici oportere, quibus ii qui
« vere a dæmone correpti sunt, ut a dæmonis
« operatione liberentur, jure subjiciuntur. »

BALS. Eos qui ad lucrum sibi parandum se dæmone correptos esse simulant, et cum mala Satanica conscientia quædam dæmoniaca instar vatum gentilium prædicant, canon puniendos esse decernit, iis denique afflictationibus laboribusque subjici, quibus subjiciantur et qui vere dæmoniaci

[49] I Cor. vi, 17.

A ὄντι, καὶ τὸν τοῦτο τολμήσαντα ἱερωμένον καθ ἱρεῖ, λαϊκοὺς δὲ ἀφορίζει. Ὁ δὲ δωδέκατος κανὼν τῆς πρώτης καὶ δευτέρας συνόδου τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης ἀποκεκληρωμένους εἶναι βούλεται τοὺς ἐν εὐκτηρίῳ λειτουργοῦντας ἔνδον οἰκίας ὄντι, ἀντὶ τοῦ ὡρισμένους ἐκκεχωρισμένους παρὰ τοῦ κατὰ τόπον ἐπισκόπου. Τοῦτο οὖν ἐξ ἀμφοῖν τῶν κανόνων τούτων καταλαμβάνεται, ὅτι οὔτε πάντη κεκώλυται τὸ ἱερουργεῖν ἐν εὐκτηρίῳ τοιούτῳ καὶ βαπτίζειν, οὔτε παντὶ ἐπιτέτραπτο, ἀλλὰ ὡρισμένους καὶ ἐγνωσμένους ἤθελον οἱ Πατέρες εἶναι τοὺς μέλλοντας ἐν εὐκτηρίοις ἱερουργεῖν, καὶ παρ' ἐκείνους ἑτέρῳ μὴ ἐξεῖναι τοῦτο ποιεῖν, μηδὲ τῷ ἑκάστου ἱερέως βουλήματι τοῦτο ἀνετον εἶναι· παρὰ τοῦ ἐπισκόπου δὲ τῆς χώρας λαμβάνειν τὴν
B ἐκχώρησιν. Τοὺς δὲ ἐξ οἰκείας ὁρμῆς τοῦτο ποιοῦντας καθαιρεῖσθαι, καὶ τοὺς μετασχόντας τῆς κοινωνίας αὐτῶν ἀφορίζεσθαι· καὶ ὁ τριακοστὸς πρῶτος κανὼν τῆς ἕκτης συνόδου ταύτης κατὰ γνώμην τοῦ ἐπισκόπου ἱερουργεῖν καὶ βαπτίζειν ἐν εὐκτηρίῳ τοιούτῳ οἴκῳ προστάσσει.

ΑΡΙΣΤ. « Ἐν εὐκτηρίοις οἴκοις ἔνδον οἴκου οὐκ
« ἐπιτελέσουσι βάπτισμα. Ὁ δὲ μὴ φυλάξας, κλη-
« ρικὸς μὲν, καθαιρεῖται· λαϊκὸς δὲ, ἀφορί-
« ζεται. »

Τὸ μὲν ἐν εὐκτηρίῳ οἴκῳ ἔνδον οἰκίας τυγχάνοντι λειτουργεῖν μετὰ γνώμης τοῦ κατὰ χώραν ἐπισκόπου ὁ τριακοστὸς πρῶτος κανὼν τῆς παρούσης συνόδου προετρέψατο· κἂν ὁ πεντηκοστὸς ἕβδομος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου τοῦτο ἐκώλυσε
C γίνεσθαι παρὰ ἐπισκόπων ἢ πρεσβυτέρων· τὸ δὲ βάπτισμα τελεῖσθαι ἐν εὐκτηρίοις τοιούτοις οἴκοις ὁ παρὼν ἀπαγορεύει κανὼν, καὶ προστάττει τοὺς μέλλοντας ἀξιοῦσθαι τοῦ θείου φωτίσματος ταῖς καθολικαῖς ἐκκλησίαις προσέρχεσθαι, καὶ ἐν αὐταῖς τῆς δωρεᾶς ταύτης ἀπολαύειν· εἰ δὲ μὴ, τὸν παραβαίνοντα τὰ ὁρισθέντα, εἰ μὲν κληρικὸς, καθαιρεῖσθαι, εἰ δὲ λαϊκὸς, ἀφορίζεσθαι.

ΚΑΝΩΝ Ξ'.

« Τοῦ Ἀποστόλου βοῶντος ὅτι ὁ κολλώμενος τῷ Κυρίῳ
« ἓν πνεῦμά ἐστι, πρόδηλον ὡς καὶ ὁ τῷ ἐναν-
« τίῳ ἑαυτὸν οἰκειῶν ἓν γίνεται τῇ πρὸς αὐτὸν
« συναφείᾳ. Τοὺς τοίνυν δαιμονᾷν ὑποκρινομέ-
« νους, καὶ τρόπων φαυλότητι προσποιητῶς τὰ
« ἐκείνων σχηματιζομένους, ἔδοξε τρόπῳ ἐπιτι-
« μᾶσθαι παντὶ, καὶ τοιαύταις αὐτοὺς σκληραγω-
« γίαις καὶ πόνοις ὑποβάλλειν, οἷς ἂν οἱ ἀληθῶς
« δαιμονῶντες πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος
« ἐνεργείας ἀξίως ὑποβάλλοιντο. »

ΒΑΛΣ. Τοὺς σχηματιζομένους δαιμονᾶν διὰ πορισμὸν κέρδους, καὶ κηρύσσοντας μετὰ φαύλου συνειδότος σατανικοῦ δαιμονιώδη τινὰ κατὰ τὰς τῶν Ἑλλήνων προφητείας, ὁ κανὼν ἐπιτιμᾶσθαι ὁρίζει, ἤγουν τιμωρεῖσθαι, καὶ σκληραγωγίαις καὶ πόνοις ὑποβάλλεσθαι τοιούτοις, οἷς ἂν οἱ ἀληθῶς δαιμονῶν-

τες ὑποδιηγεῖτον, ἵνα ἀπαλλαγείεν τοῦ δαίμονος. Φησὶ δὲ καὶ τὴν προσποίησιν αὐτῶν τοὺς δαίμονας οἰκειοῦσθαι. Ἐγὼ δὲ, βλέπων πολλοὺς τοιούτους τὰς πόλεις περιερχομένους, καὶ μὴ κολαζομένους, ἀλλὰ καὶ ὡς ἡγιασμένους ἀγκαλιζομένους παρά τινων, ζητῶ μαθεῖν τὴν αἰτίαν, καὶ ἐξαιτῶ τὴν διόρθωσιν. Τὸν μέντοι Σταυρακιον ἐκεῖνον τὸν Ὀξυβάφον, τὸν ὡς ἀληθῶς δίκαιον, ὑποκρινόμενον τὴν διὰ Θεὸν μωρίαν διὰ τοὺς ἀπατεῶνας, μετὰ τῶν ὑποκριτῶν ἐθέμην κατ' ἄγνοιαν· παρομοίως δὲ ἐμοὶ καὶ ἕτεροι ἴσως ἵνα ἐκριματίσθησαν. Ἔδει οὖν τὰ τοιαῦτα κωλυθῆναι κατὰ τὸν παρόντα κανόνα, ἵνα μὴ καὶ οἱ ἀγαθοὶ διὰ τοὺς φαύλους ἐπιτιμῶνται. Πολλοὶ γάρ εἰσι τρόποι σωτηρίας ψυχῆς, καὶ δύναταί τις δι' αὐτῶν σωθῆναι ἀσκανδάλου ὄντος παντός. Ταῦτα δὲ λέγω, οὐκ οἰκοθεν, ἀλλ' ἐξ ἀφηγήσεως καλῶν ἀνδρῶν, πλασαμένων μὲν τοιαύτην θεάρεστον δῆθεν διαγωγὴν, καταγνόντων δὲ ταύτης ὡς ἐπωλέθρου, καὶ καταγούσης εἰς σατανικὴν μερίδα. Διά τοι τοῦτο καὶ διάφοροι ἁγιώτατοι πατριάρχαι πολλοὺς προσκαθημένους μετ' ἀλύσεων ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα, καὶ ἑτέρους τὰς τριόδους περιερχομένους, καὶ προσποιουμένους δαίμονᾶν, κατέσχον μετ' αὐθεντίας, καὶ εἰς δημοσίας φρουρὰς κατέκλεισαν ἀκολούθως τῷ κανόνι.

ΖΩΝΑΡ. Τινὲς προσποιούμενοι δαιμονᾶν εἰς πόρον κέρδους τῇ ὑποκρίσει ταύτῃ ἐκέχρηντο, ἢ καὶ νῦν κέχρηνται. Τοῦτο κωλύει ὁ κανὼν οὗτος, καὶ τοὺς σχηματιζομένους τοιαῦτα ἐπιτιμᾶσθαι ὁρίζει. Καὶ οὐχ ἁπλῶς ἐπιτιμᾶσθαι, ἀλλὰ βαρύτερον καὶ σκληραγωγίαις αὐτοὺς καὶ πόνοις ὑποβάλλεσθαι τοιούτοις, οἷοις ἂν οἱ ἀληθῶς δαιμονῶντες ὑποβληθείεν, ἵν' ἀπαλλαγείεν τοῦ δαίμονος. Λέγει γὰρ ὅτι διὰ τρόπων φαυλότητα τῷ δαίμονι προσοικειοῦντες ἑαυτοὺς ἐν γίνονται τῇ πρὸς αὐτὸν συναφείᾳ, καὶ ἐπάγει μαρτυρίαν ἐκ τοῦ μεγάλου Παύλου λέγοντος· *Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.*

ΑΡΙΣΤ. « Εἴ τις ὑποκρίνεται δαιμονᾶν, τὰ τῶν δαιμονώντων ἐπιτίμια ὑποστήσεται. »

Εἰ ὁ κολλώμενος τῷ Κυρίῳ, κατὰ τὸν Ἀπόστολον, ἓν πνεῦμά ἐστι, πρόδηλον ὡς ὁ τῷ διαβόλῳ ἑαυτὸν οἰκειῶν ἓν γίνεται τῇ πρὸς αὐτὸν συναφείᾳ. Διὰ τοῦτο τὸν ὑποκρινόμενον δαιμονᾶν, καὶ τὰ ἐκείνων πράττειν σχηματιζόμενον, τοιαύταις αὐτὸν σκληραγωγίαις ὑποβάλλει καὶ πόνοις, ὁποίοις ἂν καὶ τὸν ἀληθῶς δαιμονῶντα πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας.

ΚΑΝΩΝ ΞΑ'.

« Οἱ μάντεσιν ἑαυτοὺς ἐκδιδόντες ἢ τοῖς λεγομένοις « ἑκατοντάρχοις, ἤ τισι τοιούτοις, ὡς ἂν παρ' ἐκείνων μάθοιεν ὅ τι ἂν αὐτοῖς ἐκκαλύπτεσθαι βούλοιντο κατὰ τὰ πρώην ὑπὸ τῶν Πατέρων περὶ αὐτῶν ὁρισθέντα, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξαετίας. Τῷ αὐτῷ δὲ τούτῳ καθυποβάλλεσθαι δεῖ καὶ τοὺς τὰς ἄρκτους ἐπιφερομί-

fuerint, ut a dæmone liberentur. Dicit autem et eorum simulatione dæmones quoque illis familiares fieri. Ego autem, cum videam ejusmodi complures civitates obeuntes, et non puniri, sed ut sanctificatos a quibusdam obviis ulnis excipi, causam scire desidero, et correctionem postulo. Atqui Staurarium illum Oxybaphum, qui revera justus erat, eam autem quæ est propter Deum stultitiam agebat propter seductores, cum hypocritis per ignorantiam ponebam: fortasse autem a me nonnulli quoque alii præjudicio affecti sunt. Oportebat ergo talia per præsentem canonem prohiberi, ne boni propter malos puniantur. Multi enim sunt modi salutis animæ, et potest quis per eos servari absque ullo scandalo. Hæc autem non ex meo ingenio dico, sed ex bonorum 227 virorum narratione, qui hanc utique Deo gratam vivendi rationem effinxerunt, sed eam, ut perniciosam et ad partem Satanæ deducentem, condemnarunt. Et eam ob causam multi etiam sancti patriarchæ multos cum catenis assidentes in æde sancti magni martyris Niceiæ, et alios trivia obeuntes, et se dæmone corripi præ se ferentes, cum auctoritate detinuerunt, et in publicis custodiis canoni consequenter incluserunt.

ZONAR. Quidam homines, cum a dæmone se correptos esse simularent, ea simulatione, quod nunc quoque contingit, ad quæstum abutebantur. Id hoc canone vetitum est, ac ejusmodi impostores pœnis, et quidem gravioribus, coercendos esse decretum. Eos quippe iisdem laboribus et asperitatibus exerceri placet, quibus qui arreptitii revera sunt, dæmonis fugandi causa fatigantur. Nam illi, inquit, ob morum improbitatem se in familiaritatem cacodæmonis insinuantes, impuro spiritui intima conjunctione copulantur. Quam rem magni Pauli testimonio confirmat; *Qui Deo*, inquit, *adhæret, unus est spiritus*[91].

ARIST. « Qui dæmone se correptum simulat, dæmoniacorum pœnas subibit. »

Si, qui Domino conglutinatur, secundum Apostolum, unus est spiritus, manifestum est, quod qui cum diabolo familiaritatem init, cum isto conjunctione unum fit. Quapropter eum, qui se dæmoniis correptum simulat, et eorum opera perficere præ se fert, talibus eum afflictionibus subjicit et laboribus, qualibus et revera dæmone correptum, ut dæmonis operatione eximatur.

CANON LXI.

« Qui vatibus seipsos tradiderint, vel iis qui « centuriones dicuntur, vel aliis ejusmodi, ut « ab illis discant, si quid sibi revelari velint: « convenienter iis quæ de ipsis a Patribus nu- « per constituta sunt, sexennii canoni subjician- « tur. Eidem autem eos quoque subjici oportet, « qui ursas vel ejusmodi animalia, ad ludum et

[91] I Cor. VI, 17.

« simpliciorum noxam circumferunt, et fortu- A
« nam, ac fatum, et genealogiam, et quorumdam
« ejusmodi verborum multitudinem ex fallaciæ
« imposturæque nugis proferunt : eosque, qui
« nubium persecutores et incantatores et amu-
« letorum præbitores et vates appellantur. Eos
« autem, qui in iis persistunt, et non ab ejus-
« modi perniciosis gentilibusque studiis aver-
« tuntur et aufugiunt, Ecclesia omnino extur-
« bandos decernimus : sicut et sacri canones
« dicunt. Quæ est enim luci cum tenebris com-
« municatio [91] ? ut ait Apostolus ; vel quæ tem-
« plo Dei cum idolis consensio ? vel quæ fideli
« cum infideli pars est ? Quæ autem Christo est
« cum Belial concordia [92] ? »

BALS. In 25 cap. 9 tit. præsentis operis diver- B
sas leges posuimus de magis, incantatoribus et
aliis ejusmodi, quas lege. Præsens autem canon
constituit, ne quis ad vates vel præstigiatores acce-
dat, vel ad eos qui dicuntur centuriones, vel ad
eos qui ursas trahunt, vel ad nubium persecutores,
vel incantatores, vel ad eos qui præbent amuleta.
Si quis autem hoc fecerit, sexennio segregabitur :
et si in malo perseveret, ab Ecclesia publice ejicie-
tur, et non amplius cum orthodoxis versabitur.
Quæ est enim, inquit, communicatio luci cum te-
nebris? et cætera. Cum canon hæc decernat, et
ejusmodi dæmoniacas operationes avertat, ut quæ
a gentili infidelitate oriantur, particulatim quæ-
renda sunt quæ hoc canone comprehenduntur. C
228 Vates dicuntur palmæ inspectores, iique
qui in pelve divinant, et ii qui per sacrificia pa-
trem suum Satanam de re aliqua interrogant : et
omnes, ut semel dicam, qui per quædam signa ex
suggestione dæmoniaca scire futura profitentur, et
se dæmoni addicunt. Centuriones sunt qui a nobis
primicerii dicuntur : erant autem antiquitus homi-
nes senes, utique prudentiores, et se reliquis con-
sulere præ se ferentes ; qui quidem cum per ex-
secrabiles hujusmodi operationes simpliciores se-
ducerent, ut pseudothei colebantur. Ursas trahere
dicuntur ii, qui arctotrophi, id est, ursorum alto-
res, appellantur : qui quidem in capite et totius
animalis corpore tincturas appendentes, et pilos
ex ipso tondentes, eos una cum tincturis dant, ut D
remedia et amuleta, et tanquam in morbis et fa-
scinantibus oculis aliquid conferre possint. Alii
vero serpentes in sinu gestantes, qui etiam

[91] II Cor. vi, 14. [92] Ibid. 15.

« νους (62), ἢ τοιαῦτα ζῶα, πρὸς παίγνιον καὶ
« βλάβην τῶν ἁπλουστέρων, καὶ τύχην, καὶ
« εἱμαρμένην, καὶ γενεαλογίαν (63), καὶ τοιούτων
« τινῶν ῥημάτων ὄχλον κατὰ τοὺς τῆς πλάνης
« λήρους φωνοῦντας, τούς τε λεγομένους νεφο-
« διώκτας, καὶ γυτευτὰς, καὶ φυλακτηρίους, καὶ
« μάντεις, ἐπιμένοντας δὲ τούτοις καὶ μὴ μετα-
« τιθεμένους καὶ ἀποφεύγοντας τὰ ὀλέθρια ταῦτα
« καὶ Ἑλληνικὰ ἐπιτηδεύματα, παντάπασιν ἀπορ-
« ῥίπτεσθαι τῆς Ἐκκλησίας ὁρίζομεν, καθὼς καὶ
« οἱ ἱεροὶ κανόνες διαγορεύουσι. Τίς γὰρ κοινω-
« νία φωτὶ πρὸς σκότος ; ὡς φησιν ὁ Ἀπόστολος,
« ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων, ἢ
« τίς μερὶς πιστῷ μετὰ ἀπίστου ; Τίς δὲ συμφώ-
« νησις Χριστῷ πρὸς Βελίαρ ; »

ΒΑΛΣ. Ἐν τῷ κε' κεφ. τοῦ θ' τίτλου τοῦ παρόν- B
τος συντάγματος κατεστρώσαμεν διαφόρους νόμους
περὶ μάγων καὶ ἐπαοιδῶν, καὶ ἑτέρων τοιούτων,
καὶ ἀνάγνωθι τούτους. Ὁ δὲ παρὼν κανὼν
διορίζεται μηδένα μάντεσιν ἢ γόησιν προσέρχε-
σθαι ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις, ἢ τοῖς ἐπι-
συρομένοις τὰς ἄρκτους ἢ τοῖς νεφοδιώκταις, ἢ τοῖς
γυτευταῖς, ἢ τοῖς παρέχουσι τὰ φυλακτήρια. Εἰ δέ
τις τοῦτο ποιήσει, ἐπι ἐξαετίαν ἀφορισθήσεται· καὶ
ἐπιμένων τῷ κακῷ, τῆς ἐκκλησίας ἐκκηρυχθήσεται,
καὶ οὐκέτι μετὰ τῶν ὀρθοδόξων συναυλισθήσεται.
Τίς γὰρ, φησὶ, κοινωνία φωτὶ πρὸς σκότος ; καὶ τὰ
ἑξῆς. Ταῦτα τοῦ κανόνος διοριζομένου, καὶ ἀποτρέ-
ποντος τὰς δαιμονιώδεις τοιαύτας ἐργασίας, ὡς ἐκ C
τῆς Ἑλληνικῆς καὶ ἐθνικῆς ἀπιστίας καταγομένας,
ζητητέον τὰ κατὰ μέρος τῷ κανόνι περιεχόμενα.
Μάντεις λέγονται οἱ παλαμοσκόποι, οἱ λεκανομάντεις,
οἱ διὰ θυσιῶν τὸν πατέρα αὐτῶν τὸν Σατανᾶν ἐρω-
τῶντες, ἁπλῶς πάντες οἱ διά τινων σημείων ἐξ
ὑποθήκης δαιμονικῆς τὰ μέλλοντα βλέπειν προαι-
ρούμενοι, καὶ τῷ δαίμονι ἑαυτοὺς παρατιθέμενοι.
Ἑκατόνταρχοί εἰσιν οἱ παρ' ἡμῶν λεγόμενοι πριμ-
μικήριοι· ἦσαν δὲ τὸ παλαιὸν ἄνθρωποι γηραλέοι,
φρονιμώτεροι δῆθεν, καὶ κατὰ συμβουλὴν τῶν λοι-
πῶν ὑπερφέροντες, οἵτινες διὰ τοιούτων μυσαρῶν
ἐργασιῶν τοὺς ἁπλουστέρους πλανῶντες ὡς ψευδό-
θεοι ἐσεβάζοντο. Ἄρκτους ἐπισύρειν λέγονται οἱ
καλούμενοι ἀρκτοτρόφοι· οἵτινες βάμματα ἐξαρτῶσι
κατὰ τῆς κεφαλῆς καὶ τοῦ ὅλου σώματος τοῦ ζώου,
καὶ τρίχας κείροντες ἐκ τούτου, διδόασι ταύτας D
σὺν τοῖς βάμμασιν, ὡς φυλακτήρια, καὶ ὡς δυνα-
μένας λυσιτελεῖν ἐν νόσοις καὶ ἐν βασκάνοις ὀφθαλ-
μοῖς. Ἄλλοι δὲ τοὺς ὄφεις ἐγκολπιζόμενοι, οἱ καὶ

Guill. Beveregii notæ.

(62) *Τὰς ἄρκτους ἐπιφερομένους.* Editio Parisiensis legit ἐπισυρομένους, ms Amerbachianus, φερομένους.

(63) *Καὶ τύχην καὶ εἱμαρμένην καὶ γενεαλογίαν.* Aquila, Græcus sanctæ Scripturæ interpres, eo quod vanis hujusmodi rebus sese addixerit, easdemque defenderit, Ecclesia longe ante editum præsentem canonem ejectus est. Epiphanius enim de eo loquens ait, Ἀπὸ δὲ πρώτης αὐτοῦ ἕξεως μὴ μεταθέμενος, τοῦ πιστεύειν δηλονότι τῇ ματαίᾳ ἀστρονομίᾳ, ἣν ἀκριβῶς ἐκπεπαίδευτο, ἀλλὰ καθ ἑκάστην ἡμέραν τὸ θέμα τῆς αὐτοῦ γενέσεως σκεπτόμενος, ἐλεγχόμενός τε ὑπὸ τῶν διδασκάλων καὶ ἐπιτιμώμενος ἕνεκα τούτου, μὴ διορθούμενος· καὶ ἀλλὰ καὶ φιλονείκως μᾶλλον ἀντιτιθέμενος, καὶ σπεύδων συνιστᾶν τὰ ἀσυστατα, τὴν εἱμαρμένην δηλονότι καὶ τὰ περὶ αὐτῆς διηγήματα, ἐξέωσθη πάλιν τῆς ἐκκλησίας, ὡς ἄχρηστος πρὸς σωτηρίαν. Epiphan. De mens. et ponder. num. 15.

ἀθέγγανοι λεγόμενοι, τὸν μὲν φασι γεννηθῆναι εἰς ἡμέραν κακοποιὸν, τὸν δὲ αὐτῶν ἀστέρα ἀγαθὸν, εὐτυχίας καὶ δυστυχίας γενησομένας ἀπαγγέλλουσι, καὶ ἄλλα τινὰ φλυαροῦσι, μηδὲ γραφῆ παραδοθῆναι ἄξια. Νεφοδιῶκται λέγονται οἱ ἐκ τῶν νεφῶν προμηνύοντες δῆθεν τὰ τοῖς πολλοῖς ἄγνωστα. Τινὲς γὰρ, βλέποντες τὰ νέφη, καὶ μᾶλλον ὅτε δύνοντος τοῦ ἡλίου γίνονται πυρωδέστερα, φλυαροῦσιν ἐκ τούτων μανθάνειν ἀλήθειαν. Ἐκ τοῦδε μὲν γὰρ τοῦ νέφους ἐοικότος περιστερᾷ περίστασιν λέγουσι τῷ ἐρωτῶντι ἐπελθεῖν· ἐξ ἑτέρου ἐοικότος ἀνθρώπῳ σπάθην ἐπιφερομένῳ πόλεμον προμηνύουσιν· ἐξ ἄλλου ἐοικότος λέοντι βασιλικῶν προσταγμάτων προλέγουσιν ἐνέργειαν, καὶ ἄλλα τινὰ ἀλλόκοτα ἀποφοιβάζουσι φλυαρήματα. Γυτευτὰς δὲ πόσους ἂν ἴδῃς λέγοντας θελά τινα ψαλμῳδήματα, καὶ μεμνημένους ὀνομάτων μαρτυρικῶν, ἢ καὶ αὐτῆς τῆς ἁγίας Θεοτόκου; Ἅπαντα δὲ οἱ θεοφόροι Πατέρες καὶ τῆς Ἐκκλησίας διδάσκαλοι φεύγειν διορίζονται, καὶ μᾶλλον τῶν ἄλλων ὁ θεῖος Χρυσόστομος, λέγων εἰς τοὺς ἀνδριάντας ταῦτα ῥητῶς· Οὐ περίαπτα δὲ μόνον, ἀλλὰ καὶ ἐπῳδὰς αὐτῷ περιάγεις, γραῒδια μεθύοντα καὶ παραπαίοντα εἰς τὴν οἰκίαν σαυτοῦ εἰσάγων, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷ μετὰ τοσαύτην φιλανθρωπίαν πρὸς ταῦτα ἐπτοημένος, καὶ τὸ χαλεπώτερον τῆς ἀπάτης, ὅταν, παραινούμενος ταῦτα μὴ ποιεῖν, δοκῶν ἀπολογεῖσθαι, φῇς· Χριστιανή ἐστιν ἡ γυνὴ ἡ ταῦτα ἐπᾴδουσα, καὶ οὐδὲν ἕτερον φθέγγεται ἢ τὸ τοῦ Θεοῦ ὄνομα. Διὰ τοῦτο μὲν οὖν αὐτὴν μάλιστα μισῶ καὶ ἀποστρέφομαι, ὅτι τοῦ Θεοῦ τῷ ὀνόματι κατακέχρηται, ὅτι λέγουσα Χριστιανὴ εἶναι τὰ τῶν Ἑλλήνων ἐπιδείκνυται. Καὶ γὰρ οἱ δαίμονες τὸ τοῦ Θεοῦ ὄνομα ἐφθέγγοντο, ἀλλ' ἦσαν δαίμονες· καὶ οὕτως ἔλεγον πρὸς τὸν Χριστόν· Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· καὶ ὅμως ἐπεστόμισεν αὐτοὺς καὶ ἀπήλασε (64). Φυλακτήριοι δὲ λέγονται οἱ κατ' ἀπάτην δαιμονικὴν διδόντες τοῖς ὑπ' αὐτῶν ἀπατωμένοις ὁμάτά τινα ἐκ σηρικῶν νημάτων ὑφασμένα, καὶ πουγγία λεγόμενα, ἔχοντα ἔσωθεν ποτὲ μὲν γραφὰς, ποτὲ δὲ ψευδῆ τινα ἕτερα τὰ παρατυχόντα· καὶ λέγοντες ὀφελεῖν ταῦτα διηνεκῶς ἐκ τῶν τραχήλων τῶν λαμβανόντων αὐτὰ ἐξεωρῆσθαι εἰς φυλακὴν παντὸς κακοῦ. Εἴπερ οὖν εἶχον καιρὸν ἀφηγήσασθαι ὅσα εἶδον τοιαῦτα συνοδικῶς ἐκδικηθέντα, μεγάλην ἂν τὴν περὶ τούτων ἐποιησάμην ἀφήγησιν. Εἰρήσεται δὲ ὀλίγα αὐτίκα. Πρῶτός τις τοῦ Ὁσίου, περὶ τοιούτων τινῶν κατηγορηθείς, εὑρέθη ἐπ' αὐτοφώρῳ ἐγκόλπιον ἔχων ἐνδυμα νεογε-

ἀθέγγανοι dicuntur, hunc quidem die maligno, illum vero felici sidere natum esse dicunt, et futuras felicitates et infelicitates annuntiant, et alia quædam nugantur, quæ nec scribi quidem digna sunt. Nubium persecutores dicuntur, qui, quæ multis ignota sunt, ex nubibus prænuntiant. Nonnulli enim nubes aspicientes, et præcipue quando sole occidente sunt maxime candentes, se ex iis scire veritatem nugantur : et ex hac quidem nube, quæ columbæ (Græce περιστερὰ dictæ) est similis, dicunt, περίστασιν, hoc est, casum, vel eventum interroganti imminere ; ex altera, quæ homini ensem intentanti similis est, imperatoris mandatorum exsecutionem prædicunt, et alias quasdam alienas nugas Apollineorum instar vatum debacchantur. Incantatores autem, quot videas, qui divina quædam cantica dicunt, et nominum martyrum meminerunt, vel etiam solius sanctissimæ Virginis? Quæ omnia divini Patres et Ecclesiæ doctores esse fugienda statuunt, et plus quam alii, sanctus Chrysostomus, in homiliis de statuis aperte sic dicens : Non solum alligata amuleta, sed et carmina seu incantationes ei applicas, temulentas et delirantes aniculas in tuam domum et introducens, et non erubescis, nec pudore suffunderis, si post tantam humanitatem ad hæc stupefactus attonitusque reddaris ; et quod est deceptione gravius, quando ne hæc facias admonitus, te defendere existimans, dicis, Christiana est mulier quæ hæc incantat, et nihil aliud quam Dei nomen loquitur. Propterea ergo, inquit, eam magis odi et aversor, quæ Dei nomine in eo abusa est, quod cum dicat se esse Christianam, ea quæ sunt Græcorum ostentet. Nam et dæmones Dei nomen loquebantur, sed erant dæmones : et Christo sic dicebant : Novimus te quis sis, sanctus Dei; os tamen eis occludebat, et expellebat. Amuletorum autem præbitores dicuntur, qui fraude dæmonis eis, qui a se decipiuntur, sacculos quosdam ex sericis filis contextos, qui et πουγγία dicuntur, præbent, quæ aliquando quidem fintus habent scripturas, aliquando vero falsa quædam alia, quæcunque inciderint. Dicunt autem hæc juvare, si ex collo eorum, qui illa accipiunt, perpetuo pendeant, ad omne malum vitandum. Si haberem tempus narrandi ea quæ vidi synodice puniri, de iis magnam narrationem conficerem : sed pauca jam dicentur. Præfectus quidam Ilosii de re ejusmodi accusatus, manifesto deprehensus

Guill. Beveregii notæ.

(64) *Ἐπεστόμισεν αὐτοὺς καὶ ἀπήλασε.* Post ista verba in ms. Amerbachiano hæc sequuntur. Καὶ ὁ μέγας Βασίλειος εἰς τὸν μα' Ψαλμὸν περὶ τούτου φησὶ, καὶ ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης ἐν β' κεφ. τῶν κανόνων αὐτοῦ περὶ τῶν εἰς μάντεις καὶ γόητας· ἀπόντων φησί· καὶ ὁ ἅγιος Κύριλλος εἰς τὸν περὶ τῆς ἐν πβ' λατρείας περὶ τῶν τοιούτων φησί· καὶ τῷ Μωσαϊκῷ πολιτικῷ τε νόμῳ ταῦτα ἀπηγόρευται λέγοντι ψυχὴ ἡ κἂν ἐπακολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἐξολοθρεύσω αὐτήν. In codice Tiliano horum loco alia leguntur, quæ Gentianus Hervetus sic vertit, *Lege et ejus interpretationem Epistolæ sancti Petri ad Colossenses, sextam et ejus coactionem adversus Judæos docentem, quod etiam siquis, non ut decet sanctum, vivens mortuum suscitaverit, non est ei credendum, sed et contemnendus et rejiciendus.* Hæ autem marginales tantum notæ videntur, a descriptore aliquo hunc in istis mss. loco insertæ. In nostro quidem Bodleiano codice neutra earum legitur.

est in sinu ferens indumentum infantis nuper nati, et dixit hoc sibi datum fuisse a quadam muliere, ad avertendum eisque os occludendum, qui adversus eum dicere conarentur. Unde etiam condemnationi subjectus fuit. Alius sacerdos accusatus, quod magna quinta feria sanctum panem dabat diversis mulieribus et viris, ut convinceretur qui rem aliquam surripuerat, qui ex eo, quod hoc non facile ebibit, bibit poculum depositionis. Et alius sacerdos, cum Evangelio ligno alligato, quod **229** in orbem circumagebatur, accusatus, quod interrogationes faceret de quibusdam rebus per psalmos Davidicos, et multis propterea insontibus negotia ac molestias exhiberet, veniam impetrare non potuit. Multi etiam monachi, atque adeo priores, synodice puniti sunt, quod et quasdam mulieres accessissent, quæ cum hordeo, ea quæ ab aliis ignorantur, enuntiant. Hæ sunt quæ dicuntur κρίτριαι, quæ Ecclesiis et sanctis imaginibus assidentes, et se ex iis discere futura prædicantes, non secus ac quæ Pythonis habent spiritum quæ ignorantur prædicunt. Scias ergo, quod præsens quidem canon eos, qui ad illos accedunt, ut dictum est, punit. Alii autem canones et leges sitæ in 25 cap. 9 tit. præsentis operis, non eos solum, sed et primos auctores ac effectores valde puniunt. Cum autem audis eos qui ad aliquos hujusmodi accedunt sexennio puniri, dic eos laicos. Qui enim sunt sacris initiati deponentur. Nota autem ex præsenti canone, quod et quidem, qui peccat et convertitur, datur venia, et leviter punitur; qui autem in malo perseverat, et invitus ad id quod est melius traducitur, graviter punitur. Nam et hic, qui accessit et peccatum confessus est, per sexennii segregationem puniatur, vel etiam initius, ut episcopo videbitur: qui autem in malo perseverat ex Ecclesia expellitur. Quoniam vero audivi quemdam dicentem, eis debere ignosci, qui pro corporali medela, vel aliqua alia re salutifera hæc faciunt, dico quod hoc quoque est occulta diaboli circumventio. Nam quemodocunque ea re uti est perniciosissimum. Lege quæ in commentario 25 cap. 9 tit. præsentis operis positæ sunt leges, et 65 novellam imp. domini Leonis Philosophi, hæc circa finem expresse definientem: Si quis autem omnino hac præstigiatoria arte uti deprehensus fuerit, sive corporis medelæ prætextu, sive avertendæ a fructibus noxæ, extremum luat supplicium apostatarum pœnam subiens.

νοῦς παιδίου, καὶ εἶπε τοῦτο δοθῆναι αὐτῷ παρά τινος γυναικὸς εἰς ἀποτροπὴν καὶ ἐπιστομισμὸν τῶν ἐπιχειρούντων κατ' αὐτοῦ λέγειν. Διὸ καὶ καθοσιώσει ὑπέπεσεν. Ἕτερος ἱερεὺς αἰτιαθεὶς, ὡς ἐπιδοὺς τὸν ἅγιον ἄρτον τῆς μεγάλης πέμπτης διαφόροις γυναίοις καὶ ἀνδράσιν, ἐφ' ᾧ ἐλεγχθῆναι τὸν ἀποσυλήσαντα τόδε τι πρᾶγμα ἐκ τοῦ μὴ ῥᾳδίως τοῦτον καταπιεῖν, καθαιρέσεως ποτήριον ἔπιε. Καὶ ἄλλος ἱερεὺς μετὰ Εὐαγγελίου ξύλῳ συνδεδεμένου, καὶ κυκλικῶς περιστρεφομένου κατηγορηθεὶς ἐρωτήσεις ποιεῖν περί τινων ὑποθέσεων διὰ ψαλμῶν Δαβιδικῶν, καὶ διὰ τοῦτο πολλοὺς ἀναιτίους εἰς μεγάλας ὀχλήσεις ἀγαγών, ἀσύγγνωστος ἔμεινε. Μοναχοὶ δὲ πολλοὶ καὶ ταῦτα καθηγηταὶ, συνοδικῶς ἐκολάσθησαν, ὅτι προσῆλθον γυναιξί τισι, μετὰ κριθαρίων ἀπαγγελλούσαις τὰ παρά τινων ἀγνοούμενα. Τοιαῦταί εἰσι καὶ αἱ λεγόμεναι κρίτριαι, αἱ ταῖς ἐκκλησίαις καὶ ταῖς ἁγίαις εἰκόσι προσεδρεύουσαι, καὶ κηρύσσουσαι ἐκ τούτων μανθάνειν τὰ μέλλοντα, καὶ προλέγουσαι, ὡσεί τινες ἔχουσαι Πύθωνος πνεῦμα, τὰ ἀγνοούμενα. Γίνωσκε δὲ ὅτι ὁ μὲν παρὼν κανὼν τοὺς προστερχομένους τούτοις, ὡς εἴρηται, κολάζει. Ἄλλοι δὲ κανόνες καὶ οἱ καταστρωθέντες νόμοι ἐν τῷ κε' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς πρωταιτίους καὶ αὐτουργοὺς μεγάλως κολάζουσιν. Ἀκούων δὲ ἐπὶ ἐξαετίαν κολάζεσθαι τοὺς προσελθόντας τοιούτοις τισὶ, λέγε τούτους λαϊκούς. Οἱ γὰρ ἱερωμένοι καθαιρεθήσονται. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ὁ μὲν ἁμαρτάνων καὶ ἐπιστρέφων συγγινώσκεται, καὶ μετρίως κολάζεται· ὁ δὲ ἐπιμένων τῷ κακῷ, καὶ ἄκων πρὸς τὸ βέλτιον μεταῤῥυθμιζόμενος, μεγάλως κολάζεται. Καὶ ἐνταῦθα γὰρ ὁ μὲν προσελθὼν καὶ ἐξομολογούμενος τὸ ἁμάρτημα δι' ἀφορισμοῦ ἐξαετοῦς κολασθήσεται, ἢ καὶ συμπαθέστερον κατὰ τὸ δόξαν τῷ ἐπισκόπῳ· ὁ δὲ ἐπιμένων τῷ κακῷ ἐκκήρυκτος τῆς Ἐκκλησίας γενήσεται. Ἐπεὶ δὲ ἤκουσά τινος λέγοντος ὀφείλειν συγγινώσκεσθαι τοὺς χάριν θεραπείας σωματικῆς ἢ ἑτέρου τινὸς σωτηριώδους τοιαῦτα πράττοντας, λέγω ὅτι τῆς τοῦ δαίμονος μεθοδείας καὶ τοῦτό ἐστιν. Ὁπωσδήποτε γὰρ χρᾶσθαι τοιούτῳ τινὶ ὀλεθριώτατόν ἐστι. Καὶ ἀνάγνωσον τοὺς καταστρωθέντας νόμους εἰς τὸ σχόλιον τοῦ κε' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὴν ξε' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διοριζομένην περὶ τὸ τέλος ταῦτα ῥητῶς· Εἴ τις δὲ ὅλως τοιαῦτα φωραθείη μαγγανευόμενος εἴτε προφάσει τῆς τοῦ σώματος θεραπείας, εἴτε ἀποτροπῆς τῆς τῶν καρπίμων βλάβης, τὴν ἐσχάτην εἰσπραττέσθω ποινὴν, τῶν ἀποστατῶν κόλασιν ὑφιστάμενος.

ZONAR. A vaticinationibus et præstigiis et quocunque demum nomine appellentur ejusmodi artis, quibus ethnici homines et a fide alieni Græcique quondam addicti fuerant, prorsus abstinere, neque his artibus ignota sibi vestigare fideles oportet. Ita enim Deo pleni Patres et Ecclesiæ magistri, ac ex omnibus divinus in primis Chrysostomus docent, etiamsi sanctæ Trinitatis nomen

ΖΩΝΑΡ. Τοὺς πιστοὺς οὐδενὶ κεχρῆσθαι δέον ἐστὶ τῶν οἷς οἱ ἐθνικοὶ καὶ ἄπιστοι κέχρηνται, καὶ οἷς ἐκέχρηντο Ἕλληνες, μαντείαις λέγω καὶ γοητείαις καὶ τοιούτοις ἄλλοις οἰοισδήτισι καλουμένοις, ὀνόμασιν οὐδὲ ζητεῖν διὰ τοιούτων μανθάνειν ἃ γνῶναι βούλονται. Φασὶ γὰρ οἱ θεοφόροι Πατέρες καὶ τῆς Ἐκκλησίας διδάσκαλοι, καὶ μᾶλλον τῶν ἄλλων ὁ θεῖος Χρυσόστομος, ὅτι κἂν τὸ τῆς ἁγίας Τριάδος

ὄνομα ἐπιλέγηται τοῖς τοιούτοις, κἂν ἁγίων γίνωνται ἐπίκλησεις, κἂν τὸ σημεῖον τοῦ θείου σταυροῦ ἐπάγηται, φεύγειν δεῖ τὰ τοιαῦτα καὶ ἀποτρέπεσθαι. Διὸ καὶ οἱ τῆς συνόδου ταύτης Πατέρες τοὺς τοιοῦτόν τι ποιοῦντας ἐπὶ ἑξαετίαν ἀφορίζεσθαι διωρίσαντο (ἀλλὰ τὸν ἀφορισμὸν ἐπὶ λαϊκῶν νοητέον· οἱ γὰρ ἱερωμένοι καθαιρεθήσονται. Ἐν οἷς γὰρ πταίσμασιν (65) οἱ λαϊκοὶ ἀφορίζονται, ἐν τούτοις οἱ ἱερωμένοι καθαιροῦνται). Ἐπιμένοντας δὲ τούτοις, καὶ τῆς Ἐκκλησίας ἐκκόπτεσθαι, ἤγουν τῆς τῶν πιστῶν ὁμηγύρεως. Καὶ οὐ μόνα τὰ εἰρημένα κωλύει γίνεσθαι ὁ κανὼν, ἀλλὰ τῷ αὐτῷ ἐπιτιμίῳ ὑποβάλλει καὶ τοὺς τὰς ἄρκτους ἐπισυρομένους ἢ τοιαῦτα ζῶα πρὸς παίγνιον καὶ βλάβην τῶν ἁπλουστέρων. Καὶ γὰρ βάμματα ἐξαρτῶσιν αὐτῶν καὶ τρίχας κείροντες ἐξ αὐτῶν, δίδοασι γυναιξὶν ὡς φυλακτήρια, καὶ ὡς τάχα ἐν νόσοις, ἢ βασκάνοις ὀφθαλμοῖς λυσιτελεῖν τι δυνάμενα· αἱ δὲ, ταῦτα ὡς ἀναγκαῖα λαμβάνουσαι, μισθὸν ἐκείνοις παρέχουσι, καὶ ἀξιοῦσι τὰ τέκνα αὐτῶν τοῖς νώτοις τοῦ θηρὸς ἐπιθέσθαι, ὡς δή τινων κακῶν ἀποτροπῆς ἐσομένης ἐκ τούτου τοῖς παισὶν ἑαυτῶν καὶ τοὺς τύχην ὀνομάζοντας καὶ εἱμαρμένην καὶ γενεαλογίαν. Ταῦτα δὲ Ἑλληνικῆς εἰσι φλυαρίας. Ὁμοίως ἐπιτιμᾶσθαι διακελεύεται· *Τίς γὰρ*, φησὶ, *κοινωνία φωτὶ πρὸς σκότος*; καὶ τὰ διὰ τούτοις συνημμένα λοιπὰ τοῦ Ἀποστόλου ῥητά.

ΑΡΙΣΤ. « Ὃς ἑαυτὸν ἑκατοντάρχοις ἢ δαίμοσιν « ἐπιδῷ, ὥστε τι τῶν ἀποῤῥήτων μανθάνειν, « ἑξαετίαν ὑποπιπτέτω. Κατὰ ταὐτὸ καὶ ὁ ἄρκτον « ἐπισυρόμενος, ὁ γοητευταῖς καὶ νεφοδιώκταις « κολλώμενος, καὶ εἱμαρμένῃ καὶ τύχῃ πιστεύων « τῆς Ἐκκλησίας ἀποσυνάγωγος. »

Τοὺς ἐξακολουθοῦντας τοῖς ἔθεσι τῶν ἐθνῶν, καὶ μάντεσιν ἢ ἐπαοιδοῖς ἑαυτοὺς ἐκδεδωκότας, ὡς ἂν μάθωσιν ἐξ αὐτῶν ἀπόῤῥητά τινα· ὡσαύτως καὶ τοὺς ἐπισυρομένους τὰς ἄρκτους ἢ ἕτερά τινα ζῶα πρὸς παίγνιον καὶ πλάνην τῶν ἁπλουστέρων, καὶ τύχην καὶ εἱμαρμένην καὶ γενεαλογίας λέγοντας, καὶ τοὺς πιστεύοντας τοῖς γοητευταῖς καὶ τοῖς λεγομένοις νεφοδιώκταις, ὥρισεν ἡ σύνοδος ἑξαετίαν ἐπιτιμᾶσθαι· ὥστε ἐν τέσσαρσιν ἔτεσι μετὰ τῶν ὑποπιπτόντων ἵστασθαι, ἐπὶ δὲ δυσὶν ἄλλοις ἔτεσι συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτως ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Εἰ δὲ ἀδιόρθωτοι μένουσι καὶ μετὰ τὸ ἐπιτίμιον, καὶ τῶν Ἑλληνικῶν τούτων ἐπιτηδευμάτων οὐ μετατίθενται, τῆς Ἐκκλησίας παντάπασιν ἀποῤῥίπτεσθαι.

ΚΑΝΩΝ ΞΒ'.

« Τὰς οὕτω λεγομένας Καλάνδας, καὶ τὰ λεγόμενα « Βοτὰ, καὶ τὰ καλούμενα Βρουμάλια, καὶ τὴν « ἐν τῇ πρώτῃ τοῦ Μαρτίου μηνὸς ἡμέρᾳ ἐπι- « τελουμένην πανήγυριν, καθάπαξ ἐκ τῆς τῶν « πιστῶν πολιτείας περιαιρεθῆναι βουλόμεθα·

A ejusmodi actionibus admisceatur, si cœlites etiam advocentur, divineque insuper signum crucis interponatur, fugere tamen ea nos ac penitus aversari debere. Proinde hujus quoque synodi Patres, qui tale quidpiam admiserint, segregari ad sex annos jussere: (quæ tamen de laicis accipienda segregatio est: sacri namque ordinis homines depositione punientur. Nam quæ ob crimina segregatio laicis irrogatur, ob ea sacris ordinibus initiati depositione multari solent) ac, nisi postea resipuerint, ab Ecclesiæ corpore abscindi, hoc est, e toto fidelium cœtu eliminari. Nec ea solum, quæ diximus, canon fieri vetat, sed eos quoque qui ursas aliave id generis animantia ad imperitorum oblectamentum simul noxamque circum-
B ducunt, iisdem pœnis obnoxios esse decernit. Suspensas enim de corporibus ferarum tincturas, detractosque iisdem villos pro amuletis contra morbos et fascinationes mulierculis tradunt: illæque pretium quasi accepto necessario medicamento persolvunt, infantesque suos, veluti probato ad calamitates avertendas remedio, feræ tergo imponi rogant. Tum qui fortunæ aut fati aut genealogiæ nomen usurpaverit, quæ omnia profanæ superstitionis sunt, iisdem pœnis canon multandos esse constituit. *Quæ enim*, ait, *societas luci cum tenebris*[93]? aliaque deinceps Apostoli verba continuat.

ARIST. « Qui centurionibus vel dæmonibus seipsum « tradit, ut aliquid secreti ediscat, sexennium « substernatur. Eodem modo et qui ursum cir-
C cumfert, qui incantatoribus et nubium perse- « cutoribus se conjungit, et fortunæ fatoque fidem « habet, ab Ecclesiæ conventu arceatur. »

230 Eos, qui ethnicorum sequuntur mores, et vatibus ac incantatoribus seipsos tradiderunt, ut arcana quædam ex iis discerent; et eos similiter qui ursos, aut alia quæcunque animalia ad ludum et simpliciorum deceptionem circumferunt, et fortunam et fatum et genealogias proferunt, eosque qui incantatoribus fidem habent, et istis qui nubium persecutores dicuntur, decrevit sancta synodus sex annos pœnam luere, ita ut quatuor annos inter substratos permaneant, ac duos alios annos cum fidelibus constituantur, et sic divinis sacra-
D mentis haberi dignos. Si autem nec per inflictam pœnam corrigi possunt, et a Græcanicis istis institutis non convertuntur, Ecclesia prorsus abjiciendos esse.

CANON LXII.

« Calendas, et Bota, et Brumalia ut vocantur, et « conventum, qui in primo Martii mensis die « fit, ex fidelium civitate omnino tolli volumus; « sed et publicas mulierum saltationes multam « noxam exitiumque afferentes; quin etiam eas,

[93] II Cor. VI, 14.

Guill. Beveregii notæ.

(65) *Ἐν οἷς γὰρ πταίσμασιν.* Hæc usque ad καθαιροῦνται in ms. Amerbachiano desiderantur.

« quæ nomine eorum qui falso apud Græcos dii A
« nominati sunt; vel quæ a viris ac mulieribus
« fiunt saltationes ac mysteria, more antiquo et
« a vita Christianorum alieno, amandamus et
« expellimus: statuentes, ut nullus vir deinceps
« muliebri veste induatur, vel mulier veste viro
« conveniente; sed neque comicas vel satyricas
« vel tragicas personas induat, neque exsecrandi
« Bacchi nomen uvam in torcularibus exprimen-
« tes invocent, neque vinum doliis infundentes
« risum moveant, ignorantia vel vanitate ea
« quæ a dæmonis impostura procedunt exer-
« centes. Eos ergo, qui deinceps aliquid eorum
« quæ scripta sunt aggredientur, ubi ad horum
« cognitionem pervenerint, si sint quidem cle-
« rici, deponi jubemus: si vero laici, segre- B
« gari. »

« ἀλλὰ μὴν καὶ τὰς τῶν γυναίων δημοσίας
« ὀρχήσεις, καὶ πολλὴν λύμην καὶ βλάβην ἐμ-
« ποιεῖν δυναμένας· ἔτι μὴν καὶ τὰς ὀνόματι
« τῶν παρ' Ἕλλησι ψευδῶς ὀνομασθέντων θεῶν
« ἢ ἐξ ἀνδρῶν καὶ γυναικῶν γινομένας ὀρχήσεις
« καὶ τελετάς, κατά τι ἔθος παλαιὸν καὶ ἀλ-
« λότριον τοῦ τῶν Χριστιανῶν βίου, ἀποπεμπό-
« μεθα· ὁρίζοντες μηδένα ἄνδρα γυναικείαν στολὴν
« ἐνδιδύσκεσθαι, ἢ γυναῖκα τὸν ἀνδράσιν ἁρμό-
« διον· ἀλλὰ μήτε προσωπεῖα κωμικὰ ἢ σατυρικὰ
« ἢ τραγικὰ ὑποδύεσθαι, μήτε τοῦ βδελυκτοῦ
« Διονύσου ὄνομα τὴν σταφυλὴν ἀποθλίβοντας
« ἐν ταῖς ληνοῖς ἐπιβοᾷν, μηδὲ τὸν οἶνον ἐν
« τοῖς πίθοις ἐπιχέοντας γέλωτα ἐπικινεῖν,
« ἀγνοίας τρόπῳ ἢ ματαιότητος τὰ τῆς δαιμο-
« νιώδους πλάνης ἐνεργοῦντας. Τοὺς οὖν ἀπὸ
« τοῦ νῦν τι τῶν προειρημένων ἐπιτελεῖν ἐγ-
« χειροῦντας, ἐν γνώσει τούτων καθισταμένους,
« τούτους, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι
« προστάττομεν· εἰ δὲ λαϊκοί, ἀφορίζεσθαι. »

BALS. Nota præsentem canonem, et quære correctionem in iis, quæ fiunt a clericis in festo Natalis Christi, et festo Luminarium, adversus eum, et magis in sanctissima Magna ecclesia. Ex chronologica enim historia Scylitzæ, hoc malum non fuisse ab antiquis traditum, sed ex permissione Theophylacti patriarchæ Constantinop. filii imp. domini Romani Lacapeni pro comperto habetur. Enumerat enim hic historicus, una cum reliquis improbis et diversis ejusdem patriarchæ actis, hoc malum. Calendæ dicuntur decem primi dies C mensis, nonæ secundi, idus tertii. Sic autem appellatæ sunt a tribus proceribus Romanis, qui Romanos a malo famis eripuerunt. Mos ergo erat apud Romanos in eorum memoriam festum annuatim paulo gentilius magisque more Græco celebrare, et quædam indecora facere: quod etiamnum fit a quibusdam rusticis, primis Januarii mensis diebus, non more Romano calendarum et reliquorum recordantibus, sed eo quod luna tunc temporis renovetur, et ejus fundamentum ab hujus mensis principio statuatur, et quod existiment se læte ac jucunde totum annum transacturos, si in ejus principio festum celebraverint. Ejusmodi festum est alienum, et ea quæ dicuntur Rusalia, quæ post D sanctum Pascha ex mala consuetudine fiunt in externis regionibus. Bota et Brumalia Græca festa sunt; illud quidem, quod fit pro falso nominato deo Pane, qui, **231** ut Græci nugabantur, pecoribus, scilicet ovibus, et reliquis animalibus, prospicit et

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα (66), καὶ ζήτησον διόρθωσιν ἐπὶ τοῖς γενομένοις παρὰ τῶν κληρικῶν εἰς τὴν ἑορτὴν τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ τὴν ἑορτὴν τῶν Φώτων, ὑπεναντίως τούτῳ· καὶ μᾶλλον εἰς τὴν ἁγιωτάτην Μεγάλην ἐκκλησίαν. Καταλαμβάνεται γὰρ ἀπὸ τῆς χρονικῆς ἱστορίας τοῦ Σκυλίτζη, ὅτι οὐδὲ ἀρχαιοπαράδοτόν ἐστι τὸ κακόν, ἀλλὰ ἐξ ἐπιτροπῆς τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως Θεοφυλάκτου, τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ. Ἀπαριθμεῖται γὰρ ὁ τοιοῦτος ἱστορικὸς, μετὰ τῶν λοιπῶν φαύλων καὶ ἀδιαφόρων ἐργασιῶν τοῦ αὐτοῦ πατριάρχου καὶ τὸ τοιοῦτον κακόν. Καλάνδαι λέγονται αἱ πρῶται δέκα ἡμέραι τοῦ μηνὸς (67), νόνναι αἱ δεύτεραι, καὶ εἶδοι αἱ τρίται. Ἐκλήθησαν δὲ οὕτως ἀπό τινων τριῶν Ῥωμαίων μεγιστάνων ἀνδρῶν, ἐν καιρῷ λιμοῦ τοὺς περὶ τὴν Ῥώμην ἀποθρεψάντων. Εἴθιστο γοῦν παρὰ Ῥωμαίοις εἰς μνήμην τούτων ἐτησίως πανηγυρίζειν Ἑλληνικώτερον, καί τινα ἄσεμνα διαπράττεσθαι, ὅπερ καὶ μέχρι τοῦ νῦν παρά τινων ἀγροτῶν γίνεται κατὰ τὰς πρώτας ἡμέρας τοῦ Ἰανουαρίου μηνὸς, οὐ κατὰ Ῥωμαίους μεμνημένων τῶν καλανδῶν καὶ τῶν λοιπῶν, ἀλλὰ διὰ τὸ τηνικαῦτα τὴν σελήνην ἀνακαινίζεσθαι, καὶ τὸν θεμέλιον ταύτης ψηφίζεσθαι ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ μηνὸς, καὶ νομίζειν μετὰ εὐθυμίας τὸν ὅλον διελθεῖν αὐτοὺς ἐνιαυτὸν, ἐὰν ἐν τῇ καταρχῇ τούτου πανηγυρίσωσι. Τοιαύτη πανηγύρις ἀλλόκοτός ἐστι, καὶ τὰ λεγόμενα Ῥουσάλια, τὰ μετὰ τὸ ἅγιον Πάσχα ἀπὸ κακῆς

Guill. Beveregii notæ.

(66) *Σημείωσαι τὸν παρόντα κανόνα.* In editione Parisiensi hæc verba exstant, sed paulo aliter lecta: in ms. Amerbachiano omnia usque ad καὶ τὸ τοιοῦτον κακόν desunt; et recte quidem; neque enim Balsamonis esse videntur, quippe cujus interpretatio, a proximis verbis κalάνδαι λέγονται aptius incipit.

(67) *Καλάνδαι λέγονται αἱ πρῶται δέκα ἡμέραι τοῦ μηνός.* Hic Balsamon egregias agit nugas, somnians Romanos, Græcorum ad instar, menses suos in tres decades distribuisse, et calendas vocari primos decem mensis cujusque dies, proximam decadem nonas dici, et ultimam, Idus. Nec melioris notæ est quod tribus hisce subjungit, calendas nimirum, nonas et Idus a tribus Romanis proceribus nominatas esse, qui Romanos a fame eripuerunt. Quæ quidem summam scriptoris in rebus Romanis inscitiam produnt.

συνηθείας ἐν ταῖς ἔξω χώραις γινόμενα. Τὰ Βοτὰ καὶ τὰ Βρουμάλια ἑορταὶ ἦσαν Ἑλληνικαὶ, ἡ μὲν τελουμένη χάριν τοῦ ψευδωνύμου θεοῦ τοῦ Πανὸς, τοῦ ἐφορῶντος, ὡς ἐφλυάρουν οἱ Ἕλληνες, τὰ τῶν βοτῶν, ἤγουν τὰ τῶν προβάτων καὶ τῶν λοιπῶν ζώων· ἡ δὲ χάριν τοῦ Διονύσου, τοῦ σωτῆρος, ὡς ἐκεῖνοι ἐβλασφήμουν, τοῦ οἴνου. Βρουμος γὰρ ἦν ἐπίθετον τοῦ Διονύσου. Κατὰ δὲ τὸν Μάρτιον μῆνα ἐτελεῖτο πανήγυρις Ἑλληνικὴ μεγάλη διὰ τὴν τῶν ὡρῶν καὶ τοῦ ἀέρος εὐκρασίαν· ὅτε καὶ ὀρχήσεις ἀπρεπεῖς ἐγίνοντο παρά τινων γυναίων καὶ ἀνδρῶν. Ἅπαντα καὶ τὰ τούτοις ὅμοια οἱ ἅγιοι Πατέρες ἀποτρεπόμενοι, ἐπήγαγον μηδένα ἄνδρα ὁτιδήποτε κεχρῆσθαι γυναικείᾳ στολῇ, ἢ τὸ ἀνάπαλιν· ἀλλὰ μηδὲ προσωπεῖα κωμικὰ ὑποδύεσθαι ἢ τραγικὰ ἢ σατυρικά· μήτε μὴν τὸ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν, μηδὲ τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου γελᾶν καὶ ἐπικαγχάζειν. Τοὺς δὲ τοιοῦτόν τι ἐπιχειρήσοντας ποιῆσαι μετὰ τὸ λαβεῖν εἴδησιν τοῦ κανονικοῦ διορισμοῦ, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀφορίζεσθαι. Ζητητέον οὖν τίνα εἰσὶ τὰ κωμικὰ προσωπεῖα, τίνα τὰ τραγικὰ, καὶ τίνα τὰ σατυρικά. Καὶ κωμικὰ μέν εἰσι τὰ γελωτοποιὰ καὶ ἐφύβριστα, ὡς τὰ συγγραφέντα παρὰ τοῦ Ἀριστοφάνους· τραγικὰ τὰ περιπαθῆ καὶ τὰ θρηνώδη, ὡς τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα (68)· καὶ σατυρικὰ, τὰ εἰς ὕμνον τοῦ Διονύσου τελούμενα δργια παρὰ Σατύρων καὶ Βακχῶν. Ταῦτα τῶν Πατέρων διορισαμένων ἁγιοπρεπῶς, καὶ τοῦ ξδ' κεφ. τῆς ρκγ' Ἰουστινιανείου Νεαρᾶς, ἤτοι τοῦ ιγ' κεφ. τοῦ α' τίτλου τοῦ δ' βιβλίου, παρακελευομένου ταῦτα ῥητῶς. Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικοῖς ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις, ἀνδράσι τε καὶ γυναιξὶ, καὶ μὴν καὶ ταῖς προϊσταμέναις, ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαῖξαι εἰς οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται· προνοούντων τοῦ τοιούτου οὐ μόνον τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, ἀλλὰ καὶ τῶν πολιτικῶν καὶ τῶν στρατιωτικῶν ἀρχόντων, καὶ τῶν ὑπ' αὐτοὺς τάξεων, καὶ τῶν κατὰ τόπον ἐκδίκων. Οἱ δὲ σκηνικοὶ παντοῖα προσωπεῖα ὑποδύονται, καὶ ἁδεῶς τοὺς μοναχοὺς ἐμπαίζουσι καὶ τοὺς κληρικούς. Ἀλλὰ καί τινες κληρικοὶ κατά τινας ἑορτὰς πρὸς διάφορα μετασχηματίζονται προσωπεῖα. Καὶ ποτὲ μὲν ξιφήρεις ἐν τῷ μεσονάῳ τῆς ἐκκλησίας μετὰ στρατιωτικῶν ἀμφίων εἰσέρχονται, ποτὲ δὲ καὶ ὡς μοναχοὶ προοδεύουσιν, ἢ καὶ ὡς ζῶα τετράποδα. Ἐρωτήσας οὖν ὅπως ταῦτα παρεχωρήθησαν γίνεσθαι, οὐδέν τι ἕτερον ἤκουσα, ἀλλ' ἢ ἐκ μακρᾶς συνηθείας ταῦτα τελεῖσθαι. Τοιαῦτά εἰσιν, ὡς ἐμοὶ δοκεῖ, καὶ τὰ παρά τινων δομεστικευόντων ἐν κλήρῳ γινόμενα,

A eorum curam gerit: hoc vero pro Bacchio, vinum, ut illi impie dicebant, conservatore. Est enim Bromius Bacchi epitheton. Mense autem Martio fiebat magna Græca concio, seu universalis conventus, propter bonam temporum et aeris temperiem: quo tempore etiam indecoræ salutationes a quibusdam mulierculis virisque fiebant. Quæ omnia et his similia sancti Patres aversantes, nulli viro permittebant muliebri stola ullo modo uti, vel contra; sed neque personas induere comicas vel tragicas vel satyricas: nec Bacchi quidem nomen in torcularibus nominare, nec vino doliis infuso ridere et cachinnari. Eos autem qui tale quid facere adorti fuerint, postquam canonici decreti cognitionem ceperint, si sint quidem clerici, deponi: si vero laici, segregari. Quærendum ergo est quænam B sint comicæ personæ, quæ tragicæ, et quæ satyricæ. Ac sunt quidem comica, quæ risum movent et sunt petulantia ac contumeliosa, ut quæ ab Aristophane scripta sunt. Tragica, quæ movent affectus et sunt lamentabilia, ut Euripidis iambica. Et satyrica, quæ in Bacchi hymnum ac laudem celebrantur orgia a Satyris et Bacchis. Cum Patres hæc sancte statuerint, et 64 cap. 123 Justiniani nov., sive, 13 cap. primi tit. III lib. Basilic. hæc expresse dicat: Omnibus autem omnino qui in sæcularibus versantur, et iis maxime, qui scenica tractant, viris et mulieribus, atque iis etiam quæ præsunt, interdicimus, ne monachi amictu vel C ascetriæ utantur, vel eum quovis modo imitentur; scientibus universis, qui audent vel tali uti amictu, vel imitari, vel in quamcunque ecclesiasticam constitutionem illudere, quod etiam corporalia supplicia subibunt, et exterminabuntur: huic rei prospicientibus, non solum locorum sanctissimis episcopis et qui sub eis sunt clericis, sed etiam civilibus et militaribus magistratibus, eisque subjectis ordinibus, et locorum defensoribus. Histriones autem quasvis personas induunt, monachosque et clericos secure ludificantur. Sed et quidam clerici in quibusdam festis varias personas suscipiunt et effingunt: et aliquando quidem ense cincti cum militaribus vestibus in ecclesiæ meditullium D ingrediuntur, aliquando vero ut monachi progrediuntur, vel ut quadrupedia animalia. Cum itaque interrogassem, quomodo hæc fieri permissum sit, nihil aliud audivi, quam hæc longa consuetudine fieri. Ejusmodi sunt, ut mihi videtur, et quæ a quibusdam, qui in clero sunt, domesticorum instar fiunt, qui aerem digitis ut aurigæ feriunt, et genis fucos apponunt, et muliebria quædam opera fingunt, et alia indecora, ut spectatoribus risum moveant. Ridere autem agrestes vino infuso doliis, est aliquid veluti necessario consequens iis, qui in lacum ingrediuntur, vinitoribus: nisi quis dixerit hanc Satanicam operationem exolevisse, eo

Guill. Beveregii notæ.

(68) *Τοῦ Εὐριπίδου.* Ms. Amerbachianus rectius legit τοῦ Εὐριπιδοῦς Ἰαμβεῖα.

quod agrestes frequentius dicant in unaquaque fere mensura, Kyrie eleison. Quæ porro indecora aliquando fiebant a notariis, adolescentium instructoribus, in sanctorum notariorum festo, cum scenicis personis forum obeuntibus, ante aliquot annos exoleverunt, sanctissimi illius patriarchæ domini Lucæ decreto.

ZONAR. Sunt calendæ primi mensis cujusque dies, quos Græci solemni religione ac cæremonia de more celebrabant. Bota quoque et Brumalia Græcorum festi dies fuere. Bromius siquidem Bacchi epithetum. Eos igitur aliosque ejusmodi Græcorum festos dies, ne cultu aliquo prosequi fidelibus liceat, Patres decrevere. Publicas quoque mulierum saltationes, quibus spectandis videlicet ad libidinem homines incitantur, tum quæcunque Græci viri aut feminæ, commentitiorum **232** numinum honori tribuentes, peragere soliti sunt, exhiberi vetant. Præterea viris muliebri ornatu, virili feminis, quæ bacchantium sibi consuetudo permiserat, quinimo personarum quoque, comicæ, tragicæ, satyricæve usu penitus interdictum. Est vero comica persona, quæ ad alios scommate perstringendos assumitur. Tragica, quæ perturbationes animi ac dolores incitat. Satyrica demum, eorum qui Baccho initiarentur propria fuit. Satyrorum siquidem, sicut et Baccharum, e Bacchi comitatu esse dicebatur illa furoris attoniti plena saltatio. Ad hæc neque Bacchi nomen in torcularibus passim cieri, neque merum, interea dum in doliis conditur, risu et cachinno prosequi sinunt. Porro Bacchus a Græcis in deorum numero habitus, quem ebrietatis præsidem vinique largitorem agnoscebant. Illi tamen mores a rusticis, eorum quæ faciunt ignoratione, nunc quoque retinentur. Verum hic canon, sacri ordinis clericum, si ejusmodi quidpiam sciens admiserit, deponi; laicum vero segregari jubet.

ARIST. « A fidelium vitæ ratione auferantur Bota,
« et Calendæ, et Brumalia, et in deorum honorem saltationes, et comicæ, et satyricæ, et
« tragicæ personæ, et Bacchi in torcularibus invocatio, risusque in doliis. Qui autem post
« canonem in his persistunt, obnoxii sunt. »

Omnem idololatriam et vanitatem e fidelium conversatione Patres tollentes, non permittunt ea, quæ in præsenti canone diserte numerantur, a Christianis peragi : sed si sint quidem clerici, qui hæc et ejusmodi faciunt, deponi jubet canon; sin vero laici, segregari.

CANON LXIII.

« Quæ a veritatis hostibus falso conflictæ sunt

Guill Beveregii notæ.

(69) *Διὰ τοῦ λέγειν.* Rectius itidem in ms. Auerbachiano legitur διὰ τοῦ λέγειν.

τὸν ἀέρα τοῖς δακτύλοις κατὰ ἡνιόχους τυπτόντων, καὶ φύκη ταῖς γνάθοις ὄπισθεν περιτιθεμένων καὶ ὑπορβινομένων ἔργα τινὰ γυναικεῖα, καὶ ἕτερα ἀπρεπῆ, ἵνα πρὸς γέλωτα τοὺς βλέποντας μετακινήσωσι. Τὸ δὲ γελᾶν τοὺς ἀγρότας ἐγχεομένους τοῦ οἴνου τοῖς πίθοις, ὡσεί τι παρεπόμενον ἐξ ἀνάγκης ἐστὶ τοῖς ληνοβατοῦσιν· εἰ μήτις εἴπῃ τὴν σατανικὴν ταύτην ἐργασίαν καταργεῖσθαι διὰ τοῦ λέγειν (69) τοὺς ἀγρότας συχνότερον ἐφ' ἑκάστῳ μέτρῳ σχεδὸν, τὸ, Κύριε ἐλέησον. Τὰ μέντοι ποτὲ γινόμενα ἀπρεπῆ παρὰ τῶν νοταρίων παιδοδιδασκάλων κατὰ τὴν ἑορτὴν τῶν ἁγίων νοταρίων, μετὰ προσωπείων σκηνικῶν διερχομένων τὴν ἀγοράν, πρὸ χρόνων τινῶν κατηργήθησαν, καθ' ὁρισμὸν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ.

ΖΩΝΑΡ. Καλάνδαι εἰσὶν αἱ πρῶται ἑκάστου μηνὸς ἡμέραι, ἐν αἷς εἴθιστο τοῖς Ἕλλησι ποιεῖν τινας τελετάς. Καὶ τὰ βοτὰ δὲ καὶ τὰ βρουμάλια Ἑλληνικαὶ ἦσαν ἑορταί. Βρόμιος γὰρ ἐπίθετον ἦν τῷ Διονύσῳ. Καὶ τἆλλα ὁμοίως, ἃ πάντα κωλύουσι γίνεσθαι οἱ Πατέρες παρὰ τῶν πιστῶν. Εἴργουσι δὲ καὶ τὰς τῶν γυναικῶν δημοσίας ὀρχήσεις, ὡς εἰς ἀκολασίας ἐρεθισμὸν τοῖς θεωμένοις αὐτάς, καὶ ὅσα τοῖς Ἕλλησιν ἐπράττοντο ἐξ ἀνδρῶν ἢ γυναίων ὀνόματι τῶν ψευδωνύμων θεῶν αὐτῶν, καὶ μὴ κεχρῆσθαι κελεύουσι τοὺς ἄνδρας γυναικείαις στολαῖς, ἢ τὰς γυναῖκας ἀνδρώαις, οἷα ἐποίουν οἱ τῷ Διονύσῳ βακχεύοντες, ἀλλὰ μηδὲ προσωπεῖα κωμικὰ ὑποδύεσθαι, ἢ τραγικὰ, ἢ σατυρικά. Κωμικὰ μὲν οὖν προσωπεῖά εἰσι τὰ εἰς σκώμματά τινων ἐπιτηδευόμενα· τραγικὰ δὲ τὰ περιπαθῆ καὶ θρήνους ἐμποιοῦντα· τὰ δὲ σατυρικὰ τῶν ἐπὶ τῷ Διονύσῳ τελουμένων ἦσαν. Καὶ οἱ σάτυροι γάρ, ὡς αἱ Βάκχαι, τῆς περὶ τὸν Διόνυσον ἐμπλήκτου χορείας ἐλέγοντο εἶναι. Μήτε μὴν τὸ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν, μήτε τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου γελᾶν καὶ ἐπικαγχάζειν. Ὁ δὲ Διόνυσος θεὸς ἐνομίζετο τοῖς Ἕλλησιν, ἔφορος τῆς μέθης καὶ τοῦ οἴνου δοτήρ. Ἃ καὶ νῦν γίνονται παρὰ τοῖς ἀγρόταις, μὴ εἰδόσιν ἃ ποιοῦσιν. Ὁ δὲ κανὼν οὗτος τοὺς μὲν ἱερωμένους καθαιρεῖσθαι προστάσσει, τοιοῦτόν τι ποιοῦντας ἐν γνώσει· τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι.

ΑΡΙΣΤ. « Περιαιρείσθω τῆς τῶν πιστῶν βοτὰ πολιτείας, καὶ αἱ καλάνδαι, καὶ τὰ βρουμάλια,
« καὶ αἱ ὀρχήσεις εἰς θεοὺς, καὶ τὰ κωμικὰ, καὶ
« σατυρικὰ, καὶ τραγικὰ πρόσωπα, καὶ ἡ ἐπὶ
« ληνοῖς τοῦ Διονύσου ἐπίκλησις, καὶ ὁ ἐπὶ τοῖς
« πίθοις γέλως. Οἱ δὲ ἐπιμένοντες μετὰ τὸν κα-
« νόνα, ὑπεύθυνοι. »

Πάντα τὰ τῆς εἰδωλικῆς καὶ ματαιότητος ἐκ τῆς τῶν πιστῶν πολιτείας οἱ Πατέρες περιαιροῦντες, οὐκ ἀνέχονται τελεῖσθαι παρὰ τῶν Χριστιανῶν τὰ ἐν τῷ παρόντι κανόνι ῥητῶς ἀπηριθμημένα· ἀλλ' εἰ μὲν κληρικοί εἰσιν οἱ τοιαῦτα ποιοῦντες, προστάττει καθαιρεῖσθαι· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

ΚΑΝΩΝ ΞΓ'.

« Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν (70)

(70) *Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν.* Constantini Harmenopuli epitome hujus

« συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς Χρι- A
« στοῦ μάρτυρας (71) ἀτιμάζοιεν, καὶ πρὸς ἀπι-
« στίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ' ἐκκλη-
« σίαις δημοσιεύεσθαι προστάττομεν, ἀλλὰ ταῦτα
« πυρὶ παραδίδοσθαι. Τοὺς δὲ ταῦτα παραδεχο-
« μένους, ἢ ὡς ἀληθέσι τούτοις προσίοντας,
« ἀναθεματίζομεν. »

« martyrum historiæ, ut Christi martyres igno-
« minia afficerent, et qui eas audituri essent, ad
« infidelitatem deducerent, in ecclesiis non pu-
« blicari jubemus, sed eas igni tradi. Qui eas
« autem admittunt, vel tanquam veris iis mentem
« adhibent, anathematizamus. »

ΒΑΛΣ. Οὐκ ἔλαθε τοὺς ἁγίους Πατέρας, ὅτι πολλοὶ τῶν ἀπίστων καὶ μισοχρίστων μὴ παραδεχόμενοι τοὺς τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν ἄθλους, ἢ καὶ καταμωκώμενοι τῶν ταῦτα δεξαμένων Χριστιανῶν, συνεπλάσαντό τινα ψευδῆ καὶ ἀλλόκοτα, καὶ ἄξια τῆς αὐτῶν κακίας, ὡς δῆθεν παρὰ τῶν μαρτύρων λαληθέντα ἢ πραχθέντα· ἐφ' ᾧ τοὺς ἐντυγχάνοντας ἐνάγεσθαι εἰς ἀπιστίαν ἢ γέλωτα, καὶ τοὺς ἁγίους περιυβρίζεσθαι. Διὸ καὶ ὥρισαν B τὰ τοιαῦτα συγγράμματα μὴ δημοσιεύεσθαι ὅλως, ἀλλὰ καίεσθαι· τοὺς δὲ παραδεχομένους ταῦτα ἀναθεματίζεσθαι. Διὰ τὴν τοιαύτην οὖν, ὡς ἔοικεν, αἰτίαν καὶ ὁ πα' κανὼν τῶν ἁγίων ἀποστόλων διωρίσατο ποῖα ὀφείλουσι βιβλία ἀναγινώσκεσθαι ἀπὸ τῆς Παλαιᾶς Διαθήκης, καὶ ποῖα ἀπὸ τῆς Νέας· καὶ τὰ λοιπὰ ὠβέλισεν ὡς νενοθευμένα. Χάρις τοίνυν τῷ μακαρίτῃ Μεταφραστῇ τῷ τὰ μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα (72) πολλοῖς πόνοις καὶ ἱδρῶσι καταχαλλύναντι εἰς ὕμνον Θεοῦ καὶ δόξαν αἰωνίζουσαν τῶν ἁγίων μαρτύρων. Ὁ ἁγιώτατος δὲ πατριάρχης ἐκεῖνος κυρὸς Νικόλαος ὁ Μουζάλων, εὑρὼν συγγραφέντα τὸν βίον τῆς ἁγίας Παρασκευῆς, τῆς ἐν τῷ χωρίῳ τῇ Καλλικρατείᾳ τιμωμένης, παρά τινος χωρίτου ἰδιωτικῶς καὶ ἀναξίως τῇ ἀγγελικῇ διαγωγῇ τῆς ἁγίας, ὥρισε πυρὶ παραδοθῆναι· καὶ ἐπέτρεπε τῷ διακόνῳ ἐκείνῳ τῷ Βασιλικῷ συγγράψασθαι τὸν ταύτης θεάρεστον βίον.

BALS. Non latuit sanctos Patres, quod multi infideles et Christum exosi, sanctorum martyrum et confessorum certamina non admittentes, vel etiam Christianos qui hæc recipiunt irridentes, quædam falsa et aliena, suaque improbitate digna confixerunt, tanquam a martyribus dicta vel facta essent : ut qui in ea inciderent, vel ad infidelitatem deducerentur vel risum, sanctique ignominia ac probro afficerentur. Et ideo statuerunt hæc scripta non omnino in vulgus edenda, sed esse igni mandanda : eos autem, qui hæc admittunt, esse anathematizandos. Propter hanc itaque causam, ut est consentaneum, 85 canon sanctorum apostolorum definiit, quinam libri legi debeant ex Antiquo Testamento, et quinam ex Novo : et reliqua ut adulterina obelisco confodit. Magna itaque beato Metaphrastæ agenda est gratia, qui martyrum pro veritate certamina non sine multis laboribus et sudoribus repurgavit et exornavit, ad Dei laudem et sanctorum martyrum perennem gloriam. Porro sanctissimus ille patriarcha dominus Nicolaus Muzalon, cum vitam sanctæ Parasceves, quæ in quodam Callicratiæ vico colebatur, a quodam vicano inepte ac indocte, et sanctæ angelica vivendi ratione indigne compositam invenisset, eam igni mandari jussit : et diacono illi Basilico mandavit, vitam ejus Deo gratam conscribere.

Guill. Beveregii notæ.

canonis sic se habet, Τὰ ὑφ' Ἑλλήνων συμπλασθέντα μαρτυρολόγια πυρὶ γενέσθωσαν παράναλωμα, καὶ οἱ ὡς ἀληθῆ ταῦτα δεχόμενοι ἀναθεματιζέσθωσαν, *Libri de martyribus a paganis conficti, ab igne consumantur, et qui eos tanquam veros admittant, anathemate percutiantur.* In quam epitomen scholiastes hæc notat, Ὡς ἔοικεν, ὑφ' Ἑλλήνων συνεγράφησάν τινα ὡς λεχθέντα καὶ πραχθέντα παρὰ ἁγίων μαρτύρων. ἀλλόκοτα καὶ γελοῖα· ἵνα δι' αὐτῶν κατεγελῶτο μὲν ἡ πίστις ἡμῶν, ὑβρίζοιντο δὲ καὶ οἱ μάρτυρες, *Ut videtur, quædam a paganis conscripta sunt, velut dicta et facta a sanctis martyribus, absurda et ridicula, ut per ea tum fides nostra irrideretur, tum contumelia martyres afficerentur.* Harmenop. epit. can. sect. 5, tit. 5.

(71) *Τοὺς Χριστοῦ μάρτυρας.* Sic quidem legit ms. Bodleianus : sed Amerbachianus et Tilianus τοὺς τοῦ Θεοῦ μάρτυρας.

(72) *Τὰ μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα.* Gentianus Hervetus vertit *martyrica pro veritate fossas.* Quæ quidem versio nobis minime arrisit : σκάμματα enim hoc in loco *certamina* potius significat, metaphora a saltu sumpta. Salientibus enim terminus, quo primo stant et unde surgunt, vocatur βατήρ, terminus autem in quem decidunt vel quem saltu pertingunt, σκάμμα dicitur ; quemadmodum et medium inter utrumque spatium κανὼν appellatur. Sic Julius Pollux, ὅθεν ἅλλεται βατήρ, τὸ δὲ μέτρον τοῦ πηδήματος, κανών, ὁ δὲ ὅρος, τα ἐσκαμμένα. Poll. l. III. Nimirum ubi calcem post saltum figunt, humus aliquantulum subigitur, et calce foditur ; unde locus iste σκάμμα dicitur. Hinc vox ista latius etiam sæpissime sumitur, pro loco cujusvis certaminis, ac deinde etiam pro ipso certamine. Sic Clemens Romanus, Ἐν γὰρ τῷ αὐτῷ ἐσμεν σκάμματι, καὶ ὁ αὐτὸς ἡμῖν ἀγὼν ἐπίκειται, Clem. ep. ad Corinth. p. 9, D. Chrysostomus, Οὐδέπω σου τὸ θέατρον λέλυται, ἀλλ' εἰσω τοῦ σκάμματος ἑστηκας, καὶ δύνασαι καὶ δι' ἐσχάτης πάλης πάσας ἀναπαλαῖσαι τὰς ἥττας. Chrysost. in Epist. ad Rom. λογ. ιη' pag. 160, edit. Savil. et alibi, Καὶ γὰρ ἔδει τῶν σκαμμάτων εἴσω μένοντα ἀγωνίσασθαι, οὐ μετὰ τὸ λυθῆναι τὸ θέατρον ἀποδύρεσθαι καὶ δακρύειν ἀνόνητα. Id. in Ep. I ad Corinth. λογ. κγ', pag. 293. Idem etiam alibi eadem voce pro certaminibus a Christianis suscipiendis aperte utitur ; ut ubi ait, Διὸ καὶ μείζονα ἡμῖν προσετέθη τὰ σκάμματα, ἅτε μείζονος μετεσχηκόσι τῆς βοηθείας. Id. in Epist. ad Rom. λόγ. ια', pag. 82. Et hoc quidem sensu Balsamon in præsenti loco certamina illa, quæ martyres pro veritate subierunt, μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα vocat. Quæ propterea verba nos rectius transtulimus, *Martyrum pro veritate certamina.* Quam interpretationem ipse etiam locus exigit. Balsamon enim hic loquitur de Symeone Metaphraste, qui sanctorum martyrumque vitas conscripsit, ac proinde quæ illi pro veritate sustinuerunt certamina nobis transmisit : cui propterea Balsamon gratias deberi asserit.

ZONAR. Quidam a fide alieni homines, nostrorum accusationi et contumeliis intenti, nonnulla plena absurditatis et ineptiarum, quasi a martyribus dicta aut effecta fuissent, litteris consignaverant : ut in eo scilicet fidei nostræ contemptus, et sanctis quoque martyribus ignominia conciliaretur. Eorum non modo lectione interdicit. **233** sed flammis quoque aboleri canon jubet. Qui vero ea legerint, ac pro veris acceperint, anathemate puniendos esse decernit.

ZΩΝΑΡ. Ὑπὸ ἀπίστων, ὡς ἔοικε, θελόντων διασύρειν τὰ τῶν Χριστιανῶν συνεγράψησάν τινα, ὡς λεχθέντα καὶ πραχθέντα παρὰ τῶν ἁγίων μαρτύρων, ἀλλόκοτα ἢ καὶ γελοῖα, ἵν' οὕτω καταγελῶτο μὲν ἡ πίστις ἡμῶν, ὑβρίζοιντο δὲ καὶ οἱ μάρτυρες. Τὰ γοῦν τοιαῦτα οὐ μόνον ἀναγινώσκεσθαι κωλύει ὁ κανών, ἀλλὰ καὶ καίειν αὐτὰ ἀπαιτεῖ. Εἰ δέ τινες τούτοις χρῶνται πιστεύοντες ὡς ἀληθέσιν, ἀναθεματίζεσθαι κελεύει αὐτούς.

ARIST. « Martyrologia ab ethnicis conficta in « ecclesia ne publicentur. »

Martyrologia in Christi martyrum ignominiam ab ethnicis conscripta non oportet in ecclesiis legere, sed igni tradere. Si quis autem deprehendatur ea, ut vera, recipiens, anathemate perentiatur.

ΑΡΙΣΤ. « Τὰ ὑφ' Ἑλλήνων συμπλασθέντα μαρτυ- « ρολόγια μὴ ἐκκλησιάζοιτο. »

Οὐ δεῖ ἐπ' ἐκκλησίαις ἀναγινώσκεσθαι, ἀλλὰ καὶ πυρὶ παραδίδοσθαι, τὰ πρὸς ὕβριν τῶν τοῦ Χριστοῦ μαρτύρων παρὰ τῶν Ἑλλήνων γραφέντα μαρτυρολόγια. Εἰ δέ τις εὑρεθῇ, ὡς ἀληθῆ ταῦτα παραδεχόμενος, ἀναθεματιζέσθω.

CANON LXIV.

« Quod non oportet laicum publice disputare vel « docere, docendi auctoritatem ex eo sibi vindicantem, sed ordini a Domino tradito cedere, « et aurem iis, qui docendi gratiam acceperunt, « aperire, et divina ab eis doceri. In una enim « Ecclesia diversa membra fecit Deus, ut est « vox Apostoli : quam interpretans Gregorius « Theologus, eum qui in iis est ordinem aperte « commendat, dicens : Hunc ordinem revereamur, fratres, hunc servemus. Hic quidem sit « auris; ille vero lingua; hic autem manus; ille « vero aliquid aliud. Hic quidem doceat : ille « vero discat. Et paulo post : Et qui discit, in « docilitate, et qui suppeditat, in hilaritate, et « qui opem fert ac subministrat, in alacritate. « Ne simus omnes lingua, quod est promptissimum; ne omnes apostoli; ne omnes prophetæ; ne omnes interpretemur. Et post « quædam : Cur te pastorem facis, cum sis ovis? « Cur caput efficeris, cum sis pes? Cur imperator esse conaris, cum relatus sis in numerum militum? Et alibi jubet Sapientia, Ne sis « velox in sermonibus; ne, cum sis pauper, « una cum divite extendaris; nec quæras sapientibus esse sapientior. Si quis autem præsentem canonem labefactans deprehensus « fuerit, quadraginta diebus segregetur. »

BALS. Populum Domini docere, et divina decreta interpretari, solis antistibus a divina Spiritus gratia concessum est, et iis quibus ab illis permissum est. Ut est ergo verisimile, quidam laici et forte etiam docti, de quibusdam ecclesiasticis argumentis publice disputabant, et quamdam auctoritatem docendi præ se ferebant. Divini ergo Patres hoc prohibentes, statuerunt, ne quid amplius ejusmodi fieret, ne Ecclesiæ ordo confunderetur. Sed quoniam, inquit, Deus ex diversis membris Ecclesiam suis stabilivit et erexit, et constitutum est ut laici docerentur, non docerent, debent potius aurem docentibus præbere, quam linguam movere, ac multos offendere : et unusquisque manere

ΚΑΝΩΝ ΞΔ'.

« Ὅτι οὐ χρὴ δημοσίᾳ λαϊκὸν λόγον κινεῖν ἢ διδά- « σκειν, ἀξίωμα ἑαυτῷ διδασκαλικὸν ἐντεῦθεν « περιποιούμενον, ἀλλ' εἴκειν τῇ παραδοθείσῃ « παρὰ τοῦ Κυρίου τάξει, καὶ τὸ οὖς τοῖς τὴν « χάριν τοῦ διδασκαλικοῦ λαβοῦσι λόγου διανοί- « γειν, καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι. « Ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πε- « ποίηκεν ὁ Θεὸς, κατὰ τὴν τοῦ Ἀποστόλου φω- « νήν. Ἣν ὁ Θεολόγος ἑρμηνεύων Γρηγόριος, « σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι, λέγων· « Ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοὶ, ταύτην « φυλάττωμεν. Ὁ μὲν ἔστω τις ἀκοή, ὁ δὲ « γλῶττα, ὁ δὲ χεὶρ, ὁ δὲ ἄλλο τι· ὁ δὲ διδασκέτω· « ὁ δὲ μανθανέτω· καὶ μετὰ βραχέα· Καὶ ὁ « μανθάνων ἐν εὐπειθείᾳ, καὶ ὁ χορηγῶν ἐν ἱλα- « ρότητι, καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ· μὴ πάν- « τες ὦμεν γλῶσσα, τὸ ἑτοιμότατον· μὴ πάντες « ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες « διερμηνεύωμεν· καὶ μετά τινα· Τί σεαυτὸν « ποιεῖς ποιμένα, πρόβατον ὤν; Τί γίνῃ κεφαλή, « ποῦς τυγχάνων; Τί στρατηγεῖν ἐπιχειρεῖς, « τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι ἡ σο- « φία διακελεύεται· Μὴ ἴσθι ταχὺς ἐν λόγοις· μὴ « συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει « τῶν σοφῶν εἶναι σοφώτερος. Εἰ δέ τις ἁλῷ τὸν « παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας τεσ- « σαράκοντα ἀφοριζέσθω.

ΒΑΛΣ. Τὸ διδάσκειν τὸν τοῦ Κυρίου λαὸν, καὶ ἑρμηνεύειν τὰ θεῖα δόγματα, μόνοις ἐδόθη παρὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος τοῖς ἀρχιερεῦσι καὶ τοῖς παρὰ τούτων ἐπιτρεπομένοις. Ὡς ἔοικεν οὖν, τινὲς λαϊκοὶ, ἴσως πεπαιδευμένοι σοφίαν, διελέγοντο δημοσίᾳ περί τινων ἐκκλησιαστικῶν ὑποθέσεων, καὶ διδασκαλικὸν ὑπεκρίνοντο ἀξίωμα. Τοῦτο ἀπαγορεύοντες οἱ ἅγιοι Πατέρες, διωρίσαντο μηκέτι τοιοῦτόν τι γίνεσθαι, καὶ συγχίεσθαι τὴν ἐκκλησιαστικὴν εὐταξίαν. Ἀλλ' ἐπεὶ, φασὶν, ἐκ διαφόρων μελῶν ὁ Θεὸς τὴν Ἐκκλησίαν ἐστερέωσέ τε καὶ ὕψωσε, καὶ οἱ λαϊκοὶ διδάσκεσθαι ἐτάχθησαν, οὐχὶ διδάσκειν, ὀφείλουσι μᾶλλον ὑπέχειν τὸ οὖς τοῖς διδάσκουσιν ἢ τὴν γλῶτταν κινεῖν, καὶ σκανδαλίζειν

πολιάκις καὶ ἕκαστον μένειν ἐν ᾗ ἐκλήθη τάξει, κατὰ τὸ γράμμα τὸ ἱερόν. Ἐχρήσαντο δὲ εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν καὶ γραφικοῖς διαφόροις ῥητοῖς, ἀποστολικοῖς δηλαδὴ, θεολογικοῖς, καὶ προφητικοῖς. Τοὺς μέντοι παραβαίνοντας τὸν παρόντα κανόνα, ἐπὶ τεσσαράκοντα ἡμέραις ἀφορίζεσθαι διωρίσαντο. Ἐρωτήσει δέ τις, ὡς τοῦ κανόνος κωλύοντος δημοσίᾳ διδάσκειν ἢ διαλέγεσθαι τοὺς λαϊκοὺς περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, κωλυθήσονται κληρικοὶ καὶ μοναχοὶ παρομοίως τοῖς λαϊκοῖς ἢ οὔ; Λύσις. Ἐπεὶ τὸ διδάσκειν μόνων τῶν ἀρχιερέων ἐστὶ, καὶ τῶν τεταγμένων εἰς τοῦτο, εἴ τις ἐξ αὐτῶν τὴν κανονικὴν παραδράμῃ παραγγελίαν, ὑπεύθυνος ἔσται, ὡς ἐμοὶ δοκεῖ. Διὰ γὰρ τοῦτο καὶ ἐν τῇ κατεξετάσει τοῦ εὐαγγελικοῦ ῥητοῦ, τοῦ λέγοντος· *Ὁ Πατήρ μου μείζων μού ἐστι*, πολλοὶ μοναχοὶ καὶ κληρικοὶ, ὅτι περὶ τούτου ἀντιθετικῶς ἢ ἐλάλησαν ἢ ἔγραψαν, ἐκολάσθησαν. Καλῶς δὲ προσετέθη τὸ δημοσίᾳ. Ἐπεί τοίγε κατ' ἰδίαν ἐρωτώμενός τις συνετὸς περί τινος δογματικῆς ὑποθέσεως, ἢ περὶ ἄλλης ψυχωφελοῦς αἰτίας, οὐ κωλυθήσεται τὸ δοκοῦν αὐτῷ ἀποκρίνεσθαι. Καὶ τὸ δ' γὰρ κεφάλ. τοῦ α' τίτλου τοῦ α' βιβλίου τῶν Βασιλικῶν φησί· Μηδεὶς ἢ κληρικὸς ἢ μοναχὸς στρατευόμενος, ἢ ἄλλος οἱοσδήποτε πλῆθύν συνάγων δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω. Ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δεόντως πάντα διατυπώσασαν, ἥτις καὶ τοῖς αἱρετικοῖς πᾶσι δίδωσι γινώσκειν τὰ ἡμέτερα. Ὥστε οὖν, εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται, εἰ δὲ στρατευόμενος, τῆς στρατείας. Οἱ δὲ λοιποὶ κατὰ τὴν ἰδίαν τύχην τιμωρείσθωσαν.

ZONAP. Ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω, φησὶν ἡ θεία Γραφή. Τοῦτο δὲ καὶ ὁ κανὼν οὗτος νομοθετεῖ, καὶ λαϊκὸν δημοσίᾳ διαλέγεσθαι περὶ πίστεως, ἢ διδάσκειν ὡς διδάσκαλον, οὐ βούλεται, ἀλλ' ὑπέχειν τὸ οὖς τοῖς ταχθεῖσιν εἰς τὸ διδάσκειν. Ἓν γάρ ἐστι σῶμα ἡ Ἐκκλησία, ὑπὸ διαφόρων δὲ συμπληροῦται μελῶν, κατὰ τὸν θεῖον Ἀπόστολον. Εἶτα τοῦ Θεολόγου ἐπάγει ῥητὰ, ἑρμηνεύοντος τὰ ἀποστολικὰ ῥήματα, καὶ προσεπάγει τὰ τῆς Σοφίας λεγούσης· Μὴ ἴσθι ταχὺς ἐν λόγοις, καὶ τὰ λοιπά. Τοὺς δὲ παραβαίνοντας τὸν κανόνα, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφορίζει. Ἰδίᾳ δέ τις ἐρωτώμενος, οὐ κωλυθήσεται ἀποκρίνεσθαι καὶ διδάσκειν τὸν ἐρωτῶντα.

in quo vocatus est ordine, ut dicit sacra Scriptura. Ad ejus autem, quod dixerunt, confirmationem diversis Scripturæ dictis apostolicis scilicet, et theologicis, et propheticis usi sunt. Eos autem qui præsentem can. transgrediuntur, 60 diebus segregari jusserunt. Interrogaverit autem quispiam, cum can. prohibeat laicos de rebus ecclesiasticis publice docere vel disserere, an clericus vel monachus prohibebitur similiter ac laici, an non? Solutio. Quoniam docere solorum est antistitum, et eorum qui ad hoc sunt ordinati, si quis ex eis canonicum præceptum transgressus fuerit, is, ut mihi videtur, canone tenebitur. Propterea enim et evangelici dicti examinatione, quod dicit; *Pater meus major me est*[98], multi monachi et clerici, quoniam de eo contentiose vel locuti fuerant, vel scripserant, puniti sunt. Recte autem adjectum est illud, publice. Si quis enim intelligens privatim de aliqua decreti materia, vel de alia ad animæ utilitatem pertinente causa, interrogetur, non prohibebitur id quod sibi videtur respondere. 4 enim cap. 1 tit. **234** primi lib. Basilic. dicit, Nemo vel clericus, vel monachus militans, vel quicunque is sit alius cogens multitudinem, publice de fide disserat. Videtur enim injuriam facere Chalcedon. syn. quæ omnia apte definiit; quæ etiam dat omnibus hæreticis nostra cognoscenda. Quocirca si is quidem, qui hæc facit, fuerit clericus, a clericorum conventu excidet: si autem miles, a militia. Reliqui autem, prout cujusque fuerit conditio, punientur.

ZONAR. Ordinem ab unoquoque, in quem vocatus est, retinendum, divino oraculo admonemur. Idem hic quoque canon præcipit, laicumque hominem, neque publice disputationem de fide instituere, neque docendi sibi munus usurpare, verum quibus ea docendi cura demandata est silentio attentas aures præbere jubet. Unicum est enim Ecclesiæ corpus, quod ex multis membris perficitur, ut divinus Apostolus docet. Deinde Theologi verba, hoc Apostoli dictum interpretantis, subnectit. Tum illa quoque Sapientiæ subjicit, Ne sis velox in loquendo[99], et quæ sequuntur. Qui vero canoni non obtemperaverint, quadraginta dierum segregatione multari placet. Privatim tamen quis interroganti respondere, ac propositæ ab eo quæstioni docendo satisfacere, non prohibebitur.

ΑΡΙΣΤ. « Λαϊκὸς μὴ διδάσκει· μὴ γὰρ πάντες « προφῆται, μὴ πάντες ἀπόστολοι. »

Ἕκαστος ὀφείλει τὴν ἑαυτοῦ τάξιν εἰδέναι, καὶ μὴ ποιμένα ἑαυτὸν ποιεῖν, πρόβατον ὤν, ἢ κεφαλὴν καθιστᾷν ποὺς τυγχάνων· ἀλλ' ὑπείκειν τῇ παραδοθείσῃ παρὰ τοῦ Κυρίου τάξει, καὶ τὸ οὖς διανοίγειν τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσιν. Οὐ γὰρ πάντες προφῆται, οὐδὲ πάντες ἀπόστο-

ARIST. « Laicus ne doceat: non enim omnes « prophetæ; non omnes apostoli. »

Unusquisque debet suum cognoscere ordinem, et non se pastorem facere, cum sit ovis, vel caput se efficere, cum sit pes: sed ordine a Domino tradito contentum esse, et aurem iis aperire qui docendi gratiam acceperunt. Omnes enim non sunt prophetæ, nec omnes apostoli. Quapropter laici

[98] Joan. xiv, 28. [99] Eccle. viii, 10.

neque doceant, nec verba dogmatica moveant, docendi autoritatem sibi exinde vindicantes.

λοι. Διὰ τοῦτο οἱ λαϊκοὶ μήτε διδασκέτωσαν, μήτε λόγους δογματικοὺς κινείτωσαν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν ἑαυτοῖς περιποιούμενοι.

CANON LXV.

« Qui in noviluniis a quibusdam ante suas officinas « et domos accenduntur, rogos, supra quos « etiam antiqua quadam consuetudine salire « nonnulli inepte ac delire solent, jubemus de- « inceps cessare. Quisquis ergo tale quid fecerit, « si sit quidem clericus, deponatur : sin autem « laicus, segregetur. In quarto enim libro Regum « scriptum est : Et ædificavit Manasses altare « universæ militiæ cœli, in duobus atriis domus « Domini, et filios suos traduxit per ignem, « sortibusque et auguriis auspiciisque usus est, « et fecit ventriloquos, et divinatores multipli- « cavit, et perrexit facere malum coram Domino, « ut eum ad iram provocaret [96]. »

ΚΑΝΩΝ ΞΕ'.

« Τὰς ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων « ἐργαστηρίων ἢ οἴκων ἀναπτομένας πυρκαϊὰς, ἃς « καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον « ἐπιληροῦσι, ἀπὸ τοῦ παρόντος καταργηθῆναι « προστάσσομεν. Ὅστις οὖν τοιοῦτόν τι πράξει, « εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, « ἀφοριζέσθω. Γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν « Βασιλειῶν· Καὶ ᾠκοδόμησε Μανασσῆς θυσια- « στήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς « δύο αὐλαῖς οἴκου Κυρίου, καὶ διήγαγε τὰ τέκνα « αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, « καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας· « ἐπλήθυνε, καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πο- « νηρὸν ἐνώπιον Κυρίου, τοῦ παροργίσαι αὐτόν. »

BALS. Novilunia dicebantur dies primi mensium. Mos ergo erat apud Judæos et Græcos festum tunc agere et genu flectere, ut totum mensem feliciter transigerent. De quibus Deus quoque dixit per prophetam : Novilunia vestra et Sabbata odit anima mea [97]. Sed et ante suas officinas et ædes rogos incendebant, et supra eos saliebant, per id existimantes ea quæ illis prius obtigissent mala comburi, foreque ut in alia bona inciderent. His ergo consequenter faciebant etiam quidam orthodoxi eo tempore quo hæc habita est synodus. Unde etiam Patres ea cessare jusserunt; et cum quidem qui tale quid fecisset, si esset clericus, deponi; si vero laicus, segregari sanxerunt. Cum autem vellent ostendere hæc esse mala maxima, et a Deo alienationem : ex quarto quoque libro Regum verbis usi sunt, de rege Manasse, qui Deum ad iram provocavit, quia in domus Domini atriis sacrificavit militiæ cœli, astris scilicet, et quod filios suos per ignem traduxit, sortibusque et auguriis auspiciisque **235** usus est, et ventriloquos divinatores multiplicavit. Ac de rogis quidem seu pyris prius diximus quomodo fierent. Sors autem est divinatio, quæ fit per signa. Augurium est ex volatu vel garritu avium, hoc est, silvestrium pennatorum animalium, eorum quæ quis scire desiderat, co-

ΒΑΛΣ. Νουμηνίαι ἐλέγοντο (73) αἱ πρῶται ἡμέραι τῶν μηνῶν. Εἴθιστο οὖν παρὰ Ἰουδαίοις καὶ Ἕλλησιν ἑορτάζειν τηνικαῦτα καὶ γονυκλιτεῖν, ὡς ἂν τὸ μηνιαῖον διάστημα εὐτυχῶς διέλθωσι· περὶ ὧν καὶ ὁ Θεὸς εἶπε διὰ τοῦ προφήτου· Τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου. Ἀλλὰ καὶ ἔμπροσθεν τῶν ἐργαστηρίων αὐτῶν καὶ τῶν οἰκείων ἀνῆπτον πυρκαϊὰς, καὶ ἐπήδων ἐπάνω τούτων, νομίζοντες διὰ τοῦτο τὰ προσυμβάντα ἴσως αὐτοῖς δυσχερῆ καταχαίεσθαι, καὶ ἑτέροις ἀγαθοῖς ἐντυγχάνειν. Ἀκολούθως οὖν τούτοις ἐποίουν καί τινες ὀρθόδοξοι ἐν ταῖς ἡμέραις ἐν αἷς ἡ παροῦσα γέγονε σύνοδος. Ἔνθεν τοι καὶ διωρίσαντο οἱ Πατέρες καταργηθῆναι ταῦτα· καὶ τὸν τοιοῦτόν τι ποιήσαντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Θέλοντες δὲ παραστῆσαι ὅτι μέγιστόν τι κακόν ταῦτά εἰσι, καὶ ἀπαλλοτρίωσις τοῦ Θεοῦ, ἐχρήσαντο καὶ ῥήμασιν ἀπὸ τῆς δ' τῶν Βασιλειῶν περὶ τοῦ βασιλέως τοῦ Μανασσῆ τοῦ τὸν Θεὸν παροργίσαντος, ὅτι ἔθυσεν ἐν ταῖς αὐλαῖς τοῦ οἴκου Κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἤτοι τοῖς ἄστρασι, καὶ ὅτι διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, καὶ ἐγγαστριμύθους καὶ γνώστας ἐπλήθυνε. Καὶ περὶ μὲν τῶν πυρκαϊῶν ὅπως ἐτελοῦντο, εἴπομεν ἄνωθεν. Κληδὼν δέ ἐστιν ἡ διά τινων σημείων μαντεία. Οἰωνισμὸς ἡ ἀπὸ κραυγῆς;

[96] IV Reg. xxiii, 12 sqq. [97] Isa. i, 14.

Guillelmi Beveregii notæ.

(73) *Νουμηνίαι ἐλέγοντο.* In ms. nostro Bodleiano, ante ista prima hujus interpretationis verba, hæc habentur, Κληδὼν ἐστιν ἡ διὰ λόγου τῶν μελλόντων παρατήρησις· οἰωνισμὸς, ἡ διὰ πτήσεως ἢ κραυγῆς τῶν ὀρνέων, ἐξ οὗ οἱ οἰωνοσκόποι γνῶσται λέγονται, οἱ διὰ ἀνατομῆς ὀρνέων μαντευόμενοι, διὸ καὶ ἡπατοσκοπή. Ἐγγαστρίμυθοι δὲ διὰ μυθώδειας καὶ σατανικὰς φλυαρίας κυΐσκειν. Sed in editione Parisiensi hæc plenius rectiusque leguntur, ad finem interpretationis, hoc modo. Κυρίως κληδών ἐστιν ἡ διὰ λόγων τῶν μελλόντων παρατήρησις, ἐκ τοῦ κλῶ τὸ καλῶ. Οἰώνισμα, ἡ διὰ κραυγῆς πτηνῶν ἢ πτήσεως μάθησις, ἐξ οὗ καὶ οἰωνοσκοπία. Γνῶσται δὲ λέγονται, οἱ διὰ ἀνατομῆς τῶν ζώων μαντευόμενοι, ἐξ οὗ καὶ ἡπατοσκοπία. Καλῶς μέντοι πάντες οὗτοι καὶ οἱ λοιποὶ ψευδοπροφῆται ἐγγαστρίμυθοι καλοῦνται, διὰ τὸ μυθώδεις φλυαρίας σατανικὰς κυΐσκειν. *Sors sive* κληδὼν *proprie est, quæ fit per verba futurorum observatio, ex verbo* κλῶ, *quod idem est, ac* καλέω, *voco.* Οἰώνισμα *vero, per volucrum garritum aut volatum cognitio; unde* οἰωνοσκοπία, *id est, auspicium.* Γνῶσται *autem sive auspices, qui per animalium sectionem vaticinantur, unde etiam dicitur* ἡπατοσκοπία, *id est jecorum inspectio. Communiter autem ii omnes, et reliqui pseudoprophetæ* ἐγγαστρίμυθοι *dicuntur eo quod fabulosas Satanæ nugas concipiunt.* Cum autem hæc in medio hujus interpretationis exstent, nec in principio nec fine repeti debuerunt; et idcirco nos ea omittimus ut superflua. Et sic quidem in ms. Ambrosiano utrobique recte omittuntur.

ἢ πτήσεως οἰωνῶν, τουτέστιν ἀγρίων πτερωτῶν ζώων, περὶ ὧν αἰρεῖταί τις μάθησις· ἐξ οὗ καὶ οἰωνοσκόποι λέγονται. Ἐγγαστρίμυθοι δὲ καὶ γνῶσται λέγονται πάντες οἱ σατανικῶς ἐνθουσιῶντες, καὶ προλέγοντες δῆθεν τὰ ἄγνωστα· ὡς οἱ κριτρίαι, οἱ ἀθίγγανοι, οἱ ψευδοπροφῆται, ἐρημῖται, καὶ ἕτεροι. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἡ μὲν τῆς νουμηνίας ἑορτὴ πρὸ ἀμνημονεύτων χρόνων ἐσχόλασε, καὶ ἀντὶ ταύτης Θεοῦ χάριτι Ἱλαστήριοι εὐχαὶ πρὸς Θεὸν καὶ ἁγιασμοὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πιστοῦ λαοῦ γίνονται καθ' ἑκάστην ἀρχιμηνίαν, καὶ ὕδασιν εὐλογίας, οὐκ ἀντιλογίας, χριόμεθα. Ἡ δὲ τῶν πυρκαϊῶν δαιμονιώδης τελετὴ καὶ αἱ κληδόνες ἐγίνοντο μέχρι τῆς ἐφημερίας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων εἰς ταύτην τέως τὴν τῶν πόλεων βασιλεύουσαν οὕτως. Κατὰ τὴν ἑσπέραν τῆς κγ' τοῦ Ἰουνίου μηνὸς ἠθροίζοντο ἐν ταῖς ῥηγμῖσι καὶ ἔν τισιν οἴκοις ἄνδρες καὶ γυναῖκες, καὶ πρωτότοκον κοράσιον νυμφικῶς ἐστόλιζον. Μετὰ γοῦν τὸ συμποσιάσαι καὶ βαχχικώτερον ὀρχήσασθαι, καὶ χορεῦσαι καὶ ἀλαλάξαι, ἔβαλλον ἐν ἀγγείῳ συστόμῳ χαλκῷ θαλάττιον ὕδωρ, καὶ εἶδή τινα ἑκάστῳ τούτων ἀνήκοντα· καὶ ὥσπερ τῆς παιδὸς ἐκείνης λαβούσης ἰσχὺν ἐκ τοῦ Σατανᾶ προμηνύειν τὰ ἐρωτώμενα, αὐτοὶ μὲν περὶ τοῦδέ τινος ἀγαθοῦ ἢ καὶ ἀποτροπαίου ἀνεβόων ἐρωτηματικῶς. Τὸ δὲ κοράσιον, ἀπὸ τῶν ἐν τῷ ἀγγείῳ ἐμβαπτιζομένων εἰδῶν τὸ παρατυχὸν ἐξαγαγὸν, ὑπεδείκνυεν· ὃ καὶ λαμβάνων ὁ ἀνόητος τούτου δεσπότης, ἐπληροφορεῖτο τάχα τὰ ἐπ' αὐτῷ συνεχθῆναι μέλλοντα, εὐτυχῆ τε καὶ δυστυχῆ. Τῇ ἐπαύριον δὲ μετὰ τυμπάνων καὶ χορῶν σὺν τῷ κορασίῳ εἰς τοὺς αἰγιαλοὺς ἀπερχόμενοι, καὶ ὕδωρ θαλάττιον ἀφθόνως ἀναλαμβανόμενοι, τὰς κατοικίας αὐτῶν ἐῤῥαίνον· καὶ οὐ μόνον ταῦτα ἐτελοῦντο παρὰ τῶν εὐσυνετωτέρων, ἀλλὰ καὶ δι' ὅλης τῆς νυκτὸς ἀπὸ χόρτου πυρκαϊὰς ἀνάπτοντες, ἐκήδων ὑπεράνω αὐτῶν, καὶ ἐκληδονίζοντο ἤτοι ἐμαντεύοντο περὶ εὐτυχίας καὶ δυστυχίας καὶ ἄλλων τινῶν δαιμονιωδῶς. Τὰς δὲ ἔνθεν κἀκεῖθεν εἰσόδους αὐτῶν καὶ τὸ δωμάτιον ἐν ᾧ ἐτελεῖτο ἡ κληδὼν σὺν τοῖς παρακειμένοις ὑπαίθροις, χρυσίζουσι πέπλοις καὶ σηρικοῖς κατεκόσμουν ὑφάσμασιν. Ἀλλὰ μὴν καὶ φυλλάσι δένδρων κατεστεφάνουν, εἰς τιμὴν καὶ ὑποδοχὴν, ὡς ἔοικε, τοῦ οἰκειωσαμένου αὐτοῖς Σατανᾶ· ἃ δὴ πάντα ὁ ῥηθεὶς ἁγιώτατος πατριάρχης μετὰ πάσης ἐπιμελείας καταργηθῆναι ἐπέτρεψεν· ὃ καὶ γέγονε. Καὶ νῦν εὐδοκοῦντος Θεοῦ τὰ τοιαῦτα θεοστυγῆ ἔργα παντελῶς ἐπράκτησαν· ὡς τῶν ἐν ταῖς γειτονίαις ὄντων προκριτωτέρων καὶ τῶν ἱερέων ἐπιτιμηθέντων παντοίως φρεντίζειν καὶ μὴ παραχωρεῖν τοιοῦτόν τι γίνεσθαι. Γένοιτο δὲ καὶ τὰς ἀπὸ τῶν κορωνῶν καὶ τῶν κοράκων καὶ τῶν λοιπῶν ἀγρίων ζώων οἰωνοσκοπίας καταργηθῆναι, ὡσαύτως καὶ τὰς φλυαρίας τῶν κριτρίων καὶ τῶν ἑτέρων λαοπλάνων. Τὸ μέντοι, Διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, ὁ μέγας Κύριλλος, ἐξηγούμενος τὸν προφήτην Ἡσαΐαν, ἀντὶ τοῦ Ὁλοκαυτώσας, ἐρμήνευσεν, ἤγουν θυσίαν προσήγαγε τοῖς δαίμοσιν.

A guitio, unde et auspices seu avium inspectores auguresque dicuntur. Ventriloqui autem aruspicesque dicuntur omnes, qui Satanica incitatione afflati, dicunt ea quæ cognosci non possunt, ut critriæ, athingani, pseudoprophetæ, eremitæ et alii. Hinc statuente canone, Novilunii quidem festum ante annos omnem memoriam superantes cessavit, et ejus loco Dei gratia propitiatoriæ preces ad Deum ac sanctificationes in Ecclesia a fideli populo fiunt, in uniuscujusque mensis principio, et aqua benedictionis, non contradictionis, inungimur. Rogorum autem dæmoniacum mysterium sortesque fiebant, usque ad tempus sanctissimi patriarchæ domini Michaelis, qui fuit philosopho-
B rum princeps in hac urbium regina. Hoc modo 23 mensis Junii vespere cogebantur in littoribus et quibusdam ædibus viri et mulieres, et primogenitam puellam instar sponsæ ornabant. Postquam ergo convivati essent, et bacchantium ritu saltassent et choreas duxissent, in festisque consuetas exclamationes usurpassent, in vas oris contractioris marinam aquam injiciebant, et res quasdam ad unumquemque eorum pertinentes : et tanquam puella illa a Satana facultatem accepisset futura prædicendi, ipsi quidem de bono aliquo, vel etiam aversando ac fugiendo quopiam, interrogando exclamabant. Puella autem ex rebus in vas injectis eam, quæ incidisset, eductam ostendebat; quam etiam accipiens stultus ejus
C dominus, certior forsan fiebat de prosperis vel adversis ex eo eventuris. Postridie autem cum tympanis et choris una cum puella ad littora venientes, et aquam marinam copiose accipientes, ædes suas aspergebant : et a paulo sapientioribus hæc non solum fiebant, sed et per totam noctem rogos ex fœno accendentes, supra eos saliebant, et sortiebantur seu divinabant de felicitate et infelicitate, et de quibusdam aliis plane dæmoniace. Eorum autem hinc et illinc aditus, et domunculam, in qua sors illa fiebat, una cum iis sub dio locis quæ prope erant, aureis vestibus et sericeis textibus exornabant. Quinetiam arborum foliis coronabant, ad honorandum, ut verisimile est, et excipiendum Satanam, qui illos sibi familiares
D effecerat. Quæ quidem omnia prædictus sanctissimus patriarcha cum omni diligentia prohiberi et penitus aboleri curavit; quod et factum. Et nunc, ut Deo placuit, hæc opera Deo invisa omnino exoleverunt; ideo quod qui prope habitabant, et judices et sacerdotes sæpe sunt reprehensi, et admoniti, ut omnino curarent ac viderent, ne quid tale fieret. Ac utinam corvorum et cornicum et reliquarum ferarum avium inspectiones abolitæ essent : similiter autem et critriarum nugæ et aliorum populi seductorum. Illud autem, Transvexit filios suos per ignem, magnus Cyrillus, prophetam Isaiam explicans, interpretatus est, in holocausto obtulit seu sacrificabat dæmonibus.

ZONAR. Græcorum ethnicorumque consuetudines a majoribus acceptas nonnulli servabant, hodieque servant, etsi quid iis, quæ per ipsos geruntur, indicetur haud satis intelligant. Tale illud est, cum pro foribus officinæ aut domus rogos incendunt saltuque transiliunt. Atque id quidem et fieri vetat canon, et qui fecerit clerico depositionis, laico vero segregationis pœnam injungit. Deinde ut hæc antiqua quoque lege vetita fuisse ostendat, rei demonstrandæ illa ex quarto Regum protulit: Et ædificavit Manasses altare [88], etquæ sequuntur. Ergo **236** si qui minus perfecta vivendi lege tenebantur, prava hæc nihilominus esse, Deique iracundiam elicere arbitrantur: quanto magis ea nobis, qui magis perfectam, magisque spiritualem legem accepimus, et iniqua et inconcessa videri debent? Verba porro illa, Et traduxit filios suos per ignem [89], hujus quidem synodi Patres videntur accipere, pro his, transilire fecit ignem accensum. Magnus vero Cyrillus illud, traduxit filios suos per ignem, hoc est, holocaustum obtulit dæmonibus sacrificans, interpretatus est. Ita ille in suis in Isaiam commentariis. Et sortibus usus est. Sors autem est, cum per signa quædam fortuna cujuspiam infortuniave indagatur; quod quidem hoc quoque tempore nonnullis fortunæ suæ cognoscendæ cupidis est usitatum. Et utebatur auspiciis. Auspicium vero est, cum volatus avium (nam aves vocantur οἰωνοί), clangor et alia hujusmodi observantur: quæ observatio οἰωνοσκοπία a Græcis dicta, maximoque olim in honore tota hæc auspiciorum ratio apud Romanos habita est. Militiam porro cœli stellas intellige.

ARIST. « Rogi, qui noviluniis in officinis exstruuntur, et qui eos transiliunt, abrogentur. »

Quidam coram officinis domibusve suis rogos accendentes, eis juxta antiquam quamdam consuetudinem insiliebant. Et illud abolentes Patres, jubent, quod si quidem clericus inveniatur aliquid ejusmodi faciens, deponetur: si laicus autem, segregabitur. Nam et Manasses per ignem filios suos traducens, et auguriis usus, Deum ad iram provocavit.

CANON LXVI.

« A sancta Christi Dei nostri resurrectionis die usque « ad novum Dominicum, tota septimana in sanctis ecclesiis vacare fideles jugiter oportet « psalmis et hymnis et Spiritualibus canticis, « in Christo gaudentes festumque celebrantes, « et divinarum Scripturarum lectioni mentem « adhibentes, et sanctis mysteriis jucunde et « laute fruentes. Sic enim cum Christo una « resurgemus et exaltabimur. Nequaquam « ergo prædictis diebus equorum cursus vel « aliquod publicum fiat spectaculum. »

[88] IV Reg. xxiii, 12. [89] IV Reg. xxi, 6.

ΖΩΝΑΡ. Ἔθη Ἑλληνικά τε καὶ ἐθνικὰ κατὰ παράδοσιν ἐποίουν τινὲς, καὶ ποιοῦσι, μηδὲ εἰδότες τί δηλοῦσι τὰ γινόμενα παρ' αὐτῶν· οἷόν ἐστι καὶ τὸ πυρκαϊὰς ἀνάπτεσθαι ἔμπροσθεν ἐργαστηρίων καὶ οἰκιῶν, καὶ αὐτῶν ὑπεράλλεσθαι. Καὶ τοῦτο δὲ ὁ κανὼν ἀπείργνυσι γίνεσθαι, καὶ τοὺς τοιοῦτόν τι πράσσοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει. Εἶτα δεικνὺς ὅτι ἀπηγορευμένα εἰσὶ ταῦτα καὶ τῷ παλαιοτέρῳ νόμῳ, ἐκ τῆς τετάρτης τῶν Βασιλειῶν ἐποιήσατο τὴν ἀπόδειξιν λεγούσης· « Καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον, » καὶ τὰ ἑφεξῆς. Εἰ οὖν παρὰ τοῖς τὸν ἀτελέστερον δεξαμένοις νόμον ταῦτα πονηρὰ ἐδόκει, καὶ εἰς ὀργὴν Κυρίου, πόσῳ μᾶλλον ἐφ' ἡμῖν, τοῖς τὸν τελειώτερον καὶ πνευματικώτερον παραλαβοῦσι νόμον, ἄθεσμα ταῦτα καὶ ἀπηγορευμένα λογίζεσθαι χρή; Τὸ δὲ, « Καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, » οἱ μὲν τῆς συνόδου ταύτης Πατέρες ἐοίκασι νοῆσαι ἀντὶ τοῦ, Ὑπερπηδᾶν ἐποίει τὸ ἀναπτόμενον πῦρ. Ὁ δὲ μέγας Κύριλλος τὸ, « Διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, » ἀντὶ τοῦ, Ὁλοκαύτωσεν, ἡρμήνευσε, θυσίας προσάγων τοῖς δαίμοσι. Τοῦτο δὲ τὸν Ἡσαΐαν φησὶν ἐξηγούμενος. Καὶ ἐκληδονίζετο. Κληδὼν λέγεται τὸ διά τινων ζητεῖν γνῶναι εἰ μέλλοι τις εὐπραγῆσαι ἢ δυσπραγῆσαι, οἷα καὶ νῦν ποιοῦσί τινες θέλοντες τὴν τύχην τὴν ἰδίαν καταμαθεῖν. Καὶ οἰωνίζετο. Οἰωνισμὸς δ' ἐστὶ τὸ ἐπιτηρεῖν τὰς τῶν ὀρνέων πτήσεις· οἰωνοὶ γὰρ τὰ ὄρνεα λέγονται· καὶ τὰς αὐτῶν κλαγγὰς, καὶ τοιαῦτά τινα, ἃ καὶ οἰωνοσκοπίαι παρὰ τοῖς Ἕλλησιν ὠνομάζοντο, καὶ ἐν τάξει τιμῆς μεγίστης ἡ οἰωνοσκοπικὴ παρὰ Ῥωμαίοις ἐλέγιστο. Στρατιὰν δὲ τοῦ οὐρανοῦ τοὺς ἀστέρας νοητέον.

ΑΡΙΣΤ. « Αἱ ἐν τοῖς ἐργαστηρίοις ἐν νουμηνίαις « πυρκαϊαὶ καὶ οἱ ταύτας ὑπεραλλόμενοι κατ« αργείσθωσαν. »

Τινὲς, ἔμπροσθεν τῶν ἐργαστηρίων ἢ τῶν οἴκων πυρκαϊὰς ὑπανάπτοντες, ἐν αὐταῖς κατά τι ἀρχαῖον ἔθος ἐπήδων. Καὶ καταργοῦντες αὐτὸ οἱ Πατέρες προστάττουσιν ὡς, εἰ μὲν κληρικὸς εὑρεθήσεται τοιοῦτόν τι πράττων, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται. Καὶ γὰρ ὁ Μανασσῆς ἐν πυρὶ τὰ τέκνα αὐτοῦ διαγαγὼν, καὶ οἰωνιζόμενος, παρώργισε τὸν Θεόν.

ΚΑΝΩΝ ΞϚ'.

« Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ Θεοῦ « ἡμῶν ἡμέρας μέχρι τῆς καινῆς Κυριακῆς « τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις « σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς, ἐν « ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς « εὐφραινομένους Χριστῷ καὶ ἑορτάζοντας, καὶ « τῇ τῶν θείων Γραφῶν ἀναγνώσει προσέχοντας, « καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας. « Ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοί τε « καὶ συνανυψούμενοι. Μηδαμῶς οὖν ἐν ταῖς « προκειμέναις ἡμέραις ἱπποδρομία ἢ ἑτέρα δη« μώδης θέα ἐπιτελείσθω. »

ΒΑΛΣ. Ὡς μία Κυριώνυμος ἡμέρα λογίζεται κατὰ πάντα ἡ μετὰ τὴν ἁγίαν ἀνάστασιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τρέχουσα ἑβδομάς, κατὰ δὲ τὸ μὴ γόνυ κάμπτειν, καὶ ἡ ὅλη Πεντηκοστή. Ἐπεὶ δὲ ἑορτῆς καὶ παννυχίδος ἀφορμὴ ἐνομίζοντό τισιν αἱ ἱπποδρομίαι, πρὸς δὲ καὶ αἱ ἄλλαι δημοτικαὶ παιγνιώδεις θέαι, διωρίσαντο οἱ Πατέρες μὴ οὕτως ἑορτάζειν ἡμᾶς κατὰ ταύτην τὴν πασχάλιον ἑβδομάδα, ἀλλὰ θεοφιλῶς καὶ κατὰ τὸ δυνατὸν ἁγιοπρεπῶς δηλονότι σχολάζειν ἐν ταῖς ἐκκλησίαις, καὶ διὰ τῶν θείων ψαλτῳδημάτων κορέννυσθαι· καὶ ὡς ἤδη ἀξίους γενομένους ἑορτάσαι τὴν τοῦ Κυρίου ἀνάστασιν, κατατρυφᾷν τῶν θείων μυστηρίων, καὶ συνανίστασθαι τῷ ἀναστάντι, καὶ ἡμᾶς εἰς οὐρανοὺς ἀνυψώσαντι, Χριστῷ τῷ Θεῷ ἡμῶν. Σημείωσαι οὖν ὅτι πάντες οἱ πιστοὶ ὀφείλουσιν ἐν ἑτοιμότητι εἶναι τοῦ μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων καθ' ἑκάστην, εἰ δυνατόν, καθὼς καὶ ἐν ἑτέροις κανόσι τοῦτο προείρηται. Τοῦ δὲ κανόνος ταῦτα διοριζομένου, ἐρωτήσει τις, οἱ χειρωνάκται μετὰ τὴν τρίτην τῆς ἑβδομάδος ταύτης τὰ οἰκεῖα ἐργάζονται ἐργόχειρα; Νομίζω οὖν ὅτι κακῶς τοῦτο ποιοῦσι. Κἂν γὰρ ἀπὸ τοῦ παρόντος κανόνος οὐ κολάζονται οἱ οὕτω τὴν ἑορτὴν καταλύοντες, ἀλλ' ἀπὸ τοῦ ἑτέρου κανόνος τοῦ ἀφορίζοντος τοὺς λαϊκοὺς, μὴ ὄντας γεωργοὺς, καὶ κατὰ τὰς Κυριωνύμους ἐργαζομένους, καὶ οὗτοι κολασθήσονται. Ζήτει καὶ τὴν νδ' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, διαλαμβάνουσαν μηδὲ αὐτοὺς τοὺς γεωργοὺς κατὰ τὴν Κυριώνυμον ἐργάζεσθαι. Ὥστε ἀπηγόρευται καὶ αὐτοῖς κατὰ τὴν ὅλην πασχάλιον ἑβδομάδα ἐργάζεσθαι, ὡς μιᾶς Κυριωνύμου λογιζομένης αὐτῆς.

BALS. Tanquam unus dies Dominicus per omnia reputatur ea quæ post sanctam Domini et Dei et Servatoris nostri Jesu Christi resurrectionem currit septimana: in eo vero quod genu non flectatur, et tota etiam Penteroste. Quoniam autem festi celebrandi prætextu apud quosdam inoleverant equorum cursus, et alia etiam publica ludicra spectacula, statuerunt Patres, nos sic festum non oportere celebrare in hac Paschali hebdomade, sed religiose et quoad fieri potest, sancte videlicet ecclesia vacare, divinisque canticis satiari: et tanquam jam digni simus resurrectionem Domini celebrare, divinis mysteriis jucunde lanteque perfrui, et una consurgere cum eo qui resurrexit, et nos in cœlum una sustulit, Christo Deo nostro. Nota ergo quod omnes fideles debent esse parati sancta mysteria participare unoquoque die, si fieri potest, quemadmodum et in aliis canonibus ante scriptum est. Cum autem canon hæc statuat, interrogaverit quispiam, quomodo artifices post diem tertium hujus septimanæ suas mechanicas artes et opera exercent? Existimo ergo eos male hoc facere. Etsi enim a præsenti canone non puniuntur, qui festum sic solvunt: ab alio tamen canone, qui laicos, qui non sunt agricolæ et in diebus **237** Dominicis operantur, segregat, ii quoque punientur. Quære etiam 54 domini imp. Leonis Sapientis novellam, statuentem ne ipsos quidem agricolas in die Dominico operari debere. Quare eis quoque prohibitum est tota Paschali septimana operari, neque cum ipsa unus dies Dominicus reputetur.

ΖΩΝΑΡ. Ἑορτάζειν οἱ ἀπὸ Χριστοῦ κεκλημένοι ὀφείλομεν, οὐ τρυφὰς ἑαυτοῖς καὶ λαμπρότητας καὶ ἀνέσεις ἐπιτηδεύοντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι. Πνευματικὴ δ' ἐστὶν εὐφροσύνη τὸ ᾄδειν τῷ Κυρίῳ, καὶ δοξάζειν αὐτὸν ἐφ' οἷς ἐποίησε θαυμασίοις, ῥυσάμενος ἡμᾶς ἐκ τῆς δουλείας τοῦ διαβόλου. Οὕτω τοίνυν καὶ τὴν τοῦ Πάσχα ἑορτὴν βούλεται ἑορτάζειν ἡμᾶς ὁ κανὼν, ὅλην τὴν ἑβδομάδα ἐν ἐκκλησίαις σχολάζοντας, ἐν ψαλμοῖς τε καὶ ὕμνοις ᾄδοντας τῷ Κυρίῳ, καὶ οὕτως ἐν Χριστῷ ἑορτάζοντας καὶ τῇ μελέτῃ προσέχοντας τῶν θείων Γραφῶν, καὶ κατατρυφῶντας τῶν θείων μυστηρίων. Καὶ οὕτω, φησὶν, ἐσόμεθα Χριστῷ συνανιστάμενοι, καὶ συνανυψούμενοι· ἀνιστάμενοι μὲν τοῦ πτώματος τῆς ἁμαρτίας καὶ τῆς χαμαιζήλου καὶ γηΐνης ζωῆς· ἀνυψούμενοι δὲ πρὸς ὑψηλοτέραν καὶ πνευματικὴν τῷ ὄντι διαγωγήν. Ὅθεν οὔτε ἱπποδρομίας ἐν τῇ τοῦ Πάσχα ἑβδομάδι γίνεσθαι συγχωρεῖ, οὔτε θέας ἑτέρας δημώδεις, ἐν αἷς δηλονότι ὁ δῆμος ἀθροίζεται θεώμενος τὰ γινόμενα.

ZONAR. Non delicias aut luxum otiave sectantes, sed spirituali gaudio exsultabundi, festos dies agere Christiani debemus. Spiritualis porro lætitiæ est canticis Numen venerari, illiusque laudes, pro iis quæ admirabilia præstitit, quodque diabolo mancipatos in libertatem nos asseruit, celebrare. Hanc ergo rationem Paschæ quoque festos atque solemnes dies agitandi præscribit canon, ut eo nimirum septimana, perpetuam in ecclesiis stationem agentes, psalmis hymnisque Domino concinendis occupati, in Christo proinde lætemur, sacrarumque Litterarum accurata meditatione tempora traducentes, divinorum mysteriorum epulis insaturabiliter expleamur. Atque hoc pacto, inquit, cum Christo simul exsurgere, atque ad altiora simul eniti continget. A peccati scilicet lapsu menteque humi depressa et ad terrena abjecta exsurgemus: ad sublimiorem autem et vere spiritualem vivendi rationem excitabimur. Proinde nec equestres ludos tota Paschatis hebdomada, nec alia publica spectacula, ad quæ nimirum tuenda multitudo convenit, exhibenda facultatem esse decernit.

ΑΡΙΣΤ. « Τὴν μετὰ τὴν ἀνάστασιν πᾶσαν ἑβδομάδα πᾶς ἐκκλησιαζέτω πιστός. »

Ἐν ταῖς ἁγίαις ἐκκλησίαις δεῖ σχολάζειν τοὺς πιστοὺς, καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις εὐφραίνεσθαι

ARIST. « Quisque fidelis per totam post resurrectionem hebdomadam in ecclesia versetur. »

In sanctis ecclesiis fideles oportet vacare, et in psalmis et hymnis gaudio exsultare totam septi-

manam post sanctam Christi veri Dei nostri resurrectionem.

CANON LXVII.

« Divina nobis Scriptura mandavit, a sanguine, et « suffocato, et fornicatione abstinere. Eos ergo, « qui propter lautum et delicatum ventrem cu- « juscunque animalis sanguinem arte aliqua « esculentum condiunt ac instruunt, et sic illo « vescuntur, ut par est punimus. Si quis ergo « deinceps animalis sanguinem quovis modo « comedere aggrediatur, si sit clericus[1], deponatur : sin laicus, segregetur. »

BALS. Scriptum est in Actibus apostolorum, Ne nos quemvis sanguinem comedamus, vel suffocatum animal, et etiam a fornicatione abstineamus [1]. Atque etiam lex jubet Mosaica, Sanguinem ne comedatis [2]. Quoniam ergo nonnulli sanguinem, non quidem comedebant, nonnulla autem esculenta et ex aliis et ex sanguine faciebant, et se sacram Scripturam observare dicebant, quod non sanguinem nulla re intercedente comederent, statuerunt sancti Patres, ejusmodi sacræ legis circumscriptionem cessare oportere ; eumque, qui quavis arte vel ratione animalis sanguinem comederit, si sit quidem clericus, deponendum : sin vero laicus, segregandum. Et hæc quidem canon. Latini vero indiscriminatim suffocata comedunt. Adrianopolitani etiam, ut audio, animalium sanguine cum quibusdam esculentis utuntur. Quære et imp. domini Leonis Sapientis novellam 58, quæ statuit eos, qui quancumque sanguinolentam speciem comedunt, publicandos et corpore puniendos, et impressa cuti tonsura notandos, et perpetuo exsilio condemnandos : eos autem, qui hæc non vindicant, magistratus decem librarum auri multa corrigendos.

ZONAR. A sanguine, suffocato et fornicatione abstinendum esse in Actis apostoli decrevere. Cum enim circumcisionem fidelibus necessariam esse nonnulli asseverarent, convenere simul apostoli cum fratre Domini Jacobo, et consilio ea de re habito, fideles ab idolothytis, sanguine, suffocato et fornicatione, nihil eis præterea oneris imponentes, abstinere jusserunt. Verum in Genesi quoque præceptum hujusmodi exstat. : Carnem, in sanguine animæ non comedetis [3]. Divinæ igitur Scripturæ auctoritatem, cum mactatorum animantium sanguinem a nonnullis quadam **238** arte condiri, atque ab iis esitari cognovissent, id hoc canone fieri vetuere ; quique non paruerint, clericos quidem depositione, laicos vero segregatione multari jubent.

ARIST. « Clericus sanguinem edens deponitur : « laicus autem segregatur. » *Perspicuus.*

CANON LXVIII.

« Nemini licere Veteris et Novi Testamenti li- « brum, sanctorumve nostrorum et approbato-

[1] *Act.* xv, 29. [2] Levit. xvii, 12. [3] Genes. ix, 4.

πᾶσαν τὴν ἑβδομάδα τὴν μετὰ τὴν ἁγίαν ἀνάστασιν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

ΚΑΝΩΝ ΞΖ'.

« Ἡ θεία ἡμῖν Γραφὴ ἐνετείλατο ἀπέχεσθαι αἵματος, « καὶ πνικτοῦ, καὶ πορνείας. Τοῖς οὖν διὰ τὴν « λίχνον γαστέρα αἷμα οἱουδήποτε ζώου τέχνῃ « τινὶ κατασκευάζουσιν ἐδώδιμον, καὶ οὕτω τοῦτο « ἐσθίουσι, προσφόρως ἐπιτιμῶμεν. Εἴ τις οὖν « ἀπὸ τοῦ νῦν αἷμα ζώου ἐσθίειν ἐπιχειρήσει « οἱῳδή τινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη, καθαι- « ρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

ΒΑΛΣ. Γέγραπται ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων μὴ ἐσθίειν ἡμᾶς οἱονδηποτοῦν αἷμα, ἢ ζῶον πνικτὸν, ἀπέχεσθαι δὲ καὶ πορνείας. Καὶ ὁ Μωσαϊκὸς δὲ νόμος παρακελεύεται· Αἷμα οὐ φάγεσθε. Ἐπεὶ οὖν τινες αἷμα μὲν οὐκ ἤσθιον, ἐποίουν δέ τινα ἐδώδιμα ἔκ τε ἄλλων καὶ ἐξ αἱμάτων, καὶ ἔλεγον φυλάττειν τὰ τῆς θείας Γραφῆς, ὅτι οὐκ ἤσθιον ἀμέσως αἷμα, ὥρισαν οἱ ἅγιοι Πατέρες τὴν τοιαύτην περιγραφὴν τῆς θείας νομοθεσίας σχολάσαι· καὶ τὸν καθ' οἱονδήτινα λόγον ἢ τέχνην φαγόντα αἷμα ζώου τινὸς κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Καὶ ὁ μὲν κανὼν ταῦτα· οἱ δὲ Λατῖνοι ἀδιαφόρως ἐσθίουσι τὰ πνικτά. Ἀλλὰ καὶ οἱ Ἀδριανουπολῖται, ὡς ἀκούω, τοῖς αἵμασι τῶν ζώων χρῶνται μετὰ ἐδωδίμων τινῶν. Ζήτει καὶ τὴν νη' νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην τοὺς μὲν πωλοῦντας ἢ ἐσθίοντας εἶδος οἱονδηποτοῦν αἱματηρὸν δημεύεσθαι καὶ αἰκίζεσθαι, καὶ διὰ τῆς ἐν χρῷ κουρᾶς τιμωρεῖσθαι, καὶ ἀειφυγίᾳ κατακρίνεσθαι· τοὺς δὲ μὴ τὰ τοιαῦτα διεκδικοῦντας ἄρχοντας δέκα λιτρῶν χρυσίου προστίμῳ εὐθύνεσθαι.

ΖΩΝΑΡ. Τὸ αἵματος ἀπέχεσθαι, καὶ πνικτοῦ καὶ πορνείας ἐν ταῖς Πράξεσι γέγραπται. Τινῶν γὰρ λεγόντων δεῖν τοὺς πιστεύοντας περιτέμνεσθαι, συνελθόντες οἱ ἀπόστολοι καὶ ὁ ἀδελφόθεος Ἰάκωβος ἐβουλεύσαντο περὶ τούτου, καὶ ἐπεστάλκασι τοῖς πιστοῖς ἀπέχεσθαι τῶν εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας, καὶ μηδὲν πλέον αὐτοῖς ἐπιτίθεσθαι βάρος. Κα ἐν τῇ Γενέσει δὲ διατέταχται· Τὸ κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. Τῇ θείᾳ τοίνυν Γραφῇ καὶ οἱ θεῖοι Πατέρες ἑπόμενοι, ἐπεὶ ἔμαθόν τινας μεθόδοις τισὶ τὸ αἷμα τῶν σφαττομένων ζώων ποιοῦντας ἐδώδιμον, καὶ ἐσθίοντας αὐτὸ, διὰ τοῦ κανόνος τούτου κεκωλύκασι τὸ τοιοῦτόν τι ποιεῖν, ἐπιτιμήσαντες τοῖς τοιοῦτόν τι ποιοῦσιν, εἰ μὲν κληρικοὶ εἶεν, καθαίρεσιν, εἰ δὲ λαϊκοὶ, ἀφορισμόν.

ΑΡΙΣΤ. « Κληρικὸς αἷμα ἐσθίων καθαιρεῖται, λαϊκὸς δὲ ἀφορίζεται. » *Σαφής.*

ΚΑΝΩΝ ΞΗ'.

« Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῶν πάντων βιβλίων τῆς « παλαιᾶς καὶ καινῆς Διαθήκης, τῶν τε ἁγίων

« καὶ ἐγκρίτων ἡμῶν κηρύκων καὶ διδασκάλων, A
« διαφθείρειν ἢ κατατέμνειν, ἢ τοῖς βιβλιοκαπή-
« λοις, ἢ λεγομένοις μυρεψοῖς, ἢ ἄλλῳ τινὶ τῶν
« ἁπάντων πρὸς ἀφανισμὸν ἐκδιδόναι· εἰ μή τι
« ἄρα τέλεον, εἴτε ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρῳ
« τρόπῳ ἀχρειωθῇ. Ὁ δέ τι τοιοῦτο ποιεῖν ἀπὸ τοῦ
« νῦν ἁλισκόμενος, ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω·
« ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ὠνούμενος,
« εἰ μήτε αὐτὸς ταύτας κατέχοι πρὸς οἰκείαν
« ὠφέλειαν, μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ
« διαμεῖναι ἀποδοίη, ἀλλὰ ταῦτα διαφθείρειν ἐπι-
« χειρήσοι, ἀφοριζέσθω. »

rum præconum ac doctorum, corrumpere vel
« conscindere, vel librorum cauponatoribus, vel
« iis qui dicuntur unguentarii, vel alii cuicun-
« que, ad eum perdendum tradere : nisi utique
« omnino, vel a tineis, vel ab aqua, vel aliquo
« alio modo redditus fuerit inutilis. Qui autem
« tale quid facere deinceps deprehensus fuerit,
« anno uno segregetur. Similiter et qui tales
« libros emit, si eos quidem ipse non ad suam
« utilitatem retineat, nec alteri, ad ejus benefi-
« cium, et ut ii permaneant, vendat, sed eos
« corrumpere aggressus fuerit, segregetur. »

ΒΑΛΣ. Τινὲς δι' αἰσχροκέρδειαν βιβλίων τῶν θείων Γραφῶν ἐμπορευόμενοι ἀπήλειφον, ἢ καὶ κατέτεμνον, μὴ συλλογιζόμενοι τὴν ἐντεῦθεν τοῦ B Θεοῦ κατάκρισιν. Διορθοῦμενοι οὖν τὰ περὶ τούτου οἱ θεῖοι καὶ ἅγιοι Πατέρες, διωρίσαντο μὴ ἔχειν ἐπ' ἀδείας τινὰ τῶν ἁπάντων διαφθείρειν ἢ κατατέμνειν ἢ πωλεῖν πρὸς μυρεψοὺς ἢ βιβλιοκαπήλους χάριν ἀπαλοιφῆς ἢ κατατομῆς οἱονδηποτοῦν βιβλίου ἐκ τῆς θείας Γραφῆς, ἐκ τε τῆς Παλαιᾶς δηλονότι Διαθήκης καὶ τῆς Νέας, εἰ μήπω τὸ τοιοῦτον βιβλίον ἢ ἀπὸ ὕδατος, ἢ ἀπὸ σκωλήκων, ἢ ἀπὸ ἑτέρου τρόπου, πυρὸς δηλονότι, πάμπαν ἀχρειωθῇ· τὸν δὲ παρὰ τοῦτο ποιοῦντα ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι, καὶ τὸν ἀξιοῦμενον οὕτω ταῦτα, καὶ μὴ ἐπικτώμενον αὐτὰ ἢ διὰ οἰκείαν ἢ διὰ ἀλλοτρίαν ὠφέλειαν. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ ἀπαλείφεσθαι ἢ ὁπωσδήποτε διαφθείρεσθαι βιβλίων τῆς Παλαιᾶς ἢ τῆς Καινῆς Διαθήκης, ἢ ἕτερον ἐκ τῆς θείας Γραφῆς, περὶ C ἐκείνων τῶν βιβλίων λέγε τὸν κανόνα διαλέγεσθαι τῶν ἐκχωρηθέντων ἀναγινώσκεσθαι. Τὰ γὰρ ἀπρακτήσαντα καὶ κατατέμνων τις καὶ ἀπαλείφων οὐ πολασθήσεται. Σημείωσαι ταῦτα διὰ τοὺς βιβλιοκαπήλους, τοὺς ἀπαλείφοντας τὰς μεμβράνας τῶν θείων Γραφῶν, καὶ μὴ παραδέξῃ τούτους λέγοντας ὡς ἐφεῖται τόδε τι ἐκ τῆς θείας Γραφῆς ἀπαλείφειν, καὶ ἕτερον ἐν τοῖς ἀπαλειφεῖσι μεταγράφειν. Ἑνὸς γὰρ ἀτόπου δοθέντος, καὶ ἕτερα πολλὰ ἄτοπα συνακολουθήσουσιν· οἱ μέντοι βιβλιοπῶλαι ἐπαινετέοι εἰσὶ (75).

BALS. Nonnulli turpis quæstus gratia divinarum Scripturarum libros ementes delebant, vel etiam conscindebant, Dei quæ ex ea re proficiscebatur condemnationem non reputantes. Hæc ergo divini sanctique Patres corrigentes, nulli licere statuerunt corrumpere, vel conscindere, vel vendere unguentariis vel librorum cauponatoribus, ad delendum vel conscindendum, quemcunque librum divinæ Scripturæ, et ex Vetere Testamento et Novo: nisi talis liber vel ab aqua, vel a vermibus, vel ab alio modo, ab igne vincencet, fuerit omnino redditus inutilis : eum autem, qui aliter facit, anno uno segregandum, eumque etiam, qui ejusmodi libros emit, et eos non possidet vel ad suam vel ad alienam utilitatem. Cum autem audis canonem dicentem, non esse delendos vel quomodocunque corrumpendos libros Veteris vel Novi Testamenti, vel aliquem alium ex divina Scriptura, dic canonem de iis libris loqui, quos permissum est legi. Eos enim, qui non sunt usui, si quis deleat et conscindat, non punietur. Nota autem hæc propter librorum cauponatores, qui divinarum Scripturarum membranas delent : et ne admiseris eos dicentes, quod licet hunc divinæ Scripturæ librum delere, et alium loco delctorum transcribere. Dato enim uno absurdo, multa quoque alia absurda consequentur : sed sunt quidem laudandi bibliopolæ.

ΖΩΝΑΡ. Τὰ βιβλία τῆς θεοπνεύστου Γραφῆς, τῆς τε Παλαιᾶς Διαθήκης καὶ τῆς Καινῆς, καὶ τὰ τῶν ἁγίων Πατέρων καὶ διδασκάλων, τῶν ἐγκριθέντων ἁπλαδὴ, τῶν μετὰ δοκιμασίας δεχθέντων (πολλοὶ D γὰρ συνεγράψαντο περὶ πίστεως λόγους καὶ ἑρμηνείας Γραφῶν, ἀλλ' ἀπεβλήθησαν καὶ ἀπεδοκιμάσθησαν)· τὰ γοῦν τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης βιβλία, καὶ τὰ τῶν ἐγκριθέντων Πατέρων φυλάττεσθαι ὁ κανὼν κελεύει, ἀλλὰ μὴ διαφθείρεσθαι, μηδὲ κατατέμνεσθαι, μηδὲ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς

ZONAR. Veteris ac Novi Testamenti, divino Spiritu dictante, conscriptos libros, ut et sanctorum Patrum ac doctorum, qui non sine probatione videlicet admissi rectique sunt (multi namque res fidei, multi sacrarum Litterarum interpretationes scripserunt, verum improbatis postea damnatisque operibus prosecuti fuerant), sacros igitur Veteris ac Novi Testamenti, et probatorum Patrum libros hic canon studiose conservare jubet. Neque vero eos inquit corrumpere aut conscindere, vel libro-

Guil. Beveregii nota.

(74) *Εἰ μή τι ἄρα τέλεον.* Legendum juxta ms. Amerbachianum εἰ μή τοι ἄρα βιβλίον ἦν τῶν θείων Γραφῶν. Ms. Amerbachianus rectius habet, βιβλία τῶν θείων Γραφῶν.

(75) *Ἐπαινετέοι εἰσί.* In ms. nostro Bodleiano hæc sequuntur, Σημείωσαι τὸν παρόντα κανόνα, καὶ φύλαττε τοῦτον· κἂν ἐγὼ οὐκ ἠδυνήθην κωλῦσαι τοὺς εἰσερχομένους κοσμικοὺς εἰς τὸ ἅγιον βῆμα τῆς ὑπεραγίας μου Θεοτόκου τῆς ὁδηγητρίας, λέγοντας ἀρχῆθεν κρατῆσαι τὴν τοιαύτην συνήθειαν, ἔν τε τῷ ἁγίῳ οἴκῳ τῆς Θεομήτορος, καὶ ἐν τῷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χαλκῇ. Verum hæc verba non ad præsentem sed sequentem canonem jure pertinent, tanquam nota videlicet marginalis. In manuscripto Amerbachiano nullibi leguntur.

rum cauponatoribus, unguentariisque perituros tradere cuiquam liceat. Cauponatores autem librorum, non qui libros vendunt, sed quæ in libris scripta sunt obliterantes, ipsisve alia ratione, ita ut Scriptura intereat, abutentes canon intelligit. Si quæ vero forte exemplaria sic a tineis corrosa sunt, ut corrupta penitus censeantur, vel superfusa aqua, aut alio malo ita consumpta, ut nullo amplius usui legentibus esse possint, ea si quis obliteravit, non idcirco pœnam canonis violati propositam, ut uno anno segregetur, incurrit. Reus autem violati canonis est, tum qui vendit libros, tum qui emit, eo nomine ut corrumpat.

ARIST. « Divinas Scripturas non corrumpes « nec corrumpendas trades, nisi sint prorsus inu- « tiles. »

Non licet cuipiam Veteris et Novi Testamenti vel etiam eximiorum et sanctorum nostrorum magistrorum **239** librum quemvis corrumpere, vel librorum cauponatoribus aut unguentariis tradere, ad eum destruendum perdendumve, nisi reddatur prorsus inutilis a tineis aut aqua aut alio modo. Qui hoc autem decretum transgreditur, anno segregatur.

CANON LXIX.

« Non liceat cuipiam ex laicorum numero intra « sacri altaris septum ingredi : ab eo tamen « nequaquam prohibita potestate et auctoritate « imperatoria quando quidem voluerit Creatori « dona offerre, ex antiquissima traditione. »

BALS. Prohibet præsens canon, ne laici ad divinum altare ingrediantur, ut quod solis sacratis hominibus sit destinatum. Id autem, inquit, imperatori soli, licet sit laicus, concessum est, quando munera Deo offerre voluerit, ex antiqua quadam consuetudine. Quomodo ergo in divinum adytum inclyti templi Domini nostri Jesu Christi, quod est in Chalce, quicunque vult citra ullum impedimentum ingreditur, nescio. De Latinis autem audio, quod non solum viri laici, sed et mulieres in sanctum tribunal ingrediuntur, et sedent, stantibus sæpe iis qui sacrificant. De imperatoribus autem dixerunt quidam, verbis canonis insistentes, quod tunc non prohibebuntur intra septum altaris ingredi, quando sunt Deo munera oblaturi, non au-

μυρεψοῖς ἐκδίδοσθαι εἰς ἀφανισμόν. Βιβλιοκαπήλους δὲ οὐ τοὺς τὰ βιβλία πωλοῦντας φησὶν ὁ κανών, ἀλλὰ τοὺς ἀπαλείφοντας ἢ καὶ ἄλλως χρωμένους ταῖς βίβλοις εἰς ἀφανισμὸν τῶν ἐν αὐτοῖς γεγραμμένων. Τὰ δὲ ὑπὸ σκωλήκων ἴσως βρωθέντα ὡς τέλεον διαφθαρῆναι, ἢ ὑπὸ ὕδατος, ἢ ἄλλως ἀχρειωθέντα, ὡς μὴ χρησιμεύειν εἰς ἀνάγνωσιν, εἰ ἀπαλείψει τις, οὐχ ὑποπεσεῖται τῷ ἐπιτιμίῳ, ὅπερ ἐστὶ τὸ ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι τὸν παραβαίνοντα τὸν κανόνα. Παραβάτης δ' ἐστὶ καὶ ὁ πωλῶν ταῦτα; ἐπὶ διαφθορᾷ κ.λ οὕτως ὠνούμενος.

ΑΡΙΣΤ. « Οὐ διαφθαρεῖς θεῖον Βιβλίον, οὐδὲ δώσεις « διαφθαρῆναι εἰ μὴ τέλεον κατηχρείωται. »

Οὐκ ἐξέσται τινὶ τῶν ἁπάντων βιβλίων τῆς Παλαιᾶς ἢ τῆς Καινῆς Διαθήκης. καὶ τῶν ἐγκρίτων καὶ ἁγίων ἡμῶν διδασκάλων διαφθείρειν, ἢ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς μυρεψοῖς διδόναι, πρὸς τὸ καταλῦσαι καὶ ἀφανίσαι αὐτὸ, εἰ μὴ τέλεον ἠχρειώθη ὑπὸ σητῶν, ἢ ὕδατος ἢ ἑτέρου τρόπου. Ὁ δὲ παραβαίνων τὸ ὁρισθὲν ἐπὶ ἐνιαυτὸν ἀφορίζεται.

ΚΑΝΩΝ ΣΘ'.

« Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι « ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου, μηδαμῶς « ἐπὶ τοῦτο τῆς βασιλικῆς εἰργομένης ἐξουσίας « καὶ αὐθεντίας ἡνίκα δ' ἂν βουληθείη προσάξαι « δῶρα (76) τῷ πλάσαντι, κατά τινα ἀρχαιοτάτην « παράδοσιν. »

ΒΑΛΣ. Ἀπαγορεύει ὁ κανὼν εἰσιέναι τοὺς λαϊκοὺς ἔνδον τοῦ θείου θυσιαστηρίου, ὡς ὄντος τούτου ἀφωρισμένου μόνοις τοῖς ἱερωμένοις. Τῷ βασιλεῖ δὲ, καὶ λαϊκῷ ὄντι, ἐνεδόθη, φησὶ, τοῦτο, ἡνίκα προσάξαι δῶρα τῷ Θεῷ αἱρετίσεται, κατά τινα παλαιὰν παράδοσιν. Ὅπως οὖν εἰς τὸ θεῖον ἄδυτον τοῦ περιωνύμου ναοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χάλκῃ ἀκωλύτως εἰσέρχεται ὁ βουλόμενος, ἀγνοῶ. Περὶ δέ γε τῶν Λατίνων μανθάνω ὅτι οὐ μόνον λαϊκοὶ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες εἰς τὸ ἅγιον βῆμα εἰσέρχονται καὶ κάθηνται, ἱσταμένων πολλάκις καὶ τῶν ἱερουργούντων. Περὶ μέντοι τῶν βασιλέων εἰπόν τινες, τοῖς ῥήμασιν ἐπικαθήμενοι τοῦ κανόνος, ὅτι τότε οὐ κωλυθήσονται ἔνδον τοῦ θυσιαστηρίου εἰσιέναι, ὅτε προσαγαγεῖν δῶρον τῷ Θεῷ μέλλουσιν,

Guill. Beveregii notæ.

(75) *Ἡνίκα ἂν βουληθείη προσάξαι δῶρα.* Imperatoribus hic conceditur etiam intra sacrum altaris septum ingredi, cum dona Deo oblaturi sunt, idque ex antiqua traditione recte quidem. Nam diu ante celebratum hoc concilium istiusmodi consuetudo obtinuit : ut patet ex istis Theodosii Junioris verbis in Actis concilii Ephesini, *Nos, qui legitimis imperii armis semper circumdamur, quasque sine armatis et stipatoribus esse non concenit, Dei templum ingressuri foris arma relinquimus, et ipsum etiam diadema, regiæ majestatis insigne, deponimus. Et sacra altaria munerum tantum offerendorum causa accedimus, quibus quoque oblatis ad extimum communeque atrium mox nos recipimus.* Sic etiam Theodoretus tradidit, ut Theodosius D. Ambrosii admonitione pœnitentia ductus altare ingressus est, ut dona sua ibi offerret ; sed diutius ibi manere a præstantissimo eodem Patre non permissus est ; ἐπειδὴ δὲ ὁ καιρὸς ἐκάλει τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκεῖν, ἀναστὰς μετὰ τῶν ἴσων δακρύων τῶν ἀνακτόρων ἐπέβη· προσενεγκὼν δὲ, ὥσπερ εἰώθει, ἔνδον παρὰ τὰς κιγκλίδας μεμένηκεν. Ἀλλὰ πάλιν ὁ μέγας Ἀμβρόσιος οὐκ ἐᾴγησεν, ἀλλ' ἐξεπαίδευσε τὴν τῶν τόπων διαφοράν. Theodoret. *Hist. Eccl.* l. v, c. 17. Et paulo post de eodem Constantinopoli offerente ait, τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκὼν ἐξεχώρησεν. Ibid. v, Nicepli. Callist. lib. xii, cap. 41.

οὐ μὴν ὅτε χάριν προσκυνήσεως μόνον βουληθῶσιν εἰσελθεῖν ἐν αὐτῷ· ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ. Οἱ γὰρ πατριάρχας προβαλλόμενοι ὀρθόδοξοι βασιλεῖς δι' ἐπικλήσεως τῆς ἁγίας Τριάδος, καὶ χριστοὶ ὄντες Κυρίου, ἀκωλύτως, ὅτε καὶ βούλονται, εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέρχονται (77) καὶ, θυμιῶσι, καὶ σφραγίζουσι μετὰ τρικηρίου καθὼς οἱ ἀρχιερεῖς.

ΖΩΝΑΡ. Τὸ θυσιαστήριον τοῖς ἱερωμένοις ἀφώρισται. Διὸ καὶ ὁ κανὼν τοῖς λαϊκοῖς ἀπαγορεύει τὴν πρὸς αὐτὸ εἴσοδον· τῷ δὲ βασιλεῖ μόνῳ παραχωρεῖ τῆς εἰς τὸ θυσιαστήριον εἰσόδου, ὅτε προσάγει δῶρα τῷ Θεῷ. Ὥσπερ δ' ὑπεραπολογούμενοι ἑαυτῶν οἱ τοῦτο δόντες τῷ βασιλεῖ τὸ προνόμιον τῆς ἐξουσίας καὶ τῆς αὐθεντίας ἐμνήσθησαν, μονονουχὶ τοῦτο λέγοντες ὅτι οὐδὲ τοῦτον, καθὸ λαϊκός ἐστιν, ἐχρῆν ἐντὸς εἰσιέναι τοῦ θυσιαστηρίου· ἀλλὰ διὰ τὴν ἐξουσίαν καὶ τὴν αὐθεντίαν ἐνεδόθη αὐτῷ ἀρχῆθεν τοῦτο παραδόντων τῶν παλαιοτέρων Πατέρων.

ΑΡΙΣΤ. « Εἰ μὴ βασιλεὺς, οὔτις τῶν λαϊκῶν εἰς « θυσιαστήριον εἴσεισιν. »

Τοῖς κοσμικοῖς τὸ θυσιαστήριον ἄβατον. Βασιλεὺς δὲ οὐ κεκώλυται εἰσέρχεσθαι ἐν αὐτῷ, ἡνίκα ἂν βουληθῇ καὶ προσάγειν δῶρα τῷ Θεῷ.

ΚΑΝΩΝ Ο'.

« Μὴ ἐξέστω ταῖς γυναιξὶν ἐν τῷ καιρῷ τῆς θείας « λειτουργίας λαλεῖν. Ἀλλὰ κατὰ τὴν φωνὴν « Παύλου τοῦ ἀποστόλου σιγάτωσαν· οὐ γὰρ ἐπι- « τέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάττεσθαι, κα- « θὼς καὶ ὁ νόμος φησίν· εἰ δέ τι μαθεῖν θέλουσιν, « ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. »

ΒΑΛΣ. Πρὸς Κορινθίους ἐπιστέλλων ὁ μέγας Παῦλος, παρεγγυᾶται ταῖς γυναιξὶ σιγᾷν, καὶ τοῖς οἰκείοις ἀνδράσιν ὑπείκειν, κατὰ τὸν Μωσαϊκὸν νόμον, τὸν λέγοντα· « Πρὸς τὸν ἄνδρα σου, γύναι, ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. » Ἀκολούθως οὖν τούτοις διορίζεται ὁ κανὼν μὴ λαλεῖν τὰς γυναῖκας ἐν καιρῷ τῆς θείας λειτουργίας, ἀλλ' ὑπὸ τῶν ἰδίων ἀνδρῶν οἴκοι μανθάνειν περὶ ὧν θέλουσι. Τούτου δὲ ὁρισθέντος οὕτω, μὴ εἴπῃς κατὰ μὲν τὸν καιρὸν τῆς λειτουργίας κωλύεσθαι αὐτὰς τοῦ λαλεῖν· κατὰ δὲ τὰς ἑτέρας ἐκκλησιαστικὰς συνάξεις ἁπαξ-

tem si solius adorationis gratia ipsum ingredi voluerint : sed mihi non ita videtur. Orthodoxi enim imperatores, qui per sanctæ Trinitatis invocationem patriarchas provehunt, et sunt uncti Domini, sine ullo impedimento, quando etiam voluerint, ad sacrum altare accedunt, et sufflunt, et cum triplici cereo signant, sicut et pontifices.

ZONAR. Altare sacratis hominibus destinatur. Proinde laicus ab illius ingressu arceri canon jubet; sed ita, ut imperatori tamen, cum sacra munera Deo oblaturus accesserit, sacra adyta intrandi soli sit facultas. Quasi vero se abunde excusarent, qui hanc imperatori prærogativam concesserant, imperatoriæ potestatis supremæque auctoritatis mentionem idcirco injecere, ferme hoc dicentes, quod imperatori quoque, qua laicus est, ad sacrum altare ingredi non licet : sed propter eam, qua præditus est, supremæ potestatis ac auctoritatis amplitudinem, id ei pervetusto antiquorum Patrum exemplo ipsi quoque concedere non recusarunt.

ARIST. « Nullus laicus excepto imperatore ad « altare accedit. »

Laicis altare esse inaccessum. Imperator autem non prohibetur intra septum ejus ingredi, quandocunque voluerit dona etiam Deo offerre.

CANON LXX.

« Ne liceat mulieribus divini ministerii tempore « loqui; sed secundum apostoli Pauli præceptum « sileant. Non enim eis loqui permissum est, sed « subjici, sicut dixit lex : si quid autem volunt « discere, domi proprios maritos interrogent. »

BALS. Corinthiis scribens magnus Paulus, præcipit mulieribus silere, et maritis suis subjectas esse [1], convenienter legi Mosaicæ, quæ dicit : « Ad virum tuum, mulier, conversio tua, et ipse dominabitur tibi [2]. » His ergo consequenter decernit canon, ne mulieres divini ministerii tempore loquantur, sed domi a viris suis ea discant, quæ scire volunt. Hoc autem sic constituto, ne dixeris eas quidem prohiberi loqui tempore ministerii : in aliis autem ecclesiasticis conventibus **240** nihil vetare eas loqui. Debent enim tunc quoque tacere. Ut est autem

[1] I Cor. xiv, 35. [2] Genes. iii, 16.

Guill. Beveregii notæ.

(77) *Εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέρχονται.* In codice Auerbachiano scribitur εἰσελεύσονται, qua etiam voce hæc Balsamonis interpretatio in isto codice desinit; in nostro autem Bodleiano non secus ac in editione Parisiensi cætera leguntur, nimirum καὶ θυμιῶσι καὶ σφραγίζουσι μετὰ τρικηρίου, καθὼς οἱ ἀρχιερεῖς. Post quæ verba hæc insuper in ms. nostro leguntur, Ἀλλὰ καὶ κατηχητικῶς διδάσκουσι τὸν λαὸν, ὅπερ μόνοι οἱ ἐγχώριοι ἐπίσκοποι ἔχουσιν. Εὗρον δὲ ἐν τῷ ιθ' λόγῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας Φλαβίου Ἰωσήπου, ὑπογραφὴν βασιλικὴν ἔχουσαν οὕτως· Καὶ Τιβέριος Κλαύδιος Καῖσαρ σεβαστὸς, Γερμανὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας ὕπατος, χειροτονηθεὶς τὸ δεύτερον. *Sed et catechetice docent populum, quod penes solos provinciales est episcopos. Inveni autem in 19 libro Judaicæ antiquitatis Flavii Josephi, imperialem subscriptionem sic se habentem : Et Tiberius Claudius Cæsar Augustus Germanus pontifex maximus Tribunitiæ potestatis consul secundo ordinatus.* Exstant hæc verba in Joseph *Jud. Antiq.* lib. x, cap. 4. Verum hæc in nullo alio codice exstant. Nec sane Balsamonis esse videntur : sed ad marginem primo ascripta, a Græculo quodam, non animadvertente imperatores Romanos, Ethnicos præsertim, qualis fuit hic Tiberius Claudius, toto cœlo a Christianis episcopis distare, etiamsi ἀρχιερεῖς appellentur, et χειροτονηθῆναι dicantur. Nam istarum duarum vocum causa hæc verba citata videntur.

verisimile, mulieres quædam eo tempore divinas Scripturas legere præ se ferentes, concionari sæpe aggrediebantur, et ad interrogationes ac responsiones se comparare. Quod quidem Patribus nequaquam mulieribus convenire visum est; ideoque est prohibitum. Privatim autem prudentiores interrogare de aliquibus animæ conducibilibus, novum non est. Lege et VIII lib. Basil. tit. 1, cap. 1, decret. 5, quod prohibet mulieres publice causas agere, sic expresse dicens: Pro se solis causas agunt mulier et cæcus: mulier enim virili officio non fungitur; et XXI lib. tit. 1, cap. 11, dicens: Mulier in testamento non fert testimonium: in aliis autem dicit testimonium, in quibus viri non accersuntur. Et 48 Novellam imp. domini Leonis Sapientis, quæ prohibet mulieres in conventionibus et contractibus ferre testimonium: in partu autem, et in iis, in quibus solus femininus aspectus admittitur, non etiam oculi hominum, eas testimonium præbere permittit. Quære et Justiniani 118 Novellam, seu caput 14, 4 tit. XXXVII libri Basilic. quæ prohibet mulieres fieri tutrices, et hæc præcise dicit: Feminis enim nos quoque prohibemus, ne tutelæ munera subeant, nisi sit mater vel avia. Iis enim solis secundum hæreditatis ordinem tutelam quoque subire permittimus, si scriptis et aliis nuptiis, et senatusconsulti Velleiani auxilio renuntiaverint. Si hæc enim servaverint, omnibus qui in transversa sunt linea cognatis in tutela præferentur, testamentariis demum tutoribus eas anteeuntibus. Defuncti enim voluntatem et electionem præferri volumus. Lege et tit. 5 ejusdem libri cap. 20, thema 3, dicens: Mulier non est curatrix.

A εμποδίστως λαλεῖν. Καὶ τηνικαῦτα γὰρ σιγᾷν ὀφείλουσιν. Ὡς ἔοικε δὲ γυναῖκές τινες, κατὰ τὸν τότε καιρὸν ἀνάγνωσιν θείων Γραφῶν ὑποκρινόμεναι, ἐκκλησιάζειν ἐπεχείρουν τὰ πολλὰ, καὶ πρὸς ἐρωτήσεις καὶ ἀποκρίσεις ἑτοιμάζεσθαι ὅπερ ἀνοίκειον εἶναι γυναιξὶν ἔδοξε τοῖς Πατράσι· κἀντεῦθεν καὶ ἐκωλύθη. Κατ' ἰδίαν δὲ ἐρωτᾷν τὰς συνετωτέρας περὶ ψυχωφελῶν τινων οὐκ ἔστι καινόν. Ἀνάγνωθι καὶ βιβλίον ἡ' τῶν Βασιλικῶν τίτλου α', θέμα ε' κωλύον τὰς γυναῖκας συνηγορεῖν δημοσίᾳ, λέγον οὕτω ῥητῶς· Ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι γυνὴ καὶ τυφλός· ἡ γυνὴ γὰρ οὐ μετέρχεται ἀνδρῶν ὀφφίκια· καὶ βιβλίον κα', τίτλ. α', κεφ. ια', λέγον· Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει, ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται· καὶ τὴν μὴ Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ κωλύουσαν γυναῖκας ἐπὶ συμφώνοις μαρτυρεῖν καὶ συναλλάγμασιν· ἐπὶ δὲ τοκετῶν καὶ ἐφ' ὧν μόνη θηλυκὰ ἄψις ὁρᾷ, οὐ μὴν καὶ ὀφθαλμοὶ ἀῤῥένων, ἐπιτρέπουσαν αὐτὴν μαρτυρεῖν. Ζήτει καὶ τὴν ριη' Ἰουστινιάνειον Νεαρὰν, ἤτοι κεφ. τοῦ ιδ' τίτλου τοῦ λζ' βιβλίου τῶν Βασιλικῶν, κωλύουσαν τὰς γυναῖκας ἐπιτρόπους γίνεσθαι, καὶ λέγουσαν οὕτω ῥητῶς ἐν μέρει· Ταῖς γὰρ γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν τὰ τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργήματα, εἰ μὴ μήτηρ ἢ μάμμη εἴη. Ταύταις γὰρ μόναις κατὰ τὴν τῆς κληρονομίας τάξιν καὶ τὴν ἐπιτροπὴν ὑπελθεῖν ἐφίεμεν, ἐὰν ἐν ὑπομνήμασι καὶ γάμοις ἑτέροις καὶ τῇ βοηθείᾳ τοῦ Βελλιανείου δόγματος ἀπαγορεύσωσι. Ταῦτα γὰρ φυλάττουσαι πάντων τῶν ἐκ πλαγίου συγγενῶν εἰς τὴν ἐπιτροπὴν προτιμηθήσονται, τῶν ἐκ διαθήκης μόνων ἐπιτρόπων προλαμβανόντων ταύτας. Τὴν γὰρ τοῦ τελευτήσαντος βούλησίν τε καὶ ἐπιλογὴν προτιμᾶσθαι βουλόμεθα. Ἀνάγνωθι καὶ τίτλον ε' τοῦ αὐτοῦ βιβλίου κεφ. κ' καὶ θέμα γ', λέγον· Γυνὴ οὐ κουρατωρεύει.

B

C

ZONAR. Silentium feminis, non solum quamdiu sacra mysteria peraguntur, sed ubicunque fideles convenerint, magnus Paulus indicit. Hoc autem iis etiam, qui sunt extra ecclesiam, conveniens visum est. Mulieres enim, inquit poeta, nescio quis, ornat silentium. Hic vero canon sacri ministerii tempore feminas silere duntaxat jubet. Si quid autem scire cupiunt, viros, inquit canon, idque ex Apostolo, domi interrogent. Legis porro nomine apostolica oracula hoc canone significantur.

ARIST. « Mulieribus in ecclesiis loqui non per-« mittitur. »

Si enim discere aliquid velint, maritos suos domi interrogent.

ΖΩΝΑΡ. Σιγᾷν ὁ μέγας Παῦλος ταῖς γυναιξὶν ἐπιτάττει οὐ κατὰ τὸν καιρὸν μόνον τῆς λειτουργίας, ἀλλ' ἐπὶ πάσης συνελεύσεως τῶν πιστῶν. Τοῦτο δὲ καὶ τοῖς θύραθεν ἁρμόδιον ἔδοξε· φησὶ γάρ τις τῶν ποιητῶν· Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Τέως δὲ ὁ παρὼν κανὼν σιγὴν αὐταῖς ἐπιτάττει ἐν τῷ τῆς λειτουργίας καιρῷ. Εἰ δέ τι, φησὶ, μαθεῖν θέλουσι, τοὺς οἰκείους ἄνδρας οἴκοι ἐρωτάτωσαν. Καὶ τοῦτο δὲ ἀποστολικόν ἐστι. Νόμον δὲ ταῦτα ὠνόμασεν ὁ κανὼν τὰ ἀποστολικὰ διατάγματα.

D

ΑΡΙΣΤ. « Γυναιξὶ λαλεῖν ἐπ' ἐκκλησίαις οὐκ ἐπι-« τέτραπται. »

Εἰ γὰρ θελήσουσί τι μαθεῖν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

CANON LXXI.

Eos, qui docentur leges civiles, Græcis moribus « uti non oportere, et neque in theatrum induci, « neque quæ dicuntur cylistræ peragere, vel « præter usum communem sibi vestes induere, « nec quo tempore disciplinam aggrediuntur, vel

ΚΑΝΩΝ. ΟΑ'.

« Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους μὴ « δεῖν τοῖς Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε « μὴν ἐπὶ θεάτρων ἀνάγεσθαι (78), ἢ τὰς λεγο-« μένας κυλίστρας ἐπιτελεῖν, ἢ παρὰ τὴν κοινὴν « χρῆσιν στολὰς ἑαυτοῖς περιτιθέναι· μήτε καθ'

Guill. Beveregii notæ.

(78) *Ἐπὶ θεάτρων ἀνάγεσθαι.* Legendum potius, cum codice Amerbachiano, ἐπὶ θεάτρων ἐνάγεσθαι.

« ὧν καιρὸν τῶν μαθημάτων ἀπάρχονται, ἢ πρὸς A
« τὸ τέλος αὐτῶν καταντῶσιν, ἢ καθόλου φάναι,
« διὰ μέσης τῆς τοιαύτης παιδεύσεως. Εἰ δέ τις
« ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσοι, ἀφορι-
« ζέσθω (79). »

ΒΑΛΣ. Ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος γράφει εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου λόγον τοῦτο, ὡς οἱ πλεῖστοι καὶ ἀφρονέστεροι τῶν ἐν Ἀθήναις νέων σοφιστομανοῦντες, καὶ κατὰ τοὺς ἱπποδρομομανοῦντας (80) μαχόμενοι πρὸς τοὺς ἀντιθέτους, προκαταλαμβάνουσι τὰς πόλεις καὶ τὰς ὁδούς. Καὶ τοὺς νεήλυδας σοφιστὰς δεξιοῦνται μετὰ πομπείας καὶ ξεναγωγίας, καὶ τινων ἑτέρων παιδιῶν συνήθων τοῖς σοφιστεύουσιν. Ὡς ἔοικεν οὖν εἰθιστό ποτε καὶ ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων, ὅτε καὶ ἡ τῶν νόμων μάθησις ἤκμαζε, τοιούτοις Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαί τινας, καὶ τοὺς μέλλοντας πρὸς τὴν τῶν νόμων μάθησιν ἀποδύεσθαι, ἢ τοὺς διὰ μέσης τῆς διδασκαλίας προοδεύοντας, ἢ τοὺς τελειωθέντας μετὰ πρωπομπῆς καὶ πολυτελῶν ἀσυνήθων ἱματίων θεατρίζειν· καὶ διὰ τοῦτο τοὺς Πατέρας θεσμοθετῆσαι τὰ ἐν τῷ παρόντι κανόνι. Κυλίστραι δὲ ἐγίνοντο, ὡς ἐμοὶ δοκεῖ, μεταξὺ τῶν διδασκόντων. Τοῦ μὲν γὰρ ἰδιουμένου τόνδε τὸν μαθητὴν, τοῦ δὲ ἑτέρωθεν ἀντιπίπτοντος, αἱ κυλίστραι ἐπενοήθησαν, καὶ τὸ ἐκ τῆς τύχης ἀποτέλεσμα, ὡς γίνεσθαι σήμερον ἐν ταῖς ἱπποδρομίαις χάριν τῶν καγκέλων. Ταῦτα οὖν πάντα οἱ ἅγιοι Πατέρες ἀπαγορεύοντες, καὶ Ἑλληνικὰ ἔργα κατονομάζοντες, διορίζονται μηδέν τι τοιοῦτον γίνεσθαι πάντως, διὰ τὸ πολλὰ σκάνδαλα ταραχώδη χάριν τούτων ἀναφύεσθαι μέσον τῶν πιστῶν, καὶ ἐθνικῆς εὐτυχίας ἢ δυστυχίας εἶναι ἐπίχειρον τὸ γινόμενον. Τοὺς δὲ παραβάτας τοῦ κανόνος ἀφορισμῷ ὑποκεῖσθαι παρεκελεύσαντο.

ΖΩΝΑΡ. Τὸ ἔθεσιν Ἑλληνικοῖς τοὺς πιστοὺς χρῆσθαι ἐν πᾶσιν οἱ θεῖοι Πατέρες ἀπαγορεύουσιν. Ἐπεὶ δὲ καὶ οἱ τοὺς πολιτικοὺς μανθάνοντες νόμους ἔθεσι τοιούτοις ἐκέχρηντο, καὶ στολὰς ἀλλοκότους τινὰς ἐνεδύοντο τῶν μαθημάτων ἀρχόμενοι, ἢ καὶ πρὸς τὸ τέλος τούτων γινόμενοι, κωλύουσι καὶ ταῦτα πάντα ὁπόταί ποτ' ἂν ἦσαν τὰ παρ' ἐκείνων γινόμενα, καὶ ἀφορισμὸν τῶν τοιοῦτόν τι πραξάντων καταψηφίζονται.

ΑΡΙΣΤ. « Ἀφορίζεται νομομαθὴς ἔθει Ἑλληνικῷ
« χρώμενος, καὶ θεάτροις ὑπαγόμενος, καὶ κυ-
« λίων, ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολιζόμενος. »

Ἔθεσιν εἰ χρήσεταί τις Ἑλληνικοῖς τοὺς πολι-

« ad finem ejus perveniunt, vel, ut in summa
« dicam, in ejus doctrinæ dimidio : si quis au-
« tem deinceps hoc facere ausus fuerit, segre-
« getur. »

BALS. Magnus Theologus Gregorius hæc scribit in funebri magni Basilii oratione, quod plurimi, iique stultissimi, ex adolescentibus qui erant Athenis, sophistico quodam furore perciti, et non secus ac ii, qui equestris cursus certaminis furioso desiderio tenentur, contra adversarios suos pugnantes, urbes viasque anticipant, et recenter advenientes sophistas excipiunt et complectuntur, magna splendidaque pompa deducentes, et hospitaliter comitantes, et alia quædam ludibria sophistis familiaria facientes. Ut est ergo credibile, in hac B **241** urbium regina hæc consuetudo invaserat, quando legum quoque disciplina vigebat, ut quidam his Græcis moribus uterentur, et eos, qui legum erant disciplinam aggressuri, vel qui per mediam doctrinam processerant, vel qui jam perfecti erant, cum magna quadam pompa et sumptuosis insuetis vestibus in theatrum deducerent : et ideo statuisse Patres ea quæ sunt in præsenti canone. Cylistræ autem fiebant, ut mihi videtur, inter eos qui docebant. Cum enim hic sibi discipulum vindicaret, ille vero ex altera parte resisteret, cylistræ excogitatæ fuere, idque fortuitu, ut sit hodie in equorum curriculis pro cancellis. Hæc ergo omnia prohibentes sancti Patres, et Græca opera nominantes, C statuunt nihil tale fieri omnino oportere, eo quod multa offendicula turbulenta eorum gratia inter fideles nascantur, et sit id, quod eo modo fit, gentilitiæ felicitatis vel infelicitatis præmium. Eos autem, qui canonem transgrediuntur, segregationi subjici jusserunt.

ZONAR. Profanas ethnicorum consuetudines nulla in re divini Patres a fidelibus usurpari patiuntur. Cum igitur ex iis aliquas juris civilis candidati adhuc retinerent, ac peregrino vestium ornatu, sive cum studiorum curriculum ingrederentur, sive cum eorumdem metam attigissent, induti prodirent; hæc, et alia ejus generis omnia, quæcunque ab illis fieri consueverunt, prohibent; D quique tale quidquam admiserint segregari jubet.

ARIST. « Qui juri discendo incumbit, more
« gentili utens, et ad theatra deductus, et sese
» volutans, vel præter communem consuetudinem
« indutus, segregator. »

Moribus gentilibus si quis usus sit, civiles edo-

Guill. Beveregii notæ.

(79) *Τολμήσοι, ἀφοριζέσθω.* Inter hæc ultima canonis verba et Balsamonis scholia in codice nostro Bodleiano hæc leguntur, Σημείωσαι τὸν παρόντα κανόνα, καὶ τὰ τῆς ἑρμηνείας αὐτοῦ, ἐξ ὧν οἶμαι κωλύεσθαι τὰ παρὰ τῶν νοταρίων γινόμενα ἐν προόδοις τῆς ἑορτῆς τῶν ἁγίων νοταρίων, καὶ τὰ ἐν ταῖς ἐπισταίαις ταῖς γραμματικαῖς ἄνευ τῶν εὐχῶν, *Nota præsentem canonem, et quæ in interpretatione ejus scripta sunt, ex quibus, ut opinor, prohibentur quæ a notariis fiunt in processionibus festi sanctorum notariorum, et quæ in administrationibus grammaticis sine precibus fiunt.* Præterquam autem, quod hæc verba se Balsamonis non esse prodant, in nullo alio codice exstant.

(80) *Ἱπποδρομομανοῦντας.* Codex Amerbachianus rectius legit, Ἱππεδρομανοῦντας.

ctus leges, ad theatra fortasse deductus, aut cyli- A
straș dictas peragens, aut vestes præter usum
communem induens, segregabitur.

CANON LXXII.

« Non licere virum orthodoxum cum muliere hæ-
« retica conjungi, neque vero orthodoxam cum
« viro hæretico copulari : sed et si quid ejus-
« modi a quopiam factum apparuerit, irritas
« nuptias existimare, et nefarium conjugium
« dissolvi. Neque enim ea quæ non sunt mi-
« scenda misceri, nec ovem cum lupo, nec pec-
« catorum sortem cum Christi parte conjungi
« oportet : si quis autem ea quæ a nobis decreta
« sunt, transgressus fuerit, segregetur. Si autem
« aliqui, qui adhuc infideles sunt, et in ortho- B
« doxorum gregem nondum relati, sunt inter se
« legitimo matrimonio conjuncti ; deinde hic
« quidem, eo quod est honestum electo, ad lucem
« veritatis accurrerit : ille vero erroris vinculo
« detentus fuerit, nolens divinos radios fixis
« oculis intueri (si infideli uxori placeat cum
« viro fideli habitare, vel vice versa viro infideli
« cum fideli uxore) ne a se invicem separentur
« juxta divinum Apostolum. « Nam sanctificatus
« est vir infidelis per mulierem, et sanctificata
« est mulier infidelis per virum [a]. »

BALS. Lex civilis definit matrimonium, socie-
tatem et communicationem divini et humani juris.
Huic ergo consequenter sancti Patres decernunt, C
jure matrimonii non esse conjungendum virum
fidelem mulieri infideli, vel e contra; sed et si quid
ejusmodi factum fuerit, divellendum esse matri-
monium, ut quod consistere non possit. Quæ est
enim, inquiunt, lupo cum agno societas, quorum
est penitus contraria voluntas, sibique sunt invi-
cem in omnibus adversi et infesti, quod sit con-
traria eorum vivendi ratio? Et non solum sepa-
randum esse matrimonium, sed et eum, qui tale
quid ausurus est, segregandum esse. Sed si alter
ex conjugibus fidem orthodoxam elegerit, non pro-
pterea separabitur matrimonium. Magnus **242** enim
apostolus Paulus in Epistola sua ad Corinth. sta- D
tuit, eos non esse separandos, quoniam sanctificatus
est vir infidelis per fidelem mulierem, et contra,
sanctificatur infidelis mulier per virum qui credidit.
Est autem spes fore ut ejusdem sint sententiæ
conjuges, si alter ex ipsis fidem orthodoxam ele-

[a] I Cor. vii, 14.

τικοὺς νόμους ἐνδιδασκόμενος, ἐπὶ θέατρα ἴσως
ἀναγόμενος, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελῶν
ἢ στολάς τινας παρὰ τὴν κοινὴν χρῆσιν ἐνδιδυσκό-
μενος, ἀφορισθήσεται.

ΚΑΝΩΝ ΟΒ'.

« Μὴ ἐξεῖναι ὀρθόδοξον (81) ἄνδρα αἱρετικῇ συν-
« άπτεσθαι γυναικὶ, μήτε μὴν αἱρετικῷ ἀνδρὶ
« γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι· ἀλλ' εἰ καὶ
« φανῇ τι τοιοῦτον ὑπό τινος τῶν ἀπάντων γινό-
« μενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ
« ἄθεσμον διαλύεσθαι συνοικέσιον. Οὐ γὰρ χρὴ
« τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ τὸν λύ-
« κον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι
« τὸν τῶν ἁμαρτωλῶν κλῆρον. Εἰ δὲ παραβῇ τις
« τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Εἰ δέ
« τινες, ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὕτω
« τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ,
« ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν
« τὸ καλὸν ἐκλεξάμενος τῷ φωτὶ τῆς ἀληθείας
« προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης (82)
« κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι
« ἀκτῖνας ἑλόμενος (εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπι-
« στος συνοικεῖν, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ
« πιστῇ)· μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον Ἀπό-
« στολον. Ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν γυ-
« ναικὶ, καὶ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀν-
« δρί. »

ΒΑΛΣ. Ὁ πολιτικὸς νόμος τὸν γάμον ὁρίζεται
κοινωνίαν καὶ συγκλήρωσιν θείου τε καὶ ἀνθρω-
πίνου δικαίου. Ἀκολούθως οὖν τούτῳ διορίζονται οἱ
ἅγιοι Πατέρες, συνάπτεσθαι κατὰ νόμον γάμου ὀρ-
θόδοξον ἄνδρα αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν·
ἀλλ' εἴ ποτε γένηταί τι τοιοῦτον, διασπᾶσθαι τὸ
συνοικέσιον ὡς ἀνυπόστατον. Τίς γὰρ, φησὶ, κοι-
νωνία ἔσται λύκῳ καὶ ἀρνίῳ ἐναντιοφρονοῦσι κατὰ
πάντα καὶ ἐχθραίνουσι διὰ τὸ τῆς διαγωγῆς διάφο-
ρον ; Καὶ οὐ μόνον διασπᾶσθαι τὸ συνοικέσιον, ἀλλὰ
καὶ τὸν τοιοῦτόν τι τολμήσαντα ἀφορίζεσθαι. Εἰ
μέντοι ἕτερος τῶν ὁμοζύγων προέληται τὴν ὀρθό-
δοξον πίστιν, οὐ παρὰ τοῦτο τοῦ συνοικεσίου διασπα-
σθήσεται. Ὁ γὰρ μέγας ἀπόστολος Παῦλος διωρί-
σατο ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ αὐτοῦ τοὺς
τοιούτους μὴ χωρίζεσθαι, ὅτι ἡγίασται ὁ ἄπιστος
ἀνὴρ διὰ τῆς πιστῆς γυναικὸς, καὶ ἀντιστρόφως
ἁγιάζεται ἡ ἄπιστος γυνὴ διὰ τοῦ πεπιστευκότος
ἀνδρός. Ἔστι δὲ καὶ ἐλπὶς ὁμοφρονῆσαι τοὺς ὁμο-
ζύγους ἐκ τοῦ προελέσθαι θάτερον ἐξ αὐτῶν τὴν
ὀρθόδοξον πίστιν. Σημείωσαι οὖν τὸν παρόντα κα-

Guill. Beveregii notæ.

(81) *Μὴ ἐξεῖναι ὀρθόδοξον.* Harmenopulus in epitome canonum hunc cum syn. Laod. c. 10 conjunxit, et scholiastes in eos hæc observat : Ἐπὶ τοῦ πατριάρχου Θεοδοσίου βυκινάτωρ βασιλικὸς βαπτισθεὶς, πατριαρχικῷ γράμματι διεζύγη τῆς γυναικὸς, μὴ πειθομένης τῷ ἀνδρὶ, πολλὰ παρακαλοῦντι τὰ τῆς εὐσεβείας ἐλέσθαι· ὅπερ ἐστὶν ἐναντίον τῷ κανόνι τούτῳ. *Sub patriarcha Theodosio buccinator quidam imperatorius baptizatus, per scripturam patriarchicam ab uxore separatus est, quæ marito non obtemperabat, multum roganti, ut religionem amplecteretur : id quod huic canoni contrarium est.* Harmen. epit. can. sect. 5, tit. 2.

(82) Ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης. Codex Amerbachianus rectius legit ἡ δὲ, etc. ut et postea ἑλομένη, videlicet genere feminino. Nam cum de utroque conjuge hic sermo habeatur, necesse est ut altera sit femina, de viro enim ante dictum

νόνα, διὰ τοὺς Ἴδηρας τοὺς ἀδιαφόρως τὰ οἰκεῖα θυγάτρια τοῖς Ἀγαρηνοῖς ἐκγαμίζοντας. Ὡσαύτως σημείωσαι καὶ τὸ ῥῆμα τοῦ κανόνος τὸ λέγον· Εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν; ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ; μὴ χωριζέσθωσαν. Εἰ γὰρ αἱρετίσεταί τις τούτων διαζυγῆναι, ἀπεντεῦθεν ὁ γάμος διασπασθήσεται. Ὅπερ γέγονε καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Θεοδότου. Διεζύγη γὰρ Βασιλικὸς Βυκινάτωρ μετὰ τὸ βαπτισθῆναι ἀπὸ τῆς ἀπίστου γυναικὸς αὐτοῦ μετὰ πατριαρχικοῦ ὁρισμοῦ, ὡς μὴ πειθομένης βαπτισθῆναι κατὰ τὴν τοῦ ἀνδρὸς παράκλησιν. Ἀνάγνωσον καὶ τὸ ι' κεφ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Οἱ τῆς συνόδου ταύτης ἱεροὶ καὶ θεῖοι Πατέρες περὶ τῶν ἄρτι ζευγνυμένων εἰς γάμου κοινωνίαν νομοθετοῦσιν· ὧν τὸν μὲν πιστὸν εἶναι ὑποτιθέασι, τὴν δὲ ἄπιστον, ἢ τοὐναντίον καὶ ἀπαγορεύουσι τὰς τοιαύτας συζυγίας, καὶ γενομένας δὲ διασπᾶσθαι κελεύουσιν. Οὐ γὰρ χρὴ, φασὶ, μιγνῦναι τὰ ἄμικτα. Εἰ γὰρ ἡ τῆς ψυχῆς περὶ τὴν πίστιν διάθεσις ἐναντία τοῖς συνοικοῦσι, πῶς ἂν περὶ τὰ ἄλλα ὁμόψυχοι ἔσονται; ἢ πῶς ἐν τῷ μείζονι, τῇ πίστει λέγω, ἀσύμβατοι ὄντες καὶ ἀκοινώνητοι, συμβαίεν ἀλλήλοις καὶ συγκοινωνήσαιεν ἐν τοῖς λοιποῖς; Διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθέσμου τούτου γάμου καὶ ἀφορίζεσθαι βούλονται τοὺς τὸν παρόντα κανόνα παραβαίνοντας. Ταῦτα μὲν οὖν περὶ τῶν ἄρτι πρώτως ζευγνυμένων ἀλλήλοις εἰς γάμου κοινωνίαν οἱ Πατέρες φασὶ, τοῦ μὲν ὀρθοδόξου τυγχάνοντος, τῆς δὲ μὴ τοιαύτης. Εἰ δὲ, ὅτε εἰς γάμον συνῆλθον ἀλλήλοις, καὶ ἄμφω τῶν ὀρθοδόξων ἠλλωτρίωντο, εἶτα τὸ μὲν τῶν προσώπων ἐπέγνω τὴν ἀλήθειαν, καὶ προσῆλθε πίστει, τὸ δὲ ἔτι τῷ σκότει τῆς πλάνης συνέχεται, τῇ τοῦ μεγάλου Παύλου διαταγῇ ἕπεσθαι καὶ οἱ Πατέρες οὗτοι ψηφίζονται. Εἰ γὰρ θέλει, φησὶ, τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τοὐναντίον, μὴ χωριζέσθωσαν· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ τὸ ἔμπαλιν.

gerit. Nota ergo præsentem canonem propter Iberos, qui suas filias Agarenis indiscriminatim in matrimonio collocant. Similiter nota et verbum canonis, quod dicit : Infideli autem mulieri cum viro fideli, cohabitare placet? vel contra, infideli viro cum muliere fideli? ne separentur. Si quis enim horum separari maluerit, matrimonium ex eo divelletur. Quod quidem factum est tempore sanctissimi patriarchæ domini Theodoti. Separatus est enim a sua infideli uxore Basilicus Buccinator, postquam baptizatus fuerat, cum decreto patriarchali : utpote quæ a viri suasione induci non posset ut baptizaretur. Lege et decimum caput primi tituli præsentis operis, et quæ in eo sunt.

ZONAR. De iis qui inter se non ita pridem matrimonii fœdere juncti sunt, si eorum alterum fidelem esse, alterum a fide abhorrere contigerit, canonem hunc sacri et divini Patres promulgaverunt; eoque societatem ejusmodi damnant, et postquam etiam contracta fuerit, rescindi jubent. Non enim ea, inquiunt, miscenda sunt, quæ naturam, ut inter se misceri possint, non habent. Nam qui simul ita vivunt, ut eorum animi, in iis quæ ad fidem pertinent, contrario modo affecti sint, quo pacto eos in aliis rebus convenire posse quispiam arbitretur? quorumque sensus, in iis quæ sunt fidei, quorum prima est atque præcipua ratio, minime congruunt, quo pacto inter se æquis animis in reliqua vitæ societate communicabunt! Quamobrem et nuptiarum fœdus male contractum rescindi, et eos insuper, qui canonem hunc violaverint, segregari volunt. Atque hæc quidem de matrimonio nuper inito, quo hæreticam sibi mulierem vir orthodoxus copularit, aut contra, Patres sanxere. Quod si quo tempore uterque ab orthodoxis dissidebat, mutuam inter se conjugii societatem contraxere, decursu vero temporis, altera persona adhuc errorum tenebris involuta, altera agnita veritate fidem amplexa est, tunc quidem divini Patres magni Pauli præceptis standum esse decernunt. Si enim, ait, cum fideli vitæ societatem infidelis retinere velit, aut contra, ne segregentur. Sanctificatus est enim vir infidelis per mulierem [1], et e contra.

ΑΡΙΣΤ. « Ἄκυρος ὁ μετὰ τῶν αἱρετικῶν γάμος. « Οἱ δὲ προλαβόντες, εἰ ἐθέλοιεν, μένοιεν. »

ARIST. « Irritum est matrimonium cum hæreticis « contractum. Qui vero antea contraxerant, si « velint, maneant. »

Οὐκ ἐξέστι ὀρθοδόξῳ αἱρετικῇ συνάπτεσθαι γυναικὶ ἢ τὸ ἀνάπαλιν. Εἰ δέ τινες, ἄπιστοι ὄντες, νομίμῳ γάμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν προσῆλθε τῇ πίστει, ἡ δὲ ἔτι ὑπὸ τῆς πλάνης κατέχεται· καὶ εὐδοκεῖ ὁ πιστὸς συνοικεῖν τῇ ἀπίστῳ, ἢ τὸ ἀνάπαλιν. μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον ἀπόστολον Παῦλον.

Non licet viro orthodoxo cum muliere hæretica conjungi, aut e contrario. Si quis autem, cum sint infideles, legitimo matrimonio cunjuncti sunt, postea autem vir quidem ad fidem accedit, mulier vero in errore detinetur; et fideli placet cum infideli cohabitare, aut vice versa : ne separentur, juxta divinum apostolum Paulum.

ΚΑΝΩΝ ΟΓ'.

« Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ τῶν « τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ δι' οὗ σεσώσμεθα τοῦ παλαιοῦ παραπτώματος. Ὅθεν

CANON LXXIII.

« Cum crux nobis vivifica salutare ostenderit, nos « omnem diligentiam adhibere oportet, ut ei « per quem ab antiquo lapsu salvati sumus, eum « quem par est honorem habeamus. Quamobrem

[1] I Cor. VII, 14.

« et mente, et sermone, et sensu adorationem ei
« tribuentes, crucis figuras, quæ a nonnullis in
« solo ac pavimento fiunt, omnino deleri jube-
« mus, ne incedentium conculcatione victoriæ
« nobis trophæum injuria afficiatur. Eos itaque,
« qui deinceps crucis signum in solo construunt,
« segregari decernimus. »

BALS. Nonnulli in ecclesiarum vel aliorum etiam locorum pavimentis crucis signa in lapide, vel aliqua alia specie, imprimebant. Hoc ergo prohibens canon, dicit, quod salus hominum per crucem vivificam **243** facta est, et oportet nos ei convenientem et proportione respondentem honorem adorationemque tribuere, mente, sermone et sensu: mente scilicet, per tacitam gratiarum actionem; sermone, per boni quod in nos factum est apud omnes confessionem; et sensu, quando eam actu videntes salutamus. Unde etiam omnes qui ubivis inveniuntur, crucis typos in pavimento deleri et tolli jubet, ne ab incedentibus conculcetur nostrum adversus diabolum trophæum : eos autem, qui aggressi fuerint crucis figuram in solo construere, jubet segregationi subjici. Dicit autem et 5 cap. primi tituli primi libri, Nec monachus nec ullus alius in publico loco, vel in quo spectaculum peragitur, crucem imponat, vel sanctorum reliquias. Et cap. 6 : Nemo in solo, vel molari lapide, vel marmore pavimenti, crucem insculpat vel pingat : sed auferat, eo qui id transgreditur gravissimum subeunte supplicium. Et cap. 58 primi tit. III lib. imperat præcise dicens : Sed et pretiosas cruces, cum quibus in supplicationibus egrediuntur, non alibi quam in sanctis locis reponi. Hæc cum et canon et leges statuant, crucem quidem in pavimento non audet quis ex aliqua materia construere : sanctæ autem imagines et cruces in publicis viis a volente eriguntur. Et nos quidem, propter puram erga Deum et ejus sanctos fidem, sancta ejusmodi ubicunque erecta adoramus et salutamus. Leges autem, ut est consentaneum, propter infidelium, eorumque qui sine ulla honesta consideratione indiscriminatim vivunt, improbitates, hæc scripserunt. Existimo ergo, quod illi segregationi subjiciuntur, qui sunt simpliciores, et propter pietatem in solo pretiosam crucem fabricantur. Qui enim mala animi affectione hoc agunt, ut salutaris crucis figura, eo quod conculcetur, contumelia afficiatur, ut impii punientur.

ZONAR. Domino nostro Deo ac servatore Jesu Christo cruci affixo, nos salutem adepti, atque ab antiqua peccati tyrannide liberati sumus. Crucem igitur, quippe quæ salutis nostræ causam præbuit, mente, sermone et sensu colendam a nobis esse sancti Patres affirmant. Ac mente quidem illam veneramur, cum tacita meditatione, quam ingentia bona per illam ad nos devenerint recolentes, tantæ Dei in nos beneficentiæ magnitudinem obstupescimus; sermone, cum eadem illa sermonibus usur-

« καὶ νῷ, καὶ λόγῳ, καὶ αἰσθήσει τὴν προσκύνησιν
« αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυ-
« ροῦ τύπους ὑπό τινων κατασκευαζομένους ἐξ-
« αφανίζεσθαι παντοίως προστάσσομεν, ὡς ἂν
« μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νί-
« κης ἡμῖν τρόπαιον ἐξυβρίζοιτο. Τοὺς οὖν ἀπὸ
« τοῦ νῦν τοῦ σταυροῦ τύπον ἐπὶ ἐδάφους κατα-
« σκευάζοντας ὁρίζομεν ἀφορίζεσθαι. »

ΒΑΛΣ. Τινὲς ἐν ἐδάφεσιν ἐκκλησιῶν ἢ καὶ ἄλλων τόπων σταυρικὰ σημεῖα ἀπὸ λίθου ἢ ἀπὸ ἑτέρου τινὸς εἴδους ἐχάραττον. Τοῦτο οὖν κωλύων ὁ κανὼν φησιν ὅτι ἡ σωτηρία τῶν ἀνθρώπων διὰ τοῦ ζωοποιοῦ σταυροῦ γέγονε. Καὶ χρὴ ἡμᾶς τὴν ἀνάλογον τιμὴν καὶ προσκύνησιν αὐτῷ ἀπονέμειν νῷ, καὶ λόγῳ καὶ αἰσθήσει· ἤτοι νῷ μὲν διὰ εὐχαριστίας σιωπηρᾶς· λόγῳ δὲ διὰ τῆς πρὸς πάντας ὁμολογίας τοῦ γεγονότος ἀγαθοῦ πρὸς ἡμᾶς· καὶ αἰσθήσει, ὅταν καὶ πραγματικῶς τοῦτον ὁρῶντες κατασπαζώμεθα. Ὅθεν καὶ τοὺς ὁπουδήποτε εὑρισκομένους τύπους τοῦ σταυροῦ ἐν ἐδάφει διωρίσατο ἀφανισθῆναι, ὡς ἂν μὴ καταπατῆται ὑπὸ τῶν βαδιζόντων τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἡμῶν· τοὺς δὲ ἐπιχειρήσοντας σταυροῦ τύπον ἐν ἐδάφει κατασκευάσαι ἀφορισμῷ καθυποβάλλεσθαι. Φησὶ δὲ καὶ τὸ ε' κεφ. τοῦ α' τίτλου τοῦ α' βιβλίου· Μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ, ἢ ἐν ᾧ θέα ἐπιτελεῖται, σταυρὸν ἐπιβαλλέτω ἢ λείψανα ἁγίων· καὶ κεφ. ς'· Μηδεὶς ἐν ἐδάφει ἢ μυλίτῃ λίθῳ ἢ ἐν μαρμάρῳ ἐδαφικῷ ἐγγλυφέτω ἢ γραφέτω σταυρόν· ἀλλὰ περιαιρείσθω, τὴν βαρυτάτην τοῦ παραβαίνοντος ὑφισταμένου ποινήν· καὶ κεφ. νη' τοῦ α' τίτλου τοῦ γ' βιβλίου λέγον ἐν μέρει· Ἀλλὰ καὶ τοὺς τιμίους σταυροὺς, μεθ' ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχόσε πλὴν εἰ μὴ ἐν εὐαγέσι τόποις ἀποτίθεσθαι. Ταῦτα τοῦ κανόνος καὶ τῶν νόμων διοριζομένων, σταυρὸν μὲν ἐδάφει οὐ τολμᾷ τις κατασκευάσαι ἀπό τινος ὕλης. Ἅγιαι δὲ εἰκόνες καὶ σταυροὶ ἐν δημοσίοις ὁδοῖς παρὰ τοῦ θέλοντος ἀναστηλοῦνται. Καὶ ἡμεῖς μὲν διὰ τὴν πρὸς τὸν Θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ καθαρὰν πίστιν τὰ ὁπουδήποτε ἀναστηλούμενα τοιαῦτα ἅγια προσκυνοῦμεν καὶ κατασπαζόμεθα· οἱ δὲ νόμοι, ὡς ἔοικε, διὰ τὰς τῶν ἀπίστων καὶ τῶν ἀδιαφόρως ζώντων κακίας τὰ ῥηθέντα γεγράφασιν. Οἶομαι δὲ ὅτι ἐκεῖνοι καθυποβάλλονται ἀφορισμῷ, οἱ ἁπλούστεροι, καὶ δι' εὐλάβειαν δῆθεν κατασκευάζοντες ἐν τῷ ἐδάφει τίμιον σταυρόν· οἱ γὰρ κακῇ διαθέσει τοιοῦτόν τι ποιοῦντες χάριν τοῦ τὸν σωτηριώδη τύπον τοῦ σταυροῦ διὰ τοῦ καταπατεῖσθαι περιυβρίζεσθαι ὡς ἀτιμίαν κολασθήσονται.

ΖΩΝΑΡ. Τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ καὶ Σωτῆρος Χριστοῦ ἐν τῷ σταυρῷ κρεμασθέντος ἡμεῖς σεσώσμεθα, καὶ τῆς ἀρχαίας δουλείας τῆς ἁμαρτίας ἠλευθερώμεθα. Τούτῳ τοίνυν τῷ τῆς νίκης ἡμῖν αἰτίῳ τὴν τιμὴν ἀπονέμειν χρῆναι φασὶν οἱ ἱεροὶ Πατέρες καὶ νῷ, καὶ λόγῳ, καὶ αἰσθήσει. Νῷ μὲν οὖν ἀποδιδόαμεν, ὅτε καθ' ἑαυτοὺς ἐνθυμούμενοι καὶ λογιζόμενοι ὅσων ἀγαθῶν ἐτύχομεν δι' αὐτοῦ, ἐκπληττόμεθα τὴν εἰς ἡμᾶς εὐεργεσίαν τοῦ Θεοῦ· λόγῳ δὲ, ὅτε καὶ πρὸς ἑτέρους ταῦτα λέγοντες;

χάριτας ὁμολογοῦμεν τῷ σώσαντι ἡμᾶς· αἰσθήσει δὲ, ὅτε αὐτὸν ὁρῶντες τιμῶμεν καὶ κατασπαζόμεθα. Ἐπεὶ δέ τινες, ὡς τύχα πλείονα τιμὴν νέμοντες τῷ σταυρῷ, παντεχοῦ ἐτύπουν αὐτὸν, πρὸς δὲ τοῖς ἄλλοις καὶ ἐν ἐδάφεσι· τοῦτο ὁ παρὼν ἀπαγορεύει κανὼν, κελεύων μὴ ἐδάφει τυποῦσθαι σταυρὸν, καὶ οὕτω τὸ τῆς νίκης ἡμέτερον τρόπαιον ἀτιμάσθαι καταπατούμενον. Τοὺς δὲ τοῦτο τολμῶντας ὑπάγει ἀφορισμῷ.

ΑΡΙΣΤ. « Ὁ ἐν ἐδάφει σταυρὸς ἀφανίζεται. »

Πᾶσαν σπουδὴν χρὴ τιθέναι ἡμᾶς τὴν ἀξίαν ἀποδιδόναι τιμὴν τῷ ζωοποιῷ σταυρῷ, δι' οὗ τοῦ πάλαι σεσώσμεθα παραπτώματος· καὶ ἐὰν ἐν τῷ ἐδάφει ὁ τοῦ σταυροῦ τύπος κατασκευάσθη ὑπό τινος, ἀπαλειφέσθω, ἵνα μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νίκης ἡμῶν ἐφυβρίζηται τρόπαιον.

ΚΑΝΩΝ ΟΔ'.

« Ὅτι οὐ δεῖ ἐν τοῖς Κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας (83) ποιεῖν, καὶ « ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν. Οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες ἢ παυσάσθωσαν ἢ ἀφοριζέσθωσαν. »

ΒΑΛΣ. Ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ αὐτοῦ μέμφεται τοὺς ἐν ἐκκλησίαις συμποσιάζοντας, λέγων· Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Ἐπεὶ οὖν πᾶς τόπος τῷ Κυρίῳ ἀνατεθειμένος Κυριακὸς λέγεται, κἂν μὴ ἐκκλησία ἐστὶν, ἀλλὰ πρόναος τυχὸν ἢ ἕτερόν τι ἱερὸν, διορίζεται ὁ κανὼν μὴ συμποσιάζειν τινὰς ἐν ἐκκλησίαις ἢ ἐν τοιούτοις τόποις (τοῦτο γὰρ ἀγάπην καλεῖ, ἢ ὡς συστατικὸν ἀγάπης, ἢ δι' ἀγάπην γινόμενον)· ἀλλὰ μηδὲ ἔνδον τοῦ οἴκου τοῦ Θεοῦ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν. Τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας, καὶ μετὰ παραγγελίαν μὴ διορθουμένους ἀφορισμῷ καθυποβάλλεσθαι. Καὶ ἀγάπη μὲν καλεῖται ἡ ἀδελφοσύνη καὶ τὰ διὰ ταύτης συμπόσια· ἅτινα ἐκωλύθησαν ὡς παρεῖτια σκανδάλων καὶ ὕβρεων, ἔστιν ὅτε καὶ συνωμοσιῶν καὶ φατριῶν. Ἀκούβιτον δὲ λέγεται πᾶν ἐπίθετον στρωμνῆς κατασκεύασμα εἰς ὕψος ἠρμένον καὶ μαλακόν. Ἀκούμβω γὰρ παρὰ Λατίνοις, τὸ ἀνακλίπτω. Τινὲς γοῦν, ὡς ἔοικεν, ὑποστελλόμενοι κλινίδια ἐν τῷ μεσονάῳ εἰσάγειν, ἢ καὶ διὰ θρύψιν πλείονα ἐποίουν ἢ ἀλλοτρόπως εἰς ἀνάπαυσιν αὐτῶν στρωμνὰς τοιαύτας· ὅπερ καὶ ἐκωλύθη. Ἐπεχείρησαν δέ τινες εἰπεῖν τὸ αὐτὸ εἶναι Κυριακὸν τόπον καὶ ἐκκλησίαν· καὶ ἡρμήνευσαν τὸ Ἢ συμπλεκτικὸν καὶ οὐ διαζευκτικόν. Ἐμοὶ δὲ οὐκ ἔδοξε. Μετὰ γὰρ τὸ εἰπεῖν μὴ γίνεσθαι ἀγάπας ἐν Κυριακοῖς ἢ ἐν ἐκκλησίαις κωλύει τὸ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν εἰς μόνους τοὺς οἴκους, ἡγοῦν τὰς ἐκκλησίας.

pantes, quantum proinde nostro Salvatori debeamus, apud alios profitemur. Sensu vero, cum eam aspicientes veneramur atque salutamus. Quoniam igitur nonnulli, studio forte amplius honestandæ crucis, eam cum aliis locis tum in pavimento quoque efformabant : id fieri præsens canon, ac ex eo nostræ victoriæ trophæum per contumeliam conculcandum proponi, vetat. Qui vero ausi fuerint, segregationi obnoxios esse decernit.

ARIST. « Crux in pavimento, tollitur. »

Omnem adhibere debemus diligentiam, ut dignum vivificæ cruci tribuamus honorem, per quam ab antiquo lapsu servamur : et si a quopiam in pavimento crucis figura ponitur, deleatur; ne incedentium conculcatione victoriæ nostræ trophæum injuria afficiatur.

CANON LXXIV.

« Quod non oporteat in Dominicis locis vel ecclesiis « agapas, ut vocant, facere, et intus in æde co- « medere, et accubitus sternere. Qui autem hoc « ausi fuerint, vel cessent vel segregentur. »

BALS. Magnus Paulus in Epistola sua ad Corinthios eos reprehendit, qui in ecclesia convivantur, dicens : Annon habetis domos ad edendum vel bibendum? An Dei ecclesiam contemnitis, et eos qui non habent pudore afficitis [a]? 244 Quoniam ergo omnis locus Domino consecratus Dominicus dicitur, etiamsi non est ecclesia, sed templi vestibulum aut aliud sacrum, statuit canon, ne aliqui in ecclesia conviventur, vel in ejusmodi locis (hoc enim vocat ἀγάπην, id est dilectionem, vel quod sit dilectionis efficiens eamque constituens, vel quod fiat propter dilectionem) : sed neque intra domum Dei comedant, et accubitus sternant. Eos autem qui tale quid faciunt, et post denuntiationem non abstinent, segregationi subjici. Et vocatur quidem Agape, fraternitas, et quæ propter eam ineuntur convivia. Quæ quidem sunt prohibita, ut quæ offendiculorum et contumeliarum, et nonnunquam etiam conjurationum et sodalitatum, causæ essent. Accubitus autem dicitur omnis imposita strati strues, quæ in altitudinem erecta apud Latinos idem est, quod ἀνακλίπτω. Nonnulli ergo, ut videtur, lectulos in medium templi submittentes, hujusmodi toros seu strata, vel ad majores delicias, vel alioqui ad suam quietem faciebant : quod est etiam prohibitum. Nonnulli autem dicere conati sunt, idem esse locum Dominicum et ecclesiam : et interpretati sunt illud, Vel, ut conjunctivum, et non disjunctivum. Mihi autem non ita visum est. Postquam enim dixisset non faciendas agapas in

[a] I Cor. xi, 22.

Guill. Beveregii notæ.

(83) *Καὶ ἀκούβιτα στρωννύειν* Scholiastes Harmenopuli, Ἀκούβιτα στρωμνὰς μεγάλας λέγει, κατὰ Λατίνους. *Accubita vocat instratus sive toralia magna, juxta Latinos*, Harmen. epit. can. sect. 5, tit. 2. Vide Balsamonis de hac voce scholia, quæ etiam Joannes Citri episcopus loco paulo ante citato verbatim exscripsit.

Dominicis vel in ecclesiis, prohibet comedere et accubitus sternere in solis ædibus sive ecclesiis. Quamobrem est differentia inter ecclesias et pronaos et alios locos Dominicos.

A Ὥστε διαφορά ἐστιν ἐκκλησιῶν καὶ προνάων καὶ ἄλλων Κυριακῶν τόπων.

ZONAR. Moris antiqui fuit divinorum mysteriorum communione peracta convivia, cibariis ditiorum liberalitate collatis, ac per eos tenuioribus quoque ad mensæ societatem admissis, celebrare; cujus etiam magnus Paulus Epistola ad Corinthios meminit, eosque, quod privatim aliis non exspectatis epularentur, objurgat. *Unusquisque*, inquit, *suam cœnam præoccupat in edendo; et alius quidem esurit, alius autem ebrius est. Numquid enim domos non habetis, ut manducetis et bibatis? aut ecclesiam Dei contemnitis, et confunditis eos qui non habent*[9]? Hanc igitur epulandi consuetudinem, quam etiam B agapen sive charitatem nuncupavit, quasi a charitate profectam, vel quia charitatis efficiens sit (nam illa mensæ communio quamdam inter eos, qui una cibum capiunt, procreat charitatem) in ecclesiis renovatam, convenientibus intra sacra templa vestibulave ad vescendum convivis, hic canon improbat, neque in ecclesiis, aut intra sacrarum domorum septa, sed alicubi extra epulari jubet: accubitus etiam sterni vetat. Est autem accubitus Latina vox: Idem enim Latinis accumbo, quod ἀναπίπτω. Strata vero altius excitata molliora que, quæ deliciarum inertiæque sunt, significat. Dominici porro nomen pro ecclesia passim canones usurpasse reperias. Hic autem canon solus inter C ecclesiam atque Dominicum forte discriminis aliquid statuit. Particulam vero, Aut, non habere hoc loco disjungendi vim, sed explicationis gratia, pro, Sive, positam esse arbitror. Siquidem in sacris quoque Libris particulam, Et, non copulative, sed causaliter pro voce, Enim, invenimus usurpatam. Ut in iis verbis, *Gloria in excelsis Deo, et in terra pax*[10]: causam divinæ gloriæ concelebrandæ Scriptura explicat, pacem terris conciliatam; ut pro voce, Enim, particula, Et, sit recipienda. David quoque, *Da nobis auxilium*, ait, *de tribulatione, et vana salus hominis*[11]. Tu, inquit, auxiliare, hominum enim adjumenta ad salutem inania atque irrita sunt[12]. Libri quoque, quibus legum sanctiones continentur, disjunctivam conjunctionem pro copulativa D non raro adhibent. Sic libro quadragesimo quarto, titulo tertio, Si quis scripserit, Hic vel ille meus hæres esto, aut hunc vel illum manumittam; illud, Vel, conjunctive pro, Et, accipi voluere. Et ejusdem libri titulo decimo quinto: Si legavero uxori meæ ornamenta, vel quæcunque ejus gratia comparavi, ad eam omnia lege perveniunt: **245** conjunctione, Vel, pro, Et, intellecta. Et secundo titulo secundi libri, qui de verborum significatione inscribitur, capite quinquagesimo tertio: Conjunctivæ particulæ quandoque, inquit, pro disjunctivis, ac vicissim hæ pro illis usurpantur. Eodem

ZΩΝΑΡ. Ἀρχαῖον ἔθος ἦν τὸ μετὰ τὴν κοινωνίαν τῶν θείων μυστηρίων συσσίτια γίνεσθαι καὶ συμπόσια τῶν πλουσίων χορηγούντων τὰ βρώματα, προσκαλουμένων δὲ καὶ τοὺς πενεστέρους. Οὗ καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ μέμνηται, μεμφόμενος αὐτοῖς, ὅτι ἰδίᾳ ἤσθιον μὴ ἀναμένοντες καὶ τοὺς ἄλλους, καὶ ἐπάγων· *Ἕκαστος τὸ ἴδιον δεῖπνον προσλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;* Τοῦτο οὖν τὸ τῶν συμποσίων ἔθος, ὃ καὶ ἀγάπην ἐκάλεσεν ὁ κανών, διὰ τὸ ἐξ ἀγάπης γίνεσθαι, ἢ ὡς ἀγάπης συστατικὸν (τὸ γὰρ συνεσθίειν εἰς ἀγάπην τὴν πρὸς ἀλλήλους ἄγει τοὺς συνεσθίοντας) ἐν ἐκκλησίαις ὕστερον γινόμενον ἔνδον τῶν θείων ναῶν ἢ τῶν προτεμενισμάτων ἐσθιόντων τῶν συνερχομένων εἰς τὸ φαγεῖν αἰτιᾶται ὁ κανών οὗτος, καὶ κελεύει μὴ ἐν ταῖς ἐκκλησίαις ταῦτα ποιεῖν, καὶ ἐντὸς τῶν θείων οἴκων ἐσθίειν, ἀλλ' ἔξω που· μηδὲ ἀκούβιτο στρωννύειν. Ἡ δὲ λέξις τῶν ἀκουβίτων τῶν Λατίνων ἐστίν. Ἀκούμβω γὰρ παρὰ Ῥωμαίοις τὸ ἀναπίπτω. Σημαίνει δὲ στρωμνὰς ἡρμένας εἰς ὕψος καὶ μαλακάς. Αὗται δὲ τρυφῆς καὶ βλακείας εἰσί. Πολλαχοῦ δὲ τὸ τοῦ Κυριακοῦ ὄνομα εὕρηται ἐν τοῖς κανόσιν ἐπὶ τῆς ἐκκλησίας λαμβανόμενον. Μόνος δ' ὁ κανὼν οὗτος διαστέλλει τάχα τὴν ἐκκλησίαν καὶ τὸ Κυριακόν. Οἶμαι δὲ τὸ Ἢ ἐνταῦθα μὴ διαζευκτικῶς κεῖσθαι, ἀλλ' ὡς ἑρμηνευτικὸν, καὶ ἀντὶ τοῦ Ἤτοι. Εὑρίσκομεν γὰρ καὶ ἐν τῇ θείᾳ Γραφῇ τὸ Καὶ μὴ ὡς σύνδεσμον συμπλεκτικὸν παραλαμβανόμενον, ἀλλ' ὡς αἰτιολογικὸν, καὶ ἀντὶ τοῦ Γὰρ δεχόμενον· ὡς ὅταν λέγῃ· *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη*· αἰτίαν τοῦ δοξάζεσθαι τὸν Θεὸν τιθείσης τῆς Γραφῆς, ὅτι ἐπὶ γῆς εἰρήνη, τοῦ Καὶ ἀντὶ τοῦ Γὰρ τεθέντος. Καὶ ὁ Δαβὶδ δέ φησι· *Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου*· Σὺ, λέγων, βοήθει· ἡ γὰρ ἀνθρωπίνη σωτηρία ματαία καὶ ἀνωφελής. Καὶ ἐν ταῖς νομικαῖς δὲ βίβλοις εὕρηται πολλάκις ὁ διαζευκτικὸς σύνδεσμος ἀντὶ συμπλεκτικοῦ παραλαμβανόμενος. Φησὶ γὰρ βιβλίον μδ' τίτλος γ'· Ἐάν τις γράψῃ, Ὁ δεῖνα ἢ ὁ δεῖνα ἔστω μου κληρονόμος, ἢ τόνδε ἢ τόνδε ἐλευθερῶ, ἔδοξε τὸ Ἢ ἀντὶ τοῦ Καὶ δεχθῆναι συμπλεκτικοῦ. Καὶ τίτλος ιε' τοῦ αὐτοῦ βιβλίου φησίν· Ἐὰν ληγατεύσω τῇ γυναικί μου κόσμια, ἢ ὅσα χάριν αὐτῆς ηὐτρέπικα, πάντα λαμβάνει· τοῦ Ἢ συνδέσμου, ἀντὶ τοῦ Καὶ παραλαμβανομένου. Καὶ ὁ δεύτερος δὲ τίτλος τοῦ δευτέρου βιβλίου, ὃς περὶ ῥημάτων ἐπιγέγραπται σημασίας, ἐν κεφαλαίῳ ιγ' φησίν· Ὁ συμπλεκτικὸς καὶ ὁ διαζευκτικὸς ἔσθ' ὅτε ἀντὶ ἀλλήλων παραλαμβάνονται. Οὕτως ἐοίκασι καὶ οἱ τῆς συν-

[9] 1 Cor. xi, 21, 22. [10] Luc. ii, 14. [11] Psal. lix, 13. [12] Psal. xxxv, 7.

οὐου ταύτης; Πατέρες τῷ Ἤ ἐνταῦθα ἀντὶ τοῦ Ἤτοι χρήσασθαι.

ΑΡΙΣΤ. « Ἀγάπαι ἐν τοῖς Κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις οὐ τελοῦνται, οὐδὲ ἀκούβιτα στρώννυνται· « ἀλλ' οἱ μὴ παυόμενοι ἀφορίζονται.

Οὐ δεῖν τὸν τοῦ Θεοῦ οἶκον κοινὸν ἡγεῖσθαι οἶκον, καὶ ἐν αὐτῷ τὰς λεγομένας ἀγάπας τελεῖσθαι, καὶ ἔνδον ἐσθίειν, ἢ στρωννύειν ἀκούβιτα. Τὸν δὲ τοῦτο ποιεῖν τολμῶντα, εἰ μὴ παύοιτο, ἀφορίζεσθαι.

ΚΑΝΩΝ ΟΕ'

« Τοὺς ἐπὶ τὸ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγινο- « μένους βουλόμεθα, μήτε βοαῖς ἀτάκτοις κεχρῆ- « σθαι καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι, « μήτε τι ἐπιλέγειν τῶν μὴ τῇ ἐκκλησίᾳ ἁρμο- « δίων τε καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσ- « οχῆς καὶ κατανύξεως τὰς ψαλμῳδίας προσάγειν « τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ. Εὐλαβεῖς γὰρ « ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λό- « γιον (84). »

ΒΑΛΣ. Αἱ τοῦ Θεοῦ ἐκκλησίαι οἶκοι προσευχῶν λέγονται· ὅθεν καὶ οἱ προσευχόμενοι παρακαλεῖν τὸν Θεὸν ὀφείλουσι μετὰ δακρύων καὶ ταπεινώσεως, οὐ μὴν μετὰ ἀτάκτου καὶ ἀναιδοῦς σχήματος. Διωρίσαντο οὖν οἱ Πατέρες, μὴ γίνεσθαι τὰ ἱερὰ ψαλμῳδήματα διὰ βοῶν ἀτάκτων καὶ ἐπιτεταμένων καὶ τὴν φύσιν παραβιαζομένων· μήτε τὴν διά τινων καλλιφωνιῶν ἀνοικείων τῇ ἐκκλησιαστικῇ καταστάσει καὶ ἀκολουθίᾳ, οἷά εἰσι τὰ θυμελικὰ μέλη, καὶ αἱ περιτται ποικιλίαι τῶν φωνῶν· ἀλλὰ μετὰ πολλῆς κατανύξεως καὶ θεαρέστου τρόπου προσάγειν τῷ Θεῷ τὰς εὐχὰς, τῷ εἰδότι τὰ κρυπτὰ τῶν καρδιῶν ἡμῶν. Ταῦτα δὲ παρεκελεύσαντο ἀκολούθως τῷ εὐαγγελικῷ ῥητῷ, τῷ διοριζομένῳ μὴ κατὰ ἐθνικοὺς εὔχεσθαι ἡμᾶς μετὰ βαττολογίας καὶ κραυγῆς, ὡς οἰομένους εἰσακουσθῆναι διὰ τὴν πολυλογίαν ἡμῶν, ἀλλ' ἐν τῷ κρυπτῷ προσάγειν τὸν ὕμνον τῷ Θεῷ· ποιεῖν δὲ καὶ τὰς αἰτήσεις ὁμοίως, ἵνα καὶ ὁ Πατὴρ ἡμῶν ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσῃ ἡμῖν ἐν τῷ φανερῷ. Ἐπεὶ δὲ, φασὶ, καὶ ὁ Μωσαϊκὸς νόμος εἶπεν ἐν τῷ Λευϊτικῷ· Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραὴλ, μᾶλλον ἡμεῖς, οἱ τοῦ νόμου τούτου δεξάμενοι τὸ πλήρωμα, ὀφείλομεν εὐλαβέστεροι εἶναι, καὶ κατὰ τὰ νενομισμένα πολιτεύεσθαι. Ἐπεὶ δὲ παρὰ διαφόροις ἁγιωτάτοις πατριάρχαις ἐλαλήθη μὴ μόνον ἐν ταῖς ἑορταῖς γίνεσθαι τοιαῦτα παρὰ τῶν ψαλτῶν, ἀλλὰ καὶ ἐν παννυχίσι καὶ μνημοσύνοις τεθνεώτων· γεγόνασι διάφορα σημειώματα συνοδικὰ ἀφορισμῷ καθυποβάλλοντα τοὺς τοιαῦτα ποιοῦντας, καὶ μὴ διὰ ψαλμῳδημάτων καὶ ἀλληλουϊαρίων λιτῶν

modo igitur ab hujus quoque synodi Patribus particulam, Vel, pro, Sive, adhibitam fuisse existimarim.

ARIST. « Agapæ in ecclesiis non sunt peragendæ, « nec accubitus sternendi : quinetiam qui non « desistunt, segregantur.

Non oportet Dei domum communem domum existimare, et in ea agapas dictas peragere, et intus comedere, aut accubitus sternere : is autem, qui hoc ausus est facere, et non cessat, segregetur.

CANON LXXV.

« Eos, qui in ecclesiis ad psallendum accedunt, « volumus, nec inordinatis vociferationibus uti « et naturam ad clamorem urgere, nec aliquid « eorum, quæ ecclesiæ non conveniunt et apta « non sunt, asciscere : sed cum magna attentione et compunctione psalmodias Deo, qui « est occultorum inspector, offerre. Pios enim « fore filios Israel sacrum docuit oraculum. »

BALS. Dei ecclesiæ dicuntur domus orationis; unde etiam qui orant, cum lacrymis Deum orare debent et cum humilitate, non autem cum inordinato et impudente habitu. Statuerunt ergo Patres non esse sacra canenda cantica et psalmodias inordinatis et intentis vociferationibus, et naturæ vim afferentibus; nec etiam quibusdam flexis modulatisque vocibus, ecclesiasticæ constitutioni et consequentiæ non convenientibus, cujusmodi sunt modi scenici et supervacaneæ vocis varietates : sed cum multa compunctione et moribus piis et sanctis Deo preces offerre, qui novit cordium nostrorum occulta. Hæc autem jusserunt consequenter dicto evangelico, quod statuit : Non oportere nos, sicut et ethnici, cum loquacitate et clamore precari, tanquam per multiloquium nostrum nos exaudiendos arbitremur, sed in occulto, Deo hymnum offerre : facere autem petitiones similiter, ut Pater noster cœlestis, qui videt in abscondito, nobis reddat in aperto [13]. Quoniam autem, inquiunt, lex quoque Mosaica dixit in Levitico, pios filios Israel futuros, nos quoque, qui hujus legis complementum accepimus, magis pii esse debemus, et prout constitutum est, nos gerere [14]. Quoniam autem apud diversos sanctissimos patriarchas dictum est, non solum in festis hæc fieri a cantoribus, sed etiam in vigiliis et mortuorum monumentis : fuerunt multa synodalia edicta segregationi subjicientia eos, qui talia faciunt, et non per cantica, et triodia simplicia minimeque elaborata, et

[13] Matth. VI, 18. [14] Levit. XVIII, 5.

Guill. Beveregii notæ.

(84) Ἐδίδαξε λόγιον. Post hæc verba, et ante Balsamonis scholia, in codice nostro Bodleiano hæc interseruntur, Σημείωσαι τὸν παρόντα κανόνα κωλύοντα τὰς θυμελικὰς ψαλμῳδίας, καὶ τὰ λεγόμενα δι' ἀσμάτων, καὶ θαύμασον πῶς ἀναιδῶς γίνεται ἡ τούτου καταφρόνησις, *Nota præsentem canonem, scenicas psalmodias, et quæ diplasmata dicuntur, retantem; et mirare ut impudenter negligenti habetur.* Hæc autem e margine in textum transcripta videntur.

secundum Ecclesiæ constitutionem cantata nocturnam psalmodiam peragunt. Lege et synodi Carthaginensis canonem 108, et quæ in eum scripta sunt. Lege etiam Patris nostri Joannis Chrysostomi jam inter beatos, homiliam in seraphim, item in illud, Vidi Dominum sedentem in throno alto et elato. Prohibet enim psalmodias scenicas, et manuum gesticulationes, vocesque protractas et vibratas.

καὶ ψαλλομένων κατὰ τὸ θεμέλιον τῆς ἐκκλησίας ἐκπληροῦντας τὴν παννύχιον ψαλμῳδίαν. Ἀνάγνωθι καὶ τῆς ἐν Καρθαγένῃ (85) συνόδου κανόνα ρη', καὶ τὰ ἐν αὐτῷ γραφέντα. Ὡσαύτως ἀνάγνωθι καὶ τὸν εἰς τὰ Σεραφιμὰ καὶ εἰς τὸ, Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, λόγον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Κωλύει γὰρ τὰς θυμελικὰς ψαλμῳδίας καὶ ὀρχήσεις τῶν χειρῶν καὶ τὰς ἐκτεταμένας φωνὰς καὶ κινήσεις.

ZONAR. Psalmos in ecclesia recitandi consuetudo deprecatio quædam est ad Deum, qua Numinis, ob ea quæ admisimus irritati, pacem nobis ac veniam votis supplicibus imploramus. Supplicantes vero ac rogantes humili abjectoque habitu incedere par est. Clamores autem inconditæque vociferationes, non demissionis, sed elati ac temere exsultantis animi sunt argumentum. Qui ergo psalmis in ecclesia recitandis vacant, eos attente ac mœrentium habitu psallere, non inconditis ac violentis vociferationibus (est vero vociferatio intenta et vehementiore conatu explosa vox), obstrepere jubet canon. **246** Neque id tantum, sed quidquam præterea minus accommodatum atque ab ecclesiæ sanctitate alienum, quales sunt infracti illi modorum soni argutæque cantilationes, atque ad scenicos meretriciosque ritus nimis evariata modulatio, quibus præcipua hoc tempore in templis canentium cura impenditur, adhiberi vetat. Quibus sic constitutis, testimonium quoque postea ex sacris Litteris profert. Pios namque, inquit, fore filios Israel sacro oraculo edocti sumus. Nos autem filiorum Israel nomine significari indicant illa divi Pauli: Non enim omnes qui ex Israel sunt, ii sunt Israelitæ, neque qui semen sunt Abrahæ, omnes filii: sed in Isaac vocabitur tibi semen: id est, non qui filii carnis, hi sunt filii Dei; sed qui filii sunt promissionis æstimantur in semine [1]

ΖΩΝΑΡ. Ἡ ἐν ταῖς ἐκκλησίαις γινομένη ψαλμῳδία παράκλησίς ἐστι πρὸς Θεὸν, δεομένων ἡμῶν ἵλεων ἔσεσθαι τὸ Θεῖον ἡμῖν ἐφ' οἷς αὐτῷ προσκεκρούκαμεν. Οἱ δὲ παρακαλοῦντές τε καὶ δεόμενοι ταπεινὸν ἦθος καὶ κατανενυγμένον ἔχειν ὀφείλουσι. Τὸ δὲ βοᾷν καὶ κραυγάζειν οὐ κατεσταλμένου ἤθους, ἀλλὰ θρασέος ἐστὶ καὶ γεγαυρωμένου. Διὸ καὶ τοὺς ψάλλοντας ἐν ἐκκλησίαις ὁ κανὼν ἀπαιτεῖ μετὰ προσοχῆς καὶ κατανύξεως ψάλλειν, ἀλλὰ μὴ ἀτάκτως βοᾷν, καὶ τὴν φωνὴν ἐκβιάζεσθαι πρὸς κραυγήν. Κραυγὴ δ' ἐστὶν ἐπιτεταμένη φωνὴ καὶ βίᾳ ἐκρηγνυμένη. Καὶ οὐ μόνον τοῦτο ἀπαγορεύει, ἀλλ' οὐδέ τι ἐπιλέγειν συγχωρεῖ ἀνοίκειον καὶ ἀνάρμοστον ἐκκλησίᾳ, οἷά εἰσι τὰ κεκλασμένα μέλη καὶ μινυρίσματα, καὶ ἡ περιττὴ τῶν μελῳδιῶν ποικιλία, εἰς ᾠδὰς ἐκτρεπομένη θυμελικὰς καὶ εἰς ᾄσματα πορνικὰ, τὰ νῦν ἐν ψαλμῳδίαις ἐπιτηδευόμενα μάλιστα. Ταῦτα διατατόμενος ἐπάγει καὶ γραφικὴν μαρτυρίαν, λέγων· Εὐλαβεῖς γὰρ ἐσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον. Υἱοὶ δὲ Ἰσραὴλ ἐσμεν ἡμεῖς κατὰ τὸν ἅγιον Παῦλον, λέγοντα· Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντα τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.

ARIST. « Inordinata psallentium vociferatio non « admittitur, et qui asciscit quæ ecclesiis non con- « veniunt. »

ΑΡΙΣΤ. « Ἄτακτος κραυγὴ τοῦ ψάλλοντος ἄδεκτος, καὶ ὁ ἐπιλέγων τὰ καὶ ἐκκλησίαις ἀνάρμοστα. »

Cum compunctione et attentione multa psalmodies Deo occultorum inspectori offerre oportet, et non inordinatas edere vociferationes, et naturam ad clamorem urgere; filios enim Israel pios fore sacrum docuit oraculum; sed nec quidquam, quod non aptum et accommodatum est ecclesiasticæ constitutioni, psallere oportet.

Μετὰ κατανύξεως καὶ προσοχῆς πολλῆς δεῖ τὰς ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ, καὶ μὴ ἀτάκτοις χρᾶσθαι βοαῖς, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι. Εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον· ἀλλὰ μηδέ τι ψάλλειν ἀνοίκειον, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει μὴ ὂν ἁρμόδιον.

CANON LXXVI.

« Quod non oportet intra sanctos ambitus caupo-

ΚΑΝΩΝ ΟΖ'.

« Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον

[1] Rom. IX, 6.

Guill. Beveregii notæ.

(85) *Ἀνάγνωθι καὶ τῆς ἐν Καρθαγένῃ.* Hæc usque ad finem hujus interpretationis in codice Amerbachiano desiderantur. Exstant autem in editione Parisiensi, sed aliter lecta quam hic e ms. Bodleiano edita; his nimirum verbis, Ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ρη' καὶ τὰ ἐν αὐτῷ γραφέντα. Ὡσαύτως ἀνάγνωθι καὶ τὸν πανηγυρικὸν λόγον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, τὸν γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ προφητικοῦ ῥητοῦ τοῦ λέγοντος, *Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου.* Κωλύει γὰρ τὰς θυμελικὰς ψαλμῳδίας καὶ τὰς ὀρχήσεις τῶν χειρονομούντων, καὶ τὰς ἐκτεταμένας ἐκβοήσεις. Hic autem omittitur oratio ejus in Seraphim, quæ exstat in quinto divi Chrysostomi operum tomo, pag. 155, edit. Savil.

« ἢ τὰ διὰ ἀρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας A
« πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλη-
« σίαις φυλάσσοντας. Ὁ γὰρ Σωτὴρ ἡμῶν καὶ
« Θεὸς, διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν
« ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ
« ἐμπορίου οἶκον παρεκελεύσατο· ὃς καὶ τῶν
« κολλυβιστῶν τὸ κέρμα ἐξέχεε, καὶ τοὺς τὸ ἱε-
« ρὸν κοινοποιοῦντας ἀπήλασεν. Εἴ τις οὖν ἐπὶ
« τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέ-
« σθω (86). »

ΒΑΛΣ. Τὴν ἀνάλογον τιμὴν τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν περὶ αὐτὰς συντηροῦντες οἱ θεῖοι Πατέρες, καὶ μὴ ἀνεχόμενοι ὅλως κοινοῦσθαι παρά τινος τὰ ἱερὰ, διωρίσαντο μὴ προτίθεσθαι ἀρωματικὰ εἴδη ἔνδον τῶν ἱερῶν περιβόλων, μηδὲ καπηλεῖον γίνεσθαι ἐν αὐτοῖς, μηδὲ ἁπλῶς πιπράσκεσθαί τι ἔνδον τούτων· ἀλλ' εἶναι ἀνεπικοινώνητα παντελῶς τοῖς ἐμπορευομένοις· Ὅτι, φασὶ, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς, πραγματικῶς διδάσκων ἡμᾶς διὰ τῆς ἐνσάρκου πολιτείας αὐτοῦ μεγάλως κολάζεσθαι τὸν χοινοῦντα τὸ ἱερὸν, καὶ οἶκον ἐμπορίου τὸν οἶκον τοῦ Θεοῦ ποιοῦντα, τοὺς κολλυβιστὰς, τουτέστι τοὺς τραπεζίτας, ἐκ τῶν ἱερῶν περιβόλων ἐξήλασε· κόλλυβος δὲ τὸ λεπτὸν νόμισμα· καὶ τὰ κέρματα αὐτῶν, τουτέστι τὰ διὰ νομισμάτων προχείρια, ἐξέχεεν. Τοὺς γοῦν τοιοῦτόν τι ποιῆσαι τολμήσαντας ἀφορισμῷ καθυπέβαλον. Διαφόρων δὲ ἁγιωτάτων πατριαρχῶν προσταξάντων ἀπό τε τοῦ Αὐγουστεῶνος (87) καὶ τῶν προτιχεστέρων μερῶν τῷ προνάῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκ- C
κλησίας τοὺς τραπεζίτας διωχθῆναι, καὶ τοὺς ψωμοπώλας καὶ ὀπωροπώλας, καὶ τοὺς λοιποὺς ἐμπόρους, εἰπόν τινες, ὡς περιβόλους ἐκκλησιαστικοὺς ὁ κανὼν ὀνομάζει τοὺς προνάους ἑκάστου ναοῦ, οὐ μὴν τὰς φιάλας καὶ τὰ ἕτερα μέρη τῶν θείων ναῶν, τὰ συνηνωμένα αὐτοῖς. Τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἤρεσεν. Εἶπον γὰρ ὡς, ἐπεὶ ὁ κανὼν ἐκκλησίας οὐκ ἐμνήσθη (τὸ γὰρ ἐν μεσονάῳ ἢ προνάῳ καπηλεῖον γενέσθαι ἢ ἀγορανόμων συνέδριον, οὐδὲ εἰς ἐνθύμησίν τινος Χριστιανοῦ ἦλθοι, ὡς ἀσεβέστατον), ἀλλὰ ἱερῶν περιβόλων ναοῦ, ὀφείλομεν περὶ τούτων τὴν πᾶσαν

« natoriam officinam, vel quæ fiunt per aro-
« mata species proponere, vel alias venditiones
« facere, suam venerationem ecclesiis servantes.
« Servator enim noster et Deus, per suam in
« carne vitæ agendæ rationem nos instituens,
« non facere domum Patris sui domum negotia-
« tionis jussit; qui etiam nummulariorum æs
« effudit, et eos, qui sacrum commune faciebant,
« ejecit [16]. Si quis ergo in prædicto delicto de-
« prehensus fuerit, segregetur. »

BALS. Sanctarum ecclesiarum convenientem honorem, eorumque quæ ad illas pertinent, sancti Patres conservantes, nec sustinentes ut ab ullo omnino quæ sunt sacra fiant communia, decreverunt non esse proponendas aromaticas species intra sanctos ambitus, nec in eis fieri cauponatoriam officinam, nec intra ipsos aliquid omnino vendi: sed eos esse a mercatorum communione alienos; Quoniam, inquiunt, Dominus quoque noster Jesus Christus et Deus, per suam in carne vitæ agendæ rationem, nos diserte docens esse valde puniendum eum, qui quod est sacrum commune facit, et domum negotiationis reddit, nummularios, hoc est, mensarios seu argentarios ex sacris ambitibus abegit (κόλλυβος autem exiguum nummum significat), et æs eorum, hoc est, nummos expositos effudit. Ens ergo, qui hoc facere ausi fuerint, segregationi subjecerunt. Cum autem permulti sanctissimi patriarchæ, et ab Augustali et a propinquioribus Magnæ ecclesiæ vestibulo partibus, nummularios, et crustularum fructuumque venditores, et reliquos mercatores, expelli jussissent, dicebant quidam, canonem ecclesiasticos ambitus nominare porticus ac vestibula uniuscujusque templi, sed non et phialas aliasque divinarum ædium partes, quæ eis unitæ sunt: hoc autem pluribus non placuit. Dicebant enim, quod quoniam canon de Ecclesia non meminit (quod enim in medio templi vel in ejus vestibulo sit caupona vel mercatorum conventus, nulli Christiano ne in mentem quidem venerit, ut quod sit a pietate alienissimum), sed de sacris

[16] Joan. II, 16.

Guill. Beveregii notæ.

(86) *Πλημμελήματι. ἀφοριζέσθω.* Inter hæc ultima canonis verba et Balsamonis interpretationem nota quædam marginalis in ms. nostro Bodleiano interponitur, quæ sic se habet Σημείωσαι τὸν παρόντα ος' κανόνα, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ ζήτει τὴν διόρθωσιν τῶν ἐν τοῖς μυρεψίοις; τῆς Μεγάλης Ἐκκλησίας τελουμένων, καὶ ἐν τῷ τοῦ πρωτεκδίκου περιβολαίῳ· καὶ ἔστι τούτου ἐνδότερος. Ὡσαύτως καὶ τῶν ἀπερχομένων ἐν ταῖς ὁπουδήποτε τελεταῖς καὶ πανηγύρεσι, χάριν πραγμάτων καὶ δοσοληψιῶν· μεγάλης γὰρ εἶσι καταχρίσεως οἱ τοιοῦτοι ἄξιοι. Φησὶ γὰρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ ταῦτα, οὐ μὴν ἐπειδή ἕτεροι προλαβόντες παρέφθειραν τὴν κεκρατηκυῖαν συνήθειαν ἐπὶ τῶν ἁγίων, καὶ ἀντὶ τοῦ προσεύχεσθαι, τόν τε καιρὸν καὶ τὸν τόπον ποιοῦνται ἀγορὰν καὶ πανήγυριν καὶ ἐμπορίαν. Ex eo autem, quod non solum canon, sed et ipsa Balsamonis interpretatio hic notetur, palam est hæc verba ad Balsamonis textum nequicquam pertinere; ac proinde in aliis omnibus codicibus, quos videre contigit, rectius omittuntur.

(87) *Ἀπό τε τοῦ Αὐγουστεῶνος.* Sic dictus est locus quidam Constantinopoli, ubi opsonia vendebant. Codinus ἐπωνόμασε τὸν τόπον αὐγουστεῶνα, πρότερον γουστεῖον λεγόμενον ἤγουν ὀψοπώλιον. Cod. De orig. Constantinop. Prone fuit Magnam Ecclesiam, ut non solum ex hoc Balsamonis loco, sed et ex Niceta Choniata constat, dicente, οὐκοῦν δεῖ τῷ ἱερῷ οἰκίαι κατὰ τὸν Αὐγουστεῶνα συνήπτοντο, παρὰ τῶν ὑπ' αὐτὴν ἀπερράγησαν. Et paulo post. τέλος δὲ τοῦ πάντοθεν βάλλουσιν ἐκ τοῦ νεὼ πιεζόμενοι, ἀφίστανται τῆς τοῦ Αὐγουστεῶνος αὐλαίας, καὶ εἰσίασι τὸ πρόναον, Nic. Choniat. in Alexio Man. Comn. fil

templi ambitibus, de his debemus omnem dubitationem adducere. Omnes autem illos esse sacros ambitus dixerunt, qui rationis expertium animantium conculcationi permissi non sunt, etiamsi alio quodam modo sint communes : ex 12 cap., primi tit., v lib. quod dicit : Usque ad terminos ecclesiæ in foro publico securitatem habeant, qui confugerunt interioribus lavacris, vel hortis, vel domiciliis, vel porticibus, vel atriis utentes **247** et prohibeantur intra templum dormire vel comedere, lavacra et hortos, et porticus ecclesiæ conjuncta sacros ambitus esse ne dixeris, ut illic etiam prohibeantur proponi venalia. Hæc enim ecclesiæ quidem partes reputabuntur : sacri autem ambitus non dicentur. Et, ut communia quidem, sanctorum ambituum honore digna non habebuntur : sed propter ecclesiæ privilegium, qui eum, qui eo confugit, ex ipsis abripuerit, punietur. Nota vero, intra solum templum edere ac bibere prohiberi eos, qui ad ipsum confugerint.

ZONAR. *Domus mea*, dixit Dominus ad Judæos, *domus orationis vocabitur : vos autem fecistis illam speluncam latronum* [17]. Ne igitur eadem fidelibus objici queant, ne intra sacri loci ambitum cauponas exstruere, neve esculenta aut alia quæcunque venalia habere liceat, Patres decrevere. Neque vero intra ecclesiam, sed intra sacri loci ambitum ea fieri vetant. Sunt vero sacri ambitus omnia sanctorum templorum septa, ita ut neque in templorum areis, neque in vestibulis aliquid ejusmodi fieri canon sinat : quamvis ea nunc impie fiant. Suam vero sententiam Patres ex Evangelio confirmant, nos ita a Christo edoctos esse dicentes ; qui et Judæis, ne domum Patris sui domum negotiationis facerent, imperavit, et sacrilegos nundinatores a templo expulit, et nummulariorum æs effudit. Sunt vero κολλυβισταὶ, seu nummularii, qui exigua numismata, hoc est, nummos, vendunt. Κόλλυβος enim apud Græcos exiguum numisma est, quod a Romanis nummus vocatur. Est vero κέρμα, idem quod numisma.

ARIST. « Intra sacrum ambitum caupona con-
« stitui non debet ; ac ibidem cibos vendi ineptum :
« et qui utrumvis facit, segregatur. »

Dei domum domum negotiationis non facere jussit Sospitator et Deus noster : quapropter intra sacros ambitus non oportet officinam cauponatoriam instituere, et quæ per edulia fiunt species proponere, aut alias facere venditiones. Si quis itaque in hujusmodi peccato deprehensus fuerit, segregabitur.

CANON LXXVII.

« Quod non oportet sacris initiatos, vel clericos, vel
« ascetas, lavari cum mulieribus ; nec omnem
« Christianum vel laicum. Hæc est enim prima
« condemnatio apud gentes. Si quis autem hac

[17] Matth. xxi, 13.

εἰσάγειν ἀμφιβολίαν. Πάντες δὲ ἐκείνους εἶπον εἶναι ἱεροὺς περιβόλους, τοὺς μὴ ἀπολυθέντας εἰς ἀλόγων ζώων καταπάτησιν, καὶ ἀλλοτρόπως κοινωθέντας. Ἀπὸ μέντοι τοῦ ιβ' κεφ. τοῦ α' τίτλου τοῦ ε' βιβλίου, τοῦ λέγοντος· Μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασι, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν· μὴ εἴπῃς καὶ τὰ λυτρὰ καὶ τοὺς κήπους καὶ τὰς στοὰς, τὰς συνημμένας ταῖς ἐκκλησίαις ἱεροὺς περιβόλους εἶναι, ὡς ἐντεῦθεν κωλύεσθαι καὶ τὸ προτίθεσθαι ὤνια ἐπ αὐτοῖς. Ταῦτα γὰρ μέρη μὲν τῆς ἐκκλησίας λογίζονται· ἱεροὶ δὲ περίβολοι οὐ λεχθήσονται. Καὶ ὡς κοινὰ μὲν, τῆς τιμῆς τῶν ἱερῶν περιβόλων οὐκ ἀξιωθήσονται· διὰ δὲ τὸ τῆς ἐκκλησίας προνόμιον, ὁ ἐξ αὐτῶν ἁφαρπάσας πρόσφυγα κολασθήσεται. Σημείωσαι δὲ ὅτι ἐντὸς μόνου τοῦ ναοῦ ἐσθίειν καὶ πίνειν τοὺς πρόσφυγας κεκώλυται.

ΖΩΝΑΡ. *Ὁ οἶκός μου*, τοῖς Ἰουδαίοις ἔφη ὁ Κύριος, *οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν*. Ἵν' οὖν μὴ καὶ τοῖς πιστοῖς τοῦτο ῥηθῇ, ἀπηγόρευσαν οἱ Πατέρες ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖα συνιστᾶν, ἢ ἐδώδιμα προτιθέναι εἰς πρᾶσιν, ἢ ἕτερά τινα. Οὐκ εἶπον δὲ ἔνδον τῆς ἐκκλησίας, ἀλλὰ τῶν ἱερῶν περιβόλων. Περίβολοι δ' εἰσὶν ἱεροὶ αἱ τῶν θείων ναῶν ἅπασαι περιοχαί· ὥστε οὐδ' ἐν προτεμενίσμασιν, οὐδ' ἐν προαυλίοις τοιοῦτόν τι γίνεσθαι παραχωρεῖ ὁ κανών· εἰ καὶ νῦν ἀνευλαβῶς ταῦτα γίνονται. Κατασκευάζουσι δὲ τὸν οἰκεῖον λόγον οἱ Πατέρες ἐκ τοῦ Εὐαγγελίου, λέγοντες τὸν Χριστὸν τοῦτο παραδοῦναι ἡμῖν, λέγοντα τοῖς Ἰουδαίοις· Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορείου· καὶ ἀπελάσαντα ἐκ τοῦ ἱεροῦ τοὺς θεοκαπήλους, καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐκχέαντα. Κολλυβισταὶ δ' εἰσὶν οἱ τὰ λεπτὰ νομίσματα πωλοῦντες, ἤτοι τοὺς νούμμους· κόλλυβος γὰρ παρ' Ἕλλησι τὸ λεπτὸν νόμισμα, ὃ παρὰ Ῥωμαίοις νοῦμμος καλεῖται. Καὶ κέρμα δὲ τὸ νόμισμα λέγεται.

ΑΡΙΣΤ. « Ἐν ἱερῷ περιβόλῳ καπηλεῖον ἀσύστατον,
« καὶ πωλούμενα βρώματα μάτταια· καὶ ἐν ἀμ-
« φοτέροις ὁ ποιῶν ἀφορίζεται. »

Τὸν τοῦ Θεοῦ οἶκον μὴ ποιεῖν ἐμπορείου οἶκον παρεκελεύσατο ὁ Σωτὴρ ἡμῶν καὶ Θεός· διὰ τοῦτο οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον συνιστᾶν, καὶ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι. Εἴ τις οὖν τοιοῦτόν τι φανῇ πλημμελῶν, ἀφορισθήσεται.

ΚΑΝΩΝ ΟΖ'.

« Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς ἐν
« βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι· μηδὲ
« πάντα Χριστιανὸν ἢ λαϊκόν. Αὕτη γὰρ πρώτη
« κατάγνωσις παρὰ τοῖς ἔθνεσιν. Εἰ δέ τις ἐπὶ

« τοῦτο φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαι- A
« ρείσθω (88) · εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

ΒΑΛΣ. Ὡς ἔοικε πρὸ τῆς συνόδου ταύτης ἐλούοντο ἱερωμένοι τινὲς, καὶ μοναχοὶ, καὶ λαϊκοὶ μετὰ γυναικῶν, μὴ ἐπιστρεφόμενοι τῆς ἀποστολικῆς θείας παραγγελίας, τῆς λεγούσης · Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Διορθούμενοι οὖν τοῦτο οἱ ἅγιοι Πατέρες, ὡς ἀπρεπέστατον καὶ σκανδαλοποιὸν, καὶ διεγεῖρον εἰς δαιμονιώδεις ἐπιθυμίας, φέρον τε τοὺς χρωμένους τῇ ἀσέμνῳ ταύτῃ διαγωγῇ εἰς μεγάλην κατάγνωσιν, διωρίσαντο τὸν οὕτως ἀδιαφόρως καὶ ἀπρεπῶς εἰς τὸ ἐξῆς μετὰ γυναικὸς λουόμενον, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Σημείωσαι δὲ ὅτι ὁ κανὼν διαφορὰν ποιεῖται κληρικῶν, ἱερωμένων, λαϊκῶν, καὶ ἀσκητῶν. Ἱερωμένοι γάρ εἰσιν οἱ τοῦ βήματος, οἱ καὶ χειροτονούμενοι · ἐπίσκοποι δηλονότι, ἱερεῖς, διάκονοι καὶ ὑποδιάκονοι. Κληρικοὶ πάντες οἱ ἐκτὸς τοῦ βήματος ἐν ναοῖς ἐξυπηρετούμενοι, ἤγουν ἀναγνῶσται, θεωροὶ, καὶ ἕτεροι τοιοῦτοι · ἀσκηταὶ δὲ οἱ μοναχοὶ ὅσοι οὐκ ἔφθασαν ἐπισκοπικὴν σφραγῖδα δέξασθαι, ἀλλὰ μόνην ἐπικουρίδα μοναχικήν. Οἱ γὰρ σφραγῖδα δεξάμενοι ἐπισκοπικὴν μοναχοὶ κληρικοὶ λέγονται. Ἀσκητῶν δὲ καὶ μοναχῶν οὐδεμία διαφορά. Συναγαγὼν οὖν εἰπὲ ὡς οἱ μὲν τοῦ βήματος ὀφ' ἐγγραφῆς ὀμνύειν ὀφείλουσιν · οἱ δὲ ἐκτὸς τοῦ βήματος κατὰ λαϊκοὺς ἐπομόσονται, κἂν μοναχοὶ ὦσι. Τινὲς μέντοι λαϊκοὶ μετὰ τῶν οἰκείων ὁμοζύγων ἐν βαλανείοις λουόμενοι, καὶ χάριν τούτου ἐλεγχόμενοι, C
λέγουσι μὴ κωλύεσθαι τοῦτο ὑπὸ τοῦ κανόνος. Σάρξ γάρ μία εἰσὶ, καὶ οὐδέν τι ἀσεμνον δοκεῖ γίνεσθαι μέσον αὐτῶν, μὴ διεστηκότων ἀλλήλων τοῖς σώμασιν · ἐκείνους δὲ κολάζεσθαι, τοὺς σὺν τῇ πορνείᾳ καὶ ἀσχημόνως διάγοντας, καὶ τῆς φύσεως μὴ αἰσχυνομένους τὴν ἀπρέπειαν. Οὐκ ἤρεσαν δὲ ταῦτα τοῖς εὐλαβεστέροις, εἰποῦσι κατάγνωσιν πρώτην εἶναι τοῦτο παρὰ τοῖς ἔθνεσιν, ὡς ὁ κανὼν φησι, κἀντεῦθεν καὶ κολάζεται ὁπωσδήποτε γινόμενον · καὶ ὅτι κἂν δοκῶσιν οἱ ὁμόζυγοι ἓν σῶμα εἶναι, ἀλλ' οὐκ ἐφεῖται αὐτοῖς κακῶς τοῖς οἰκείοις χρήσασθαι μέλεσιν. Ἐπεὶ τοί γε, εἰ τοῦτο ἦν, οὐδὲ οἱ ἐπιχειρήσαντες ἑαυτοὺς ἀνελεῖν ἵνα ἐκολάζοντο (89).

ΖΩΝΑΡ. Ὁ θεῖος ἀπόστολος Παῦλος, *Δεῖ*, φησὶ, D
καλὰ προνοεῖσθαι ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων · καὶ πάλιν · *Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ*

« in re deprehensus fuerit, si sit quidem cleri- A
« cus, deponatur : sin vero laicus, segregetur. »

BALS. Ut est verisimile, ante hanc synodum lavabantur sacerdotes quidam et monachi et laici cum mulieribus, apostolicum divinum præceptum non curantes, quod dicit : Sine offendiculo sitis et Judæis et Græcis et Ecclesiæ Dei [18]. Corrigentes hoc ergo sancti Patres, ut maxime indecorum et offensionem scandalumque afferens, et ad dæmoniacas cupiditates excitans, et eos qui hoc turpi instituto utuntur ad magnam condemnationem deducens, statuerunt ut qui delinceps adeo inconsiderate et indecore cum muliere lavabitur, si sit quidem clericus, deponatur ; si vero laicus, segregetur. Nota autem, quod canon facit differentiam B
inter sacris initiatos, clericos, laicos et ascetas. Sacris initiati sunt, qui sunt ex sacro tribunali, qui etiam ordinantur ; episcopi scilicet, sacerdotes, diaconi et hypodiaconi. Clerici, omnes qui extra sacrum tribunal in templis serviunt, ut lectores, ostiarii et alii ejusmodi. Ascetæ autem monachi qui episcopalem characterem non accepere, sed solam tonsuram monachalem. Monachi enim qui episcopalem tonsuram accepere dicuntur clerici. Ascetarum autem et monachorum nulla est differentia. **248** Dic ergo in summam redigens, quod qui sunt quidem ex sacro tribunali in scriptis jurare debent : qui autem sunt extra tribunal, ut laici jurabunt, etiamsi sint monachi. Quidam au- C
tem laici, cum in balneis una cum conjugibus lavantur, et propterea reprehenduntur, dicunt istud ab hoc canone non prohiberi. Sunt enim caro una, et nihil turpe ac indecorum inter eos fieri videatur, cum a se invicem non sint disjuncti corporibus : illos autem puniri, qui cum scortatione se turpiter et indecore gerunt, naturæque pudendorum nullo penitus pudore afficiuntur. Hæc autem religiosioribus non placuere, dicentibus hoc esse primam apud gentes condemnationem, ut dicit canon : et ideo id esse puniendum quomodocunque fiat : et quod etiamsi videantur conjuges unum esse corpus, eis tamen non permittitur suis membris male uti. Si enim ita esset, nec ii qui sibi mortem consciscere conati sunt, punirentur.

ZONAR. *Oportet*, inquit divinus apostolus Pau- D
lus, *bona providere coram Deo et hominibus* [19] ; et alibi, *Sine offensione estote et Judæis, et Græcis,*

[18] I Cor. x, 32. [19] II Cor. viii, 21.

Guill. Beveregii notæ.

(88) *Εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.* In codice nostro Bodleiano post hæc ultima canonis verba habes, Σημείωσαι τὸν παρόντα κανόνα ἀφορίζοντα τοὺς μετὰ γυναικῶν λουομένους, καὶ εὔξαι διορθωθῆναι τοὺς τοῦτο καταφρονοῦντας, καὶ μᾶλλον τοὺς εὐγενεῖς τῆς ἡμέρας ἀδιαφόρως λουομένους μετὰ γυναικῶν αὐτῶν. Sed etiamsi hæc in ipso textu scribantur, e margine tamen illuc irrepsisse primo intuitu patet : unde etiam in reliquis codicibus mss. non leguntur.

(89) *Ἵνα ἐκολάζοντο.* In codicibus impressis, item Ætoniensi et Amerbachiano mss. hæc ultima sunt hujus interpretationis verba ; sed in Bodleiano nostro hæc sequuntur : Σημείωσαι τὴν παροῦσαν ἑρμηνείαν διδάσκουσαν τίνες τῶν κληρικῶν δι' ἐγγράφων ὀμνύουσι, καὶ τίνες σωματικὸν ὅρκον ἀπαιτοῦνται · ἀμφιβάλλεται γάρ. Hanc autem notam esse marginalem, et ad Balsamonis interpretationem non pertinere, ex ipsis verbis palam est ; utpote quibus interpretatio ista diserte indigitatur et notatur

et Ecclesiæ Dei [10]. Quod si viri cum mulieribus simul laventur, magnam offensionem apud eos, qui id conspicati fuerint, ea res facile excitabit. Etenim si vel ipse mulieris in privata domo aut in via forte occurrentis aspectus perturbationum fluctus in animis virorum ut plurimum commovet: una cum iis lavari, qui fieri potest ut non iisdem laticibus ipsorum quoque mentem demergat, et cupiditatis aliquid excitet? Quod si etiam demus aliquos, quamvis eodem balneo cum feminis utentes, id sine periculo facere: quominus tamen, et qui vident offensionem ex ea re capiant, et fidelium in eo licentiam tacita cogitatione damnent, id qua ratione quisquam vitare possit? His igitur de causis, id canon Christianis omnibus vetitum esse decernit: qui vero id fecerint, si quidem sacrati fuerint, hoc est, ex eorum numero qui circa sacrum tribunal versantur, aut clerici, hoc est, clero quacunque ratione ascripti, depositione: ascetas vero et laicos segregatione puniri jubet. Est porro hic canon idem cum Laodicenæ synodi mentione editus.

A Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Τὸ δὲ ἄνδρας συλλούεσθαι γυναιξὶ σκάνδαλον μέγα τοῖς ὁρῶσι τοῦτο δύναται ἐμποιεῖν. Εἰ γὰρ καὶ ἡ ἐν οἰκίᾳ ἢ ἐν ὁδῷ ἐντυχία τῶν γυναικῶν ζάλην τῷ λογισμῷ τῶν ἐντυγχανόντων αὐταῖς ἀνδρῶν ὡς τὰ πολλὰ ἐμποιεῖ· τὸ ταύταις συλλούεσθαι πῶς οὐκ ἂν τὸν νοῦν τῶν συλλουομένων αὐταῖς κατεβάπτισε, καὶ εἰς ἐπιθυμίαν ἠρέθισε; Εἰ δὲ καὶ δοίη τις καθ' ὑπόθεσιν μὴ βλάπτεσθαι ἴσως τινὰς, κἂν συλλούωνται γυναιξίν· ἀλλά γε τὸ τοὺς ὁρῶντας τοῦτο σκανδαλίζεσθαι, καὶ κατεγινώσκειν τῶν τοῦτο ποιούντων πιστῶν τί; ἂν ποτε δυνηθείη φυγεῖν; Διὰ ταῦτα τοίνυν ἀπαγορεύει τοῦτο ὁ κανὼν πᾶσι Χριστιανοῖς· τοῖς δὲ τοῦτο ποιοῦσιν, ἱερατικοῖς μὲν οὖσι, τοῖς περὶ τὸ βῆμα δηλαδὴ καὶ κληρικοῖς τοῖ; ἄλλως ἐν κλήρῳ τεταγμένοις, καθαίρεσιν ὁρίζει τὸ ἐπιτίμιον· ἀσκηταῖς δὲ καὶ λαϊκοῖς ἐπάγει ἀφορισμόν. Οὗτος δὲ ὁ κανὼν τῆς ἐν Λαοδικείᾳ συγκροτηθείσης συνόδου τριακοστός ἐστιν, ἄνευ τῶν ἐπιτιμίων ἐκεῖσε ἐκφωνηθείς.

B

Est hic canon idem cum Laodicenæ synodi trigesimo, quamvis illic absque ulla pœnarum mentione editus.

ARIST. « Christianus cum mulieribus non lavatur: clericus enim deponitur; laicus autem segregatur. » Perspicuus.

'ΑΡΙΣΤ. « Χριστιανὸς γυναιξὶν οὐ συλλούεται. Κληρικὸς μὲν γὰρ καθαιρεῖται· λαϊκὸς δὲ ἀφορίζεται. » Σαφής.

CANON LXXVIII.

« Quod oportet eos qui illuminantur fidem discere, « et quinta septimanæ feria episcopo vel presbyteris renuntiare. »

ΚΑΝΩΝ ΟΗ'.

« Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν « τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. »

C

BALS. Quomodo qui recens sunt illuminati debent fidem orthodoxam doceri, a diversis canonibus didicimus. Præsens autem canon iis adjicit, nobis sufficere non debere assertiones eorum qui illuminantur, affirmantium, se rectam fidem fuisse edoctos: sed eos quidem oportere sacra oracula discere totis primis quatuor diebus septimanæ; quinto autem die ea episcopo, vel iis quibus hoc ab illo permittetur, scilicet catechistis, renuntiare. Sic enim facientes perfecte demonstrabunt, quod tota anima ad fidem orthodoxam accesserunt, et in divinis ejus mysteriis initiati, satisque confirmati sunt. Hoc autem non semel facient, sed per totam fere suam vitam. Præsens autem canon omnino idem est cum canone 43 synodi Laodicenæ.

ΒΑΛΣ. Οἱ νεοφώτιστοι ὅπως ὀφείλουσι διδάσκεσθαι τὴν ὀρθόδοξον πίστιν, ἀπὸ διαφόρων κανόνων ἐμάθομεν. Ὁ δὲ παρὼν κανὼν προστίθησι μὴ ἀρκεῖν ἡμᾶς ταῖς καταθέσεσι τῶν φωτιζομένων, διαβεβαιουμένων ἀναδιδαχθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως· ἀλλὰ μανθάνειν μὲν αὐτοὺς τὰ ἱερὰ λόγια δι' ὅλων τῶν πρώτων τεσσάρων ἡμερῶν τῆ; ἑβδομάδος, κατὰ δὲ τὴν πέμπτην ἀπαγγέλλειν αὐτὰ τῷ ἐπισκόπῳ ἢ τοῖς ἐπιτραπησομένοις παρὰ τούτου, ἤγουν τοῖς κατηχηταῖς. Οὕτω γὰρ ποιοῦντες δώσουσιν ἐντελῆ πληροφορίαν, ὡς ὁλοψύχως τῇ ὀρθοδόξῳ πίστει προσῆλθον, καὶ τὰ θεῖα ταύτης ἐμυήθησαν μυστήρια, καὶ ἱκανῶς ἐστηρίχθησαν. Τοῦτο δὲ οὐχ ἅπαξ ποιήσουσιν, ἀλλὰ σχεδὸν δι' ὅλης τῆς ζωῆς αὐτῶν. Ὁ μέντοι παρὼν κανὼν μγ' ἐστὶν ἀπαράλλακτος τῆ; ἐν Λαοδικείᾳ συνόδου.

D

ZONAR. Est hic canon idem cum Laodicenæ synodi quadragesimo tertio, iisdem namque verbis inter alios ejus synodi canones recensetur. Porro eos qui illuminantur, hoc est, ad illuminationem se comparant, et inter catechumenos numerantur, mysteria fidei ediscere, et quinto quoque cujuslibet hebdomadæ die, quæ tota hebdomada didicere, audiente episcopo aut sacerdotibus, **249** recitare jubet. Id vero ita fieri, ne mysteriorum nostræ religionis ignarus aliquis baptizetur, ac proinde parum stabilis hæreticorum artibus se a recto tramite auferri abducive patiatur.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ἐστὶ τεσσαρακοστὸς τρίτος· αὐτοῖς γὰρ ῥήμασι τοῖς ἄλλοις κανόσι τῆς συνόδου ἐκείνης ἐγκατέστρωται. Κελεύει δὲ τοὺς φωτιζομένους, ἤγουν τοὺς πρὸς τὸ φώτισμα ἑτοιμαζομένους καὶ κατηχουμένους τὸ μυστήριον τῆ; πίστεως ἐκμανθάνειν καὶ τῇ πέμπτῃ ἡμέρᾳ ἑκάστης ἑβδομάδο; ἀπαγγέλλειν, ἃ διὰ τῆς ἑβδομάδος ἔμαθον, τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. Τοῦτο δὲ γίνεσθαι, ἵνα μὴ ἀμύητο; τοῦ καθ' ἡμᾶ; μυστηρίου ὤν τις βαπτισθῇ, καὶ ἀστήρικτος ὢν ὑπὸ αἱρετικῶν ὑποσυρῇ καὶ ὑποκλοπῇ.

[10] I Cor. x, 32.

ΑΡΙΣΤ. « Ὁ φωτισθεὶς τὴν πίστιν ἀπαγγελλέτω τῇ πέμπτῃ τῆς ἑβδομάδος. »

Δεῖ τὸν προσερχόμενον τῷ θείῳ φωτίσματι, καθὼς καὶ ὁ τεσσαρακοστὸς ἕκτος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διαλαμβάνει, τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος, καθ' ἣν μέλλει φωτισθῆναι τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις ταύτην ἀπαγγέλλειν.

ARIST. « Illuminatus quinta hebdomadis feria « fidem renuntiet. »

Eum qui divinam adit illuminationem, ut et quadragesimus sextus synodi Laodicensis canon statuit, fidem oportet discere, et quinta hebdomadis, qua illuminandus est, feria, eam episcopo aut presbyteris renuntiare.

ΚΑΝΩΝ ΟΘ'.

« Ἀλόχευτον τὸν ἐκ τῆς Παρθένου θεῖον τόκον « ὁμολογοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ « παντὶ τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας « πράττοντάς τι τῶν οὐ δεόντων διορθώσει καθ- « υποβάλλομεν. Ὅθεν, ἐπειδή τινες μετὰ τὴν « ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν « γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ « ταύτης ἀλλήλοις μεταδιδόντες, προφάσει τιμῆς « δῆθεν λοχειῶν τῆς ἀχράντου Παρθενομήτορος, « ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τε- « λεῖσθαι. Οὐ γὰρ τιμή γε τοῦτο τῇ Παρθένῳ, « τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ « Λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς « κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ « ὑπογράφειν. Εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων « τοιοῦτο φωραθείη, εἰ μὲν κληρικὸς εἴη, κα- « θαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. »

CANON LXXIX.

« Absque puerperio editum ex Virgine divinum « partum esse confitentes, ut qui sine semine « constitutus sit, idque toti gregi annuntiantes, « eos qui ex ignorantia faciunt quod non decet, « correctioni subjicimus. Quare, quoniam ali- « quos post sanctæ Christi Dei nostri nativitatis « diem similem coquere compertum est, et eam « sibi invicem impartiri, honoris scilicet præ- « textu puerperii impollutæ Virginis Matris; « statuimus, ut deinceps nihil tale fiat a fideli- « bus. Neque enim hoc honor est Virgini, quæ « supra mentem et sermonem, quod compre- « hendi non potest, Verbum peperit carne, ex « communibus, et iis quæ in nobis fiunt, ine- « narrabilem ejus partum definire ac describere. « Si quis ergo deinceps hoc facere aggressus « fuerit, si sit quidem clericus, deponatur: si « vero laicus, segregetur.

ΒΑΛΣ. Μαθόντες οἱ ἅγιοι Πατέρες ὅτι τινὲς διὰ τιμὴν τῆς ἀχράντου Δεσποίνης ἡμῶν καὶ Θεοτόκου ἑορτάζουσι μετὰ μίαν ἡμέραν τῆς γεννήσεως τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὰ ἐπιλόχεια ταύτης μετὰ σεμιδάλεως ἑψητῆς καὶ ἑτέρων τινῶν εἰδῶν, ὥρισαν μηκέτι τοῦτο γίνεσθαι παρὰ τῶν Χριστιανῶν. Τὸν γὰρ τόκον, φασὶ, τῆς Θεομήτορος ὁμολογοῦμεν μὴ τοιοῦτον γενέσθαι, καθὼς παρὰ τῶν λοιπῶν γυναικῶν γίνεται, ἀλλὰ ἀλόχευτον· ὅτι καὶ ἡ σύλληψις ὑπὲρ φύσιν καὶ ἐκ Πνεύματος ἁγίου ἐγένετο. Τῇ γοῦν μὴ γνούσῃ λοχείαν πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; Ὅθεν οὐκ ἔστι τοῦτο τιμὴ τῆς ἁγίας Παρθένου, τῆς ὑπὲρ νοῦν καὶ λόγον τεκούσης τὸν Θεὸν Λόγον σαρκὶ ἄνευ ὠδίνων μητρικῶν. Κάντεῦθεν οὐ χρὴ τὰ ὑπὲρ φύσιν συνεξισοῦσθαι τοῖς κατὰ φύσιν, καὶ οἷον κοινοῦσθαι ταῦτα, καὶ ἐκ τῶν καθ' ἡμᾶς γεωδῶν ὑπογράφεσθαι. Τοίνυν καὶ διορίζονται τὸν τοιοῦτόν τι ποιήσαντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Διά τοι τοῦτο καὶ Χριστοῦ χάριτι τέως εἰς ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν οὐδέν τι τολμᾶται τοιοῦτον παρά τινος, ἀλλὰ μετὰ τὴν ἄῤῥητον γέννησιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἑορτάζει τὸ πλήρωμα τῶν πιστῶν τὰ ἐπιλόχεια τῆς ὑπεραγίας Θεοτόκου διὰ θείων ψαλμῳδημάτων καὶ ὑμνῳδίας ἐκκλησιαστικῆς.

BALS. Cum intellexissent sancti Patres, quod quidam propter honorem impollutæ Dominæ nostræ et Deiparæ, post unum diem natalis Dei et Servatoris nostri Jesu Christi, ejus puerperium celebrant cum cocta simila et quibusdam aliis speciebus; statuerunt hoc a Christianis non esse amplius faciendum. Dei Matris enim partum, inquiunt, talem non fuisse profitemur, quemadmodum a reliquis fit mulieribus, sed absque puerperio: quoniam conceptio et supra naturam et ex sancto Spiritu facta est. Ei ergo, quæ puerperium non novit, quomodo nos ea quæ ad puerperas pertinent peregerimus? Quare non est hoc honor sanctæ Virginis, quæ supra mentem et sermonem Deum Verbum peperit carne, absque ullis maternis in partu doloribus. Quocirca non oportet ea, quæ sunt supra naturam, iis, quæ sunt secundum naturam, exæquare, et ea veluti communia reddere, ex nostrisque terrestribus describere et metiri. Statuunt ergo, ut qui est hoc facturus, si sit quidem clericus, deponatur; sin vero laicus, segregetur. Hanc ergo ob causam, Christi Dei gratia, in hac urbium regina nemo tale quidpiam audet facere: sed post ineffabilem Christi Dei nostri nativitatem, fidelium cœtus sanctissimæ Deiparæ festum celebrat divinis canticis hymnisque ecclesiasticis.

ΖΩΝΑΡ. Τινὲς, δοκοῦντες εἰς τιμὴν τῆς ἁγίας Παρθένου καὶ Θεομήτορος ποιεῖν τι, τῇ ἑξῆς ἡμέρᾳ μετὰ τὴν ἑορτὴν τῆς ἁγίας γεννήσεως τοῦ Χριστοῦ ἐποίουν τινὰ, οἷα ἐπὶ ταῖς λοχευομέναις γίνονται γυναιξί. Ταῦτα οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανὼν, ἀλόχευτον εἶναι λέγων τὸν τόκον τῆς ἁγίας

ZONAR. Nonnulli, se in eo semper Virginis ac Dei Matris honori aliquid deferre existimantes die, qui sanctam Christi natalis festivitatem proxime consequitur, quædam facere soliti sunt, ex iis quæ in aliarum quoque mulierum puerperio agi consuevere. Eas res igitur hic canon prohibet, sanctæ

Virginis partum absque ullo puerperio fuisse dicens. Est vero puerperium emissio fœtus, quam doloris sensus ac profluvium sanguinis comitantur : quibus quidem malis nullatenus obnoxiam fuisse Deiparam credimus. Partus etenim naturales ista consequuntur ; ejus vero conceptio fuit supra naturam, nam a Spiritu sancto effecta est ; ejusdemque partus nequaquam iis, quæ partum naturalem proprie consequuntur, obnoxius fuit. Quæ igitur puerperium non agnovit, quid nos ei quæ puerperarum sunt exhibebimus? Est id quidem sacrosanctæ Virgini contumeliosum **250** potius quam honorificum, eorum aliquid in ejus eximio partu, quale in aliarum mulierum fœtura contingit, usurpari. Qui ergo tale quidpiam admiserit, depositione clericus : laicos vero segregatione teneri jubet.

A Παρθένου. Λοχεία δ' ἐστὶν ἡ μέτ' ὠδίνων τοῦ βρέφους ἀπότεξις, καὶ ἡ τῶν αἱμάτων ἀκόλουθος ῥύσις· ὧν μὴ πειραθῆναι τὴν Θεοτόκον πιστεύομεν. Ταῦτα γὰρ ταῖς φυσικῶς συλλαβούσαις παρομαρτεῖ· τῇ δὲ ὑπὲρ φύσιν ἡ σύλληψις· ἐκ γὰρ Πνεύματος ἁγίου ἐγένετο, καὶ ὁ τόκος τῶν φυσικῶν ἰδιωμάτων ὑπέρτερος. Τῇ γοῦν μὴ γνούσῃ λοχείαν πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; Ὕβρις γὰρ καὶ οὐ τιμὴ τῆς ὑπεραγίας Παρθένου ἐστὶ τὸ γίνεσθαί τι ἐπὶ τῷ ἀνεκφράστῳ τόκῳ αὐτῆς, οἷον ἐπὶ τῶν ἄλλων γίνεται γυναικῶν τικτουσῶν. Τοὺς δὲ τοιοῦτόν τι πράττοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει.

Qui ergo tale quidpiam admiserit, depositione clericus : laicos vero segregatione teneri jubet.

ARIST. « Qui post Deiparæ festum similam vel « aliud quidlibet, propter ea quæ dicuntur puerpe- « ria, præparat, segregatur. »

B ΑΡΙΣΤ. « Ἀφορίζεται ὁ μετὰ τὴν ἑορτὴν τῆς « Θεοτόκου, σεμίδαλιν ἢ ἄλλο τι κατασκευάζων, « διὰ τὰ λεγόμενα ἐπιλόχεια. »

Hoc Virgini, quæ supra mentem et sermonem incomprehensibile peperit carne Verbum, non est honor, ex communibus et iis quæ in nobis sunt, inenarrabilem ejus partum definire et describere. Si quis itaque post sanctæ Christi veri Dei nostri nativitatis diem similam coquere deprehenditur, eamque aliis exhibere, puerperii scilicet immaculatæ Virginis Matris honoris prætextu; si quidem clericus est, deponetur : sin vero laicus, segregabitur. Divinum enim e Virgine partum, ut sine semine constitutum, sine puerperio editum confitemur.

Οὐκ ἔστι τοῦτο τιμὴ τῇ Παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ Λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς τὰ κατὰ τὸν ἄῤῥητον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. Διὰ τοῦτο, εἴ τις μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν γεννήσεως σεμίδαλιν εὑρίσκεται ἑψων, καὶ ταύτην παρέχων τισὶ προφάσει τιμῆς δῆθεν λοχειῶν τῆς ἀχράντου Παρθενομήτορος· εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται, εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται. Ἀλόχευτον γὰρ ὁμολογοῦμεν τὸν ἐκ τῆς Παρθένου θεῖον τόκον, ὡς καὶ ἀσπόρως συστάντα.

CANON LXXX.

« Si quis episcopus, vel presbyter, vel diaconus, vel « eorum qui in clero enumerantur, vel laicus, « nullam graviorem habeat necessitatem vel ne- « gotium difficile, ut a sua ecclesia absit diutis- « sime, sed in civitate agens, tribus diebus Do- « minicis in tribus septimanis una non conve- « niat, si sit quidem clericus, deponatur : sin « vero laicus, communione moveatur. »

ΚΑΝΩΝ Π'.

« Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τῶν « ἐν τῷ κλήρῳ καταλεγομένων, ἢ λαϊκὸς, μηδε- « μίαν ἀνάγκην βαρυτέραν ἔχοι ἢ πρᾶγμα δυσχε- « ρὲς, ὥστε ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς αὐτοῦ « ἐκκλησίας, ἀλλ' ἐν πόλει διάγων, τρεῖς Κυ- « ριακὰς ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, εἰ « μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, « ἀποκινείσθω τῆς κοινωνίας. »

BALS. Alii quidem diversi canones alio modo puniunt episcopos et clericos, qui aliquandiu a suis ecclesiis peregre absunt. Præsens autem canon non solum episcopos et clericos, sed etiam laicos, qui a suis regionibus in alieno solo degentes absunt, cogit una cum fidelibus communicare et orare; et statuit, quod si quis eorum, nulla necessitate proposita, morbi scilicet, vel gravissimæ servitutis, quæ ei non concedit ut in ecclesia versetur, tribus diebus Dominicis cum fidelibus non convenerit, et una non oraverit, sed in hanc salutiferam communionem negligenter affectus fuerit, si sit quidem clericus, deponatur : si vero laicus, a communione moveatur, hoc est, segregetur. Ex eo enim duorum alterum apparet, eum vel divina præcepta divinasque psalmodias et orationes non curare, vel non esse fidelem. Cur enim 20 diebus cum Christianis in ecclesia versari noluit, unaque in Dei fideli populo communicare?

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες διάφοροι ἀλλοτρόπως κολάζουσι τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς ἐφ' ἱκανὸν ἀποδημοῦντας ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν. Ὁ δὲ παρὼν κανὼν οὐ μόνον ἐπισκόπους καὶ κληρικοὺς, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοὺς ἀπὸ τῶν χωρῶν αὐτῶν ἐν ἀλλοδαπῇ διάγοντας, καταναγκάζει μετὰ τῶν πιστῶν συγκοινωνεῖν καὶ συνεύχεσθαι· καὶ διορίζεται ὡς εἴπερ τις ἐκ τούτων μηδεμιᾶς προκειμένης ἀνάγκης, νόσου τυχὸν ἢ δουλεία; βαρυτάτης μὴ παραχωρούσης αὐτῷ ἐκκλησιάζειν, ἐπὶ τρεῖς Κυριακὰς οὐ συνέλθῃ μετὰ τῶν πιστῶν καὶ συνεύξηται, ἀλλ' ἀμελῶς διατεθῇ ἐπὶ τῇ τοιαύτῃ σωτηριώδει κοινωνίᾳ, κληρικὸς μὲν ὢν, καθαιρείσθω· λαϊκὸς δὲ, ἀποκινείσθω τῆς κοινωνίας, τουτέστιν ἀφοριζέσθω. Δυοῖν γὰρ θάτερον ἐκ τούτου ἀναφαίνεται, ἢ μηδεμίαν φροντίδα τίθεσθαι τὸν τοιοῦτον τῶν θείων παραγγελιῶν καὶ τῆς εἰς Θεὸν εὐχῆς καὶ ὁμνῳδίας, ἢ τὸ μὴ εἶναι πιστόν· ἵνα τί γὰρ ἐπὶ εἴκοσιν ἡμέραις μετὰ τῶν Χριστιανῶν ἐκκλησιάσαι οὐχ ᾑρετίσατο, καὶ συγκοινωνῆσαι τῷ πιστῷ λαῷ τοῦ Θεοῦ;

ΖΩΝΑΡ. Τοὺς ἐπὶ τρεῖς ἑβδομάδας ἀπολειφθέντας τῆς ἐκκλησίας αὐτῶν ἄνευ βαρείας ἀνάγκης τινὸς ἢ δυσχερείας ἑτέρας, ἀλλ' ἐν πόλει διάγοντας, μὴ συνερχομένους δὲ εἰς ἐκκλησίαν τοῖς πιστοῖς ἐπισκόπους μὲν καὶ κληρικοὺς ὄντας ὁ κανὼν καθαιρεῖσθαι προστάττει· λαϊκὸς δὲ, ἀφορίζεσθαι. Τοῦτο γάρ ἐστι τὸ ἀποκινεῖσθαι τῆς κοινωνίας. A

ΑΡΙΣΤ. « Εἰ μὴ δι' ἀνάγκην ἀπολιμπάνεταί τις « τῆς ἐκκλησίας ἐπὶ τρισὶ Κυριακαῖς, ἀκοινώ- « νητος. »

Ὁ τῆς ἐκκλησίας ἐν τρισὶ Κυριακαῖς ἀπολειφθεὶς ἄνευ βαρυτάτης ἀνάγκης ἢ δυσχερείας τινὸς, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

ZONAR. Qui tribus hebdomadis ab ecclesia sua nulla gravi necessitate difficilive alia causa impediti, abfuerint, verum in urbe degentes cum fidelibus in ecclesiam non convenerint, si quidem episcopi aut clerici sint, eos canon deponi : laicos autem segregari (hoc namque illud est, communione moveri) jubet.

ARIST. « Si quis nulla cogente necessitate ec- « clesiam tribus Dominicis derelinquat, commu- « nione privatur. »

Qui ab ecclesia tribus diebus Dominicis abest, sine necessitate aliqua et difficultate gravissima, si quidem clericus est, deponitur : sin vero laicus, segregatur.

ΚΑΝΩΝ ΠΑ'.

« Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν ἐν τῷ « Τρισαγίῳ ὕμνῳ ἐν προσθήκης μέρει ἐκφωνεῖ- « σθαι μετὰ τὸ, Ἅγιος ἀθάνατος, τὸ, Ὁ σταυρωθεὶς « δι' ἡμᾶς, ἐλέησον ἡμᾶς· τοῦτό τε ὑπὸ τῶν πάλαι « ἁγίων Πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον, ἐκ « τοῦ τοιούτου ἀπηλάθη ὕμνου, σὺν τῷ τὴν τοιαύτην « φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ « ἡμεῖς, κυροῦντες τὰ παρὰ τῶν ἁγίων Πατέρων « ἡμῶν εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζο- « μεν ἔτι μετὰ τὸν παρόντα ὅρον μεταδεχομένους « τὴν τοιαύτην φωνὴν ἐπ' ἐκκλησίαις, ἢ ἄλλως « πως τῷ Τρισαγίῳ ὕμνῳ συνάπτοντας. Καὶ εἰ « μὲν ἱερατικός ἐστιν ὁ παραβάτης τῶν ὁρισθέν- « των, ἀπογυμνοῦσθαι τοῦτο τῆς ἱερωσύνης « προστάσσομεν· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφορί- « ζεσθαι. B C

251 CANON LXXXI.

« Quoniam in nonnullis locis didicimus, in san- « ctissimo hymno additamenti loco dici post « illud, Sanctus immortalis, hoc : Qui crucifixus « es pro nobis, miserere nostri; id autem ab « antiquis sanctis Patribus, ut a pietate alienum, « ex hoc hymno ejectum cum scelerato hæretico, « qui hanc vocem innovavit : nos quoque con- « firmantes ea quæ a sanctis nostris Patribus « pie constituta sunt, anathematizamus eos, qui « post præsens decretum ejusmodi vocem in ec- « clesiis admittunt, vel aliquo alio modo san- « ctissimo hymno adjungunt. Et si est quidem « sacerdotalis ordinis qui transgressus est, eum « sacerdotio privari jubemus : sin autem laicus « vel monachus, segregari. »

Ὁ ματαιόφρων ἐκεῖνος καὶ βλάσφημος Πέτρος ὁ Κναφεὺς προσθήκην ἐν τῷ Τρισαγίῳ ὕμνῳ ἐποίησε, μετὰ τὸ ἐκφωνεῖσθαι τό· *Ἅγιος ἀθάνατος*, εἰπὼν ὀφείλειν λέγεσθαι τό· *Ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς*. Ἣν δὴ προσθήκην ἡ Ἐκκλησία οὐ παρεδέξατο, ὡς παρεισάγουσαν τέταρτον πρόσωπον, καὶ ἀνὰ μέρος τιθεῖσαν τὸν τοῦ Θεοῦ Υἱὸν τὴν τοῦ Πατρὸς ἐνυπόστατον δύναμιν, καὶ ἀνὰ μέρος τὸν ἐσταυρωμένον Χριστὸν, ὡς ἄλλον ὄντα παρὰ τὸν Ἰσχυρὸν, ἢ ὡς παθητὴν τὴν Τριάδα δοξάζουσαν, καὶ συσταυροῦσαν τῷ Υἱῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ[90] ἐδογμάτισεν εὐσεβῶς τὸν Τρισάγιον ὕμνον χάριν τῆς Τριάδος λέγεσθαι· ὅπερ τι διὰ μὲν τῆς τρισσῆς ἁγιότητος τὰς τρεῖς τῆς ὑπερουσίου θεότητος ὑποστάσεις τὰ ἅγια Σεραφὶμ ἡμῖν ὑπεμφαίνουσι· διὰ δὲ τῆς μιᾶς κυριότητος τὴν μίαν τῆς θεαρχικῆς Τριάδος οὐσίαν τε καὶ βασιλείαν γνωρίζουσι. Εὕρηται δὲ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ (90) ὅτι λιτανεύοντος τοῦ ἐν Κωνσταντινουπόλει D

BALS. Stolidus ille et blasphemus Petrus Fullo in sanctissimo hymno fecit additamentum, dicens, postquam dictum esset, *Sanctus immortalis*, debere dici, *Qui crucifixus es pro nobis, miserere nostri*. Quod quidem additamentum Ecclesia non admisit, ut quod quartam personam inducat, et Dei Filium, Salvatoris scilicet consistentem facultatem, seorsum ponat, et Christum crucifixum tanquam alium a forti, et tanquam affectionibus subjectam Trinitatem glorificet, et Patrem una cum Filio crucifigat et Spiritum sanctum. Et decrevit quidem sanctissimum hymnum pie dici de sancta Trinitate, quod per trinam sanctitatem tres supersubstantialis Deitatis personas sancta nobis Seraphim ostendant : per unam vero dominationem unam divinæ Trinitatis substantiam regnumque significant. In ecclesiastica autem historia inventum est, cum populus Constantinopoli supplicaret, propter quasdam divinitus intentatas minas, quæ tempore Proeli

Guill. Beveregii notæ.

(90) *Εὕρηται δὲ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ*. Sane hæc historia de Trisagio a Theophane refertur, his verbis : Ἐπὶ τούτου τοῦ ἐν ἁγίοις Πρόκλου σεισμοὶ γεγόνασι μεγάλοι ἐν τῇ Κωνσταντινουπόλει ἐπὶ τέσσαρας μῆνας, ὥστε φοβηθέντες οἱ Βυζάντιοι ἔφυγον ἔξω τῆς πόλεως ἐν τῷ λεγομένῳ Κάμπῳ· καὶ ἦσαν προσκαρτεροῦντες μετὰ τοῦ ἐπισκόπου ἐν ταῖς λιταῖς, κλαίοντες πρὸς τὸν Θεόν. Ἐν μιᾷ οὖν ἡμέρᾳ κυμαινομένης τῆς γῆς, καὶ παντὸς τοῦ λαοῦ κράζοντος τό· Κύριε, ἐλέησον, ἐκτενῶς, περὶ ὥραν τρίτην ἀφνω πάντων ὁρώντων, συνέβη ὑπὸ θείας δυνάμεως ἀρθῆναί τινα νεάνισκον εἰς τὸν ἀέρα, καὶ ἀκοῦσαι θείας φωνῆς παραινούσης αὐτὸν ἀναγγεῖλαι τῷ ἐπισκόπῳ καὶ τῷ λαῷ λιτανεύειν οὕτως· Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, μηδὲν ἕτερον προστεθέντα. Ὁ δὲ ἐν ἁγίοις Πρόκλος, τα[illegible] τὴν δεξάμενος τὴν ἀπόφασιν, ἐπέτρεψε τῷ [illegible] ψάλλειν οὕτως, καὶ εὐθέως ἀπέστη ὁ σεισμός. Τὴν

archiepiscopi fuere, ex populo raptum fuisse puerum, et sic ter sanctum hymnum ab angelica aliqua doctrina fuisse institutum, *Sanctus Deus, sanctus fortis, sanctus immortalis, miserere nostri*: et converso rursus puero, cum quod institutum erat renuntiasset, universam multitudinem hymnum cecinisse, et sic minas cessasse. Porro autem et in sancta et universali Chalcedon. synodo sic sanctissimum hymnum canendum esse traditum est. Sed cum ne sic quidem multorum eorumque blasphemorum improbitas ad orthodoxum decretum traducta esset, ut est verisimile, qui in hac synodo convenerant sancti Patres, iis quæ a sanctis Patribus qui Chalcedone convenerant de hoc sanctissimo hymno constituta erant, confirmatis, anathemati eos subjecerunt, qui post præsentem canonem Fullonis additamentum Trisagio adjungant. Et si est quidem sacerdotalis, inquit, ordinis, qui transgreditur, deponatur: sin autem laicus vel monachus, segregetur. Cum autem canon eos anathematizet, qui malum hoc additamentum suscipiunt, et ex anathematizatione non solum fiant, qui anathematizantur, infames, sed omnis etiam generis exitium subeant, et ab omni in mundo conversatione alienentur, miror quomodo canon depositionis et segregationis una cum anathematismo meminit. Sed, ut est verisimile, hoc quoque episcopali discretioni ac prudentiæ relictum est, ut qui blasphemum quidem hoc additamentum admisit et facile convertitur, deponatur vel segregetur: qui autem non convertitur, sed blasphemis nugis adhæret, anathematizetur, et sic non solum sacerdotio vel ecclesiastica communione privetur, sed etiam exterminetur, ut non aliis quoque hæresim communicet.

A λαοῦ διά τινα θεῖλατον ἀπειλὴν ἐπὶ Πρόκλου ἀρχιεπισκόπου γεγενημένην ἁφαρπαγῆναι παιδίον ἐκ τοῦ λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπ' ἀγγελικῆς τινος διδασκαλίας τὸν Τρισάγιον ὕμνον· Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Καὶ αὖθις ἐπιστραφέντος τοῦ παιδίου, καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, ἆσαι τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι τὴν ἀπειλήν. Καὶ ἐν τῇ ἁγίᾳ δὲ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ τῇ ἐν Χαλκηδόνι οὕτως ὑμνεῖσθαι ὁ Τρισάγιος ὕμνος παραδέδοται. Ἀλλὰ τῆς τῶν πολλῶν καὶ βλασφημάτων κακίας μηδὲ διὰ τούτων πρὸς τὸ ὀρθόδοξον δόγμα μεταριθμηθείσης, ὡς ἔοικεν, οἱ κατὰ ταύτην συνελθόντες τὴν σύνοδον ἅγιοι Πατέρες, ἐπικυρώσαντες τὰ παρὰ τῶν ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων περὶ τοῦ
D Τρισαγίου ὕμνου θεσμοθετηθέντα, ἀναθέματι καθυπέβαλλον τοὺς μετὰ τὸν παρόντα κανόνα τὴν προσθήκην τοῦ Κναφέως τῷ Τρισαγίῳ συνάπτοντας· καὶ εἰ μὲν ἱερατικός ἐστι, φασὶν, ὁ παραβαίνων, καθαιρείσθω· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω. Τοῦ δὲ κανόνος ἀναθεματίζοντος τοὺς τὴν κακόδοξον ταύτην προσθήκην παραδεχομένους, καὶ ἀπὸ τοῦ ἀναθεματισμοῦ μὴ μόνον ἀτίμων γινομένων τῶν ἀναθεματιζομένων, ἀλλὰ καὶ παντελῆ ἀπώλειαν ὑφισταμένων, καὶ πάσης τῆς ἐν κόσμῳ διαγωγῆς ἀπαλλοτριουμένων, θαυμάζω πῶς ὁ κανὼν σὺν τῷ ἀναθεματισμῷ καθαιρέσεως ἐμνήσθη καὶ ἀφορισμοῦ. Ἀλλ', ὡς ἔοικε, τὰ περὶ τούτου εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνήρτησεν, ἐφ' ᾧ τὸν μὲν παραδεξάμενον
C τὴν βλάσφημον ταύτην προσθήκην καὶ ῥᾳδίως μετατιθέμενον καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι· τὸν δὲ μὴ μετατιθέμενον, ἀλλ' ἔτι τῆς βλασφήμου φλυαρίας ἐξεχόμενον ἀναθεματίζεσθαι, καὶ οὕτω μὴ μόνον τῆς ἱερωσύνης ἢ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀπογυμνοῦσθαι, ἀλλὰ καὶ περιορίζεσθαι, ἐφ' ᾧ μὴ μεταδοῦναι τῆς αἱρέσεως καὶ ἄλλοις.

252 ZONAR. Quidam affectionibus obnoxiam divinitatem existimantes, Trisagio hymno verba illa, Qui pro nobis crucifixus est addidere. Quod quidem ante hanc synodum alii quoque sancti Patres, ut adulterinum rectæque sententiæ minus consentaneum, repudiavere; et a quibusdam adhuc, ut credibile est, usurpatum, hujus synodi auctores ex Trisagio tollunt, quique id nihilominus adhibuerint, ac Trisagio quomodocunque adjunxerint, anathemate damnant. Atque hujus decreti violatores, sacratos quidem depositione; monachos vero aut laicos segregationis pœna teneri jubent

ΖΩΝΑΡ. Οἱ τῇ θεότητι πάθος προσαρμόζοντες προσέθεντο τῷ Τρισαγίῳ τὴν προσθήκην ταύτην, τὸ, Ὁ σταυρωθεὶς δ' ἡμᾶς. Ὅπερ καὶ πρὸ τῆς συνόδου ταύτης ὑφ' ἑτέρων ἁγίων Πατέρων, ὡς νόθον καὶ τῆς ὀρθῆς δόξης ἀλλότριον, ἀπεβλήθη, καὶ ἔστι δὲ παρά τινων, ὡς ἔοικε, λεγόμενον οἱ τῆς συνόδου ταύτης τοῦ Τρισαγίου αὐτὸ ἐξορίζουσιν, ἀναθέματι καταδικάζοντες τοὺς ἔτι αὐτὸ παραδεχομένους, καὶ
D τῷ Τρισαγίῳ ὁπωσδήποτε συνάπτοντας. Καὶ καθαιροῦσι μὲν τοὺς ἱερατικοὺς παραβαίνοντας τὰ ὁρισθέντα, τοὺς δὲ μοναχοὺς ἢ λαϊκοὺς ἀφορίζουσιν.

Guill. Beveregii notæ.

in Chronico. Idem etiam ab ecclesiasticis historiis traditum observat Damascenus: Φασὶ μὲν οὖν καὶ οἱ τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντάξαντες, ὅτι λιτανεύοντος τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ, διά τινα θεῖλατον ἀπειλὴν ἐπὶ Πρόκλου τοῦ ἀρχιεπισκόπου γεγενημένην, συνέβη ἁρπαγῆναι παιδίον ἐκ τοῦ λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπ' ἀγγελικῆς τινος διδασκαλίας τὸν Τρισάγιον ὕμνον, Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς· καὶ αὖθις ἐπιστραφέντος τοῦ παιδίου, καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, ἆσαι τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι τὴν ἀπειλήν Damasc. *De orthod. fide* l. III, cap. 10. Quinetiam Goffridus Viterbiensis, Cedrenus, Codinus, Marianus Scotus, Landulphus Sagax, aliique hanc historiam tradiderunt. Quibus etiam adjungatur Aristenus in præsentem canonem: qui tamen dicit puerum audisse ista verba, Ὁ σταυρωθεὶς δι' ἡμᾶς. Trisagio non addenda esse, eo nimirum quod in hymno, quem puer audiisse dicitur, ista verba non inserta erant.

ΑΡΙΣΤ. « Τῷ τρισαγίῳ ὕμνῳ ὁ συνάπτων τὸ, Ὁ A σταυρωθείς, ἑτερόδοξος.

Λέγεται, ὡς ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ Μικροῦ ἤρθη παιδίον ἐν τῇ τοῦ κάμπου λιτῇ, καὶ ἐπὶ πολλὰς ὥρας μετέωρον γέγονε, καὶ ἤκουσε θείας φωνῆς, μὴ προστιθέναι ἐν τῷ Τρισαγίῳ τό· *Ὁ σταυρωθεὶς δι' ἡμᾶς*, ὡς ὁ παράφρων Παῦλος ὁ Σαμοσατεὺς ἐληρώδει (91). Εἴ τις οὖν τὴν τοιαύτην φωνὴν τῷ Τρισαγίῳ ὕμνῳ συνάψει, ὡς ἑτερόδοξος ἀναθεματισθήσεται. Εὑρήσεις δὲ καὶ ἐν τῷ Δαμασκηνῷ νγ' κεφάλαιον διαλαμβάνον πλατύτερον περὶ τοῦ Τρισαγίου, καὶ διὰ ποίαν αἰτίαν ἤρθη τὸ παιδίον.

ARIST. « Qui hymno Trisagio, illud, Qui cruci- « fixus, adjungit, heterodoxus censetur.

Dicitur, quod sub Theodosii Junioris imperio puer in campi precibus sublatus est, et per multas horas in sublimi suspensus; et audivit vocem divinam, ne hoc, *Qui pro nobis crucifixus*, in Trisagio adderetur, ut vesanus Paulus Samosatenus delire effutiebat. Si quis itaque talem vocem hymno Trisagio adjunxerit, ut heterodoxus anathemate percutiatur. Invenies autem in Damasceno cap. 54 de Trisagio plenius tractans; et propter quam causam puer in sublimi attollebatur.

ΚΑΝΩΝ ΠΒ'.

« Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δα- B « κτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, « ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος τὸν ἀληθι- « νὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χρι- « στὸν τὸν Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους « καὶ τὰς σκιάς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ « προχαράγματα, τῇ Ἐκκλησίᾳ παραδεδομένους « κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ « τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑπο- « δεξάμενοι. Ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρω- « ματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογρά- « φηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν κόσμου, « ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀν- « θρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ « τοῦ νῦν, ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ, ἀναστηλοῦ- « σθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως C « τοῦ Θεοῦ Λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην « τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ « καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, « καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυ- « τρώσεως.

CANON LXXXII.

« Inter nonnullas venerabilium imaginum picturas, « agnus, qui digito Præcursoris monstratur, « depingitur, qui ad gratiæ figuram assumptus « est, verum nobis Agnum per legem Christum « Deum nostrum præmonstrans. Antiquas ergo « figuras et umbras, ut veritatis signa et charac- « teres, Ecclesiæ traditas amplectentes, gratiam « et veritatem præponamus, eam ut legis imple- « tionem suscipientes. Ut ergo quod perfectum « est, saltem coloribus effigiatum, omnium ocu- « lis subjiciatur, Agni ejus, qui tollit peccatum « mundi, Christi Dei nostri, instar hominis cha- « racterem, etiam in imaginibus deinceps pro « veteri agno statui jubemus, ut per ipsum « Verbi Dei humiliationem mente comprehen- « dentes, ad memoriam quoque ejus in carne « conversationis, ejusque passionis et salutaris « mortis manu ducamur, ejusque quæ ex eo fa- « cta est mundo redemptionis. »

ΒΑΛΣ. Ὅτε τὴν κατὰ τῶν πρωτοτόκων Αἰγυπτίων ἀπειλὴν διελάλησε κατὰ κέλευσιν τοῦ Θεοῦ ὁ Μωϋσῆς, ἐνετείλατο τοῖς Ἑβραίοις σφαγιάσαι ἀμνὸν, καὶ τῷ αἵματι τούτου χρισθῆναι τὰς Ἰουδαϊκὰς φλιάς, ὡς ἂν ἄβατοι ὦσι τῷ τῶν πρωτοτόκων ὀλοθρευτῇ· Προετύπου οὖν ὁ τοιοῦτος ἀμνὸς τὸν Κύριον. Ὅθεν καὶ ὁ μέγας ἐν προφήταις καὶ ἰσάγγελος πρόδρομος ἰδὼν τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, εἶπεν. Ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Τινὲς οὖν, ἐν ἁγίαις εἰκόσι τὸν ἅγιον Πρόδρομον ἀναστηλοῦντες, ἀμνὸν ἀντικρὺ αὐτοῦ ἀνεχάραττον ὑπὸ τοῦ Προδρόμου δακτυλοδεικτούμενον (92) Τοῦτο τοίνυν ἡ ἁγία σύνοδος ἀποτρέπουσα, ὥρισεν, ὡς ἐπεὶ ὁ ἀμνὸς εἰς τύπον τῆς ἀληθείας παρελήφθη, αἱ σκιαὶ δὲ καὶ οἱ τύποι καὶ τὰ σύμβολα παρῆλθον, ὡς τῆς ἀληθείας παῤῥησιασθείσης· κατασπαζόμεθα

BALS. Quomodo adversus Ægyptiorum primogenita Moses jussu Dei elocutus est, jussit ab Hebræis agnum interfici, et ejus sanguine Judæorum limina inungi: ut a primogenitorum destructore ad eos adiri non posset. Hic ergo agnus præfigurabat Dominum. Unde etiam magnus propheta angelisque æqualis Præcursor, cum Dominum et Deum nostrum Jesum Christum vidisset, dixit: Ecce Agnus Dei, Filius Patris, qui tollit peccatum mundi [91]. Quidam ergo in sacris imaginibus sanctum Præcursorem describentes, e regione ejus agnum imprimebant, qui a Præcursoris digito monstrabatur. Hoc ergo sancta synodus prohibens, statuit quod, quoniam agnus in typum veritatis acceptus est, umbræ autem et signa et typi præterierunt, utpote cum veritas exhibeatur, typos quoque et umbras, ut signa veritatis, amplectimur; sed veritatem

[91] Joan. 1, 29.

Guill. Beveregii notæ.

(91) *Παῦλος ὁ Σαμοσατεὺς ἐληρώδει.* Aristenus hic Paulum cum Petro confundere videtur. Neque enim Paulus Samosatenus, sed Petrus Fullo, sic delirasse perhibetur.

(92) *Δακτυλοδεικνούμενον.* Codex Amerbachianus et Ætoniensis rectius legunt δακτυλοδεκτούμενον.

præponimus. Et ideo typum quidem cessare statuerunt; pro agno autem in sanctis imaginibus ipsum Dominum et Deum nostrum Jesum Christum humana forma describi. Si hæc autem ita se habeant, eos male facere arbitror, qui in ecclesia columbas emittunt pro sancti Spiritus adventu : et qui pro illa stella, quæ novo modo apparuerat et erat admirabilis, cereos accendunt : et qui ineffabilem et salutarem Domini et Dei et Servatoris nostri Jesu Christi generationem puero et thoro strato exprimunt, et quæ sunt supra rationem et mentis cogitationem humanis studiis describunt.

A μὲν καὶ τοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολα, προτιμώμεθα δὲ τὴν ἀλήθειαν. Διὸ καὶ ὥρισαν τὰ μὲν τοῦ τύπου σχολάσαι· ἀντὶ δὲ ἀμνοῦ ἐν ταῖς ἁγίαις εἰκόσιν ἀναστηλοῦσθαι αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα. Εἰ δὲ ταῦτα οὕτως ἔχουσι, νομίζω ὅτι κακῶς ποιοῦσιν οἱ ἐπ' ἐκκλησίας περιστερὰς ἀπολύοντες ἀντὶ Πνεύματος ἁγίου ἐπιδημίας, καὶ ἀντὶ τοῦ ἀστέρος ἐκείνου τοῦ ὑπερφυοῦς καὶ καινοφανοῦς κηρὸν ἀνάπτοντες· καὶ τὴν ἀπόρρητον καὶ σωτήριον ἐν σπηλαίῳ γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ παιδὸς καὶ στρωμνῆς ὑποτυποῦντες, καὶ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν ἀνθρωπίνοις ἐπιτηδεύμασι διαγράφοντες.

253 ZONAR. Qui ab Hebræis agnus Mose præcipiente immolatus est, cujus sanguine consignata domorum limina primogenitorum interfectori inaccessa fuere, in Christi Jesu Domini nostri typum ac imaginem referebat. Quapropter et Baptista, cum Christum populo indicaret, Ecce, inquit, Agnus Dei, qui tollit peccatum mundi. Proinde in imaginibus quoque agnus, cum Præcursore illum intento digito monstrante, effingebatur. Quod quidem hæc synodus fieri vetat, figuras dicens, et umbras, ut signa veritatis indiciaque, veneramur; sed gratiam et veritatem longe pluris facienda esse judicamus : ac ne in posterum is, qui peccatum mundi tollit, agni specie in imaginibus pingatur, sed humano habitu ac figura exprimatur, decernimus; ut hinc, quæ nostra causa Verbi Dei abjectio demissionisque immensitas fuerit, intelligamus, ejusque in carne conversationis, et passionis ac mortis quoque salutaris, et quæcunque demum in nos contulit, beneficiorum, memoriam perpetuo conservemus.

B ΖΩΝΑΡ. Ὁ τοῖς Ἑβραίοις παρὰ Μωσέως ἐντελθεὶς σφαγιασθῆναι ἀμνός, οὗ τῷ αἵματι αἱ φλιαὶ τῶν οἰκων αὐτῶν χρισθεῖσαι ἄβατοι τῷ τῶν πρωτοτόκων ἦσαν ὀλεθρευτῇ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προετύπου καὶ προεικόνιζεν. Ὅθεν καὶ ὁ Βαπτιστὴς δεικνύων τοῖς λαοῖς τὸν Χριστὸν, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ἔφη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἐγράφετο οὖν ἐν εἰκόσιν ἀμνὸς, καὶ ὁ Πρόδρομος τῷ δακτύλῳ δεικνύων αὐτόν. Τοῦτο δὲ μὴ γίνεσθαι ἡ σύνοδος; αὕτη θεσμοθετεῖ, λέγουσα ὅτι τοὺς μὲν τύπους καὶ τὰς σκιὰς τιμῶμεν ὡς σύμβολα τῆς ἀληθείας καὶ προχαράγματα, προτιμῶμεν δὲ τὴν χάριν καὶ τὴν ἀλήθειαν (93)· καὶ ὁρίζομεν μηκέτι ἐν εἴδει ἀμνοῦ γράφεσθαι τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλὰ κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα ἀναστηλοῦσθαι αὐτὸν ἐν εἰκόσιν· ἵν' οὕτω κατανοῶμεν τὴν συγκατάβασιν τοῦ Θεοῦ Λόγου, καὶ τὸ τῆς αὐτοῦ C ταπεινώσεως ἄμετρον, καὶ μνημονεύωμεν τῆς ἐν σαρκὶ ἀναστροφῆς αὐτοῦ, καὶ τοῦ πάθους καὶ τοῦ σωτηρίου θανάτου, καὶ ὅσων εὐεργεσιῶν ἐτύχομεν δι' αὐτοῦ.

ARIST. « Non depinges agnum in typum Christi : « sed illum ipsum. »

Agnus in veri Christi Dei nostri typum assumptus fuit. Et non oportet typum veritati præponere, et agnum in venerabilibus imaginibus Præcursoris digito monstratum depingere : sed ipsum Christum et Deum nostrum etiam coloribus delineatum forma humana exprimere.

ΑΡΙΣΤ. « Οὐ χαράξεις ἀμνὸν εἰς τύπον Χριστοῦ, « ἀλλ' ἐκεῖνον αὐτόν. »

Ὁ ἀμνὸς εἰς τύπον παρελήφθη τοῦ ἀληθινοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Καὶ οὐ χρὴ τὸν τύπον προτιμᾶσθαι τῆς ἀληθείας, καὶ ἀμνὸν ἐν ταῖς σεπταῖς εἰκόσιν ἐγγράφειν, τῷ δακτύλῳ τοῦ Προδρόμου δεικνύμενον· ἀλλ' αὐτὸν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, καὶ ἐν ταῖς χρωματουργίαις κατὰ τὸ ἀνθρώπινον ἐγχαράττειν.

CANON LXXXIII.

« Nemo mortuorum corporibus Eucharistiam com- « municet. Scriptum est enim, *Accipite, comedite* [11]. « *dite* [11]. Mortuorum autem corpora nec acci- « pere possunt, nec comedere. »

BALS. Dominus et Deus noster Jesus Christus, cum una cum suis discipulis cœnans eis panem impertiisset, dixit : *Accipe, comedite; hoc est*

ΚΑΝΩΝ ΠΓ'.

« Μηδεὶς τοῖς σώμασι τῶν τελευτησάντων τῆς εὐχα- « ριστίας μεταδιδότω. Γέγραπται γάρ· *Λάβετε,* « *φάγετε*· τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ λαβεῖν « δύναται, οὐδὲ φαγεῖν. »

ΒΑΛΣ. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, δειπνήσας μετὰ τῶν οἰκείων μαθητῶν, καὶ τοῦ ἄρτου τούτοις μεταδιδοὺς, *Λάβετε, φάγετε,* ἔφησε· τοῦτό

[11] Matth. xxvi, 26.

Guill. Beveregii notæ.

(93) *Τὴν χάριν καὶ τὴν ἀλήθειαν.* In Henrici II. et Gallandi J. C. codicibus locus hic sic legitur· Προτιμῶμεν δὲ τὴν χάριν καὶ τὴν ἀλήθειαν, ἤγουν αὐτὰ τὰ πράγματα, τὰ διὰ τῶν συμβόλων τυπούμενα καὶ δηλούμενα, *Sed gratiam et veritatem, hoc est, res ipsas, quæ signis exprimuntur et declarantur, longe pluris facienda esse judicamus.* Sed in codice Amerbachiano lectus est, ut a nobis editus.

ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καθὼς τοῦτο ἐν Εὐαγγελίοις γέγραπται. Εἴθιστο γοῦν πρὸ τῆς συνόδου ταύτης παρά τισι μεταδιδόναι τῶν θείων ἁγιασμάτων (ταῦτα γὰρ Εὐχαριστίαν οἱ Πατέρες ὠνόμασαν) σώμασι νεκροῖς. Τοῦτο οὖν κωλύοντες οἱ Πατέρες, διωρίσαντο μηκέτι τοιοῦτόν τι γίνεσθαι. Ὅτι, φασί, γέγραπται· *Λάβετε, φάγετε*· τὰ δὲ σώματα τῶν νεκρῶν οὔτε λαβεῖν οὔτε φαγεῖν δύνανται. Ἀνάγνωσον καὶ τὸν ιη' κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Τὸ μέντοι χειρίζεσθαι τοῖς ἀρχιερεῦσι μετὰ τελευτὴν ἅγιον ἄρτον, καὶ οὕτως ἐνταφιάζεσθαι, νομίζω γίνεσθαι εἰς ἀποτροπὴν τῶν δαιμονίων, καὶ ἵνα δι' αὐτοῦ ἐφοδιάζηται πρὸς οὐρανὸν ὁ τοῦ μεγάλου καὶ ἀποστολικοῦ καταξιωθεὶς ἐπαγγέλματος.

A *corpus meum, quod pro vobis frangitur pro remissionem peccatorum*, sicut hoc scriptum est in Evangeliis. Ante hanc ergo synodum mos erat nonnullis divina sacramenta (ea enim Patres Eucharistiam nominavere) corporibus mortuis impertire. Patres ergo hoc fieri prohibentes, tale quid non amplius faciendum decreverunt. Quoniam, inquiunt, scriptum est, *Accipite, comedite* : mortuorum autem corpora non possunt accipere nec comedere. Lege et 18 can. Carth. syn. Quod autem sanctus panis antistitibus post mortem tradatur, et sic sepeliantur, existimo hoc fieri ad avertendos dæmonas, et ut per ipsum, tanquam viaticum, deducatur ad cœlum, qui magna et apostolica professione dignus est habitus.

ΖΩΝΑΡ. Ἔθος ἦν παλαιὸν μεταδίδοσθαι τοῖς νεκροῖς σώμασι τῶν τελευτησάντων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου. Τοῦτο γὰρ ὠνόμασται Εὐχαριστία, ὅτι εὐχαριστεῖν ἡμᾶς χρὴ μεταλαμβάνοντας τούτων, ὡς ἀξιωθέντας τοιούτων δωρεῶν. Τοῦτο τοίνυν γίνεσθαι ὁ κανὼν ἀπηγόρευσε, καὶ τὴν αἰτίαν ἐπάγει λέγων ὅτι ὁ Κύριος διανέμων τὸν ἄρτον τοῖς μαθηταῖς, *Λάβετε, φάγετε*, εἶπε· τὰ δὲ νεκρωθέντα σώματα οὔτε λαβεῖν οὔτε φαγεῖν δύναται. Καὶ ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου πρὸ τῆς συνόδου ταύτης ἀπηγόρευσε τὸ τῆς Εὐχαριστίας μεταδίδοσθαι τοῖς νεκροῖς.

B ZONAR. Antiquæ consuetudinis fuit corpus et sanguinem Domini mortuorum corporibus impertiri. Illa siquidem Eucharistiæ nomine intelliguntur, quod ea dum percipimus, sit a nobis, qui ejusmodi muneribus digni habiti simus, gratiarum actio adhibenda. Id igitur hic canon fieri vetuit, ejusque rei rationem hanc subdit, quod panem Dominus in discipulos dividens, *Accipite*, ait, *et comedite* : mortuis autem cadaveribus neque accipere neque comedere datum est. Carthaginensis quoque synodi decimo octavo canone, jam olim ante hanc synodum, Eucharistiam vita functis præbere ne liceat interdictum est. »

ΑΡΙΣΤ. « Σώματι νεκρῷ οὐ μεταδοτέον τῶν ἁγιασμάτων. »

C ARIST. « Corpori mortuo sacramenta non sunt communicanda. »

Ἐπειδὴ γέγραπται· *Λάβετε, φάγετε*· τὰ δὲ τῶν νεκρῶν σώματα οὔτε λαβεῖν οὔτε φαγεῖν δύνανται· οὐδεὶς μεταδώσει τοῖς τελευτήσασι τῶν θείων καὶ ἁχράντων ἁγιασμάτων.

Quoniam scriptum est : *Accipite, edite;* ac mortuorum **254** corporum nec accipere possunt, nec comedere : nemo mortuis divina sacramenta communicabit.

ΚΑΝΩΝ ΠΔ'.

« Τοῖς κανονικοῖς τῶν Πατέρων θεσμοῖς (94) κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκωνται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ ταῦτα (95) διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι· μήποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως. »

CANON LXXXIV.

« Canonicas Patrum leges sequentes, de infantibus quoque decernimus, quoties non inveniuntur firmi testes, qui eos indubie baptizatos esse dicant, nec ipsi propter ætatem de sibi tradito mysterio apte respondere possint, debere sine ulla offensione baptizari : ne forte ejusmodi dubitatio eos tali sanctitatis puritate privet. »

D

ΒΑΛΣ. Οἱ ἐν Καρθαγένῃ συνελθόντες Πατέρες, ὧν ὁ παρὼν κανὼν μέμνηται, ἓν βάπτισμα ὁμολογοῦντες κατὰ τὴν τοῦ ἁγίου συμβόλου περίληψιν, ὥρισαν ἐν κανόνι οβ' τοὺς ἐν νηπιότητι λεγομένους βαπτισθῆναι, εἴτε καὶ μὴ βαπτίζεσθαι, ἐὰν μὴ ὦσι

BALS. Patres qui Carthagine convenerant, quorum præsens canon meminit, unum baptismum confitentes ex sancti symboli comprehensione, can. 72 statuerunt, ut qui in infantia dicuntur esse baptizati sive non, si non sint firmi testes, qui eos

Guill. Beveregii notæ.

(94) *Τοῖς κανονικοῖς τῶν Πατέρων θεσμοῖς.* Hoc, nimirum ut infantes, de quibus dubitatur, an baptizati fuerint, ab Ecclesia Catholica baptizentur, a Patribus Africanis ante decretum fuit, syn. Carthaginensis canone 75, cujus ipsa etiam verba hic repetuntur : ut indubium sit eos esse Patres, qui hic commemorantur. Idem postea a Gregorio IX, in Decretatibus constitutum est, *De quibus dubium est, an baptizati fuerint, baptizentur his verbis præmissis, Si baptizatus es non te baptizo; sed si non baptizatus es, ergo te baptizo, etc.* Decret. Greg. l. III, tit. 42, c. 2.

(95) *Λέγοντες καὶ οὐδὲ ταῦτα.* In codice Amerbachiano legitur, λέγοντες οὐδὲ αὐτά. In syn. Carth. can. 75, unde hic transcribitur, λέγοντες καὶ οὐδὲ αὐτά. In editione Parisiensi λέγονται scribitur.

esse baptizatos plene et integre probent, baptizentur. His ergo consequenter Patres in præsenti canone ea ipsa statuerunt, quæ et qui Carthagine convenerunt jusserant : ut ii scilicet baptizarentur, de quibus dubitabatur, an baptizati essent, si nec illi ipsi probare possint se fuisse baptizatos, eo quod nesciant quid sibi in infantia factum sit (nam κεῖρα est ætas imperfecta), nec testes adducunt, qui probent eos fuisse baptizatos. Est enim timendum, ne propter dubitationem infantes sacro baptismate et regno cœlorum, quod per id datur, priventur, pront est vox Domini dicentis, *Nisi quis per aquam et Spiritum renatus fuerit, non intrabit in regnum cœlorum* [23]. Hæc autem constituta sunt, quoniam non permittebant aliqui, ut tales propter dubitationem baptizarentur : ne eos, qui antea baptizati fuerant, rebaptizare viderentur. De ea re autem sæpe synodice controversia exorta est. Cum enim infantes ex Christianorum regione a Scythis et Agarenis bello capti essent, et Romanis divenditi, dubitatum est, an oporteat venundatos baptizari. Dicebant enim nonnulli, quoniam ex Christiana regione capti sunt, præsumptio est eos fuisse in regione baptizatos in infantia, nec rebaptizandos. Placuit vero potius baptizandos esse, eo quod hi nesciant, an in infantia baptizati fuerint, nec ulli inveniantur qui baptismum affirment. De iis autem, qui ex infidelium regione capiuntur, eos esse baptizandos indistincte statutum est : nisi testes profiteantur eos post captivitatem fuisse baptizatos. Tempore autem sanctissimi patriarchæ domini Lucæ synodice adfuerunt Agareni, et cum ab eis postularetur ut baptizarentur, dixerunt, quod in suis regionibus antea baptizati fuerant. Et interrogati quomodo responderunt, esse consuetudinem ut omnes Agarenorum infantes ab orthodoxis sacerdotibus baptizarentur : non tamen admissi fuerunt. Audierant enim, quod baptismus, quem infideles a Christianis petunt, non bona affectione et orthodoxo proposito petitur ; sed propter corporalem medicinam. Persuasum est enim Agarenis, fore ut sui liberi a dæmone vexentur, et tanquam canes male oleant, nisi baptismum Christianum assequantur. Quamobrem, non ut omnium animæ sordidum mundatorem, divinæque lucis et sanctificationis præbitorem, baptismum postulant ; sed tanquam veneficium et incantationem. Quidam autem eorum dicebant se matres habere orthodoxas, seque earum cura fuisse ab orthodoxis baptizatos : sed nec ii exauditi sunt, quoniam testes non adducebant, qui hoc ipsum pro testimonio dicerent ; imo potius condemnati sunt, quod non bonam de

μάρτυρες βέβαιοι πληροφοροῦντες αὐτοὺς βαπτισθῆναι. Ἀκολούθως οὖν τούτοις ἐθεσμοθέτησαν οἱ Πατέρες ἐν τῷ παρόντι κανόνι αὐτὰ ἐκεῖνα, ὅσα καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες παρεκελεύσαντο· δηλονότι βαπτίζεσθαι τοὺς ἀμφιβαλλομένους βαπτισθῆναι, εἰ μήτε αὐτοὶ ἐκεῖνοι (96) δύνανται πληροφορῆσαι τὸ βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τί γέγονεν εἰς τούτους ἐν νηπιότητι (κεῖρα γάρ ἐστιν ἡ ἀτελὴς ἡλικία) μηδὲ μάρτυρες παράγονται πληροφοροῦντες τὸ βαπτισθῆναι αὐτούς. Δέος γάρ ἐστι μήποτε διὰ τὸν διασταγμὸν ἀποστερηθῶσι τὰ νήπια τοῦ θείου βαπτίσματος, καὶ τῆς διὰ τοῦτο διδομένης βασιλείας τῶν οὐρανῶν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν (97) τὴν λέγουσαν· *Εἰ μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* Ταῦτα δὲ νενομοθέτηται, ὅτι τινὲς οὐ παρεχώρουν διὰ τὴν ἀμφιβολίαν βαπτίζεσθαι τοὺς τοιούτους, ἵνα μὴ δόξωσιν ἀναβαπτίζειν τοὺς προβαπτισθέντας. Περὶ δὲ τούτου πολλάκις ἀμφισβήτησις γέγονε συνοδικῶς. Νηπίων γὰρ ἀπὸ Χριστιανικῆς χώρας αἰχμαλωτισθέντων παρὰ Σκυθῶν καὶ Ἀγαρηνῶν, καὶ διαπραθέντων πρὸς Ῥωμαίους, ἀμφιβολία γέγονεν, εἰ χρὴ τοὺς πωληθέντας βαπτισθῆναι. Ἔλεγον γάρ τινες ὡς, ἐπεὶ ἀπὸ Χριστιανικῆς χώρας ᾐχμαλωτίσθησαν, πρόληψίς ἐστι βαπτισθῆναι κατὰ χώραν ἐν νηπιότητι, καὶ οὐ χρὴ αὖθις ἀναβαπτισθῆναι. Ἤρεσε δὲ μᾶλλον ὀφείλειν βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τούτους εἰ ἐν νηπιότητι ἐβαπτίσθησαν, μήτε τινὰς εὑρίσκεσθαι διαβεβαιουμένους τὸ βάπτισμα. Περὶ δὲ τῶν ἀπὸ χώρας ἀπίστων αἰχμαλωτιζομένων ὡρίσθη ἀδιαστίκτως αὐτοὺς βαπτίζεσθαι· εἰ μὴ μάρτυρες ὁμολογοῦσι βαπτισθῆναι τούτους μετὰ τὴν αἰχμαλωσίαν. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ παρέστησαν Ἀγαρηνοὶ συνοδικῶς, καὶ ἀπαιτούμενοι βαπτισθῆναι, εἶπον ὡς ἔφθασαν εἰς τὰς χώρας αὐτῶν βαπτισθῆναι. Καὶ ἐρωτώμενοι ὅπως, ἀπελογήσαντο ὅτι συνήθειά ἐστι πάντα τὰ νήπια τῶν Ἀγαρηνῶν βαπτίζεσθαι παρὰ ὀρθοδόξων ἱερέων· ἀλλ' οὐ παρεδέχθησαν. Ἤκουσαν γὰρ ὡς τὸ παρὰ τῶν ἀπίστων ζητούμενον ἀπὸ τῶν Χριστιανῶν βάπτισμα οὐ κατὰ διάθεσιν ἀγαθὴν καὶ προαίρεσιν ὀρθόδοξον ζητεῖται, ἀλλὰ διὰ θεραπείαν σωματικήν. Δέδοκται γὰρ παρὰ τοῖς Ἀγαρηνοῖς τὰ τέκνα τούτων δαιμονᾶν καὶ κατὰ κύνας ὄζειν, εἰ μὴ βαπτίσματος τύχωσι Χριστιανικοῦ. Κάντεῦθεν οὐχ ὡς καθαρτήριον παντὸς ῥύπους ψυχικοῦ, καὶ φωτὸς θείου καὶ ἁγιασμοῦ πάροχον ἀνακαλοῦνται τὸ βάπτισμα, ἀλλ' ὡς φαρμακείαν ἢ ἐπῳδήν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον μητέρας ἔχειν ὀρθοδόξους, καὶ ἀπὸ σπουδῆς τούτων βαπτισθῆναι αὐτοὺς παρὰ ὀρθοδόξων, ἀλλ' οὐδὲ οὗτοι εἰσηκούσθησαν, ὅτι οὐ παρέστησαν μάρτυρες τοῦτο αὐτὸ μαρτυροῦντες· μᾶλλον μὲν

[23] Joan. III, 5.

Guill. Beveregii notæ.

(96) *Εἰ μήτε αὐτοὶ ἐκεῖνοι.* Hæc verba usque ad βαπτισθῆναι in ms. Bodleiano desiderantur, sed in aliis omnibus leguntur, et sensui necessaria sunt ; ac proin ea retinuimus.

(97) *Κατὰ τὴν τοῦ Κυρίου φωνήν.* Etiam hæc usque ad τὴν βασιλείαν τῶν οὐρανῶν inclusive in ms. Bodleiano non leguntur : sed nihilominus ea, quia in aliis codicibus lecta, omittere noluimus, ne locus mutilus videretur.

οὖν καὶ κατεγνώσθησαν, ὡς μὴ ἀγαθὴν πρόληψιν διδόντες καθ' ἑαυτῶν, εἰς τὸ μὴ προσέρχεσθαι τῇ πίστει ὀρθῶς. Διὸ καὶ ἐξεχωρήθη πάντας τούτους βαπτισθῆναι.

ΖΩΝΑΡ. Ἓν βάπτισμα ὁμολογεῖν ὑπὸ τοῦ θείου συμβόλου τῆς πίστεως δεδιδάγμεθα. Ὅτι δὲ ὁ Κύριος ἔφη· *Εἰ μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*, διὰ τοῦτο ἔδοξε τοῖς ἱεροῖς Πατράσι παλαιοτέρων Πατέρων ἐξακολουθοῦσι θεσμοῖς, εἰ ἀμφίβολόν ἐστι τὸ βαπτισθῆναί τινας, ἐκείνων μὲν μὴ εἰδότων εἰ ἐβαπτίσθησαν διὰ νηπιότητα καὶ τὸ λίαν ἀτελὲς τῆς ἡλικίας αὐτῶν (ἡλικία γὰρ ἡ χεῖρα ἑρμηνεύεται) καὶ οὐδέ τινες εὑρίσκονται εἰδότες καὶ μαρτυροῦντες ὅτι ἐβαπτίσθησαν, βαπτίζεσθαι αὐτοὺς χωρὶς τινος προσκόμματος, ἀντὶ τοῦ μή τινος ἐμποδίου ὄντος διὰ τὸ ἀγνοεῖσθαι εἰ ἐβαπτίσθησαν. Τοῦτο δέ, φασίν, ὁρίζομεν, ἵνα μὴ διὰ δισταγμὸν καὶ ἀμφιβολίαν τοῦ εἴτε ἐβαπτίσθησαν εἴτε μὴ στερηθῶσι τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως, καὶ ἔξω μείνωσι τῆς τοῦ Θεοῦ βασιλείας κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν.

ΑΡΙΣΤ. « Οἱ μὴ γινώσκοντες, μηδὲ μαρτυρούμενοι βαπτισθῆναι, βαπτιζέσθωσαν. »

Ὅσοι ἀγνοοῦσιν εἰ ἐν τῇ νηπιώδει αὐτῶν ἡλικίᾳ ἐβαπτίσθησαν, καὶ οὐδὲ εὑρίσκονταί τινες ἀξιόπιστοι μάρτυρες ἀναμφιβόλως αὐτοὺς διαβεβαιούμενοι βαπτισθῆναι, χωρὶς τινος προσκόμματος βαπτιζέσθωσαν.

ΚΑΝΩΝ ΠΕ'.

« Ἐπὶ δύο ἢ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα « γραφικῶς παρελάβομεν. Τοὺς οὖν ὑπὸ τῶν οἰ« κειων δεσποτῶν ἐλευθερουμένους δούλους ἐπὶ « τρισὶ μάρτυσι, τῆς τοιαύτης τιμῆς ἀπολαύειν « διοριζόμεθα, οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ « προσοίσουσιν, καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γινο« μένοις παρέξουσιν.

« ΒΑΛΣ. Εἶπεν ἐν Εὐαγγελίοις ὁ Κύριος· *Ἐπὶ δύο ἢ τριῶν μαρτύρων πᾶν ῥῆμα σταθήσεται*. Διὸ καὶ ὁ παρὼν κανὼν διορίζεται τοὺς λέγοντας ἐλευθερίας ἀξιωθῆναι παρὰ τῶν οἰκείων δεσποτῶν μὴ ἀναγκάζεσθαι πολλοὺς μάρτυρας χάριν ἀποδείξεως τούτου αὐτοῦ παράγειν· ἀλλὰ διὰ τριῶν μαρτύρων συνιστᾷν τὴν λεγομένην προσεῖναι αὐτοῖς ἐλευθερίαν. Ἦσαν γάρ τινες, ὡς ἔοικε, λέγοντες ὀφείλειν τὴν ἐλευθερίαν ἀποδείκνυσθαι διὰ πλειόνων μαρτύρων, πέντε τυχὸν ἢ καὶ ἓξ· ὅπερ τῇ ἁγίᾳ συνόδῳ οὐκ ἤρεσεν. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἐτράκταϊσθη δὲ πολλάκις, εἰ τοῦ νόμου λέγοντος ἐν βιβλίῳ κα', τίτλῳ α', καὶ βιβλ. κγ', τίτ. α', ἐπὶ μὲν τοῖς ἐπ' ἐκείνα τῆς μιᾶς ὑπερπύρων λίτρας πράγματιν ὀφείλειν παράγεσθαι μάρτυρας τρεῖς· ἐπὶ δὲ ὑποθέσει λίτρας ὑπερπύρων μιᾶς καὶ κατωτέρω ἀρκεῖν μάρτυρας δύο, ἀναγκάζεται ὁ ἐλευθεροῦσθαι κατὰ τὸν παρόντα κανόνα παράγειν μάρτυρας τρεῖς. Καὶ τέως ἐμοὶ ἔδοξε, δύο καὶ μόνους ἀρκεῖν μάρτυρας εἰς

A se existimationem dabant, quod recte ad fidem non accederent. Propterea et hos omnes baptizari permissum est.

255 ZONAR. Unum baptisma confiteri divino fidei symbolo edocti sumus. Quoniam vero Domini illa verba sunt, *Nisi quis renatus fuerit ex aqua et Spiritu non intrabit in regnum cœlorum*, propterea sancti Patres, antiquiorum Patrum secuti decreta, statuere, ut si de aliquibus, sint baptizati nec ne, incertum sit, cum nec ipsi ob infantiam ætatemque teneram (est idem namque χείρα, quod ætas) se baptismo initiatos norint, nec aliorum, quid id sciant, testimonio baptizatos esse probari possit, sine offensione, hoc est, sine ulla mora cunctationeque, cum nihil de illorum baptismo certi cognitum sit, baptizentur. Hoc vero, inquiunt, ita decernimus, ne ob incertam ambiguamque de baptismo suscepto ab his hominibus controversiam, tali sanctitatis puritate priventur, atque a Dei regni aditu ex Dominica assertione prohibeantur.

ARIST. « Qui nec cognoscunt, nec per testes pro« bare possunt, se baptizatos esse, baptizen« tur. »

Quotquot ignorant, an in infantili sua ætate baptizati fuerint; et non inveniuntur aliqui testes fide digni, qui extra controversiam confirmatum dent, eos fuisse baptizatos : sine ullo scandalo baptizentur.

CANON LXXXV.

« In duobus vel tribus testibus confirmari omne « verbum ex Scriptura accepimus. Servos ergo, « qui a suis dominis sub tribus testibus manu« mittuntur, eo frui honore decernimus; qui « præsentes libertati vires et firmitatem afferent, « et, ut iis quæ ab ipsis facta sunt fides ha« beatur, efficient. »

BALS. Dominus dixit in Evangeliis : *In duobus vel tribus testibus stabit omne verbum* [25]. Et ideo præsens quoque canon statuit, ut qui se dicunt fuisse manumissos a suis dominis, non necesse habeant ad hoc ostendendum multos testes adducere : sed per tres testes probare libertatem quæ illis adesse dicitur. Erant enim nonnulli, qui, ut est verisimile, dicebant, oportere eum esse liberum ostendi per plures testes, quinque fortasse vel sex : quod quidem sanctæ synodo non placuit. Et hæc quidem in hoc canone continentur. Sæpe autem tractatum est, an, cum lex dicat in libro XXI, tit. 1, et lib. XXXIII, tit. 1, in negotiis, quæ unam hyperpyrorum libram excedunt, debere tres testes adduci, in causis autem unius hyperpyrorum libræ et inferioribus sufficere duos testes; cogatur, qui ad libertatem proclamat, ex præsenti canone tres testes adducere. Et mihi quidem visum est, ad ostendendam libertatem duos solos testes sufli-

[25] Matth. XVIII. 16.

cere, eo quod leges et canones libertati maxime favеant; et quandoquidem cujuslibet servi pretium unam hyperpyrorum libram non excedit, in una autem hyperpyrorum libra constitutum est duos testes sufficere, omnino et ad ostendendam libertatem duo testes sufficient, præsenti canoni consequenter, qui est pro libertate editus, et dicit ab initio : In ore duorum vel trium testium stabit omne verbum ; et quod ex infirmitate probationum inæstimabilis libertas non datur adversario, sed servitus quæ æstimatur, ut superius dictum est, qua etiam data, pecuniis liberabitur qui ad libertatem proclamat.

Lege etiam Novellam imperatoris domini Alexii Comneni, quæ edita est de non admittendis testibus qui contra opponuntur, quando testes adducuntur ab eo qui ad libertatem proclamat, et de eo quod liberi servi non fiant, qui sacram benedictionem acceperint : quæ hæc his verbis persequitur. Duo hæc ad aures imperialis meæ potestatis pervenerunt, sanctissime domine, quod quidam eorum, qui ad sanctum et magnum **256** divini Verbi sapientiæ templum accedunt, ad libertatem proclamantes, et genus suum ad libertatis ostensionem allegantes (dicunt enim se ex liberis parentibus esse natos, Bulgaris forte vel aliquibus aliis, quos in servitutem nostra non accepit respublica), ea quidem quæ dicunt demonstrare permittuntur. Et postquam testes omni exceptione majores, et in quos nulla cadit criminatio, adduxerint, ad alios eis testes opponendos eorum domini procedunt ; et sic cum ii, qui provocant, non possint amplius in judiciis persistere, servilis conditionis onere rursus opprimuntur : et quando matrimoniales fiunt servorum consuetudines et convictiones in nostra republica, eas tamen sacra non consequitur benedictio, caventibus dominis ne servi inter se invicem cum sacra benedictione conjungantur, ne ex eo ad libertatem conveniant. Eorum autem utrumque convenienti correctione opus habere censuit ; et propterea hanc constitutionem magna cum cautione et observatione edidit, per quam statuitur de his qui ad libertatem proclamant servis, ne ii, qui contra adducuntur, testes vim ullam locumve habeant, in quocunque seu civili seu ecclesiastico judicio : sed ii soli, qui in jus vocant, legitimas probationes afferant ; et si ii quidem testibus abundent, qui jure sunt recipiendi neque calumnia inducti, testium jurejurando judicium solvatur ; sed non contrariæ etiam per testes probationes eorum dominis permittantur, ne magna adversariorum inæqualitas sit inferioribus damni causa.

ἀπόδειξιν ἐλευθερίας, διὰ τὸ ἐπιθάλπεσθαι παρά τε τῶν νόμων καὶ τῶν κανόνων πλέον πάντων τὴν ἐλευθερίαν· ἄλλως τε ἐπεὶ οὐκ ὑπερβαίνειν τίμημα δούλου οἰουδήτινος μίαν ὑπερπύρων λίτραν, νενομοθέτηται δὲ ἐπὶ μιᾶς ὑπερπύρων λίτρας ἀρκεῖν μάρτυρας δύο, πάντως καὶ εἰς ἀπόδειξιν ἐλευθερίας δύο ἀρκέσουσι μάρτυρες ἀκολούθως τῷ παρόντι κανόνι τῷ ὑπὲρ τῆς ἐλευθερίας ἐκφωνηθέντι, καὶ λέγοντι ἐξ ἀρχῆς· Ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. Καὶ ὅτι ἐξ ἀτονίας τῶν ἀποδείξεων οὐχὶ ἡ ἀδιατίμητος ἐλευθερία δίδοται τῷ ἀντιδίκῳ, ἀλλὰ ἡ δουλεία, ἥτις ἀποτιμᾶται ὡς ἄνωθεν εἴρηται, ἧς καὶ δοθείσης διὰ νομισμάτων ἐλευθερωθήσεται ὁ ἐλευθεροβοῶν.

Ἀνάγνωθι καὶ τὴν Νεαρὰν τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν ἐξενεχθεῖσαν χάριν τοῦ μὴ δέχεσθαι ἀντιπαραστάσεις μαρτύρων, ὅταν παράγωνται μάρτυρες παρὰ τοῦ ἐλευθεροβοῶντος, καὶ χάριν τοῦ μὴ γίνεσθαι ἐλευθέρους τοὺς ἱερολεγομένους (98) δούλους, τὴν καὶ τάδε ῥητῶς διεξιοῦσαν. Δύο ταῦτα ἐπὶ τὰς ἀκοὰς τῇ βασιλείᾳ μου ἦλθεν, ἀγιώτατε δέσποτα, ὥς τινες τῶν προσερχομένων τῷ ἁγίῳ μεγάλῳ τε καὶ θείῳ ναῷ τῆς τοῦ Θεοῦ Λόγου σοφίας, εἰς ἐλευθερίαν ἀναφωνοῦντες, καὶ πρόφασιν τῆς ἐλευθερίας τὸ γένος ποιούμενοι (φασὶ γὰρ ἐλευθέρων γεγεννῆσθαι γονέων, Βουλγάρων τυχὸν ἤ τινων τοιούτων οὓς εἰς δουλείαν ἡ καθ' ἡμᾶς οὐ παρέλαβε πολιτεία), εἰς ἀπόδειξιν τῶν λεγομένων ἀφίενται. Κἀπειδὴ παραστήσονται μάρτυρας ἀδιαβλήτους, εἰς ἀντιπαραστατικὴν μαρτυρίαν οἱ κύριοι τούτων χωροῦσι, καὶ οὕτως τῶν ἐγκαλούντων διὰ τέλους παραμένειν τοῖς δικαστηρίοις ἀδυνατούντων, ἡ δουλικὴ τύχη πάλιν τούτοις ἐπιφορτίζεται· καὶ ὅτε γαμικαὶ δούλων ὁμιλίαι τε καὶ συναρμογαὶ παρὰ τῷ καθ' ἡμᾶς γίνονται πολιτεύματι, οὐ μέντοιγε καὶ ἱερολογία ταύταις ἀκολουθεῖ, τῶν κυρίων αὐτῶν εὐλαβουμένων μεθ' ἱερολογίας ἀλλήλους συνάπτειν τοὺς δούλους, ἵνα μὴ πρὸς ἐλευθερίαν ἐντεῦθεν συνέλθωσι. Καὶ τῆς προσηκούσης ἄμφω διορθώσεως ἔγνωκε δεῖν· καὶ διὰ τοῦτο τὸ παρὸν διάταγμα συντετηρημένως ἐξέθετο, δι' οὗ διορίζεται κατὰ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων, ἀντιπαραστατικὴν μαρτυρίαν μὴ κρατεῖν, μηδὲ χώραν ὅλως ἔχειν αὐτὴν παρ' οἱῳδήτινι πολιτικῷ ἢ ἐκκλησιαστικῷ δικαστηρίῳ· ἀλλὰ τοῖς ἐγκαλοῦσι μόνοις τὰς ἀποδείξεις κατὰ νόμους ἐπάγεσθαι, κἂν εἴ που μαρτυριῶν εὑπορήσοιεν οὗτοι νόμοις δεκτῶν καὶ μὴ περιτρεπομένων διαβολαῖς, τῷ τῶν μαρτύρων ὅρκῳ τὴν δίκην λύεσθαι· ἀλλὰ μὴ καὶ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν ἐγχωρεῖσθαι· ἵνα μὴ τὸ πολὺ τῶν ἀντιθέτων ἄνισον βλάβης αἴτιον τοῖς ἐλαχιστοτέροις γενήσηται.

Guill. Beveregii notæ.

(98) *Τοὺς ἱερολεγομένους.* In codice Amerbachiano legitur τοὺς ἱερολογουμένους. Quomodo etiam in margine ad eumdem codicem legitur his verbis, νεαρὰ μὴ ἐλευθεροῦσθαι διοριζομένη τοὺς ἱερολογουμένους δούλους.

Ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁμοτελῶν ἡ τοῦ μακαριστοῦ κυροῦ Βασιλείου νομοθεσία τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστάσεις οὐκ ἐξεχώρησεν· οὕτω κἀνταῦθα τοῖς κυρίοις κατὰ τῶν δούλων ἀπεσβεσμένον ἔσται τὸ τῆς ἀντιπαραστάσεως ἰσχυρὸν, καὶ μόνη κρατήσει παρὰ τούτοις ἡ κατὰ τῶν μαρτύρων διαβολή· τῆς ἀντιπαραστάσεως πάντως μὴ ἀποκλειομένης τοῖς ἐγκαλουμένοις δούλοις, ὅταν τοὺς μάρτυρας κατὰ τῶν ἐν νομῇ ἐλευθερίας ὄντων οἱ πρὸς δουλείαν ἔλκοντες τούτους παραγάγωσι. Τοῖς γὰρ ἐλαχιστοτέροις καὶ ἀσθενέστιν ἡ παροῦσα διάταξις χαρίζεται τὴν ῥοπὴν, ἀλλ' οὐχ ὑπὲρ τῶν δυνατῶν καὶ μᾶλλον ἰσχυροτέρων ἐκτέθειται. Προστίθησι δὲ καὶ τὰς ἱερολογίας μὴ μόνον παρὰ τοῖς ἐλευθέροις, ἀλλὰ καὶ παρὰ τοῖς δούλοις κρατεῖν. Καὶ γάμον μὴ ἄλλως ἔννομόν τε καὶ τῆς Χριστιανικῆς καταστάσεως ἄξιον εἶναί τε καὶ νομίζεσθαι, εἰ μὴ καὶ ἱερολογία τοὺς συναπτομένους συνδεῖ. Ἄτοπον γὰρ ἂν εἴη, μιᾶς ἐν πᾶσι τῆς Χριστιανικῆς κρατούσης πίστεως καὶ βαπτίσματος ὁμολογουμένου ἑνὸς, δι' οὗ προσήγμεθα τῷ Κυρίῳ, καὶ τῆς αὐτῆς σωτηρίας ἐλπιζομένης πᾶσιν ἡμῖν τοῖς πιστεύουσιν, ὑποτρέχειν ἐνίους ὑπόνοιαν, ὡς τοῖς δούλοις ἧττον μέτεστι τοῦ καλοῦ· καὶ τοὺς μὲν ἐλευθέρους κατὰ γάμον ἀλλήλοις συνάπτεσθαι θείᾳ συνδουμένους εὐχῇ πρότερον· τοὺς δούλους δὲ τοιούτου διαπίπτειν καλοῦ καὶ μὴ παραλαμβάνειν Θεὸν ἐπ' εὐλογίᾳ τῆς συνελεύσεως, ἢ δεδιέναι, ὡς, εἰ παρελαμβάνετο, ἀδικηθείη ἂν περὶ τὴν δεσποτείαν ὁ τούτων κύριος, τῆς ἐπ' αὐτοῖς στερισκόμενος δεσποτείας. Οὕτω γὰρ εἰ τοῦτο κρατοίη δεδιέναι χρὴ καὶ τὸ ἅγιον βάπτισμα, μὴ δοῦλον ξενωθεῖεν τῶν δεσποτειῶν· ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν, μὴ καὶ διὰ ταύτης ἐκείνων ἀλλοτριωθεῖεν. Κἀντεῦθεν ἐκ τῶν δούλων οἰκήσεται τὸ μέγα καὶ σεβάσμιον τῆς θείας πίστεως ὄνομα· καὶ οὐ δοῦλοι μόνον ἀνθρώπων, ἀλλὰ καὶ τοῦ ἀνθρωποκτόνου γενήσονται ἄνθρωποι. Συγκινδυνεύσουσι δὲ καὶ οἱ κύριοι τούτων φόβῳ τοῦ μὴ διαπεσεῖν ὑπηρεσίας ἀνθρώπων, τῆς τοῦ Θεοῦ δόξης ἀποξενοῦν ἑαυτοὺς ἀνεχόμενοι (99). Ἀλλ' οὔτε τοῦτο λόγον ἔχει δίκαιον, καὶ τὴν ἱερολογίαν ἐξ ἀνάγκης καὶ ἐπὶ τῶν δούλων κρατεῖν εὔλογον καὶ Χριστιανικῆς ἐπάξιον καταστάσεως.

Sed quemadmodum in iis, qui idem tributum solvunt, lex beatissimi domini Basilii potentibus adversus pauperes contrarias probationes per testes non permisit : sic et hic dominis adversus servos vis contrariæ per testes probationis exstincta erit, et sola apud eos valebit adversus ipsos testes idata criminatio ; contraria non omnino per testes probatione exclusa, quando ii, qui trahunt in servitutem, adversus illos, qui jure sunt liberi, servis in jus vocatis, testes, produxerint. Inferioribus enim et imbecillis præsens constitutio gratificatur, et quod eos juvet subministrat : non autem pro majoribus et potentioribus editur. Adjicit autem et sacras benedictiones, non solum apud liberos, sed etiam apud servos valere. Et nuptias non alias legitimas et Christiana institutione dignas esse et existimari, nisi etiam benedictio eos, qui conjunguntur, colliget. Absurdum enim esset, cum una in omnibus Christiana fides valeat, et unus sit in confesso baptismus, per quem ad Dominum deducti sumus, et eadem salus a nobis omnibus qui credimus speretur, nonnullis hanc obortam esse suspicionem, quod servi sint boni minus participes ; et liberi quidem matrimonio invicem conjungantur, prius oratione colligati : servi autem a tali bono excidant, et Deum non assumant in congressus benedictione, vel metuant, quod si assumpserint, eorum dominus in dominio injuria afficeretur, illorum dominio privatus. Si hoc autem locum habuerit, sanctum quoque baptismum timere oportet, ne servi dominium sibi vendicent : sed etiam immaculatorum mysteriorum assumptionem, ne per eam ab illis quoque alienentur. Quo fiet ut in servis intereat magnum et venerabile divinæ fidei nomen : et non solum servi hominum, sed etiam diaboli homicidæ, fient homines. Eorum autem domini in periculum quoque venient, ne, dum hominum ministerio privari formidant, a Dei gloria seipsos abalienare sustineant, sed neque hoc est rationi consentaneum, et sacram benedictionem in servis quoque valere æquum, et Christiana institutione dignum est.

Ἀλλὰ γὰρ ἐν ἀνθρώποις οἶδεν ἡ τύχη δεσποτείαν καὶ δουλείαν διάφορα, καὶ ἅπερ ἡ καθ' ἡμᾶς πολιτεία παρέλαβε ταῦτα καὶ ἐπὶ τούτων χρεὼν κρατεῖν. Εἷς δὲ Κύριος πάντων, μία πίστις, ἓν βάπτισμα, καὶ δουλεία καὶ δεσποτεία ὅσα γε κατὰ πίστιν διάφορα οὐ γινώσκομεν, ὅτι καὶ πάντες ἐπίσης δοῦλοι ἐσμεν τῷ ἐκ δουλείας λυτρώσαντι ἡμᾶς τῷ ἐξ αὐτοῦ θείῳ καὶ ζωοποιῷ αἵματι. Καὶ ἐπεὶ ταῦτα καλῶς τούτοις καὶ λυσιτελῶς διατέταχται, δεῖ τὴν μεγάλην ἁγιωσύνην σου δῆλα ταῦτα θέσθαι ἁπανταχοῦ τῶν

Verumenimvero fortuna novit in hominibus diversa esse dominium et servitutem, et quæ nostra accepit respublica, ea in iis quoque valere oportet. Unus autem Dominus omnium, una fides, unum baptisma [15] : **257** et quod ad fidem quidem attinet, dominii et servitutis differentiam non cognoscimus ; quoniam omnes sumus ex æquo servi ejus, qui nos ex servitute divino suo et vivifico sanguine redemit. Et quoniam hæc recte his et utiliter constituta sunt, oportet magnam tuam sanctitatem

[15] Ephes. IV, 5.

Guill. Beveregii notæ.

(99) *Ἑαυτοὺς ἀνεχόμενοι.* In editione Parisiensi lacuna hoc loco relinquitur, quam nos ex ms. Bodleiano sic supplevimus ; cui etiam Amerbachianus astipulatur.

luce omnia in omnibus ecclesiis manifesta reddere : ut qui eis præsunt, ea quæ ad libertatem pertinent sic examinantes contrarias testium probationes adversus servos dominis non permittant, et omnibus in suis provinciis manifestum efficiant, quod qui non cum sacra benedictione servos invicem conjungunt, non Deo gratum inter eos matrimonium constituunt : sed fornicatorium coitum confirmant. Quos enim non conjungit Deus per sanctam benedictionem assumptus, hi omnes ad peccata conveniunt. Et siquidem hoc ab aliquo, quicunque is sit, abhinc factum renuntiatum fuerit, sciant domini, quod non solum iræ divinæ erunt obnoxii, sed a servis quoque abalienabuntur, eis abductis in libertatem. Cum eis enim liceat servos suos jure in Deo invicem conjungere, et integrum in eis habere dominium, nisi hoc fecerint, jure omnino ab eorum dominio excident. Præsens autem constitutio non solum debet in ecclesiis quæ ubique sunt promulgari, sed in omnibus etiam civilibus judiciis deponi : tradi autem etiam iis, qui in provinciis magistratus gerunt, ut quæ ab imperatoria nostra auctoritate bene decernuntur, omnibus innotescant. Quoniam autem in personis servilem fortunam habentibus nuptiæ prius factæ sunt, et nuptiæ convenienter iniquæ, quæ hucusque invaluit, consuetudini processerunt, oportet in iis quoque sacram benedictionem fieri, ut per eam, etiam si tarde fiat, id quod est colendum ac venerandum habeant, superioribus quoque observationibus etiam in hisce nuptiis valere debentibus.

ZONAR. Rem inæstimabilem esse libertatem, hoc est, impossibile esse, ut æstimetur, vel pretium ejus constituatur, leges civiles docent. Igitur, quoties de libertate, quippe de non levis momenti re testimonium ferri oporteret, quorum intererat probationes afferre, quinque scilicet aut plures etiam (quod totidem in aliis quoque disceptationibus dari consuevissent) testes exhibere cogebantur. Qua quidem consuetudine hic damnata canon (qui nimirum libertati faveat) trium quoque testimonium satis esse decernit ; et stabiliendæ constitutioni ex sacris Litteris illa profert, In ore scilicet duorum aut trium testium stabit omne verbum, hoc est, firmum ac ratum esse judicabitur.

ARIST. « Servus a domino sub duobus testibus « manumissus, libertate donetur. » Perspicuus.

CANON LXXXVI.

« Eos, qui ad animarum lapsum meretrices cogunt « et alunt, si sint quidem clerici, deponi definimus : sin vero laici, segregari. »

BALS. Quemadmodum lex civilis lenones, qui meretrices alunt, punit, ita et canon decernit eos, qui meretrices cogunt, et multos ea ratione ad

A ἁγίων ἐκκλησιῶν, ὡς ἂν οἱ ἐν αὐταῖς προεστῶτες οὕτω τε τὰ περὶ τῶν ἐλευθεριῶν δοκιμάζωσιν, ἀντιπαραστατικὴν μαρτυρίαν κατὰ τῶν δούλων τοῖς δεσπόταις μὴ συγχωροῦντες, καὶ πᾶσι θῶνται καταφανὲς ἐν ταῖς ὑπ' αὐτῶν ἐπαρχίαις, ὡς οἱ μὴ μεθ' ἱερουργίας ἀλλήλοις συνάπτοντες τοὺς δούλους οὐχὶ θεοφιλῆ γάμον συνιστῶσιν ἐν αὐτοῖς· ἀλλ' ἐκπορνεύουσαν μίξιν κρατύνουσιν. Οὗ; γὰρ μὴ συνάπτει Θεὸς δι' ἱερολογίας παραλαμβανόμενος, οὗτοι πάντες εἰς ἁμαρτίας συνέρχονται. Καὶ εἴ που προσαγγελθείη τοῦτο παρ' οἱουδήτινος οὕτως ἀπὸ τοῦδε γινόμενον, ἱστωσαν ὡς οὐ μόνον θείῳ μηνύματι καταστήσονται ἔνοχοι, ἀλλὰ καὶ τῶν δούλων ἀλλοτριωθήσονται, εἰς ἐλευθερίαν ἁρπαζομένων. Ἐξὸν γὰρ αὐτοῖς κατὰ νόμους Θεῷ συνάπτειν ἀλλήλοις τοὺς δούλους, B καὶ τὴν ἐπὶ αὐτοῖς δεσποτείαν ἔχειν ἀλώβητον, εἰ μὴ τοῦτο ποιοῖεν, ἑαυτοῖς δικαίως πάντως τὴν τῆς δεσποτείας ἐπάγουσιν ἔκπτωσιν. Τὸ δὲ παρὸν διάταγμα οὐ μόνον ὀφείλει ἐν ταῖς ἁπανταχοῦ τῶν ἐκκλησιῶν διαγγελθῆναι, ἀλλὰ κἀν τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι (1)· γενέσθαι δὲ διαδόσιμον, καὶ εἰς τοὺς τῶν ἐπαρχιωτῶν προεστῶτας ἀρχῶν, ὡς ἂν εἴδησιν ἔχωσι ἅπαντες τῶν καλῶς παρὰ τῆς βασιλείας ἡμῶν ὁρισθέντων. Ἐπειδὴ δὲ καὶ γάμοι ἔφθασαν ἤδη γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἔχουσι τύχην, καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτων τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψὲ γένηται, τὸ σεβάσμιον C ἔχωσι, τῶν ἀνωτέρων εἰρημένων παρατηρήσεων καὶ ἐπὶ τῷ τοιούτῳ γάμῳ κρατεῖν ὀφειλουσῶν.

ΖΩΝΑΡ. Ἀδιατίμητον πρᾶγμα τὴν ἐλευθερίαν, ἤγουν διατιμηθῆναι καὶ τιμὴν ὁρισθῆναι ἐπ' αὐτῇ μὴ δυνάμενον, οἱ τῆς πολιτείας εἶναι νόμοι φασίν. Ὡς οὖν περὶ μεγάλου πράγματος ἐσομένης τῆς μαρτυρίας ὅτε δεήσει μαρτυρίας περὶ ἐλευθερίας, ἀπῃτοῦντο οἱ τὰς ἀποδείξεις ποιούμενοι πέντε τυχὸν ἢ καὶ πλείονας παράγεσθαι μάρτυρας, ὡς τοσούτων καὶ ἐφ' ἑτέραις ὑποθέσεσι παραγομένων. Τοῦτο οὖν ἀναιρῶν ὁ κανὼν ἐπὶ θάλψει τῆς ἐλευθερίας, καὶ τρεῖς ὁρίζει ἀρκεῖν, καὶ τὴν Γραφὴν παράγει εἰς σύστασιν τῆς θεσμοθεσίας, λέγουσαν· Ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἀντὶ τοῦ βεβαιωθήσεται, κυρωθήσεται.

D ΑΡΙΣΤ. « Ἠλευθερωμένος ὑπὸ δεσπότου δοῦλος ἐπὶ δυσὶ μάρτυσιν εἴη ἀδούλωτος. » Σαφής.

ΚΑΝΩΝ ΠΣ'.

« Τοὺς ἐπὶ ψυχῶν ὀλίσθῳ πόρνας ἐπισυναγοντας καὶ « ἐκτρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι « ὁρίζομεν· εἰ δὲ λαϊκοί, ἀφορίζεσθαι. »

ΒΑΛΣ. Ὥσπερ ὁ πολιτικὸς νόμος κολάζει τοὺς πορνοβοσκούς, οὕτω καὶ ὁ κανὼν διορίζεται τοὺς ἐπισυνάγοντας πόρνας, καὶ οἷον διὰ τούτου συν-

Guill. Beveregii notæ.

(1) *Ἀλλὰ κἀν τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι.* Hæc verba in editione Parisiensi omittuntur : at non modo in codice nostro Bodleiano, sed etiam in Amerbachiano et Tiliano leguntur; et ex præcedentibus verbis, οὐ μόνον ὀφείλει, necessario ea legenda esse constat.

ωθοῦντας εἰς ψυχικὴν ἀπώλειαν τοὺς πολλούς, καὶ οὐ μόνον ἐπισυνάγοντας, ἀλλὰ καὶ ἐκτρέφοντας, ἤγουν τὰ ἀναγκαῖα αὐταῖς ἐπιχορηγοῦντας (τῷ γὰρ ὀνόματι τῆς τροφῆς καὶ ἐνδυμενίαι, καὶ τὰ λοιπὰ, τὰ πρὸς ἀκολασίαν τοὺς ἀπαλωτέρους ἔλκοντα, περιέχονται). κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Οὐ παρὰ τοῦτο δὲ οἱ μόνον ἐπισυνάγοντες καὶ μὴ ἐκτρέφοντες αὐτὰς οὐ τιμωρηθήσονται· ἀλλὰ κἀκεῖνοι ὁμοίως κολασθήσονται. Εἶπε δὲ ὁ κανὼν τὸ *ἐκτρέφοντες*, ὅτι ἐξ ἀνάγκης τῇ συναγωγῇ ἐπακολουθεῖ καὶ ἡ λοιπὴ φροντὶς τῶν ἐπισυναγομένων. Οὐ γὰρ τὸ συναγαγεῖν μόνον ἄξιόν ἐστι κολάσεως· διότι συνάγει τις πολλάκις πόρνας χάριν τοῦ ὑποθέσθαι αὐταῖς τὰ σωτηριώδη, ἢ χειραγωγίας ἀξιῶσαι σωματικῆς, ἢ παραδοῦναι τῷ ἄρχοντι χάριν σωφρονισμοῦ. Ζήτει βιβλίον ξ' τῶν Βασιλικῶν, τίτλῳ λη', κεφ. α'. Ἐὰν πατὴρ θυγατέρα ἢ δεσπότης δοῦλην πορνοβοσκῇ, ἀπολλύτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν. Προστίθησι δὲ τὸ κεφάλαιον διὰ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος αὐτὰς βοηθεῖσθαι· καὶ ὅτι, ἐὰν ἀνθίσταται πρὸς τοῦτο ὁ πατὴρ ἢ ὁ δεσπότης, δημεύονται καὶ ἐξορίζονται. Καὶ τὸ δεύτερον κεφάλαιον τοὺς μὲν εὐτελεῖς πορνοβοσκοὺς ὁμοίως τιμωρεῖ, τοὺς δὲ στρατείαν ἔχοντας δημεύεσθαί φησι. Τὸ μέντοι γ' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου, ὅπερ ἐστὶ Νεαρὰ Ἰουστινιάνειος, μεγάλως κολάζει τοὺς σὺν τέχνῃ, καὶ δόλῳ, καὶ ἀνάγκῃ εἰς τὴν τοιαύτην ἀσέλγειαν ἄγοντας, καὶ ἐμπορευομένους ταῦτα. Ἀνάγνωθι οὖν τὸ τοιοῦτον κεφάλαιον ἐπιστατικώτερον. Λέγουσι γάρ τινες ὡς ἐκείνους τοῦτο κολάζει τοὺς πλανῶντας, καὶ μετά τινος μεθόδου ἢ ἀνάγκης μὴ ἕλκοντας εἰς πορνείαν γυναῖκάς τινας· οὐ μὴν τοὺς προσδεχομένους τὰς ἑκουσίῳ βουλήσει τὴν πορνείαν ἑλομένας διὰ φύσεως ἀνάγκην ἢ καὶ πενίαν. Χρῶνται δὲ καὶ πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν καὶ ῥήμασί τισι τῆς αὐτῆς Νεαρᾶς, καὶ τῷ παρόντι κανόνι μὴ μόνον τοὺς ἐπισυνάγοντας πόρνας κολάζοντι, ἀλλὰ καὶ τοὺς ἐκτρέφοντας, τουτέστι διὰ πλάνης καὶ κολακείας συνωθοῦντας αὐτὰς εἰς τὸ κακόν. Καὶ τὸ σήμερον δὲ γινόμενον πραγματικῶς εἰς τὰ πορνοβοσκεῖα διενίσταται συντρέχειν τοῖς λόγοις αὐτῶν. Ἐμοὶ δὲ δοκεῖ ὅτι πάντα πορνοβοσκὸν οἱ νόμοι καὶ οἱ κανόνες ἀδιαστίκτως κολάζουσι, καὶ πᾶσαν πόρνην εἰς σωφροσύνην μεθέλκουσιν. Ἀνάγνωθι καὶ τὴν ιᾱ' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, μὴ παραχωροῦσαν κατὰ τὸν παλαιὸν νόμον διάγειν τινὰ μετὰ παλλακῶν.

animæ exitium veluti protrudunt; et non solum eos qui cogunt, sed et qui alunt sive eis necessaria suppeditant (alimenti enim nomine et indumenta et reliqua, quæ molliores ad intemperantiam attrahunt, comprehenduntur), si sint quidem clerici, deponendos: sin vero laici, segregandos. Non autem ideirco qui solum quidem cogunt, et eas non nutriunt, non punientur: sed in eos quoque similiter animadvertetur. Dixit autem canon illud: Et alunt, quoniam ubi coegerint, necessario quoque sequitur, ut coactarum cura deinceps ab iis geratur. Neque enim solum cogere supplicium meretur: meretrices enim sæpe cogit quispiam, ut eis illa, **258** quæ sunt salutaria, suggerat, vel ut earum opera ad tractandum aliquod ministerium utatur, vel ut det eas magistratui castigandas. Quære librum LX Basilic. tit. 38, cap. 1: Si pater filiam, vel dominus servam nutriat ad quæstum meretricium, perdant quam habent in eas potestatem. Adjicit autem constitutio, Per episcopum et magistratum eis quoque ferri debere auxilium: et quod si ad hoc resistat pater vel dominus, publicantur et exterminantur. Ac secundum quidem caput viles lenones similiter punit: eos autem, qui sunt militaris ordinis, publicandos dicit. Ejusdem autem libri et tituli cap. 3, quod est Justiniani Novella, valde punit eos, qui arte et dolo et necessitate aliquas in hanc intemperantiam attrahunt, et iis mercaturam exercent. Lege ergo hoc caput diligentius. Dicunt enim nonnulli, quod id illos punit qui seducunt, et aliquo artificio vel necessitate mulieres aliquas ad fornicationem attrahunt: non autem eos qui illas suscipiunt, quæ spontanea voluntate fornicationem eligunt propter naturæ necessitatem vel etiam paupertatem. Ad hoc autem probandum utuntur et nonnullis ipsius Novellæ verbis, et præsenti canone puniente, non eos solum qui meretrices cogunt, sed etiam qui eas nutriunt, per fraudem et adulationem eas in malum impellentes. Porro autem et quod hodie actu sit in lenonum officinis videtur cum eorum dicto concurrere. Mihi autem videtur, quod leges et canones quemcunque lenonem indistincte puniunt, et omnem meretricem ad temperantiam retrahunt. Lege et 91 Novellam imperatoris domini Leonis Philosophi, quæ non permittit ut veteri lege aliquis degat cum concubinis.

ΖΩΝΑΡ. Τὸ πορνοβοσκεῖν καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. Πορνοβοσκεῖν δ' ἐστὶ τὸ τρέφειν πόρνας διὰ κέρδος τοῦ μισθώματος ἐπὶ βλάβῃ ψυχῶν. Εἰ δὲ τοῖς τῆς πολιτείας τοῦτο θεσμοῖς ἀπηγόρευται, πολλῷ τῷ μείζω εἴη ἂν ἀποτετραμμένον τοῖς ἐκκλησιαστικοῖς καὶ πνευματικοῖς. Διὸ καὶ βαρύτατα τοῦτο κολάζει ὁ κανὼν ἐπὶ κληρικῶν. Καθαιρεῖσθαι γὰρ αὐτοὺς ἐν ταὐτῷ καὶ ἀφορίζεσθαι διατάττεται, ὅπερ σπανιάκις εὑρίσκεται. Ἀντὶ γὰρ πάσης ἑτέρας τιμωρίας ὡς ἐπὶ τὸ πολὺ τοῖς κεκληρωμένοις ἀρκεῖν νενομοθέτηται ἡ καθαίρεσις. Τοὺς

ZONAR. Meretrices alere civilium quoque legum sanctiones vetant. Alere vero meretrices est, eis ob lucrum ex meretricio quæstu percipiendum, cum animarum pernicie alimenta suppeditare. Quam rem, si civiles quoque leges prohibeant, multo illam certe magis ecclesiasticæ ac spirituales debent aversari. Proinde graviores etiam pœnæ clericis in hoc genere delinquentibus irrogatæ. Illos siquidem (quod non ita crebro reperias) deponi simul et segregari jubet. Pro quovis enim alio supplicio in eos, qui clero ascripti fuerant, plerumque

depositio sola sufficere visa fuit. Laicos vero, qui id fecerint, segregatione puniendos esse decernit.

ARIST. « Qui meretrices in animarum exitium « cogit, segregatur. » *Perspicuus.*

CANON LXXXVII.

« Quæ maritum reliquit, est adultera, si venerit ad « alium, ut vult sacer et divinus Basilius, qui ex « Hieremia propheta hoc optime collegit : quod « si alii viro uxor fuerit, ad maritum suum non « convertetur, sed polluta, polluetur : et rursus : « Qui detinet adulteram, est et insipiens et im- « pius. Si itaque præter rationem a marito seces- « sisse appareat, ille quidem venia dignus est, « hæc vero pœna. Illi autem venia dabitur, ut « Ecclesiæ communicet. Sed is qui legitime sibi « datam uxorem relinquit, et aliam ducit, ex « Domini sententia est adulterii judicio obno- « xius [36]. A Patribus autem nostris statutum est : « ut qui sunt ejusmodi uno anno defleant, bien- « nio audiant, triennio substernantur, et septimo « cum fidelibus consistant, et sic oblatione digni « habeantur, si cum lacrymis pœnitentiam ege- « rint. »

BALS. Dominus et Deus noster Jesus Christus interrogatus, an liceat marito uxorem quavis ex causa dimittere, hoc vetuit, dicens : Quod qui uxorem suam reliquit præterquam fornicationis causa, **259** et alteram uxorem ducit, mœchatur. Et inclytus imperator Justinianus, leges quæ olim locum habebant, et conjugibus permittebant conjugia sine justa causa solvere, et unicuique alteri dicere, Res tuas gere, per 117 Novellam sustulit, quæ sita est in 7 tit. XXVIII lib. et causas enumerat, propter quas et solas solvi debent matrimonia. Quamobrem lex quoque Hebraica una sublata est, quæ libellum repudii mittere mulieribus et conjugium solvere viris permittebat. Consequenter ergo præsens quoque canon dicit, quod mulier, quæ, relicto marito, cum altero polluta fuerit, est adulterii crimini obnoxia, quemadmodum hoc quoque magnus dixit Basilius in 9 suo canone, et 21 hoc colligens ex prophetia Jeremiæ dicentis, Si mulier a mariti communi vitæ societate egressa, cum altero polluta fuerit, non potest ad maritum suum reverti, ut quæ adulterata sit [37]. Sed etiam Salomon dixit in Proverbiis : Qui coit cum adultera, id est, cum ea quæ habet maritum, stultus est et impius [38]. Quæ ergo sic est adulterata, canonis pœnis multabitur. Maritus autem, ut qui non offenderit, venia dignus censebitur, id est, non punietur. Qui autem relinquit propriam conjugem, et alteram ducit uxorem, ut adulter punietur, ex Domini sententia.

ΑΡΙΣΤ. « Ὁ συνάγων πόρνας ἐπ' ὀλίσθῳ ψυχῶν « ἀφορίζεται. » *Σαφής.*

ΚΑΝΩΝ ΠΖ'.

« Ἡ καταλιποῦσα τὸν ἄνδρα μοιχαλίς ἐστιν, εἰ ἐπ' « ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, « ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀνα- « λεξάμενον· ὅτι Ἐὰν γυνὴ γένηται ἀνδρὶ ἑτέρῳ, « οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ « μιαινομένη μιανθήσεται· καὶ πάλιν· Ὁ ἔχων « μοιχαλίδα ἄφρων καὶ ἀσεβής. Εἰ οὖν φανῇ τοῦ « ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης « ἐστὶν ἄξιος ἡ δὲ ἐπιτιμίων. Ἡ δὲ συγγνώμη « τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ Ἐκκλησίᾳ δοθή- « σεται. Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως « συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγό- « μενος, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τῷ τῆς « μοιχείας ὑπόκειται κρίματι. Κεκανόνισται δὲ « παρὰ τῶν Πατέρων ἡμῶν τοὺς τοιούτους ἐνιαυ- « τὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριε- « τίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι « τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς κατ- « αξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσι. »

ΒΑΛΣ. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐρωτηθεὶς, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπὼν ὅτι Ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν, μοιχᾶται. Καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ἰουστινιανὸς τοὺς πάλαι κρατοῦντας νόμους, καὶ ἐκχωροῦντας τοῖς ὁμοζύγοις λύειν χωρὶς εὐλόγου αἰτίας τὰ συνοικέσια, καὶ λέγοντα ἕνα ἕκαστον πρὸς τὸν ἕτερον, Πράττε τὰ σεαυτοῦ, ἀνῄρησε διὰ τῆς Νεαρᾶ, ριζ', τῆς κειμένης ἐν τῷ ζ' τίτλῳ τοῦ κη' βιβλίου, καὶ ἀπαριθμουμένης τὰς αἰτίας δι' ἃς καὶ μόνας ὀφείλουσι λύεσθαι τὰ συνοικέσια. Ὅθεν συνανῃρέθη καὶ ὁ Ἑβραϊκὸς νόμος, ὁ ἐνδιδοὺς τοῖς ἀνδράσι βιβλίον ἀποστασίου πέμπειν ταῖς γυναιξὶ, καὶ τὴν ὁμοζυγίαν λύειν. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν φησιν ὅτι ἡ τὸν ἄνδρα καταλιποῦσα γυνὴ, ἐὰν μετὰ ἑτέρου συμφθαρῇ, ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι, καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειός φησιν ἔν τε τῷ θ' αὐτοῦ κανόνι καὶ ἐν τῷ κα', ἀναλεξάμενος αὐτὸ ἀπὸ τῆς Ἱερεμίου προφητείας, τῆς λεγούσης· Ἐὰν γυνὴ, ἀπὸ τῆς ἀνδρώας ὁμοζωΐας ἐξελθοῦσα, ἑτέρῳ μιανθῇ, οὐ δύναται ὑποστρέψαι πρὸς τὸν ἄνδρα αὐτῆς, ὡς μοιχευθεῖσα· Ἀλλὰ καὶ ὁ Σαλομὼν ἐν ταῖς Παροιμίαις εἶπεν· Ὁ μιγνύμενος μετὰ μοιχαλίδος, τουτέστι μετὰ ἐχούσης ἄνδρα, ἄφρων ἐστὶ καὶ ἀσεβής. Τιμωρηθήσεται οὖν ἡ οὕτω μοιχεύσασα δι' ἐπιτιμίων κανονικῶν. Ὁ ἀνὴρ δὲ, ὡς μὴ πταίσας, συγγνώμης ἀξιωθήσεται, τουτέστιν οὐκ ἐπιτιμηθήσεται. Ὁ κα-

[36] Matth. v, 36. [37] Jerem., III, 1. [38] Prov., XVIII, 22.

Guill. Beveregii notæ.

(2) *Τουτέστιν οὐκ ἐπιτιμηθήσεται.* Hæc verba in codice Amerbachiano desiderantur : at non tantum in ms. Bodleiano, sed et in Tiliano et editione Parisiensi leguntur.

ταλιμπάνων μέντοι τὴν οἰκείαν σύζυγον καὶ ἑτέραν ἀγόμενος μετὰ γάμου κοινωνίαν, ὡς μετὰχ τιμωρηθήσεται κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν. Τῶν μοιχῶν δὲ ἐπιτίμιά εἰσιν ἀπὸ τοῦ οζ' κανόνος τοῦ αὐτοῦ μεγάλου Πατρὸς τὸ προσκλαίειν ἐνιαυτὸν ἔξω τοῦ προνάου, καὶ τὰ λοιπὰ τὰ ἐν τῷ αὐτῷ κανόνι περιεχόμενα. Καὶ ὁ μὲν κανὼν ταῦτα.

A Adulterorum autem pœna est in 77 canone ejusdem magni Patris, anno uno extra templi vestibulum deflere, et reliqua, quæ in eo canone continentur. Et hæc quidem canon.

Ὁ δὲ πολιτικὸς νόμος τοὺς μοιχοὺς ἀλλοτρόπως κολάζει. Καὶ ἀνάγνωθι βιβλίον ξ' τίτλου λζ' κεφ. ογ', καταστρωθὲν εἰς τὰς ἑρμηνείας τοῦ δ' καὶ ε' κεφ. τοῦ ιγ' τίτλου τοῦ παρόντος συντάγματος· καὶ τὴν ριζ' καὶ ρλδ' νεαρὰν τοῦ βασιλέως Ἰουστινιανοῦ, τὰς κειμένας ἐν τῷ ζ' τίτλῳ τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, καὶ συνοψισθείσας εἰς τὸ διαληφθὲν δ' καὶ ε' κεφ. καὶ τὴν λβ' νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζουσαν, καὶ διοριζομένην τὸν μὲν ἄνδρα τῆς μοιχευθείσης κερδαίνειν τὴν προῖκα, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι. Τὰ μέντοι προσόντα ἴσως αὐτῇ πράγματα ἐπέκεινα τῆς προικὸς οἰκονομεῖσθαι, καθὼς αὐτὴ ἡ νεαρὰ διορίζεται. Σημείωσαι δὲ ὅτι ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἡ καταλιποῦσα τὸν ἄνδρα ὡς μοιχαλὶς οὐ κολάζεται, εἰ μὴ μετὰ ἑτέρου συμφθαρῇ· ἀπὸ δὲ τῶν διαληφθεισῶν Νεαρῶν λύεται τὸ συνοικέσιον ἀπὸ μόνου τοῦ μεῖναι τὴν γυναῖκα ἔξω τῆς οἰκίας τοῦ ἀνδρὸς παρὰ γνώμην αὐτοῦ, εἰ μή τί γε τυχὸν παρὰ τοῖς γονεῦσι τοῖς ἰδίοις. Ἆρα δὲ ἀπολελυμένη λέγεται καὶ ἡ παρὰ τοῦ ἀνδρὸς ἐκβληθεῖσα; *Λύσις.* Οὐδαμῶς. Φησὶ γὰρ ἡ ῥηθεῖσα ριζ' Νεαρὰ ἐν μέρει ταῦτα· Εἰ μέντοι συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν διαζύγιον πέμπειν τῇ γυναικὶ, διότιπερ αὐτὸς τούτου αἴτιος γίνεται. Τὸ μέντοι γραφικὸν τὸ λέγον· Οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς ἡ μοιχευθεῖσα, νόει περὶ ἀνδρὸς μὴ θέλοντος ἀναλαβέσθαι ταύτην. Εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἀναλάβεται ἐντὸς διετίας, κατὰ τὴν αὐτὴν Νεαράν. Ἐπεὶ δέ φησιν ὁ κανὼν ὡς ἐκείνη ἡ γυνὴ τιμωρεῖται ὡς μοιχαλὶς, ἢ ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, εἴποι τις ὡς ἡ τοῦ ἀνδρὸς εὐλόγως ἀναχωρήσασα οὐ τιμωρηθήσεται. Οὐκ ἔστι δὲ τοῦτο ἀληθές. Οὔτε γὰρ μετὰ εὐλόγου αἰτίας οὔτε μετὰ παραλόγου δύναται ἡ γυνὴ ἀναχωρεῖν ἀπὸ τοῦ ἀνδρὸς χωρὶς δικαστικῆς ἐπιτροπῆς, καθὼς τοῦτό φησιν ὁ ιθ' κανὼν τοῦ ἁγίου Βασιλείου, καὶ διάφοροι Ἰουστινιάνειοι Νεαραὶ κείμεναι ἐν τῷ ζ' τίτλῳ τοῦ κη' βιβλίου, ὅθεν καὶ τὰ τοῦ κανόνος ὀφείλομεν ἐκλαβέσθαι ἐκ περιουσίας· ἢ εἰπεῖν ἄλογον ἀναχώρησιν τῆς γυναικὸς εἶναι τὴν χωρὶς δικαστικῆς ἐπιτροπῆς ταύτης ἀναχώρησιν. Ἐρωτήσει δέ τις, ὡς τῶν κανόνων τοῦ ἁγίου Βασιλείου, ἤτοι τοῦ θ' καὶ τοῦ κδ' λεγόντων τὴν μὲν γυναῖκα ἑτέρῳ συμφθειρομένην μοιχᾶσθαι, τὸν δὲ ἄνδρα μεθ' ἑτέρας πορνεύοντα μὴ κατακρίνεσθαι (οὐ γὰρ ἔχομεν, φησὶ, κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι), πῶς ὁ

Lex autem civilis adulteros alio modo punit. Et lege librum LX, tit. 37, cap. 73 situm in interpretatione cap. 4 et 5 tit. 13 præsentis operis; et 117 et 134 novellas imperatoris Justiniani, sitas in 7 tit. XXXVIII lib. Basilic. et compendio reductas in prædicta capita 4 et 5 et 32 imperatoris domini Leonis Philosophi novellam, quæ narium truncatione punit adulterum et adulteram, et statuit adulteræ quidem maritum lucrari dotem; ipsam autem in monasterio includi, invitam tamen non tonderi: res autem, quas habet ultra dotem, administrari, quemadmodum ipsa novella statuit. Nota ergo, quod ex præsenti quidem canone quæ virum demisit ut adultera non punitur, nisi cum alio polluta fuerit: ex prædictis autem novellis solvitur matrimonium, eo quod solum manserit mulier extra domum mariti præter ejus voluntatem, nisi forte apud suos parentes. Numquid autem ea etiam soluta dicitur, quæ a marito ejecta est? *Solutio.* Nullo modo: prædicta enim 117 novella hæc dicit præcise: Sin autem contigerit aliquem absque una prædictarum causarum uxorem suam ex propriis ædibus extrudere, ut illa quidem, cum parentes non habeat apud quos possit manere, necessario foris noctem agat, jubemus nullo modo licere marito propter hanc causam mulieri mittere libellum repudii, quoniam ipse hujus rei causa est. Id autem quod scriptum est: Non revertetur ad virum suum adulterata, intellige de viro, qui non vult eam recipere: si vir enim crimen condonat, eam absque ullo impedimento rursus accipiet intra biennium, ut vult novella. Quoniam autem dicit canon, eam esse puniendam mulierem tanquam adulteram, quæ a marito nullam ob causam secessit, dixerit quispiam, quod quæ ob rationabilem causam a marito recessit, non punietur. Non est autem hoc verum: neque enim rationabili, neque non rationabili de causa potest mulier a marito discedere sine permissione judicis, quemadmodum hoc dicit 9 canon sancti Basilii, et diversæ Justiniani novellæ sitæ in 7 tit. XXVIII lib., unde etiam debemus canonem ex abundanti accipere: vel dicere injustam mulieris discessionem esse ejus sine judiciali permissione recessum. Rogaverit autem quispiam, cum can. sancti Basilii, 9 scilicet et 24, dicant mulierem quidem quæ cum altero **260** polluitur, mœchari; virum autem, qui cum alia scortatur, non condemnari (non enim habemus, inquit, canonem, quo eum adulterii crimini subjiciamus), quomodo præsens canon indistincte dicit, eum qui aliam duxit, adulterii judicio teneri? *Solutio.* Differentia est inter virum, qui cum muliere libera, viva sua uxore, rem habuerit, et cum qui in ma-

trimonii societatem secundam uxorem duxit. Ille enim non est adulter, sed punitur ut fornicator. Hic vero est adulter, et ut adulter punitur. Quare canones inter se non repugnant. Et quomodo canonice quidem puniuntur qui fornicantur, dictum est. Octogesimum autem tertium caput 37 tit. LX lib. decreto secundo, hæc dicit: Qui habet uxorem, et fornicatur, per duodecim ictus alternis inflictos castigetur. Qui vero uxorem quidem habet, et cum sua ancilla rem habet, re cognita, hic quidem verberatus castigetur: ejus autem loci magistratus receptam ancillam vendat extra provinciam, ejus pretio in publici ærarii partem illato. Qui autem in alienam ancillam fornicationem exercet, si sit quidem locuples, det ancillæ domino pro delicto numismata 36. Si sit autem humilis et abjectæ conditionis, verberetur, et pro suis facultatibus det ex proportione 35 numismatum. Quod autem lex æque ac canones eum punit ut adulterum, qui secundam uxorem duxit, dicit penultimum cap. ejusdem tit. Qui duas uxores habere conatus est, non lege, sed suæ facto voluntatis, adulterii crimini recte subjicietur. Quæ autem ei postea nupsit, si ipsum habere legitimam uxorem ignorabat, ei venia dabitur. Quare per distinctionem a contrario sumptam, quæ sciebat adulteratur. Animadverte autem, quod Patres ubique puram pœnitentiam in animæ delictis exigunt: et propterea concesserunt episcopis, qui sunt in eo loco, pœnas augere vel diminuere, pro ejus qui punitur compunctione. Πρόσχες δὲ ὅτι παντχοῦ οἱ Πατέρες τὴν καθαρὰν Διὰ γὰρ τοῦτο καὶ ἐξεχώρησαν τοῖς κατὰ τόπ.ν τὴν τοῦ ἐπιτιμωμένου κατάνυξιν.

ZONAR. Et veterum legum decretis, et diuturni temporis consuetudine, matrimonia vel sine causa dissolvendi facultas erat; ac tam viro, quam uxori, alteri conjugi dicere, Res tuas gere, vir, vel, Res tuas gere, mulier, atque ita conjugii contractum fœdus rescindere permissum fuit. Quod Hebræorum quoque concessere leges. Viro siquidem, ut repudii libellum uxori mittere, seque ab illius consuetudine abjungere liceret, facultas data. Id vero nunc Christianorum instituto haud conceditur: sed connubii dissociandi certæ quædam ac definitæ causæ sunt, quarum nisi aliqua exstiterit, abscedere invicem inter se matrimonii jure sociatos sit nefas. Et vero Dominus, an viro uxorem quacunque de causa dimittendi jus esset rogatus, id retuit. Nam *qui uxorem suam*, inquit, *excepta fornicationis causa, dimiserit, et alteram duxerit, mœ-*

παρὼν κανὼν ἀπροσδιορίστως φησὶ τὸν ἑτέραν ἀγόμενον τῷ τῆς μοιχείας ὑποκεῖσθαι κρίματι; *Λύσις.* Διαφορά ἐστι τοῦ συμφθαρέντος ἀνδρὸς μετὰ ἐλευθέρας γυναικὸς, ζώσης τῆς γυναικὸς τούτου, καὶ τοῦ κατὰ γάμου κοινωνίαν ἀγαγόντος δευτέραν γαμετήν. Ἐκεῖνος μὲν γὰρ οὐ μοιχᾶται, ἀλλ' ὡς πόρνος τιμωρεῖται· οὗτος δὲ μοιχᾶται, καὶ κολάζεται ὡς μοιχός· ὅθεν οἱ κανόνες οὐκ ἐναντιοῦνται ἀλλήλοις. Καὶ ὅπως μὲν κολάζονται κανονικῶς οἱ πορνεύοντες, εἴρηται. Τὸ δὲ πγ' κεφ. τοῦ λς' τίτλου τοῦ ε' βιβλίου φησὶν ἐν β' θέματι ταῦτα· Ὁ ἔχων γυναῖκα, καὶ πορνεύων, διὰ δώδεκα ἁλλαχτῶν σωφρονιζέσθω. Ὁ μέντοι γυναῖκα ἔχων, καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τὸν τόπον ἄρχων, ἀναλαμβάνων τὴν δούλην, ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. Ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς'· εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθ' ὅσον εὐπορεῖ, κατὰ ἀναλογίαν τῶν λς' νομισμάτων διδότω. Ὅτι δὲ καὶ ὁ νόμος ἐπίσης τοῖς κανόσιν ὡς μοιχὸν τιμωρεῖ τὸν δευτέραν γυναῖκα ἀγόμενον, φησὶ τὸ πρατέλευτον κεφάλ. τοῦ αὐτοῦ τίτλου· Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως (3), καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι. Ἡ δὲ, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται. Ὥστε ἐξ ἀντιδιαστολῆς ἡ γινώσκουσα μοιχᾶται. μετάνοιαν ἐπὶ τῶν ψυχικῶν σφαλμάτων ἀπαιτοῦσι. ἐπισκόποις αὔξειν καὶ μειοῦν τὰ ἐπιτίμια πρὸς

ΖΩΝΑΡ. Πάλαι μὲν τοῖς ἀνθρώποις καὶ ἐκ τῶν νόμων τῶν παλαιῶν καὶ ἐξ ἔθους μακροῦ ἐνεδέδοτο λύειν καὶ ἀκαιτίλως τὰ συνοικέσια, καὶ ἐξῆν ἀνδρὶ καὶ γυναικὶ τῷ συνοίκῳ προσώπῳ λέγειν, Τὰ σαυτοῦ πρᾶττε, ἢ, Τὰ σαυτῆς πρᾶττε, καὶ λύειν τὸν γάμον. Ὅπερ καὶ τοῖς Ἑβραίοις νενομοθέτητο· ἐνεδέδοτο γὰρ τοῖς ἀνδράσι βιβλίον ἀποστασίου πέμπειν ταῖς γυναιξὶ, καὶ τῆς μετ' αὐτῶν ἀφίστασθαι συμβιώσεως· νῦν δὲ τοῦτο παρὰ Χριστιανοῖς οὐ κρατεῖ· ἀλλ' αἰτίαι ἠριθμημέναι εἰσὶν, αἵ τὸν γάμον δύνανται λῦσαι, καὶ ἄνευ μιᾶς ἐκείνων χωρίζεσθαι τοὺς συνοικοῦντας ἐννόμῳ γάμῳ οὐκ ἔξεστι. Καὶ ὁ Κύριος δὲ τοῖς ἐρωτήσασιν, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπὼν, ὅτι *Ὁ ἀπολύσας τὴν γυναῖκα ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν μοιχᾶται. Καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται.* Κατὰ τοῦτον

Guill. Bevereg.i notæ.

(3) *Ἀλλὰ φάκτῳ προαιρέσεως.* In editione Parisiensi hoc in loco lacuna est: legitur enim, Ἀλλὰ φα προαιρέσεως. Veram lectionem nos ex ms. Bodleiano restituimus, cui etiam suffragatur Amerbachianus, necnon Tilianus; nam Gentianus Hervetus vertit, *sed facto voluntatis.* Et quidem vox φάκτον *factum* non solum apud jurisconsultos Græcos sæpe occurrit, sed et ab ipso Balsamone in Responsis ad Marcum Alexandrinum usurpatur, dicente, ὁ μὲν φάκτον ἀγνοήσας, οἷος ἂν καὶ ἔστιν, ἀξιοῦται κατὰ νόμους συγγνώμης. Bals. Resp. ad Marci interrog. Et in veteribus Glossis verborum juris dicitur, φάκτον, ἔργον. Item φάκτον, πόησις ἢ ἀρίθμησις ἢ πρᾶγμα. Itidem, φάκτον, ἀρίθμησις καὶ πρᾶξις: necnon φάκτον ἐπὶ τὸ κεφάλαιον, καὶ τὸ τῆς ὑποθέσεως ἀποτέλεσμα, καὶ ἡ τῆς πίστεως ἀνήκουσα ζήτησις.

οὖν τὸν λόγον καὶ οἱ θεῖοι Πατέρες τὴν ἀναιτίως καταλιποῦσαν τὸν ἄνδρα καὶ ἑτέρῳ γενομένην μοιχαλίδα ἐκάλεσαν· ἥτις, κἂν ὑποστρέψαι βουληθῇ πρὸς τὸν ἴδιον ἄνδρα, ἄκοντος αὐτοῦ οὐ παραδεχθήσεται. Μεμίανται γάρ. Ἡ οὖν ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, φησὶν ὁ κανὼν, ἐπιτιμίων ἄξια, ἅπερ τῶν τῆς μοιχείας· ὁ δὲ ἀνὴρ συγγνωμονηθήσεται καὶ ἀξιωθήσεται τῆς ἐν Ἐκκλησίᾳ κοινωνίας. Ὥστε ἐξ ἀντιδιαστολῆς νοεῖσθαι δίδοται ὅτι, εἰ οὐκ ἀλόγως ἀνεχώρησε τοῦ ἀνδρὸς, ἐμπικραι ομένου ἴσως αὐτῇ παρὰ τὸ προσῆκον, ἢ κακουχουμένη, ἢ τινας αἰτίας ἔχουσα παρὰ τοῦ ἀνδρὸς ἐπαγομένας, ἐκείνη ἔσται ἀναίτιος, καὶ ὁ ἀνὴρ ἐπιτιμηθήσεται ὡς αὐτὸς αἴτιος τῆς ἁμαρτίας τῇ γυναικὶ γεγονώς. Ὁ μέντοι καταλιμπάνων, φησὶν ὁ κανὼν, τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος τῷ τῆς μοιχείας ὑπέκειται κρίματι κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν· καὶ ἐξῆς ἐπάγει πῶς ὁ τοιοῦτος ἐπιτιμηθήσεται καὶ οἰκονομηθήσεται. Ἔοικασι δὲ οἱ Πατέρες οὗτοι καὶ ἐναντιοῦσθαι τῷ μεγάλῳ Βασιλείῳ· ἐκεῖνος γὰρ τὴν μὲν γυναῖκα ἑτέρῳ συμφθειρομένην τοῦ γάμου συνισταμένου μοιχαλίδα καλεῖ, καὶ ἀποπέμψει, λέγει, ταύτην τῶν οἴκων αὐτοῦ ὁ ἀνήρ. Ἡ δὲ γυνὴ ἐκ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται. Οὐ γὰρ ἔχομεν, φησὶ, κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἁμάρτῃ. Ἀλλ' οὐκ ἐναντιοῦνται οἱ κανόνες ἀλλήλοις. Ὁ μὲν γὰρ μέγας Βασίλειος περὶ πορνεύσαντος λέγει τοῦ γάμου συνισταμένου, καὶ συμφθαρέντος ἑτέρᾳ ἐξ ἀνδρὸς ἐλευθέρᾳ· ὁ δὲ παρὼν κανὼν περὶ τοῦ ἀναιτίως ἀποπεμψαμένου τὴν γυναῖκα αὐτοῦ, καὶ ἑτέραν ὡς τάχα νόμιμον γαμετὴν εἰσοικισαμένου, ὃν καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις μοιχὸν ἐκάλεσε.

ΑΡΙΣΤ. « Ἡ ἐξ ἀνδρὸς ἐπ' ἄλλον ἰοῦσα μοιχαλίς· « καὶ ὁ ἀπὸ γυναικὸς ἐπ' ἄλλην, κατὰ τὸν Κύριον, « ὁμοίως μοιχός. *Σαφής.*

ΚΑΝΩΝ ΠΗ'.

« Μηδεὶς ἔνδον ἱεροῦ νεῶ κτῆνος τὸ οἱονοῦν εἰσα- « γέτω· ἐκτὸς εἰ μή τις ὁδοιπορῶν μεγίστης « καταλαβοῦσης ἀνάγκης οἰκίσκου καὶ κατα- « γωγῆς ἀπορῶν ἐν τῷ τοιούτῳ καταλύσει ναῷ. « Διὰ γὰρ τοῦ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, « αὐτὸ μὲν ἔστιν ὅτε διαφθαρήσεται· ὁ δὲ τῇ « τοῦ ὑποζυγίου ἀπωλείᾳ, καὶ τῷ ἐντεῦθεν ἀπό- « ρως ἔχειν τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς, κιν- « δύνῳ θανάτου παραδοθήσεται. Τὸν γὰρ Σάββα- « τον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα· « ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ « ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. Εἰ δέ « τις φωραθείη χωρὶς ἀνάγκης, ὡς εἴρηται, κτῆ- « νος εἰσάγων εἰς ἱερὸν, εἰ μὲν κληρικὸς εἴη, « καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὡς ἔοικε, συνέβη ποτὲ ἐν δριμυτάτῳ χειμῶνι κατάλυσαί τινας εἰς ναὸν παρακείμενον ἐν

A *chatur. Et qui dimissam duxerit, mœchatur* [a]. Hanc igitur rationem divini *quoque Patres* secuti mulierem, quæ sine causa relicto viro alteri nupserit, adulteram vocavere : quæ *quidem* etiamsi ad virum suum reverti postea velit, nequaquam invito illo excipietur. Polluta est enim. Quæ igitur mulier, inquit canon, a viro absque causa secessit, pœnis, iis nimirum quæ in adulteros constitutæ sunt, multabitur : viro autem ignosci, et eam, quæ in Ecclesia est, communionem concedi placet. Ex quo contra intelligi licet, quæ non temere se a viro

B abjunxerit, sed aut illius nimia morositate, aut injuriis victa, aut aliis modis ab eodem irritata discesserit, illam extra culpam fore, sed a viro pœnas, quippe qui culpæ causam uxori præbuerit, exigendas. Qui vero, inquit canon, uxore dimissa aliam duxerit, adulterii reus ex ipsius Domini verbis existimabitur : indeque qua pœna talis homo multandus sit, quidque cum eo agendum, canon disserit. Quinimo pugnantia cum magno Basilio affirmare hoc loco Patres videntur. Nam is mulierem quidem, quæ contracto nuptiarum fœdere

C cum alio viro rem habuerit, **261** adulteram vocat, eamque maritus, inquit, a suis ædibus amandabit. Verumtamen ex fornicatione redeuntem maritum suum uxor excipiet. Nullus enim, inquit, exstat canon, cujus auctoritate qui cum soluta muliere peccarit, adulterii reus agi queat. Sed nullo modo inter se hi canones pugnant. Nam magnus quidem Basilius de eo homine agit, qui manentibus nuptiis fornicatus, et cum muliere nulli viro sociata pollutus est : hic vero canon eos tangit, qui uxore sine causa dimissa aliam sibi, quasi pro justa scilicet conjuge habituri, adjunxerint, quos quidem adulteros ipse in Evangelio Dominus appellavit.

ARIST. « Quæ a viro suo ad alium accedit, adul- « tera est : et qui ab uxore ad aliam, juxta « Domini sermonem, similiter mœchus est. » *Perspicuus.*

CANON LXXXVIII.

« Nemo intra ædes sacras quodvis jumentum intro- « ducat : nisi forte viator quispiam, maxima ur- « gente necessitate, domunculæ vel diversorii « indigens, in id templum diverterit. Nisi enim « jumentum introductum fuerit, ipsum quidem D « nonnunquam peribit : hic vero, propter jumenti « amissionem, et facultatis ad iter peragendum « ex eo profectam inopiam, mortis periculo tra- « detur. Sabbatum enim propter hominem factum « esse docemur ; quamobrem et per omnia præ- « ferendam esse existimare hominis salutem et « incolumitatem. Si quis autem deprehensus « fuerit sine necessitate jumentum in templum « introducere, si sit quidem clericus, deponatur ; sin vero laicus, segregetur. »

BALS. Ut est verisimile, accidit quandoque ut in maxima tempestate diverterent quidam in tem-

[a] Matth. xix, 9, 10.

plum, quod prope viam publicam situm erat ; et vis quidem nivis eos urgebat in templum ingredi cum suis equis, et lethiferum frigoris incommodum effugere ; templi autem reverentia non permittebat eis hoc facere : sed ipsi quidem templum ingressi, frigoris periculum evitarunt ; eorum autem jumenta, quæ extra templum steterant, a frigore consumpta fuere ; quo factum est, ut idem quoque hominibus quod bestiis eveniret ; vel propter afflictationem, vel quod non possent ire pedites propter nimiam temporis refrigerationem. Hoc ergo corrigentes sancti Patres decreverunt, nemini licere quodvis jumentum in templum introducere, nisi maxima urgeat necessitas : tunc enim, inquit, jumentum quoque in templum introducetur, ne homo una cum ipso morti tradatur. Ad ejus autem quod dicunt probationem, Domini quoque doctrinam inferunt, qui Sabbatum dissolvit, et eis, qui ipsum reprehendebant, dixit, præferendam esse hominis salutem observationi Sabbati. Sabbatum enim factum est propter hominem, non autem homo propter Sabbatum. Ne hoc autem fiat iniquitatis occasio iis qui inconsiderate et absque ullo discrimine vivunt, et absque ullo impedimento et nulla proposita necessitate sanctum Domini templum communne profanumque efficiant, statuerunt, ut qui sine magna ejusmodi necessitate quodvis jumentum in templum introducit, si sit quidem clericus, deponatur : sin autem laicus, segregetur. Quid vero, alatas volucres, perdices scilicet et columbas et passeres, an quis citra ullam distinctionem in templum introducet? *Solutio.* Nequaquam, ut mihi videtur, ne sanctum per excremeuta profanetur.

δημοσίᾳ ὁδῷ· καὶ ἡ μὲν ἀπειλὴ τῆς χιόνος κατηνάγκαζε τούτους ἔνδον τοῦ ναοῦ εἰσελθεῖν μετὰ τῶν ἵππων αὐτῶν, καὶ τὴν ἀπὸ τοῦ ψύχους θανατηφόρον κάκωσιν ἐκφυγεῖν· τὸ αἰδέσιμον δὲ τοῦ ναοῦ οὐ παρεχώρησεν αὐτοὺς τοῦτο ποιῆσαι· ἀλλ' αὐτοὶ μὲν, εἰσελθόντες ἐν τῷ ναῷ, τὸν ἐκ τοῦ κρύους κίνδυνον ἔφυγον, τὰ δὲ ὑποζύγια αὐτῶν ἔξω τοῦ ναοῦ ἑστηκότα τοῦ ψύχους γεγόνασι παρανάλωμα, ὡς ἐντεῦθεν καὶ τοὺς ἀνθρώπους τὰ ὅμοια τοῖς ἀλόγοις ζώοις παθεῖν, ἢ ὡς ἀπὸ τῆς θλίψεως, ἢ ὡς μὴ δυναμένους πεζῇ βαδίσαι, διὰ τὴν ὑπερβολικὴν τῆς ὥρας κατάψυξιν. Τοῦτο οὖν διορθούμενοι οἱ ἅγιοι Πατέρες, διωρίσαντο μὴ ἔχειν ἐπ' ἀδείας τινὰς κτῆνος οἱονδηποτοῦν ἔνδον εἰσάγειν ναοῦ, εἰ μὴ κατεπείγει ἀνάγκη μεγίστη· τηνικαῦτα γάρ, φασὶ, καὶ τὸ κτῆνος ἐν τῷ ναῷ εἰσαχθήσεται, ἵνα μὴ σὺν αὐτῷ καὶ ὁ ἄνθρωπος θανάτῳ παραδοθῇ. Ἐπάγουσι δὲ πρὸς κατασκευὴν τοῦ λόγου αὐτῶν καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν, τοῦ τὸ Σάββατον καταλύσαντος, καὶ εἰπόντος πρὸς τοὺς αἰτιωμένους αὐτὸν ὡς προτιμοτέρα ἐστὶν ἡ τοῦ ἀνθρώπου σωτηρία παρὰ τὴν τοῦ Σαββάτου φυλακήν. Τὸ γὰρ Σάββατον γέγονε διὰ τὸν ἄνθρωπον, οὐ μὴν ὁ ἄνθρωπος διὰ τὸ Σάββατον. Ὅπως δὲ μὴ γένηται τοῦτο τοῖς ἀδιαφόρως ζῶσιν ἀφορμὴ κακίας, ὥστε ἀνεπικαλύπτως καὶ χωρὶς ἀνάγκης τὸν ἅγιον ναὸν τοῦ Θεοῦ κοινοποιεῖν τε καὶ βεβηλοῦν, διωρίσαντο τὸν μὴ χωρὶς ἀνάγκης μεγάλης τοιαύτης κτῆνος οἱονδηποτοῦν εἰσάγοντα ἐν τῷ ναῷ, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Τί δὲ, πετεινὰ πτερωτὰ, πέρδικάς τε δηλονότι καὶ περιστερὰς, καὶ ἄλλως στρουθοὺς ἀδιαφόρως εἰσαγάγῃ τις ἐν ναῷ ; *Λύσις.* Οὐδὲ ταῦτα, ὡς ἐμοὶ δοκεῖ, ἵνα μὴ τὸ ἅγιον διὰ τῶν ἐκκρίσεων βεβηλωθῇ.

262 ZONAR. Sacra templa in honore habere ac venerari debemus. Proinde nec in illa jumentum quodvis introduci conceditur : nisi forte in itinere aliquem maxima necessitas, aut coortæ videlicet tempestatis, aut imbrium sese intolerabili impetu effundentium, oppresserit. Tunc enim etiamsi jumentum intra sacras ædes compulerit, non tamen ob eam rem aliquid culpæ contrahet ; ne illud quidem foris relictum male pereat, ipse vero dominus, cum iter inceptum prosequi non possit, nec alterius forte jumenti copia suppetat, conficiatur miserore, aut ipsius quoque vitæ periculum subeat. Testimonia vero ex sacris quoque Litteris hujus can. auctores producunt. Sabbatum enim, inquit Scriptura, propter hominem factum est, et ut quiescat servus tuus et jumentum tuum. Quare jumenti quies, non ipsius jumenti, sed hominis gratia præcepta est, ut illo post quietem vegetiore mox uteretur. Quod idem magnus quoque Paulus asserit, *Nunquid* enim, ait, *de bobus cura est Deo*[262] Qui vero, necessitate nulla cogente, jumentum intra templi septa compulerit, depositione clericum, laicum vero segregatione puniri decretum est.

ΖΩΝΑΡ. Τιμῆς ἄξια τὰ ἱερὰ καὶ σεβάσματος. Διὸ οὐδὲ κτῆνος ἐν αὐτοῖς εἰσάγεσθαι συγχεχώρηται· εἰ μή πού τις ὁδοιπορῇ καὶ ἀνάγκη μεγίστη χειμῶνος τυχὸν ἢ ῥαγδαίων ὄμβρων καὶ ἀφορήτων καταλάβῃ αὐτόν· τότε γὰρ κἂν ἐντὸς ἱεροῦ τὸ ὑποζύγιον εἰσαγάγῃ, ἀνέγκλητος ἔσται, ἵνα μὴ τὸ μὲν ἔξω μεῖναν διαφθαρῇ, ὁ δὲ μὴ ἔχων ὅπως τὸ λοιπὸν τῆς ὁδοιπορίας ἀνύσει, ἀπόρως ἴσως ἔχων ἕτερον κτήσασθαι, τῇ λύπῃ καταποθῇ, ἢ καὶ εἰς τὴν ζωὴν κινδυνεύσῃ. Παράγουσι δὲ καὶ ἀπὸ τῆς Γραφῆς μαρτυρίας οἱ θέντες τὸν κανόνα. Φησὶ γὰρ ἡ Γραφή· Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, καὶ ἵνα ἀναπαύσηται ὁ δοῦλός σου καὶ τὸ ὑποζύγιον. Ὥστε ἡ τοῦ κτήνους ἀνάπαυσις οὐ δι' αὐτὸ νενομοθέτηται, ἀλλὰ διὰ τὸν ἄνθρωπον, ἵνα ἀναπαυθὲν ἔχῃ τοῦτο εἰσέπειτα ἀκμαιότερον. Τοῦτο δὲ καὶ ὁ μέγας Παῦλός φησι, λέγων, *Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ* ; Ὁ δὲ χωρὶς ἀνάγκης μεγίστης κτῆνος εἰσάγων ἐν ἱερῷ, κληρικὸς μὲν ὤν, καθαιρεθήσεται, λαϊκὸς δὲ, ἀφορισθήσεται.

[262] I Cor. ix, 9.

ΑΡΙΣΤ. « Ἱεροῦ ἔνδον οὐκ εἰσάγεται κτῆνος, εἰ μὴ καταλαβούσης ἐν ὁδῷ μεγίστης ἀνάγκης. »

Εἰ δέ τις χωρὶς ἀνάγκης, εὐπορῶν ἑτέρου καταγωγίου, ἔνδον τοῦ ἱεροῦ ναοῦ τὸ ὑποζύγιον αὐτοῦ εἰσάξει, εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται, εἰ δὲ λαϊκός, ἀφορισθήσεται.

ΚΑΝΩΝ ΠΘ'.

« Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς περὶ τὸ μέγα Σάββατον νυκτὸς ὥρας ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ ὀψὲ Σαββάτων ῥήματος, τοῦ δὲ διὰ τοῦ ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογραφόντων.

ΒΑΛΣ. Καὶ ἐν ἀποστολικοῖς κανόσι καὶ ἐν συνοδικοῖς νενομοθέτηται μὴ νηστεύειν ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ ἄνευ ἑνὸς καὶ μόνου Σαββάτου, τούτου δηλονότι τοῦ μεγάλου. Κατὰ τοῦτο γὰρ νηστεύειν προστάχθημεν. Ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν ὁρίζων κατὰ τὰς ὅλας ἡμέρας τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν νηστεύειν καὶ προσεύχεσθαι μετὰ κατανύξεως, τουτέστι μὴ καθ' ὑπόκρισιν, ἐν αἷς καὶ τὸ μέγα συναριθμεῖται Σάββατον· προστίθησι, κατὰ τὸ αὐτὸ Σάββατον μετὰ ἓξ ὥρας τῆς νυκτὸς ἀπονηστίζειν τοὺς πιστοτέρους, διὰ τὸ ἀναστῆναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν κατὰ τοὺς θείους εὐαγγελιστάς, τὸν Ματθαῖον καὶ τὸν Λουκᾶν, περὶ τὴν μεσότητα τῆς νυκτός· ὡς τοῦ μὲν λέγοντος, *Ὀψὲ Σαββάτων ἦλθον αἱ Μαρίαι εἰς τὸν τάφον Κυρίου καὶ οὐχ εὗρον τὸ σῶμα αὐτοῦ*· τοῦ δὲ ὑπογράφοντος τὴν μεσότητα τῆς νυκτός, διὰ τοῦ εἰπεῖν· *Ὄρθρος ἦν βαθὺς ὅτε αἱ γυναῖκες ἦλθον εἰς τὸ μνημεῖον*. Καὶ ταῦτα μὲν οὕτως. Εἴποι δέ τις ὡς, ἐπεὶ ὁ κανὼν διορίζεται ἐπὶ πάσας τὰς ἡμέρας τοῦ σωτηρίου πάθους νηστεύειν ἡμᾶς, ἀπονηστίζειν δὲ κατὰ τὸ μέγα Σάββατον ἐν ὥρᾳ μεσονυκτίου, πρόκειται ἐξ ἀνάγκης δυοῖν θάτερον εἰπεῖν, ἢ δι' ὅλων τῶν ἡμερῶν τοῦ Κυριακοῦ πάθους, τῶν ψηφιζομένων κυρίως μετὰ τὴν τετράδα, καθόλου νηστεύειν ἡμᾶς, καὶ παντὸς ἀπέχεσθαι βρώματος, κατὰ μόνον δὲ τὸ Σάββατον ἀπονηστίζειν, ὡς εἴρηται, ἢ κατὰ τὸ τοιοῦτον Σάββατον καταλύειν ἡμᾶς πλέον τῶν ἄλλων ἡμερῶν τοῦ σωτηριώδους πάθους τοῦ Χριστοῦ. Ἵνα τί γὰρ ὡρίσθημεν κατὰ τοῦτο ἀπονηστίζειν ἐν μεσονυκτίῳ, εἰ ἐπίσης νηστεύειν μέλλομεν κατὰ τὰς ὅλας τοιαύτας ἡμέρας; Ἐμοὶ δὲ δοκεῖ ὅτι ὑπεξῃρημένη ἐστὶν ἡ νηστεία τοῦ μεγάλου Σαββάτου, καὶ προτιμότερον τῶν ἄλλων ἡμερῶν τοῦ Χριστοῦ, ὅτι τότε κατέκειτο ἐν τῷ τάφῳ τὸ τεθαμένον σῶμα αὐτοῦ. Χρὴ οὖν ἐν ταῖς ἄλλαις μὲν ἡμέραις νηστεύειν μετὰ κατανύξεως διὰ τὰ πάθη τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· πολλῷ δὲ πλέον κατὰ τὸ Σάββατον, ὅτε ἡ ἐκ τῶν δεσμῶν τοῦ θανάτου ἀπολύτρωσις ἡμῶν κατηρτύετο.

A ARIST. « Intra sacras ædes jumentum non introducitur, nisi maxima in via necessitate cogente. »

Si quis autem citra necessitatem, aliud habens diversorium, intra sacrum templum jumentum suum introducit, si sit quidem clericus deponetur: sin vero laicus, segregabitur.

CANON LXXXIX.

« Dies salutiferæ Passionis jejunio et oratione et cordis compunctione peragentes fideles, circa mediam magni Sabbati noctem jejunium solvere oportet; cum divini evangelistæ, Matthæus et Lucas, ille quidem per vesperam Sabbati, hic vero per id, valde diluculo, noctis nobis tarditatem describant. »

B

BALS. Et in apostolicis canonibus et in synodalibus statutum est, ne in Sabbato, vel in Dominico, præter unum et solum Sabbatum, magnum scilicet, jejunetur. In eo enim jussi sumus jejunare. Iis ergo consequenter præsens quoque canon statuens, omnibus diebus salutiferæ Christi et Dei nostri Passionis jejunare oportere et orare cum compunctione, id est, non simulate, in quibus magnum quoque Sabbatum connumeratur: adjicit, et eo ipso quoque Sabbato post sex horas noctis jejunium solvere fideles, eo quod resurrexerit Christus Deus noster, secundum divinos evangelistas, Matthæum et Lucam, circa noctis dimidium; cum ille quidem dicat, Vespere Sabbati C venerunt Mariæ ad sepulcrum Domini, et corpus ejus non invenerunt [31]: hic vero medium noctis describat, eo quod dicit, Erat summum mane quando venerunt mulieres ad monumentum [32]. Et hæc quidem ita se habent. Dixerit autem quispiam, quod quoniam statuit canon, ut omnibus salutaris Passionis diebus jejunemus, magno autem Sabbato jejunium solvamus ad mediam noctem, alterum duorum necessario dicendum proponitur, vel omnibus Dominicæ Passionis diebus, qui proprie post quartam feriam præfiniuntur, nos omnino jejunare, et ab omni cibo abstinere oportere, solo autem Sabbato jejunium solvere, ut dictum est, vel hoc Sabbato magis jejunium solvere quam D aliis diebus salutaris Christi Passionis. Cur enim statutum esset, ut media hujus nocte jejunium solvamus, si omnibus his diebus æqualiter jejunare deberemus? Mihi autem videtur esse eximium magni Sabbati jejunium, aliisque Christi Passionis diebus præstantius, quoniam tunc in sepulcro jacebat corpus ejus quod visum erat. Oportet ergo in aliis quoque diebus jejunare cum compunctione, propter Passionem Christi et Dei nostri: multo autem magis magno Sabbato, quando redemptio nostra e mortis vinculis **263** adornabatur.

[31] Matth. xxviii, 1. [32] Luc. xxiv, 1.

Propterea enim et qui sunt religiosiores toto Sabbato, et usque ad horam sextam noctis, in ecclesiis assident : et hora sexta divinis sacramentis communicantes, panem et aquam gustant, fortasse autem et modicum vini. Septima autem hora matutinas psalmodias audientes, quando etiam illud, Christus resurrexit, dicitur, domum suam revertuntur, magni Dominici sacrorum celebrationem exspectantes. Quod autem a septima hora noctis, quæ est ante Dominicum, incipit dies Dominicus, manifestum est ex eo quod ortus solis, sive diei illuminatio, est a septima hora noctis, quæ eum præcessit : clarum est ex iis quæ noster magnus Pater Joannes Chrysostomus interpretatus est. Postquam enim os iis occlusit, qui dicunt Christum die tertio non resurrexisse, et dixit, quod etiamsi dederit quispiam Dominum tertio die non resurrexisse, gratiæ magis eo nomine ei agendæ sunt, quod etiam ante præfinitum trium dierum terminum Christus resurrexerit, quam est reprehendendus. Reprehenderit enim etiam eum quispiam, qui fœnori accepit, quod ante præstitutum solutioni terminum debitum solverit, quod est absurdum : hoc adjicit, quod si id quod in quacunque hora diei fit, qui a septima hora præcedentis noctis incipit, et sexta hora sequentis noctis desinit, in eo ipso die factum esse videtur: recte dicimus, quod die tertio fuit Christi resurrectio, ut ipse vere est pollicitus. In Parasceve enim mortuus est, qui est dies primus : secundus, Sabbatum : et quoniam septimam quoque horam noctis, quæ est ante Dominicum, attigit, etiam Dominicus tertius dies putatur. Jam vero sanctus Gregorius Nyssenus de sancto Pascha docens, hæc dicit expresse : Vespera enim erat, quando manducatum est sacrum illud et sanctum corpus : quam quidem vesperam nox, quæ Parascevem antecedit, excepit. Deinde dies Parasceves introducta nocte discissus in unam noctem et duos dies reducitur. Tribus enim horis fuerunt tenebræ super universam terram [33]. Hæc est enim in medio diei nox innovata, duas dierum sectiones per se describens, hanc quidem a mane usque ad sextam horam : illam vero ab hora nona usque ad vesperam ; ita ut hinc usque duæ sint noctes et duo dies. Deinde dies præcedentis Sabbati habet tres noctes et tres dies.

Διὰ γὰρ τοῦτο καὶ οἱ εὐλαβέστεροι δι' ὅλου τοῦ Σαββάτου, καὶ μέχρις ἕκτης ὥρας τῆς νυκτὸς, ἐν ταῖς ἐκκλησίαις προσεδρεύουσι· καὶ κατὰ τὴν ἕκτην ὥραν, τῶν θείων ἁγιασμάτων μεταλαμβάνοντες, ἅπτονται ἄρτου καὶ ὕδατος, ἴσως δὲ καὶ οἴνου πάντως μετρίου. Κατὰ δὲ τὴν ἑβδόμην ὥραν, ἀκούοντες τῆς ἑωθινῆς ὑμνῳδίας, ὅτε καὶ τὸ, Ὁ Χριστὸς ἀνέστη, ἐκφωνεῖται, ὑποστρέφουσιν εἰς τὰς κατοικίας αὐτῶν τῆς Μεγάλης Κυριακῆς ἱεροτελεστίαν ἀναμένοντες. Ὅτι δὲ ἀπὸ τῆς ζ' ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς Κυριακῆς ἄρχεται ἡ κυριώνυμος, δῆλον μὲν καὶ ἀπὸ τοῦ γίνεσθαι τὴν ἀνάβασιν τοῦ ἡλίου, ἤγουν τὴν φαῦσιν τῆς ἡμέρας ἀπὸ τῆς ζ' ὥρας τῆς πρὸ αὐτῆς νυκτός. Δῆλον δὲ καὶ ἀφ' ὧν ὁ μέγας Πατὴρ ἡμῶν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἡρμήνευσε. Μετὰ γὰρ τὸ ἐπιστομίσαι τοὺς λέγοντας μὴ ἀναστῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τριήμερον, καὶ εἰπεῖν ὡς, εἰ καὶ δοίη τις μὴ τριήμερον ἀναστῆναι τὸν Κύριον, εὐχαριστέον μᾶλλόν ἐστιν, ὅτι καὶ πρὸ τῆς ὁρισθείσης προθεσμίας τῶν τριῶν ἡμερῶν ἐγήγερται ὁ Χριστὸς, καὶ οὐ μᾶλλον αἰτιατέον. Ἐπιμέμφοιτο γάρ τις καὶ τὸν δανεισάμενον καταβάλλοντα (ι) τὸ χρέος πρὸ τῆς ὁρισθείσης προθεσμίας εἰς καταβολὴν, ὅπερ ἄτοπον· προστίθησιν ὡς, ἐπεὶ τὸ ἐν οἱᾳδήποτε ὥρᾳ τῆς ἡμέρας γινόμενον, τῆς ψηφιζομένης ἀπὸ ἑβδόμης ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταληγούσης μέχρις ἕκτης ὥρας τῆς μετὰ ταύτην νυκτὸς, ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενῆσθαι δοκεῖ· καλῶς λέγομεν ὡς τριήμερος γέγονεν ἡ ἀνάστασις τοῦ Χριστοῦ, κατὰ τὴν αὐτοῦ ἀψευδῆ ἐπαγγελίαν. Κατὰ γὰρ τὴν Παρασκευὴν ἀπέθανεν, ἥτις ἐστὶ πρώτη ἡμέρα· δευτέρα τὸ Σάββατον. Καὶ ἐπεὶ ἤψατο καὶ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς Κυριακῆς, λογίζεται καὶ ἡ Κυριακὴ τρίτη ἡμέρα. Ὁ μέντοι ἅγιος Γρηγόριος ὁ Νύσσης περὶ τοῦ ἁγίου Πάσχα διδάσκων φησὶ ταῦτα ῥητῶς· Ἑσπέρα μὲν γὰρ ἦν ὅτε ἐβρώθη τὸ ἱερὸν ἐκεῖνο καὶ ἅγιον σῶμα· νὺξ δὲ τὴν ἑσπέραν ἐκείνην πρὸ τῆς Παρασκευῆς διεδέξατο. Εἶτα ἡ τῆς Παρασκευῆς ἡμέρα, τῇ ἐπεισάκτῳ νυκτὶ διατμηθεῖσα, εἰς μίαν νύκτα καὶ εἰς ἡμέρας δύο καταψηφίζεται. Ἐν γὰρ ταῖς τρισὶν ὥραις ἐγένετο σκότος ἐπὶ πᾶσαν τὴν οἰκουμένην. Αὕτη ἐστὶν ἡ κατὰ τὸ μέσον τῆς ἡμέρας καινοτομηθεῖσα νὺξ, τὰ δύο τμήματα τῶν ἡμερῶν δι' αὐτῆς ὑπογράφουσα, τὸ μὲν ἀπὸ τῆς τοῦ ὄρθρου ἐπὶ τὴν ἕκτην ὥραν, τὸ δὲ ἀπὸ τῆς ἐννάτης ὥρας ἐπὶ τὴν ἑσπέραν· ὥστε εἶναι μέχρι τούτου δύο νύκτας καὶ δύο ἡμέρας. Εἶτα ἡ πρὸ τοῦ Σαββάτου ἡμέρα ἔχει τὰς τρεῖς νύκτας καὶ τὰς τρεῖς ἡμέρας.

ZONAR. Dies illos, quibus Christus Jesus Dominus noster dolores acerbissimos pertulit, jejuniis et compunctione canon a fidelibus transigi oportere decernit. Cordis vero compunctione, hoc est, compunctione non fore simulatam, externa

ΖΩΝΑΡ. Τὰς τοῦ πάθους ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν νηστείᾳ καὶ κατανύξει ἀνύειν τοὺς πιστοὺς ὁ κανὼν ἀπαιτεῖ. Ἐν κατανύξει δὲ καρδίας, τοῦτ' ἔστι, μὴ ὑποκεκριμένην εἶναι τὴν κατάνυξιν ἔξω μόνον φαινομένην, ἀλλὰ καὶ

[33] Luc. xxiii, 44.

Guill. Beveregii notæ.

(ι) *Δανεισάμενον καταβάλλοντα.* In codice Amerbachiano rectius legitur καταλαβόντα.

αὐτῆς τῆς καρδίας ἁπτομένην. Περὶ δὲ τὸ μέσον τῆς νυκτὸς τοῦ Σαββάτου ἐπιφωσκούσης τῆς Κυριακῆς προτρέπει ἀπονηστίζεσθαι, ἀντὶ τοῦ βρώσεως ἅπτεσθαι, ὡς ἤδη γεγονυίας τῆς ἀναστάσεως. Ὁ μὲν γὰρ εὐαγγελιστὴς, φησὶ, Ματθαῖος, *Ὀψὲ Σαββάτων*, εἰπών, ὁ δὲ Λουκᾶς, *Ὄρθρου βαθέος*, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογράφουσιν, ἀντὶ τοῦ, παραδηλοῦσι, παραδιδάσι. Καὶ νῦν δέ φασι τοὺς ἐν Ἱεροσολύμοις οὔτε κατὰ τὴν Παρασκευὴν, οὔτε κατὰ τὸ Σάββατον ἐσθίειν. Καὶ ὁ Ἀλεξανδρείας δὲ Διονύσιος περὶ τούτου ἐρωτηθεὶς τὰ αὐτὰ πλατύτερον ἀπεκρίνατο.

ΑΡΙΣΤ. « Τῷ μεγάλῳ Σαββάτῳ περὶ μέσας νύκτας
« τὴν νηστείαν διαρκετέον. »

Ὁ μὲν Ματθαῖος ὀψὲ Σαββάτων ἀναστῆναι λέγει τὸν Κύριον· ὁ δὲ Λουκᾶς ὄρθρου βαθέος· δεῖ γοῦν τῷ μεγάλῳ Σαββάτῳ ἄχρι μεσονυκτίου νηστεύειν, καὶ ἔκτοτε μεταλαμβάνειν τὸν βουλόμενον τροφῆς, διὰ τὸ καταλαμβάνειν ἐκ τῶν ῥημάτων τούτων τῶν εὐαγγελιστῶν περὶ μέσας ὥρας τῆς νυκτὸς ἀναστῆναι τὸν Κύριον.

ΚΑΝΩΝ ϟ'.

« Ταῖς Κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων
« ἡμῶν Πατέρων κανονικῶς παρελάβομεν, τὴν
« τοῦ Χριστοῦ τιμῶντων ἀνάστασιν. Ὡς ἂν οὖν
« μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς τοιαύτης παρατη-
« ρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε
« μετὰ τὴν ἐν τῷ Σαββάτῳ ἑσπερινὴν τῶν ἱερω-
« μένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, κατὰ τὸ
« κρατοῦν ἔθος, μηδένα γόνυ κλίνειν μέχρι τῆς
« ἑφεξῆς κατὰ τὴν Κυριακὴν ἑσπέρας· καθ' ἣν
« μετὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γό-
« νατα κάμπτοντες, οὕτω τὰς εὐχὰς τῷ Κυρίῳ
« προσάγομεν. Τῆς γὰρ τοῦ Σωτῆρος ἡμῶν ἐγέρ-
« σεως πρόδρομον τὴν μετὰ τὸ Σάββατον νύκτα
« παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευ-
« ματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν
« ἑορτὴν καταλήγοντες, ὡς ἐν ὁλοκλήρῳ ἐντεῦ-
« θεν νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν
« ἀνάστασιν. »

ΒΑΛΣ. Ὁ κ' κανὼν τῆς ἐν Νικαίᾳ συνόδου, ὁ ιε' κανὼν τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, καὶ τὸ κζ' κεφάλαιον τῆς πρὸς τὸν Ἀμφιλόχιον ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου (τούτων γὰρ οἱ ἅγιοι Πατέρες μέμνηνται καὶ θεοφόρους Πατέρας καλοῦσιν) ὥρισαν μὴ κλίνειν γόνυ ἐν ταῖς Κυριακαῖς ἢ ἐν ταῖς ἡμέραις τῆς Πεντηκοστῆς. Ἀκολούθως οὖν αὐτοῖς διορίζεται ὁ παρὼν κανὼν τιμᾶσθαι τὴν τοῦ Κυρίου ἁγίαν ἀνάστασιν. Ἐπεὶ δέ τινες διηπόρουν, ὅθεν καὶ ἐκ ποίας ὥρας ἡ Κυριώνυμος ἄρχεται, καὶ μέχρι τίνος συμπεραίνεται, κατέστησαν καὶ τοῦτο δῆλον καὶ σαφὲς τοῖς πιστοῖς, καὶ εἶπον ταύτην ἄρχεσθαι μετὰ τὴν ἑσπερινὴν ὑμνῳδίαν τοῦ Σαββάτου, καὶ καταλήγειν μέχρι τῆς συμπληρώσεως τοῦ λυχνικοῦ, ἤτοι τοῦ ἑσπερινοῦ τῆς Κυριακῆς.

tantum specie apparentem; sed quæ ipsius quoque cordis penetralia contingat. Circiter vero mediam Sabbati noctem, quam dies mox Dominicus excipit, ad solvenda jejunia, hoc est, cibi aliquid sumendum, quasi redivivo jam a mortuis Christo, invitat. Nam evangelista quidem, inquit, Matthæus, Vespere Sabbati[35], cum dixerit; Lucas autem, Valde diluculo[36], noctis illius tarditatem nobis describunt, hoc est, significant, indicant. Et vero nunc quoque aiunt, eos qui Hierosolymis degunt, neque toto Parasceves, neque Sabbati die, cibi aliquid degustare. Et Dionysius quoque Alexandrinus, cum ex eo de hac re quæreretur, eadem hæc fusius explicata respondit.

ARIST. « Magno Sabbato usque ad mediam noctem
« in jejunio perseverandum est. »

Matthæus quidem vespere Sabbati resurrexisse dicit Dominum : Lucas autem valde diluculo. Magno itaque Sabbato usque ad mediam noctem oportet jejunare, et tunc, qui vult, alimentum sumere, quoniam ex verbis illis evangelistarum circiter medias noctis horas resurrexisse Dominum deprehendimus.

264 CANON XC.

« Dominicis genu non flectere a divinis nostris
« Patribus, Christi resurrectionem honorantibus,
« canonice accepimus. Ne ergo hujus observa-
« tionis evidentiam ignoremus, fidelibus mani-
« festum facimus, quod post vespertinum sa-
« cerdotum ad altare Sabbato ingressum, ex
« consuetudine quæ servatur, nemo genu flectat
« usque ad sequentem vesperam in die Domi-
« nico : in qua post ingressum in vespertino seu
« completorio, genua rursus flectentes Domino
« preces sic offerimus. Servatoris enim nostri
« resurrectionis veluti præcursorem noctem,
« quæ post Sabbatum fuit, accipientes, hy-
« mnos ab ea spiritualiter incipimus, festum ex
« tenebris in lucem transmittentes, ut in per-
« fecto et integro die ac nocte nos inde resur-
« rectionem celebremus. »

BALS. Vicesimus canon Nicenæ synodi, 25 canon sancti Petri Alexandrini, et 27 responsum epistolæ magni Basilii ad Amphilochium (horum enim sancti Patres meminerunt, et divinos Patres appellant) statuerunt, genu non esse flectendum in diebus Dominicis, vel in diebus Pentecostes. His ergo consequenter decernit quoque præsens canon, sanctam Domini resurrectionem esse honorandam. Quoniam autem nonnulli dubitabant, unde et ex quanam hora Dominicus incipit, et ad quam usque completur, hoc quoque fidelibus manifeste et perspicue declararunt, et dixerunt eum incipere post vespertinam Sabbati hymnodiam, et desinere ad complementum lychnicum, id est, vespertini officii Dominicæ. Et tunc quidem, scili-

[35] Matth. xxviii, 1. [36] Luc. xxiv, 1.

cet post vespertinum Sabbati usque ad complementum vespertini Dominicæ, genua flectere non oportere, propter Christi resurrectionem : post Dominicæ vero lychnicum, genua rursum flectere et preces Deo effundere. Ad hujus autem rei confirmationem adjicit canon, quod Christi etiam resurrectio vespere Sabbati, hoc est, ante diem Dominicum exstitit : ut festum ex tenebris in lucem desineret, et celebratio resurrectionis per integrum diem integramque noctem fieret. Cum hæc ita se habeant, dixerit quispiam, ea quæ sunt in præsenti canone repugnare doctrinæ præcedentis canonis. Illic enim dictum est, diem Dominicum numerari a septima hora præcedentis noctis, et hora sexta sequentis noctis desinere. Nunc autem decretum est, Dominicum numerari post lychnicum Sabbati, et desinere vespera ejusdem etiam Dominicæ. Non sunt autem contraria. A naturali enim cœlestium corporum motu, et ex iis quæ magnus Damasci doctor inquit, dies ita incipit et desinit, sicut in 89 canone dictum est. Præsens autem canon similiter jubens per totum diei et noctis spatium nos Domini resurrectionem celebrare, non habens autem necesse tunc docere de diurno spatio, sed quomodo et quando nos oportet ad festi celebrationem et pœnitentiam componere, dicit, quod post lychnicum Sabbati ea, quæ ad resurrectionis festum celebrandum pertinent, componenda ac paranda sunt : ita et post vespertinum Dominicæ ea quæ ad pœnitentiam. Si enim hoc non fecerimus, sed usque ad horam septimam vesperæ post Dominicum pœnitentiæ præparationem distulerimus, tanquam in ea completo Dominico, populi post Dominicum, populo festum celebrante ignotum erit tempus post Dominicum, festum celebrantes manserint, eo quod multis atque adeo pluribus sit incognitum, quando veniat hora septima, et quando terminetur sexta. Observa ergo canones, ubi et quomodo editi sunt : nec eos dixeris inter se repugnare. Spiritus enim sanctus in omnibus locutus est.

A Καὶ τότε μὲν, ἦγουν μετὰ τὸ ἑσπερινὸν τοῦ Σαββάτου μέχρι περατώσεως τοῦ ἑσπερινοῦ τῆς Κυριακῆς, μὴ κλίνειν γόνυ διὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν· μετὰ δὲ τὸ λυχνικὸν τῆς Κυριακῆς αὖθις τὰ γόνατα κάμπτειν καὶ τῷ Κυρίῳ προσεύχεσθαι. Προστίθησι δὲ εἰς κατασκευὴν τούτου ὁ κανὼν ὅτι καὶ ἡ ἀνάστασις τοῦ Χριστοῦ κατὰ τὴν ἑσπέραν τοῦ Σαββάτου, τουτέστι πρὸ τῆς ἡμέρας τῆς Κυριακῆς, γέγονεν, ἵνα ἀπὸ τοῦ σκότους τὰ τῆς ἑορτῆς καταλήξωσι πρὸς φῶς, καὶ ἡ πανήγυρις τῆς ἀναστάσεως γίνηται διὰ ὁλοκλήρου νυχθημέρου. Τούτων οὕτως ἐχόντων, εἴποι τις ἐναντιοῦσθαι τὰ ἐν τῷ παρόντι κανόνι τῇ διδασκαλίᾳ τοῦ προλαβόντος κανόνος. Ἐκεῖ μὲν γὰρ εἴρηται τὴν κυριώνυμον ψηφίζεσθαι ἀπὸ τῆς ζ' ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταλήγειν μέχρι τῆς ἕκτης ὥρας καὶ αὐτῆς τῆς μετὰ ταύτην νυκτός· ἀρτίως δὲ δέδοκται τὴν Κυριακὴν ψηφίζεσθαι μετὰ τὸ λυχνικὸν τοῦ Σαββάτου, καὶ καταλήγειν μέχρι τοῦ ἑσπερινοῦ καὶ αὐτοῦ τῆς αὐτῆς Κυριακῆς. Οὐκ εἰσὶ δὲ ἐναντία. Ἀπό τε γὰρ τῆς φυσικῆς κινήσεως τῶν οὐρανίων σωμάτων, καὶ ἐξ ὧν ὁ μέγας τῆς Δαμασκοῦ διδάσκαλός φησιν, οὕτως ἡ ἡμέρα ἄρχεται καὶ πληροῦται, καθὼς ἐν τῷ π0' κανόνι εἴρηται. Ὁ δὲ παρὼν κανὼν παρομοίως παρακελευόμενος δι' ὅλου ἡμερονύκτου πανηγυρίζειν ἡμᾶς τὴν τοῦ Κυρίου ἀνάστασιν, μὴ ἔχων δὲ τὸ τηνικαῦτα ἠναγκασμένον διδάξαι περὶ τοῦ ἡμερησίου διαστήματος, ἀλλὰ περὶ τοῦ πῶς δεῖ καὶ πότε εὐτρεπίζεσθαι ἡμᾶς εἰς πανήγυριν καὶ μετάνοιαν, φησὶν ὅτι μετὰ τὸ λυχνικὸν τοῦ Σαββάτου τὰ πρὸς πανήγυριν τῆς ἀναστάσεως εὐτρεπιστέον· ὡσαύτως καὶ μετὰ τὸ ἑσπερινὸν τῆς Κυριακῆς, τὰ πρὸς μετάνοιαν. Εἰ μὴ γὰρ οὕτω ποιήσωμεν, ἀλλὰ μέχρι τῆς ἑβδόμης ὥρας μετὰ τὴν Κυριακὴν ἑσπέρας ἀναμείνωμεν, καὶ τὸν εὐτρεπισμὸν τῆς μετανοίας, ὡς ἐν ταύτῃ συμπληρουμένης τῆς κυριωνύμου, λάθοιεν ἂν πανηγυρίζοντες καὶ μετὰ τὴν κυριώνυμον, διὰ τὸ πολλοῖς, μᾶλλον δὲ τοῖς πλείοσιν ἀδιάγνωστον εἶναι τὴν ἐπιστασίαν τῆς ἑβδόμης ὥρας, καὶ τὸ τέλος τῆς ἕκτης. Συντήρει οὖν τὰ κανονικὰ, ἔνθα καὶ ὅπως ἐξεφωνήθησαν· καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι. Ἐν πᾶσι γὰρ τὸ πανάγιον Πνεῦμα ἐλάλησεν.

B

C

D

265 ZONAR. Non esse Dominicis aut Pentecostes diebus flectenda genua multi canones decrevere. Eadem Basilii quoque mens fuit, qui præterea causas, propter quas ea consuetudo sit damnata, subnectit. Illic vero canon de solo die Dominico statuit, tempusque a primo ad extremum, in quo genua procumbere minime liceat, aperte describens, ait : A Sabbato quidem, cum primum vespere ad altare initiatorum chorus ingreditur, nemo genu flectat, ad usque diei Dominici vesperam, quando scilicet alter initiatorum fit ingressus, tunc enim genua flectentes, et sic orantes non peccabimus. Quæ nox etenim Sabbatum consequitur, ea propria Dominicæ lucis existimatur, quam etiam hymnis, inquit canon, tradu-

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν Κυριακαῖς ἢ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις διάφοροι νομοθετοῦσι κανόνες, καὶ ὁ μέγας Βασίλειος, ὃς καὶ τὰς αἰτίας προστίθησι, δι' ἃς ἀπηγόρευται. Οὗτος δὲ ὁ κανὼν περὶ μόνης τῆς Κυριακῆς διατάττεται, καὶ ἐκ ποίας ὥρας μέχρι τίνος οὐδὲ κλίνειν γόνυ σαφῶς παριστῶν φησι μετὰ τὴν κατὰ τὸ Σάββατον ἑσπερινὴν εἴσοδον εἰς τὸ θυσιαστήριον τῶν ἱερωμένων μηδένα γόνυ κλίνειν μέχρι τῆς ἑσπέρας τῆς Κυριακῆς, ὅτε δηλαδὴ αὖθις ἡ εἴσοδος γίνεται τῶν ἱερωμένων· ἕκτοτε γὰρ κλίνοντες γόνυ καὶ οὕτως εὐχόμενοι οὐχ ἁμαρτήσομεν. Ἡ γὰρ μετὰ τὸ Σάββατον νὺξ τῆς Κυριακῆς λογίζεται, ἣν καὶ ἐν ὕμνοις δέον διάγειν, φησὶν ὁ κανὼν, ἐκ σκότους εἰς φῶς τὴν ἑορτὴν παραπέμποντας, καὶ οὕτως ἐν ὁλοκλήρῳ

τυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

ΑΡΙΣΤ. « Μετὰ τὴν ἑσπερινὴν εἴσοδον τοῦ Σαββάτου « μὴ γόνυ κλίνῃς ἄχρι τῆς ἑσπερινῆς κατὰ τὴν « Κυριακὴν εἴσοδον. »

Ἐκ τῶν θεοφόρων Πατέρων κανονικῶς παρελάβομεν μὴ γόνυ κλίνειν ἐν ταῖς Κυριακαῖς, ὡς τιμῶντες τὴν τοῦ Κυρίου ἀνάστασιν. Ἵνα οὖν μὴ ἀγνοῆται ἡ παρατήρησις αὕτη, ὅπως ὀφείλει γίνεσθαι, δῆλην αὐτὴν οἱ Πατέρες τοῖς πιστοῖς διὰ τοῦ κανόνος τούτου πεποιήκασιν· ὥστε μετὰ τὴν ἐν τῷ Σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον μὴ γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν Κυριακὴν ἑσπερινῆς εἰσόδου, ὡς ἐν ὁλοκλήρῳ νυχθημέρῳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

A divinis Patribus canonice accepimus, Dominicis genu non flectere, ut Domini resurrectionem honorantes. Ut itaque hæc observatio non ignoretur, quomodo fieri debet, eam Patres per hunc canonem fidelibus manifestam effecerunt; ut post vespertinum sacerdotum in Sabbato ad altare ingressum genu non flectere debeamus, usque ad sequentem in die Dominico vespertinum ingressum, ut per integrum noctis et diei spatium nos resurrectionem celebremus.

ΚΑΝΩΝ ΚΑ'.

« Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα καὶ τὰς « δεχομένας τὰ ἐμβρυοκτόνα δηλητήρια τῷ τοῦ « φονέως ἐπιτιμίῳ καθυποβάλλομεν. »

ΒΑΛΣ. Ἐπίσης κολάζει ὁ κανὼν τῷ ἐπιτιμίῳ τοῦ φονέως τὰς διδούσας φάρμακα δηλητήρια χάριν τοῦ ἀμβλωθῆναι τὰ ἔμβρυα, καὶ τὰς δεχομένας αὐτά. Καὶ ὁ μὲν κανὼν διὰ τοιούτου ἐπιτιμίου κολάζει ταύτας. Καὶ εὑρήσεις τὰ εἴδη τῶν ἐπιτιμίων ἐν τῷ β' κανόνι τοῦ ἁγίου Βασιλείου, καὶ ἐν τῷ κα' κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου. Τὸ δὲ α' κεφ. τοῦ λθ' τίτλου τοῦ ξ' βιβλίου φησὶ ταῦτα ῥητῶς· Τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται ὁ φονεύων ἄνθρωπον, καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμὸν, καὶ ὁ διὰ φόνου ἢ κλοπὴν μεθ' ὅπλων περιών, καὶ ὁ ἀρχῆς ἢ δικαστηρίου δημοσίου προεστὼς, καὶ σπουδάσας πλαστῶς κατηγορηθῆναί τινα καὶ ἀναιτίως καταδικασθῆναι, καὶ ὁ ἐπὶ ἀναιρέσει κατασκευάσας ἢ δεδωκὼς φάρμακον· καὶ κεφ. γ' τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται. Καὶ ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων. Εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα καὶ τὰ λεγόμενα φίλτρα. Οἱ δὲ τὰ φίλτρα ποιοῦντες δημευόμενοι ἐξορίζεσθωσαν. Εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσῃ γυναικὶ συλληπτικὸν, καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται· Καὶ θέμα γ' τοῦ αὐτοῦ κεφ. λέγον περὶ τὰς ἀρχάς. Κατέχεται τῷ περὶ ἀνδροφόνων νόμῳ καὶ ὁ πιγμεντάριος προπετῶς δίδοὺς φάρμακον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ βούβρωστιν ἢ μανδραγόραν ἢ κανθαρίδας. Καὶ θέμα δ'· Ἡ ποινὴ ἡ κατὰ ἀνδροφόνων ἐπὶ μὲν ἐντίμων περιορισμός ἐστι καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν ξίφει καὶ θηρίοις ὑποβληθῆναι. Καὶ ταῦτα μὲν ἀπὸ τοῦ παλαιοῦ νόμου καὶ τῶν κανόνων. Ἀπελύθησαν δὲ νεαραὶ περὶ φονέων ἀκουσίων καὶ ἑκουσίων διάφοροι παρά τε τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ τοῦ θεοστέφου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ὧν αἱ δυνάμεις συνωψίσθησαν ἐν τοῖς περὶ φονέων κανόσι τοῦ μεγάλου Βασιλείου. Ἐρωτήσει δέ τις, ὡς ἐκ μόνου τοῦ δοῦναί τινα πρὸς γυναῖκα ἀμβλωθρίδια ὑπο-

CANON XCI.

« Eas quæ dant abortionem cientia medicamenta, « et quæ fœtus necantia venena accipiunt, ho- « micidæ pœnis subjicimus. »

BALS. Eadem pœna, qua homicidam, punit canon eas, quæ dant venena, ut provocetur abortio, et quæ accipiunt. Et hic quidem canon illas tali pœna afficit. Pœnarum autem genera invenies in 2 can. sancti Basilii, et in 21 can. synodi Ancyr. Primum autem caput 39 tit. LX lib. hæc dicit expresse: Lege de homicidis tenetur is, qui hominem occidit, et qui dolo suscitat incendium, et qui, vel furandi vel cædis faciendæ gratia, cum armis obambulat, et qui, cum magistratum gereret vel judicio præsset, procuraverit ut quis licte accusaretur, et innocens condemnaretur, et qui ad tollendum de medio venenum præparaverit vel dederit. Et cap. 3 lege de homicidis lata tenetur, qui ad hominem occidendum medicamentum facit, vel emit, vel habet. Sunt autem pharmaca, quæ sanitatem afferunt, et quæ dicuntur amatoria. Qui autem faciunt amatoria, publicatis bonis exterminentur. Quod si quis etiam non malo animo mulieri dederit medicamentum ad concipiendum, eoque accepto mortua sit, in exsilium mittitur. Ejusdemque capitis thema tertium, dicens in principio: Lege de homicidis lata tenetur, et quicunque pigmentarius temere dat medicamentum, vel salamandram, vel aconitum, vel pityocampam vel buprestim vel mandragoram vel cantharides. Et thema 4 adversus homicidas pœna est, in claris quidem exsilium et perfecta bonorum publicatio: in humilioribus autem ensi et bestiis subjici. Et hæc quidem ex veteri lege et antiquis canonibus. Emissæ sunt autem de homicidis, tam voluntariis quam involuntariis, diversæ novellæ ab imp. domino Constantino Porphyrogenneta, et præstantissimo sanctoque imp. nostro domino Emanuele Comneno, quarum vires in canonibus magni Basilii de homicidis in compendium redactæ sunt. Interrogaverit autem quispiam, an ex eo, quod dederit quispiam mulieri medicamentum ad abor-

tionem, homicidii tenebitur; 266 an opus sit ut sequatur etiam eventus vel cædes? *Solutio.* Quod superius positum est caput 3, 39 tit. LX lib. constituit, non eum solum qui dat venenum puniri ut homicidam, sed eum etiam qui tale quid habet: et 2 thema primi capitis ejusdem tit. et lib. dicit: Qui eo fuit animo ut vellet interficere, etiamsi non interfecerit, sed sauciaverit, est homicida: et qui noluit interficere, etiamsi interfecerit, non est homicida. Affectio autem ex instrumento ejus qui percussit, apparet et probatur. Sed magni Basilii canones etiam eum qui non sponte interfecit, quomodocunque fuerit, puniunt ut homicidam, contra ac comprehenditur hac lege, et aliter quam decernit 6 thema 3 cap. 39 tit. LX lib. quod sic dicit: Lex de homicidis dolum requirit, et non magnam negligentiam. Quare si quis, seipso ex alto dejecto, vel ramo arboris deorsum misso, quempiam occiderit, præsenti lege non tenetur. Jam vero 31 imp. domini Leonis Philosophi novella dat viro potestatem matrimonium dissolvendi cum uxore, quæ illius semen abortione sciens ejicit.

ZONAR. Mulieres, postquam ex furtivo concubitu concepere, prolem eam, ne prodantur, medicamentis quibusdam epotis in utero necant, indeque vita destitutam ejiciunt. Eas igitur quæ ejusmodi pharmaca aliis præbent, tum eas quæ accipiunt, homicidarum pœnis canon teneri jubet, ac merito quidem: quippe quæ non modo conceptam prolem, sed ipsas etiam quandoque prægnantes mulieres, quod magnus quoque Basilius canone secundo testatur, e medio tollunt. Ancyranæ vero synodi canone vicesimo primo mulieres ejusmodi decennii segregatione puniuntur.

ARIST. « Et qui dat, et quæ accipit medicamenta
« abortionem cientia, est homicida. »

Subjiciuntur homicidæ pœnis et iliæ, quæ fœtus necantia accipiunt medicamenta, et qui ea istis exhibent.

CANON XCII.

« Eos qui nomine matrimonii mulieres rapiunt,
« vel qui opera opeque sua raptores adjuvant,
« statuit sancta synodus, si sint quidem clerici,
« proprio gradu excidere: sin vero laici, anathemate percuti. »

BALS. Præsens canon idem est omnino cum 27 canone Chalcedon. synodi. Et quære quæ in eo scripta sunt, et 9 tit. præsentis operis, cap. 30 et quæ in eum scripta sunt. Similiter et 67 can. apost. Quid autem, si quis mulierem non rapuerit nomine matrimonii, sed fornicationis gratia, non punietur una cum iis, qui illum opera et ope sua adjuvant? *Solutio.* Maxime. Hoc est enim sine controversia: id autem, quod dubitationem afferebat, erat prætextus matrimonii. Dicebant enim nonnulli, eum nihil mali fecisse, qui rapuit mulierem, ut ei legitime conjungeretur, quæ fortasse etiam indigna est ejus genere, et ex eo maxime vi

πεσεῖται τῷ τῶν φονέων ἐγκλήματι· ἢ χρεία ἐστὶ τοῦ γενέσθαι καὶ ἀποτέλεσμα, ἤγουν φόνον; Λύσις. Τὸ καταστρωθὲν ἀνωθεν γ' κεφ. τοῦ λ' τίτλου τοῦ ξ' βιβλίου διορίζεται μὴ τὸν δόντα μόνον δηλητήριον φάρμακον ὡς φονέα τιμωρεῖσθαι, ἀλλὰ καὶ τὸν ἔχοντά τι τοιοῦτον· καὶ τὸ β' θέμα τοῦ α' κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου φησίν· Ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τραυματίσῃ, φονεύς ἐστι· καὶ ὁ μὴ θελήσας φονεῦσαι, ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς. Ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου ἐλέγχεται. Οἱ μέντοι κανόνες τοῦ μεγάλου Βασιλείου καὶ τὸν ἀκουσίως φονεύοντα, ὡς ἂν ἔχῃ, ὡς φονέα κολάζουσι παρὰ τὴν περίληψιν τοῦ τοιούτου νόμου καὶ παρὰ τὸ ς' θέμα τοῦ γ' κεφ. τοῦ λ' τίτλου τοῦ ξ' βιβλίου, τὸ λέγον οὕτως· Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν. Ὅθεν ἐάν τις ἑαυτὸν ἐξ ὕψους βίψας, ἢ κλάδον ἀπὸ δένδρου, φονεύσει τινά, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ. Ἡ μέντοι λα' νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου δίδωσιν ἄδειαν τῷ ἀνδρὶ διασπᾶν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐπίτηδες ἀμβλωσκούσης τὴν ἐκείνου σποράν.

ZONAP. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθεῖεν, φάρμακά τινα πίνουσι, δι' ὧν τὰ ἔμβρυα διαφθείρουσι, καὶ οὕτως αὐτὰ νεκρὰ ἀποβάλλονται. Τὰς οὖν διδούσας τὰ τοιαῦτα φάρμακα, καὶ τὰς λαμβανούσας τῷ τῶν φονέων ἐπιτιμίῳ καταδικάζει, καὶ εἰκότως. Οὐ μόνον γὰρ τὰ ἔμβρυα κτείνουσιν αἱ τοιαῦται, ἀλλ' ἐνίοτε καὶ αὐτὰς τὰς ἐγκύους, ὅ καὶ ὁ μέγας Βασίλειος ἐν δευτέρῳ κανόνι φησίν. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν καὶ τὰς τοιαύτας γυναῖκας δεκαετίαν ἀφορίζει.

ΑΡΙΣΤ. « Καὶ ὁ διδοὺς καὶ ἡ λαμβάνουσα ἀμβλωθρίδια ἀνδροφόνοι. »

Ὑπόκεινται τῷ τοῦ φονέως ἐπιτιμίῳ καὶ αἱ τὰ ἐμβρυοκτόνα φάρμακα λαμβάνουσαι, καὶ οἱ παρέχοντες ταῦτα σύταις.

ΚΑΝΩΝ ϞΒ'.

« Τοὺς ἁρπάζοντας γυναῖκας ἐπὶ ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας ἢ συναιρουμένους τοῖς « ἁρπάζουσιν ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ, εἰ δὲ « λαϊκοί, ἀναθεματίζεσθαι. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀπαράλλακτός ἐστι κανὼν κζ' τῆς ἐν Χαλκηδόνι συνόδου. Καὶ ζήτει τὰ ἐν αὐτῷ παραγραφέντα, καὶ τίτλον θ' τοῦ παρόντος συντάγματος κεφ. λ' καὶ τὰ ἐν αὐτῷ, ὡσαύτως καὶ τὸν ξζ' ἀποστολικὸν κανόνα. Τί δὲ, ἐὰν μὴ ὀνόματι συνοικεσίου ἁρπάσῃ τις γυναῖκα, ἀλλὰ διὰ πορνείαν, οὐ κολασθήσεται σὺν τοῖς συμπράξασι καὶ συναραμένοις αὐτῷ; Λύσις. Καὶ μάλιστα. Τοῦτο γὰρ ἀζήτητόν ἐστι. Τὸ δὲ ποιοῦν τὴν ζήτησιν ὑπῆρχεν ἡ πρόφασις τοῦ συνοικεσίου. Ἔλεγον γάρ τινες μηδέν τι κακὸν ποιῆσαι τὸν ἁρπάσαντα γυναῖκα διὰ τὸ νομίμως συναφθῆναι αὐτῇ, ἴσως καὶ ἀναξίαν οὖσαν τῷ γένει τούτου, κἀντεῦθεν μεγάλως χειραγωγου-

μένην. Οπερ τοῖς Πατράσιν οὐκ ἔδοξεν, ὡς προτρεπτικὸν κακίας, καὶ τὴν εὐταξίαν καταστρέφον τῶν πόλεων. Ἔτι ἐρωτήσει τις, Εἰ μετὰ τὴν ἁρπαγὴν θελήσει ἡ ἁρπαγεῖσα συνδιάγειν νομίμως τῷ ἅρπαγι, ἀκουσθήσεται; Λύσις. Οὐδαμῶς· φησὶ γὰρ ἡ ῥμγ' Ἰουστινιάνειος νεαρὰ, ἤτοι τὸ γ' κεφ. τοῦ νη' τίτλου τοῦ ξ' βιβλίου, ταῦτα ῥητῶς· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν. Ἀλλ' εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. Τὸ δὲ δ' καὶ ε' καὶ ϛ' κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου λέγουσι τὴν ἁρπαγεῖσαν κερδαίνειν τὰ τοῦ ἁρπάσαντος πράγματα, μὴ θελήσασαν συζευχθῆναι νομίμως αὐτῷ. Ἐπεί τοί γε, εἰ θελήσει τοῦτο, δημεύεται ἥ τε περιουσία ταύτης καὶ τοῦ ἅρπαγος, καὶ τῶν συναιρομένων ἐπὶ τῷ κακῷ, κἄν τε γονεῖς τούτων ὦσι, κἄν τε ἀλλότριοι. Ἀνάγνωθι καὶ τὸν αὐτὸν νη' ὅλον τίτλον, καὶ μαθήσῃ ὅτι πᾶς ἁρπάσας γυναῖκα οἱανδήτινα, κἂν ἐστιν μνηστὴ αὐτοῦ, κἂν δούλη, ἢ ἀπελευθέρα, εἰ μὲν μεθ' ὅπλων, αὐτὸς μὲν ξίφει τιμωρεῖται· οἱ δὲ συμπράττοντες καὶ συναιρόμενοι αὐτῷ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοποῦνται· εἰ δὲ χωρὶς ὅπλων, ὁ μὲν ἅρπαξ χειροκοπεῖται· οἱ δὲ βοηθοὶ αὐτοῦ τυπτόμενοι καὶ κουρευόμενοι ἐξορίζονται. Ταῦτα μὲν οὕτω γίνονται, κἂν καὶ αὐτὴ ἡ γυνὴ ἐπὶ τῇ ἁρπαγῇ συναινέσῃ. Ἀνάγνωθι καὶ τὴν λε' νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ἐστὶν εἰκοστὸς ἕβδομος· εἴπομεν οὖν περὶ τούτου ἐκεῖ.

ΑΡΙΣΤ. « Οἱ ἁρπάζοντες γυναῖκας, καὶ οἱ συμ-
« πράττοντες καὶ συναιρόμενοι, κληρικοὶ μὲν,
« καθαιροῦνται, λαϊκοὶ δὲ ἀναθεματίζονται. »

Τὰ αὐτὰ διαλαμβάνει τῷ παρόντι κανόνι καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου. Ἐγράφη δὲ παρ' ἡμῶν ἐν ἐκείνῳ, ὡς μέχρις ἂν τὴν ἁρπαγεῖσαν ἀποκαταστήσωσιν οἱ ἁρπάσαντες, εἰ μὲν προμνηστευθεῖσα ἦν, τῷ οἰκείῳ μνηστῆρι, εἰ δὲ σχολάζουσα, τοῖς γονεῦσιν αὐτῆς· τὸν ἀναθεματισμὸν, λαϊκοὶ ὄντες, οὐκ ἐκφεύξονται.

ΚΑΝΩΝ ϟΓ'.

« Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς (5) καὶ ἀφανοῦς
« ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ
« ἑτέρῳ συνοικοῦσα, μοιχᾶται· καὶ ὡσαύτως
« καὶ στρατιώτιδες, αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων
« γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ὥσπερ
« καὶ αἱ διὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀνα-
« μείνασαι τὴν ἐπάνοδον. Πλὴν ἔχει τινὰ συγγνώ-

A abducta. Quod quidem Patribus non visum est, ut quod et ad improbitatem incitet, et civitatum bonum ordinem evertat. Præterea interrogaverit quispiam, Si post raptum velit rapta cum raptore legitime habitare, an audietur? *Solutio.* Nequaquam. Dicit enim 143 Justiniani novella, sive 3 cap. 58 tit. LX lib. hæc expresse : Rapta ei, qui illam rapuit, ne nubat. Sed etsi ejus parentes tali matrimonio consenserint, in exsilium mittuntur. Quartum autem 5 et 6 ejusdem tituli et libri caput dicit, raptam mulierem raptoris bona lucrari, quæ ei matrimonio legitime conjungi noluerit. Si hoc enim voluerit, publicantur ejus facultates, et raptoris, et eorum qui ad malum opem tulerint, sive sint eorum parentes, sive alieni. Lege etiam
B totum istum 58 tit. **267** et scies, quod quicunque mulierem ullam rapuit, sive sit ejus sponsa, sive ancilla, sive liberta, si cum armis quidem, de ipso supplicium gladio sumitur : qui eum autem ope operaque sua adjuverunt, verberati et tonsi, naribus truncantur. Sin autem sine armis, raptori quidem manus amputatur : qui autem ei opem tulerunt, verberati et tonsi, in exsilium mittuntur. Hæc autem ita fiunt, etiamsi ipsa mulier raptui consenserit. Lege et 35 novellam imperatoris domini Leonis Sapientis.

ZONAR. Est hic canon synodi Chalcedonensis vicesimus septimus : de quo suo loco diximus.

C ARIST. « Qui mulieres rapiunt, et qui adjuvant
« opemque ferunt, clerici quidem deponuntur.
« laici vero anathemate percutiuntur. »

Eadem quæ hic statuit et vicesimus septimus synodi Chalcedonensis canon. In eo autem a nobis scriptum est, quod donec illi, qui rapuerunt, raptam restituerint, si desponsata quidem fuit, sponso ipsius : si soluta autem, ipsius parentibus : si sint laici, anathematismum non effugient.

CANON XCIII.

« Uxor viri qui secessit, et non apparet, antequam
« de ejus morte certior facta sit, alteri cohabi-
« tans, adulteratur : similiter et militum uxores,
« quæ non apparentibus maritis nupserunt, in
D « eamdem rationem incidunt ; quemadmodum et
« quæ propter mariti peregrinationem reditum
« non exspectant. Sed res hic quidem aliquam

Guill. Beveregii notæ.

(5) *Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρός.* De uxoribus, de quibus hic agitur, quarum viri non apparent, episcopus quidam Bellæ ad Manuelem patriarcham hanc quæstionem movit, Τινὲς τῶν οἰκείων γυναικῶν ὑποχωρήσαντες διὰ μῖσος ἢ ἄλλην ὁποιανδήτινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες· μένουσιν οὕτως αἱ γυναῖκες τῶν τοιούτων ἐπὶ πέντε ἢ καὶ πλείοσιν ἔτεσι, τῶν ἀνδρῶν αὐτῶν ἀνεπιστρόφων ὄντων, καὶ ἀδήλων ποῦ ἄρα διάγοιεν. Εἰ δεῖ τοίνυν ἀνδράσιν ἑτέροις ταύτας συζεύγνυσθαι; Ad quam quæstionem Manuel sic respondit, Οἱ ἀπὸ τῶν οἰκείων ὑποχωρήσαντες γυναικῶν ἄνδρες δι' ὁποιανδήτινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες, ἀφορισμοῦ εἰσιν ἄξιοι, εἰ ἀνεπιστρόφως ἔχουσι, καὶ πρὸς τὰς οἰκείας γυναῖκας οὐ προαιροῦνται πάλιν νοστῆσαι. Εἰ δὲ ἄδηλοι εἶεν, καὶ προέβη καὶ ἔρευνα τούτων ἐξ ἀποστολῆς τῶν γυναικῶν αὐτῶν, καὶ πενταετία παρῆλθεν, ἐξότου ἀφανεῖς οἱ ἄνδρες τούτων ἐγένοντο αἰχμάλωτοι τυχὸν γεγονότες, ἢ ἄλλῳ τινὶ τρόπῳ ἀφανισθέντες, τῶν τοιούτων αἱ γυναῖκες ἀκωλύτως κατὰ τὸν ἐκχωροῦντα νόμον συναφθεῖεν ἀνδράσιν. Αἱ δ' ἄλλαι, ὧν οἱ ἄνδρες ἔτι περίεισι, τοὺς οἰκείους ἄνδρας ζητείτωσαν. Man. resp. in *Jur. Gr. Rom.* l. III, pag. 338, 339.

« veniam habeat, quod sit major ejus mortis A « suspicio. Ea autem, quæ illi, qui ad tempus « erat ab uxore relictus, nupsit per ignorantiam, « deinde dimissa est, quod prior ad ipsum re- « dierit, est quidem fornicata, sed per igno- « rantiam : a matrimonio ergo non arcebitur. « Melius autem si sic manserit. Sin autem miles « aliquanto post tempore redierit, cujus uxor « propter longam illius absentiam alteri viro « conjuncta est, is, si velit, propriam uxorem « recipiat, ipsi venia propter ignorantiam data, « elque qui illam in secundis nuptiis domum « duxit. »

BALS. Quædam mulieres, cum sui mariti ab earum vitæ societate se sejunxissent, vel propter militarem causam quampiam peregre profecti es- B sent, nec usquam apparerent, ut qui neque ipsas neque ullos alios de se certiores fecissent, cum de ipsorum morte incertæ essent, aliis matrimonio conjunctæ sunt. Dicit ergo canon, eas ut adulteras puniri, postquam illi redierint, quod non exspectaverint ut scirent de eorum morte aliquid certius. Non justum enim habent prætextum, longam suorum maritorum peregre absentiam, et de morte eorum incertitudinem. Quæ autem per ignorantiam forte legitime nupsit ei, qui ad tempus a propria conjuge sejunctus est, deinde ab eo secessit, quod ejus uxor velit rursus cum proprio marito cohabitare; adulterium quidem non commisit, sed fornicata est. Habet tamen justam ex- C cusationem, ignorantiam. Quare nec alteri nubere prohibebitur. Quære et 46 can. sancti Basilii. Suadent tamen Patres mulieri, ne alii conjungatur, sed se fortiter et continenter gerat, et peccatum pœnitentia expiet. Porro et militi, qui reversus est, permiserunt, si velit, uxorem suam alteri conjunctam revocare, eamque venia dignam censeri, ut quæ viri sui reditum desperaverit : quemadmodum et illi ignoscetur, qui ipsam duxit in secundum matrimonium. Cum hæc ita se habeant, rogaverit quispiam, Cur canon quidem dicit superius adulterari mulieres, tam ejus qui discessit, **268** quam militis, si alteri nupserint, antequam plane de virorum suorum morte certiores factæ fuerint : in fine autem decernit militis uxori D ignosci oportere, eique qui illi in secundis nuptiis copulatus est? *Solutio.* Magna est differentia inter uxorem militis et aliam. Illa enim, simul ac peregre profectus est miles, habet aliquam de ejus morte suspicionem; quemadmodum et præsens canon, postquam dixit de milite, hoc expresse dicit : Sed res hic quidem aliquam habet veniam, hoc est, militis uxori ignoscitur, quod sit major de morte suspicio : quod etiam 31 et 36 canones sancti Basilii statuunt. Alia autem nihil potest

« μην τὸ πρᾶγμα ἐνταῦθα διὰ τὸ μᾶλλον πρὸς « θάνατον εἶναι τὴν ὑπόνοιαν. Ἡ δὲ τῷ κατα- « λειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ « ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπαν- « ελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσεν « μέν, ἐν ἀγνοίᾳ δέ· γάμου οὖν οὐκ εἰρχθήσεται. « Κάλλιον δὲ, ἐὰν μείνῃ οὕτως. Εἰ δέ γε ὁ στρα- « τιώτης ἐπανέλθοι χρόνῳ ποτὲ, οὗ ἡ γυνὴ διὰ « τὴν ἐπὶ πολὺ ἐκείνου ἀπόλειψιν ἑτέρῳ συνήφθη « ἀνδρὶ, οὗτος, εἰ προαιρεῖται, τὴν οἰκείαν αὖθις « ἐπαναλαμβανέτω γυναῖκα, συγγνώμης αὐτῇ ἐπὶ « τῇ ἀγνοίᾳ δεδομένης, καὶ τῷ ταύτην εἰσοκισα- « μένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

ΒΑΛΣ. Τινὲς γυναῖκες, τῶν οἰκείων ἀνδρῶν ἀναχωρησάντων ἐκ τῆς ὁμοζωΐας τούτων, ἢ διά τινα αἰτίαν στρατιωτικὴν ἀποδημούντων καὶ ἀφανῶν γενομένων, ὡς μηδὲ ἀναδιδαξάντων ἢ ταύτας ἢ ἑτέρους τινὰς τὰ περὶ αὐτοὺς, ἀδηλίαν ἔχουσαι τοῦ θανάτου αὐτῶν, ἑτέροις συνήφθησαν. Φησὶ γοῦν ὁ κανὼν, ὡς μοιχαλίδας ταύτας κολάζεσθαι, μετὰ τὸ ἐκείνους ὑποστρέψαι, διὰ τὸ μὴ ἀναμεῖναι μαθεῖν τέλειόν τι περὶ τοῦ θανάτου αὐτῶν. Οὐδὲ γὰρ ἔχουσι πρόφασιν (6) εὔλογον τὴν τῶν ἀνδρῶν εἰς πολὺ ἀποδημίαν καὶ ἀδηλίαν τοῦ θανάτου αὐτῶν. Ἡ δὲ κατ' ἄγνοιαν γαμηθεῖσα τάχα νομίμως τῷ διασχισθέντι πρὸς καιρὸν ἀπὸ τῆς οἰκείας συζύγου, εἶτα ἐκ τούτου ἀναχωρήσασα, διὰ τὸ τὴν σύμβιον αὐτοῦ πάλιν θελῆσαι συνοικεῖν τῷ οἰκείῳ ἀνδρὶ, μοιχείαν μὲν οὐχ ἥμαρτεν, ἐπόρνευσε δέ. Ἔχει μέντοι εὔλογον πρόφασιν τὴν ἄγνοιαν. Διὸ καὶ ἑτέρῳ νομίμως γαμηθῆναι οὐ κωλυθήσεται. Ζήτει καὶ τὸν μς' κανόνα τοῦ ἁγίου Βασιλείου. Συμβουλευτικῷ τρόπῳ ὑποτιθέασιν οἱ Πατέρες τῇ γυναικὶ μὴ συζευχθῆναι ἑτέρῳ, ἀλλὰ καρτερῆσαι καὶ ἐξιλεώσασθαι τὸ ἁμάρτημα διὰ μετανοίας. Καὶ τῷ ἐπαναζεύξαντι δὲ στρατιώτῃ ἐξεχώρησαν, εἰ θέλει, ἀνακαλέσασθαι τὴν ἑτέρῳ συζευχθεῖσαν γυναῖκα αὐτοῦ, ὀφείλουσαν συγγνώμης ἀξιωθῆναι, ὡς ἀπελπίσασαν τὴν ἐπάνοδον τοῦ οἰκείου ἀνδρός· ὥσπερ δὴ συγγνωσθήσεται καὶ ὁ εἰς δεύτερον γάμον αὐτὴν ἀγαγόμενος. Τούτων οὕτως ἐχόντων, ἐρωτήσει τις, Διά τί ἄνω μὲν ὁ κανὼν φησὶ μοιχᾶσθαι τὰς γυναῖκας, τοῦ τε ἀναχωρήσαντος, πρὸς δὲ καὶ τοῦ στρατιώτου, ἑτέροις γαμηθείσας πρὸ ἐντελοῦς πληροφορίας τοῦ θανάτου τῶν ἀνδρῶν αὐτῶν· ἐν τῷ τέλει δὲ διορίζεται συγγινώσκεσθαι τὴν γυναῖκα τοῦ στρατιώτου, καὶ τὸν συναφθέντα αὐτῇ μετὰ δεύτερον γάμον; Λύσις. Πολλὴ διαφορά ἐστι τῆς γυναικὸς τοῦ στρατιώτου καὶ τῆς ἄλλης. Ἡ μὲν γὰρ ἅμα τῷ ἀποδημῆσαι τὸν στρατιώτην ὑποπτον ἔχει τὸν θάνατον, καθὼς καὶ ὁ παρὼν κανὼν, μετὰ τὸ εἰπεῖν περὶ τοῦ στρατιώτου, φησὶ ταῦτα ῥητῶς· Πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, ἤγουν συγγινώσκεται ἡ τοῦ στρατιώτου γυνὴ, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν, ὅπερ καὶ ὁ λα' καὶ ὁ λς' κανὼν τοῦ ἁγίου

Guill. Beveregii notæ.

(6) *Οὐδὲ γὰρ ἔχουσι πρόφασιν.* Hæc verba, usque ad θανάτου αὐτῶν, ms. Bolleiano accepta referimus. Nam in editione Parisiensi desiderantur : sed in Amerbachiano aliisque mss. leguntur.

Βασιλείου θεσμοθετοῦσιν. Ἡ δὲ ἄλλη δὲ οὐδέν τι τοιοῦτον προβάλλεσθαι δύναται. Ἅμα γὰρ τῇ ἐκ τῆς οἰκίας αὐτῆς ἀναχωρήσει τοῦ ἀνδρὸς ἐγίνωσκε τὴν ἀφανῆ τούτου ἀποδημίαν· καὶ διὰ τοῦτο οὐδὲ συγγνώμης ἀξιοῦται. Πρὸς τούτοις εἴποι τις ὡς τοῦ γάμου τοῦ γενομένου μετὰ τοῦ καταλειφθέντος παρὰ τῆς οἰκείας συζύγου καὶ τῆς ἐλευθέρας γυναικὸς, ἀνυποστάτου ὄντος, ποῖος λόγος ὑπελίπετο χάριν τοῦ μὴ συναφθῆναι αὐτὴν ἑτέρῳ ἀνδρὶ, ἀγνοήσασαν καὶ ταῦτα τὸν πρῶτον γάμον τοῦ καταλειφθέντος ἀνδρός; *Λύσις.* Τινῶν λεγόντων ὅτι, κἂν μοιχεία οὐ γέγονε παρὰ τῆς γυναικὸς διὰ τὴν ἄγνοιαν, ἀλλὰ πορνεία ἐτελέσθη, καὶ ὀφείλει ἡ πορνεύσασα κατὰ τοὺς περὶ τῆς πορνείας κανόνας ἐπιτιμηθῆναι, καὶ διὰ τοῦτο μηδὲ συζυγῆναι ἀνδρὶ, ὡς ἔξω οὖσα τῶν ἐκκλησιαστικῶν περιβόλων· οἱ Πατέρες καὶ τοῦτο λύοντες ἔφησαν ὅτι πορνεία μὲν γέγονεν· ἐπεὶ δὲ ἡ γυνὴ οὐ πορνικῷ τρόπῳ, ἀλλὰ νομίμως συνεζύγη τῷ καταλειφθέντι, πορνευόντων ἐπιτιμίοις οὐκ ὑποπεσεῖται, ἀλλὰ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀξιωθήσεται. Ἵνα δὲ μὴ δόξωσι προτρέπειν τὰς γυναῖκας πρὸς τὸ ἀνευλαβέστερον, εἶπον κάλλιον εἶναι ἡσυχάζειν αὐτάς. Κἂν γὰρ ἐν ἀγνοίᾳ ἥμαρτον· ἀλλ' ὅσον τὸ εἰς αὐτὰς πρῶτος γάμος λογίζεται ἐκεῖνο τὸ ἀνυπόστατον, καὶ οὐκ ὀφείλουσι δευτερογαμῆσαι, εἰ μὴ βούλονται τοῖς τῶν δευτερογαμούντων ἐπιτιμίοις ὑποπεσεῖν. Ἔτι ἐρωτήσει τις, Ἆρα καὶ ὁ τὴν τοῦ στρατιώτου γυναῖκα ἐν ἀγνοίᾳ ἀγαγόμενος συγγνωσθήσεται; *Λύσις.* Καὶ μάλιστα. Εἰ γὰρ ὠφελεῖ τὴν γυναῖκα ἡ ἄγνοια, πολλῷ μᾶλλον τὸν ἄνδρα τὸν ταύτην ἀγαγόμενον ἀπροκριμάτιστον συντηρήσει, ὡς μηδὲ εἰδέναι ὀφείλοντα. Τί δὲ, τοῦ στρατιώτου αἱρετισαμένου μὲν ἀναλαβέσθαι τὴν οἰκείαν ὁμόζυγον, γενήσεται τὰ τῷ κανόνι περιεχόμενα; ὁπαναινομένου δὲ, οὐδαμῶς· ἀλλ' ἔσται αὐτὴ μετὰ τοῦ ἑτέρου συμβιοτεύουσα; *Λύσις.* Μετὰ τὴν ὑποστροφὴν τοῦ στρατιώτου, ἀπεντεῦθεν ὁ δεύτερος γάμος διασπᾶται· καὶ εἰ μὲν θέλει ὁ στρατιώτης λαβεῖν αὐτὴν, ἔχει ἐπ' ἀδείᾳ τοῦτο ποιεῖν· εἰ δὲ μὴ, οὐδὲ μετὰ τοῦ δευτέρου ἀνδρὸς συνοικήσει. Μᾶλλον μὲν οὖν καὶ εἰ ἐπιμείνῃ μετὰ τούτου συμβιοτεύουσα, συγγνώμης οὐκ ἀξιωθήσεται, ἀλλὰ καὶ ὡς μοιχαλὶς, τιμωρηθήσεται. Ἐκείνας γὰρ συγγνωμονεῖσθαι φασιν οἱ Πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ συντιθεμένας τῷ ἐξ ἀγνοίας ἁμαρτήματι· οὐ μὴν τὰς ἀνθισταμένας καὶ τὴν μοιχείαν προελομένας. Καὶ ταῦτα μὲν ὁ κανών. Ὁ δὲ πολιτικὸς νόμος, ἤτοι τὸ ε' κεφ. τοῦ ζ' τίτλου τοῦ κη' βιβλ., ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος ριζ', φησὶ τὰς γυναῖκας τῶν ἐν ταξατιῶνι ὄντων καὶ στρατείας καταλεγομένων στρατιωτῶν καὶ λοιπῶν περιμένειν τὴν ἐπιδημίαν τῶν ἀνδρῶν, κἂν ὅσος παρέλθῃ χρόνος· καὶ κἂν δέξωνται γράμματα πληροφορητικὰ τοῦ θανάτου αὐτῶν, ἀναμένειν καὶ ἕτερον ἐνιαυτὸν, καὶ μετὰ τοῦτο συγγνωστέον εἶναι τὸν μετὰ ἑτέρου ἀνδρὸς γάμον ταύτης, μὴ ὀφείλοντα διασπασθῆναι. Ἡ μέντοι κβ' Ἰουστινιάνειος νεαρὰ, ἤτοι τὸ ε' κεφ. τοῦ ζ' τίτλου τοῦ κη' βιβλ. διορίζεται ἐπὶ πενταετίαν ἀναμένειν τὴν γυναῖκα

A ejusmodi allegare. Simul enim ac e domo sua maritus excessit, incertam quoque ejus esse absentiam cognovit: et propterea ne veniam quidem meretur. Ad hæc dixerit quispiam, Quod cum matrimonium, cum eo qui a propria uxore relictus est et libera seu soluta muliere, non possit consistere, quænam relicta est ratio de ea alteri viro non conjungenda, maxime cum ignoraverit matrimonium viri qui relictus est? *Solutio.* Cum quidam dicerent, quod etiamsi non fuit adulterium a muliere commissum propter ignorantiam, admissa est tamen fornicatio, et cum sit fornicata, debet ex canonibus de fornicatione puniri, et ideo nec alii quidem viro conjungi, ut quæ sit extra ambi- B tus ecclesiasticos: Patres hoc etiam solventes, dixerunt, quod fornicatio quidem commissa est; sed quoniam mulier, non more fornicatorio, sed legitime ei, qui relictus erat, conjuncta fuit, scortatorum pœna non punietur; sed digna ecclesiastica communione censebitur, nec alii conjungi prohibebitur. Ne autem viderentur Patres adhortari mulieres ad id quod est minus pium, dixerunt esse melius ut quiescant. Etsi enim per ignorantiam peccarunt: sed quod ad eas quidem attinet, primum matrimonium reputatur illud quod non potest consistere, nec debent secundo nubere, nisi velint pœnis earum, quæ secundo nubunt, subjici. Præterea interrogabit quispiam, Numquid et qui militis uxorem per ignorantiam C duxit, ei venia dabitur? *Solutio.* Maxime. Si enim prodest mulieri ignorantia, multo magis et virum, qui eam duxit, indemnem nulloque præjudicio affectum conservabit, ut qui ne scire quidem debeat. Quid vero, si miles suam uxorem recipere voluerit, an ea fient quæ canone comprehenduntur? Sin autem recuset, nequaquam; sed ipsa cum alio vitam transiget? *Solutio.* Post reditum militis, exinde secundum matrimonium dissolvitur: et si velit quidem miles eam suscipere, ei licet hoc facere. Sin minus, nec cum secundo quidem viro cohabitabit. Multo magis autem si cum eo vivere perseveraverit, ei venia non dabitur, sed ut adultera punietur. Illis enim esse dandam veniam dicunt Patres, quæ a secundo matrimonio D prompte recedunt, et ignorantiæ peccatum agnoscunt: non autem quæ resistunt et adulterium eligunt. Et hæc quidem canon. Lex autem civilis, 10 scilicet cap. 7 tit. xxvii lib., quod quidem est novella Justin. 117 dicit uxores eorum, qui sunt in acie, et in militares ordines relati sunt, militum et reliquorum, debere exspectare maritorum reditum, quantumcunque tempus præterierit: et etiamsi de ejus morte litteris certiores factæ fuerunt, debere quoque alterum annum exspectare, et ei postea veniam dandam esse, si cum alio viro matrimonium contrahat, quod non debet separari. Vicesima autem secunda Justiniani novella, sive 5 caput 7 tit. xxvii lib. statuit quinquennio debere exspectare mulierem vel ma-

vitum, quando quis ex ipsis bello captus fuerit, et an vivat incertum est : post quinquennium autem, alterum matrimonium contrahere. Lege ergo hanc novellam, et 33 imp. domini Leonis Sapientis novellam statuentem non licere prætexto captivitatis solvi matrimonium, nec parti, quæ libera conservata est, licere **269** ad alterum matrimonium respicere : sed et si alii conjunctus fuerit, licet parti, quæ ex captivitate reversa est, proprium membrum revocare, secundas autem nuptias distrahere. Cum ergo canon hæc omnia decernat, quæ superius dicta sunt, et leges ea jubeant quæ proxime scripta sunt, interrogaverit quispiam, Utrisnam mentem adhibere debeamus? Dicimus, quod et iis quæ sunt in canone, et quæ sunt in lege, unicuique eorum opportune : et eas quidem ex canone adulteras esse dixerimus mulieres, de quibus canon, quæ aliis nupserunt, priusquam plane certiores factæ fuerint de morte maritorum suorum, qui non comparent. Hoc enim novellæ quoque jubent. Militis autem uxorem, quæ non ut novella continetur nupserit, venia non esse dignam existimabimus; sicut et eam, quæ secundum illam fecerit, non reprehendemus. Quod autem liceat omnibus adulterarum mulierum maritis eas recipere etiam post reditum, dic communiter, et non in sola militis uxore, ut dicta 117 novella continetur, quæ redacta est in cap. 5, 13 tit. præsentis operis. Quoniam autem canon quidem de captivis nihil constituit, dicta autem Justiniani novella statuit quinquennio exspectare debere relictam partem liberam, et sic sine ullo præjudicio alterum matrimonium contrahere; cui quidem definitioni adversatur 33 novella imp. domini Leonis Sapientis, quæ dicit indistincte, captivum, qui reversus est semper revocare proprium membrum : die Justiniani novellam abrogatam esse a dicta novella imp. domini Leonis Sapientis. Præterea ne tibi contrarium videatur penultimum thema 11, cap. 37 tit. LX lib. dicens : Si diu absentem virum falso perisse mulier audiverit, et fama persuasa alii se sine dolo matrimonio junxerit, non punitur. Sed dic hoc esse jure digestorum, et a dictis novellis esse sublatum.

ἢ τὸν ἄνδρα, ὅταν τις ἐξ αὐτῶν αἰχμαλωτισθῇ, καὶ ἀδηλία ἐστὶ τῆς τούτου ζωῆς, μετὰ δὲ τὴν πενταετίαν ἕτερον συναλλάττειν γάμον. Ἀνάγνωθι οὖν τὴν τοιαύτην νεαράν, ὡσαύτως καὶ τὴν λγ' νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, διοριζομένην μὴ λύεσθαι προφάσει τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἐπιδεῖν συνοικέσιον· ἀλλ' εἰ καὶ συναφθῇ ἑτέρῳ, ἄδειαν ἔχειν τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμαλωσίας ἀναλαμβάνεσθαι τὸ οἰκεῖον μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾶν. Τοῦ γοῦν κανόνος διορίζομένου ὅσα εἴπομεν ἄνωθεν, καὶ τῶν νόμων παρακελευομένων ταῦτα δὴ τὰ προσεχῶς γεγραμμένα, ἐρωτήσει τις, Τίσιν ἐκ τούτων προσέχειν ὀφείλομεν; Φαμὲν οὖν ὅτι καὶ τοῖς ἐν τῷ κανόνι καὶ ἐν τοῖς νόμοις, ἑκατέροις πάντως κατὰ καιρόν· καὶ ἀπὸ μὲν τοῦ κανόνος μοιχαλίδας εἰποιμεν εἶναι τὰς, περὶ ὧν ὁ κανὼν, γυναῖκας γαμηθείσας ἑτέροις πρὸ τοῦ λαβεῖν ἐντελῆ πληροφορίαν τοῦ θανάτου τῶν ἀφανῶν ἀνδρῶν αὐτῶν· τοῦτο γὰρ καὶ αἱ νεαραὶ παρακελεύονται· τὴν δὲ γυναῖκα τοῦ στρατιώτου μὴ κατὰ τὴν περίληψιν τῆς νεαρᾶς γαμηθεῖσαν, συγγνώμης οὐκ ἀξιώσομεν, ὥσπερ κατὰ ταύτην ποιήσασαν οὐκ αἰτιασόμεθα. Τὸ μέντοι ἔχειν ἐπ' ἀδείας τοὺς ἄνδρας πασῶν τῶν μοιχευθεισῶν γυναικῶν ἀναλαμβάνεσθαι αὐτὰς καὶ μετὰ τὴν ὑποστροφὴν κοινῶς εἰπὲ, καὶ μὴ ἐπὶ μόνης τῆς γυναικὸς τοῦ στρατιώτου κατὰ τὴν περίληψιν τῆς ῥηθείσης ριζ' νεαρᾶς, τῆς συνοφισθείσης ἐν κεφ. γ, τοῦ ιγ' τίτ. τοῦ παρόντος συντάγματος. Ἐπεὶ δὲ ὁ κανὼν μὲν περὶ αἰχμαλώτου οὐδέν τι ἐθεσμοθέτησεν, ἡ δὲ διαληφθεῖσα Ἰουστινιάνειος νεαρὰ διορίζεται ἐπὶ πενταετῆ καιρὸν ἀναμένειν τὸ ὑπολειφθὲν μέρος ἐλεύθερον, καὶ οὕτως ἀποκριματίστως ἑτέρου συνοικέσιον συνιστᾷν· ᾧ δῆτα διορισμῷ ἐναντιοῦται ἡ λγ' νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λέγουσα ἀδιαστίκτως, ἀναλαμβάνεσθαι ἀεὶ τὸν ὑποστρέψαντα αἰχμάλωτον τὸ οἰκεῖον μέλος· εἰπὲ ὅτι τὰ τῆς Ἰουστινιανείου νεαρᾶς ἠπράκτησαν, ἀναιρεθέντα ὑπὸ τῆς ῥηθείσης ρλγ' νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ. Ἐπὶ τούτοις μὴ ἐναντιωθῇ σοι τὸ παρατελευταῖον θέμα τοῦ ια' κεφ. λζ' τίτλου τοῦ ξ' βιβλ. λέγον· Ἐὰν ἐπὶ πολὺν χρόνον ἀπολειφθέντα τὸν ἄνδρα πλαστῶς ἡ γυνὴ ἀκούσῃ τελευτῆσαι, καὶ πεισθεῖσα τῇ φήμῃ ἑτέρῳ γαμηθῇ ἀδόλως, οὐ τιμωρεῖται. Ἀλλ' εἰπὲ εἶν. τοῦτο διγέστων, καὶ ἀναιρεθῆναι ὑπὸ τῶν ῥηθεισῶν νεαρῶν.

ZONAR. Quæ mulier, viro peregrinante, neque longo temporis intervallo revertente, cum illum decessisse nondum plane compertum sit, alteri viro nupserit, adulterii crimen admittit. Militum quoque uxores, si viris ipsarum non apparentibus aliis nupserint, adulterii culpa non vacant. Quibus tamen, quod in milite vitam inter tumultus bellorum agente mortis suspicio facilius fidem invenit, faciliorem se canon in ignoscendo præbet. De his autem magnus quoque Basilius eodem tricesimo primo et tricesimo sexto canone statuit, vel potius ejus canones in hunc locum synodus totidem verbis transtulit. De uxoribus porro militum

ΖΩΝΑΡ. Ἐὰν γυνὴ, ἀναχωρήσαντος τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἐπὶ μακρὰν ἴσως μὴ ἐπανελθόντος, πρὸ τοῦ πληροφορηθῆναι εἰ ὡς ἀληθῶς τέθνηκεν, ἑτέρῳ συνοικήσῃ, μοιχείαν τολμᾷ. Καὶ στρατιωτῶν δὲ γυναῖκες, ἀφανῶν τῶν ἀνδρῶν αὐτῶν γενομένων, ε γαμηθεῖεν ἑτέροις, μοιχαλίδες εἰσίν. Ἐπὶ τούτων δὲ μᾶλλον συγγνωμονεῖ ὁ κανὼν, διὰ τὸ τοὺς στρατιώτας μᾶλλον πιστεύεσθαι θανεῖν, ἐν πολέμοις ἀναστρεφομένους. Περὶ τούτων δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τριακοστῷ πρώτῳ κανόνι καὶ λς' τὰ αὐτὰ διατάττεται, ἢ μᾶλλον τοὺς ἐκείνου κανόνας ἡ σύνοδος αὕτη τοῖς ῥήμασιν ἐγκατέστρωσε. Περὶ δὲ στρατιωτίδων γυναικῶν πολλὴν ὁ πολιτικὸς νόμος

ποιεῖται ἀκρίβειαν, ὥστε μὴ ἑτέροις συνάπτεσθαι, εἰ μάθοιεν ἀνῃρῆσθαι τοὺς ἄνδρας αὐτῶν, εἰ μὴ τὰς παρατηρήσεις φυλάξαιεν, ἃς ἡ ἑπτακαιδεκάτη νεαρὰ περιέχει, κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν εἰκοστὸν ὄγδοον, τίτλον ζ' κεφ. ζ'. Εἰ δέ τις, φησὶν ὁ κανὼν οὗτος, γυνὴ συνοικήσει τῷ πρὸς καιρὸν καταλειφθέντι παρὰ τῆς ἰδίας γυναικὸς, ἀγνοοῦσα τὸ πρᾶγμα, εἶτα ἐπανελθούσης τῆς προτέρας αὐτοῦ γυναικὸς ἀποπεμφθῇ ἡ αὐτῷ κατὰ δεύτερον τάχα συνοικήσασα γάμον, ὡς πορνεύσασα, καὶ οὐχ ὡς μοιχαλὶς καταδικασθήσεται, καὶ εἰ βούλεται ἑτέρῳ ἀνδρὶ νομίμῳ γενέσθαι, οὐ κωλυθήσεται. Καὶ τοῦτο δὲ τοῦ μεγάλου Βασιλείρυ κανών ἐστι τεσσαρακοστὸς ἕκτος. Εἰ δὲ στρατιώτου γυνὴ ὡς τοῦ ἀνδρὸς αὐτῆς θανόντος ἕτερον λάβοι, εἶτα ἐπανέλθοι ὁ στρατιώτης, εἰ βούλεται, λήψεται τὴν οἰκείαν γυναῖκα συγγνωμονουμένην διὰ τὴν ἄγνοιαν, ὥστε μὴ ἐπιτιμηθῆναι, ἀλλ' οὐδὲ ὁ ταύτῃ νομίμως συναφθεὶς ἐπιτιμηθήσεται διὰ τὴν αὐτὴν αἰτίαν.

ΑΡΙΣΤ. « Ἀνδρὸς ἀφανιζομένου, ἡ πρὸ τοῦ πεισθῆναι λαβοῦσα μοιχᾶται· ὁ δὲ ὑποστρέψας ἀνὴρ, εἰ προήρηται, λήψεται αὐτήν. »

Συνᾴδει τῷ παρόντι κανόνι καὶ ἡ ἑκατοστὴ ἑπτακαιδεκάτη Ἰουστινιάνειος νεαρὰ, ἡ ἐν τῷ ἑβδόμῳ τίτλῳ τοῦ εἰκοστοῦ ὀγδόου βιβλίου τῶν Βασιλικῶν κειμένη· προστάττει γὰρ κἀκείνη, ὡς, ἐὰν γυνὴ στρατιώτην ἔχῃ ἄνδρα, καὶ ἐν ἐκστρατείᾳ ἀποδημῇ, καὶ μάθῃ τοῦτον τετελευτηκέναι, μὴ ἄλλως εἰς ἑτέρους αὐτὴν ἔρχεσθαι γάμους, εἰ μὴ πληροφορίαν σχῇ παρὰ τῶν πρώτων τοῦ ἀριθμοῦ ἐν ᾧ ὁ ἀνὴρ αὐτῆς ἐστρατεύσατο, προκειμένων τῶν ἁγίων Εὐαγγελίων καὶ ἐπὶ πράξεως ὑπομνημάτων ὁμολογούντων ὡς ταῖς ἀληθείαις ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησε, καὶ τὰ τοιαῦτα ὑπομνήματα λάβῃ, καὶ μετὰ τὴν τοιαύτην πληροφορίαν ἀναμείνῃ καὶ ἑνὸς ἐνιαυτοῦ διάστημα. Εἰ δὲ παρὰ τὴν παρατήρησιν ταύτην εἰς ἕτερον ἔλθῃ γάμον καὶ αὐτὴν καὶ τὸν ἀγαγόμενον αὐτὴν ὡς μοιχοὺς τιμωρεῖσθαι. Εἰ δὲ τῆς παρατηρήσεως ταύτης γενομένης, εὑρεθῶσιν οἱ μεθ' ὅρκου πληροφορήσαντες αὐτὴν ψευδόμενοι, αὐτοὺς μὲν τῆς στρατείας ἀπογυμνοῦσθαι, καὶ δέκα λιτρῶν χρυσίου ποινὴν πρὸς ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι, καταθεῖναι παρακελεύεται· αὐτὸν δὲ, εἰ βουληθῇ, τὴν ἰδίαν γαμετὴν ἀναλαβεῖν οὐ κωλύει.

ΚΑΝΩΝ ϞΔ'.

« Τοὺς ὀμνύοντας ὅρκους Ἑλληνικοὺς ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· καὶ ἡμεῖς τούτοις τὸν ἀφορισμὸν ὁρίζομεν. »

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος ἐν κανόνι πα' ἐπιτιμίοις καθυποβάλλει οὐ μόνον τοὺς ἑκουσίως τῶν δαιμονιωδῶν θυμάτων ἁψαμένους, καὶ ὀμόσαντας Ἑλληνικοὺς ὅρκους, ἀλλὰ καὶ τοὺς ἀκουσίως εἰς τοῦτο συνωθηθέντας. Ἀκολούθως οὖν τῷ τοιούτῳ κανόνι καὶ ὁ παρὼν ἀφορίζει τούτους. Ἑλληνικοὶ δὲ ὅρκοι εἰσὶν οἱ παρὰ τῶν Ἑλλήνων ὀμνύμενοι. Οἱ μὲν γὰρ, εἰς ψευδωνύμους θεοὺς πιστεύοντες, ὤμνυον εἰς τὰ τούτων ὀνόματα· ἄλλοι ἐπίστευον εἰς τὰ στοιχεῖα, καὶ ἕτεροι εἰς ἄλλα τινά. Ἐρωτή-

quam diligentissime legum civilium sanctionibus cautum est; ut quamvis nuntiato virorum interitu, non tamen, nisi iis omnibus quæ decima septima novella in libro vicesimo octavo, titulo septimo, cap. septimo Basilic. posita continentur servatis, alteri cuipiam nubant. Si quæ vero mulier, inquit hic canon, viro ad tempus ab uxore sua relicto, factum ignorans, nupserit, tum uxore priore redeunte ab illo dimissa fuerit, cum quo secundis forte nuptiis copulata coiverat: instar fornicatricis, non ut adultera condemnabitur, nec quidquam, quominus, si velit, alteri viro nubat, obstabit. Atque hoc quoque magni item Basilii quadragesimo sexto canone constitutum est. Quod si uxor militis, maritum interiisse rata, alteri nupserit, ac revertatur postea miles, suam is, si voluerit, uxorem recipiet; cui quidem ob ignorantiam ignoscitur adeo ut non puniatur; quinetiam nec is, qui eam legitime duxit, illam ob causam punietur.

ARIST. « Viro non apparente, quæ alium prius acceperit, quam certior facta sit, adulteratur. Vir autem reversus, si voluerit, eam recipiet. »

Concinit præsenti canoni et centesima decima septima Justiniani novella in septimo titulo vicesimi octavi **270** libri Basilic. posita. Illa etenim jubet, quod si mulier militem habuerit virum, qui in expeditione peregre profectus sit, ea autem didicerit illum mortem obiisse; non aliter ea alias nuptias ineat, nisi pro certo habuerit a primis numeri in quo vir ejus militabat, propositis etiam sanctis Evangeliis et per actionis monumenta confitentibus, quod vir ejus revera vita defunctus sit, et hujusmodi monumenta acceperit, et post certam hujusmodi persuasionem, unius etiam anni spatium manserit. Si autem præter hanc observationem alias nuptias iniverit, et illa, et qui eam ducit, ut adulteri puniendi sunt. Si autem hac facta observatione isti, qui cum juramento eam fecerunt certiorem, mentiti fuisse deprehendantur; istos militia denudandos esse, et decem librarum auri pœnam ei, quem falso dixerunt diem obiisse, persolvere jubet: eum autem, si velit, uxorem suam recipere non prohibet.

CANON XCIV.

« Eos qui gentilium sacramenta jurant, canon pœnis subjicit: et nos iis quoque segregationem decernimus. »

BALS. Magnus Basilius in canone 81 pœnis subjicit non eos solum qui sua sponte dæmoniaca sacrificia attigerunt, et gentilium sacramenta jurarunt, sed eos etiam qui non sponte ad ea detrusi sunt. Ei ergo canoni consequenter, præsens quoque canon eos segregat. Sunt autem sacramenta gentilium, quæ jurantur a gentilibus. Alii enim in deos falso appellatos credentes, in eorum nomina jurabant. Alii credebant in elementa, et alii in quædam alia. Rogaverit autem quispiam, cum

præsens canon canonis sancti Basilii meminit, qui eos punit, qui sponte vel involuntarie ad dæmonas accesserunt, et gentilium sacramenta juraruut: Si quis ad dæmonas quidem non accesserit, neque pollutus fuerit, sed orthodoxam fidem colens, gentilium sacramenta contemptim juraverit, punietur, an non? *Solutio.* Punietur; sed non æque ac ii qui ad dæmonas accesserunt: sed paulo mitius, ut visum fuerit loci illius episcopo. Nam et magnus Basilius ponit differentiam inter eos, qui ad dæmonas accesserunt et juraverunt; et mitius punit eum, qui propter magnam necessitatem illicita gustavit, et gentilium sacramenta juravit: segregationi tamen omnes indiscriminatim subjicientur, ut divinorum quoque præceptorum contemptor, illic ubi non opus est ludere, non ludendum esse sciat. Quid vero, si quis sacramentum non gentilium juraverit, sed insolens, utpote per suos liberos, vel aliquid aliud, quod fidem non offendit, punieturne? *Solutio.* Quartum caput, et quintum 5 tit. XXII libri eos qui per improbatam religionem jurant aversantur. Dicit enim quartum caput, Sicut defertur jusjurandum, ita etiam debet jurari; si enim cum ego per Deum detulerim, per caput tuum juraveris, vel per tuos liberos, non est firmum ac ratum. Quare si detuli tibi per caput tuum, et sic juraveris, jusjurandum valere debuit. Et 5 cap.: Recte tibi defero ut per salutem tuam jures: omne enim licitum jusjurandum ex delatione juratum servatur, et quicunque per propriam religionem juraverit. Et postremum thema ejusdem cap.: Jusjurandum quod per improbatam religionem concipitur, non servatur. Improbata autem est religio, quæ est præter orthodoxam fidem. Orthodoxus ergo, non aliorum Christianorum, sed eorum qui male sentiunt more juraus, non solum ex eo jurejurando nihil juvabitur, sed etiam ex canonibus punietur.

A

B

C

ZONAR. Græcorum et gentium ritus fideles penitus aversari debent. Quare neque Græcorum jurejurando nobis uti permissum est. Et vero magnus Basilius quo modo Græcorum juramentis utentes puniendi sint, canone octogesimo primo præscribit. Lex autem civilis Basilic. libro vicesimo secundo, titulo quinto, capite quarto, sita sit: Omne licitum jusjurandum ex delatione juratum servatur: ut ex adverso intelligi liceat, eum qui vetito se jurejurando obstrinxerit, veluti qui per solem, aut quid aliud ejusmodi jurarit, ut id servet nequaquam esse cogendum.

D

ARIST. « Qui gentilium juramentis utitur, puniendus: nam segregatur. » *Perspicuus.*

CANON XCV.

« Eos, qui rectæ de fide sententiæ accedunt, et parti

Ἀλλὰ καὶ εἴ τις, ὡς τοῦ παρόντος κανόνος μεμνημένου τοῦ κανόνος τοῦ ἁγίου Βασιλείου τοῦ κολάζοντος τοὺς ἑκουσίως ἢ ἀκουσίως προσελθόντας τοῖς δαίμοσι καὶ ὁμόσαντας Ἑλληνικοὺς ὅρκους ἐάν τις μὴ προσέλθῃ τοῖς δαίμοσι μὲν μὴ προσέλθῃ, μηδὲ μιανθῇ, ἀλλὰ τὴν ὀρθόδοξον πίστιν σεβόμενος ὀμνύει ὅρκους Ἑλληνικοὺς ἐκ καταφρονήσεως, κολασθήσεται ἢ οὔ; *Λύσις.* Κολασθήσεται· οὐκ ἐπίσης δὲ τοῖς προσελθοῦσι τοῖς δαίμοσι, ἀλλὰ μετριώτερον, καὶ κατὰ τὸ δοκοῦν τῷ κατὰ χώραν ἐπισκόπῳ. Ὅτι καὶ ὁ μέγας Βασίλειος διαφορὰν ποιεῖ τε τῶν προσελθόντων τοῖς δαίμοσι καὶ ὁμοσάντων· καὶ μετριώτερον κολάζει τὸν δι' ἀνάγκην μεγάλην τῶν ἀθεμίτων γευσάμενον καὶ Ἑλληνικοὺς ὅρκους ὁμόσαντα. Τῷ μέντοι ἀφορισμῷ ἀδιαφόρως πάντες ὑποβληθήσονται, ἵνα μάθῃ καὶ ὁ καταφρονητὴς τῶν θείων παραγγελιῶν μὴ παίζειν ἐν οἷς παικτοῖς. Τί δὲ, ἐὰν ὁμόσῃ τις ὅρκον μὴ Ἑλληνικὸν, ἀλλὰ ἀσυνήθη, τυχὸν εἰς τοὺς παῖδας αὐτοῦ, ἢ εἰς ἕτερον, μὴ προσκρούων εἰς τὴν πίστιν, τιμωρηθήσεται; *Λύσις.* Τὸ δ' κεφ. καὶ τὸ ε' τοῦ ε' τίτλου τοῦ κβ' βιβλ. τοὺς κατὰ ἀδοκίμου θρησκείας ὀμνυμένους ὅρκους ἀποτρέπονται. Φησὶ γὰρ τὸ δ'. κεφ. Ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ἐποφείλει ὀμνύεσθαι. Εἰ γὰρ ἐμοῦ ἐπάγοντος κατὰ τοῦ Θεοῦ ὀμόσαι, κατὰ τῶν τέκνων σου ὀμόσεις, οὐκ ἔρρωται. Ὥστε εἰ ἐπήγαγόν σοι κατὰ τῆς κεφαλῆς σου καὶ ὤμοσας οὕτως, ὤφειλεν εἶναι ὁ ὅρκος ἐρρωμένος. Καὶ τὸ ε' κεφ. καλῶς ἐπιφέρω σοι κατὰ τὰς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὁμοθεὶς φυλάττεται· καὶ ὅστις ὀμόσει κατὰ τὴν ἰδίαν θρησκείαν. Καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφαλαίου, ὁ κατὰ ἀδοκίμου θρησκείας ὀμνύμενος ὅρκος οὐ φυλάττεται· ἀδόκιμος δὲ θρησκεία ἐστὶν ἡ παρὰ τὴν ὀρθόδοξον πίστιν· ὁ γοῦν ὀρθόδοξος, μὴ κατὰ τοὺς λοιποὺς Χριστωνύμους ὀμνύων, ἀλλὰ κατὰ τοὺς κακοδόξους, οὐ μόνον οὐκ ὠφεληθήσεται ἀπὸ τοῦ ὅρκου, ἀλλὰ καὶ τιμωρηθήσεται κατὰ τοὺς κανόνας.

ΖΩΝΑΡ. Τὰ τῶν Ἑλληνικῶν ἤθη καὶ τὰ τῶν ἐθνικῶν ἀποτρόπαια τοῖς πιστοῖς. Διὸ οὐδὲ ὅρκους Ἑλληνικοὺς ὀμνύειν ἐπιτετράμμεθα. Καὶ ὁ μέγας δὲ Βασίλειος ἐν ὀγδοηκοστῷ πρώτῳ κανόνι περὶ τῶν ἐθνικοὺς ὁμοσάντων ὅρκους ὅπως οἰκονομηθήσονται διατάττεται. Καὶ ὁ πολιτικὸς δὲ νόμος ἐν εἰκοστῷ δευτέρῳ βιβλίῳ τῶν Βασιλικῶν κείμενος τίτλῳ ε', κεφ. δ', φησί· Πᾶς θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὁμοθεὶς φυλάττεται, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι ὁ ἀθέμιτον ὅρκον ὀμόσας, οἷον μὰ τὸν ἥλιον καὶ τοιούτους, οὐκ ἀναγκασθήσεται φυλάξαι αὐτόν.

ΑΡΙΣΤ. « Ὁ Ἑλληνικοῖς ὅρκοις ὀμνύμενος, ἐπιτιμητέος· ἀφορίζεται γάρ. » *Σαφής.*

ΚΑΝΩΝ ϞΕ'.

« Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ (7) καὶ τῇ

Guill. Beveregii notæ.

(7) *Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ.* In annotationibus ad septimum secundæ œcumenicæ synodi Constantinopoli celebratæ canonem pluribus ostendimus, istum canonem ei synodo falso adscriptum esse. Prima autem et longe maxima pars istius canonis hic verbatim repetitur; multa tamen inserta ejus synodi mentione. Unde conjecimus istum canonem, velut a secunda œcumenica synodo constitutum, præsenti concilio incognitum fuisse. Præterea ex universo ejus contextu observavimus,

« μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα A
« κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ
« συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς
« καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Κα-
« θαροὺς, καὶ Ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσ-
« καιδεκατίτας, ἤγουν Τετραδίτας καὶ Ἀπολ-
« λιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ
« ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν
« ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀπο-
« στολικὴ Ἐκκλησία, σφραγιζομένους ἤτοι χρι-
« μένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον
« καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας καὶ τὸ στόμα
« καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν·
« Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Περὶ δὲ
« τῶν Παυλιανιστάντων, εἶτα προσφυγόντων τῇ B
« καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβα-
« πτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εὐνομιανοὺς μέντοι
« τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ
« Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας,
« καὶ Σαβελλιανοὺς, καὶ τοὺς υἱοπατορίαν δοξά-
« ζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ
« πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλαί εἰσιν
« ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας
« ὁρμώμενοι· πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας
« προστίθεσθαι τῇ ὀρθοδοξίᾳ ὡς Ἕλληνας δεχό-
« μεθα· καὶ τὴν μὲν πρώτην ἡμέραν ποιοῦμεν
« αὐτοὺς Χριστιανούς, τὴν δὲ δευτέραν κατηχου-
« μένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν μετὰ
« τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς
« τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν C
« χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι
« τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν· καὶ
« τοὺς Μανιχαίου; δὲ (8) καὶ τοὺς Οὐαλεντινια-
« νοὺς, καὶ Μαρκιονιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων
« αἱρέσεων. Τοὺς δὲ Νεστοριανοὺς χρὴ ποιεῖν λι-
« βέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν
« καὶ Νεστόριον καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ
« Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιού-
« των αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν,
« καὶ πάσας τὰς προσαναφερομένας αἱρέσεις·
« καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινω-
« νίας. »

« eorum qui ex hæreticis servantur, subjecto
« ordine et consuetudine recipimus: Arianos
« quidem et Macedonianos et Novatianos, qui
« seipsos Catharos appellant, et Aristeros et
« Quartadecimanos seu Tetraditas et Apollina-
« ristas recipimus, dantes libellos, et omnem
« hæresim anathematizantes, quæ non sentit ut
« sentit sancta Dei universalis et apostolica Eccle-
« sia, sancto primum chrismate et frontem et
« oculos et nares et os et aures consignatos sive
« inunctos: et eos consignantes dicimus, signa-
« culum doni Spiritus sancti. De iis autem, qui
« Pauliani secta secuti sunt, deinde ad catho-
« licam Ecclesiam confugerunt, statutum est ut
« ii omnino rebaptizentur. Eunomianos quoque,
« qui una demersione baptizant, et Montanistas
« qui hic dicuntur Phryges et Sabellianos qui
« Filium idem esse cum Patre existimant, et
« alia quædam gravia faciunt, et omnes alias
« hæreses, quoniam multi hic sunt, et maxime
« qui ex Galatarum regione profecti sunt; omnes
« ex iis, qui ad rectam de fide sententiam vo-
« lunt accedere, ut Græcos recipimus: et primo
« quidem die eos Christianos facimus, secundo
« autem catechumenos; deinde tertio adjuramus,
« simul etiam ter in faciem et aures inspirantes;
« et sic initiamus, et diu in ecclesia versari et
« Scripturas audire facimus, et tunc ipsos bapti-
« zamus. Quin etiam Manichæos, et Valentinia-
« nos, et Marcionistas, et similes hæreticos.
« Nestorianos autem oportet libellos facere, et
« hæresim suam anathematizare, et Nestorium
« et Eutychem et Dioscorum et Severum, et
« reliquos talium hæreseon principes, et qui
« eadem cum illis sentiunt, et omnes prædictas
« hæreses: et sic esse sanctæ communionis par-
« ticipes. »

ΒΑΛΣ. Περὶ τοῦ κανόνος τούτου ἑβδόμου ὄντος τῆς οἰκουμενικῆς β' συνόδου ἱκανῶς ἐκεῖσε ἐγρά- D ψαμεν, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν παλιλλογεῖν. Ἐπεὶ δὲ προσετέθη παρὰ τῆς συνόδου ταύτης ὀφεί-λειν καὶ τοὺς Μανιχαίους καὶ τοὺς Οὐαλεντινιανοὺς καὶ τοὺς Μαρκιονιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, κατὰ τοὺς Εὐνομιανοὺς καὶ τοὺς Μοντα-

BALS. De hoc canone, qui est septimus universalis secundæ synodi, satis illic scripsimus, et non oportet eadem repetere. Quoniam autem ab hac synodo adjectum est, debere etiam Manichæos et Valentinianos et Marcionistas, et alios ejusmodi hæreticos, quemadmodum Eunomianos et Montanistas, baptizari; Nestorianos autem suæ fidei

Guill. Beveregii notæ.

istum canonem Epistolam potius quam decretum aliquod synodale esse; quippe quo nihil constituitur, sed tantum antiqua quædam consuetudo in hæreticis recipiendis recitatur. Conjecturam ex eo verisimiliorem fecimus, quod eadem verba, quæ ibi et hic usurpantur, in epistola quadam ad martyrium Antiochenum Constantinopoli scripta habeatur, quæ ex Jacobi Armachani τοῦ μαχαρίτου mss. exscripta nobiscum communicata fuit. Ad majorem istius rei elucidationem hic observare liceat, quod tunc me latuit, hanc ipsam epistolam a Joanne Leunclavio in *Juris Græco-Romani* libro quarto pag. 290, 291, editam esse, ex alio, nescio quo, ms. codice: adeo ut de epistolæ istius veritate certiores fiamus. Et quidem quæ in præsenti canone continentur, ex illa epistola potius quam ex decreto aliquo synodi Constantinopolitanæ desumpta videntur.

(8) *Καὶ τοὺς Μανιχαίους δέ.* Hic incipiunt quæ præsens concilium de hæreticis in Ecclesiam Catholicam recipiendis constituit; præter ea quæ in epistola superius commemorata continentur.

libellos tradere et anathematizare Nestorium et Eutychen et Dioscorum et Severum, eosque qui eadem cum illis sentiunt, et eorum hæreses, et sic esse communionis participes : age de iis quoque solis in præsentia dicamus. Manichæi ergo sunt, qui id quod Manes sentiunt; qui quidem Manes seipsum Paracletum appellabat, Christumque sola opinione apparuisse dictitabat. Introduxerat autem duo principia, malum et bonum, scilicet Deum et materiam; et adversus Vetus Testamentum blasphemabat; lunam et stellas ut deos adorare permittebat ; carnis resurrectionem negabat ; herbas et arbores et aquam **272** animata esse asserebat. Valentiniani sunt, qui Valentis imperatoris tempore inventi sunt, Bogomili seu Massaliani et Euchitæ et Enthusiastæ. Marcionistæ autem, qui a Marciano deducuntur : qui quidem Marcion tria dixit esse principia ; primum quidem Deum, qui supra est, invisibilem ; secundum, visibilem et creatorem et opificem ; et tertium, diabolum. Baptizabat autem non solum semel, sed ter quoque : mulieribus quoque baptizare permittens. Nestoriani autem dicuntur, qui, sicut et Nestorius, Deum Verbum separant et hominem qui ab eo assumptus est. De quo in proœmio tertiæ synodi scripsimus. Similiter et de hæresi Eutychis, Dioscori et Severi, quæ par erat, tractavimus in proœmio 4 synodi. Hæc igitur consule.

ZONAR. Idem est hic canon cum secundæ œcumenicæ synodi septimo. Quæ igitur ibi dicta sufficiunt. Nam eadem in ejusdem rei explicatione qui repetat frustra, suscepti laboris reprehensionem haud effugiet.

ARIST. « Eos, qui ab hæreticis conversi sunt, sic « admittimus : Arianos, Macedonianos, Novatianos qui et Cathari, Aristeros qui et « Quartadecimani sive Tetraditæ, et Apollinaristas, omnem hæresim anathematizantes, « sancto chrismate inunximus frontem, oculos, « nares, os et aures, et consignantes dicimus, « Signaculum doni Spiritus sancti. Amen. »

Nonnulli hæreticorum baptizantur; alii sancto chrismate solum unguntur ; alii autem omnem hæresim et suam anathematizantes in communionem admittuntur. Quinam vero baptizantur, et quinam solo chrismate unguntur; quinam autem et suam et alias exsecrantur hæreses, et hoc solo satisfaciunt, et ad communionem recipiuntur, præsenti canone indicantur : licet multæ hæreses prætermittuntur. Interim autem Paulianistas a

νιστὰς βαπτίζεσθαι· τοὺς δὲ Νεστοριανοὺς μετὰ τὸ δοῦναι λιβέλλους τῆς πίστεως αὐτῶν, καὶ ἀναθεματίσαι Νεστόριον καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ὁμοφρονοῦντας αὐτοῖς, καὶ τὰς αἱρέσεις αὐτῶν, μεταλαμβάνειν τῆς κοινωνίας· φέρε περὶ τούτων καὶ μόνων ἀρτίως εἴπωμεν. Μανιχαῖοι μὲν οὖν εἰσιν οἱ τὰ τοῦ Μάνεντος φρονοῦντες· ὅστις Μάνης Παράκλητον ἑαυτὸν ἐκάλει· τὸν Χριστὸν δὲ δοκήσει μόνῃ φανῆναι εἰσηγήσατο. Καὶ δύο ἀρχὰς πονηράν τε καὶ ἀγαθήν, ἤγουν Θεόν τε καὶ ὕλην, καὶ τὰ τῆς Παλαιᾶς Διαθήκης βλασφήμει· σελήνῃ καὶ ἀστράσιν ὡς θεοῖς προσκυνεῖν ἐπέτρεψε (9)· σαρκὸς ἀνάστασιν ἠρνήσατο· καὶ βοτάνας καὶ δένδρα καὶ ὕδωρ ἔμψυχα εἶναι ἀπεφήνατο. Οὐαλεντινιανοί εἰσιν οἱ εὑρεθέντες κατὰ τὸν καιρὸν τοῦ Οὐάλεντος βασιλέως, Βογόμιλοι ἤτοι Μασσαλιανοὶ καὶ Εὐχῖται καὶ Ἐνθουσιασταί. Μαρκιονισταὶ δὲ οἱ ἀπὸ Μαρκίωνος καταγόμενοι· ὅστις Μαρκίων τρεῖς ἀρχὰς εἶπε· πρώτην τὸν ἄνω Θεὸν ἀόρατον· δευτέραν τὸν ὁρατὸν καὶ κτίστην καὶ δημιουργόν· καὶ τρίτην τὸν διάβολον. Ἐβάπτιζε δὲ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ ἐκ τρίτου, παραχωρῶν καὶ ταῖς γυναιξὶ βαπτίζειν. Νεστοριανοὶ δὲ λέγονται οἱ κατὰ τὸν Νεστόριον χωρίζοντες τὸν Θεὸν Λόγον, καὶ τὸν προληφθέντα τοῦτῳ ἄνθρωπον. Περὶ οὗ ἐν τῷ προοιμίῳ τῆς τρίτης συνόδου ἐγράψαμεν. Ὡσαύτως καὶ περὶ τῆς αἱρέσεως τοῦ Εὐτυχοῦς, τοῦ Διοσκόρου, καὶ τοῦ Σεβήρου, τὰ εἰκότα διελάβομεν ἐν τῷ προοιμίῳ τῆς τετάρτης συνόδου. Ἀνάγνωθι οὖν ταῦτα.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς οἰκουμενικῆς δευτέρας ἐστὶ συνόδου ἑβδόμος. Ἃ οὖν ἐκεῖ εἴρηται ἀρκοῦσι. Τὰ γὰρ αὖθις τὰ αὐτὰ καὶ περὶ αὐτῶν λέγειν ματαιοπονία κριθήσεται.

ΑΡΙΣΤ. « Τοὺς ἀπὸ αἱρετικῶν ἐπιστρέφοντας οὕτω « δεχόμεθα, Ἀρειανούς, Μακεδονιανούς, Ναυα« τιανούς, τοὺς καὶ Καθαρούς, Ἀριστερούς, τοὺς « καὶ Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας « καὶ Ἀπολλιναριστάς, ἀναθεματίζοντας πᾶσαν « αἵρεσιν, χρίομεν τῷ ἁγίῳ μύρῳ μέτωπον, « ὀφθαλμούς, ῥῖνας, στόμα καὶ ὦτα, καὶ σφρα« γίζοντες λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος « ἁγίου. Ἀμήν. »

Τινὲς τῶν αἱρετικῶν βαπτίζονται· ἄλλοι τῷ ἁγίῳ μύρῳ χρίονται μόνῳ· ἕτεροι δὲ πᾶσαν αἵρεσιν, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες εἰς κοινωνίαν προσδέχονται. Τίνες δὲ οἱ βαπτιζόμενοι καὶ τίνες οἱ μόνῳ μύρῳ χριόμενοι, τίνες δὲ οἱ τὴν ἰδίαν αἵρεσιν καὶ τὰς ἄλλας ἀναθεματίζοντες, καὶ τούτῳ μόνῳ ἀρκούμενοι, καὶ εἰς κοινωνίαν παραδεχόμενοι τῷ παρόντι κανόνι δηλοῦνται· κἂν καὶ πολλαὶ τῶν αἱρέσεων παρελείφθησαν. Τέως δὲ τοὺς Παυλιανιστὰς τοὺς ἀπὸ Παύλου τοῦ Σα-

Guill. Beveregii notæ.

(9) *Προσκυνεῖν ἐπέτρεψε.* In codicibus Parisiis impressis, necnon Amerbachiano et Ætoniensi, post ista verba hæc inserenda sunt, μετεμψύχωσιν ἐδίδαξε, *Animarum in corpora transmigrationem docebat.* Quod Theodoretus etiam de Manichæis asserit, ψυχῶν δὲ μετενσωματώσεις λέγουσι γίνεσθαι, καὶ τὰς μὲν εἰς πτηνῶν, τὰς δὲ εἰς κτηνῶν καὶ ἑρπετῶν σώματα καταπέμπεσθαι. Theodor. *Hæret. fab.* l. 1, c. 26. Quod etiam Epiphanius aliique tradiderunt.

μοσατέως κατεγομένους, καὶ τοὺς λοιποὺς αἱρετικοὺς, τοὺς προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, καὶ ὡς Ἕλληνας παραδεχόμενοι καὶ βαπτίζοντες, τῇ πρώτῃ ἡμέρᾳ τὰς αἱρέσεις αὐτῶν ἀπαιτοῦμεν ἀναθεματίζειν, καὶ ποιοῦμεν αὐτοὺς ὅσον κατὰ τοῦτο Χριστιανούς· τῇ δὲ δευτέρᾳ κατηχοῦμεν αὐτοὺς τὸν λόγον τῆς ἀληθείας, καὶ ἀφεξῆς τὰ λοιπὰ ποιοῦμεν· καὶ οὕτω μετὰ τὸ χρονίσαι αὐτοὺς ἐν ταῖς ἐκκλησίαις, καὶ τῶν θείων Γραφῶν ἀκροάσασθαι, τοῦ θείου καταξιοῦμεν βαπτίσματος. Παυλιανιστὰς ἀναβαπτίζομεν, Εὐνομιανοὺς, Μοντανιστὰς, Σαβελλιανοὺς, καὶ πάντας τοὺς ἀπ' αὐτῶν ὡς Ἕλληνας δεχόμενοι· καὶ τῇ πρώτῃ ἡμέρᾳ ποιοῦμεν αὐτοὺς Χριστιανούς, τῇ δευτέρᾳ κατηχουμένους, τῇ τρίτῃ ἐξορκίζομεν, ἐμφυσῶντες τρὶς εἰς τὸ πρόσωπον καὶ τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν ἐν τῷ ναῷ, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν. Καὶ Μανιχαίους δὲ καὶ Οὐαλεντινιανοὺς, καὶ Μαρκιωνιστὰς, καὶ Σευηριανοὺς καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, χρὴ, λιβέλλους διδόντας, ἀναθεματίζειν πᾶσαν αἵρεσιν, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

Paulo Samosateno seductos et alios hæreticos orthodoxæ fidei accedentes, etiam ut Græcos recipientes et baptizantes, primo die omnes suas hæreses reposcimus exsecrari, eosque facimus, quantum ad hoc, Christianos; secundo autem die eos verbum veritatis docemus et deinceps reliqua facimus: et sic, cum aliquandiu in ecclesia permanserunt, et divinas audierunt Scripturas, divino baptismo eos dignamur. Paulianistas rebaptizamus. Eunomianos, Montanistas, Sabellianos, et omnes ex eis ut Græcos recipimus: et primo die eos facimus Christianos, secundo catechumenos, tertio adjuramus, ter in faciem et aures inspirantes; et sic eos initiamus, et diu in ecclesia versari et Scripturas audire facimus; et tunc eos baptizamus. At Manichæos et Valentinianos et Marcionistas et Severianos et alios ejusmodi hæreticos, libellos dantes anathematizare oportet omnem hæresim, et sic sanctæ communionis participes esse.

ΚΑΝΩΝ ΙϚ'.

« Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι « τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθ- « ωμολόγησαν. Τοὺς οὖν τὰς ἐν τῇ κεφαλῇ τρίχας « πρὸς λύμην τῶν ὁρώντων ἐν ἐπινοίαις ἐμπλο- « κῆς εὐθετίζοντας καὶ διασκευάζοντας, καὶ δέ- « λεαρ προτιθέντας ἐντεῦθεν ταῖς ἀστηρίκτοις « ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θερα- « πεύομεν, παιδαγωγοῦντες αὐτοὺς καὶ σωφρό- « νως βιοῦν ἐκδιδάσκοντες, πρὸς τὸ, ἀφέντας « τὴν ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα, πρὸς « τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν τὸν νοῦν « μετάγειν διηνεκῶς, καὶ ἐν φόβῳ ἁγνὴν ἔχειν « ἀναστροφὴν, καὶ Θεῷ πλησιάζειν κατὰ τὸ ἐφι- « κτὸν διὰ τῆς ἐν βίῳ καθάρσεως, καὶ τὸν ἔνδον « ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς « καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς ἤθεσιν· ὥστε « μηδὲν λείψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναν- « τίου σκαιότητος. Εἰ δέ τις παρὰ τὸν παρόντα « κανόνα διάγοιτο, ἀφοριζέσθω. »

273 CANON XCVI

« Qui Christum per baptismum induerunt, ejus in « carne vitæ agendæ rationem imitari professi « sunt. Eos ergo, qui capillos ad videntium « detrimentum scite excogitatis nexibus adornant « et componunt, et infirmis animis escam ea « ratione objiciunt, convenienti supplicio pa- « terne curamus, ipsos instituentes et tempe- « ranter vivere docentes, ut relicta fraude et « vanitate, quæ ex sordibus mundanis oritur, « ad interitus expertem beatamque vitam men- « tem assidue traducant, et in timore puram « et sanctam conversationem habeant, et Deo, « quoad ejus fieri potest, appropinquent, per « vitæ puritatem, et internum magis quam exter- « num hominem virtutibus et bonis inculpatisque « moribus exornent, ut nullas in se ferant reli- « quias perversitatis usque adeo repugnantis: si « quis autem præter hunc canonem versatus sit, « excommunicetur. »

ΒΑΛΣ. Ἐκ τῆς πρὸς Γαλάτας Ἐπιστολῆς τοῦ μεγάλου Παύλου προοιμιασάμενοι οἱ ἅγιοι Πατέρες, τῆς λεγούσης ἐν μέρει, *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*, διωρίσαντο διορθωθῆναι δι' ἐπιτιμίου τοὺς δι' ἀπονοίαν ἐν διασκευῇ καὶ ἐμπλοκαῖς τὰς ἐν τῇ κεφαλῇ τρίχας πληθύνοντας καὶ καλλωπίζοντας, χάριν τοῦ ἐφέλκειν δι' αὐτῶν, ὡς διά τινος δελεάσματος, τὰς τῶν ἀστηρίκτων ψυχάς. Ὀφείλουσι γὰρ, φασὶ, πάντες οἱ πιστοὶ πρὸς τὴν ἄνω καὶ μακαρίαν ζωὴν ἀποβλέπειν, καὶ μετὰ φόβου Θεοῦ ἀναστρέφεσθαι, ἐφ' ᾧ πλησιάσαι αὐτῷ κατὰ τὸ ἐφικτὸν, καὶ τὸν ἔνδον μᾶλλον ἄνθρωπον, ἤγουν τὴν ψυχὴν, διὰ πάσης ἀρετῆς κοσμεῖν, καὶ μὴ τὸν ἐκτός. Εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διάγει ἀφεξῆς, ἀφορισμῷ καθυποβληθήσεται. Φησὶ

BALS. Ex magni Pauli Epistola ad Galatas ducto principio, quæ quidem præcise dicit, *Quicunque in Christum baptizati estis, Christum induistis*[66], statuerunt sancti Patres eos pœna inflicta corrigere, qui scite excogitatis compositisque nexibus capillos pleniores et elegantiores efficiunt, ut per ipsos, veluti per escam quampiam, infirmorum animas attrahant. Debent enim, inquiunt, omnes fideles ad supernam beatamque vitam respicere, et cum Dei timore conversari: ut, quoad ejus fieri potest, ad eum appropinquent, et internum magis hominem, animum scilicet, omni virtute exornent, et non externum. Si quis autem præter præsentem canonem deinceps vitam instituit, segregationi subjicietur. Dicit autem et magnus Paulus, *Vir*,

[66] Galat. III, 27.

si comam alit, est illi ignominia[37]. Porro et lex Mosaica dicit in Deuteronomio, *Non facietis cincinnos in capite vestro*. Nota ergo hæc, propter eos qui capillos nectunt, vel implicant, vel fingunt, vel cum aqua madefaciunt, vel aliquo alio modo capillos suos pleniores elegantioresque faciunt, vel iis alienos connectunt: similiter et propter eos, qui instar mulierum partes, quæ sunt circa suum caput, ornant.

ZONAR. *Quicunque in Christum baptizati estis*, magnus Paulus ait, *Christum induistis*. Qui vero divino baptismo initiati Christum induerunt, ad illius vivendi normam mores conformare, omnesque puritatis, temperantiæ atque innocentiæ numeros implere, nec vero rerum terrenarum vanitati adhærescere, aut supervacuo nimisque affectato et operoso corporis ornatui indulgere decet. Quæ porro magis affectata ac supervacanea exornandi corporis ratio, quam eorum, qui capillum variis nexibus implicant, multa arte disponunt, in partes concinne dividunt, eoque imbecilliores in fide animos, quique propterea ad intemperantiam facilius delabuntur, velut quadam esca deceptos, in fraudem alliciunt? Igitur divini illi Patres implexi nodis apteque ac studiose compositi capilli meminere. Nihil enim aliud, ut videtur, in ornatu comarum eo tempore peccabatur. Nihil eorum scilicet, quæ nostris temporibus in capillo tingendo fingendoque homines elaborant; qui quidem omne studium suum eo conferunt, ut comam alant, ac cincinnorum fimbrias, feminarum ritu, si fieri possit, ad zonam usque demittant. In quo non solum illi nimirum de non tondendo capillo solliciti sunt, sed etiam, præterquam quod ferramenti omne genus a capite amovent, omnia præterea comæ nutriendæ aut augendæ medicamenta studiose nimis atque accurate conquirunt. Fingunt sibi exinde crines, calamistro, quo crispi fiant, intorquentes; tingunt quoque, ut flavescant, et auri speciem referant. Alii aqua madefactos in sole explicant, ejusque radiis torreri patiuntur, ut ater inde capillorum color immutetur. Sunt etiam qui mentitam cæsariem, nativo ac ingenito crine abraso, induunt. Atque hæc quidem hoc tempore, **274** in componendo ornandoque capillo, a plurimis usurpantur. Contra vero omnia, quod ad barbam attinet, fieri consuevere. Quibus etenim juvenilis ille flosculus primum innascitur, illum subito, ne in lanuginem exrescat, sed ipsorum in facie lævitas oberret, sintque mulierum instar teneri ac molles, abradi jubent. Quibus vero longius ætate provectis densiores fere pili mento enascuntur, illi, ne demissiore barba conspiciantur, a novacula quidem abstinent, testæ vero ignito fragmento barbæ admoto, quidquid e mento altius eminet depascuntur, tantumque linquunt, ut lanuginis modo pubescentis similitudo appareat; ac jam in

[37] I Cor. xi, 14.

A δὲ καὶ ὁ μέγας Παῦλος· *Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι.* Καὶ ὁ Μωσαϊκὸς δὲ νόμος λέγει ἐν τῷ Δευτερονομίῳ· *Οὐ ποιήσετε σισόην ἐκ τῆς κεφαλῆς ὑμῶν.* Σημείωσαι οὖν ταῦτα διὰ τοὺς κλώθοντας ἢ πλέκοντας ἢ βάπτοντας ἢ μετὰ ὕδατος βρέχοντας, ἢ ἄλλως πως πληθύνοντας καὶ καλλωπίζοντας τὰς οἰκείας τρίχας, ἢ ταύταις ἀλλοτρίας συνάπτοντας· ὡσαύτως καὶ τοὺς καλλύνοντας κατὰ γυναῖκας τὰ περὶ τὴν κεφαλὴν μέρη αὐτῶν.

ΖΩΝΑΡ. *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*, ὁ μέγας Παῦλός φησιν. Οἱ δὲ διὰ τοῦ θείου βαπτίσματος τὸν Χριστὸν ἐνδυσάμενοι κατ' ἐκεῖνον ὀφείλουσι πολιτεύεσθαι, καὶ πᾶσαν ἁγνείαν καὶ σωφροσύνην μετιέναι καὶ καθαρότητα, καὶ μὴ τῇ τῆς ὕλης προστετηκέναι ματαιότητι, B καὶ τὸ σῶμα κοσμεῖν περιττῶς τε καὶ περιέργως. Τί δ' ἂν γένοιτο περιεργότερόν τε καὶ περιττότερον κόσμημα τοῦ τὰς τρίχας τῆς κεφαλῆς πλέκειν, καὶ εὖ διατιθέναι καὶ διασκευάζειν, δέλεαρ αὐτὸν ἀπάτην προτιθέντας ταῖς ἀστηρίκτοις πρὸς τὴν πίστιν ψυχαῖς, κἀντεῦθεν πρὸς ἀκολασίαν εὐολίσθους; Οἱ μὲν οὖν θεῖοι Πατέρες ἐκεῖνοι τοῦ δι' ἐμπλοκῆς εὐθετίζειν καὶ διασκευάζειν τὰς κόμας ἐμνήσθησαν. Οὐδὲν γὰρ ἕτερον τότε περὶ τὴν κόμην τισὶν, ὡς ἔοικε, περιείργαστο, οἷα νῦν τοῖς τριχοβάπταις καὶ τριχοπλάσταις περιεργάζεται, πᾶσαν σπουδὴν ποιουμένοις κομᾷν, καὶ γυναικώδεις φέρειν βοστρύχους μέχρι ζωστῆρος καθιεμένους, εἰ δυνατόν. Τοῦτο δ' οὐκ ἐκ μόνου τοῦ μὴ κείρειν τῆς κόμης τὸ περιττὸν C σφισιν ἐπιτετήδευται, ἀλλὰ πρὸς τὸ μὴ σίδηρον ἀναβαίνειν ἐπὶ τῆς κεφαλῆς αὐτῶν, καὶ ἅπασαν τὴν κόμην τρέφειν αὐτοῖς πεφυκὸς, καὶ βαθεῖαν ποιεῖν περιείργασται· πλάττονταί τέ σφισιν αἱ κόμαι καλάμοις συνδούμεναι, ἵν' αὐταῖς οὐλότης προσγένηται· καὶ βάπτονται δὲ ἵν' εἶεν ξανθαὶ καὶ χρυσίζουσαι. Οἱ δὲ καὶ ὕδατι τὴν τρίχα τῆς κεφαλῆς ποιοῦντες διάβροχον εἰληθερεῖσθαι ταύτην ἐν ἀκμῇ θέρους ἀνέχονται, ἵν' αὐτοῖς τὸ μέλαν μεταβληθεὶν τὸ τῶν τριχῶν. Εἰσὶ δ' οἳ καὶ νόθους πλοκάμους περιτιθέασιν ἑαυτοῖς, τὴν ἐγγενῆ τε καὶ συμφυῆ ξυρώμενοι τρίχωσιν. Καὶ ἡ μὲν κόμη νῦν οὕτω τοῖς πλείοσιν εὐθετίζεταί τε καὶ διεσκεύασται· ἅπαν δὲ τοὐναντίον περὶ τὸν πώγωνα διαπράττεται. Οἷς μὲν γὰρ ἄρτι τὸ νεοτήσιον ἄνθος φύεται, ξυρᾶται αὐD τίκα, ἵνα μὴ εἰς ἔουλον καταστῇ, ἀλλὰ λειότης αὐτῶν ἐπιπρέπῃ ταῖς ὄψεσι, καὶ οἷον εἰπεῖν γυναικίζοιντό τε καὶ μαλακίζοιντο· οἷς δὲ προήκων ὁ χρόνος κατὰ συστήματα σχεδὸν ποιεῖ τὰς τρίχας τοῦ πώγωνος φύεσθαι, ἵνα μὴ τὴν ὑπήνην φέροιεν καθειμένην, οὗτοι ἀπέχονται μὲν ξυροῦ, κεράμου δ' ἐστὶ θραῦσμα ἄνθρακιν ἐκπυρούμενον τῇ ὑπήνῃ προσφέρουσι, καὶ τούτου τοῦ πώγωνος ἅπαν ἐκτεφροῦσι τὸ αἰωρούμενον, λείπουσι δὲ τοσοῦτον, ὡς δοκεῖν ἄρτι τὸν ἔουλον φύεσθαι· καὶ τοὺς εἰς ἄνδρας ἤδη τελέσαντας νεανίσκοις ἐοικέναι πρώτοις ὑπηνήταις. Ταῦτα δὲ οὐ τοῖς τυχοῦσι μόνοις ἐπιτηδεύεται, ἀλλὰ καὶ τοῖς ὑπερλίαν αὐτοῖς. Ὅθεν κατενεχθὲν

τὸ κακὸν ἐγίνετο πάνοημόν, καὶ ὥς τι νόσημα ἐπιδήμιον ἐνσκῆψαν τοῖς Χριστωνύμοις πάντας σχεδὸν ἐπιβόσκεται· καὶ ταῦτα τοῦ μὲν θείου καὶ παλαιοτάτου θεσμοῦ ἐν τῷ Δευτερονομίῳ λέγοντος· *Οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν*· τοῦ δὲ μεγάλου Παύλου, *Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι*, λέγοντος. Οἱ μὲν οὖν τῆς συνόδου ταύτης Πατέρες, τοὺς ἅπερ εἰρήκασιν ἄνω ποιοῦντας, ἐπιτιμῶσι πατρικῶς, καὶ ἀφορισμῷ ὑποβάλλουσιν· οἱ δὲ νῦν Πατέρες τοὺς τὰ ἀπηρτισμένα ποιοῦντας περὶ τὴν κόμην τε καὶ τὸν πώγωνα, καὶ ἔτι μᾶλλον ἀσχημονοῦντας, καὶ οὕτως εἰσιόντας ἐν Ἐκκλησίᾳ οὐ μόνον ἀνεπιτιμήτους ἐῶσιν, ἀλλὰ καὶ εὐλογοῦσι, καὶ τῶν ἁγιασμάτων αὐτοῖς μεταλαβεῖν αὐτῶν βουλομένοις, βαβαὶ τῆς ἀτοπίας! μεταδιδόασι. Καὶ ὁ κωλύων ταῦτα οὐδείς· οὐ πατριάρχης, οὐκ ἄλλοι ἀρχιερεῖς, οὐ μοναχοί, οἷς ὡς Πατράσι χρῶνται πνευματικοῖς οἱ οὕτως ἀσχημονοῦντες.

viros asciti, nihil ab adolescentioribus, primo ævi flore pubescentibus, differre videantur. Quæ quidem, non a tenuioribus modo, sed ab ipsis quoque longe amplioris fortunæ hominibus usurpantur. Hinc diffusum longe lateque malum universos pene occupavit, ac instar pestis cujusdam, in eos qui Christianorum nomine censentur irruens, ubique fere grassatur. Idque cum in Deuteronomio quidem divinum illud et antiquissimum exstet præceptum, *Non facietis*, inquit, *cincinnos in capite vestro, neque barbæ vestræ speciem corrumpetis*[38]. Et magnus quoque Paulus ait, *Vir, si comam nutriat, ignominia illi est.* Hujus itaque synodi Patres, quicunque eorum, quæ supra ab ipsis commemorata sunt, quidpiam admiserit, paterne in illos animadverti, ac segregatione puniri volunt. Nostri vero Patres hoc tempore, qui in capillo et barba ea quæ diximus peccant, ac deformius adhuc lasciviunt, eoque ornatu ecclesiam ingrediuntur, non modo impune abire patiuntur, sed et iis benedicunt, et sacra mysteria communicare volentibus (proh facinus!) impertiunt. Neque vero qui hæc prohibeat quisquam est: non patriarchæ, non alii præsules, non monachi demum, quos parentum se spiritualium loco tam insigniter inverecundi homines agnoscere profitentur.

ΑΡΙΣΤ. « Οἱ τὰς κόμας ἐν πλοκῇ ἐπινοίᾳ πρὸς « λύμην ἐργαζόμενοι τῶν ὁρώντων ἀφορίζον- «ται. »

ARIST. « Qui capillos artificiosis nexibus intorquent, « in spectantium perniciem, segregantur. »

Τοὺς κομῶντας τὴν κεφαλὴν, καὶ τὰς τρίχας αὐτῶν ἐν πλοκῇ διευθετίζοντας, πρὸς βλάβην τῶν ἁπλουστέρων καὶ ῥᾳθύμως βιούντων, ἀφορίζεσθαι ἡ σύνοδος ὥρισε. Δεῖ γὰρ ἁγνὴν τὴν ἀναστροφὴν ἡμῶν ἔχειν, καὶ ἐν φόβῳ, καὶ Θεῷ πλησιάζειν κατὰ τὸ δυνατὸν ἡμῖν διὰ τῆς ἐν τῷ βίῳ καθάρσεως, καὶ ἀρεταῖς κοσμεῖν τὸν ἔνδον καὶ τὸν ἔξω ἄνθρωπον.

Eos qui caput adornant, et capillos suos nexibus concinne disponunt, ad simpliciorum damnum eorumque qui socordius vivunt, segregari decrevit synodus. Nos enim puram oportet habere conversationem et in timore, et Deo appropinquare, quantum possumus, per vitæ puritatem, ac internum hominem pariter ac externum virtutibus adornare.

ΚΑΝΩΝ ΙΖ'.

« Τοὺς ἢ γαμετῇ συνοικοῦντας, ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ « καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ « οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν « τοῖς σεβασμίοις ναοῖς κατηχουμένων προστάσσομεν ἐξωθεῖσθαι. Εἰ δέ τις μὴ τοῦτο παραφυλάξῃ, εἰ μὲν κληρικὸς εἴη, καθαιρεῖσθω· εἰ δὲ « λαϊκὸς, ἀφοριζέσθω. »

CANON XCVII.

« Eos, qui vel cum uxore cohabitant, vel alioqui indiscriminatim sacra loca communia faciunt, « et contemptim in ea afficiuntur, et sic in « eis permanent, etiam ex catechumenis quæ « sunt in venerabilibus templis extrudi jubemus. « Si quis autem hæc non servaverit, si sit quidem clericus, deponatur: sin vero laicus, « segregetur. »

ΒΑΛΣ. Ἱεροὶ τόποι λέγονται οἱ ἀφωρισμένοι τῷ Θεῷ, ἤγουν οἱ θεῖοι ναοὶ, οἱ πρόναοι, κατηχουμενεῖα, καὶ τὰ περὶ αὐτά. Μηδὲ γὰρ εἴπῃς ἱεροὺς τόπους πάντως τοὺς προσκυρωθέντας ταῖς ἐκκλησίαις, ἤγουν ἐνοικικὰ καὶ λοιπὰ οἰκήματα. Τινὲς γοῦν κατέχοντες ναοὺς κατῴκουν ἀδιαφόρως μετὰ τῶν γυναικῶν ἐν τοῖς περὶ αὐτοὺς κατηχουμενείοις καὶ οἰκήμασι, μὴ διαστέλλοντες μέσον ἁγίου καὶ βεβήλου, ἀλλ' ἀδιακρίτως τούτοις κεχρημένοι· ὅθεν καὶ διωρίσαντο οἱ ἅγιοι Πατέρες τοὺς οὕτω καταφρονητικῶς κοινοποιοῦντας τοὺς ἱεροὺς τόπους μὴ μόνον ἀπὸ τῶν ἐκκλησιῶν ἐξωθεῖσθαι, κἂν ἔχωσι δίκαια ἐπ' αὐταῖς, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν κατηχουμενείων. Διὰ γὰρ τοῦτο οὐδὲ εἰς νομοθεσίαν ἤνεγκε τὸ ἐκ-

Sacra loca dicuntur, quæ sunt Deo dedicata, ædes scilicet divinæ, et divinarum ædium porticus seu vestibula, et catechumenia, et quæ circa ea sunt. Neque enim sacra loca dixeris omnia quæ sunt ecclesiæ attributa, domos scilicet, et reliqua habitacula. Quidam ergo templa tenentes, nulla penitus distinctione habita, cum suis mulieribus habitabant in catechumeniis et habitaculis, inter sanctum et profanum nullum penitus discrimen facientes, sed promiscue his omnibus utentes. Quamobrem sancti quoque Patres statuerunt, eos, qui sacra loca per contemptum communia faciunt, non solum ab ecclesiis expelli, etsi jus in eis habeant, sed ab ipsis etiam catechume-

[38] I Cor. xi, 14.

niis. Propterea enim, nec lege quidem caverunt, ut ex templis ejicerentur, quod id esset extra omnem controversiam. Quoniam autem, qui habent ecclesias, 275 catechumenia quoque detinent, dixerunt Patres, quod non solum ab ecclesiis, sed etiam a catechumeniis expellentur. Pulchre autem admodum ecclesiarum mentionem non fecerunt, sed sacrorum locorum. Cum muliere enim in ecclesiis habitare est maxime impium : et nec Patribus quidem venit in mentem, fore ut ab ullo tam impium scelus suscipiatur. Fiunt autem sacra loca communia, per turpium et minime decentium cantuum communicationem, ex eo quod cum mustieribus in iis maneatur, et per cellularum vel coquinarum et aliorum ejusmodi exstructionem. Ac canonis quidem transgressores, si sint quidem clerici, deponendos decernunt : laicos vero excommunicandos. Lege et cap. 12 tit. primi lib. V quod positum est in interpretatione 88 can. Nec tibi contrarium esse videatur, quod doceat terminos ecclesiæ esse lavacra et hortos et porticus ejus, et propterea non posse quempiam ex iis eos abstrahere, qui illuc confugerunt : in eo enim solo videntur esse partes ecclesiæ. Ipsum enim caput in iis et dormire et comesse quoque posse decernit : quæ quidem in templo fieri prohibentur. Ac vicesimum quidem primum ejusdem libri et tit. caput et hb ecclesia , et ab ejus finibus, extrahendos esse decernit homicidas, adulteras et raptores. Ejusmodi enim hominibus nullus est asyli locus : quoniam, inquit, non iis, qui injuria afficiunt, sed iis qui injuria afficiuntur, leges auxilium ferunt. Lege et 73 imp. domini Leonis Philosophi Novellam, quæ eos etiam similiter punit, qui in catechumeniis habitari permittunt.

ZONAR. Sacrorum locorum nomine, non hic templa, sed adjunctas templis habitationes, qualia sunt, quæ catechumena appellantur, intelligit. Neque enim quisquam audax adeo fuerit, ut intra divini templi septa cum uxore habitare velit. In ædibus vero templis adjunctis, et in catechumeniis nonnulli degebant, qui forte vitam haud satis caste integreque agerent, quique sacrorum locorum dignitatem contemnerent, ac in iis sine discrimine, hoc est, quid inter sacrum et profanum interesset minime æstimantes, versarentur. Eos igitur homines e catechumeniis canon ejiciendos esse decernit, quique non paruerint, depositione clericos : laicos vero segregatione teneri jubet. Suis vero prærogativis adjuncta quoque sacris ædibus loca ornata fuisse, ex iis facile apparet, quæ duodecimo cap. tituli primi libri quinti sic habentur. Quicunque ad ecclesiam confugerint, usque ad fori publici terminos securitate fruantur; sive in interioribus lavacris, sive hortis, aut domibus, aut porticibus, aut aulis commorentur, cibive sumendi fiat facultas.

ARIST. « Uxori addictus, et per contemptum in « templo manens, e catechumeniis etiam expel-

βάλλεσθαι τούτους ἀπὸ τῶν ναῶν, ὡς εἰδότες εἶναι αὐτὸ ἀναμφίβολον. Ὅτι δὲ ἤθελον οἱ ἔχοντες τὰς ἐκκλησίας· κἂν τὰ κατηχουμενεῖα κατέχειν, εἶπον οἱ Πατέρες ὡς οὐ μόνον ἀπὸ τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κατηχουμενείων ἵνα ἐξωθῶνται. Καλῶς δὲ οὐκ ἐμνήσθησαν ἐκκλησιῶν, ἀλλὰ ἱερῶν τόπων. Τὸ γὰρ καταμένειν μετὰ γυναικὸς ἐν ἐκκλησίᾳ ἀσεβέστατόν ἐστι· καὶ οὐδὲ εἰς ἐνθύμησιν ἦλθε τοῖς Πατράσι τολμηθῆναι ὅλως παρά τινος τοιοῦτον ἀσέβημα. Κοινοποιοῦνται δὲ οἱ ἱεροὶ τόποι διὰ τοῦ καταμένειν μετὰ γυναικῶν διὰ ἀλαλαγῆς μελισμάτων ἀσχημόνων καὶ ἀπρεπῶν, καὶ διὰ κατασκευῆς παρακελλίων ἢ μαγειρείων ἢ ἄλλων τοιούτων. Τοὺς μέντοι παραβάτας τοῦ κανόνος, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι διορίζονται, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Ἀνάγνωσον καὶ τὸ ιβ' κεφ. τοῦ α' τίτλου τοῦ ε' βιβλίου, ὅπερ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ πη' κανόνος, καὶ μὴ ἐναντιωθῇ σοι, διδάσκον ὅρια τῆς ἐκκλησίας εἶναι τὰ λουτρὰ καὶ τοὺς κήπους καὶ τὰς στοὰς ταύτης, καὶ διὰ τοῦτο μὴ δύνασθαί τινα ἀφέλκειν ἐκ τούτων τοὺς πρόσφυγας· κατὰ γὰρ τοῦτο καὶ μόνον δοκοῦσι καὶ ταῦτα τῆς ἐκκλησίας μέρη. Ἐπεί τοί γε καὶ αὐτὸ τὸ κεφ. διορίζεται ἐν τούτοις καὶ ὑπνοῦν καὶ ἐσθίειν, ἅπερ εἰς τὸν ναὸν ἐκωλύθησαν γίνεσθαι. Τὸ μέντοι κα' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου καὶ ἀπὸ τῆς ἐκκλησίας καὶ ἀπὸ τῶν ὅρων ταύτης ἐξέλκειν διορίζεται τοὺς ἀνδροφόνους, τοὺς μοιχοὺς καὶ τοὺς ἁρπαγας. Τοῖς γὰρ τοιούτοις τόπος ἀσυλίας οὐκ ἔστιν· Ὅτι, φησὶν, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις οἱ νόμοι βοηθοῦσιν. Ἀνάγνωθι καὶ τὴν ογ' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, παρομοίως κολάζουσαν καὶ τοὺς ἐπιτρέποντας τὴν εἰς τὰ κατηχουμενεῖα κατοικίαν.

ΖΩΝΑΡ. Ἱερους τόπους οὐ τοὺς θείους ναοὺς ἐνταῦθα καλεῖ, ἀλλὰ τὰς περὶ αὐτοὺς κατοικίας, οἷά εἰσι τὰ λεγόμενα κατηχούμενα. Οὐδεὶς γὰρ οὕτως ἂν εἴη τολμητίας, ὡς ἐντὸς ναοῦ συνοικεῖν γαμετῇ. Ἐν οἰκίαις δὲ πάνυ συνημμέναις ναοῖς καὶ ἐν τοῖς κατηχουμένοις ᾤκουν τινὲς μὴ σεμνῶς ἴσως βιοῦντες, καὶ καταφρονητικῶς εἶχον περὶ τοὺς τόπους τοὺς ἱεροὺς, ἀδιακρίτως οἰκοῦντες ἐν αὐτοῖς, ἀντὶ τοῦ μὴ διαστέλλοντες μηδὲ διαχωρίζοντες μέσον ἁγίου, καὶ βεβήλου. Τοὺς οὖν οὕτως ἔχοντας ἐξωθεῖσθαι τῶν κατηχουμένων ὁ κανὼν διατάττεται, καὶ τοὺς μὴ φυλάττοντας αὐτὸν, κληρικοὺς μὲν καθαιρεῖ· λαϊκοὺς δὲ ἀφορίζει. Ὅτι δὲ καὶ τὰ συγκείμενα τοῖς θείοις ναοῖς προνομίων ἀξιοῦνται, φησὶ τὸ δωδέκατον κεφάλαιον τοῦ πρώτου τίτλου τοῦ ε' βιβλίου, περιέχον οὕτως· Μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν.

Neque cuiquam intra ipsius templi fines cubandi

ΑΡΙΣΤ. « Ὁ ὑποχύσιος, καὶ καταφρονητικῶς « μένων ἐν τῷ ναῷ, ἐξωθείσθω καὶ τῶν κατηχου-

« μενείων · εἰ δὲ μὴ παραφυλάττοι, καθαιρείσθω A
« ἢ ἀφοριζέσθω. »

Οἱ κοινοποιοῦντες τοὺς ἱεροὺς οἴκους, καὶ ἐν αὐτοῖς καταφρονητικῶς καταμένοντες, κἂν ἄζυγοί εἰσιν, ἐξωθοῦνται καὶ τῶν κατηχουμενείων · ὡσαύτως καὶ οἱ γυναιξὶ συνοικοῦντες, καὶ οἰκοῦντες ἐν αὐτοῖς. Καὶ ὅτις τοῦτο οὐ παραφυλάξει, ἀλλὰ ἀδιακρίτως ἔχει περὶ αὐτοὺς τοὺς θείους ναούς, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται · εἰ δὲ λαϊκός, ἀφορίζεται

« latur. Si hoc autem non servaverit, deponatur
« vel segregetur. »

Qui sacras ædes communes faciunt, et in eis sine respectu permanent, etiamsi cœlibes sint extruduntur etiam e catechumeniis. Similiter et qui cum uxoribus suis cohabitant, et in eis commorantur. Et quicunque hoc non observaverit, sed indifferenter se gesserit erga ipsas divinas ædes, si quidem clericus est, deponitur : sin vero laicus, segregatur.

ΚΑΝΩΝ ΙΗ'.

« Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα (10), ἔτι τοῦ
« μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινω-
« νίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγ-
« κλήματι. »

276 CANON XCVIII.

Qui alteri desponsam mulierem, eo adhuc vivo
« cui desponsata est, in nuptiarum ducit socie-
« tatem, adulterii crimini subjiciatur. »

ΒΑΛΣ. Τὴν μνηστείαν οἱ νομοθέται ὁρίζονται μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. Ἔλεγον οὖν τινες ὡς, εἴ τις τὴν ἑτέρῳ μνηστευθεῖσαν κατὰ νόμον γάμου ἀγάγηται, οὐκ ἔστι μοιχὸς, ἀλλ' οὐδὲ πόρνος. Πορνείαν μὲν γὰρ οὐχ ἥμαρτεν, ὅτι νομίμως συνεζύγη μετὰ ταύτης · μοιχείαν δὲ οὐκ ἐπλημμέλησεν, ὅτι ὕπανδρος οὐκ ἔτι ἔστιν. Τοῦτο τοίνυν μὴ παραδεξάμενοι οἱ ἅγιοι Πατέρες, ὥρισαν ὡ μοιχὸν κατακρίνεσθαι τὸν πρὸς γάμου κοινωνίαν λαμβάνοντα τὴν ἑτέρῳ μεμνηστευμένην, ὅτι τε φίλημα προέβη μέσον τῶν μνηστειῶν, καὶ ἀρραβῶνι ἐδόθησαν χάριν ἀσφαλείας τῶν συναλλαξάντων μερῶν. Καὶ οὐκ ἄλλως ὁ μνηστὴρ ἑτέραν γυναῖκα λαβεῖν ἠδύνατο, εἰ μὴ κατὰ νόμους τὴν

B

BALS. Legislatores sponsalia definiunt, mentionem ac promissionem futurarum nuptiarum. Dicebant ergo nonnulli, quod si quis alteri desponsam in matrimonium duxerit, non est adulter, sed neque fornicator. Neque enim fornicationem admisit, quod eum ea legitimo matrimonio junctus est. Neque vero adulterium perpetravit, quoniam non est adhuc sub marito. Hoc ergo non admittentes sancti Patres decreverunt, ut tanquam adulter condemnetur qui ad nuptiarum societatem eam accepit, quæ est alteri desponsa ; utpote quod inter sponsos osculum processit, et arrhæ datæ sunt pro contrahentium partium securitate. Nec sponsus aliam uxorem potuit aliter ducere, nisi

Guill. Beveregii notæ

(10) *Ὅστις ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα.* In eodice Amrbachiano huic canoni aliud quoddam scholium subjungitur, quod sic se habet, Ἔτι δηλονότι τῆς μνηστείας νόμῳ συνιστημένης, καὶ διαζυγίου μὴ σκλέντος, δεῖ γὰρ, φησὶν ὁ νόμος, ὡς ἐπὶ γάμου διεύσεως. οὕτω δὴ καὶ ἐπὶ μνηστείας οὕτω στέλλεσθαι διαζύγιον, δι' εὔλογον τυχὸν αἰτίαν· ἢ τὴν, ὡς ἀνυποπτότου τυχὸν τοῦ γάμου διὰ τὸ ἀθέμιτον ἢ καινοπάθη θρησκείαν ἀγνοηθεῖσαν, ἢ διὰ τὸν τῶν τρόπων ἰσχρότητα, ἢ τύχης ἐναλλαγὴν, ἢ ἐγγάστριαν ξ ἀλλοτρίων σπερμάτων φωραθέν· ἢ γάμων ὑπέρεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου αἰτίας ἐκταθεῖσα, διὰ νόσον χρονίαν ἴσως. ἢ θάνατον γονέων, ἢ σφαλικὰ ἐγκλήματα, ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γενομένας· ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας μνηστευομένης τῆς τε κόρης, καὶ τῶν αὐτῆς γονέωμὴ συναινούντων, ἢ δι' ἀπόκαρτιν ἀληθῆ καὶ πρὸς ὀνήρη βίον ἀπόκλισιν, ἢ τὸ μὴ δυνάσθαι τὴν γυναῖκα τεκνοποιεῖν, ἢ τὸν ἄνδρα τὰ τῶν ἀνδρῶν ἐνεργεῖν, ἤτοι εἶναι βουλευτὴν, ἢ τὸ τῷ δημοσίῳ ὑποκεῖσθαι αὐτοῦ τὴν οὐσίαν, ἢ ἄλλῳ βαρυτάτῳ λειτουργήματι ἔνοχον εἶναι. Ὅ γὰρ, τινὸς τούτων τῶν ἀπηριθμημένων τὴν συστᾶσαν ἤδη μνηστείαν μὴ διαστήσαντος ἢ διασπαράξαντος, τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγαμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, τῷ ἐγκλήμα τῶν μοιχῶν εἰκότως ὑπόκειται. Μοιχεία γὰρ, λ' οὐ γάμος, τὸ γινόμενον. Εἰ γὰρ ὁ ἀπολελυμην γαμήσας μοιχᾶται κατὰ τὴν τῆς αὐτοαληθείας ἀπόφασιν, ὁ τὴν μὴ νόμῳ τοῦ μνηστῆρος λελυμένην ἀγαγόμενος, πῶ τετάξεται; Καὶ ἐν τῇ παλαιᾷ « παραπλησίως τῷ μοιχῷ κολάζεται ὁ φθείρων τὴν πλησίον μεμνηστευμένην, ἐπειδὴ τὰ τῆς μνηστείας· αὐτὸ συνέρμοσε σύμβολα · ἔθεν καὶ γυναῖκα αὐτὴν ὁ στοργέρευσεν· ἐταπείνωσε γὰρ, φησὶ, τὴν γυναῖκα ὁ πλησίον · οὕτω δὲ καὶ ἡ ἁγία Παρθένος γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε; *Μὴ φοβηθῇς* γὰρ, φησὶ, *παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου.*

C *Si sponsalia nihilum adhuc legitime consistant, et libellus repudii nondum missus sit. Oportet enim, inquit lex, ut in matrimonii solutione, sic etiam in sponsalibus libellum repudii mitti, propter justam videlicet causam ; vel quod matrimonium forsitan consistere non potest, proinde quod illegitimum sit, aut nova celatur religio incognita, vel ob morum turpitudinem, vel fortunæ commutationem, vel graviditatem ex alienis seminibus deprehensam ; vel ob matrimonii dilationem, ultro quadriennium non ex justa causa protractam, ob diuturnum forsitan morbum, aut capitalia crimina, aut longas peregrinationes ex necessitate susceptas ; adhæc si puella per magistratum provinciæ violenter despondeatur, parentibus etiam ejus non consentientibus ; vel quoniam ea vere tondeatur, et ad monasticam vitam diverlat, vel quod mulier liberos procreare, vel vir quæ virorum sunt facere non possit ; vel quod ille senator sit, vel substantia ejus ærario subjiciatur, vel alio i:*

D *gravissimo muneri publico obnoxius sit. Qui enim, cum nulla ex hic enumeratis causis spontalia adhuc consistentia separat aut dissolvit, mulierem alteri desponsam in matrimonium ducit, sponso adhuc vivante, adulterii crimini merito subjicitur. Quod enim factum, adulterium est, non matrimonium. Si enim, qui dimissam ducit, adulterium committit, juxta ipsius veritatis dictum ; qui non legitime a sponso solutam ducit, quo statuetur? Quinetiam in veteri lege, adultero consimiliter punitur is, qui alteri desponsam violat, eo quod sponsaliam symbola eos copularunt : quamobrem et eam uxorem appellat. Nam vicinum, inquit, uxorem humiliavit. Sic etiam et sancta Virgo uxor Josephi audivit ; dicit enim, Ne timeas accipere Mariam uxorem tuam.* Hoc sane scholium dignissimum est, quod observetur. Exstat autem et in supplemento ad Zonaræ codicem Lutetiæ Parisiorum impressum.

legitime prima sponsalia solverit. Et hæc quidem ex præsenti canone. Multo autem magis is nunc ut adulter condemnabitur, quando ex illustris imperatoris domini Alexii Comneni veneranda Novella de sponsalibus, sponsalia fere in omnibus perfectis nuptiis æquivalent : nec aliis modis solvuntur, quam quibus jam perfectum distrahitur matrimonium. Ne mireris autem, Patres nihil de muliere statuisse. Si is enim punitur, qui eam ducit, qui forte uti potest prætextu ignorantiæ, multo magis punietur mulier, quæ nihil tale potest dicere, dum vivit ejus sponsus. Ille quidem punietur ut adulter, qui cum alteri desponsam esse sciret, eam uxorem duxerit. Mulier autem quomodocunque se res habeat, ut adultera punietur. Quid vero ? Qui in matrimonii societatem alienam sponsam ducit, ut adulter punitur : qui vero cum ea fornicatus est, non adulter punitur? *Solutio.* Sive in matrimonio, sive fornicatorie quis cum ea, quæ alterius est sponsa, sciens rem habuerit, ut adulter punitur. Ille enim solus, qui sponsalia ignoravit, ut fornicator punitur. Adjicitur autem canoni, ad matrimonii societatem aliquem alterius sponsam uxorem ducere, propter causam prius declaratam in principio interpretationis. Et hæc quidem de muliere alteri desponsa dicta sunt. Si enim non processerunt sponsalia, sed conventa pœnæ stipulatione munita, cujusmodi sunt, quæ hodie fiunt matrimonii vincula ; non punietur quis ex eo, quo pacta conventa transgressus sit, et cum alia persona matrimonium contraxerit. Scias autem, quod a lege Mosaica sponsalia pro nuptiis reputabantur, et sponsa uxor nominabatur, et si vir alter eam ducebat, ut adulter puniebatur. Dicit enim lex in Veteri Testamento : *Et humiliavit uxorem proximi*[39], ejus scilicet sponsam devirginavit. Porro sancta quoque Virgo et Dei Mater, itidem Josephi uxor appellata est. Dicit enim divinum et sacrum Evangelium, *Ne timeas accipere Mariam uxorem tuam*[40]. Lege et 93 Novellam imperatoris domini Leonis Philosophi, quæ solvi sponsalia statuit, si postea mulier prægnans inventa fuerit ex præcedente alieni seminis susceptione

πρώτην μνηστείαν ἔλυσε. Καὶ ἀπὸ μὲν τοῦ κανόνος ταῦτα · πολλῷ δὲ πλέον σήμερον ὡς μοιχὸς ὁ τοιοῦτος κατακριθήσεται, ὅταν ἀπὸ τῆς περὶ μνηστείας προσκυνητῆς Νεαρᾶς τοῦ ἀοιδίμου ἁγίου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ ἡ μνηστεία κατὰ πάντα σχεδὸν ἰσοδυναμεῖ τῷ τελείῳ γάμῳ · καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον. Μὴ θαυμάσῃς δὲ ὅτι περὶ τῆς γυναικὸς οὐκ ἐθεσμοθετήθη τι παρὰ τῶν Πατέρων. Εἰ γὰρ κολάζεται ὁ ταύτην ἀγόμενος, δυνάμενος ἴσως προβάλλεσθαι καὶ ἄγνοιαν, πολλῷ πλέον ἡ γυνὴ τιμωρηθήσεται ἡ μηδὲν τοιοῦτον εἰπεῖν ἐξισχύουσα ζῶντος τοῦ μνηστῆρος αὐτῆς. Ἐκεῖνος μέντοι ὡς μοιχὸς τιμωρηθήσεται, ὁ ἐν εἰδήσει τὴν μεμνηστευμένην ἑτέρῳ γαμήσας · ἡ δὲ γυνή, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, ὡς μοιχαλὶς κολασθήσεται. Τί δέ, Ὁ μὲν εἰς γάμου κοινωνίαν ἀγόμενος τὴν ἀλλοτρίαν μνηστὴν ὡς μοιχὸς κολάζεται, ὁ δὲ πορεύσας μετὰ ταύτης οὐ τιμωρεῖται ὡς μοιχός ; Λύσις. Εἴτε κατὰ γάμου κοινωνίαν, εἴτε πορνικῶς συμφύρῃ τις ἐν εἰδήσει μετὰ τῆς ἑτέρῳ μεμνηστευμένης ὡς μοιχὸς κολάζεται. Μόνος γὰρ ὁ ἀγνοήσας τὴν μνηστείαν ὡς πόρνος τιμωρεῖται. Πρόσκειται δὲ τῷ κανόνι τὸ πρὸς γάμου κοινωνίαν ἀγαγέσθαι τινὰ τὴν τοῦ ἑτέρου μνηστὴν, διὰ τὴν δηλωθεῖσαν αἰτίαν ἐν τῇ ἀρχῇ τῆς ἑρμηνείας. Καὶ ταῦτα μὲν περὶ μεμνηστευμένης ἑτέρῳ γυναικός. Εἰ γὰρ οὐ πρέδη μνηστεία, ἀλλὰ συμφωνία δόσει προστίμου κτωχυρωμένη, οἷά εἰσι τὰ σήμερον γινόμενα ἐσμοτικὰ χαρτία, οὐ τιμωρηθήσεταί τις ἐκ τούτου, ὡς παραβαίνων τὰ συμφωνούμενα, καὶ συναλλάτων μεθ' ἑτέρου προσώπου γάμον. Γίνωσκε δὲ ὅτι καὶ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου ἡ μνηστεία ὡς γάμος ἐλογίζετο · καὶ ἡ μνηστὴ γαμετὴ κατωνομάζετο, καὶ ὁ ταύτην ἀγόμενος ἕτερος ἀνὴρ ὡς μοιχὸς ἐκολάζετο. Φησὶ γὰρ ὁ νόμος ἐν τῇ Παλαιᾷ · *Καὶ ἐταπείωσε τὴν γυναῖκα τοῦ πλησίον*, ἤγουν διεπαρθένευσε τὴν μνηστὴν τούτου. Καὶ ἡ ἁγία Παρθένος καὶ Θεομήτωρ οὕτω γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε. Φοβοῦ γὰρ τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον · *Μὴ φοβηθῇς παραλαβεῖν Μαρίαμ τὴν γυναῖκά σου.* Ἀνεγνωθη καὶ τὴν ιγ' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διοριζομένην λύεσθαι τὴν μνηστείαν, ἐὰν μετὰ ταύτην ἡ γυνὴ φωραθείη ἐγκυμονοῦσα ἐκ προϋποδοχῆς ἀλλοτρίων σπερμάτων.

Altera interpretatio.

Nota ex præcedenti canone, quod et ante imperatoris domini Alexii Comneni Novellam sponsalia, nisi justam ob causam, non dissolvebatur. Propterea enim in adulterii crimen incidebat, qui vel fornicatione, vel matrimonio alterius sponsæ conjunctus est. Sed et hoc præterea scias, quod sancti Patres, ut ait canon, eum, qui alterius sponsam in matrimonium ducit, adulterii crimini

Ἑτέρα ἑρμήνεια (11).

Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος τι καὶ πρὸ τῆς Νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ οὐκ ἐλύετο ἡ μνηστεία, εἰ μὴ ὑ εὐλόγων αἰτίων. Διὰ γὰρ τοῦτο καὶ τῷ τῆς μοιχείας ὑπέπιπτεν ἐγκλήματι ὁ συναπτόμενος πορνικῶς ἢ γαμικῶς τῇ ἑτέρῳ μεμνηστευμένῃ γίνωσκε δὲ καὶ τοῦτο ὅτι οἱ μὲν ἅγιοι Πατέρες, ὡς ὁ κανὼν φησι, τῷ τῆς μοιχείας ἐγκλήματι κατεβάλλουσι

[39] Deut. xxii, 24. [40] Matth. i, 20.

Guill. Beveregii notæ

(11) *Ἑτέρα ἑρμήνεια.* Hanc alteram hujus canonis interpretationem ms. nostro Bodleiano debemus : neque enim in alio quovis, quum scimus, exstat.

τὸν τὴν τοῦ ἑτέρου μνηστὴν εἰς γάμον ἀγόμενον· τινὲς δὲ τῶν λογίων ὄφθεν τῆς τοιαύτης ἐνοχῆς εὐμεθόδως αὐτὸν ἀπαλλάττουσι· λέγουσι γὰρ ὡς, ἐὰν πρὸ τοῦ γάμου συνέλθωσιν ὅ τε μνηστὴρ καὶ ἡ μνηστὴ, καὶ τέκωσι παῖδα, φυσικὸν εἶναι τοῦτον καὶ πορνογενῆ, ἑνὸς τῶν μνηστήρων τελευτήσαντος πρὸ τοῦ γάμου. Ἡμεῖς δέ φαμεν ὅτι καὶ πρὸ τῆς Νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τῆς ἐξισωσάσης τὴν μνηστείαν κατὰ πάντα τῷ γάμῳ, τοῖς μνηστῆρσι γαμικὰ κατ' ἀλλήλων παρὰ τῶν νόμων ἐδόθησαν δίκαια. Ἥ τε γὰρ μνηστὴ, πρὸ τῶν γάμων λυομένης τῆς μνηστείας, τὴν περὶ προικὸς ἀγωγὴν ἐκίνει χάριν τῆς δοθείσης τῷ μνηστῆρι προικὸς, κατὰ τὸ δεύτερον θέμα τοῦ ιζ' κεφ. τοῦ ζ' τίτλου τοῦ θ' βιβλίου, λέγον· Ἡ μνηστὴ διδοῦσα προῖκα, εἰ μὴ γαμηθῇ, ἔχει τὸ τῆς προικὸς προνόμιον· καὶ κατὰ τὸ οδ' κεφ. τοῦ α' τίτλου τοῦ κθ' βιβλίου, λέγον· Ἡ μνηστὴ παρεχομένη προῖκα καὶ μὴ γαμηθεῖσα, καὶ ἡ ἧττων τῶν ιβ' ἐτῶν, προνόμιον ἔχει ἀπαιτήσεως κατὰ μίμησιν τῆς προικός. Τὸ δὲ προνόμιον ἐν ταῖς προσωπικαῖς ἀγωγαῖς χώραν ἔχει· καὶ μνηστὴρ, κατά τε τὸν παρόντα κανόνα καὶ κατὰ τὸ η' κεφ. τοῦ νη' τίτλου τοῦ ξ' βιβλίου, καὶ κατὰ τὸ γ' θέμα τοῦ ιβ' κεφ. τοῦ ξ' τίτλου τοῦ ζ' βιβλίου, δικαίῳ ἀνδρὸς ἐκίνει τὸ μοιχικὸν κατά τε τῆς μνηστῆς ἑτέρῳ συμφθαρείσης πρὸ τοῦ γάμου καὶ κατὰ τοῦ ταύτην μοιχεύσαντος. Εἰ γοῦν πρὸ τῆς Νεαρᾶς τοιαῦτα δίκαια εἶχον κατ' ἀλλήλων οἱ μνηστῆρες, πολλῷ πλέον διὰ τὴν Νεαρὰν, τὴν διοριζομένην ἰσοδυναμεῖν κατὰ πάντα τὴν μνηστείαν τῷ γάμῳ διὰ τὴν τῶν ἁγίων καὶ θείων εὐχῶν τελετήν· διὸ καὶ ὁμόζυγος ὁ μνηστὴρ κληθήσεται τῆς ἰδίας μνηστῆς· καὶ ὁ ἐξ αὐτῶν γεννηθεὶς γνήσιος αὐτῶν ἔσται παῖς καὶ κληρονόμος, καὶ ὑπεξούσιος τῷ πατρὶ ἐκ τοῦ μὴ γενέσθαι τὸν γάμον, κατὰ μηδένα, λόγον ἐμποδιζόμενος.

ΖΩΝΑΡ. Νῦν μὲν ἡ μνηστεία γάμῳ ἰσοδυναμεῖ ἐκ Νεαρᾶς τοῦ βασιλέως Κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ πάλιν δὲ, ἐπεὶ φίλημα τῶν μνηστευομένων ἐπὶ τῇ μνηστείᾳ ἐγίνετο, καὶ ἀῤῥαβὼν τῇ γυναικὶ παρείχετο παρὰ τοῦ ἀνδρὸς, εἰκότως καὶ τότε ὁ ζῶντος τοῦ μνήστορος τὴν μνηστὴν εἰς γάμον ἀγόμενος τῷ τῆς μοιχείας ἐγκλήματι καθίστατο ἔνοχος· κἂν ἐξῆν τότε λύειν τὴν μνηστείαν τῆς ποινῆς τοῦ προστίμου παρεχομένης. Ἀλλ' εἰ, μήπω τῆς μνηστείας λυθείσης, μνηστὴ ἦν ἡ γυνὴ ἑτέρου, καὶ ὁ ταύτην λαβὼν μοιχὸς εἰκότως ἐκρίνετο. Ὅπου δὲ οὔτε φίλημα οὔτε δόσις ἀῤῥαβῶνος παρηκολούθησεν, ὡς νῦν γίνεται ἐπὶ τῶν λεγομένων δεσμῶν, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, οὐχ ὑποπεσεῖται τῷ τῆς μοιχείας ἐγκλήματι.

ΑΡΙΣΤ. « Μοιχός ἐστιν ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος. » *Σαφής.*

ΚΑΝΩΝ ϞΘ'.

« Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι « μεμαθήκαμεν, ὡς τινες, ἔνδον ἐν τοῖς ἱεροῖς « θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες, προσάγου- « σιν ἀφαιρέματα τοῖς ἱερεῦσιν, Ἰουδαϊκῶς ἀπο- « νέμοντες· ὅθεν τὸ τῆς Ἐκκλησίας φυλάττοντες « ἀκηλίδωτον, ὁρίζομεν μὴ ἐξεῖναί τινι τῶν ἱερέων

277 subjiciunt. Nonnulli autem e doctis nimirum, istiusmodi obligatione eum artificiose liberant. Dicunt enim, quod si ante nuptias sponsus et sponsa conveniant, et filium procreaverint, naturale id esse peccatum, et fornicationis speciem : si unus e desponsis ante nuptias moriatur. Nos autem dicimus, quod etiam ante imperatoris domini Alexii Comneni Novellam, quæ matrimonio in omnibus sponsalia æquiparavit, sponsis matrimonialia in se invicem jura a legibus concessa sunt. Sponsa enim, si sponsalia ante nuptias dissolvantur, de dote actionem movet ob datam sponso dotem, juxta secundum thema cap. 17, tit. 7, lib. IX, dicens : Mulier dotem dans, si nupta non fuerit, dotis privilegium habet. Et juxta cap. 74, tit. 1, lib. XXIX, dicens : Sponsa, quæ dotem dedit, et non nupsit, et quæ minor est duodecim annis, privilegium repetendi habet secundum dotis similitudinem. Privilegium autem in actionibus personalibus locum habet. Et sponsus, juxta præsentem canonem, et cap. 8, tit. 58, lib. LX, et thema 3, cap. 12, tit. 7, lib. LX, jure viri, tam contra sponsam ab alio ante nuptias corruptam, quam contra eum qui cum ea adulterium commisit, adulterii actionem movebat. Si sponsi itaque ante Novellam hujusmodi in se invicem jura habuerant, multo magis per novellam, quæ sponsalia nuptiis ob sacrarum, divinarum precum celebrationem in omnibus æquivalere statuit. Quapropter etiam conjux suæ sponsæ appellabitur sponsus; et qui ex iis procreatur, legitimus eorum erit filius et hæres, et patri erit sub potestate, nullo modo impeditus, quod nuptiæ non celebratæ sunt.

ZONAR. Sponsalia, hoc quidem tempore, ex imperatoris Alexii Comneni Novella, ejusdem sunt cum nuptiis potestatis. Et olim quidem quoniam osculum a viro in sponsalibus cum arrhabone mulieri præbitum esset, jure fiebat, ut qui viro superstite sponsam duxisset, adulterii reus ageretur; ac tum sponsalia rescindere, et multam ex condicto præfinitam exigere licebat. At si, sponsalibus nondum dissolutis, mulier alterius erat sponsa, et qui eam ducebat, adulter jure judicabatur. Quod si nec osculum nec aliquid arrhabonis nomine intercessisset, ut in iis, quæ dicuntur vincula, hoc tempore fieri consuevit; tunc, etsi mulierem sibi alter adjunxerit, adulterii nihilominus criminis immunis existimabitur.

ARIST. « Adulter est qui alteri desponsam ducit. »

Perspicuus.

CANON XCIX.

« Porro hoc quoque in Armeniorum regione fieri « didicimus, quod quidam intus in sacris altari- « bus carnium membra coquentes frusta offe- « runt sacerdotibus Judaice distribuentes. Quo- « circa Ecclesiam immaculatam servantes, « statuimus, nulli licere sacerdoti separata

« nium membra ab offerentibus accipere ; sed A
« iis sint contenti, quæ offerenti visa fuerint,
« ejusmodi oblatione extra Ecclesiam facta : si
« quis autem hoc non fecerit, segregetur. »

« ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγον-
« των λαμβάνειν, ἀλλ' οἷς ἀρεσθῇ ὁ προσάγων,
« τούτοις ἀρκείσθωσαν, ἔξω τῆς Ἐκκλησίας τῆς
« τοιαύτης γινομένης προσαγωγῆς· εἰ δέ τις μὴ
« τοῦτο ποιῇ, ἀφοριζέσθω. »

BALS. Scis, quod cum Moses jussisset Israelitis, suæ ex Ægypto egressionis tempore, agnum interficere, et ejus sanguine domorum postes inungere, ut, quod ex primogenitorum exterminatore impendebat, periculum effugerent : Judæis hinc visum est, per agni et aliorum quorumdam animalium sacrificium, Deum quibusdam diebus placare. Ipsum autem sacrificium in alio quidem loco fiebat : in alio autem coquebantur carnes et dividebantur. Aliquas ergo partes animalis quod sacrificabatur, sacerdotibus propter aliquas rationes afferebant, de quibus non est dicendi tempus. Quoniam **278** autem didicere sancti Patres, quod in Armeniorum regione per animalia quidem non fiunt sacrificia, sed carnium partes intra altare coquuntur, et ex iis frusta quædam, scilicet membra separata, pedes forte et caput, vel aliquid ejusmodi, sacerdotibus more Judæorum offerunt, statuerunt, nec in altari carnium membra coquere, nec extra ipsum tales separatas partes sacerdotibus offerre ex antiqua consuetudine oportere : sed ejusmodi cessare, et sacerdotes a laicis oblationem suscipere debere, in quibuscunque rebus et generibus ipsi voluerint. Ut est autem verisimile, propter consuetudinem quæ in Armeniis C obtinuit, concesserunt sancti Patres, ut laici sacerdotibus offerrent quæ ipsi vellent. Apud nos enim nemo cogitur aliquid hujusmodi facere. Dixerit autem quispiam, quomodo, cum canon tractet de duobus quæ in Armeniorum regione fiebant, de coquendis scilicet carnium membris in altari, et de frustis sacerdotibus in Ecclesia offerendis, solam carnium in Ecclesia oblationem Patres prohibuerunt? *Solutio.* In altaribus carnium membra coquere apud Christianos est omnino prohibitum, ex quo per animalia cessavit sacrificium : et propterea de eo Patribus dicere non placuit : unde et de solis frustis, quæ sacerdotibus offeruntur, lex constituit ; nempe cum de eo solum capite quæstio instituta esset. D

ΒΑΛΣ. Οἶδας ὅτι τοῦ Μωϋσέως κελεύσαντος τοῖς Ἰσραηλίταις κατὰ τὸν καιρὸν τῆς ἀπὸ τῆς Αἰγύπτου ἐξελεύσεως αὐτῶν σφαγιάσαι ἀμνὸν, καὶ χρίσαι διὰ τοῦ αἵματος τὰς φλιὰς τῶν οἰκιῶν αὐτῶν, ὅπως φύγωσι τὸν ἐκ τοῦ ὀλοθρευτοῦ τῶν πρωτοτόκων κίνδυνον, δέδοκται παρὰ Ἰουδαίοις διὰ θυσίας ἀμνοῦ καὶ ἄλλων τινῶν ζώων ἐξιλεοῦσθαι τὸν Θεὸν ἐν ἡμέραις τισίν. Ἡ δὲ θυσία αὕτη ἐν ἄλλῳ μὲν τόπῳ ἐγίνετο, ἐν ἑτέροις δὲ τὰ κρέα ἥψειτο καὶ ἐμερίζετο. Τινὰ γοῦν μέρη τοῦ θυομένου ζώου τοῖς ἱερεῦσι προσήγοντο διά λόγους τινάς, περὶ ὧν οὐκ ἔστι καιρὸς λέγειν. Ἐπεὶ δὲ μεμαθήκασιν οἱ ἅγιοι Πατέρες ὡς ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων θυσίαι μὲν διὰ ζώων οὐ γίνονται, μέρη δὲ κρεῶν ἐντὸς τοῦ θυσιαστηρίου ἕψονται, καὶ ἐκ τούτων ἀφαιρέματά τινα, ἤγουν ἀφωρισμένα μέλη, πόδας τυχὸν καὶ κεφαλήν, ἢ ἑτερόν τι τοιοῦτον, τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς προσάγουσιν, ὥρισαν, μήτε ἐντὸς τοῦ θυσιαστηρίου μέλη κρεῶν ἕψεσθαι, μήτε ἐκτὸς αὐτοῦ προσάγεσθαι τοιαῦτα ἀφωρισμένα μέλη τοῖς ἱερεῦσι κατὰ τὸ πάλαι κρατοῦν ἔθος· ἀλλὰ τὴν τοιαυτότροπον προσαγωγὴν σχολάσαι, καὶ δεξιοῦσθαι τοὺς ἱερεῖς παρὰ τῶν λαϊκῶν, ἐν οἷς οὗτοι θέλουσιν εἴδεσί τε καὶ πράγμασι. Ὡς ἔοικε δὲ διὰ τὴν κρατήσασαν ἐν Ἀρμενίοις συνήθειαν ἐνέδωκαν οἱ Πατέρες προσάγειν τοὺς λαϊκοὺς τοῖς ἱερεῦσι τὰ αὐτοῖς αἱρετά. Παρ' ἡμῖν γὰρ οὐδεὶς ἀναγκάζεται τοιοῦτόν τι ποιεῖν. Εἴποι δέ τις, πῶς τοῦ κανόνος διαλαμβάνοντας περὶ δύο τινῶν γινομένων εἰς τὴν χώραν τῶν Ἀρμενίων, ἤγουν περὶ τοῦ ἕψεσθαι μέλη κρεῶν ἐν τοῖς θυσιαστηρίοις, καὶ περὶ τοῦ ἐντὸς τῆς Ἐκκλησίας προσάγεσθαι τοῖς ἱερεῦσιν ἀφαιρέματα κάτω, μόνην τὴν ἐπ' ἐκκλησίας προσαγωγὴν τῶν κρεῶν οἱ Πατέρες ἐκώλυσαν; Λύσις. Τὸ ἐν τοῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψεσθαι, πάντη παρὰ Χριστιανοῖς ἀπηγόρευται, ἐξότου ἡ διὰ τῶν ζώων ἐπαύθη θυσία, καὶ διὰ τοῦτο εἰπεῖν περὶ αὐτοῦ τοῖς Πατράσιν οὐκ ἔδοξεν· ὅθεν καὶ περὶ μόνων τῶν ἀφαιρεμάτων τῶν τοῖς ἱερεῦσι προσαγομένων ἡ θεσμοθεσία γέγονεν, ὡς τούτου τάχα τοῦ κεφαλαίου εἰς ἔτι πίπτοντος ὑπὲρ ζήτησιν.

ZONAR. Hebræorum instituto, quicunque sacrificaverat, et mactato animali pectusculum aliasque ejusdem animalis particulas, non sine sua quidque ratione latentisque mysterii significatione, sacerdotibus offerebam. Apud Armenios vero nulla quidem animalia immolabantur, siquidem illa sacrificandi consuetudo Christianorum legibus sublata fuit : sed intra altare decoctis carnibus, ex iis certa ac definita quædam sacerdotibus largiebantur. Quam quidem consuetudinem, quippe Judæorum mores adhuc redolentem, synodus damnat, ac carnes quidem in Ecclesia coquere, aut in eadem definita illa sacerdotibus offerri vetat :

ΖΩΝΑΡ. Οἱ θύοντες παρὰ Ἰουδαίοις προσῆγον τοῖς ἱερεῦσιν ἐκ τοῦ τεθυμένου ζώου τὸ στηθύνιον, καὶ ἕτερα τοῦ ζώου μέρη ἃ καὶ λόγους εἶχον, δι' οὓς προσήγοντο, καὶ ἀναγωγάς. Παρὰ δὲ τοῖς Ἀρμενίοις ζώων μὲν θυσίαι οὐκ ἐπράττοντο, ἐπεὶ τὰ ζῶα προσάγειν εἰς θυσίαν ἀπηγόρευται τοῖς Χριστιανοῖς· ἑψοντες δὲ κρέα τοῦ θυσιαστηρίου ἐντὸς, ἐξ ἐκείνων προσῆγον τοῖς ἱερεῦσιν ὡρισμένα τινά. Ὅπερ ὡς Ἰουδαϊκὸν κωλύει ἡ σύνοδος· καὶ τὸ μὲν ἕψειν ἐν ἐκκλησίᾳ, ἢ ὡρισμένα προσάγειν ἐν αὐτῇ τοῖς ἱερεῦσιν ἀπαγορεύει· τὸ δὲ προσάγειν αὐτοῖς οἷα καὶ ὅσα οἱ προσάγοντες βούλονται, ἔξω τῆς ἐκκλησίας ἐφίησι· καὶ τοῦτο δὲ πάντως διὰ τὴν κρα-

τήσασαν παρ' ἐκείνοις συνήθειαν ἐςῆκεν ἡ σύνοδος. Ἀφαίρεμα δὲ τὸ προσαγόμενον λέγεται, ὡς ἐκ τοῦ ὅλου θύματος ἀφαιρούμενον.

A promiscue vero quæcunque demum offerentes malucrint extra Ecclesiam offerendi, idque prorsus veteresti apud eos moris habita ratione, potestatem facit. Per Ἀφαίρεμα porro id quod offerentes largiuntur intelligi debet, ex eo scilicet, quod a toto mactati animalis corpore abstractum sit, appellatione deducta.

ΑΡΙΣΤ. « Ἰουδαϊκῶς τινες ἐν ἱεροῖς ἑψουσι κρέα. « Ὅς τοῦτο οὖν συγχωρήσειεν, ἢ λάθῃ τι ἐξ « αὐτῶν, οὐχ ἱερεύς · εἰ δέ τις εἰκοθεν ἄγοι, « ἴδε κατὰ τὸ ἀρέσκον τῷ προσάγοντι λαβέτω, « ἔξω τῆς ἐκκλησίας γινομένης τῆς προσ« αγωγῆς. »

ARIST. « Nonnulli more Judaico carnes in templis « coquunt. Qui igitur hoc permiserit, vel quip« piam ex illis acceperit, non est habendus sa« cerdos : si quis autem sua sponte offeret, ipse, « quod offerenti placuerit, accipiat, oblatione « extra ecclesiam facta. »

Τινὲς ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ μέλη κρεῶν ἑψοντες ἐν τοῖς ἱεροῖς οἴκοις προσῆγον, ἀφωρισμένα τινὰ τούτων τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ποιοῦντες. Τοῦτο γοῦν οἱ Πατέρες μαθόντες γινόμενον, κωλύουσι γίνεσθαι, καὶ προστάττουσι, μὴ ἐξεῖναι τοῖς B ἱερεῦσιν ὡρισμένα μέλη κρεῶν ἀπαιτεῖν, ἀλλ' ἐκείνοις ἀρκεῖσθαι, οἷς ἀρέσκεται ὁ προσάγων · τὴν δὲ προσαγωγὴν τούτων ἔξω τῆς ἐκκλησίας γίνεσθαι · εἰ δὲ μὴ, ἀφορίζεσθαι τὸν ἄλλως ποιοῦντα.

Quidam in Armeniorum regione carnium membra coquentes in sacris ædibus offerebant, nonnulla eorum separata Judæorum more sacerdotibus distribuentes. Hoc itaque factum fuisse intelligentes Patres, amplius fieri prohibent, jubentque non licere sacerdotibus separata carnium membra reposcere, sed illis acquiescere quæ offerenti placent; eorum autem oblationem extra ecclesiam fieri : sin minus, segregari istum, qui aliter facit.

ΚΑΝΩΝ Γ'.

« *Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ « φυλακῇ τήρει σὴν καρδίαν,* » ἡ Σοφία διαπει« λεύεται · ῥᾳδίως γὰρ τὰ ἐκτῶν ἐπὶ τὴν ψυχὴν « αἱ τοῦ σώματος αἰσθήσεις εἰσκρίνουσι. Τὰς οὖν « τὴν ὅρασιν καταγοητευούσας γραφὰς, εἴτε ἐν « πίναξιν εἴτε ἄλλως πως ἀνατιθεμένας, καὶ τὸν « νοῦν φθειρούσας καὶ κινούσας πρὸς τὰ τῶν « αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα, οὐδαμῶς ἐπὶ « τοῦ νῦν οἱῳδήποτε τρόπῳ προστάσσομεν ἐγχα« ράττεσθαι · εἰ δέ τις τοῦτο πράττειν ἐπιχειρή- C « σοι, ἀφοριζέσθω.

279 CANON C.

« Oculi tui recta aspiciant, et omni custodia « serva cor tuum [61], jubet Sapientia ; corpo« ris enim sensus sua facile in animam in« fundunt. Picturas ergo, quæ oculos præ« stringunt, sive in tabulis, sive alio quovis « modo fiant, et mentem corrumpunt, et ad « turpium voluptatum movent incendia, nullo « modo deinceps exprimi jubemus. Si quis au« tem hoc facere aggressus fuerit, deponatur. »

ΒΑΛΣ. Πρώτη τῶν αἰσθήσεων ἡ ὅρασίς ἐστι, καὶ ὀφείλομεν διὰ ταύτης ἐπὶ πᾶν ἀγαθὸν ὁδηγεῖσθαι· οὐ μὴν δι' αὐτῆς κατὰ τὸν πρωτόπατορα προδιδόναι τὰς ἐν ὀλῇ τοῦ Θεοῦ. « Εἶδε γὰρ, » φησὶ κἀκεῖνος, « τὸ ξύλον ὡς ὡραῖον, καὶ ἡπατήθη, καὶ ἔφαγε, καὶ τῷ θανάτῳ ὑπόδικος γέγονεν. » Ἐπεὶ τοίνυν τινὲς ἐρωτομανοῦντες, καὶ περὶ τὴν βιοτὴν ἀδιάφοροι, ἐν πίναξιν, ἢ ἐν τείχοις, ἢ ἐν ἄλλοις τισὶν εἴδεσιν εἰκόνιζον ἐρωτίδ.α, ἢ καί τινα μυσαρὰ, ὅπως τὰς σαρκικὰς αὐτῶν ἐπιθυμίας διὰ τῆς πρὸς ταῦτα ὁράσεως ἐκπεραίνωσιν, ὥρισαν οἱ ἅγιοι Πατέρες, χρησάμενοι καὶ μαρτυρίαις γραφικαῖς, σχολάσαι ταῦτα παντάπασιν, ὡς καταγοητεύοντα ἤτοι ἀπατῶντα τὴν ὅρασιν, καὶ D εἰσκρίνοντα, ἤτοι εἰσβάλλοντα, εἰς τὴν ψυχὴν πᾶν εἴ τι κακὸν, καὶ παραίτια ὄντα αἰσχρῶν καὶ ἀσέμνων τολμημάτων, καὶ διαφθειρόντων τὸ κατ' εἰκόνα Θεοῦ · τοὺς δὲ τοιοῦτόν τι τολμήσαντας καθ' οἱονδήτινα τρόπον ὑπευθύνους εἶναι ἀφορισμῷ. Σημείωσαι τοῦτο · παρὰ γὰρ οἴκοις πλουσίων τινῶν οὐ μόνον γραφαὶ τοιαῦται καὶ ταῦτα χρυσόπαστοι μετὰ πάσης ἀσχημοσύνης ἐξεικονίζονται, ἀλλὰ καὶ διὰ γυψίνων κατασκευασμάτων στηλογραφοῦνται ἀνθρωπόμορφα εἰκονίσματα.

BALS. Primus sensuum est visus, et per eum debemus ad omne quod bonum est deduci : non autem per ipsum, quemadmodum et noster primus pater, Dei præcepta prodere. Vidit enim, inquit et ille, arborem, quod pulchra esset, et deceptus est, et comedit, et sub mortis potestatem redactus est [62]. Quoniam ergo nonnulli insano amore capti, et vitam negligentem agentes, in tabulis, vel etiam in parietibus, vel in aliquibus aliis rebus, cupidines quosdam, vel etiam alia quidem exsecranda depingebant, ut carnales suas cupiditates per eorum aspectum peragerent; statuerunt sancti Patres, Scripturæ quoque testimoniis utentes, ea omnino cessare oportere, utpote quæ sensum præstringunt seu fallunt, et in animam infundunt seu immittunt omne malum, turpibusque et inhonestis inceptis, quæque Dei imaginem corrumpunt, causam præbent : eos autem, qui tale quid quovis modo ausuri sunt, esse segregationi obnoxios. Nota hoc : in ædibus enim quorumdam divitum, non solum ejusmodi picturæ, eæque auro distinctæ, cum omni turpitudine effinguntur ; sed etiam per gypseas structuras, hominum repræsentatrices imagines, describuntur.

ΖΩΝΑΡ. Γραφάς τινας, ἤτοι ζωγραφίας ἀσί-

ZONAR. Γραφάς, hoc est picturas habitu invere-

[61] Prov. IV, 23. [62] Gen. III, 6.

cundo in parietibus ac tabulis aliqui efformabant, quarum aspectus ad voluptates, facta obscœna, flagitiosasque libidines excitaret. Eas ergo quocunque loco canon adhiberi vetat, ac repetito etiam ex sacris Litteris testimonio, quæ externis sensibus, oculis nimirum forte aut auribus, usurpamus, in animum facile transfundi, hoc est insinuari atque immitti, docet. Quamobrem et eos, qui ejusmodi quidpiam admiserint, segregatione puniendos esse decernit.

ARIST. « Picturæ quæ ad turpia aspectum mo-
« vent, non sunt pingendæ : qui autem trans-
« greditur, segregatur. »

Oculi tui recta aspiciant, et omni custodia serves cor tuum, Sapientia jubet. Quapropter Patres necessarium judicarunt, picturas in tabulis aut parietibus ad turpia moventes aspectum, et mentem corrumpentes fieri prohibere. Qui hoc autem transgressus fuerit, eum segregari jubent.

μνους, ἐν τοίχοις καὶ πίναξιν ἐνεχάραττον, αἳ τοὺς ὁρῶντας ἐξεκαλοῦντο πρὸς ἡδονὰς καὶ πράξεις αἰσχρὰς, καὶ πρὸς ἐπιθυμίας ἠρέθιζον σαρκικάς. Ταύτας οὖν ὁ κανὼν ἐν οὐδενὶ τόπῳ γίνεσθαι συγχωρεῖ, τάς τε γραφικὰς μαρτυρίας παράγων, καὶ λέγων ὡς ῥᾳδίως αἱ αἰσθήσεις τὰ δι' αὐτῶν ὁρώμενα ἢ ἀκουόμενα τυχὸν εἰσκρίνουσιν ἐπὶ τὴν ψυχήν, ἀντὶ τοῦ εἰσωθοῦσιν, εἰσάγουσι. Διὸ καὶ τοὺς τοιαῦτα ποιοῦντας κολάζει ἀφορισμῷ.

ΑΡΙΣΤ. « Αἱ πρὸς τὰ αἰσχρὰ κινοῦσαι τὴν ὅρασιν
« γραφαὶ ἀζωγράφητοι· ὁ δὲ παραβαίνων ἀφορί-
« ζεται. »

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ Σοφία διακελεύεται. Διὰ τοῦτο γοῦν δέον ἔκριναν οἱ Πατέρες τὸ ἐν πίναξιν ἢ ἐν τοίχοις γίνεσθαι ζωγραφίας πρὸς αἰσχρὰ κινούσας τὴν ὅρασιν, καὶ διαφθειρούσας τὸν νοῦν, κωλύεσθαι· τὸν δὲ παραβαίνοντα τοῦτο προσέταξαν ἀφορίζεσθαι.

CANON CI.

« Corpus Christi et templum esse hominem ad
« imaginem Dei creatum alta voce procla-
« mat divinus Apostolus [13]. Omnem ergo
« sensilem creaturam superans is, qui salutari passione cœlestem dignitatem est assecutus,
« et Christum bibens et comedens, æternæ vitæ prorsus adaptatur, animam et corpus divinæ
« gratiæ participatione sanctificans : Quare, si
« quis immaculati corporis in synaxis tempore
« esse particeps voluerit, et jam antequam ejus fiat
« communio, manus in crucis formam figurans,
« sic accedat et gratiæ communionem accipiat.
« Eos enim, qui ex auro vel ex alia materia
« quædam loco manus receptacula efficiunt, ad
« divini muneris susceptionem, et per ipsa immaculatam communionem recipiunt, minime
« admittimus, ut qui inanimatam subjectamque
« materiam Dei imagini præferant : si quis autem deprehensus fuerit immaculatam **280**
« communionem iis impertiens, qui ejusmodi
« receptacula afferunt et ipse segregetur, et is
« qui affert. »

BALS. Iis temporibus divites quidam pauperes, ut est verisimile, irridentes, ex auro vel argento vel aliqua alia specie vasa seu receptacula construentes, prætextu religionis et metus Dei, iis veluti manibus utebantur, et sacrosanctum Domini

ΚΑΝΩΝ ΡΑ'.

« Σῶμα Χριστοῦ (12) καὶ ναὸν τὸν κατ' εἰκόνα Θεοῦ
« κτισθέντα ἄνθρωπον ὁ θεῖος Ἀπόστολος μεγα-
« λοφώνως ἀποκαλεῖ. Πάσης οὖν αἰσθητῆς κτίσεως
« ὑπερκείμενος ὁ τῷ σωτηρίῳ πάθει τοῦ οὐρανίου
« τυχὼν ἀξιώματος, καὶ ἐσθίων καὶ πίνων Χρι-
« στὸν, πρὸς ζωὴν διὰ παντὸς μεθαρμόζεται τὴν
« ἄϋδιον, ψυχῇ καὶ σώματι μεθέξει τῆς θείας ἁγια-
« ζόμενος χάριτος· ὥστε, εἴ τις τοῦ ἀχράντου
« σώματος μετασχεῖν ἐν τῷ τῆς συνάξεως βουλη-
« θείη καιρῷ, καὶ ἔμπροσθεν αὐτοῦ τῇ μετουσίᾳ
« γενέσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον
« σταυροῦ, οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινω-
« νίαν τῆς χάριτος. Τοὺς γὰρ ἐκ χρυσοῦ ἢ ἄλλης
« ὕλης ἀντὶ χειρός τινα δοχεῖα κατασκευάζοντας
« πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχὴν, καὶ δι'
« αὐτῶν τῆς ἀχράντου κοινωνίας ἀξιουμένους,
« οὐδαμῶς προσιέμεθα, ὡς προτιμῶντας τῆς τοῦ
« Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχεί-
« ριον. Εἰ δέ τις ἁλῷ τῆς ἀχράντου κοινωνίας
« μεταδιδοὺς τοῖς τοιαῦτα δοχεῖα προσφέρουσι,
« καὶ αὐτὸς ἀφοριζέσθω, καὶ ὁ ταῦτα ἐπιφερό-
« μενος. »

ΒΑΛΣ. Κατὰ τοὺς τότε καιροὺς πλούσιοί τινες, τῶν πενεστέρων, ὡς ἔοικε, καταμωκώμενοι, ἐκ χρυσοῦ ἢ ἀργύρου ἢ ἄλλου τινὸς εἴδους κατασκευάζοντες δοχεῖα ἐν προσχήματι εὐλαβείας καὶ φόβου Θεοῦ, ἐχρῶντο τούτοις ὡσεὶ χερσὶ, καὶ τὸ ἄχραντον σῶμα

[13] II Cor. vi, 16.

Guill. Beveregii notæ.

(12) *Σῶμα Χριστοῦ*. Constantinus Harmenopolus hunc canonem in hanc Epitomen redegit, Ὁ τοῦ ἀχράντου μεταλημψόμενος Δεσποτικοῦ σώματος, εἰ μὴ τὰς χεῖρας ἐκτείνων καὶ σταυροειδῶς σχηματίζων ἐν αὐτοῖς δέχοιτο, ἀλλά τινι δοχείῳ, ἀφοριζέσθω σὺν τῷ μεταδιδόντι. *Qui immaculatum corpus Dominicum percepturus est, si non manus extendens, et in modum crucis conformans, illis ipsis id accipiat, sed receptaculo quodam, segregetur, una cum eo, qui invertit.* In quam Epitomen hujus canonis scholiastes hæc observat, Εὐλαβούμενοί τινες δῆθεν διὰ τῶν χειρῶν τὴν ἀναφορὰν δέξασθαι, σκεύη χρυσᾶ κατεσκεύαζον, ἢ ἀργυρᾶ, καὶ διὰ τούτων ἐδέχοντο. Τοῦτο οὖν ἀναιρεῖ, τιμιώτατον πάντων λέγων τὸν ἄνθρωπον εἶναι. *Nimirum cum quidam manibus reverentur oblationem recipere, aurea vasa parabant, vel argentea, per quæ illam accipiebant. Hoc igitur abolet[canon] hominem dicens omnium esse pretiosissimum.* Harmenop. epit. can. sect. 5, tit. 2.

τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως ἐν αὐτοῖς ὑπεδέχοντο. Καὶ ἀρχῆθεν μὲν ἴσως ἐπενοήθη τοῦτο παρά τινων δι' εὐλάβειαν, νομιζόντων τάχα μὴ εἶναι ἄξιον εἰς ὑποδοχὴν τοῦ Κυριακοῦ σώματος τὴν χεῖρα τὴν ἁπτομένην καὶ αἰσχρῶν τινων καὶ ἀναξίων· κατ' ὀλίγον δὲ προϊόντος, εἰς ψυχικὴν ἀπώλειαν μετέπεσεν ἡ εὐλάβεια, ὡς τῶν ποιούντων ταῦτα ζητούντων προτιμᾶσθαι τῶν πενεστέρων, καὶ ἄλλως ἀλαζονευομένων. Ἐπεὶ γοῦν ἔδοξε τοῦτο τοῖς Πατράσι παραίτιον σκανδάλων πολλῶν, ἀλλὰ μὴν καὶ ὑβριστικὸν τοῦ ἡμετέρου σώματος, τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος, εἶπον ὡς τοῦ μεγάλου ἀποστόλου Παύλου ἀποκαλοῦντος τὸν ἄνθρωπον σῶμα Χριστοῦ καὶ εἰκόνα Θεοῦ, καὶ παντὸς κτίσματος τιμιώτερον, ὡς καὶ ἀξιούμενον τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως, κἀντεῦθεν κατά τε ψυχὴν καὶ σῶμα ἁγιαζόμενον, οὐκ ὀφείλουσί τινες προτιμᾶσθαι αὐτοῦ τὰ ἐκ χρυσοῦ καὶ τινων ἑτέρων ὑλικῶν ἄψυχα καὶ ὑποχείρια εἴδη· ἢ μὴν τοὺς παρὰ ταῦτα ποιοῦντας ἀφορίζεσθαι, δηλονότι αὐτούς τε τοὺς χρωμένους τοιούτοις τισὶν ὑλικοῖς εἰς ὑποδοχὴν τοῦ σώματος τοῦ Χριστοῦ, καὶ τοὺς μεταδιδόντας τούτου αὐτοῖς. Μὴ θαυμάσῃς δὲ, μηδὲ ἐρωτήσῃς τὴν αἰτίαν, δι' ἣν ἔν τισιν ἐκκλησίαις μεταδίδοται τοῖς λαϊκοῖς τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ, καὶ οὐκ ἐγχειρίζεται τούτοις (13) κατὰ τὴν τοῦ κανόνος περίληψιν· πίστις γὰρ ὀρθὴ καὶ φόβος Θεοῦ καὶ εὐλάβεια ἀνύποπτος τοῦτο παρέδωκεν, οὐχὶ τὸ τῶν λαϊκῶν ἀνάξιον. Νομίζω δὲ ὑπὸ τοῦ παρόντος κανόνος ἁλίσκεσθαι τοὺς προβαλλομένους ἀξιώματα καὶ γένη κατὰ τὸν τῆς ἁγίας μεταλήψεως καιρὸν, ζητοῦντας προτιμᾶσθαι.

et Dei et Servatoris nostri Jesu Christi corpus sanctæ communionis tempore in eis recipiebant. Et ab initio quidem hoc fortasse a quibusdam propter pietatem excogitatum est, fortasse existimantibus manum non esse dignam Dominicum corpus suscipere, quæ turpia quædam et indigna tangit. Procedente autem tempore, ad animæ perniciem conversa est pietas, utpote iis qui illa faciunt, pauperioribus præferri quærentibus, et se alioqui arroganter et insolenter jactantibus. Quoniam ergo hoc sanctis Patribus multorum scandalorum et offendiculorum causam præbere, ut et in nostrum quoque corpus, ad imaginem Dei factum, contumeliosum esse visum est, dixerunt, quod cum magnus apostolus Paulus corpus Christi et Dei imaginem, et quavis creatura pretiosiorem, hominem vocet, ut qui divinorum sacramentorum participatione dignus habeatur, et ex eo et anima et corpore sanctificetur, non debent ulli, inanimatas et subjectas species, ex auro et quibusdam aliis materialibus factas, ei præferre : vel alioqui ii quidem, qui præter hæc faciunt, segregantur, et ii scilicet, qui ejusmodi materialibus ad corporis Christi susceptionem utuntur, et qui eis hoc præbent. Ne mireris autem, nec causam rogaveris, propter quam in quibusdam ecclesiis datur laicis sanctum Christi corpus, nec eis in manu traditur, ut hoc canone continetur : recta enim fides et Dei timor, et ab omni suspicione aliena pietas, hoc tradidit, non laicorum indignitas. Existimo autem hoc canone eos coargui, qui auctoritates seu dignitates generisque nobilitatem allegant, sanctæ communionis tempore, et præponi quærunt.

ΖΩΝΑΡ. Τινὲς δι' εὐλάβειαν τάχα καὶ τιμὴν τῶν θείων δώρων δοχεῖά τινα χρύσεα ἢ ἐξ ἄλλης ὕλης τῶν πολυτίμων ποιοῦντες, ἐν ἐκείνοις ἐδέχοντο τὸ ἄχραντον σῶμα τοῦ Κυρίου, καὶ οὕτως αὐτοῦ μετελάμβανον. Ὅπερ ἡ σύνοδος, κἂν δι' εὐλάβειαν ἐγίνετο, οὐκ ἐδέξατο. Παντὸς γὰρ αἰσθητοῦ πράγματος τιμιώτερον ἡγεῖται τὸν ἄνθρωπον, ὡς Θεοῦ εἰκόνι τετιμημένον, καὶ σῶμα Χριστοῦ γενόμενον καὶ ναὸν Θεοῦ κατὰ τὸν θεῖον ἀπόστολον Παῦλον. Ἐπεὶ οὖν, φησὶν, ὑπέρκειται πάσης κτίσεως αἰσθητῆς, καὶ ἐσθίων καὶ πίνων Χριστὸν διὰ τῆς κοινωνίας ἁγιάζεται ψυχῇ τε καὶ σώματι ὁ τῶν ἁγιασμάτων ἀξιούμενος, εἴ τις ἐν καιρῷ συνάξεως βούλεται τοῦ ἀχράντου σώματος μεταλαβεῖν, προσίτω τὰς χεῖρας ἐκτείνας, καὶ σχηματίσας εἰς τύπον σταυροῦ, καὶ οὕτω δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος, ἣν ἡμῖν ὁ Κύριος εἰς ἁγιασμὸν ἐχαρίσατο. Οὐδεὶς γὰρ ἄξιος ἀληθῶς ἐστι τῆς αὐτοῦ μεταλήψεως, ἀλλὰ πάντες χάριτι αὐτῆς ἀξιούμεθα, καθὸ καὶ χάριτί ἐσμεν σεσωσμένοι κατὰ τὸν μέγαν Παῦλον. Τοὺς δὲ τοιαῦτα ὀχεῖα κομίζοντας, καὶ δι' αὐτῶν δέχεσθαι βουλο-

ZONAR. Nonnulli religione forte adducti, et sacrorum donorum veneratione, quibusdam receptaculis ex auro aliave multi pretii materia comparatis, immaculatum Domini corpus excipere, eaque ratione communicare soliti sunt. Quod quidem licet a religione profectum, tamen synodus improbavit. Rei namque cuilibet sensili, hominis dignitatem, qui nimirum, et divina imagine nobilitatus, et cum Christo unius corporis nexu copulatus, et divini apostoli Pauli testimonio templum Dei est, longe anteponit. Quoniam igitur is cui sacra mysteria communicantur, quacunque sensili natura præstantior est, ac dum Christum manducat et bibit, ea communione animo pariter et corpore sanctus efficitur, si quis interea dum sacra synaxis peragitur, immaculatum corpus suscipere amet exporrectis, atque in crucis modum conformatis manibus procedat, ac ita demum gratiæ communionem, quam Dominus nobis ad animum sanctitate imbuendum donavit, accipiat. Ea siquidem communione, nemo revera dignus est, sed ea digni, per

Guill. Beveregii notæ.

(13) *Καὶ οὐκ ἐγχειρίζεται τούτοις.* Innuit hic Balsamon præsentem canonem in nonnullis Ecclesiis ejus diebus non observatum esse. Utpote quibus sacramentum non in manus fidelium traditum est, sed in receptaculo quodam iis impertitum : quod Græci λαβίδα vocant ; latine *Cochlear* non immerito audiat. Hujus frequens in Euchologio mentio occurrit, ut in præsanctificatorum liturgia, εἶτα λαβὼν τὴν ἁγίαν λαβίδα, βάπτει αὐτὴν ἐν τῷ ἁγίῳ αἵματι.

gratiam, omnes efficimur, quemadmodum et gratia, ut D. Paulus testatur, salvati sumus. Qui vero ejusmodi receptacula secum afferunt, iisque ad communionem percipiendam uti volunt, quippe qui expertem animi materiam Dei imagini anteponant, ac eos quoque qui illis sic poscentibus impertiverint, segregatione canon puniri jubet.

ARIST. « Manus in crucis figuram componit, qui « eucharistiam sumpturus est, ac ore sumit; « qui vero receptaculum aureum, vel alius ma- « teriæ manus vice præparat, segregandus est. »

Homo, ad Dei similitudinem creatus, est supra omnem creaturam sensibilem, et Christi corpus, et templum est juxta divinum Apostolum. Si quis itaque se divinæ communionis participem esse cupit, eamque non ore accipit, ut manus suas in crucis formam figurans, sed receptaculum quoddam aureum aut ex alia materia **281** manus loco conficit, ut per illud divinum donum acciperet, illiusque participatione haberetur dignus, et ipse et qui mysteria ei tradit segregabitur ut qui inanimatam subjectamque materiam Dei imagini præferunt.

CANON CII.

« Oportet autem eos, qui solvendi et ligandi po- « testatem a Deo accepere, peccati qualitatem « considerare, et ejus qui peccavit ad conver- « sionem promptum studium, et sic morbo « convenientem afferre medicinam : ne si in « utroque immoderatione utatur, ab ejus qui « laborat salute excidat. Non enim simplex est « morbus peccati, sed varius et multiformis, et « multas incommodi propagines germinans : ex « quibus malum multum diffunditur, et ulterius « progreditur, donec viribus medentis reprima- « tur. Quare, qui medicinæ scientiam in spiritu « profitetur, oportet eum primum ejus qui pec- « cavit affectionem considerare, et, sive vergat « ad sanitatem, sive contra propriis moribus « provocet in se morbum, aspicere, et quomodo « ejus quæ intercedit vitæ rationisque curam ge- « rat : et si artifici non reluctatur, et ulcus « animæ auget per impositorum medicamen- « torum adjectionem, sic quoque misericordiam, « prout dignus est, impertiri. Omnem enim ra- « tionem init Deus, isque cui pastoralis tradi- « tus est principatus, ut errantem ovem reducat, « et ei, quæ est a serpente vulnerata, medea- « tur, et neque per desperationis præcipitia « impellat, nec ad vitæ dissolutionem et con- « temptum fræna relaxet : sed alia quidem « omnino ratione, sive per acriora et astrin- « gentia, sive per molliora et leniora medica- « menta, affectioni resistat, et ad ulceris obduc- « tionem adnitatur, fructus pœnitentiæ exami- « nans, et sapienter dispensans et gubernans « hominem, qui ad superiorem illuminationem « vocatur. Nos enim utraque scire oportet, et « quæ sunt summi juris, et quæ sunt consuetu- « dinis, in iis autem, qui extrema non admit-

μένους τὴν κοινωνίαν ὡς προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην, ἀφορίζεσθαι ὁ κανὼν λέγει καὶ τοὺς τούτου μεταδιδόντας αὐτοῖς.

ΑΡΙΣΤ. « Τὰς παλάμας εἰς σταυρὸν τυποῖ ὁ μετα- « λήψόμενος, καὶ λαμβάνων τῷ στόματι· ὁ δὲ « δοχεῖον χρυσοῦν ἢ ἐξ ἄλλης ὕλης ἀντὶ χειρὸς « σκευάζων ἀφοριστέος. »

Πάσης τῆς αἰσθητῆς κτίσεως ἐπέκεινα ὁ κατὰ εἰκόνα Θεοῦ κτισθεὶς ἄνθρωπος καὶ σῶμα Χριστοῦ καὶ ναός ἐστι κατὰ τὸν Ἀπόστολον. Εἴ τις γοῦν τῆς θείας κοινωνίας μετασχεῖν βουληθείη, καὶ οὐ λάβῃ αὐτὴν τῷ στόματι, ὡς ἐν τύπῳ σταυροῦ σχηματίσας τὰς χεῖρας αὐτοῦ, ἀλλὰ δοχεῖόν τι χρυσοῦν, ἢ ἐξ ἄλλης ὕλης κατασκευάσει ἀντὶ χειρὸς, ὥστε δι' αὐτοῦ τὸ θεῖον δέξασθαι δῶρον, καὶ τῆς μεταλήψεως ταύτης ἀξιωθῆναι· ἀφορισθήσεται αὐτὸς καὶ ὁ μεταδιδοὺς, ὡς προτιμῶντες τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον.

ΚΑΝΩΝ ΡΒ'.

« Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ Θεοῦ « λαβόντας σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα « καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν « ἑτοιμότητα, καὶ οὕτω κατάλληλον τὴν θερα- « πείαν προσάγειν τῷ ἀῤῥωστήματι, ἵνα μὴ τῇ « ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀπσφαλείη « πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος. Οὐ γὰρ « ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλη καὶ « πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης τὰς παρα- « φυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πολὺ « διαχεῖται καὶ πρόσω βαίνει, μέχρις ἂν σταίη « τῇ δυνάμει τοῦ θεραπεύοντος. Ὥστε τὸν τὴν « ἰατρικὴν ἐν πνεύματι ἐπιστήμην ἐπιδεικνύμε- « νον πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθε- « σιν ἐπισκέπτεσθαι, καὶ εἴτε πρὸς τὴν ὑγίειαν « νεύει, ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων « προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα, « ἐφορᾷν, ὅπως τε τῆς ἐν τῷ μεταξὺ προνοεῖται « ἀναστροφῆς, καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, « καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμέ- « νων φαρμάκων αὐξάνει προσαγωγῆς, καὶ οὕτω « τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν. Πᾶς γὰρ λόγος « Θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι « ἡγεμονίαν τὸ πλανώμενον πρόβατον ἐπανάγα- « γεῖν, καὶ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, « καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώ- « σεως, μήτε τὸν χαλινὸν ἐπιδοῦναι πρὸς τὴν τοῦ « βίου ἔκλυσίν τε καὶ καταφρόνησιν· ἀλλ' ἐν « ἑτέρῳ τρόπῳ πάντως, εἴτε διὰ τῶν αὐστηροτέ- « ρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλοτέρων « τε καὶ πραοτέρων φαρμάκων, κατὰ τοῦ πάθους « στῆναι, καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀντ- « αγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκι- « μάζοντι καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν « ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον. Ἀμ- « φότερα τοίνυν εἰδέναι ἡμᾶς χρὴ, καὶ τὰ τῆς

« ἀκριβείας καὶ τὰ τῆς συνηθείας, ἕπεσθαι δὲ A « ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα τῷ « παραδοθέντι τύπῳ καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδί- « δάσκει Βασίλειος (14). »

« tunt, sequi formam traditam, quemadmodum « sanctus nos docet Basilius

ΒΑΛΣ. Καὶ ἐν ἄλλαις συνόδοις ὡρίσθη τὸν κατὰ χώραν ἐπίσκοπον, τὸν ἀπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος ἐξουσίαν λαβόντα δεσμεῖν καὶ λύειν, μὴ πάντοτε προσέχειν τοῖς θεσμοθετηθεῖσι παρὰ τῶν κανόνων χάριν τῶν ἐπιτιμίων· ἀλλ' οἰκονομεῖν ταῦτα πρὸς τὰ πρόσωπα τὰ ἐπιτιμώμενα, ἤγουν πρὸς τὰς ἡλικίας αὐτῶν, καὶ πρὸς τὰς διαθέσεις, καὶ πρὸς τὰ ἐπιτηδεύματα, ἀλλὰ μὴν καὶ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος, καὶ οὕτω προσάγειν ἑκάστῳ ἀῤῥωστήματι θεραπείαν κατάλληλον. Καὶ ὁ παρὼν δὲ κανὼν τοῦτο αὐτὸ διορίζεται, ἀνατιθέμενος τὸ πᾶν τῇ διὰ τῶν ἐπιτιμίων θεραπείας τοῦ κάμνοντος, εἰς τὴν διάκρισιν τοῦ ἰατρεύοντος, ἤγουν τοῦ κατὰ χώραν ἐπισκόπου, καὶ τοῦ ἐπιτραπησομένου παρ' αὐτοῦ. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι, σαφέστατός τε καὶ εὐληπτος. Διὰ γὰρ τοῦτο οὐδὲ πλέον τι γέγραπται παρ' ἡμῶν χάριν ἑρμηνείας. Ἐν τῷ τέλει δὲ διορίζεται ὀφείλειν ἡμᾶς εἰδέναι καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας. Γράφεται δὲ καὶ τὰ τῆς συμπαθείας ἀκολούθως τῷ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι· *Εἰ δέ τις οὐχ ὑπακούει τοῦ λόγου ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτο σημειοῦσθαι, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ· μηδὲ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.* Ταῦτα γὰρ ἐλέους καὶ συμπαθείας εἰσὶν, ἤτοι συνηθείας, ἤγουν τοῦ ἤθους τῷ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος. Συναγαγὼν τοίνυν, εἰπὲ ὡς χρὴ ἡμᾶς εἰδέναι καὶ τὰ τῆς ἀκριβείας τῶν κανονικῶν ἐπιτιμίων, καὶ τὰ τῆς συμπαθεστέρας συνηθείας· καὶ πῇ μὲν κανονικῶς θεραπεύειν τὰ ἀῤῥωστήματα, ὅταν ἑτοίμως καταδέχωνται οἱ κάμνοντες τὰ ἐπιτίμια· πῇ δὲ διὰ τῶν συνήθων καὶ συμπαθεστέρων ἰατρειῶν, ὅταν σκληρότεροι ὦσιν εἰς

BALS. In aliis quoque concilliis statutum est, ut qui est loci episcopus, qui a sancti Spiritus gratia accepit potestatem ligandi et solvendi [a], non ea omnino observet, quæ de pœnis a canonibus statuta sunt : sed eas modificetur, habita ratione personarum quibus infliguntur, earum scilicet ætatum et affectionum, et vitæ studiorum, et etiam qualitatis peccati ; et sic unicuique morbo afferat convenientem medicinam. Præsens autem canon hoc ipsum quoque statuit, universam per pœnas ægroti curandi rationem medici prudentiæ ac judicio relinquens, episcopi scilicet illius loci, et ejus cui hoc ab eo committetur. Et hic est quidem scopus canonis, manifestissimus et comprehensu facillimus. Propterea enim nec plura a nobis in eius interpretationem scripta sunt. In fine autem statuit, nos ea quæ sunt summi juris scire oportere, et quæ sunt consuetudinis (Græce est, καὶ τὰ τῆς συνηθείας). Invenitur autem etiam scriptum τὰ τῆς συμπαθείας quæ sunt commiserationis, consequenter dicto apostolico, quod ita se habet : *Si quis autem id, quod a nobis dicitur, non audit, hoc per Epistolam significari, et ne cum illo consuetudinem haberi ut confundatur : neque ut inimicum existimate, sed admonete ut fratrem* [b]. Ea autem sunt misericordiæ et commiserationis, sive consuetudinis et moris scilicet tempore comprobati et confirmati. His ergo simul collectis, dic, quod oportet nos scire, et quæ sint pœnæ canonicæ summo jure, et quæ sunt paulo mitioris consuetudinis : et aliquando quidem morbos canonice curare, quando, qui laborat, pœnas satis 282 prompte et non gravate acceperint ; aliquando

[a] Joan. xx, 23. [b] II Thess. III, 14, 15.

Guill. Beveregii notæ.

(14) Ἐκδιδάσκει Βασίλειος. Post hæc ultima ultimi hujus canonis verba in codice Amerbachiano hoc scholium legitur, Φιλανθρωπίας καὶ οὗτος ὁ νόμος μεστός. Ὥσπερ γὰρ ἐπὶ τοῦ θνησιμαίου δηγορεύσαμεν, εἰ μὲν εἰς ἀγγεῖον πέσῃ ἀκάθαρτον εἶναι, εἰ δὲ εἰς πηγὴν ἢ εἰς λάκκον, οὐκέτι· οὕτω τὸν μὲν ποικίλον δεξάμενον χρῶμα τῶν ἄλλων ἀποκρίνει, ὡς ἐλπίδα καθάρσεως ἔχοντα, τὸν δὲ ὁλόλευκον γενόμενον ἀναμίγνυσθαι τοῖς ἄλλοις κελεύει, ἵνα μὴ παρὰ πάντα τὸν βίον κεχωρισμένος διάγῃ τῶν ἄλλων. Καὶ τοῦτο δὲ τῶν πνευματικῶν τύπος. Τοῖς μὲν γὰρ πιστοῖς ἁμαρτάνουσιν οὐδὲ συνεσθίειν ὁ θεῖος κελεύει νόμος, τοῖς δὲ ἀπίστοις εἰς ἑστίασιν συγκαλοῦσι κελεύει ὁ θεσπέσιος Παῦλος συνεστιᾶσθαι. Οὗτος τοίνυν ἔοικε τῷ ἐκ μέρους λεπρῷ, ὁ δὲ ἄπιστος τῷ πᾶσαν ἀπολέσαντι τὴν φυσικὴν χρόαν. Ἀλλὰ τούτοις καὶ προσδιαλεγόμεθα, καὶ συναναστρεφόμεθα, ἐκείνοις δὲ οὐκέτι. Τοῦτο δὲ πάλιν ὁ Παῦλος διδάσκει, Ἔγραψα δὲ ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ λοίδορος, ἢ πλεονέκτης, Καθαρὸν μέν τοι κέκληκε τὸν ὅλον γεγενημένον λευκὸν, οὐχ ὡς ὑγιὲς ἔχοντα σῶμα, ἀλλ' ὡς μηκέτι τοὺς πελάζοντας κατὰ τὸν νόμον μολύνοντα. *Hæc etiam lex humanitate plena est. Quemadmodum enim de morticinio diximus, si quidem in vasculum ceciderit, immundum esse ; sin autem in fontem aut lacum, nequaquam : sic [leprosum] qui varium susceperit colorem, lex ab aliis secernit, ut spem purgationis habentem ; cum autem, qui omnino albus factus est, aliis commisceri jubet, ne per totam vitam ab aliis separatus degat. Cæterum hoc rerum spiritualium typus est. Cum fidelibus enim delinquentibus nec una vesci divina lex præcipit, cum infidelibus autem ad convivium vocantibus divus Paulus una convivari jubet. Illi enim ex parte leprosis similes sunt ; infideles autem iis, qui omnem naturalem colorem perdiderunt. Atqui his et una colloquimur, et conversamur : cum istis autem nequicquam. Hoc autem et Paulus docet, inquiens, Scripsi autem vobis, ne commisceamini, si quis frater nominatus sit, vel fornicator, vel convitiator, vel avarus. Mundum porro cum appellavit, qui omnino albus, factus est, non quod sanum corpus habeat, sed quod vicinos non amplius juxta legem contaminet.* Hoc autem scholium, neque in Bodleiano nostro, nec Ætoniensi, nec alio quem videre contigit, codice habetur

θέσεως, καὶ ἐλαφρύνειν μὲν τῷ μικροψύχῳ τὴν ἐπιτίμησιν, βαρύνειν δὲ τῷ μεγαλοψύχῳ αὐτὴν, καὶ ἀμφότερα δι' ἔλεον ποιεῖν· ἵνα τὸν μὲν ἐκκαθάρῃ τοῦ ῥύπου, τῷ δὲ μὴ ἐπιξέσῃ τὸ τραῦμα, καὶ χεῖρον τὸ ἕλκος ἐργάσηται.

A quo illum pœnæ levitas in eamdem vel etiam gravioremnoxam rursus impellat : sed esse misericordiam unicuique pro meritis impertiendam, hoc est pro ea, quæ in singulis fuerit animi affectione, ita uniuscujusque miserendum ; et animi quidem spiritus et erectum, graviore puniendum ; idque

abjectioris hominem, leviore pœna, magni vero totum misericordiæ tribuendum, ut ab altero quidem vulnus ne scalpendo adhuc magis exasperet.

squalorem et sordes abstergat, alterius vero

Ἡ γὰρ πᾶσα φροντὶς καὶ σπουδὴ τῷ τε Θεῷ καὶ τῷ ψυχῶν ποιμένι τοῦτό ἐστι, τὸ τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ φαρμαχθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε διὰ τῆς αὐστηρίας ὠθῆσαι κατὰ κρημνοῦ τῆς ἐπιγνώσεως, μήτε διὰ χαυνότητος καὶ τῶν ἁπαλωτέρων φαρμάκων ἐνδοῦναι αὐτῷ τὸν χαλινὸν, ὡς ἵππῳ, ὥστε σκιρτᾷν καὶ βίον ἔκλυτον ζῆν, ἀλλὰ σπεύδειν ἀντιστῆναι τῷ πάθει εἴτε δι' αὐστηρίας εἴτε διὰ πραότητος, ὡς ἂν διαθέσεως ἔχῃ πρὸς αὐτὰ ὁ θεραπευόμενος. Τοῦτο δ' ἔσται, εἰ δοκιμάζει καὶ καταστοχάζεται τοὺς τῆς μετανοίας αὐτῶν καρποὺς, καὶ οἰκονομεῖν τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν, ἤγουν τὴν τῶν οὐρανῶν βασιλείαν καλούμενον ἄνθρωπον. Ἀμφότερα οὖν ἐνδέχεται ἡμᾶς γινώσκειν, φασὶν οἱ τῆς συνόδου Πατέρες, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας ἢ συμπαθείας. Γράφονται γὰρ καὶ ἀμφότερα, ἤγουν καὶ ὅσα ἡ ἀκρίβεια βούλεται, καὶ ὅσα τὸ συμπαθὲς ἀπαιτεῖ εὐκαίρως καὶ σὺν διακρίσει γινόμενον· ἤ τὰ τῆς συνηθείας, ἤγουν τὰ τοῦ ἔθους τοῦ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος, ὃ καὶ ὡς νόμον κρατεῖν καὶ οἱ θεῖοι κανόνες, καὶ οἱ τῆς πολιτείας νόμοι κελεύουσι. Καὶ ὁ μέγας δὲ Βασίλειος ἐπὶ τῶν μὴ καταδεχομένων τὴν ἀκρότητα τῶν παραδοθέντων τύπων ἕπεσθαι τῇ συνηθείᾳ ἐδίδαξε. Τὴν ἄνω δὲ λαμπροφοριαν, εἶπεν, ὅτι τοῖς θείοις Πατράσι καὶ διδασκάλοις βασιλεία τῶν οὐρανῶν πρὸ τῶν ἄλλων ἡ ἐλλαμψις κέχριται, ἡ ἐκ τῆς θείας φύσεως, καὶ τὸ νοῆσαι τελεώτερον.

Omnis siquidem tum ipsius Dei tum pastoris animarum cura et studium in eo positum est, ut errabundas oves in suam stationem revocet, ac serpentis veneno infectis salutarem faciat medicinam, nec vel acerbitate nimia in præruptæ desperationis impellat, vel indulgentia ac remediorum facilitate habenas quodammodo, quasi equo, **283** B ad lasciviam solutumque vitæ genus remittat : sed vitiis obsistere, adhibita vel austeritate vel lenitate, pro ejus, quem curandum susceperit, affectione contendat. Quod quidem ita fiet, si ipsorum pœnitentiæ fructus examinaverit et diligenter consideraverit ; proindeque hominem ad illustrationis supernæ claritatem, ad regnum nimirum cœleste vocatum, regendum sibi moderandumque suscipiat. Duo igitur illa, inquiunt synodi Patres, licet nobis cognoscere, tum ea quæ summi juris sunt, tum ea quæ consuetudini sive misericordiæ tribuuntur. Utraque enim scriptis commendata exstant ; et ea nimirum, quæ summi juris severitas exigit, et quæ, temporis opportunitate servata judicioque adhibito, commiseratio postulat : vel quæ C consuetudo, mos videlicet hominum temporis diuturnitate probatus confirmatusque deposcit. Nam ea quoque instar legis, tum sacrorum canonum decretis tum civilium etiam legum constitutionibus obtinet. Magnus quoque Basilius in iis, qui pœnarum severitatem antiquis formulis expressam non admittunt, sequendam esse consuetudinem docuit illustrationem porro supernam dixit, eo quod regnum cœlorum in illustratione quadam, in primis ex natura divina emanante, ac perfectiore Dei cognitione, sancti Patres ac doctores positum esse judicaverunt.

ΑΡΙΣΤ. « Ἡ τῆς ἁμαρτίας ἐπὶ πᾶσι σκοπεῖται « ποιότης, καὶ ἡ ἐπιστροφὴ καθορᾶται· καὶ οὕτω « μετρεῖται τὸ ἔλεος. »

ARIST. « Peccati qualitas in omnibus considera- « tur, et conversio perspicitur. Et sic miseri- « cordiæ mensura disponitur. »

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἁμαρτήματι ὥρισαν οἱ Πατέρες. Τὴν δὲ κρίσιν πᾶσαν ἀνέθεντο πρὸς τὸν τὴν ἐξουσίαν παρὰ Θεοῦ λαβόντα τοῦ δεσμεῖν τε καὶ λύειν· ὅπως αὐτὸς καὶ τὴν ποιότητα σκοπήσῃ τοῦ ἁμαρτήματος, καὶ τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος, καὶ οὕτως ἐπιμετρήσῃ τὸ ἔλεος, τὴν θεραπείαν προσάγων κατάλληλον τῷ ἀῤῥωστήματι. Ὁ γὰρ πᾶ, λόγος τῷ Θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγκεχειρισμένῳ ἡγεμονίαν ἐν τούτῳ ἐστὶ, ἐν τῷ τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ μὴ κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, καὶ τὸν τρωθέντα ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων καὶ πραοτέρων φαρμάκων.

Pœnas quidem cuique peccato adhibendas decreverunt Patres. Sed totum judicium ei relinquunt D qui ligandi et solvendi potestatem a Deo accepit, ut ille et peccati consideret qualitatem, et ejus qui peccavit conversionem, et sic misericordiam mensura disponat, medelam morbo convenientem adhibens. Omnis enim ratio Deo et ei cui pastoralis traditur principatus, in eo est, ut errantem ovem reducat, et non in desperationis præcipitia impellat, et a serpente vulneratum medicetur, sive per acriora et astringentia, sive per molliora et leniora medicamenta.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΕΒΔΟΜΗΣ ΣΥΝΟΔΟΥ.

—

CANONES

SANCTÆ ET UNIVERSALIS VII SYNODI.

—

284 BALS. Sancta et œcumenica septima synodus fuit anno 6296, indictione 11 sub imp. Constantino et Irene, matre ejus, (erat autem hic Constant., filius Leonis filii Copronymi) 367 sanctis Patribus Nicææ Bithyniæ secundo congregatis, adversus eos qui imaginum hostes seu Christianorum erant accusatores. Quæ quidem imagines relative adorari et salutari decrevit.

ZONAR. Sancta et œcumenica septima synodus Constantino et Irene ejus matre imperantibus, celebrata fuit. (Constantinus hic porro Leonis ex Copronymo geniti filius) trecentis septem et sexaginta sanctis Patribus Nicææ, quæ in Bithynia est, adversus imaginum hostes seu Christianorum accusatores, congregatis. Quæ quidem imagines relative adorandas et amplectendas, quemadmodum et verendæ crucis figuram, decrevit, et fidelium Ecclesiæ tradidit, sic a Domino assumptæ humanitatis, et ejus, quæ ipsum sine semine modoque prorsus inexplicabili edidit, Deiparæ omniumque sanctorum simulacra, esse colenda. Sed et, ad Ecclesiæ constitutionem fideliumque utilitatem, subjectos præterea canones promulgavit.

CANON I.

« Iis, qui sacerdotalem dignitatem sortiti sunt, « testimonia et ad recte se gerendum instituta « sunt cononicarum constitutionum descriptio- « nes : quas cum Deiloquo Davide libenter re- « cipientes, ad Dominum Deum cantamus, di- « centes : « In via mandatorum tuorum lætatus « sum, tanquam in omnibus divitiis [44]; et man-

[44] Psal. cxviii, 14.

ΒΑΛΣ. Ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος γέγονεν ἐν ἔτει ,ςαιζ' (15), ἰνδικτιῶνος α', ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ (ἦν δὲ οὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος τοῦ υἱοῦ τοῦ Κοπρωνύμου), τριακοσίων ἑξήκοντα ἑπτὰ (16) ἁγίων Πατέρων συναθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τὸ δεύτερον κατὰ τῶν εἰκονομάχων, ἡγουν Χριστιανοκατηγόρων· ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο.

ΖΩΝΑΡ. Ἡ ἑβδόμη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ. Ἦν δὲ οὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος τοῦ υἱοῦ τοῦ Κοπρωνύμου, τριακοσίων ἑξηκονταεπτὰ ἁγίων Πατέρων ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας κατὰ τῶν εἰκονομάχων, ἡγουν Χριστιανοκατηγόρων, ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο, ὁμοίως τῷ τοῦ τιμίου σταυροῦ τύπῳ, καὶ τῇ τῶν πιστῶν Ἐκκλησίᾳ παρέδωκεν οὕτω σέβεσθαι τοὺς τύπους τοῦ προσλήμματος τοῦ Κυρίου καὶ τῆς αὐτὸν ἀσπόρως καὶ ἀῤῥήτως τεκούσης Θεοτόκου, καὶ τοὺς τῶν ἁγίων ἁπάντων. Ἀλλὰ καὶ κανόνας ἐξέθετο εἰς κατάστασιν ἐκκλησιαστικὴν καὶ εἰς ὠφέλειαν τῶν πιστῶν, οἵπερ εἰσὶν οὗτοι.

ΚΑΝΩΝ Α'.

« Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν μαρτύριά τε « καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων « εἰσιν ὑποτυπώσεις· ἃς δεχόμενοι ἀσμένως, « μετὰ τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν « Δεσπότην Θεὸν λέγοντες· « Ἐν τῇ ὁδῷ τῶν « μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ, « καὶ ἐνετειλω δικαιοσύνην, τὰ μαρτύριά σου εἰς

Guill. Beveregii notæ.

(15) Ἐν ἔτει ,ςαιζ'. Aufer 5508 ab 6296, et reliquus fiet annus 788. Hoc igitur anno, juxta Balsamonem, a Christi Nativitate currente celebrata est hæc secunda Nicææ synodus. Græcorum autem anni, non Latinorum instar Kalendis Januariis, sed Septembribus ineunt. Et quidem mense Septembri synodus hæc Nicææ congregata est, indictione 11 (τα' non α', ut in Græco textu male imprimitur). Ac proinde antequam annus 788 Julianus cœptus est; quippe qui ante Kal. Jan. sequentes non incepit. Habitum est ergo hoc concilium anno Juliano Dom. 787, quemadmodum et antea observatum est. Sed Paulus Diaconus anno 781, Cedrenus anno 786, aliique aliis annis celebratum fuisse falso perhibuerunt.

(16) *Τριακοσίων ἑξήκοντα ἑπτά*. Sic etiam præter Aristenum Photius asserit, trecentos sexaginta septem episcopos huic concilio interfuisse, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν πλῆθει πλατυνομένη. Phot. De synodis. Nilus trecentos sexaginta tres solos fuisse scribit, συγκροτηθεῖσα ὑπὸ τριακοσίων ἑξήκοντα τριῶν ἁγίων Πατέρων κατὰ τῶν εἰκονομάχων. Nil. De syn. Psellus autem non plures quam trecentos quinquaginta fuisse tradidit, cujus etiam sententiam plerique amplexi sunt.

« τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι. » Καὶ A
« εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται
« ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν
« ἐν αὐτοῖς, δηλονότι ἀκράδαντα καὶ ἀσάλευτα
« διαμένουσιν. Ὅτι καὶ ὁ θεόπτης Μωϋσῆς
« οὕτω φησίν· « Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι,
« καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Καὶ ὁ θεῖος
« ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος
« βοᾷ, Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. Καὶ
« ὁ Παῦλός φησι· « Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ
« οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελι-
« σάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Τούτων οὖν οὕτως
« ἐχόντων καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώ-
« μενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλά,
« ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, B
« καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευ-
« τον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων
« σαλπίγγων τοῦ πνεύματος τῶν πανευφήμων
« ἀποστόλων, τῶν τε ἓξ ἁγίων οἰκουμενικῶν συν-
« όδων καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ
« ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων
« Πατέρων ἡμῶν. Ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ
« αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν τὰ
« συμφέροντα· καὶ οὓς μὲν τῷ ἀναθέματι πα-
« ραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς
« δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς
« δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς
« δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως
« ὑποβάλλομεν. « Ἀφιλάργυρος γὰρ ὁ τρόπος, C
« ἀρκούμενοι τοῖς παροῦσιν, » ὁ βεβηκὼς εἰς
« τρίτον οὐρανὸν, καὶ ἀκούσας ἄῤῥητα ῥήματα,
« Παῦλος ὁ θεῖος ἀπόστολος διαῤῥήδην βοᾷ. »

« dasti justitiam, *testimonia tua* [47] in sæculum·
« intellectum da mihi, et vivam [48]. Et in sæculum
« nos jubet vox prophetica testimonia Dei servare,
« et in eis vivere, ut quæ scilicet nequaquam
« concutienda nullaque ratione labefactanda per-
« maneant. Nam et qui Deum vidit Moses sic
« ait : « Eis non licet addere, nec eis licet de-
« trahere [49]. » Et divinus apostolus Petrus, in
« iis glorians, exclamat : « Ad quæ angeli pro-
« spicere desiderant [50]. » Atque etiam dicit Pau-
« lus : « Etiamsi nos vel angelus de cœlo evan-
« gelizaverit vobis præter id, quod nos evange-
« lizavimus vobis, sit anathema [51]. » Cum hæc
« ergo ita se habeant, et sint nobis testata, iis
« exsultantes, ut si quis multa spolia invenerit,
« divinos canones libenter amplectimur, eorum-
« que constitutionem integram et illabefactam
« confirmamus, qui editi fuerunt a sanctis spiri-
« tus tubis, summa laude celebrandis apostolis,
« et sex sanctis universalibus synodis, iisque quæ
« ad ejusmodi decretorum traditionem localiter
« coactæ fuerunt, et nostris sanctis Patribus. Ex
« uno enim eodemque Spiritu omnes illuminati,
« quæ erant utilia, decreverunt : et quos anathe-
« mati quidem transmittunt, nos quoque ana-
« thematizamus ; quos vero depositioni, nos
« quoque deponimus ; quos autem segregationi,
« nos itidem segregamus ; et quos pœnæ tradunt,
« nos quoque similiter subjicimus. Sine avaritia
« namque sint mores, præsentibus contenti, is
« qui tertium cœlum conscendit, et arcana verba
« audivit [52], divinus apostolus Paulus aperte
« vociferatur.

ΒΑΛΣ. Μαρτύρια λέγονται τὰ τῶν θείων Γρα-
φῶν παραγγέλματα, ὡς διαμαρτυρόμενα καὶ ὑπο-
τυποῦντα πῶς χρὴ πολιτεύεσθαι τοὺς πιστούς.
Φασὶν οὖν οἱ τῆς συνόδου ταύτης ἅγιοι Πατέρες ὅτι
κατασπαζόμενοι τοὺς προεκτεθέντας κανόνας παρὰ
τῶν ἁγίων ἀποστόλων, τῶν ἓξ οἰκουμενικῶν συνόδων
καὶ τῶν τοπικῶν, ἀναθεματίζομεν τοὺς παρὰ
τούτων ἀναθεματισθέντας, καθαιροῦμεν τοὺς κα-
θαιρεθέντας, ἀφορίζομεν τοὺς ἀφορισθέντας καὶ ἐπι-
τιμῶμεν τοὺς ἐπιτιμηθέντας· ἀφιλάργυρος γὰρ ὁ
τρόπος, τουτέστιν οὐδέν τι πλέον διὰ φιλοδοξίαν τού-
τοις προστιθέαμεν, ἁπλητευσάμενοι ὡς φιλάργυ- D
ροι, ἀλλ' ἀρκούμενοι τοῖς παρ' ἐκείνων διορισθεῖσι.
Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι. Τὰ δ' ἐν
αὐτῷ περιεχόμενα γραφικὰ, σαφῆ ὄντα, ἑρμηνείας
οὐ δέονται. Γίνωσκε δὲ ὅτι οὗτος μὲν ὁ κανὼν τῶν
ἀποστολικῶν καὶ συνοδικῶν κανόνων μόνων ἐμνή-
σθη· ὁ β' δὲ κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διο-
ρίζεται καὶ ἑτέρων ἁγίων θεσπίσματα ὡς τοὺς ἱερο-
ὺς κανόνας κρατεῖν. Μὴ θαυμάσῃς οὖν πῶς καὶ
περὶ τούτων οὐ γέγραπταί τι ἐνταῦθα. Ἠρκέσθησαν
γὰρ οἱ Πατέρες τοῖς ὁρισθεῖσι τότε λίαν καλῶς. Μὴ
ἐναντιωθῇ δέ σοι ἡ ῥηθεῖσα Ἰουστινιάνειος Νεαρὰ, ἡ
καταστρωθεῖσα εἰς σχόλιον τοῦ δευτέρου κεφ. τοῦ α'

BALS. Testimonia dicuntur Scripturarum præcepta, ut quæ testificentur et describant quomodo fideles vitam instituere oporteat. Hujus ergo sanctæ synodi Patres dicunt, a sanctis apostolis, **285** a sex universalibus, et a localibus synodis prius editos canones amplectentes, eos anathematizamus qui ab eis anathematizati fuere, deponimus qui fuere depositi, segregamus qui fuerunt segregati, eosque pœnis multamus, quibus fuerunt pœnæ statutæ. Ab avaritia enim alieni mores, id est, nihil iis propter gloriæ cupiditatem adjicimus, ut avari, inexplebiles ; sed iis, quæ ab illis constituta sunt, contenti sumus. Atque hic est quidem scopus hujus canonis. Quæ autem in eo continentur ad contextum pertinentia, ea, cum sint dilucida, non egent interpretatione. Scito autem, quod hic quidem canon apostolicorum tantum et synodalium canonum meminit : secundus autem canon synodi in Trullo, aliorum quoque sanctorum decreta tanquam sacros canones observari jubet. Ne mireris ergo cur nihil hic de iis quoque scriptum sit. Contenti enim fuere Patres iis, quæ tunc admodum pulchre de illis statuta sunt. Ne tibi autem adversari putetur Justiniani Novella 131, quam in com-

[47] Psal. cxviii, 138. [48] ibid. 146. [49] Deut. iv, 8. [50] I Petr. i, 12. [51] Galat. i, 8. [52] II Cor. xii,

mentario II, cap. primi tit. præsentis operis sita est, et universalium tantum synodorum et localium meminit. Per quæ enim secundum can. synodi in Trullo confirmavit, per eadem aliorum quoque sanctorum Patrum decreta, quæ eo comprehenduntur, stabilivit.

ZONAR. Pluribus locis testimonii nomen in sacris Litteris usurpatum reperias : quorum etiam locorum aliquos sancti Patres hoc canone protulere. Est igitur primo, quid testimonii nomine intelligamus, explicandum. Sunt ergo testimonii Domini constitutiones, quæ nobis, et quo pacto vita instituenda, et quibus suppliciis puniendi sint, quicunque divina imperia contempsere, testantur atque ob oculos ponunt. Qui ergo sacri ordinis dignitate honestati sunt, iis divinos canones, quæque illorum auctoritate descripta et constituta sunt, testimonii loco esse debere, hujus synodi Patres affirmant. Quis enim vitæ modus, quæ ratio unicuique servanda, testantur, quæque illorum violatoribus pœnæ luendæ sint, minantur atque præmonstrant. Sunt vero iisdem canones etiam recte agendi præcepta : vitæ siquidem illorum honestatem tuentur apteque componunt. Virtutem enim eo pacto in nobis efficiunt, Deoque conciliant, quo nullum præstantius recte agendi præceptum reperiri queat. Has igitur, inquiunt, canonicas constitutiones libenter, hoc est, cupide ac alacriter, amplexi, cum Davide illud occinimus : *In via testimoniorum tuorum delectatus sum, sicut in omnibus divitiis* [13] : quasi sic dicerent : Nos deambulantes, seu vitæ cursum peragentes ex testimoniis tuis oblectamur exsultamusque, ut in omnibus

τίτλου τοῦ παρόντος συντάγματος, καὶ μεμνημένη μόνων τῶν οἰκουμενικῶν συνόδων καὶ τῶν τοπικῶν. Δι' ὧν γὰρ ἐπεκύρωσε τὸν β' κανόνα (17) τῆς ἐν τῷ Τρούλλῳ συνόδου, συνεστήριξε καὶ τὰ τῶν ἑτέρων ἁγίων θεσπίσματα, τὰ τούτῳ περιεχόμενα.

ΖΩΝΑΡ. Ἐν τῇ θεοπνεύστῳ Γραφῇ πολλαχοῦ εὑρίσκεται τῶν μαρτυρίων τὸ ὄνομα, ὧν ἐνίων καὶ οἱ ἱεροὶ Πατέρες οὗτοι ἐν τῷ παρόντι κανόνι ἐμνήσθησαν. Δεῖ τοίνυν εἰπεῖν πρότερον τίνα εἰσὶ τὰ μαρτύρια. Μαρτύρια οὖν λέγονται αἱ τοῦ Κυρίου διαταγαὶ, αἱ διαμαρτυρόμεναι καὶ παριστῶσαι πῶς δεῖ βιοῦν ἡμᾶς, καὶ ὅπως οἱ παραβάται τῶν τῷ Θεῷ διατεταγμένων τιμωρηθήσονται. Φασὶν οὖν οἱ τῆς συνόδου Πατέρες ὅτι τοῖς τῆς ἱερατικῆς ἀξίας ἀξιωθεῖσιν οἱ θεῖοι κανόνες καὶ τὰ ὑπ' ἐκείνων τυποῦμενα καὶ ὁριζόμενα μαρτύριά εἰσι. Διαμαρτύρονται γὰρ πῶς χρὴ βιοῦν αὐτοὺς καὶ πῶς πολιτεύεσθαι, καὶ τὴν ἐκ παραβάσεως αὐτῶν ἀπειλοῦσι καὶ προδεικνύουσι κόλασιν. Εἰσὶ δὲ τοῖς αὐτοῖς οἱ κανόνες καὶ κατορθώματα, συντηροῦμενοι δηλαδὴ καὶ ῥυθμίζοντες τὸν βίον αὐτοῖς. Οὕτω γὰρ κατορθοῦσι τὴν ἀρετὴν καὶ εὐαρεστοῦσι Θεῷ, οὗ μεῖζον οὐκ ἂν εὕροι κατόρθωμα. Ταύτας τοίνυν τὰς κανονικὰς διατάξεις ἀσμένως, φασὶ, δεχόμενοι, ἀντὶ τοῦ ἀγαπητῶς, προθύμως, μετὰ τοῦ Δαβὶδ ᾄδομεν· *Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ*, τοῦτο λέγοντες, ὅτι Ὁδεύοντες, ἤγουν τὴν ὁδὸν τοῦ βίου ἀνύοντες, κατὰ τὰ μαρτύριά σου τερπόμεθα καὶ εὐφραινόμεθα, ὡς ἐπὶ παντὶ πλούτῳ, ὡς ἐπὶ παντοδαπῷ καὶ πολυειδεῖ πλούτῳ, ἢ ὥσπερ εἰ πάντα τὸν πλοῦτον ὁμοῦ συναχθέντα εἰς ἓν, εἰ δυνατὸν, εἴχομεν· καὶ πάλιν· *Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά*

[13] Psal. cxvIII, 14.

Guill. Beveregii notæ.

(17) *Δι' ὧν γὰρ ἐπεκύρωσε τὸν β' κανόνα.* Secundum synodi Trullanæ canonem a Justiniano imperatore, novella puta 131 confirmatum esse Balsamon hic asseverat, non animadvertens Justinianum vita functum plusquam centum viginti annis terrenam cum cœlesti corona prius commutasse, quam synodus Trullana celebrata fuit. Imo quidem novella ista a Balsamone citata etiam ante quintam generalem synodum Constantinopoli habitam promulgata fuit, quippe qua quatuor tantummodo œcumenica concilia confirmata sunt. Sic enim se habet, *Sancimus igitur vicem legum obtinere sanctas ecclesiasticas regulas, quæ a sanctis quatuor conciliis expositæ sunt, aut firmatæ ; hoc est, in Nicæna trecentorum decem et octo ; et in Constantinopolitana, sanctorum centum quinquaginta Patrum ; et in Ephesina prima, in qua Nestorius est damnatus ; et in Chalcedonica, in qua Eutyches cum Nestorio anathematizatus est. Prædictarum enim quatuor synodorum dogmata sicut sanctas Scripturas accipimus, et regulas sicut leges observamus.* Justinian. novel. 131. cap 1. Sed unde igitur Balsamon Trullanam etiam synodum a Justiniano confirmatam hauserit? Nimirum e Basilicis, in quæ dicta Justiniani Novella, longe aliter quam ab eo constituta, tralata est. Enimvero in Basilicorum lib. v. tit. 3, cap. 2, ista novella, sic legitur, Θεσπίζομεν τοίνυν τάξιν τόμων ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων ἑπτὰ συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας. Ubi, ut videre est, loco quatuor septem synodi mendose substituuntur : quæ etiam sic postea recensentur et confirmantur, Nicæna prima, Constantinopolitana, Ephesina, Chalcedonensis, Constantinopolitana secunda, Constantinopolitana tertia, et Nicæna secunda. Unde palam fit Basilica, quæ Balsamoni imposuerunt, hoc præsertim in loco, ut alia in præsenti taceam, misere interpolata et corrupta esse ; cum præsens etiam concilium Nicææ habitum a Justiniano confirmatum ibi dicatur, etiamsi ille plusquam ducentis annis antea mortuus fuerit, quam hæc corruptela, nec Balsamon primus, qui ea deceptus fuit. Nam longe ante eum Photius patriarcha Constantinopolitanus eamdem Justiniani novellam eodem modo depravatam citavit, Ἡ γ' διάταξις τοῦ β' τίτλου τῶν Νεαρῶν τοὺς τῶν ἑπτὰ συνόδων κανόνας θέλει κρατεῖν καὶ τὰ δόγματα αὐτῶν, ὡς τὰς θείας Γραφάς. Phot. Nomocan. tit. 1, cap. 2. Unde veri nobis simillimum videtur, istam Justiniani novellam hac corruptela depravatam, et tribus ultimis conciliis auctam esse statim post tempora, quibus extremum eorum sive præsens habitum fuit ; idque eo nomine, ut decreta hujus synodi de imaginibus adorandis legis vicem habere viderentur. Sed nihil incautius, nihil imprudentius perpetrari potuit ; cum neminem lateat impossibile esse, ut Justinianus ea concilia confirmaret, quæ multis post ejus obitum annis celebrata sunt. Quod miror, neque a Balsamone, nec Photio, nec ab aliis antehac observatum.

« Est peccatum ad mortem, quando peccantes ali- « qui perstant non corrigendi. Hoc autem est « deterius, quando et erecta cervice adversus « pietatem et religionem insurgunt, mammonam « Dei obedientiæ præferentes ; et ejus canonicas « constitutiones non ferentes. In iis non est « Dominus Deus, nisi forte humiliati a suo de- « licto resipuerint. Oportet enim eos magis Deo « supplicare, et cum corde contrito hujus pec- « cati remissionem et condonationem petere, et « non de illicita donatione se jactare. Deus « enim prope est iis, qui sunt contriti corde. D « Eos ergo, qui per auri donationem se fuisse « in Ecclesia constitutos gloriantur, et in ea « improba consuetudine spem habent, quæ a Deo « et ab omni sacerdotio alienat, **293** et ideo « impudente vultu et ore aperto, probrosis et « contumeliosis verbis eos, qui propter actam « ex virtute vitam a sancto Spiritu selecti con- « stitutique sunt absque auri largitione, vili- « pendunt : primum quidem eos qui hoc faciunt « ultimum proprii ordinis gradum sumere, sin « autem perseverarint, inflicta quoque pœna « corrigere decernimus. Si quis autem in ordi- « natione hoc quandoque fecisse visus fuerit, « fiat ut vult canon apostolicus, qui dicit : Si

Α ὁ δὲ μητροπολίτης παρὰ τοῦ πατριάρχου, οἷς ὑπόκεινται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς παραβάτου ἐντολῆς Θεοῦ καὶ τῶν ἀποστολικῶν διατάξεων. Καὶ ἐξῆς τίθησι τὰ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ῥητά, ἃ ἐν τῇ πρώτῃ τῶν Καθολικῶν αὐτοῦ Ἐπιστολῶν γέγραπται.

ΑΡΙΣΤ. « Ὁρίζομεν μηδ' ὅλως ἐπιλογίζεσθαι ἐπί- « σκοπον ἀπαιτεῖν χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον « εἶδος, τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, ἢ κληρικοὺς « ἢ μοναχούς. Εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ, « ἢ ἑτέρου εἴδους, ἢ διά τινα ἰδιοπάθειαν, εὑρε- « θείη ἀπείργων τῆς λειτουργίας, ἢ ἀφορίζων « τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν « κλείων, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς ἱερὰς τοῦ « Θεοῦ λειτουργίας· τῇ ταυτοπαθείᾳ ὑποκείσε- « ται· φησὶ γὰρ Πέτρος ὁ ἀπόστολος· « Ποιμά- « νετε τὸ ποίμνιον τοῦ Θεοῦ μὴ ἀναγκαστῶς, « ἀλλ' ἑκουσίως, καὶ κατὰ Θεόν· μὴ αἰσχροκερ- « δῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες « τῶν κλήρων, ἀλλ' ὡς τύπος γινόμενοι τοῦ « ποιμνίου. »

Τὸ ἐπιτιμᾶν καὶ ἀφορίζειν διὰ τοῦτο ἐδόθη παρὰ τῶν ἱερῶν κανόνων τοῖς ἐπισκόποις, ἵνα τὰ ἐπταισμένα παρὰ τῶν ὑπ' αὐτοὺς κληρικῶν καὶ λοιπῶν πνευματικῶς ὁμοῦ καὶ πατρικῶς διορθῶνται. Εἴ δέ τινες, τῇ ἐξουσίᾳ πάντη καταχρώμενοι, ἀφορίσουσί τινας, ἢ ἐπιτιμήσουσι δι' ἰδίαν ἐμπάθειαν, ἢ ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, δικαίως τῇ ταυτοπαθείᾳ ὑποπεσοῦνται ἵνα μάθωσι μὴ ἀλόγως ἐπιτιμᾶν.

ΚΑΝΩΝ Ε'.

« Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρ- « τάνοντες ἀδιόρθωτοι μείνωσι. Τὸ δὲ τούτου « χεῖρον, ἐὰν τραχηλιῶντες κατεξανίστανται τῆς « εὐσεβείας καὶ τῆς ἀληθείας, προτιμώμενοι τὸν « μαμμωνᾶν τῆς τοῦ Θεοῦ ὑπακοῆς, καὶ τῶν κα- « νονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι· ἐν « τούτοις οὐκ ἔστι Κύριος ὁ Θεὸς, εἰ μήπω τα- « πεινωθέντες τοῦ ἰδίου σφάλματος ἀνανήψωσι· « χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ Θεῷ, « καὶ μετὰ συντετριμμένης καρδίας τὴν ἄφεσιν « τούτου τοῦ ἁμαρτήματος καὶ τὴν συγχώρησιν « αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει. « Ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ « καρδίᾳ· τοὺς οὖν ἐγκαυχωμένους διὰ δόσεως « χρυσίου τετάχθαι ἐν Ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ « πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας τῇ ἀλλοτριούσῃ « ἀπὸ τοῦ Θεοῦ καὶ πάσης ἱερωσύνης, καὶ ἐκ « τούτου ἀναιδεῖ προσώπῳ καὶ ἀπερικαλύπτῳ « στόματι ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετὴν « βίου ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐκλεγέντας καὶ « καταταγέντας ἐκτὸς δόσεως χρυσίου ἀτιμάζον- « τας· πρῶτα μὲν τοῦτο ποιοῦντας τὸν ἔσχατον « λαμβάνειν βαθμὸν τοῦ οἰκείου τάγματος· εἰ δὲ « ἐπιμένοιεν, ἐπιτιμίου διορθοῦσθαι. Εἴ δέ τις « ἐπὶ χειροτονίᾳ φανῇ ποτε τοῦτο πεποιηκώς, « γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα, τὸν

« λέγονται· « Εἴ τις ἐπίσκοπος διὰ χρημάτων A
« τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύ-
« τερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ
« χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασιν ἐκ
« τῆς κοινωνίας, ὡς Σίμων ὁ Μάγος ὑπ' ἐμοῦ
« Πέτρου· » ὡσαύτως καὶ τὸν δεύτερον κανόνα
« τῶν ἐν Χαλκηδόνι ὁσίων Πατέρων ἡμῶν, τὸν
« λέγοντα· Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειρο-
« τονίαν ποιήσοιτο, καὶ εἰς πρᾶσιν καταγάγοι
« τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρή-
« μασιν ἐπίσκοπον ἢ χωρεπίσκοπον ἢ πρεσβύτε-
« ρον ἢ διάκονον, ἢ τινα τῶν ἐν τῷ κλήρῳ κατα-
« ριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν
« οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ὅλως
« τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ
« τοῦτο ἐπιχειρήσας, ἐλεγχθείς, κινδυνευέτω εἰς B
« τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος
« μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειρο-
« τονίας ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς
« ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν
« ἔτυχεν. Εἰ δέ τις καὶ μεσιτεύων φανείη καὶ
« τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι,
« καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου
« ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μοναχός,
« ἀφοριζέσθω. »

ΒΑΛΣ. Μέλλοντες οἱ ἅγιοι Πατέρες κολάσαι τοὺς κληρικοὺς τοὺς πρῶτα μὲν ἑκοντὶ καὶ κατὰ φιλόθεον γνώμην προσάγοντας ἐν ταῖς Ἐκκλησίαις χρήματα ἢ ἕτερά τινα· ὕστερον δὲ ἐγκαυχωμένους ἐπὶ C τῇ δόσει, καὶ ζητοῦντας προκαθεδρίας καὶ προτιμήσεις, καὶ ὀνειδίζοντας τοὺς δι' ἀρετὴν ἢ ἐνέργειαν κληρωθέντας κατὰ Θεὸν συναδέλφους αὐτῶν· ἐχρήσαντο ἐν προοιμίοις ῥήματί τινι ἀπὸ τῆς πρώτης Καθολικῆς Ἐπιστολῆς ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου, λέγοντι· « Ἔστιν ἁμαρτία πρὸς θάνατον, » ἤγουν ἁμαρτία θανάσιμος ἢ ἀδιόρθωτος καὶ ἀμετανόητος· καὶ ἔστι ταύτης χείρων ἡ σὺν τῇ ἁμαρτίᾳ ἀναίδεια. Ποῖον γὰρ οὐχ ὑπερβαίνει κακὸν τὸ προτιμᾶσθαί τινα τῆς ἐντολῆς τοῦ Θεοῦ τὰ τοῦ μαμμωνᾶ, ἤγουν τὰ χρήματα, καὶ λέγειν ὀφείλειν τοῦτον δι' ἃ προσήγαγε προτιμώτερον εἶναι τῶν ἄλλων πάντων, τῶν καὶ ἐνεργείας ἴσως ἐχόντων ἢ καὶ ἀρετήν; Τοὺς γοῦν οὕτω φρονοῦντας, καὶ ὅλως δόσεως χρημάτων μεμνημένους, καὶ ἐλπίζοντας διὰ D τοῦτο προτιμᾶσθαι παρὰ τοὺς πολλούς, ἀφ' οὗ μᾶλλον κατάγνωσις ἐπάγεται, καὶ ὡς ἀπερικαλύπτως ὀνειδίζοντας τοὺς ἀδελφοὺς αὐτῶν διὰ τὴν ὑφοποιὸν πενίαν, ὑποβιβάζεσθαι εἰς τὸν ἔσχατον τόπον τοῦ βαθμοῦ αὐτῶν, ἵνα ταπεινωθῶσιν· εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν τῷ κακῷ, ἐπιτιμᾶσθαι κατὰ τὸ δόξαν πάντως τῷ ἐπισκόπῳ. Καὶ ταῦτα μέν, ὁπόταν τις αὐθαιρέτως προσαγάγῃ ἐν Ἐκκλησίᾳ οἱαδήτινα πράγματα, ἄτινα καὶ οἱ λαμβάνοντες ἀποκριματίστως λαμβάνουσι, καὶ οἱ διδόντες ἀνευθύνως διδόασιν. Εἰ δέ τις, φησὶν, οὐκ ἐξ ἀρχῆς μετὰ τοιαύτης αὐθαιρέτου γνώμης ἐποίησε τὴν προσαγωγήν, ἀλλὰ διὰ τὸ χειροτονηθῆναι, ἢ κληρωθῆναι

« quis episcopus per pecunias *hanc dignitatem*
« sit assecutus, vel presbyter, *vel* diaconus,
« deponatur et ipse, et is *qui ordinavit*, et ex-
« scindatur omnino a communione, ut Simon
« Magus a me Petro : et canon 2 sanctorum Pa-
« trum qui Chalcedone convenerunt, qui dicit :
« Si quis episcopus pecuniis ordinationem fece-
« rit, et gratiam non venalem in emptionem
« deduxerit, et pecuniis ordinaverit episcopum,
« vel chorepiscopum, vel presbyterum, vel dia-
« conum, vel aliquem eorum qui in clero enu-
« merantur, vel pecuniis promoverit œconomum,
« vel defensorem, vel monasterii administrum,
« vel omnino aliquem ex canone, turpis lucri
« gratia, qui hoc aggressus esse convictus fue-
« rit, de proprio gradu veniat in periculum : et
« qui ordinatur, ex ea ordinatione vel promo-
« tione, quæ pretio dato instar mercaturæ facta
« est nihil juvetur ; sed sit alienus a dignitate
« vel munere seu curatione quam pecuniis as-
« secutus est. Si quis autem et lucris adeo tur-
» pibus et illicitis intercessor seu sequester
« apparuerit, hic quoque, si sit quidem clericus,
« a proprio gradu excidat : sin autem laicus
« vel monachus, segregetur. »

BALS. Sancti Patres clericos puniturl, qui primum quidem sponte et pia mente pecunias vel aliqua alia in ecclesias afferunt ; postea autem propter donationem se jactant, et primas sedes prioresque honores quærunt, in eos probra ingerentes, qui propter virtutem vel actionem in clerum divinitus recepti sunt confratres sui : dicto quodam in proœmiis usi sunt ex prima Catholica Epistola sancti apostoli et evangelistæ Joannis, dicente ; *Est peccatum ad mortem*[13], scilicet peccatum mortale quod est incorrigibile et cujus nulla agitur pœnitentia ; et eo adhuc deterior quæ est cum peccato impudentia. Quodnam enim malum non superat, si quis mammonam, id est, pecunias Dei mandato præferat : et dicat, debere se ob ea quæ attulit, cæteris aliis honore præferri, qui fortasse actiones habent aut etiam virtutem ? Eos ergo, qui ita sentiunt et pecuniarum dationis omnino meminerunt, et sperant propter id se apud multos præponendos, ex quo major condemnatio sequitur, et aperto quasi ore suis fratribus paupertatem, quæ ad alta eos provexit, exprobrant, ad ultimum sui gradus locum dimitti, ut humilientur : sin autem sic quoque in malo perseverent, puniri ut episcopo omnino visum fuerit. Et hæc quidem, quando quispiam sua sponte in ecclesiam res aliquas intulerit : quas et qui accipiunt, citra ullum præjudicium accipiunt, et qui dant in pœnam non incidunt. Si quis autem, inquit, ab initio non ita liberali et sponte suscepta voluntate, sed ut ordinetur, vel in clerum cooptetur, vel aliquo alio modo in ecclesia eligatur, oblationem fecerit : talis puniatur, ut vult

[13] 1 Joan. v, 16.

can. apost. 29, et can. 2, Chalced. syn. Id autem quod dicitur; *In his non est Dominus Deus*, a Patribus acceptum est ex tertio lib. Regum, propter arrogantes, et eos qui mammonam præferunt. Cum autem audis canonem nominantem eam, quæ sic sponte fit, auri dationem illicitam, ne dixeris eam esse prohibitam, et ideo etiam illicitam, ut ea est quæ processit ordinationis vel clericatus gratia. De ea enim deinceps deceſ. Sed eam Patres ideo illicitam nominaverunt, quod is, qui eam offerat, propter hanc oblationem se jactitet et glorietur. Nota ergo hæc propter eos qui tondentur in monasteriis cum pecuniarum largitione, et propter eos, **294** qui Deo sua sponte oblationes faciunt. Eos autem, qui pecuniis in externis monasteriis jus fraternitatis acquirunt, canonibus teneri non existimo, quod sit vituperanda alimentorum acquisitio. Quid autem, qui sponte quidem res obtulit sic punitur; qui vero, ut esset clericus vel ut tonderetur, res ullas dedit, postquam punitus fuerit, eane, quæ dederit, petet efficaciter? *Solutio.* Nequaquam. Ait enim cap. 11, tit. 2, lib. XXIV. Basil. hoc modo: Quod turpi utriusque causa datur, ejusque qui dat et ejus qui accipit, non redit. Et exteriorem affert lex antiqua rationem, quoniam in pari causa potior est qui possidet, ex XXII. lib. hæc eligens.

ἢ ἄλλως πως ἐν Ἐκκλησίᾳ καταλεγῆναι· ὁ τοιοῦτος κολαζέσθω κατὰ τὸν κϑ' ἀποστολικὸν κανόνα καὶ τὸν β' κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου. Τὸ μέντοι ῥῆμα τὸ λέγον, *Ἐν τούτοις οὐκ ἔστι Κύριος ὁ Θεός*, ἐξελήφθη παρὰ τῶν ἁγίων Πατέρων ἐκ τῆς τρίτης τῶν Βασιλειῶν διὰ τοὺς ἀλαζόνας καὶ προτιμωμένους τὰ τοῦ μαμμωνᾶ. Ἀκούων δὲ τοῦ κανόνος ὀνομάζοντος τὴν οὕτως ἑκουσίως γινομένην δόσιν τοῦ χρυσίου ἄθεσμον, μὴ εἴπῃς εἶναι ταύτην κεκωλυμένην, κἀντεῦθεν καὶ ἄθεσμον, ὡς προβᾶσαν χάριν ἐξωνήσεως χειροτονίας ἢ κληρώσεως· περὶ ταύτης γὰρ ἐφεξῆς διδάσκει· ἀλλ' ἄθεσμον ταύτην οἱ Πατέρες ὠνόμασαν διὰ τὸν προσαγαγόντα, καὶ διὰ ταύτην προσαγωγὴν ἐναβρυνόμενον. Σημείωσαι ταῦτα διὰ τοὺς ἀποχειρομένους εἰς μοναστήρια μετὰ δόσεως χρημάτων, καὶ διὰ τοὺς αὐτοπροαιρέτως ποιοῦντας προσαγωγὰς τῷ Θεῷ. Τοὺς μέντοι ἐπικτωμένους ἐξωμονίτατα ἀδελφάτα ἐν μοναστηρίοις· διὰ χρημάτων οὐ νομίζω ὑπὸ τῶν κανόνων ἁλίσκεσθαι, διὰ τὸ μὴ εἶναι ἐπίμομφον τὴν τῶν σιτηρεσίων ἐπίκτησιν. Τί δὲ, ὁ μὲν αὐθαιρέτως προσαγαγὼν χρήματα, οὕτω κολάζεται, ὁ δὲ διὰ τὸ κληρωθῆναι ἢ ἀποκαρῆναι δοὺς οἱαδήτινα πράγματα ἐνδυνάμως ζητήσει μετὰ τὸ κολασθῆναι ἃ δέδωκε; *Λύσις.* Οὐδαμῶς. Φησὶ γὰρ τὸ ια' κεφ. τοῦ β' τίτλου τοῦ κδ' βιβλίου τῶν Βασιλικῶν οὕτω· *Τὸ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενον, τοῦ τε λαβόντος καὶ τοῦ παρέχοντος, οὐκ ἀντιστρέφεται.* Καὶ προστίθησιν ἔξωθεν ὁ παλαιὸς λογισμὸν, ὅτι ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ νεμόμενος, ἐκ τοῦ κβ' βιβλίου τοῦτο ἀναλεξάμενος.

ZONAR. Nonnulli, cum in clerum legendi essent, pecunias Ecclesiæ offerre, Deoque dicare soliti sunt: quibus deinde præsidentes, seque in auro illo gloriose jactantes, quicunque nulla data pecunia ob virtutem forte, vel etiam ob dicendi facultatem, clero adscripti fuerant, proterve conviciis insectabantur. Hujusmodi igitur homines, primo quidem de gradu dejici, ac in extremum ordinis sui locum amandari: tum si adhuc a malitia non discedant, pœnis quoque, ut per eas corrigantur, affici canon jubet. Exordium vero ab apost. et evang. Joanne canonis auctores mutuati sunt. Illius namque verba illa sunt, in prima Catholica Epistola, *Est peccatum ad mortem:* quæ quidem Patres de iis, qui peccarunt, et non resipuerunt, interpretantur. Et vero, nequiores adhuc illos esse asserunt, et revera sunt, qui patrato nefario facinore tollere cornua, hoc est, sese impudente, efferre minime verentur. Ac facinus quidem illud appellant, in oblata nimirum pecunia sese gloriosius jactare, divinique præcepti auctoritati canonicisque constitutionibus mammonam, pecuniam videlicet, anteferre. Impudentiæ vero nomine convicia et contumelias, quæ illi in clerum absque pecuniæ præbitione cooptatis ingerunt, intellexere. *Non est in his*, inquiunt, *Dominus Deus*; hoc quoque ex Scriptura, Regum tertio. Eos igitur magna demissione Deo supplicare, ac peccati veniam exposcere, non contra iniqua largitione efferri oportet. Iniquam vero appellat largitionem, non quod

ΖΩΝΑΡ. Τινὲς εἰς κλῆρον καταταγῆναι μέλλοντες προσῆγον τῇ Ἐκκλησίᾳ χρήματα, ὡς ἀφιεροῦντες ταῦτα τῷ Θεῷ· εἶτα τούτοις θαῤῥοῦντες, καὶ τῇ δόσει τοῦ χρυσίου καυχώμενοι, ὠνείδιζον ἀδεῶς τοὺς δόσεως χρυσίου χωρὶς δι' ἀρετὴν ἴσως ἢ καὶ λόγον καταταγέντας τῷ κλήρῳ. Τοὺς γοῦν τοιούτους πρῶτον μὲν ὑποδιδάζεσθαι βούλεται ὁ κανὼν ἐκ τοῦ οἰκείου βαθμοῦ, καὶ εἰς τὸν ἔσχατον τόπον τοῦ τάγματος, ἐν ᾧ εἰσι, τάττεσθαι· εἰ δὲ καὶ ἔτι τὰ αὐτὰ ποιοῦσιν, ἐπιτιμᾶσθαι αὐτοὺς, ἵνα διορθωθῶσι. Προοιμιάζονται δὲ οἱ τὸν κανόνα ἐκθέμενοι ἀπὸ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου. Ἐκείνῳ γὰρ εἴρηται ἐν τῇ πρώτῃ Καθολικῇ Ἐπιστολῇ τὸ, *Ἔστιν ἁμαρτία πρὸς θάνατον*· καὶ ἐκλαμβάνονται οὗτοι τὸ ῥητὸν ἐπὶ τῶν ἁμαρτανόντων, καὶ μὴ μετανοούντων. Εἶτα καὶ χεῖρον λέγουσιν, ὥσπερ δὴ καί ἐστι, τὸ μετὰ τὴν ἁμαρτίαν τραχηλιᾷν, ἤγουν ἀναισχυντεῖν· ἁμαρτίαν μὲν καλοῦντες τὸ ἐγκαυχᾶσθαι ἐπὶ τῇ προσαγωγῇ τῶν χρημάτων, καὶ προτιμᾷν τῆς τοῦ Θεοῦ ὑπακοῆς καὶ τῶν κανονικῶν διατάξεων μαμμωνᾶν, τὰ χρήματα δηλονότι. Ἀναισχυντίαν δὲ τὸν ὀνειδισμὸν καὶ τὴν ἀτιμίαν, ἣν ἐπάγουσι τοῖς κληρωθεῖσι χωρὶς παροχῆς χρημάτων. *Ἐν τούτοις οὐκ ἔστι*, φασὶ, *Κύριος ὁ Θεός*· καὶ τοῦτο δὲ γραφικὸν, ἐκ τῆς τρίτης τῶν Βασιλειῶν. Χρὴ οὖν αὐτοὺς ταπεινωθέντας προσπεσεῖν τῷ Θεῷ, καὶ αἰτεῖν τοῦ ἁμαρτήματος ἄφεσιν, καὶ οὐχὶ μᾶλλον ἐπαίρεσθαι ἐπὶ τῇ δόσει τῇ ἀθέσμῳ. Ἄθεσμον δὲ τὴν δόσιν καλεῖ οὐ κατ' αὐτό· εἰ γὰρ ἄθεσμος ἦν, διατί προσεδέχθη;

καὶ διατί μὴ καὶ αὐτὸς τέλεον ἐξωθεῖται τοῦ κλήρου, καὶ ὁ ἐπὶ δόσει τοῦτον κληρώσας κολάζεται; Οὐ κατ' αὐτὸ τοίνυν ἄθεσμος ἡ δόσις ἐκλήθη· ἀλλ' ὅτι ἐκεῖνος ταύτην ποιεῖ νομίζεσθαι ἄθεσμον, ὡς δι' αὐτὴν ἀλαζονευόμενος καὶ κατεπαιρόμενος τῶν ὁμοταγῶν, κἀντεῦθεν ὑπόληψιν διδοὺς ὅτι οὐ κατὰ θεὸν ἐποιήσατο τὴν προσαγωγήν, ἀλλ' ἵν' ἔχοι ταύτην εἰς καύχημα καὶ ἀλαζονείαν ὑπόθεσιν. Τοῦτο δὲ δηλοῦται καὶ διὰ τῶν ἑφεξῆς· φησὶ γὰρ ὁ κανών· Εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ ποτε τοῦτο πεποιηκὼς, τὸ δοῦναι δηλαδὴ χρήματα, γινέσθω κατὰ τοὺς κανόνας, ἤγουν τὸν ἀποστολικὸν, ὃς εἰκοστὸς ἔννατός ἐστι, καὶ κατὰ τὸν δεύτερον τῆς ἐν Χαλκηδόνι συνόδου. Ὥσπερ οὖν, ἀθέσμου οὔσης ἐνταῦθα τῆς δόσεως, καὶ ὁ χειροτονήσας ποινηλατεῖται, καὶ ὁ χειροτονηθείς· οὕτω κἀκεῖ ἐγίνετο ἂν, εἰ πρὸς ἀλήθειαν ἄθεσμος ἦν. Τὴν δὲ τῶν κανόνων τούτων ἐξήγησιν ὁ ζητῶν εὑρήσει ἐν τοῖς τόποις αὐτῶν.

A ipsa sit, ejusmodi: si enim iniqua fuerat, cur admissa? aut cur e clero, qui dedit, non prorsus ejicitur, et in eum, qui data pecunia in clerum electus est, animadvertitur? Non igitur quod seipsa sit talis, idcirco hæc iniqua dicta donatio est; sed quod ejus vitio, qui se ob illam jactat et æqualibus anteponit, ut proinde non illum demereri Numen, sed auram inanem populares que rumusculos captare ea donatione voluisse suspicari liceat, speciem, hominum existimatione, induit pravitatis. Quod etiam satis ex sequentibus declaratur. Nam si quem, inquit canon, ob ordinationem id aliquando fecisse, pecuniam videlicet obtulisse, compertum fuerit, canonum in eo constitutiones servari placet: canonum scilicet, apostolici undetricesimi, synodique Chalcedonensis secundi. Quemadmodum igitur hoc loco, iniqua donatione intercedente, et qui ordines contulit, et qui suscepit, uterque pœnis afficitur: idem

B

de illa quoque donatione, si ea revera legibus adversaretur, constitutum fuisset. Horum porro canonum explicationem, qui voluerit, suis locis reperiet.

ΑΡΙΣΤ. « Τοὺς ἐγκαυχωμένους διὰ δόσεως χρυσίου « τετάχθαι ἐν Ἐκκλησίᾳ, καὶ ἀτιμάζοντας τοὺς « δι' ἀρετὴν ἐκλεγέντας, καὶ χωρὶς δόσεως κατα- « ταχθέντας, ἔδοξε τὸν ἔσχατον βαθμὸν τοῦ ἰδίου « λαμβάνειν τάγματος· εἰ δὲ ἐπιμένοιεν, ἐπιτι- « μᾶσθαι· τοὺς δ' ἐπὶ χειροτονίᾳ τοῦτο πεποιηκό- « τας ἐκκόπτεσθαι τῆς κοινωνίας, ὡς ὑπὸ Πέτρου « τὸν Σίμωνα Μάγον. »

ARIST. « Isti, qui se per auri largitionem in Eccle- « sia constitutos gloriantur, illos autem, qui « propter virtutem eliguntur, et sine largitione « constituuntur, vilipendunt, visum est, ut ulti- « mum ordinis sui gradum accipiant: sin perse- « verent, puniantur. Qui vero ordinationis gratia « hoc fecerint, a communione, non secus ac « Simon Magus a Petro, excindantur. »

Τὸν λόγον δεῖ καὶ τὴν ἀρετὴν προτιμᾶσθαι· καὶ χωρὶς δόσεως χρυσίου τοὺς οὕτως ἔχειν εὑρισκομένους τάττεσθαι χρὴ ἐν τῷ κλήρῳ τῆς Ἐκκλησίας· καὶ μὴ ὀνειδίζεσθαι αὐτοὺς ὑπὸ τῶν καταταγέντων τῇ Ἐκκλησίᾳ δι' οἱασδήτινος δόσεως· ἀλλὰ μᾶλλον καὶ ἐπαινεῖσθαι, ὡς δι' ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐκλεγέντας. Εἰ δέ τινες, ὡς ἐγκαυχώμενοι ἐπὶ τῇ τοιαύτῃ ἀθέσμῳ δόσει καὶ τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ τῇ ἀλλοτριούσῃ ἀπὸ Θεοῦ καὶ πάσης ἱερωσύνης, κατονειδίσουσιν ἀναιδεῖ προσώπῳ, καὶ ἀπεριπαλύπτῳ στόματι τοὺς ἄνευ χρυσίου καταταγέντας κληρικούς· τὸν ἔσχατον βαθμὸν ἐν τῷ οἰκείῳ τάγματι λήψονται. Εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν αὐτοὺς ὀνειδίζοντες, δι' ἐπιτιμίου διορθωθήσονται. Καὶ ταῦτα μὲν περὶ τῶν εἰς κλῆρον καταλεγομένων. Ὅσοι δὲ διὰ χρημάτων χειροτονίας τύχωσί τινος, καθαιρεθήσονται καὶ αὐτοὶ, καὶ οἱ χειροτονήσαντες αὐτούς.

Dicendi facultatem et virtutem præferre oportet, et qui sic se habere inveniuntur sine auri donatione in Ecclesiæ clero constitui debent, et non probris onerari ab iis, qui per largitionem quamcunque in Ecclesia collocantur: sed potius laudibus ornari, ut qui propter vitæ pietatem a sancto Spiritu electi sunt. Si qui autem, ut in illegitima istiusmodi datione, et impia ista consuetudine, quæ a Deo et omni sacerdotio alienat, gloriantes vultu impudente, et ore aperto clericos, qui sine auro constituti fuerint, probris affecerint; ultimum gradum in ordine suo accipient: si autem sic probra in eos jacere perseverent, per pœnam corrigentur. Et hæc quidem de iis, qui in clerum conscripti sunt. Quicunque autem per pecuniam ordinationem aliquam consequuntur, deponentur, et ipsi, et qui eos ordinarunt.

C

D

295

ΚΑΝΩΝ Ϛ'.

« Ἐπειδήπερ κανών ἐστιν ὁ λέγων δὶς τοῦ ἔτους « καθ' ἑκάστην ἐπαρχίαν χρῆναι γίνεσθαι διὰ « συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις « διὰ τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς « ἐδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ « τῆς ἕκτης συνόδου ὅσιοι Πατέρες ἐξ ἅπαντος « τρόπου καὶ προφάσεως ἅπαξ τοῦ ἐνιαυτοῦ γίνε- « σθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι. Τοῦτον « οὖν τὸν κανόνα καὶ ἡμεῖς ἀνανεοῦμεν· καὶ εἴ « τις εὑρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφοριζέσθω· « εἰ δέ τις ἐκ τῶν μητροπολιτῶν ἀμελήσοι τοῦτο

CANON VI.

« Quoniam canon est, qui dicit, bis in anno in « unaquaque provincia per congregationes epi- « scoporum fieri oportere quæstiones canonicas, « propter vexationem, et quod itineri peragendo « minus sufficerent qui congregabantur, statue- « runt sancti sextæ synodi Patres, quovis modo « et quacunque ex causa, semel in anno fieri, « et delicta corrigi. Hunc ergo canonem nos « quoque renovamus, et si quis magistratus hoc « prohiberi inventus fuerit, segregetur: si quis « autem metropolitanus hoc fieri non curave-

« præterquam vi vel necessitate et justa aliqua « de causa, canonis pœnis subjiciatur. Cum autem de canonicis et evangelicis rebus fiat synodus, opus est ut congregati episcopi magnam « curam et diligentiam gerant, ut divina et vivifica Dei mandata serventur. In eis enim « servandis est retributio multa, quoniam lucerna est mandatum, lex vero lux et via « vitæ, probatio et disciplina; et mandatum « Domini lucidum, illuminans oculos. Ne liceat « autem metropolitano, ex iis quæ secum affert « episcopus, vel jumentum vel aliquam rem « aliam petere. Si enim hoc fecisse convictus « fuerit, reddet quadruplum. »

A « γίνεσθαι, ἐκτὸς ἀνάγκης καὶ βίας καί τινος εὐλόγου προφάσεως, τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. Τῆς δὲ συνόδου γενομένης περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοῖς συναθροισθεῖσιν ἐπισκόποις ἐν μελέτῃ καὶ φροντίδι τίθεσθαι τοῦ φυλάττεσθαι τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ Θεοῦ. Ἐν γὰρ τῷ φυλάσσεσθαι αὐτὰς ἀνταπόδοσις πολλή, ὅτι καὶ λύχνος ἐντολή, νόμος δὲ φῶς καὶ ὁδὸς ζωῆς, ἔλεγχος καὶ παιδεία· καὶ ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. Μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην, ἐξ ὧν ἐπιφέρεται ὁ ἐπίσκοπος μετ' αὐτοῦ, ἢ κτῆνος ἢ ἕτερον εἶδος ἀπαιτεῖν· εἰ γὰρ τοῦτο ἐλεγχθῇ πεποιηκώς, ἀποτίσει τετράπλάσιον. »

BALS. Cum diversi canones statuant, quando fieri debeant synodi, et alii quidem semel in anno convenire oportere provinciales episcopos, alii vero bis in anno dicant: hic canon, ob itineris molestiam episcopis, octavum canonem sextæ synodi secutus est, qui decernit eos semel in anno congregari oportere, et sic faciendum esse, nisi quædam vis, vel necessitas, vel causa probabilis impedimento fuerit, quominus conveniant; antistites autem, qui non ita faciunt, pœnis canonicis subjici; sed et civiles magistratus, qui hoc fieri prohibent, segregari. Quando autem fuerit, inquit, facta synodus, debent episcopi curam gerere, ut evangelicæ et canonicæ traditiones serventur et alia Dei mandata. Et sunt canonicæ quidem traditiones, justæ et injustæ excommunicationes, clericorum ordinationes, episcopalium rerum administrationes, et similia: evangelicæ autem traditiones et mandata Dei, baptizari in nomine Patris, et Filii, et Spiritus sancti: *Non mœchaberis, non scortaberis, non falsum testimonium dices*, et similia. Quoniam autem intellexerunt Patres, quod in episcoporum concionibus quidam metropolitani nimis sua potestate et imperio in eos utuntur, et equos ab eis, vel aliqua alia exigunt, id quoque cessare statuerunt, et metropolitanum, qui tale quid fecit, quadruplum ejus quod datum est restituere. Pulchre autem dixit canon, non licere metropolitano quidquam eorum exigere, quæ affert episcopus. Si enim sua sponte voluerit episcopus metropolitanum aliquo ejusmodi dono prosequi, non prohibebitur hoc facere. Quære cap. 8, tit. 8 præsentis operis, et can. 8 syn. in Trullo.

B **ΒΑΛΣ.** Κανόνων διαφόρων διοριζομένων πότε ὀφείλουσι γίνεσθαι αἱ σύνοδοι, καὶ τῶν μὲν λεγόντων ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς ἐπαρχιώτας ἐπισκόπους, τῶν δὲ δὶς τοῦ ἔτους· ὁ παρὼν κανὼν διὰ τὴν ἐκ τῆς ὁδοιπορίας συντριβὴν τῶν ἐπισκόπων κατηκολούθησε τῷ η' κανόνι τῆς ς' συνόδου, τῷ διοριζομένῳ ἅπαξ τοῦ ἐνιαυτοῦ τούτους συναθροίζεσθαι, καὶ διωρίσατο οὕτω γίνεσθαι, εἰ μή τις ἀνάγκη καὶ βία ἢ ἄλλη πρόφασις εὔλογος τὴν συνέλευσιν παρεμποδίσει, τοὺς δὲ μὴ οὕτω ποιοῦντας ἀρχιερεῖς τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκεῖσθαι, ἀλλὰ καὶ τοὺς πολιτικοὺς ἄρχοντας, τοὺς κωλύοντας τοῦτο γίνεσθαι, ἀφορίζεσθαι. Ὅτε μέντοι, φησίν, ἡ σύνοδος γίνεται, ὀφείλουσιν οἱ ἐπίσκοποι φροντίζειν τοῦ φυλάττεσθαι τὰς εὐαγγελικὰς καὶ κανονικὰς παραδόσεις, καὶ τὰς ἄλλας ἐντολὰς τοῦ Θεοῦ. Καὶ κανονικαὶ μὲν παραδόσεις εἰσὶν οἱ εὔλογοι καὶ παράλογοι ἀφορισμοί, αἱ καταγωγαὶ τῶν κληρικῶν, αἱ παραδόσεις τῶν ἐπισκοπικῶν πραγμάτων, καὶ τὰ τοιαῦτα· εὐαγγελικαὶ δὲ παραδόσεις καὶ ἐντολαὶ τοῦ Θεοῦ τὸ βαπτίζεσθαι εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τὸ *Μὴ μοιχεύσῃς, μὴ πορνεύσῃς, μὴ ψευδομαρτυρήσῃς*, καὶ τὰ ὅμοια. Ἐπεὶ δὲ ἔμαθον οἱ Πατέρες ὅτι ἐν ταῖς συνελεύσεσι τῶν ἐπισκόπων μητροπολῖταί τινες κατεξουσιάζουσιν αὐτῶν, καὶ ἀπαιτοῦσιν ἵππους ἢ ἑτερά τινα εἴδη, ὥρισαν καὶ τοῦτο σχολάσαι, καὶ τὸν τοιοῦτόν τι ποιήσαντα μητροπολίτην ἀντιστρέφειν τὸ διδόμενον εἰς τὸ τετραπλοῦν. Καλῶς δὲ εἶπεν ὁ κανὼν μὴ ἔχειν ἐπ' ἀδείας τὸν μητροπολίτην ἀπαιτεῖν τι ἐξ ὧν ὁ ἐπίσκοπος ἐπιφέρεται. Εἰ γὰρ ἑκοντὶ ἐπίσκοπος θελήσει δεξιώσασθαι τὸν μητροπολίτην αὐτοῦ διά τινος πράγματος, οὐ κωλυθήσεται τοῦτο ποιεῖν.

C

D

Ζήτει τὸ η' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν η' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

296 **ZONAR.** De synodis in unaquaque provincia quotannis celebrandis multi canones exstant. Idem hic quoque statuit, canonisque in sexta synodo editi meminit, a qua quidem, ut episcopis itinerum molestiæ vexationesque minuerentur, semel in anno synodum in singulis provinciis haberi decretum est, ac antiquiorem de synodicis concentibus celebrandis constitutionem restituit. Quod si magistratus aliquis synodo cogendæ obstet,

ΖΩΝΑΡ. Περὶ τοῦ γίνεσθαι συνόδους ἐν ταῖς ἐπαρχίαις καθ' ἕκαστον ἔτος, διάφοροι κανόνες διαλαμβάνουσι, καὶ ὁ παρὼν δὲ οὗτος, καὶ μέμνηται τοῦ κανόνος τῆς ἕκτης συνόδου, ἥτις ἅπαξ τοῦ ἐνιαυτοῦ διετυπώσατο γίνεσθαι τὰς συνόδους ἐν ταῖς ἐπαρχίαις, ἵνα μὴ πολλὴν ἔχλησιν καὶ κακοτομίαν ἐν ταῖς ὁδοιπορίαις οἱ ἐπίσκοποι ἔχωσι, καὶ ἀνανεοῖ τὴν περὶ τῶν συνόδων παλαιοτέραν διάταξιν. Καὶ εἰ ἄρχων κωλύσει, φησὶ, τὸ γίνεσθαι σύνοδον, ἀφορίζεσθω·

καὶ τοὺς ἀμελοῦντας τοῦ πράγματος μητροπολίτας, εἰ μὴ ἀνάγκη τις μεσολαβήσῃ καὶ βία, κανονικοῖς ὑποβάλλει ἐπιτιμίοις. Ὅτε δὲ γένηται σύνοδος περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοὺς ἐπισκόπους φροντίζειν, εἰ φυλάττονται αἱ θεῖαι ἐντολαί. Κανονικὰ μὲν οὖν πράγματα εἶεν ἂν οἱ ἀφορισμοί, εἰ δικαίως γίνονται σκοπούμενοι, εἰ δὲ οἰκονόμων ὄντων ἐκ τῶν κλήρων αὐτῶν τὰ τῶν ἐκκλησιῶν διοικοῦσιν οἱ ἐπίσκοποι, καὶ τοιαῦτά τινα, ἃ οἱ κανόνες γίνεσθαι διατάττονται. Εὐαγγελικὰ δὲ, ἃ διὰ τοῦ Εὐαγγελίου ἡμῖν ἐπιτάττονται· οἷόν ἐστι τὸ βαπτίζειν εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ τὸ μὴ ἐκβάλλειν τινὰ τὴν γυναῖκα αὐτοῦ ἐκτὸς λόγου πορνείας, καὶ ἄλλα τοιαῦτα. Ταῦτα γὰρ πάντα ἠρεύνων, εἰ ἐν ταῖς χώραις αὐτῶν ἐγίνοντο, οἱ ἀρχιερεῖς ἀθροιζόμενοι, καὶ εἰ κατὰ τὰς θείας ἐντολὰς βιοῦσιν οἱ ἄνθρωποι. Καὶ μαρτυρίας Γραφικὰς ὁ κανὼν παράγει ἔκ τε τοῦ ψαλτῆρος καὶ ἐκ τῶν Παροιμιῶν. Καὶ ἐπὶ τούτοις προστίθησιν ὅτι συναγομένων τῶν ἐπισκόπων ἔνθα ὁ μητροπολίτης τῆς ἐπαρχίας ὁρίσει κατὰ τὸν κανόνα, οὐχ ἕξει ὁ μητροπολίτης ἐξουσίαν ἀπαιτεῖν τι ἐξ αὐτῶν, οὔτε κτῆνος, ἵππον τυχὸν ἢ ἡμίονον, οὔτε τι ἕτερον εἶδος. Εἰ δὲ καὶ ἀπαιτήσας καὶ λαβών τι ἐλεγχθείη, ἀποδώσει τὸ τετραπλοῦν.

A segregari, et metropolitanos, qui eam nulla necessaria causa interveniente nullaque vi coacti prætermiserint, canonicis pœnis teneri jubet. In synodo porro de canonicis evangelicisque negotiis habita, an divina præcepta serventur, studiose ab episcopis inquirendum. Ac negotia quidem canonica sunt exempli causa: an segregationes jure irrogentur; an per œconomos ex uniuscujusque ipsorum clero delectos ecclesiarum bona ab episcopis administrentur, aliaque hujusmodi canonis constitutionibus definita serventur, investigare. Evangelica vero ea sunt quæ nobis in Evangelio præcipiuntur; quale est illud, ut in nomine Patris et Filii et Spiritus sancti baptismus administretur; et ne quis uxorem suam ejiciat, excepta causa fornicationis; ac ejus generis alia. Hæc enim omnia, an in subjectis cuique regionibus ita fierent, episcopi convenientes inquirebant; et an juxta divina mandata homines vitam instituerint. Hinc testimonia quoque canon ex Psalmorum et ex Proverbiorum libris adducit. Ad hæc, ne metropolitano liceat, episcopis ex canonis præscripto in eum locum quem ipse delegerit congregatis, aliquid ex ipsorum rebus, nec jumentum, equum forte aut mulum, nec aliud quidpiam sibi vindicare, decernit. Quod si rem aliquam ab eo vindicatam atque ablatam esse probatum fuerit, quadruplum reddet.

B

ΑΡΙΣΤ. « Ἐπεὶ μὴ δυνατὸν κατὰ τὸ πάλαι δόξαν « δὶς τοῦ ἔτους γίνεσθαι σύνοδον, γινέσθω ἅπαξ « κατὰ τὸ δόξαν τῇ ἕκτῃ. Καὶ ὁ κωλύσας ἀρχων « ἀφοριζέσθω· καὶ ὁ ἀμελήσας ἐπίσκοπος ἐπιτι- « μάσθω. Τῆς συνόδου δὲ γινομένης, εἴπερ ὁ μη- « τροπολίτης ἀφέληταί τι τῶν τοῦ ἐπισκόπου, « ἀποτίσει τετραπλάσιον. »

C

ARIST. « Quandoquidem non est possibile, ut « synodus, juxta decretum olim editum, bis « quotannis celebretur, semel, uti sextæ synodo « visum est, habeatur. Et magistratus, qui hoc « prohibuerit, segregetur: et episcopus, qui id « fieri curavit, pœnis subjiciatur. Habita autem « synodo, si metropolitanus quidpiam a quovis « episcopo abstulerit, quadruplum reddet. »

Βεβαιοῖ καὶ αὕτη ἡ σύνοδος τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι σύνοδον ἐν ἑκάστῃ ἐπαρχίᾳ· καὶ τὸν μὲν κατὰ χώραν ἄρχοντα, εἰ εὑρεθῇ κωλύων τὴν τῶν ἐπισκόπων συνέλευσιν, τὴν διὰ κανονικὰ καὶ εὐαγγελικὰ πράγματα γινομένην, ἀφορίζει· τὸν δὲ μητροπολίτην τὸν ἀμελοῦντα τοῦτο γενέσθαι ἄνευ τινὸς ἀνάγκης καὶ βίας, κανονικοῖς ἐπιτιμίοις καθυποβάλλει. Προστάττει δὲ καὶ τὸ μὴ ἔχειν ἄδειαν τὸν μητροπολίτην ἀφαιρεῖσθαί τι ὧν οἱ ἐπίσκοποι ἐπιφέρονται μεθ' ἑαυτῶν, ἢ κτῆνος ἢ ἕτερον εἶδος. Εἰ δὲ ἐλεγχθῇ ἀφελόμενός τι ἐξ αὐτῶν, ἀπαιτεῖσθαι τοῦτο εἰς τὸ τετραπλάσιον.

Et hæc synodus illud confirmat, nempe semel quotannis in unaquaque provincia haberi synodum: eum autem qui regioni præest, si episcoporum conventum propter canonica et evangelica factum negotia prohiberi deprehendatur, segregat, metropolitanum autem, qui curam non gerit ut hoc fiat, sine necessitate aliqua et violentia, canonicis pœnis subjicit. Et jubet autem, non licere metropolitano aliquid ex iis, quæ episcopi secum attulerint, ut jumentum vel aliquid aliud, auferre. Si autem deprehensus fuerit aliquid ex eis abstulisse, illud ad quadruplum exigetur

D

ΚΑΝΩΝ Ζ'.

« Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος· « Τινῶν ἁμαρτίαι « ἀνθρώπων πρόδηλοί εἰσι· τισὶ δὲ καὶ ἐπακολου- « θοῦσιν. Ἁμαρτιῶν γὰρ προκαταλαμβανουσῶν, « καὶ ἕτεραι ἁμαρτίαι ἕπονται ταύταις. » Τῇ οὖν « ἀσεβεῖ αἱρέσει τῶν Χριστιανοκατηγόρων καὶ « ἄλλα ἀσεβήματα συνηκολούθησαν. Ὥσπερ γὰρ « τὴν τῶν σεπτῶν εἰκόνων ἀφείλοντο ὄψιν ἐκ τῆς « Ἐκκλησίας, καὶ ἕτερά τινα ἔθη παρελείποκα- « σιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον « καὶ ἄγραφον θεσμοθεσίαν οὕτω κρατεῖν. Ὅσοι

CANON VII.

« Dixit Paulus divinus apostolus: « Quorumdam « hominum peccata ante manifesta sunt: quo- « rumdam vero etiam subsequuntur [63]. » Præce- « dentibus enim peccatis, alia quoque ea se- « quuntur. Impiam ergo eorum sectam, qui « Christianos accusant, alia quoque impia con- « secuta sunt. Quemadmodum venerabilium « imaginum aspectum ex ecclesia sustulerunt, « alias quoque consuetudines reliquerunt, quas « quidem oportet renovari, et tam ex jure scri-

[63] I Timoth. v. 24.

« pto quam non scripto sic observari. Quæcun- A
« que ergo templa consecrata sunt absque san-
« ctis reliquis martyrum, in iis fieri statuimus
« reliquiarum depositionem cum consuetis pre-
« cibus. Qui autem templum consecrat sine
« sanctis reliquiis, deponatur, ut qui ecclesia-
« sticas traditiones trangressus sit. »

BALS. Mos erat ecclesiasticus divina templa per sanctas martyrum reliquias consecrare. Christianorum autem accusatores, seu imaginum hostes exustoresque, qui venerabilium et sanctarum imaginum cultores **297** idololatras esse dicunt, ultra eorum hæresin et adversus orthodoxos insaniam, veneranda quoque templa sine sanctis reliquiis consecrarunt. Dicunt ergo Patres, quod humana peccata alia quoque peccata consequuntur, ut dicit magnus apostolus Paulus. Et quoniam Iconomachorum hæresin alia quoque mala subsecuta sunt (prætermissæ sunt enim necessariæ consuetudines ecclesiasticæ), decernimus, ut templa, quæ absque reliquiis consecrata fuere, rursus per reliquias consecrentur, et sic deinceps fiat : ii autem, qui templa sine sanctis reliquiis consecrant, deponantur. Et hæc quidem canon. Dixit autem nonnemo, Et quomodo oratoria hodie sine reliquiarum depositione consecrantur? Et cur sacra in eis non celebrantur etiam ab episcopis, sed a solis sacerdotibus? Eique responsum fuit : Quod quæ fiunt ab antistitibus superaltaria, eo tempore quo fit templi consecratio, oratoriis C tradita sufficiunt pro consecratione, sive dedicatione ac inthronizatione, encæniis et apertionibus. Propterea enim et ἀντιμίνσια appellata sunt, quod multas ejusmodi mensas exprimant et referant, quæ sanctam Dominicam mensam perficiunt. Cæterum antistites sacra non faciunt in oratoriis, quæ non sunt dedicata, quoniam præsulatus dignitas deprimitur, si non sit thronus in quo episcopus apostolice collocatur, nec alia quæ templi consecrationem decoremque constituunt. Cum autem interrogassent aliqui, Quando fit ecclesiarum consecratio? responso acceperunt, quod fundamenti quidem locatio fit per solam orationem episcopi illius regionis, et crucis fixionem : consecratio autem post templi perfectionem, quando fiunt encænia et apertiones et inthronizatio, et universa ejus perfectio, sacro chrismate inuncti, et martyrum reliquias suscipientis. Cum instaret autem quispiam, debere deponi antistitem, qui in non dedicata ecclesia sacrificaverat, quemadmodum deponitur et qui templum consecrat sine sanctis reliquiis : sanctissimus ille patriarcha dominus Lucas pronuntiavit, alio quodam talem esse pu-

« οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων
« λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατά-
« θεσιν γίνεσθαι λειψάνων μετὰ τῆς συνήθους
« εὐχῆς. Ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν
« ναὸν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλη-
« σιαστικὰς παραδόσεις (23). »

ΒΑΛΣ. Ἔθος ἦν ἐκκλησιαστικὸν τοὺς θείους ναοὺς καθιεροῦσθαι διὰ ἁγίων λειψάνων μαρτυρικῶν. Οἱ δὲ Χριστιανοκατήγοροι, ἤγουν εἰκονοκαῦται, οἱ λέγοντες τοὺς προσκυνητὰς τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εἰδωλολάτρας, ἐπέκεινα τῆς αἱρέσεως αὐτῶν καὶ τῆς κατὰ τῶν ὀρθοδόξων μανίας, καὶ σεπτοὺς ναοὺς καθιέρωσαν ἐκτὸς ἁγίων λειψάνων. Φασὶν οὖν οἱ Πατέρες ὅτι ταῖς ἀνθρωπίναις ἁμαρτίαις ἐπακο- B λουθοῦσι καὶ ἕτεραι ἁμαρτίαι, κατὰ τὸν μέγαν ἀπόστολον Παῦλον. Καὶ ἐπεὶ τῇ αἱρέσει τῶν εἰκονομάχων καὶ ἄλλα κακὰ ἐπηκολούθησαν (παρελείφθησαν γὰρ ἔθιμα ἐκκλησιαστικὰ ἀναγκαῖα), ὁρίζομεν τοὺς καθιερωθέντας ναοὺς ἄνευ ἁγίων λειψάνων πάλιν καθιερωθῆναι διὰ λειψάνων, καὶ ἐφεξῆς οὕτω γίνεσθαι· τοὺς δὲ καθιεροῦντας ναοὺς χωρὶς ἁγίων λειψάνων καθαιρεῖσθαι. Καὶ ὁ μὲν κανὼν ταῦτα. Εἶπε δέ τις· Καὶ πῶς ἄνευ καταθέσεως λειψάνων σήμερον τὰ εὐκτήρια καθιεροῦνται; Καὶ διὰ τί οὐ γίνονται ἱεροτελεστίαι ἐν αὐτοῖς καὶ παρὰ ἐπισκόπων, ἀλλὰ παρὰ ἱερέων μόνων; Καὶ ἤκουσεν ὡς τὰ γινόμενα παρὰ τῶν ἀρχιερέων ἀντιμίνσια, καθ' ὃν καιρὸν καθιέρωσις ναοῦ γίνεται, διαδιδόμενα εἰς εὐκτηρίους C οἴκους, ἀρκοῦσιν ἀντὶ καθιερώσεως ἤτοι ἐνθρονισμοῦ, καὶ ἐγκαινίων καὶ ἀνοιξίων. Διὰ γὰρ τοῦτο καὶ ἀντιμίνσια ἐκλήθησαν, ἤτοι ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν πολλῶν τοιούτων μίνσων τῶν καταρτιζόντων τὴν ἁγίαν Δεσποτικὴν τράπεζαν. Οἱ μέντοι ἀρχιερεῖς οὐ ποιοῦσιν ἱεροτελεστίας εἰς εὐκτηρίους ἀνενθρονίστους ναοὺς, διότι τὸ τῆς ἱερωσύνης ἀξίωμα ὑποβιβάζεται, θρόνου μὴ ὄντος αὐτοῖς εἰς ὃν ἀποστολικῶς ὁ ἐπίσκοπος καθιδρύεται, μηδὲ τῶν ἄλλων τῶν συνιστάντων τὴν τοῦ ναοῦ καθιέρωσιν καὶ εὐπρέπειαν. Ἐρωτήσαντες δέ τινες, Πότε ἡ καθιέρωσις γίνεται τῶν ἐκκλησιῶν; ἤκουσαν ὅτι ἡ μὲν πῆξις τοῦ θεμελίου διὰ εὐχῆς μόνης καὶ σταυροπηγίου τοῦ κατὰ χώραν ἐπισκόπου γίνεται· ἡ δὲ καθιέρωσις μετὰ τὸν ἀπαρτισμὸν τοῦ ναοῦ, ὅτε τελοῦνται τὰ D ἀνοίξια (24) καὶ ὁ ἐνθρονισμὸς, καὶ ὁ ἅπας τούτου ἀπαρτισμὸς ὑπὸ ἁγίου μύρου χριομένου, καὶ λειψανα μαρτυρικὰ ὑποδεχομένου. Διενιστημένου δέ τινο, ὀφείλειν καθαιρεθῆναι ἀρχιερέα τινά ποτε εἰς ἀνενθρόνιστον ἐκκλησίαν ἱερουργήσαντα, καθὼς καθαιρεῖται καὶ ὁ καθιερῶν ναὸν ἄνευ ἁγίων λειψάνων· ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς, ἀπεφήνατο ἄλλως πως τὸν τοιοῦτον ἀρχιερέα κολασθῆναι, κατὰ τὸ δοκοῦν δηλαδὴ τῇ συνόδῳ, οὐ μὴν διὰ

Guill. Beveregii notæ.

(23) *Τὰς ἐκκλησιαστικὰς παραδόσεις.* In codice nostro Bodleiano, post hæc ultima hujus canonis verba leguntur, Σημειωσαι ἀπὸ τοῦ παρόντος ϛ' κανόνος, ὅτι χωρὶς ἁγίων λειψάνων ναοὶ οὐ καθιερουνται. Ἔχε δὲ ἐπὶ μνημην τὰ εἰς τὴν ἑρμηνείαν τοῦ πρώτου κανόνος γραφέντα χάριν τῶν εὐκτηρίων καὶ τῶν ἀντιμινσίων. Cum autem adeo apertum sit hæc ex margine in textum irrepsisse, hic potius ea adnotare quam illic inserere visum est.

(24) *Ὅτε τελοῦνται τὰ ἀνοίξια.* Legendum est, ὅτε τελοῦνται τὰ ἐγκαίνια καὶ τὰ ἀνοίξια. Sic enim omnes legunt codices, tam impressi quam manuscripti

καθαιρέσεως· ὅτι κατὰ πολὺ ἀκατάλληλά εἰσι τὰ ἐπτισμένα.

ZΩNAP. Τοῦτο τὸ ἀποστολικὸν ῥητὸν ὁ μὲν μέγας Βασίλειος ἄλλως ἐξελάβετο· οὗτοι δὲ οἱ Πατέρες ἐνταῦθα ἁπλοϊκώτερον ἐδέξαντο τὸ, ἐπακολουθοῦσι, τὸ ἕπεσθαι δηλονότι ταῖς προλαβούσαις ἁμαρτίαις καὶ ἑτέραις· καὶ τοῦτο ἐκθῆναί φασιν ἐπὶ τῶν εἰκονομάχων. Ἐκείνους γὰρ ὀνομάζουσι Χριστιανοκατηγόρους, ὡς κατηγοροῦντας τῶν Χριστιανῶν εἰδωλολατρείαν. Οὐ μόνον γὰρ τὰς ἐκκλησίας τοῦ κόσμου τῶν σεπτῶν εἰκόνων ἐστέρησαν, ἀλλὰ καὶ ἔθη παλαιὰ παραλελοίπασιν, ἃ καὶ ἀνανεοῦσιν οὗτοι, ἵνα καὶ ἡ ἔγγραφος θεσμοθεσία καὶ ἡ ἄγραφος συνήθεια κρατῇ. Τὸ δὲ παραλειφθὲν ἔθος ἦν τὸ ἐν ταῖς καθιερώσεσι τῶν θείων ναῶν μὴ γίνεσθαι καταθέσεις λειψάνων ἁγίων. Ὅσοι οὖν, φασὶ, χωρὶς καταθέσεως ἁγίων λειψάνων καθιερώθησαν ναοὶ, δεξάσθωσαν νῦν καὶ ἅγια λείψανα κατατιθέμενα ἐν αὐτοῖς. Ὁ δὲ καθιερῶν ναὸν χωρὶς ἱερῶν λειψάνων καθαιρείσθω, ὡς παραβάτης τῶν ἐκκλησιαστικῶν παραδόσεων.

ARIST. « Κατατιθέσθω μαρτύρων ἅγια λείψανα « ἐν τοῖς ἄνευ αὐτῶν καθιερωθεῖσι ναοῖς μετὰ τῆς « συνήθους εὐχῆς. Ὁ δὲ ἄνευ τούτων καθιερώσας « καθαιρείσθω, ὡς παραβὰς τὰς ἐκκλησιαστικὰς « παραδόσεις. »

Ὅσοι μὲν ναοὶ πρὸ τῆς συνόδου ταύτης ἄνευ τῆς συνήθους εὐχῆς τῶν ἐπισκόπων καὶ λειψάνων ἁγίων μαρτύρων ἀνῳκοδομήθησαν, ὡρίσθη γενέσθαι κατάθεσιν ἐν αὐτοῖς λειψάνων ἁγίων καὶ τὴν συνήθη εὐχὴν τελεσθῆναι· ὅσοι δὲ μετὰ τὴν σύνοδον ταύτην εὑρεθῶσι χωρὶς λειψάνων καθιεροῦντες ναὸν, καθαιρεῖσθαι κατεδικάσθησαν, ὡς παραβάται τῶν ἐκκλησιαστικῶν παραδόσεων.

ΚΑΝΩΝ Η'.

« Ἐπειδή πλανώμενοί τινες ἐκ τῆς τῶν Ἑβραίων « θρησκείας μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν Θεὸν « ἡμῶν, προσποιούμενοι μὲν Χριστιανίζειν, « αὐτὸν δὲ ἀρνούμενοι κρύβδην, καὶ λαθραίως « σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες· « ὁρίζομεν τουτους μήτε εἰς κοινωνίαν, μήτε εἰς « εὐχὴν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι· ἀλλὰ φα- « νερῶς εἶναι κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβ- « ραίους· μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, « μήτε δοῦλον ὠνεῖσθαι ἢ κτᾶσθαι. Εἰ δὲ ἐξ εἰλι- « κρινοῦς πίστεως ἐπιστρέψει τις ἐξ αὐτῶν καὶ « ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ « κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ « ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον « προσδέχεσθαι, καὶ βαπτίζειν τοὺς παῖδας αὐ- « τοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν « Ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως « ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι. »

BAAΣ. Ἰουδαῖοί τινες, ἔνοχοι καταστάντες ἐπί τισιν ὑποθέσεσιν, καὶ θέλοντες ταύτας ἐκφυγεῖν, προσήρχοντο τῇ ὀρθοδόξῳ πίστει, καὶ προσεποιοῦντο μὲν τὰ τῶν Χριστιανῶν φρονεῖν, τῇ ἀληθείᾳ δὲ τὰ

niendum antistitem, prout scilicet synodo visum fuerit, sed non per depositionem. Delicta enim ea sunt longe lateque dissidentia.

ZONAR. Magnus quidem Basilius aliter hoc apostoli dictum interpretatus est. Illi vero Patres verbum illud, consequuntur, paulo simplicius accepere, ut ad priora scilicet facinora alia quoque solere sequi intelligendum sit. Quod quidem iconomachis aiunt contigisse. Illos namque Christianorum accusatores nominant, quippe qui Christianos idololatriæ accusarent. Nec enim ii solum ecclesias sacrarum imaginum ornamentis spoliavere, sed antiquas etiam consuetudines reliquere; quæ quidem, ut simul et scriptis consignata lex, et non scripta quoque consuetudo servetur, hujus canonis decreto renovantur. Consuetudo porro prætermissa ea fuit, quod cum divina templa consecrarentur, nullæ simul in eis sanctorum reliquiæ conderentur. Quæcunque ergo templa, inquiunt, absque conditis sanctorum reliquiis consecrata sunt, in eis sacræ quoque reliquiæ hoc demum tempore collocentur. Qui vero templum, eum, quippe traditionum quas a majoribus accepimus transgressorem, deponi jubent.

ARIST. « Sanctæ martyrum reliquiæ in templis « quæ absque iis consecrata sunt, idque cum « consuetis precibus, reponantur. Qui autem « absque iis consecrat, ut ecclesiasticas traditiones transgressus, deponatur. »

Quæcunque templa ante hanc synodum, sine consuetis episcoporum precibus et sanctorum martyrum reliquiis, fundata fuerunt, in eis sanctas reliquias deponi, et consuetas preces celebrari definitum est. Quicunque autem post hanc synodum sine reliquiis templum consecrasse deprehendantur, depositione damnantur, ut traditionum ecclesiasticarum transgressores.

298 CANON VIII.

« Quoniam Hebræorum religionis quidam errantes « Christum Deum nostrum subsannare visi sunt, « sese quidem Christianos esse fingentes, ipsum « autem occulte negant, et clanculum Sabbata « observant, et multa alia Judaica faciunt: « statuimus, ut isti neque ad communionem, « neque ad orationem, neque ad ecclesiam admittantur; sed aperte sint secundum suam « religionem Hebræi, et neque filios suos baptizent, neque servum emant vel possideant. Si « autem ex pura et sincera fide quis eorum « conversus, et ex toto corde confessus fuerit, « eorum moribus et rebus insultans ac veluti « triumphum agens, ut et alii refellantur et « corrigantur; eum recipiant, et baptizent ejus « liberos; et caveant ipsi se ab Hebræorum « studiis et institutis descituros: sin autem non « ita se gerant, eos nullo modo admittant. »

BALS. Judæi quidam, cum quorumdam criminum rei agerentur, vellent autem damnationem effugere, ad fidem Christianam accedebant, et se Christiana quidem sentire præ se ferebant, sed

Judaica revera sentiebant, Sabbata clanculum observantes, et nostra lacerantes; suos autem liberos baptizabant, et alia quædam pia faciebant ut orthodoxi fortasse viderentur. Dicunt ergo Patres, eos non in aliquam communionem admittendos, nec permittendum ut filii eorum baptizentur, nec ut Christianum servum ullo modo possideant, sed juxta Hebræorum religionem se aperte gerant. Si quis autem a Judaica impietate, cum bona affectione, et sine necessitate vel simulatione, ad orthodoxam fidem conversus fuerit, et Judaicis moribus valedixerit, et toto animo de iis triumphum egerit, et confessus fuerit ea quæ ab aliquibus prætextu facta sunt, et ad Christianorum fidei ludificationem respiciunt, ut et illi convincantur et corriganur : ipse et ejus liberi ad communionem admittantur, et baptizentur, si prius caverint fore ut a Judaicis traditionibus et studiis abstineant. Nota igitur ista propter sacerdotes qui Sarracenorum filios baptizant; et baptismum, qui ab illis propter corporis sanitatem expetitur, non esse admittendum. Quadragesimum vero quartum caput primi tit. primi lib. Basil. inquit : Judæus qui se Christianum esse velle præ se ferens, ut qui adversus se accusationem vel mutui actionem exspectet, ad ecclesiam confugit, debito non soluto, vel a crimine non absolutus, ne admittatur. Quære et caput 47 ejusdem lib. et tit. : Judæus mancipium Christianum ne habeat, nec catechumenum circumcidat, nec alius hæreticus Christianum servum habeat. Et cap. 54 : Samaritanus autem nullus servum Christianum habebit : sed cum primum eum possederit, statim in libertatem vindicetur. Si servus autem ejusdem cum ipso perversæ opinionis fuerit, licebit ei Christianam amplecteuti opinionem, statim etiam Romanam libertatem assequi.

ZONAR. Quidam ex Judæis se fidei studio teneri, Christianamque religionem amplecti velle, simulabant : Christum vero illi subsannabant, hoc est, Christo, privatim ab eo deficientes, illudebant, atque Sabbata secreto colebant, et alios Judæorum ritus, quippe ut infantes suos præciderent, tum qui cadaver attigisset, qui lepra infectus esset, cui semen effueret, quique ejusmodi quidquam aliud antiqua lege vetitum fecissent, tanquam impuros aversarentur, retinebant. Ejusmodi igitur homines, nec ad communionem admitti, nec in conventum sacræ precationis recipi, tum ab ecclesiæ ingressu omnino arceri, Hebræorumque rursum publice profiteri sectam, nec liberos suos baptizare, nec ipsis mancipium emendi facultatem esse, synodus jubet. Christianum **299** namque servum Judæus possidere civili quoque lege prohibetur. Qui tamen ex eorum numero forte fidem amplexi forent, servos emere Christianorum more permittebantur. Quoniam vero id simulate agebant, idcirco synodus servum iis emere, aut aliter possi-

A τῶν Ἰουδαίων ἐφρόνουν, λάθρα σαββατίζοντες, καὶ τὰ ἡμέτερα διασύροντες, ἐβάπτιζον δὲ καὶ τοὺς παῖδας αὐτῶν, καὶ ἄλλα τινὰ ἐποίουν εὐσεβῆ, ὡς ἂν φαίνωνται τάχα ὀρθόδοξοι· φασὶν οὖν οἱ Πατέρες, μὴ δέχεσθαι τούτους εἰς κοινωνίαν οἱανδήτινα, μηδὲ παραχωρεῖν τοὺς παῖδας αὐτῶν βαπτίζεσθαι, μηδὲ δοῦλον Χριστιανὸν ὁπωσδήποτε κτᾶσθαι, ἀλλὰ φανερῶς κατὰ τὴν τῶν Ἑβραίων θρησκείαν αὐτοὺς πολιτεύεσθαι. Εἰ δέ τις ἐξ αὐτῶν ἀπὸ τῆς Ἰουδαϊκῆς θρησκείας πρὸς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέφοι μετὰ καθαρᾶς διαθέσεως καὶ ἄνευ ἀνάγκης, ἢ προσποιήσεως, καὶ ἀποτάξεται τοῖς Ἰουδαϊκοῖς ἔθεσιν, καὶ ὁλοψύχως θριαμβεύσει αὐτὰ, καὶ ὁμολογήσει τὰ παρά τινων κατὰ σκῆψιν γινόμενα, καὶ εἰς ἐμπαιγμὸν ἀφορῶντα τῆς πίστεως τῶν Χριστιανῶν,

B ἐφ' ᾧ κἀκείνους ἐλεγχθῆναι καὶ διορθωθῆναι, προσδέχεσθαι τοῦτον καὶ τοὺς παῖδας αὐτοῦ εἰς κοινωνίαν, καὶ βαπτίζειν, ἀσφαλιζομένους ἀπέχειν ἀπὸ τῶν Ἰουδαϊκῶν παραδόσεων καὶ ἐπιτηδευμάτων. Σημείωσαι οὖν ταῦτα διὰ τοὺς ἱερεῖς τοὺς βαπτίζοντας τοὺς παῖδας τῶν Ἀγαρηνῶν, καὶ ὅτι τὸ διὰ θεραπείαν σωματικὴν ζητούμενον ὑπὸ τούτων βάπτισμα ἀπαράδεκτόν ἐστι. Τὸ μέντοι μδ' κεφ. τοῦ α' τίτλου τοῦ α' βιβλίου τῶν Βασιλικῶν φησιν· Ἰουδαῖος, τὸ θέλειν εἶναι Χριστιανὸς προσποιούμενος, ὃς ἂν, τὴν κατ' αὐτοῦ κατηγορίαν ἢ τὴν ἀπὸ χρέους ἀγωγὴν παραμένων, τῇ Ἐκκλησίᾳ φεύγῃ, μὴ πληρώσας τὰ χρέη, ἢ ἐλευθερωθεὶς τοῦ ἐγκλήματος, μὴ δεχέσθω. Ζήτει δὲ τὸ μζ' κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου·

C Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω, μήτε ἄλλος αἱρετικὸς Χριστιανὸν ἀνδράποδον ἐχέτω· καὶ τὸ νδ' κεφ. Σαμαρείτης δὲ οὐδεὶς Χριστιανὸν οἰκέτην ἕξει, ἀλλ' ἅμα τῷ κτήσασθαι τοῦτον εὐθέως εἰς ἐλευθερίαν ἁρπάζεσθαι. Εἰ δὲ τῆς ὁμοίας αὐτῷ ὁ οἰκέτης κακοδοξίας εἴη, ἐξέστω αὐτῷ τὴν τῶν Χριστιανῶν ἀσπαζομένῳ δόξαν εὐθὺς καὶ τῆς Ῥωμαϊκῆς ἀπολαύειν ἐλευθερίας.

ΖΩΝΑΡ. Τινὲς Ἰουδαῖοι προσήρχοντο τῷ δικεῖν τῇ πίστει, καὶ προσεποιοῦντο γίνεσθαι Χριστιανοί· ἐκεῖνοι δὲ ἐμυκτήριζον τὸν Χριστόν· ἀντὶ τοῦ, ἐνέπαιζον κρυφίως αὐτὸν ἀρνούμενοι, καὶ λεληθότως τὰ Σάββατα φυλάσσοντες, καὶ ἄλλα Ἰουδαϊκὰ ποιοῦντες, οἷον περιτέμνοντες τοὺς παῖδας αὐτῶν,

D ἀκαθάρτους ἡγούμενοι τοὺς νεκροῦ προσψαύσαντας, καὶ τοὺς λεπροὺς, καὶ τοὺς γονορρυεῖς, καὶ ἄλλα τοιαῦτα, ὅσα τῷ παλαιῷ ἀπηγόρευται νόμῳ. Τοὺς γοῦν τοιούτους ὥρισέν ἡ σύνοδος μήτε εἰς κοινωνίαν δέχεσθαι, μήτε συνεύχεσθαι αὐτοῖς, μήτε ὅλως εἰς ἐκκλησίαν εἰσιέναι παραχωρεῖν, εἶναι δὲ Ἑβραίους καὶ αὖθις κατὰ τὸ φανερὸν, καὶ μηδὲ τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε παραχωρεῖν αὐτοῖς δοῦλον ὠνεῖσθαι. Τὸ γὰρ Χριστιανὸν ἀνδράποδον κτᾶσθαι Ἰουδαῖον καὶ ὁ πολιτικὸς κωλύει νόμος. Οἱ δὲ τάχα τῇ πίστει προσελθόντες ὡς Χριστιανοὶ οὐκ ἐκωλύοντο δούλους ὠνεῖσθαι. Ἐπεὶ δὲ ὑποκεκριμένως τοῦτο ἐποίουν, φησὶν ἡ σύνοδος μὴ ἐξεῖναι αὐτοῖς δούλους ὠνεῖσθαι, ἢ ἄλλως κτᾶσθαι, ἐκ δωρεᾶς τυχὸν, ἢ ἀντιαλλαγῆς, ἢ ἑτέρῳ τρόπῳ. Εἰ δὲ ἐξ εἰλικρινοῦς καὶ

καθαρᾶς πίστεως, ἀντὶ τοῦ, καθαρῶς καὶ ἀνυποκρίτως πιστεύσας, ἐπιστρέφει τις αὐτῶν καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, ἀντὶ τοῦ, τὰ αὐτὰ ἡμῖν λέγει, καὶ τὰ ἔθη τὰ οἰκεῖα καὶ ὅσα πράττουσι θριαμβεύει, ἤγουν εἰς τὸ φανερὸν προτίθησι, καὶ συντίθεται μὴ ποιεῖν, ὥστε καὶ ἄλλως ἐλεγχθῆναι ὁμοπίστους αὐτῷ, καὶ διορθωθῆναι τὸν τοιοῦτον προσδέχεσθαι καὶ βαπτίζειν, καὶ παῖδας αὐτοῦ, καὶ ἀκριβῶς προσέχειν αὐτοῖς, ὥστε ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων· ἄλλως δὲ αὐτοὺς μὴ προσδέχεσθαι. Καὶ ὁ μέγας δὲ Βασίλειος ἐν πέμπτῳ κανόνι, Τοὺς μετανοοῦντας διά, φησί, δέχεσθαι· οὐκ ἀκρίτως δὲ, ἀλλὰ δοκιμάζειν εἰ ἀληθῶς καὶ γνησίως μετανοοῦσι. Καὶ ὁ πολιτικὸς νόμος πολλὴν ποιεῖσθαι θεσπίζει περὶ τῶν προσερχομένων Ἰουδαίων τὴν ἀκριβολογίαν.

A dere, donatione nimirum, aut permutatione, aut alia quacunque ratione quæsitum, minime licere decernit. Quod si eorum quispiam ex pura et sincera fide, hoc est, puro animo atque omni simulatione sublata, fidei mysterii assensus convertatur, atque ex toto corde confiteatur, hoc est, nobiscum in omnibus plane consentiat, et de suorum moribus ac institutis quibusque triumphum agat, hoc est, se nihil simile facturum aperte profiteatur ac spondeat, ut ex eo alii quoque erroris socii refutentur ac resipiscant: admitti hominem, ipsumque et filios baptizari, studioseque ipsos, ut ab Hebraicis se institutis abjungant, observari; secus omnino repelli placet. Magnus vero etiam Basilius, quinto canone: Quos, inquit, errati pœnitet, admittendi

B sunt: non tamen iis temere habenda fides, sed an vere eos et ex animo pœniteat sedulo cognoscendum. De Judæis itidem, ut non nisi diligenter examinati probatique recipiantur, civilia quoque jura decernunt.

ΑΡΙΣΤ. « Ἑβραίους μὴ χρῆναι προσδέχεσθαι, « εἰ μὴ φαίνοιντο ἐξ εἰλικρινοῦς καρδίας ἐπι« στρέφοντες. » *Σαφής.*

ARIST. « Hebræos admittere non oportet, nisi « eos sincero corde conversos esse constiterit. » *Perspicuus.*

ΚΑΝΩΝ

« Πάντα τὰ μειρακιώδη ἀθύρματα καὶ μανιώδη « βαχχεύματα, τὰ ψευδοσυγγράμματα, τὰ κατὰ « τῶν σεπτῶν εἰκόνων γινόμενα, δέον δοθῆναι τῷ « ἐπισκοπείῳ Κωνσταντινουπόλεως, ἵνα ἀποτε« θῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων· εἰ « δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκο« πος ἢ πρεσβύτερος ἢ διάκονος εἴη, καθαι« ρείσθω· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφορι« ζέσθω. »

CANON IX.

« Puerilia omnia ludibria furiosaque dicta ac scripta, « quæ adversus venerabiles imagines edita « sunt, episcopio Constantinopolitano tradi opor« tet, ut cum reliquis hæreticis libris deponan« tur. Si quis autem hæc celare inventus fuerit, « si quidem episcopus vel presbyter vel diaconus « sit, deponatur: sin vero laicus vel monachus, « segregetur. »

C

BALS. Ordo omnia continet cœlestia et terrestria : multo magis autem, si bonus ordo in sacerdotibus versetur, id Deum mitigat. Quoniam ergo, inquiunt sancti Patres, videmus nonnullos a pueris nigris vestibus indutos, tanquam Deo consecratos, tonsuraque non per episcopi sui manuum impositionem suscepta, audentes autem, postquam ad ætatem pervenerint, divinas Scripturas in suggestu non canonice legere : statuimus ne hoc fiat, ut quod sit inordinationis causa, nec quis divina Scripturas aliter in suggestu legat, quam si tonsuræ characterem acceperit per episcopalem manuum impositionem. Hoc ipsum autem etiam in monachis servandum. Quoniam autem, ut consentaneum est, hoc monachis difficile videbatur, qui eremos ut plurimum habitant, et non possunt urbes obire, nec episcopos facile adire ; concessum est eorum præfectis, qui ab episcopis characterem accepere, presbyteris quidem necessario exsistentibus, monachos lectores in proprio monasterio facere, ut ipsi citra ullum impedimentum **315** divinas in suggestu Scripturas legant. Similiter etiam chorepiscopis concessum est, ut episcopali permissu lectores per manuum impositionem constituant. Atque hæc quidem canon. Ex eo autem soluta est magna instantia eorum qui dicunt, non esse clericos eos, qui solas habent tonsuras per antistitis manuum impositionem, et nondum sunt in cleri ordinem relati : et ideo posse illos laicorum habitum amictumque accipere. Aperte enim ostenditur, quod quando quis tonsuræ manuum impositionem susceperit ab antistite, is est protinus clericus ; ut cui etiam in suggestu legere sit permissum. Mihi autem videtur, quod qui etiam nigris simpliciter vestibus fuerit indutus ab episcopo, ut clericus fieret, amictum amplius mutare non potest, ut qui Deo se consecrare proposuerit ; et ideo nec *suam Deo* pollicitationem rescindere, nec sanctum

ΒΑΛΣ. Τάξις συνέχει πάντα τὰ οὐράνια καὶ τὰ ἐπίγεια· πολλῷ δὲ πλέον τὸ τῆς εὐταξίας καλὸν εἰς τοὺς ἱερουργοῦντας πολιτευόμενον θεραπεύει τὸν Θεόν. Ἐπεὶ οὖν, φασὶν οἱ ἅγιοι Πατέρες, ὁρῶμέν τινας νηπιόθεν μελανειμονήσαντας, ὡς τῷ Θεῷ ἀφιερωθέντας, καὶ κουρὰν δεξαμένους μὴ διὰ χειροθεσίας τοῦ ἐγχωρίου ἐπισκόπου, τολμῶντας δὲ μετὰ τὸ ἐνηλικιωθῆναι ἐπ' ἄμβωνος ἀναγινώσκειν τὰς θείας Γραφὰς ἀκανονίστως· θεσπίζομεν μὴ γίνεσθαι τοῦτο, ὡς παραίτιον ἀταξίας, μηδὲ ἄλλως ἀναγινώσκειν ἐπ' ἄμβωνος τὰς θείας Γραφάς τινα, εἰ μὴ λάβῃ σφραγῖδα ἐπικουρίδος διὰ χειροθεσίας ἐπισκοπικῆς, τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. Ὅτι δέ, ὡς ἔοικεν, ἐνομίσθη δυσχερὲς εἶναι τοῦτο τοῖς μοναχοῖς τὰς ἐρήμους, κατοικοῦσι κατὰ πολύ, καὶ μὴ δυναμένοις τὰς πόλεις περιέρχεσθαι, καὶ τοῖς ἐπισκόποις ἐντυγχάνειν εὐχερῶς, ἐνεδόθη τοῖς ἡγουμένοις τοῖς σφραγισθεῖσι παρὰ τῶν ἐπισκόπων, πρεσβυτέροις οὖσιν ἐξ ἀνάγκης, ἀναγνώστας ποιεῖν μοναχοὺς ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ἐφ' ᾧ ἀκωλύτως ἀναγινώσκειν τούτους ἐπὶ ἄμβωνος τὰς θείας Γραφάς. Ὡσαύτως ἐνεδόθη καὶ τοῖς χωρεπισκόποις ἀναγνώστας προχειρίζεσθαι κατ' ἐπιτροπὴν ἐπισκοπικήν. Καὶ ὁ μὲν κανὼν ταῦτα. Λέλυται δὲ ἀπὸ τούτου μεγάλη ἔκστασις τῶν λεγόντων μὴ εἶναι κληρικοὺς τοὺς μόνας ἐπικουρίδας ἔχοντας διὰ χειροθεσίας ἀρχιερατικῆς, καὶ μήπω καταχθέντας ἐν κλήρῳ, ὥστε ἔχειν ἐπὶ ἀδείας αὐτοὺς μετασχηματίζεσθαι εἰς λαϊκούς. Παρίσταται γὰρ ἀριδήλως ὡς, ἡνίκα τις δέξεται χειροθεσίαν ἐπικουρίδος παρὰ ἀρχιερέως, αὐτίκα κληρικός ἐστιν, ὡς ἐκχωρούμενος ἀναγινώσκειν ἐπὶ ἄμβωνος. Ἐμοὶ δὲ δοκεῖ ὅτι καὶ ὁ ἁπλῶς μελανειμονήσας ἐπισκόπῳ τοῦ κληρωθῆναι μετασχηματισθῆναι οὐ δύναται, ὡς προθέμενος ἀφιερωθῆναι τῷ Θεῷ· κἀντεῦθεν μὴ ἰσχύων τὴν πρὸς Θεὸν ὑπόσχεσιν ἀθετῆσαι, καὶ ἐμπαῖξαι τὸ ἅγιον σχῆμα κατὰ σκηνικούς· ὅπερ καὶ περὶ τῶν μοναχῶν πολλάκις

εἶπον· τοὺς δὲ μετὰ Τρισαγίου μελανειμονήσαντας ἀδιαστίκτως λέγω μὴ δύνασθαι μετασχηματίζεσθαι. Τοῦ δὲ κανόνος λέγοντος ἐπ' ἀδείας ἔχειν πάντα καθηγούμενον σφραγισθέντα παρὰ ἀρχιερέως, δηλονότι ὄντα ἱερέα, ἀναγνώστας; ποιεῖν μοναχοὺς ἐντὸς τῆς οἰκείας μονῆς καὶ μόνης, ἐζήτησάν τινες, εἰ ἐφεῖται αὐτῷ ἅμα τῷ σφραγισθῆναι τοῦτο ποιεῖν, καὶ δίχα ῥητῆς ἐπιτροπῆς τοῦ ἀρχιερέως; Καί τινες μὲν εἶπον ἐπακολουθεῖν σιωπηρῶς καὶ τοῦτο τῇ χειροθεσίᾳ τῆς ἡγουμενείας, ὡς τοῦ κανόνος πλέον τι μὴ προστιθεμένου, χρώμενοι καὶ τῷ κδ' κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου εἰς συγκρότησιν τοῦ λόγου αὐτῶν. Ἀντέθεντο δὲ καὶ ἕτεροι ὡς, ἐπεὶ καὶ ὁ ἀναγνώστης κληρικός ἐστιν, ὀφείλει ἐξ ἀνάγκης μετὰ χειροθεσίας ἐπισκόπου ἢ ἐπιτροπῆς αὐτοῦ σφραγίζεσθαι· ὅθεν καὶ ὁ καθηγούμενος τότε ἀναγνώστου χειροθεσίαν ποιήσει ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ὅταν καὶ τοῦτο παρὰ τοῦ ἰδίου ἀρχιερέως ἐπιτραπῇ. Εἰ μὴ γὰρ τοῦτο εἴπωμεν δικαιώσομεν ἐξ ἀνάγκης αὐτὸν δέχεσθαι χωρὶς ἐπιτροπῆς ἀρχιερατικῆς καὶ τοὺς λογισμοὺς τῶν μοναχῶν αὐτοῦ καὶ ἑτέρων, ὅπερ ἀδύνατον. Μόνοις γὰρ τοῖς ἀρχιερεῦσι καὶ τοῖς ἐκχωρηθεῖσι παρὰ τούτων ἱερεῦσιν ἐφιλοτιμήθη ἄνωθεν τὸ δεσμεῖν καὶ λύειν. Τῶν δὲ ἀντιθέτων εἰπόντων ὡς, εἰ χρεία ἐστὶ τῷ καθηγουμένῳ πρὸς τοῦτο καὶ ἰδικῆς ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου, εἰς τὸ μηδὲν κατανεῖμ τὸ παρὰ τοῦ κανόνος ἐπιφιλοτιμηθὲν τῷ καθηγουμένῳ, ἀντεῖπον ἐκεῖνοι ὅτι καὶ οὕτω μέγα δίκαιον δέδοται τῷ καθηγουμένῳ. Μηδενὸς γὰρ ἱερέως δυναμένου ἀναγνώστου χειροθεσίαν ποιεῖν, κἂν ἐπιτραπῇ τοῦτο παρὰ ἀρχιερέως, οἱ ῥηθέντες καθηγούμενοι καθ' ὁρισμὸν ἀρχιερατικὸν τοῦτο ἐνεργήσουσι, ὅπερ ἐστὶ φιλοτίμημα ἰδικόν. Ἐμοὶ δὲ κατανοεῖται ἀδιαστίκτως ἐνδοθῆναι τοῦτο τοῖς ἡγουμένοις παρὰ τοῦ κανόνος. Ἔτι ἀμφιβολίας γενομένης περὶ τοῦ εἰ γίνονται ἡγούμενοι ἀνίερροι, εἶπόν τινες ὡς, ἐπεὶ κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου σφραγίζονται, πάντως ἐπιλέξεται ὁ ἐπίσκοπος τὸν εὐδοκιμοῦντα πρὸς ἰατρείαν ψυχῶν, κἂν ἀνίερός ἐστιν· οὐ μὴν τὸν χειροτονηθέντα καὶ μὴ εὐδοκιμοῦντα· ὥσπερ οὐδὲ ὁ νοσῶν σωματικῶς ἵνα ἐπιλέξηται τὸν πρὸς θεραπείαν ἀνεπιστήμονα περὶ τὰ ἰατρικά, διὰ τὸ ἀρχιατρὸν αὐτὸν χειροτονηθῆναι, καὶ παραδράμῃ τὸν δεξιὸν καὶ ἐπιστήμονα, ὡς ἀχειροτόνητον· ὅτι μηδὲ ἡ χειροτονία, ἀλλ' ἡ ἀκριβὴς ἐπιστήμη τὴν θεραπείαν δίδωσιν. Ἕτεροι δὲ ἀντέθεντο ὡς, τοῦ κανόνος διοριζομένου ἐκείνους ἔχειν τοῦτο τὸ δίκαιον, τοὺς σφραγισθέντας ἡγουμένους παρὰ ἐπισκόπων, δηλονότι ὄντας ἱερεῖς, ἀναφαίνεται μὴ σφραγίζεσθαι ἡγούμενον, εἰ μὴ καὶ ἱερεύς ἐστιν· ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ. Οὐδὲ γὰρ διὰ τὴν ἡγουμενείαν προστέθη παρὰ τῶν ἁγίων Πατέρων τὸ εἶναι πάντως ἱερεῖς τοὺς ἡγουμένους, ἀλλὰ διὰ τὴν τοῦ ἀναγνώστου σφραγῖδα, ὡς δυνατοῦ μὴ ὄντος παρὰ ἀνιέρου καθηγουμένου ἀναγνώστην σφραγισθῆναι. Λέγω οὖν ἀπό τε τοῦ παρόντος κανόνος καὶ ἀπὸ τοῦ ιθ' καλῶ· προχειρίζεσθαι καὶ ἀνιέρους καθηγουμένους· ὅτι καὶ γυναῖκας ἡγουμενεύουσι. Καὶ ὥσπερ ἐκεῖναι οὔτε λογισμοὺς ἀναδέ-

habitum scenicorum instar indificari possit; quod sæpe etiam de monachis dixi: eos autem, qui cum trisagio nigris vestibus induti fuerint, indistincte dico habitum mutare non posse. Cum autem canon dicat, licere cuivis monasterii præfecto, qui ab antistite characterem acceperit, sacerdos scilicet monachos lectores facere intra monasterium et solum; quæsiverunt nonnulli, an sit ei permissum hoc facere, cum primum characterem susceperit, etiam sine expressa antistitis permissione? Et dixerunt quidem nonnulli, præfecturæ manuum impositionem hoc quoque tacite consequi, utpote cum canon nihil ultra adjiciat: utentes et canone 24 synodi Laodicenæ ad id quod dicunt confirmandum. Alii autem contra opponebant, quod quoniam lector quoque est clericus, debet necessario cum episcopi manuum impositione vel ejus permissione characterem suscipere; unde et monasterii præfectus tunc lectoris ordinationem in suo monasterio faciet, quando hoc a proprio episcopo ei permissum fuerit. Nisi enim hoc dixerimus, eum quoque sine episcopali permissione monachorum suorum et aliorum confessiones audire æquum censebimus, quod fieri non potest. Solis enim antistitibus, et quibus ab ipsis permissum fuerit, sacerdotibus, superne concessum est ligare et solvere. Cum autem dixerint adversarii, quod si monasterii præfecto opus est speciali quoque illius regionis episcopi permissione, ad nihil redit quod præfecto a canone concessum est: illi contra dixerunt, quod sic quoque magnum jus datur præfecto. Cum enim nullus sacerdos possit lectorem ordinare, etiamsi ei ab antistite hoc permissum fuerit, supradicti præfecti antistitis decreto hoc facient, quod est quidem donum speciale. Ego vero intelligo hoc monasteriorum præfectis indistincte a canone concessum esse. Præterea cum dubitaretur, an monachorum præfecti fiunt, qui sacris non sunt initiati; dicebant quidam, quod quoniam ex episcopi examinatione characterem suscipiunt, illum omnino episcopus eliget, qui ad animarum salutem est probatior, etiamsi non est sacris initiatus; non autem eum, qui ordinatus est, sed non est satis spectatus. Quemadmodum nec is, qui ægrotat corporaliter, medicinæ artis imperitum ad medendum eligerit, eo quod archiater seu medicorum princeps sit ordinatus; scientem vero et peritum prætermiserit, ut qui non sit ordinatus: quoniam non ordinatio, sed perfecta scientia dat medelam. Alii autem contra opponebant, quod cum canon decernat illos hoc jus habere monasteriorum præfectos, qui ab episcopis characterem acceperint, sacerdotes scilicet, apparet characterem præfecturæ non suscipere præfectum, nisi sit sacerdos: quod non mihi videtur. Non enim propter præfecturam a sanctis Patribus additum est, ut sint omnino sacerdotes, qui monasteriis præsunt; sed propter lectoris ordinationem, nempe cum lector ordinari non possit a monasterii præfecto, qui non sit sacerdos. Dico

ergo ex præsenti canone et ex 19 recte ad prælecturam provehi etiam eos, qui non sunt sacris initiati; quoniam feminæ quoque monasteriis præficiuntur. Et sicut illæ nec peccatorum confessiones audiunt, **316** nec lectores faciunt : sic nec monachi et prælecti, qui non sunt sacerdotes, hoc facient; eo quod nec apti quidem sunt, ut ejusmodi rei permissionem ab episcopo accipiant. Quid autem? Cum Justiniani Novella dicat, ut sæpe diximus, non fieri lectorem quempiam, nisi sit octodecim annos natus, si quis infans vel puer lectoris ordinationem ab antistite susceperit, eane contentus erit; an post octavum decimum annum alio ab antistite charactere opus habebit? Solutio. Si datum fuerit eum rursus quoque characterem accipere, utpote quod primus character non possit consistere, ei licebit ante secundum, in laicum transformari, quod est absurdum. Et ideo ei, qui a pueritia characterem accepit, sufficiet, ut mihi videtur, primus character ab antistite susceptus, et reputatus perinde ac si post octavum decimum annum ab eo factus esset : ei eo magis, quod non invenitur canon, qui dicat eum aliquo præjudicio affici, qui ante id tempus lectoris ordinem susceperit. De chorepiscopi autem privilegiis lege canonem 10 Antioch. synodi.

A χονται, οὔτε ἀναγνώστας ποιοῦσι, οὕτως οὐδὲ εἰ ἄνδρες μοναχοὶ καὶ καθηγούμενοι τοιοῦτόν τι ἐνεργήσουσι, διὰ τὸ μηδὲ πεφυκέναι τοιούτου τινὸς ἐπιτροπὴν λαβεῖν αὐτοὺς ἐκ τοῦ ἐπισκόπου. Τί δέ; τῆς Ἰουστινιανείου Νεαρᾶς, ὡς πολλάκις εἴπομεν, λεγούσης, μὴ γίνεσθαί τινα ἀναγνώστην, εἰ μὴ ὀκτωκαιδεκαετής ἐστιν, ἐάν τις νήπιος ὢν δέξηται χειροθεσίαν ἀναγνώστου ἀπὸ ἀρχιερέως, ἀρκεσθήσεται ταύτῃ, ἢ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον ἑτέρας σφραγῖδος ἀρχιερατικῆς δεηθείη; Λύσις. Εἰ δοθῇ σφράγίζεσθαι καὶ αὖθις τοῦτον, ὡς τῆς πρώτης σφραγῖδος οὔσης ἀνυποστάτου, ἔξει ἐξ ἀδείας πρὸ τῆς δευτέρας μετασχηματίζεσθαι, ὅπερ ἄτοπον. Διὸ καὶ ἀρκέσει τῷ νηπιόθεν σφραγισθέντι, ὡς ἐμοὶ δοκεῖ, ἡ πρώτη σφραγὶς ὑπὸ τοῦ ἀρχιερέως B δεχομένη, καὶ λογιζομένη ὥσπερ εἰ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον γέγονε παρ' αὐτοῦ· καὶ μᾶλλον, ἐπεὶ οὐδὲ κανὼν εὑρίσκεται λέγων προκριματίζεσθαι τὸν πρὸ τοῦ τοιούτου χρόνου λαβόντα χειροθεσίαν ἀναγνώστου. Περὶ μέντοι τῶν προνομίων τοῦ χωρεπισκόπου ἀνάγνωθι τὸν ι' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ZONAR. Quidam nulla manuum impositione creati lectores, hoc est nulla certa designatione ad id munus electi, in conventibus e suggestu sacros libros legebant. Id ergo hic canon fieri vetat, quoniam in omni, inquit, sacerdotio ordinis rationem habendam esse, plane clarum, hoc est, valde manifestum et apertum est. Qui vero nec manuum impositione designatus, nec in lectorum album relatus sit; qualis illorum est ratio, qui a teneris Deo sepositi, nihil aliud quam coronam in capite gestant; ab eo divinam Scripturam de suggestu populo pronuntiari, quædam ordinis perturbatio est. Id igitur ne fiat in posterum decrevit; eademque constitutione monachos quoque teneri jubet. Sit vero lectorem, inquit, manuum impositione creare, in suo duntaxat monasterio, si modo ab episcopo præfecturæ characterem accepit, et sacerdotio initiatus fuerit, ipse monasterii præfectus potest. Chorepiscopi quoque ejus, cui subjiciuntur, episcopi permissione lectores, quin etiam ex decreto canonis decimi synodi Antiochenæ, hypodiaconos quoque et exorcistas creandi jus habent.

ΖΩΝΑΡ. Τινὲς, μὴ τυχόντες χειροθεσίας ἤτοι πρὸ χειρίσεως ἀναγνώστου ἐν ταῖς συνάξεσιν, ἀνιόντες ἐπὶ ἄμβωνι ὑπαναγίνωσκον τὰς βίβλους τὰς ἱεράς. Τῶν οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανών, λέγων ὅτι ἀδηλόν ἐστιν, ἀντὶ τοῦ πάνυ φανερὸν καὶ πρόδηλον, ἐν τάξις ἐν ἱερωσύνῃ πάσῃ πολιτεύεται. Τὸ δὲ τὸν μὴ τυχόντα χειροθεσίας, μηδὲ τοῖς ἀναγνώσταις συντεταγμένον, οἷοί εἰσιν ὅσοι, νηπιόθεν τῷ θεῷ τάχα ἀφορισθέντες, κουρὰν μόνον ἔσχον ἐπὶ τῆς κεφῆς καὶ πλέον οὐδέν, ἐπ' ἄμβωνος ἀναγινώσκειν τῷ λαῷ τὰ τῆς θεοπνεύστου Γραφῆς ἀταξίας ἐστί. Κωλύει οὖν μηκέτι τοῦτο γίνεσθαι· τὸ αὐτὸ δὲ καὶ ἐπὶ μοναχῶν. Ἀναγνώστου δὲ χειροθεσίαν, φησὶ, δύναται καὶ ἡγούμενος ποιεῖν ἐν μόνῳ τῷ οἰκείῳ μοναστηρίῳ, εἰ σφραγῖδα ἔχει ἀρχιερέως καὶ ἱερεύς ἐστι. Καὶ οἱ χωρεπίσκοποι δὲ μετ' ἐπιτροπῆς τοῦ ἐπισκόπου, ὑφ' ὃν τελοῦσι, δύνανται ἀναγνώστας χειροτεῖν. Κατὰ δὲ τὸν δέκατον κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου οἱ χωρεπίσκοποι καὶ ὑποδιακόνους χειροτοῦσι καὶ ἐξορκιστάς (35).

ARIST. « Sine manuum episcopi impositione « nemo de suggestu leget. Hoc et in monachis « observabitur. Monasterii vero præfectus, cui « episcopus manus imposuit, in suo solo monasterio lectorem ordinabit. Chorepiscopus etiam « lectorem creabit. »

ΑΡΙΣΤ. « Ἐκτὸς χειροθεσίας ἐπισκόπου οὐκ ἀναγνώσεταί τις ἐπ' ἄμβωνος· κρατήσει τοῦτο καὶ « ἐπὶ μοναχῶν. Ἡγούμενος δὲ, χειροθεσίαν ἔχων « ἐπισκόπου ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ χειροθετήσει ἀναγνώστην. Προχειρίζεται ἀναγνώστην « καὶ χωρεπίσκοπος. »

Licet tonsuram habeat quispiam sacerdotalem, si non et ab episcopo manuum impositionem recepit,

Κἂν κουράν τις ἱερατικὴν ἔχῃ, εἰ μὴ καὶ παρ' ἐπισκόπου χειροθεσίαν δέξεται, οὐκ ἀναγνώσεται ἐν

Guill. Beveregii notæ.

(35) *Χειροθετοῦσι καὶ ἐξορκιστάς.* In Supplemento ad Parisiensis Zonaræ editionem, ex alio nescio quo codice, post hæc ultima ejus in hunc canonem verba, dicitur, καὶ εἰρηνικάς; διδάσκει ἐπισκοπὰς κατὰ τὸν κανόνα· ζήτει τίς ς' τυνόδου κανόνα ιγ' περὶ τοῦ ἄνω κεφαλαίου. *et litteras quoque pacificas juxta canonem concedunt. Quære ejusdem sextæ canonem* 13, *de capite supra dicto.* Sed hæc in codice Amerbachiano non leguntur.

ἢ συναξει ἐπ' ἀμβωνος τὰς ἱερὰς τοῦ Θεοῦ βίβλους. Οὕτως οὐδὲ μοναχὸς τοῦτο ποιήσει. Τοῖς δὲ ἡγουμένοις, πρεσβυτέροις οὖσι, καὶ παρὰ ἐπισκόπου διὰ χειροθεσίας αὐτοῦ τὴν προστασίαν τῆς μονῆς ἀναδεξαμένοις, δέδοται χειροθετεῖν ἀναγνώστην ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ. Ἀλλὰ καὶ οἱ χωρεπίσκοποι ἀναγνώστας χειροτοτήσουσιν· ὡς δὲ ὁ δίκαιος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου διαλαμβάνει, καὶ ὑποδιακόνους καὶ ἐξορκιστὰς οὗτοι καθιστῶσιν· εἰ καὶ ὁ μέγας Βασίλειος οὐ συγχωρεῖ αὐτοῖς ἄνευ γνώμης αὐτοῦ εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν τινὰ παραδέχεσθαι, διὰ τὸ καταφρονητικῶς οὗτοὺς καὶ ῥᾳθύμως περὶ τὴν ἐπιλογὴν τῶν τοιούτων διατίθεσθαι.

A in conventu sacros Dei libros e suggesto non leget. Similiter autem nec monachus hoc faciet. At monasteriorum præfectis, si presbyteri sint, et ab episcopo per manuum ejus impositionem mansionis curam acceperunt, manus in lectorem imponendi in suo solo monasterio potestas datur. Sed et chorepiscopi lectores ordinabunt: ut autem decimus synodi Antiochenæ canon statuit, hypodiaconos etiam et exorcistas illi constituunt. Etiamsi Basilius magnus hoc eis non concedit, sine ejus voluntate, ad ecclesiasticum ministerium quempiam admittere; quia illi contemptim et oscitanter in talium electione se gerunt.

ΚΑΝΩΝ ΙΕ'.

« Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταταττέσθω ἐν « δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. Ἠκούσαμεν γὰρ ἐξ αὐτῆς « Κυριακῆς φωνῆς ὅτι « Οὐ δύναταί τις δυσὶ « κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ « τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ « τοῦ ἑτέρου καταφρονήσει. » Ἕκαστος οὖν, « κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν « τούτῳ ὀφείλει μένειν, καὶ προσεδρεύειν ἐν μιᾷ « ἐκκλησίᾳ. Τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα « ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἀλλότρια « τοῦ Θεοῦ καθεστήκασι. Πρὸς τὴν τοῦ βίου « τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα· ἐξ « αὐτῶν οὖν, εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ « σώματος ποριζέσθω. Ἔφη γὰρ ὁ Ἀπόστολος· « Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, « ὑπηρέτησαν αἱ χεῖρες αὗται. » Καὶ ταῦτα μὲν « ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω « χωρίοις διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων παρα« χωρείσθω. »

CANON XV.

B « Clericus ab hoc deinceps tempore in duabus ec« clesiis non collocetur: negotiationis enim et « turpis lucri proprium est, et ab ecclesiastica « consuetudine alienum. Ab ipsa enim Domini « voce audivimus, « non posse quempiam duo« bus dominis servire: vel enim unum odio ha« bebit, et alterum diliget; vel unum amplecte« tur, et alterum negliget [48]. Unusquisque ergo, « secundum dictum apostolicum, in eo, in quo « vocatus est, debet manere, et in **317** una « ecclesia assidere. Quæ enim propter turpe lu« crum fiunt in ecclesiasticis negotiis, ea a Deo « sunt aliena. Ad hujus autem vitæ usum sunt « diversa studia: ex iis ergo, si quis velit, ea C « quæ sunt corpori ad usum necessaria comparet. « Dixit enim Apostolus; « usibus meis, et iis qui « mecum sunt, manus istæ subministrarunt [49]. » « Et hæc quidem in hac a Deo conservanda ci« vitate: in iis autem quæ extra sunt locis pro« pter hominum inopiam indulgeatur. »

ΒΑΛΣ. Σαφὴς ἐστιν ὁ κανών. Διορίζεται γὰρ μὴ καταστάττεσθαί τινα κληρικὸν εἰς δύο ἐκκλησίας, διὰ τὸ εἶναι τοῦτο αἰσχροκέρδειαν καὶ ἐμπορίαν. Ὡς δέ τινος εἰπόντος, Καὶ πόθεν τὰ πρὸς ζωάρκειαν ἕξουσιν οἱ κληρικοὶ ἀνενδεῶς; εἶπον οἱ Πατέρες πολλὰ εἶναι καὶ διάφορα ἐπιτηδεύματα, ἐλεύθερα καὶ ἀκατάγνωστα· καὶ πορίζεσθωσαν δι' αὐτῶν τὰ χρειώδη. Παρήγαγον δὲ καὶ χρήσεις χάριν τούτου ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων καὶ εὐαγγελικάς. Εἰς μέντοι τὰς ἔξω τῆς βασιλευούσης τῶν πόλεων χώρας, ἔνθα λεῖψις ἀνθρώπων εἰδότων γράμματά ἐστι, παρεχώρησαν καὶ εἰς δύο ἐκκλησίας καταστάττεσθαί τινα κληρικόν. Γίνεται δὲ σήμερον τὸ ἀνάπαλιν. Ἐν γὰρ ταῖς ἔξω χώραις διὰ τὴν βασιλικὴν ἐξουσίαν τῶν ἱερέων πλείους εἰσὶν οἱ κληρικοὶ παρὰ ταῖς ἐκκλησίαις, καὶ διὰ τοῦτο οὐδεὶς κατατάττεται εἰς δύο ἐκκλησίας. Ἐν δὲ τῇ βασιλευούσῃ τῶν πόλεων οὐ μόνον εἰς δύο ἐκκλησίας, ἀλλὰ καὶ εἰς τρεῖς οἱ πλείους κατατάττονται. Ὡς ἔοικε δὲ, κατεφρονήθησαν τὰ τοῦ παρόντος κανόνος, διὰ τὸ μὴ κολάζεσθαι τοὺς τούτου καταφρονητάς, ἢ διὰ τὸ πλῆθος τῶν ἐκκλη-

BALS. Perspicuus est canon. Statuit enim, ne quis clericus in duabus ecclesiis constituatur, quod id sit turpe lucrum et negotiatio. Perinde autem ac si dixisset quispiam; Et unde clerici ea, quæ ad victum sufficiunt, citra ullam indigentiam habebunt? dixerunt Patres, multa esse et diversa studia, libera et non damnanda: et per ea quæ sibi sunt ad victum necessaria acquirant. Adduxerunt autem hujus rei gratia etiam sententias ex Actibus apostolorum et ex Evangeliis. In regionibus autem, quæ sunt extra reginam urbium, ubi est inopia hominum qui sciunt litteras, permissum est ut aliquis clericus in duabus ecclesiis constituatur. Fit autem hodie contra. In externis enim regionibus, propter imperialem sacerdotum excusationem, clerici sunt plures ecclesiis, et rideo nullus in duabus ecclesiis constituitur. In regina autem urbium, non solum in duabus, sed etiam in tribus ecclesiis plerique constituuntur. Ut est autem verisimile, præsens canon neglectui est habitus eo quod non puniantur ejus contempto-

[48] Matth. VI. 24. [49] Act. XX. 34.

res; vel propter ecclesiarum multitudinem, vel propterea quod qui digni sunt, una cum rebus ipsis, in angustum contracti sunt. Qui autem dicunt canonem tractare de iis, qui in duarum urbium cleros referri volunt, male dicunt. Alii enim capones hoc vehementissime puniunt.

ZONAR. Eumdem duabus ecclesiis clericum canon ascribi vetat, turpis lucri aviditatem ac negotiationem id appellans. Nemo enim potest duobus dominis servire, et unusquisque, ait, ut monet Apostolus, in quo ordine vocatus est, in illo permaneat : in cujus igitur ecclesiæ clerum primo quisque sublectus est, in ea stationem habere perpetuo jubet. Abducunt siquidem prorsus a Deo, quæcunque in ecclesiasticis rebus sordidæ utilitatis cupiditate geruntur. Quod vero duabus ecclesiis quispiam ascribatur, prorsus ex eo fit, ut ex utraque videlicet demensum accipiat, quo in lucello turpitudo inest. Hinc veluti objicienti cuipiam : Qua ratione igitur vitam Clerici tolerabunt, si minus, quam ipsis sufficiat, ab una ecclesia suppeditetur? Auctores canonis diversa studiorum genera esse respondent, quibus ea quæ ad victum pertinent comparentur. Unum igitur ex iis aliquod, cujus ope sibi necessaria conquirant, amplecti debere, remque apostolico oraculo confirmant, dicente, *Manus meæ ministrarunt usibus meis, et iis qui mecum sunt*, ut in Actis habetur. Atque hæc quidem, inquiunt, in hac magna ac regina urbium civitate, propter hominum quæ in ea est multitudinem, ita servari jubemus. Verum extra illam, quibus in locis hominum penuria est, unum duarum ecclesiarum ministerio clericum addici licere decernimus.

ARIST. « Clericus in duabus ecclesiis in posterum « Constantinopoli ne constituatur : at extra eam « propter hominum penuriam permittatur. »

Non potest quispiam duobus servire dominis : vel enim unum odio habebit, secundum dictum Dominicum, *et alterum diliget ; vel unum amplectetur, et alterum contemnet*. Quocirca ea, quæ propter turpe lucrum in ecclesiasticis negotiis fiunt, ut Deo aliena, hæc synodus rejicit : et non permittit Constantinopoli, **318** ubi est multitudo sacerdotum, unum clericum in duabus ecclesiis constitui ; sed in una assiduum esse ecclesia. Si autem ad vitæ necessitatem non sufficiant quæ ei dantur, talem aliud studium quærere, et ex eo quæ sunt corpori necessaria comparare, decernit. Ita fecit Apostolus, ut ipse dicit ; *Ea quibus mihi opus erat et iis qui mecum sunt, hæ manus subministrarunt.*

CANON XVI.

« Omnis luxus et ornatus corporeus est a sacer-

A σεων καὶ τὴν στενοχωρίαν τῶν ἀξιολογωτέρων καὶ τῶν πραγμάτων. Οἱ δὲ λέγοντες τὸν κανόνα (36) διαλαμβάνειν περὶ τῶν βουλομένων εἰς δύο πόλεις κατατάττεσθαι κλήρους, κακῶς λέγουσι. Τοῦτο γὰρ ἕτεροι διάφοροι κανόνες μετὰ σφοδρότητος ἐκόλασαν.

ΖΩΝΑΡ. Τὸ ἐν δύο ἐκκλησίαις τάττεσθαι κληρικὸν τὸν αὐτὸν ἀπαγορεύει ὁ κανὼν, αἰσχροκέρδειαν τοῦτο καλῶν καὶ ἐμπορίαν. Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, καὶ ἕκαστος, φησὶ, κατὰ τὸν Ἀπόστολον, ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω, καὶ προσεδρεύειν κελεύει τῇ ἐκκλησίᾳ, ἐν ᾗ ἐξ ἀρχῆς ἐκληρώθη. Ὅσα γὰρ δι' αἰσχροκέρδειαν γίνονται ἐπὶ τῶν ἐκκλησιαστικῶν, ἀλλοτριοῦσι τοῦ Θεοῦ. Τὸ δὲ ἐν δύο ἐκκλησίαις τάττεσθαι πάντως διὰ τὸ ἀμφοτέρωθεν λαμβάνειν σιτηρέσια γίνεται, ὅπερ κέρδους αἰσχροῦ ἐστιν. Ὥσπερ δέ τινος ἀντειπόντος ὅτι, Καὶ πῶς ζήσονται οἱ κεκληρωμένοι, μὴ ἀρκούμενοι τοῖς διδομένοις αὐτοῖς ἐκ τῆς μιᾶς ἐκκλησίας ; ἀντιτιθέασιν οἱ ποιηταὶ τοῦ κανόνος ὅτι διάφορά εἰσιν ἐπιτηδεύματα πρὸς τὴν τοῦ βίου χρείαν, καὶ ἐκ τούτων τινὰ μετερχέσθωσαν, ἵνα, ὧν χρῄζουσι, διὰ τούτων ταῦτα πορίζωνται, καὶ ἐκ τοῦ ἀποστόλου χρῆσιν παράγουσιν, *Αἱ χεῖρές μου, εἰπόντος, ὑπηρέτησαν ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ*, ὡς ἐν ταῖς Πράξεσι γέγραπται. Ταῦτα δὲ, φασὶ, λέγομεν γίνεσθαι ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει (37) διὰ τὴν πολυπλήθειαν τῶν ἐν αὐτῇ. Ἐν δὲ ταῖς ἔξω χώραις, ἔνθα ἔλλειψις ἀνθρώπων ἐστὶ, παραχωρεῖσθω τὸ ἕνα ἐν δύο ἐκκλησίαις κατατάττεσθαι.

ΑΡΙΣΤ. « Κληρικὸς ἐν δυσὶν ἐκκλησίαις τὸ λοιπὸν « μὴ κατατοττέσθω ἐν Κωνσταντινουπόλει· ἔξω « δὲ ταύτης παραχωρείσθω διὰ τῶν ἀνθρώπων τὴν « Ἔλλειψιν. »

Οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, κατὰ τὴν Κυριακὴν φωνὴν, *καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει*. Διὰ τοῦτο καὶ τὰ δι' αἰσχροκέρδειαν ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων γινόμενα, ὡς ἀλλότρια Θεοῦ, ἡ σύνοδος αὕτη ἀποβάλλει· καὶ οὐ συγχωρεῖ ἐν Κωνσταντινουπόλει, ἔνθα πλῆθος ἱερωμένων ἐστὶν, ἐν δυσὶν ἐκκλησίαις ἕνα κληρικὸν κατατάττεσθαι, ἀλλὰ ἐν μιᾷ προσεδρεύειν ἐκκλησίᾳ. Εἰ δὲ οὐκ ἀρκεῖται πρὸς τὴν τοῦ βίου χρείαν τοῖς διδομένοις αὐτῷ, ἐπιτήδευμά τι ἕτερον μετέρχεσθαι τὸν τοιοῦτον διορίζεται, καὶ ἐξ αὐτοῦ πορίζεσθαι τὰ χρειώδη τοῦ σώματος. Καὶ γὰρ οὕτως ἐποίει καὶ ὁ Ἀπόστολος, ὡς αὐτὸς λέγει· *Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.*

ΚΑΝΩΝ ΙϚ'.

« Πᾶσα βλακεία καὶ κόσμησις σωματικὴ ἀλλότριαι

Guill. Beveregii notæ.

(36) *Οἱ δὲ λέγοντες τὸν κανονα.* Hæc usque ad finem ex ms. Bodleiano restituimus ; sed in Amerbachiano non exstant.

(37) *Ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει.* Codex Amerbachianus legit, ἐν ταύτῃ μεγαλοπόλει καὶ βασιλευούσῃ, *in hac magna urbe et imperiali.*

« εἰσι τῆς ἱερατικῆς τάξεως καὶ καταστάσεως. A
« Τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ
« κληρικοὺς δι' ἐσθήτων λαμπρῶν καὶ προφανῶν,
« τούτους διορθοῦσθαι χρή· εἰ δὲ ἐπιμένοιεν,
« ἐπιτιμίῳ παραδίδοσθαι· ὡσαύτως καὶ τοὺς τὰ
« μύρα χριομένους. Ἐπεὶ δὲ ῥίζα πικρίας ἄνω
« φύουσα μίασμα γέγονε τῇ καθολικῇ Ἐκκλησίᾳ,
« ἡ τῶν Χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύ-
« την δεξάμενοι, οὐ μόνον τὰς εἰκονικὰς ἀναζω-
« γραφήσεις ἐβδελύξαντο, ἀλλὰ καὶ πᾶσαν εὐλά-
« βειαν ἀπώσαντο, τοὺς σεμνῶς καὶ εὐσεβῶς
« βιοῦντας προσοχθίζοντες· καὶ πεπλήρωται ἐπ'
« αὐτοῖς τὸ γεγραμμένον· « Βδέλυγμα ἁμαρτωλῶν
« θεοσέβεια. » Εἰ εὑρεθῶσι τοίνυν τινὲς ἐγγελῶντες
« τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν. Ἐκ γὰρ B
« τῶν ἄνωθεν χρόνων πᾶς ἱερατικὸς ἀνὴρ μετὰ
« μετρίας καὶ σεμνῆς ἀμφιάσεως ἐπολιτεύετο.
« Πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν
« παραλαμβάνεται, περιπερείας ἔχει κατηγορίαν,
« ὡς ὁ μέγας ἔφη Βασίλειος. Ἀλλ' οὐδὲ ἐκ σηρι-
« κῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνεδέ-
« δυτό τις, οὐδὲ προσετίθεσαν ἑτερόχροα ἐπιβλή-
« ματα ἐν τοῖς ἄκροις τῶν ἱματίων. Ἤκουσαν
« γὰρ ἐκ τῆς θεοφθόγγου γλώσσης, ὅτι *Οἱ τὰ*
« *μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασι-*
« *λείων εἰσίν.* »

BALS. Τῶν Εἰκονομάχων μεταβαλόντων πᾶσαν ἐκκλησιαστικὴν κατάστασιν καὶ εὐλάβειαν πρὸς ἀκαταστασίαν καὶ ἀνευλάβειαν, ὡς τῶν αὐτοῖς προσερχομένων κληρικῶν καὶ ἐπισκόπων ἀνευλαβῶς καὶ C
ἀδιαφόρως ἐχωρηθέντων πολιτεύεσθαι, ἵνα τοῖς θελήμασιν αὐτῶν ὑπείκωσι, καὶ διὰ τοῦτο καὶ τῆς ἱερατικῆς ἐνδυμενίας πρὸς τὸ βλακικώτερον μεταβληθείσης καὶ κοσμιώτερον· διωρίσαντο οἱ Πατέρες ἐπιτιμᾶσθαι τοὺς καλλωπίζοντας ἑαυτοὺς διὰ ἐνδυμενίας λαμπρᾶς, καὶ μὴ διορθουμένους μετὰ παραγγελίαν· ὡσαύτως κολάζεσθαι καὶ τοὺς τὰ μύρα χριομένους. Ἐπεὶ δὲ οἱ αὐτοὶ αἱρετικοὶ πρὸς τούτοις κατεγέλων τῶν βιούντων μετὰ σεμνότητος καὶ εὐλαβείας, καὶ ἐνδύμασι χρωμένων εὐτελεστέροις διὰ ταπείνωσιν· ὥρισαν οἱ θεῖοι Πατέρες τοὺς τοιοῦτόν τι ποιοῦντας δι' ἐπιτιμίων διορθοῦσθαι· Ὅτι, φασίν, οἱ ἱερεῖς ἀείποτε μετὰ μετρίας καὶ σεμνῆς διαγωγῆς ἐπολιτεύοντο (καὶ τὸν μὴ διὰ χρείαν τοῦ σώμα- D
τος λαμπρότερον ἱματισμὸν περιπερείαν, ἤγουν βλακείαν, ὠνόμαζεν ὁ μέγας Βασίλειος), ἀλλ' οὐδὲ ἐσθῆτα σηρικὴν, ἤγουν μεταξατὴν (σῆρες γὰρ οἱ σκώληκες), ἐνεδέδυντο ἱερατικοὶ ἄνδρες, οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθεσαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν, ἤγουν μαργέλια· καὶ ἐφεξῆς ἐπιφέρουσι τὸ εὐαγγελικὸν ῥητόν. Ἀνάγνωθι καὶ τὸν κζ' κανόνα τῆς ς' συνόδου. Αἰτιωμένων δὲ τῶν λαμπρειμονούντων κληρικῶν διὰ ἱματίων λεγομένων ἐξαμίτων ἐχόντων οὐ μόνον ἑτερόχροα ἀντίπανα, ἀλλὰ καὶ χρυσόπαστα, πρὸς δὲ καὶ γράμματα πολυτελῆ χρυσᾶ, εἶπόν τινες τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὴν τότε οὖσαν ἀταξίαν εἰς τὰς ἐκκλησίας,

« dotali ordine et statu alienus. Episcopos ergo
« vel clericos, qui se splendidis et insignibus
« vestibus exornant, se corrigere oportet; sin
« autem permaneant, pœnis coerceri : similiter
« et eos, qui sunt unguentis delibuti. Quoniam
« autem radix acerbitatis sursum pullulans,
« Catholicæ Ecclesiæ fuit inquinamentum, Chri-
« stianos scilicet accusantium hæresis; et qui
« eam susceperunt, non solum imaginum pictu-
« ras aversati sunt, sed omnem etiam pietatem
« ac religionem extruserunt, eos, qui pie et ho-
« neste vivunt, odio habentes; et in iis imple-
« tum fuit quod scriptum est : Abominatio pec-
« catori religio et verus Dei cultus. Si inventi
« itaque fuerint nonnulli eos irridentes, qui vi-
« lem et modestum amictum induti sunt, pœna
« corrigantur. A superioribus enim usque tem-
« poribus omnis vir sacratus cum moderato
« et honesto indumento versabatur. Quidquid
« enim, non propter usum, ostentatorium orna-
« tum assumitur, in luxus reprehensionem in-
« currit, ut ait magnus Basilius. Sed nec ex
« sericis texturis variatum quis vestimentum
« habebat : neque in vestimentorum fimbriis
« adjecta erant alieni coloris additamenta. Ex
« divina enim lingua audierunt quod, « Qui
« mollibus vestiuntur, in ædibus regum sunt[97]. »

BALS. Cum Iconomachi omnem ecclesiasticam constitutionem et pietatem in confusionem et impietatem mutassent, utpote clericis et episcopis, qui ad eos accedebant, impie et temere vitam instituere permissis, ut eorum voluntati obsequerentur; et ideo sacerdotale quoque indumentum ad id quod plus habet luxus et ornatus mutatum esset : statuerunt divini Patres, eos puniri qui se splendida veste exornant, et post denuntiationem non corriguntur, et similiter puniri eos qui unguentis delibuti sunt. Quoniam autem hi præter ea hæretici irridebant eos, qui pie et honeste vivebant, et vilioribus utebantur vestibus propter humilitatem : statuerunt sancti Patres eos, qui tale quid faciunt, per pœnas corrigi. Sacerdotes enim, inquiunt, semper olim modeste et honeste vitam instituebant (et splendidiorem vestem, quæ non propter usum corporis sumitur, ostentationem sive luxum magnus vocavit Basilius), sed neque serica veste, metaxata scilicet (seres enim vermes sunt) induebantur viri sacerdotales, neque alia diversi coloris additamenta vestium ipsarum fimbriis adjiciebant, scilicet limbos; et deinde dictum evangelicum adjiciunt. Lege et canonem 27, synodi sextæ. Cum autem accusarentur quidem clerici splendide induti, qui vestes samitos dictas gestabant, quæ non solum diversi coloris antepannas seu fimbrias habebant, sed etiam auro intexta, præterea autem, et sumptuosas aureas litteras; dicebant quidam, editum esse canonem propter eam quæ tunc erat in ecclesiis, rerum cor

[97] Matth. xi, 8.

nem, et multam clericorum a pietate alienationem ; hodie autem non habere locum canonem, quandoquidem Dei gratia absoluta est ecclesiastica constitutio et pietas, et ad Dei honorem clerici cum vestibus splendidioribus versantur : audiverunt autem se non recte dicere. Est enim canon universalis ; et quæ in eo scripta sunt debent in sæcula sæculorum observari et vim suam obtinere : qui vero præter eum vitam instituunt, recte punientur, nisi corrigantur.

A καὶ τὴν πολλὴν ἀνευλάβειαν τῶν κληρικῶν, σήμερόν τε μὴ ἔχειν χώραν τὰ τοῦ κανόνος. ὅτε Θεοῦ χάριτι πᾶσά ἐστιν ἐκκλησιαστικὴ κατάστασις καὶ εὐλάβεια, καὶ πρὸς τιμὴν Θεοῦ οἱ κληρικοὶ μετὰ ἱματίων λαμπροτέρων πολιτεύονται. Ἤκουσαν δὲ μὴ καλῶς λέγειν. Καθολικὸς γάρ ἐστιν ὁ κανών, καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων τὰ ἐν αὐτῷ κρατεῖν καὶ ἐνεργεῖν ὀφείλουσιν· οἱ δὲ παρὰ τοῦτον πολιτευόμενοι καλῶς ἐπιτιμηθήσονται, εἰ μὴ διορθωθῶσιν.

319 ZONAR. De hominum qui sacro ordini adscripti sunt indumentis, synodi quoque sextæ canone 27 decernitur : sed cum ritus ecclesiasticos Iconomachi perturbassent, idcirco de eadem hæc quoque synodus decreto cavendum existimavit. Si quis ergo episcopus aut clericus pretiosam vestem ad ornatum cultumque corporis adhibuerit, aut unguento delibutus fuerit, primum admoneri hominem, tum, si perstiterit, pœnis quoque in eum animadverti jubet. Quoniam vero, inquit, Christianoaccusatorum hæresis, quique illa tenebantur, non modo sacris imaginibus bellum indixere, sed totius quoque religiosæ modestiæ prorsus obliti, eos, quorum moribus ac vitæ gravitas inesset, oderant et adversabantur : si demisso ac modesto ornatu indutos homines irridere deprehensi fuerint, correctionis ergo puniendos esse decernit. Nam vel a prima antiquitate Deo sacrati homines in omni victu cultuque moderati et graves, inquit synodus, exstitere. Deinde magni quoque Basilii, quid περπερεία sit explicantis, testimonium adducit. Quotiescunque enim quidpiam, non ad usum, sed ad ornatum tantummodo ac elegantiam adhibeas, in vitium, inquit, quod περπερεία dicitur, incurras. Neque vero vestibus ex metaxa variegatis (sunt autem illæ sericæ, a seribus quippe metaxa conficitur, seres porro vermes quidam dicuntur) qui in sacrum ordinem cooptati fuerant, inquit synodus, antiquis temporibus utebantur ; neque illis colorati panni additamenta indumentorum fimbriis assuere mos erat. Quæ mox evangelica sententia clauduntur.

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἕκτης συνόδου περὶ ἀμφιάσεως ἱερατικῆς διατάττεται· ἀλλὰ τῶν εἰκονομάχων συγχεάντων τὰ ἤθη τὰ ἐκκλησιαστικά, ἦλθε καὶ ἡ παροῦσα σύνοδος εἰς τὴν περὶ τούτου θεσμοθεσίαν. Καὶ κελεύει τοὺς ἑαυτοὺς καλλωπίζοντας διὰ λαμπρῶν ἱματίων ἐπισκόπους ἢ κληρικοὺς διορθοῦσθαι, ἢ ἐπιμένοντας ἐπιτιμᾶσθαι, ὁμοίως καὶ τοὺς τὰ μύρα χριομένους. Ἔπειτ δὲ, φησὶν, ἡ τῶν Χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, καὶ τὰς σεπτὰς εἰκόνας ἐβδελύξαντο, ἀπώσαντο δὲ καὶ πᾶσαν εὐλάβειαν, μισοῦντες καὶ ἀποστρεφόμενοι τοὺς σεμνῶς βιοῦντας· εἰ εὑρεθῶσιν ἐγγελῶντες τοῖς εὐτελῆ καὶ σεμνὰ ἐνδεδυμένοις, ἐπιτιμάσθωσαν, ἵνα διορθωθῶσιν. Ἐκ γὰρ τῶν ἀρχαίων χρόνων, φησὶν ἡ σύνοδος, εἰ ἱερατικοὶ ἄνδρες μετρίως καὶ σεμνῶς ἐπολιτεύοντο. Εἶτα καὶ τὸν μέγαν Βασίλειον εἰς μαρτυρίαν παράγει, ἑρμηνεύοντα τί ἐστι περπερεία· ὃς φησιν ὅτι πᾶν, ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν. Οὔτε δὲ ἐκ μετάξης ἐσθῆτας πεποικιλμένας (αὗται γὰρ σηρικαὶ, ὡς διὰ σηρῶν γινόμεναι· σῆρες γὰρ οἱ σκώληκες λέγονται) οἱ ἱερατικοὶ πάλαι ἐνεδέδυντο, λέγει ἡ σύνοδος· οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθεσαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν. Καὶ ἐξῆς ἐπιφέρει τὸ εὐαγγελικὸν ῥητόν.

ARIST. « Episcopi vel clerici splendidis se in-
« duentes vestibus, vel unguentis delibuti, corri-
« gantur. Persistentes autem puniantur. » *Perspicuus.*

ΑΡΙΣΤ. « Ἐπίσκοποι, ἢ κληρικοὶ, λαμπραῖς ἑαυ-
« τοὺς κοσμοῦντες ἐσθῆσιν, ἢ μύρα χριόμενοι,
« διορθούσθωσαν· ἐπιμένοντες δὲ ἐπιτιμάσθωσαν. »
Σαφής.

CANON XVII.

1 Quidam monachi, suis monasteriis relictis, ut
« qui imperare desiderent, et parere recusent,
« oratoria ædificare aggrediuntur, cum ea non
« habeant quæ ad perfectionem pertinent. Si
« quis igitur hoc facere aggressus fuerit, prohi-
« beatur ab ejus loci episcopo : si habeat autem
« quæ ad perfectionem sufficiunt, ab ipso deli-
« berata ad finem deducantur. Idem autem ser-
« vetur in laicis et clericis. »

BALS. Rursus quoque sancti Patres, cum omnino non ferrent gloriæ cupiditatem inter eos versari,

ΚΑΝΩΝ ΙΖ'.

« Τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν
« μοναστήρια, ἐφιέμενοι τοῦ ἄρχειν, καὶ τὸ ὑπ-
« ακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐ-
« κτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχον-
« τες. Εἴ τις οὖν τοῦτο ἐπιχειρήσει ποιεῖν, κωλυέ-
« σθω ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου (38)· εἰ
« δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχει τὰ βεβουλευμένα
« αὐτῷ, εἰς πέρας ἀγέσθωσαν. Τὸ αὐτὸ δὲ φυλαττέσθω καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι Πατέρες, μὴ ἀνεχόμενοι ὅλως παῤῥησιάζεσθαι τὸ τῆς φιλοδοξίας πάθος

Guill. Beveregii notæ.

(38) *Τοῦ κατὰ τόπον ἐπισκόπου.* Codex Amerchianus legit, κατὰ χώραν. Ut et mox pro ἔχει τὰ βεβουλευμένα, in Parisiensi editione legitur ἔχει καὶ τὰ βεβουλευμένα.

εἰς τοὺς πολιτευομένους κατὰ Θεὸν, διωρίσαντο τοὺς καταλιμπάνοντας μοναχοὺς τὰ οἰκεῖα μοναστήρια διὰ φιλοδοξίαν ἢ ἀνυποταξίαν, καὶ ἐγχειροῦντας μὲν κτίζειν εὐκτηρίους οἴκους, μὴ ἔχοντας δὲ αὐτάρκειαν πρὸς ἀπαρτισμὸν, κωλύεσθαι παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου, ὥσπερ συγχρωτεῖσθαι τοὺς ἔχοντας ἀνεμποδίστως. Τὸ αὐτὸ δὲ γίνεσθαι καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν. Σὺ δὲ εἰ θέλεις μαθεῖν πλατύτερον πῶς καὶ παρὰ τίνων κτίζονται τὰ μοναστήρια, ζήτει κεφ. α' τοῦ α' τίτλου τοῦ δ' βιβλίου τῶν Βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγ' Ἰουστινιανείου νεαρᾶς, καὶ τὸ ὅλον α' κεφ. τοῦ ια' τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· ὡσαύτως καὶ τὸν α' κανόνα τῆς ἁγίας καὶ μεγάλης α' καὶ β' συνόδου τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης, καὶ μάθῃς πάντα τὰ περὶ τῆς οἰκοδομῆς τῶν μοναστηρίων. Τὸ μέντοι προκομισθὲν παρὰ τῶν ἁγίων Πατέρων, μὴ ἐξακουόμενον καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν, ἐκλαβοῦ εἰς μόνους τοὺς μοναχούς. Τὸ δὲ κωλύεσθαι τοὺς κτίζοντας μοναστήρια, καὶ μὴ ἔχοντας ἀρκοῦσαν δαπάνην εἶκυσον εἰς πάντας, ἤγουν εἰς λαϊκοὺς, κληρικοὺς, ἐπισκόπους, μοναχοὺς καὶ λοιπούς. Ἐρωτήσει δέ τις, Καὶ πῶς τὴν δαπάνην ἀπαιτηθήσεται ὁ θέλων κτίσαι μοναστήριον; Ἆρα χρυσίου πολλά τινα τάλαντα ἢ μετρίους στατῆρας; Λύσις. Οὐδὲν ἐξ ἀφοΐν. Οὔτε γὰρ ἀναγκάζεταί τις προσαγαγεῖν τῷ Θεῷ μεγαλοπρεπῆ καὶ ἀξίαν προσαγωγὴν, οὔτε μικροπρεποῦς χρυσίου κερμάτιον, μὴ ἀρκοῦν εἰς ὃ προέθετο προφέρων εἰσακουσθήσεται. Ἀλλ' ἐπεὶ τὸ ἐλάχιστον ὑπὸ τριῶν μοναχῶν συνίσταται μοναστήριον, ἀναγκασθήσεται ὁ κτίσαι μέλλων προσαγαγεῖν εἰ μὴ πλείονα, τίως δὲ τὰ ἀρκοῦντα εἰς ἀπαρτισμὸν ναοῦ καὶ οἰκονομίαν αὐτοῦ καὶ τριῶν μοναχῶν. Φησὶ γὰρ ἡ ιδ' νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ Φιλοσόφου μετὰ τὸ προοίμιον ταῦτα· Φαμὲν οὖν ὡς, ἐπεὶ τὸ θεῖον ἐκῆγε στόμα· *Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν*, χρῆναι τὸ ἐλάχιστον τρισὶν ἐπαρκεῖν τὸ μοναστηρίου κλῆσιν ὑποδυόμενον ἔργον, δηλονότι καὶ τῶν ἄλλων ἱερῶν κειμηλίων, ὅσα τε πρὸς ἁγιστείαν καὶ δοξολογίαν ὁρῶσιν, ὑπαρχούσης τῆς εὐπορίας. Τῷ μὲν οὖν πρὸς ἀνιέρωσιν μοναστηρίου ἀκώλυτον ἔχοντι τὴν ἐπιχείρησιν, εἰς τοσοῦτον δεήσει τὸ ἐλάχιστον τὸ ἀφιέρωμα συντελεῖν. Ὅτι δὲ οἱ πλεῖστοι, πρὸς τὴν τοιαύτην ἐπιχείρησιν ἑαυτοὺς ἐπιδιδόντες, ἐνίοτε ὀπίσω βουλῆς ἀπολείπονται, προλαβόντος τοῦ θανάτου, καὶ τῆς ἐν ἀνθρώποις αὐτοὺς συναναστροφῆς ἐξαφανίζοντος, ἐκεῖνο ἡμῖν θεσπίζεται ὡς, διατυπώσεως προελθούσης, τὰ ἐν αὐτῇ διορισθέντα ἔσται τῇ Ἐκκλησίᾳ. Εἰ δὲ, ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον, πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόντων ἄχρι τριῶν, τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή· ἐπέκεινα δὲ τοῦ τρίτου ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας, ἧς

[68] Matth. xviii, 20.

A qui secundum Deum vivere constituunt, statuerunt, ut monachi, qui propter gloriæ cupiditatem sua monasteria relinquunt, vel etiam propter inobedientiam, et oratoria quidem ædificare aggrediuntur, non habent autem quæ ad ejus perfectionem sufficiunt, prohibeantur ab illius regionis episcopo, ut qui ea constituere minus sufficiunt. Hoc ipsum autem etiam fieri in laicis et clericis decrevere. Si latius autem scire velis, quomodo et a quibus ædificantur monasteria, quære cap. 1, tit. 1, lib. IV Basilic. quæ quidem est pars 125 Justianini Novellæ, et totum cap. 1, tit. 11, præsentis operis, et quæ sunt in eo; similiter et can. 1 sanctæ et magnæ primæ et secundæ synodi quæ in templo Sanctorum Apostolorum congregata est: et disces B omnia quæ ad monasteriorum ædificationem pertinent. Quod autem a sanctis Patribus in proœmio dictum est, in laicis etiam et clericis non exauditum, de solis monachis accipe. Prohiberi autem eos, qui monasteria ædificant, et sumptum sufficientem non habent, ad omnes scilicet laicos, clericos, episcopos, monachos et reliquos extende. Rogaverit autem quispiam, Et quantus sumptus ab eo exigetur, qui velit monasterium exstruere? Multane auri talenta, an stateres aliquot? *Solutio.* Neutrum. Non enim cogetur quispiam magnificam et magni pretii Deo offerre oblationem, nec minutula aliquot auri numismata, ad ea quæ proposuit non sufficientiam afferens exaudietur. Sed quia monasterium a tribus ad minimum monachis constituitur, cogetur, qui vult ædificare, afferre **320** si non C plura, ea quidem certe quæ sufficiunt ad templi perfectionem, suamque et trium monachorum habitationem et provisionem. Dicit enim 14 imperatoris domini Leonis Philosophi Novella post proœmium hæc: Dicimus itaque quod quoniam divino ore dictum est, *Ubi sunt duo vel tres congregati in nomine meo, illic sum in medio eorum* [68], oportet tribus ad minimum sufficere opus, quod monasterii subit appellationem, et aliorum scilicet pretiosorum instrumentorum, quæ ad cæremonias Deique cultum et nominis celebrationem pertinent, non deesse facultatem. Eum ergo, qui monasterium consecrare velit aggredi citra prohibi- D tionem, eo usque ad minimum oportebit ad ejus consecrationem impendere. Quoniam autem plurimi, qui se tali rei aggrediundæ dedidere, nonnunquam postea consilio frustrantur, morte præveniente, et eorum inter homines conversationem tollente, illud a nobis decernitur; quod si testamentum præcesserit, quæ in eo disposita sunt, erunt Ecclesiæ: sin autem cujusmodi multa rerum affert incertitudo, ante factum de rebus suis testamentum e medio sublatus fuerit, si sint quidem tres liberi, quartam bonorum partem sibi vindicabit monasterium; sin autem ultra tertium numerum prolis processerit multitudo, monasterium una cum liberis numerabitur, et

unusquisque eorum æqualem partem accipiet universarum facultatum, quas defuncti debita non attingunt. Si autem liberos non habeat qui vita excessit, sed relictis parentibus decesserit, iis quæ habet bifariam divisis, altera quidem pars parentibus, altera vero monasterio tradetur. Si autem hæredibus ascendentibus destitutus fuerit, eos autem, qui per transversalem lineam eum attingunt, clerus admiserit: ipsi quidem, quicunque fuerint, tertiam partem possidebunt, duæ autem partes Ecclesiæ accedent. Et hæc quidem de iis qui monasteria ædificant. *Interrogatio* : Si quis autem domum oratoriam, non monasterium, ædificare voluerit, tantamne ut afferat impensam, abjeo postulabitur? *Solutio* : Nequaquam. Hæc enim de solis monasteriis lata sunt. Qui est ergo ædificaturus offerre cogetur quod satis est, ex episcopi examinatione. Iis ergo ita se habentibus, in urbium quidem regina ab eo, qui statis temporibus est chartophylax, crucis fixio extra urbem alicui, templum excitare volenti non datur, nisi juxta primum canonem primæ et secundæ synodi in scriptis deposuerit, se omnia attulisse quæ ad ejus perfectionem pertinent, ut superius dictum est, et ea minutatim confirmaverit in ecclesiastico codice. In externis autem regionibus, ut mihi quidem videtur, nihil ejusmodi subtilitate disquiritur; sed licet omni volenti absque ulla molestia oratoria ædificare. Quin et hic etiam multi absque scientia episcopi multa audent ejusmodi. Quia autem solius templi sumptus meminit canon, sumptus autem nomine, omnia quæ sunt monasterio utilia et iis, qui in ipso exercentur, comprehenduntur; debes tu sumptum quoque sic accipere.

ZONAR. A monachis monasteria exædificari ne liceat, hic canon decernit: ab imperandi siquidem studio parendique impatientia homines in id consilium impelli dicit. Cum enim illos, inquit, obedientiæ tædium cepit, ædificationem moliuntur. Mox cum ad perficiendum facultates non suppetant, opera inchoata relinquunt. Id ne fiat, episcopi studio curari jubet. Quod si cui tantum suppetat in sumptum, quantum operi absolvendo satis esse possit, ab eo cœpta perfici nihil vetat. Eamdem porro constitutionem ad clericos et ad laicos pariter extendi placet.

ARIST. « Qui monasterium exstruere vult, si ha-
« beat quidem quibus perficiat, opus aggredia-
« tur, et ad finem istud perducat. Sin minus, a
« loci episcopo prohibeatur. Idem et de laicis et monachis valet. »

321 CANON XVIII.

« Sine offensione este etiam iis qui extra sunt [69],
« inquit divinus Apostolus : mulieres autem in

[69] 1 Cor. x, 32.

οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος. Ἀπαιδος δὲ ὑπάρχοντος τοῦ τὸν βίον ἀπολιπόντος, ἐπὶ γονεῦσι δὲ λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων, ἡ μὲν γονεῦσι, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παραχεθήσεται. Εἰ δ' ἔρημος εἴη κληρονόμων ἀνιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται· αὐτοὶ μὲν, ὅσοι ἂν καὶ ὦσι, τὸ τρίτον μέρος διανεμήσονται, τὸ δίμοιρον δὲ προχωρήσει τῇ Ἐκκλησίᾳ. Καὶ ταῦτα μὲν εἰς τοὺς κτίζοντας μοναστήρια. *Ἐρώτησις*. Εἰ δέ τις εὐκτήριον οἶκον, οὐχὶ μοναστήριον, θελήσει κτίσαι, τοσαύτην δαπάνην προσαγαγεῖν ἀπαιτηθήσεται; *Λύσις*. Οὐδαμῶς. Περὶ γὰρ μοναστηρίων ταῦτα νενομοθέτηται. Ἀναγκασθήσεται οὖν ὁ κτίσαι μέλλων προσαγαγεῖν, κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου, τὰ ἀρκοῦν. Τούτων οὕτως ἐχόντων, ἐν μὲν τῇ βασιλευούσῃ τῶν πόλεων ἄλλως σταυροπήγιον (39) παρὰ τοῦ κατὰ καιροὺς χαρτοφύλακος οὐ δίδοταί τινι ἔξω τῆς πόλεως ταύτης ἀνεγεῖραι θέλοντι ναὸν, εἰ μὴ κατὰ τὸν α' κανόνα τῆς πρώτης καὶ δευτέρας συνόδου κατάθηται διʼ ἐγγραφῆς προσενεγκεῖν· πάντα τὰ πρὸς ἀπαρτισμὸν τούτου, ὡς εἴρηται, καὶ βεβαιώσῃ αὐτὰ κατὰ λεπτὸν ἐν τῷ ἐκκλησιαστικῷ κώδικι· ἐν δὲ ταῖς ἔξω χώραις, ὡς ἐμοὶ δοκεῖ, οὐδέν τι τοιοῦτον ἀκριβολογεῖται· ἀλλὰ παντὶ τῷ βουλομένῳ ἐφεῖται ἀπολυπραγμονήτως κτίζειν εὐκτήρια. Καὶ ἐνταῦθα δὲ οἱ πλείους χωρὶς εἰδήσεως ἐπισκοπικῆς πολλὰ τολμῶσι τοιαῦτα. Ἐπεὶ δὲ μόνης δαπάνης τοῦ ναοῦ ἐμνήσθη ὁ κανὼν, τῷ ὀνόματι δὲ τῆς δαπάνης πάντα τὰ χρειώδη τῷ μοναστηρίῳ καὶ τοῖς ἀσκουμένοις ἐν αὐτῷ συμπεριλαμβάνονται, ὀφείλεις καὶ σὺ οὕτως ἐκλαβέσθαι τὴν δαπάνην.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ παρὰ μοναχῶν κτίζεσθαι μοναστήρια, φιλαρχίας λέγων εἶναι τοῦτο καὶ ἀνυποταξίας. Ἀπαναινόμενοι γὰρ, φησὶ, τουτέστιν ἀρνούμενοι τὴν ὑπακοὴν, ἐπιχειροῦσι κτίζειν. Καὶ μὴ εὐπορούντες ἀπαρτίσαι αὐτὰ καταλιμπάνουσιν ἀτελῆ. Τοῦτο κωλύεσθαι παρὰ τῶν ἐπισκόπων ὁρίζει. Εἰ δὲ ἔχει ἀρκοῦσαν δαπάνην εἰς τὸ ποιῆσαι τέλειον ἔργον, ὃ ἐβουλεύσατο γινέσθω. Τὸ αὐτὸ δὲ διορίζεται κρατεῖν καὶ ἐπὶ κληρικῶν καὶ λαϊκῶν.

ΑΡΙΣΤ. « Ὁ βουλόμενος κτίσαι μοναστήριον, εἰ
« μὲν ἔχοι τὰ πρὸς ἀπαρτισμὸν, ἀρχέσθω τοῦ
« ἔργου, καὶ εἰς πέρας ἀγέσθω τοῦτο· εἰ δὲ μὴ,
« κωλυέσθω παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου
« τούτου κρατοῦντος καὶ ἐπὶ λαϊκῶν καὶ μονα-
« χῶν. »

ΚΑΝΩΝ ΙΗ'.

« Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φησὶν ὁ
« θεῖος Ἀπόστολος· τὰς δὲ γυναῖκας ἐνδιαιτᾶ-

(39) *Σταυροπήγιον*. Vide Suicerum sub voce.

« σθαι ἐν ἐπισκοπείοις ἢ μοναστηρίοις παντὸς A
« προσκόμματος αἴτιον. Εἴ τις οὖν δούλην ἢ
« ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ κτώμενος φωρα-
« θείη, ἢ ἐν μοναστηρίῳ πρὸς ἐγχείρησιν δια-
« κονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ, καθαι-
« ρείσθω. Εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖ-
« κας εἶναι, καὶ θελήσοι ἐπίσκοπος ἢ ἡγούμενος
« πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος
« ἐπισκόπου ἢ ἡγουμένου, μηδ' ὅλως ἐγχείρησιν
« διακονίας ποιεῖσθαι κατ' ἐκεῖνον τὸν καιρὸν
« γυνὴ, ἀλλ' ἰδισζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν
« τὴν ἐπαναχώρησιν ποιήσηται ὁ ἐπίσκοπος, διὰ
« τὸ ἀνεπίληπτον. »

ΒΑΛΣ. Μαθόντες, ὡς ἔοικεν, οἱ ἅγιοι Πατέρες ὅτι εἰς ἐπισκοπεῖα καὶ εἰς μοναστήρια διάγουσι γυναῖκες, εἶπον ὡς, ἐπεὶ ὁ μέγας ἀπόστολος Παῦλος πρὸς Κορινθίους ἐπιστέλλων διωρίσατο ἀπροσκόπους εἶναι ἡμᾶς, μὴ μόνοις τοῖς ἐντὸς, ἀλλὰ καὶ τοῖς ἔξωθεν, ἤγουν μὴ μόνοις τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις· τὸ δὲ συνδιάγειν μετὰ γυναικῶν ἐπισκόπους ἢ ἡγουμένους ἐν μοναστηρίῳ ἢ ἐν ἐπισκοπείῳ παντός ἐστι προσκόμματος αἴτιον, καὶ λοιδορία οὐ τυχοῦσα τῆς ἐκκλησιαστικῆς καταστάσεως· ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ τοιοῦτόν τι ποιήσαντες, ἐπιμένοντες δὲ καθαιρεῖσθαι. Ὡς δέ τινος εἰπόντος ἀδιάκριτον εἶναι τὸ κολάζεσθαι τούτους, ὁπωσδήποτε μετὰ γυναικῶν συνδιαιτωμένους (συμβαίνει γάρ τινα ἐξ αὐτῶν κατὰ πάροδον καταλῦσαι εἰς προάστειόν τι γυναῖκας ἔχον, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὴν μετὰ τούτων διαγωγὴν ἀποπέμψασθαι), ὥρισαν, εἰ συμβῇ τοῦτο, μηδ' ὅλως ὁρῶντος τοῦ ἐπισκόπου ἢ τοῦ ἡγουμένου διακονεῖν τὰς γυναῖκας, ἀλλ' ἐν τόπῳ ἑτέρῳ ταύτας ἀναχωρεῖν καὶ ἡσυχάζειν ἕστ' ἂν οὗτοι ἀποχωρήσωσι· τὴν δὲ τούτων διακονίαν γίνεσθαι πάντως παρὰ ἀνδρῶν. Οὕτω γὰρ τὸ ἀνεπίληπτον ἤτοι ἀσκανδάλιστον ἐπ' αὐτοῖς συντηρηθείη. Ἆρα δὲ, ἐὰν ἐξ ἀντιδιαστολῆς ἐν ἐπισκοπείῳ ἢ μοναστηρίῳ μὴ συνδιάγωσι μετὰ γυναικῶν, ἀλλ' ἐν ἑτέρᾳ κατοικίᾳ, συγγνωμονηθήσονται; Λύσις. Οἱ μὲν κανόνες, καθὼς πολλάκις εἴπομεν, καὶ τὸ νζ' κεφ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν ἀπαγορεύουσιν ἱερωμένου τινὰ μετὰ ὑπόπτου γυναικὸς συνδιάγειν, ἄνευ μητρὸς, θυγατρὸς, ἀδελφῆς, καὶ τῶν λοιπῶν ἀνυπόπτων προσώπων· τὸ δὲ νζ' κεφ. αὐτοῦ, μέρος ὂν τῆς ρλζ' D Ἰουστινιανείου νεαρᾶς, λέγει ταῦτα ῥητῶς· Ἐπίσκοπον δὲ μηδεμίαν παντελῶς γυναῖκα ἔχειν ἢ μετὰ αὐτῆς οἰκεῖν συγχωροῦμεν· εἰ δὲ ἀποδειχθείη τοῦτο, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. Εἰ γοῦν ὁ ἁπλῶς συνοικῶν ἐπίσκοπος μετὰ γυναικὸς οἰασδήτινος καθαιρεῖται, πολλῷ πλέον ὁ ἐν ἐπισκοπείῳ τοιοῦτόν τι ποιήσας ἀπεντεῦθεν καθαιρεθήσεται, ὡς ἐμοὶ δοκεῖ, διὰ τὸ τῆς νεαρᾶς ἀδιάστικτον. Τὸ μέντοι ιε' κεφ. τοῦ α' τίτλου τοῦ δ' βιβλίου κωλύει οὐ μόνον τὸ καταμεῖναι γυναῖκα ἐν μοναστηρίῳ ἀνδρῴῳ, ἢ τὸ ἀνάπαλιν, ἀλλὰ καὶ τὸ ὅλως εἰσελθεῖν ἐν αὐτῷ χάριν οἰασδήτινος ὑποθέσεως. Σημείωσαι οὖν τὸν κανόνα λέγοντα ὅτι οὐδὲ δούλη οὐδὲ ἐλευθέρα ὀφείλει συνδιάγειν μετὰ ἐπισκόπου ἢ ἡγουμένου καθ' ὁ δι-

« episcopiis vel monasteriis versari, est omnis
« offensionis causa. Si quis ergo ancillam vel
« liberam in episcopio possidere deprehensus
« fuerit, vel in monasterio, ad ministerium ali-
« quod obeundum, reprehendatur : sin autem
« perseveret, deponatur. Si vero etiam in sub-
« urbiis mulieres esse contigerit, et voluerit epi-
« scopus, vel monasterii præfectus illuc iter
« facere præsenti episcopo vel monasterii præ-
« fecto, mulier eo tempore nullo modo ministe-
« rium obeat ; sed alio in loco seorsum degat,
« donec recesserit episcopus ; ut omnis repre-
« hensionis occasio vitetur. »

A μήσοντας εὐνουχίσαι οἱονδήτινα ἢ αὐτοχείρως ἢ διὰ προτροπῆς, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀφορίζεσθαι· εἰ μήπω εἰς νοσοῦντάς τινας τοιοῦτόν τι διαπράξωνται· τούτους γὰρ ἀνευθύνους εἶναι παρεκελεύσαντο· ὅτι ἰατρεία τοῦ πλάσματος τοῦ Θεοῦ, οὐχὶ ὕβρις ἐστὶ, τὸ διὰ νόσον οὕτω γινόμενον. Ἀνάγνωθι τὰ ἐν τοῖς ῥηθεῖσιν ἀποστολικοῖς κανόσι γραφέντα, καὶ τὸν α' κανόνα τῆς πρώτης συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν ρμβ' Ἰουστινιάνειον νεαρὰν, καταστρωθεῖσαν ἔξωθεν τοῦ ιῶ κεφ. τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος. Σημείωσαι δέ τι καινὸν ἀπὸ τῆς τοῦ κανόνος περιλήψεως ἀναφαινόμενον. Ἄνωθεν μὲν γὰρ τοὺς ἱερωμένους εὐνουχίζοντας ἢ αὐτοχείρως ἢ ἐξ ἐπιτροπῆς καθαιρεῖσθαι διορίζονται οἱ Πατέρες· κάτω δὲ περὶ B τῶν διὰ νόσον ἀκρωτηριαζομένων τὸν λόγον ποιούμενοι, τοὺς μὲν λαϊκοὺς αὐτοχείρως εὐνουχίζοντας ἢ τὸν ἀκρωτηριασμὸν ἐπιτρέποντας οὐκ αἰτιῶνται· τοὺς δὲ ἱερωμένους, ἐπιτάττοντας καὶ μόνον, οὐ κατακρίνουσι· μὴ μέντοι γε καὶ αὐτοχείρους τοῦ ἀκρωτηριασμοῦ γενομένους. Σημείωσαι οὖν τοῦτο, ὠφέλιμον συμβαλέσθαι σοι πολλά, εἰς τὸ μὴ εἶναι ἀτιμωρήτους τοὺς ἱερωμένους διὰ νόσον προδιδόντας εἰς ἐκτομὴν ἑαυτοὺς δίχα ἐπιτροπῆς ἐκκλησιαστικῆς. Εἰ γὰρ τιμωρεῖται ὁ ἱερωμένος ὁ ἕτερον αὐτοχείρως διὰ νόσον ἐκτέμνων, πολλῷ πλέον τιμωρηθήσεται ὁ ἑαυτὸν ἀκρωτηριάζων ἱερωμένος διὰ νόσον.

ZONAR. Castrare quempiam civilium quoque legum decreto interdictum est. Qui sibi igitur genitalia præscindit, quemadmodum primo canone œcumenicæ primæ synodi explicuimus, si quidem sacerdos sit, deponitur : si minus, ut homicida sui a susceptione ordinum amovetur. Quod si ut suiipsius interfector ille damnetur, qui alterum exsecuerit, homicida procul dubio existimabitur. Est vero præterea in ipsum quoque Dei artificio elaboratum opus injurius. Quem enim Deus in sortem naturæ virilis eduxit, hunc ad diversam monstrique omnino similem naturam ipse traducit. Nec enim virilis naturæ consors exsectus ille putari debet, siquidem liberos ex muliebri commercio procreare nullatenus potest : neque vicissim muliebris, quoniam non pariat. Idcirco si quis alterum exsecuisse, sive ipse per se, sive alterius opera, convictus fuerit, sacerdotem deponi, laicum vero canon segregari jubet. Si quis tamen in morbum, ex quo virilia abscindi necesse sit, incidat ; ea vero tunc temporis amputari canon haud vetat, neque ullam, aut in eos, qui manum operi admoverint, aut qui fieri jusserint, pœnam decernit. Sola enim hic morbi curatio quæritur, non aut opifici contumelia, aut ullum opificio damnum, infertur.

ΖΩΝΑΡ. Τὸ εὐνουχίζειν καὶ τοῖς πολιτικοῖς νόμοις ἀπηγόρευται. Ὁ μὲν οὖν ἑαυτὸν ἐκτέμνων, C καθὼς ἐν τῷ πρώτῳ κανόνι τῆς οἰκουμενικῆς πρώτης συνόδου εἴπομεν, ἱερωμένος ὤν, καθαιρεῖται, μέλλων δ' ἱερωθῆναι κωλύεται ὡς αὐτοφονευτής. Εἰ δὲ ἐκεῖνος αὐτοφονευτὴς κρίνοιτο, ὁ ἄλλον εὐνουχίζων πάντως ἂν λογίζοιτο φονευτής. Εἴη δ' ἂν καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ὑβριστής. Ὃν γὰρ ἐκεῖνος εἰς ἀνδρώαν φύσιν προήνεγκε, τοῦτον οὗτος εἰς φύσιν ἄλλην μεταμείβει ἀλλόκοτον. Οὔτε γὰρ ἀνδρώας ἐστὶ φύσεως ὁ ἐκτετμημένος, ἐπεὶ συνουσιάζων οὐ δύναται τέκνον ἐγεῖραι· οὔτ' αὖθις γυναικείας ἐστὶν, ἐπεὶ μὴ τίκτει. Διὰ τοῦτο, φησὶν ὁ κανών, εἴ τις ἱερωμένος εὐνουχίζων τινὰ ἐλεγχθείη, εἴτε δι' ἑαυτοῦ εἴτε δι' ἑτέρου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Εἰ δέ τις περιπέσῃ νοσήματι, D ἐξ οὗ βιάζοιτο ἐκτμηθῆναι, τότε ἐφίησιν αὐτὸν εὐνουχίζεσθαι, καὶ οὔτε τοὺς χειρουργοῦντας οὔτε τοὺς ἐπιτάττοντας κολάζει. Οὐ γὰρ ὕβρις τοῦ πλάστου τοῦτό ἐστιν, οὔτε μὴν ἐπιβουλή τις τοῦ πλάσματος, ἀλλὰ νόσου θεραπεία.

ARIST. « Si quis episcopus vel presbyter vel diaconus quemlibet castraverit, sive propria manu, sive jussu, deponatur : sin vero laicus sit, segregetur : nisi morbo forsitan ad exsectionem cogatur. Hoc enim medela est, non insidiæ. »

ΑΡΙΣΤ. « Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εὐνουχίσειέ τινα ἢ αὐτοχειρίᾳ ἢ ἐπιτάγματι, καθαιρείσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω· πλὴν εἰ μὴ νοσήματι πρὸς τὴν ἐκτομὴν ἐκβιάζοιτο· ἰατρεία γὰρ τοῦτο, οὐκ ἐπιβουλή. »

ΚΑΝΩΝ Θ'.

« Τοῦ ἀποστολικοῦ καὶ θείου κανόνος τοὺς ἱερεῖς, « τύπτειν ἐπιχειροῦντας πιστοὺς ἁμαρτήσαντας, « ἢ ἀπίστους ἀδικήσαντας, καθαιρέσει καθυποβάλ- « λοντος, οἱ τὸν οἰκεῖον ἀποθεραπεύειν μηχανώ- « μενοι θυμὸν, καὶ τὰς ἀποστολικὰς διατάξεις « παραχαράσσοντες, τοὺς αὐτοχειρίᾳ τύπτοντας « ἐξειλήφασι, μήτε τοῦ κανόνος μηδὲν τοιοῦτον « ὑποσημαίνοντος, μήτε τοῦ ὀρθοῦ λόγου τοῦτο « νοεῖν ἐπιτρέποντος. Μάταιον γὰρ ὡς ἀληθῶς « καὶ λίαν ἐπισφαλὲς τὸν αὐτοχειρίᾳ μὲν ἐν τῷ « τύπτειν τρὶς ἢ τετράκις πλήξαντα καθαιρεῖ- « σθαι· ἀδείας δὲ διδομένης, τύπτειν ἐξ ἐπιτάγ- « ματος τὸν ἀπηνῶς καὶ μέχρι θανάτου τὴν τι- « μωρίαν ἐπαύξοντα παρορᾶσθαι ἀτιμώρητον. « Διόπερ τοῦ κανόνος τὸ τύπτειν ἁπλῶς κολάζον- « τος, καὶ ἡμεῖς οὕτω συμψηφιζόμεθα. Χρὴ γὰρ « τὸν τοῦ Θεοῦ ἱερέα διδασκαλίας καὶ νουθεσίας, « ἴσθ' ὅτε δὲ καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, « τὸν ἀτακτοῦντα παιδαγωγεῖν, ἀλλὰ μὴ ταῖς « μάστιξι καὶ ταῖς πληγαῖς εἰς τὰ τῶν ἀνθρώπων « σώματα ἐπιπηδᾷν. Εἰ δέ τινες εἶεν παντελῶς « ἀνυποτακτοῦντες, καὶ τῷ σωφρονισμῷ τῶν « ἐπιτιμίων μὴ ὑπείκοντες, τούτους διὰ τῆς πρὸς « τοὺς κατὰ τὸν τόπον ἄρχοντας ἐγκλήσεως οὐ « δεὶς κωλύει σωφρονίζεσθαι· καὶ γὰρ ὁ τῆς ἐν « Ἀντιοχείᾳ συνόδου πέμπτος κανὼν τοὺς θορυ- « βοῦντας καὶ στάσεις τῇ Ἐκκλησίᾳ παρεισά- « γοντας διὰ τῆς ἔξωθεν χειρὸς ἐκανόνισεν ἐπι « στρέφεσθαι. »

ΒΑΛΣ. Ὁ μὲν κζ' ἀποστολικὸς κανὼν καθαιρεῖ- σθαι διορίζεται τοὺς ἱερωμένους τύπτοντας οἱονδήτινα πιστὸν ἢ ἄπιστον ἀδικήσαντα ἢ ἁμαρτήσαντα· ὁ δὲ παρὼν κανὼν φησιν ὥς τινες ἱερωμένοι, τὴν ἀπὸ τοῦ κανόνος ἐπαγομένην ἐκ τούτου καθαίρεσιν πτοούμενοι, αὐτοχείρως μὲν οὐ πλήττουσι, τὸν δὲ οἰκεῖον θυμὸν θεραπεύοντες, δι' ἑτέρων τύπτουσιν· ὡς τοῦ ἀποστολικοῦ κανόνος μὴ ῥητῶς τάχα κωλύσαντος καὶ τοῦτο. Κἀντεῦθεν περιγράφουσι τὴν ἀποστολικὴν παραγγελίαν. Ἔστι δὲ καὶ ἐπισφαλὲς, μᾶλλον μὲν οὖν καὶ ἄτοπον, τὸ λέγειν περὶ τῶν ἀποστόλων ὡς τιμωροῦσι μὲν τὸν ἅπαξ ἢ δὶς τυχὸν οἰκειοχείρως πλήξαντα· τὸν δὲ ἐξ ἐπιτροπῆς θανασίμους καὶ πολλὰς πληγάς τινι ἐπάγοντα μὴ κολάζεσθαι. Διὸ καὶ ὥρισαν οἱ Πατέρες ἀκολούθως τοῖς παρὰ τῶν ἁγίων ἀποστόλων διορισθεῖσι μήτε αὐτοχείρως τοὺς ἱερωμένους κολάζειν οἱονδήτινα μήτε δι' ἑτέρας χειρὸς, ἀλλὰ διὰ νουθεσιῶν ἢ καὶ ἐπιτιμίων παιδεύειν τοὺς ἁμαρτάνοντας· τοὺς δὲ μὴ ἐπιστρέφοντας διὰ τούτων διὰ προσελεύσεως ἀρχοντικῆς τιμωρεῖσθαι. Ὥσπερ δέ τινος εἰπόντος καὶ τοῦτο ἁπρεπὲς εἶναι καὶ ἀνοίκειον τοῖς ἱερωμένοις, φησὶν ὁ κανὼν ὡς ἡ ἐν Ἀντιοχείᾳ σύνοδος ἐν ε' κανόνι τοὺς θορυβοῦντας τὴν Ἐκκλησίαν κληρικοὺς σωφρονίζεσθαι διὰ τῆς ἔξωθεν χειρὸς ἤτοι τῆς πολιτικῆς διωρίσατο. Εἴποι δέ τις, Καὶ πῶς, τοῦ κανόνος ταῦτα διοριζομένου, οἱ τῶν ἐλευθερίων σπουδασμάτων διδάσκαλοι, γραμματικοὶ δηλονότι καὶ τοιοῦτοι ἕτεροι, ἱερωμένοι ὄντες, ἀπροκριματίστως τύπτουσι;

CANON IX.

« Cum apostolicus ac divinus canon sacerdotes, « qui verberare aggrediuntur, vel fidelés qui « peccarunt, vel infideles qui injuriam fecerunt, « depositioni subjiciat : ii qui suæ iræ mederi « moliuntur, et apostolicas constitutiones de- « torquent, eos intellexerunt, qui sua manu « verberant, nec canone tale quid significante, « nec recta ratione hoc intelligere permittente. « Est enim revera ineptum et valde lubricum, « ut qui sua quidem manu ter vel quater in « verberando percusserit, deponatur : data au- « tem facultate is, qui jussu verberandi inma- « niter et usque ad mortem supplicium inflictu- « rus est, impune id ferre permittatur. Quam- « obrem canone pro verberatione absolute « puniente, nos quoque simul cum eo ita de- « cernimus. Oportet enim Dei sacerdotem do- « ctrinis et admonitionibus, nonnunquam autem « et pœnis canonicis, eum, qui se immodeste « et insolenter gerit, instituere; sed non fla- « gellis et verberibus in hominum corpora in- « sultare. Si qui autem sunt morem omnino « non gerentes, et pœnarum correctioni non « cedentes ut ii apud loci illius magistratus ac- « cusentur et castigentur, nemo prohibet. « Antiochenæ enim synodi canon quintus eos, « qui tumultus excitant, et seditiones in Ecclesia « introducunt, per manum externam converti « oportere statuit. »

BALS. Vicesimus septimus canon apostolicus jubet sacerdotes deponi, qui quemcunque fidelem vel infidelem **348** qui peccarit vel injuriam fecerit, verberant. Præsens autem canon dicit, quod quidam sacerdotes, quæ ex canone inducitur, depositionem hinc verentes, sua quidem manu non percutiunt, sed iræ suæ medentes, per alios verberant; quod scilicet canon apostolicus hoc expresse forsitan non prohibuerit. Et ideo præceptum apostolicum circumscribunt. Est itaque lubricum, vel potius absurdum, dicere de apostolis, quod eum quidem puniunt, qui semel vel bis fortasse propria manu percussit : eum autem, cujus jussu complures plagæ mortales cuilibet inferuntur, non puniri. Et ideo statuerunt Patres, consequenter iis quæ a sanctis apostolis statuta sunt, ut sacerdotes neque suis manibus neque alienis quemquam verberent; sed per admonitiones, vel etiam pœnas canonicas, eos qui peccant, corrigant : ii autem, qui per hæc non corriguntur, per citationem ad magistratus puniantur. Perinde autem ac si dixisset quispiam, hoc quoque sacerdotibus non convenire, dicit canon, quod Antiochena synodus, in quinto canone, clericos, qui Ecclesiam conturbant, per externam manum seu civilem castigari oportere statuit. Dixerit autem quispiam : Et quomodo, hæc decernente canone, liberalium studiorum magistri, grammatici scilicet et ejusmodi alii, licet sint sacris initi

sine præjudicio suos discipulos verberant? *Solutio.* Propter vindictam et iram verberare, est pœna dignum; non autem ea, quæ doctrinæ et eruditionis gratia et verbis et manu fit, moderata magistrorum correctio. Propterea enim canon quoque dicit puniri, si sacerdotes in hominum corpora insultent: per hoc verbum, insultare, significans amentium instar ratione carentem appetitionem eorum, qui cum ira percutiunt. Si enim prohiberetur magistrorum ejusmodi percussio, nec ecclesiastici clerici ferula castigarent, primi defensoris suasu, eos, qui peccant, liberos et servos, ad primum defensorem accedentes. Sed hoc tamen fit ab eis absque ullo præjudicio. Quamobrem si quis sacerdos primi defensoris ferula aliquem percusserit cum ira et furore, ut et etiam aliquando contigit in patriarchæ domini Lucæ pontificatu, non effugiet supplicium: et rursus, si cum ira discipulum præceptor percusserit, usus baculo quo posset cædes fieri, id non feret impune.

A τοὺς μαθητὰς αὐτῶν; *Λύσις.* Τὸ ἐξ ἀμύνης καὶ θυμοῦ τύπτειν κολάζεται, οὐ μὴν ἡ διὰ παίδευσιν καὶ μάθησιν μετὰ λόγου καὶ χειρὸς μετρία παίδευσις τῶν διδασκάλων. Διὰ τοῦτο γὰρ καὶ ὁ κανὼν εἶπε κολάζεσθαι τὸ ἐπιπηδᾷν τοὺς ἱερωμένους εἰς τὰ τῶν ἀνθρώπων σώματα· παριστῶν διὰ τοῦ ἐπιπηδᾷν ῥήματος τὴν κατὰ μαινομένους ἄλογον ὄρεξιν τῶν μετὰ θυμοῦ τυπτόντων. Ἐπεί τοί γε, εἰ ἐκωλύετο ἡ τοιαύτη τῶν διδασκάλων πληγή, οὐδὲ οἱ ἐκκλησιαστικοὶ κληρικοὶ διὰ σκυτάλης ἂν ἐσωφρόνιζον κατὰ προτροπὴν πρωτεκδικικὴν τοὺς ἁμαρτάνοντας δούλους καὶ ἐλευθέρους τῷ πρωτεκδίκῳ προσερχομένους. Ἀλλ' ὅμως τοῦτο ἀπροκριματίστως γίνεται. Ὥστε, εἴ τις ἱερωμένος τύψει τινὰ διὰ τῆς B πρωτεκδικικῆς σκυτάλης μετὰ θυμοῦ καὶ μανίας, ὡς καὶ ἄλλοτέ ποτε συνέβη ἐπὶ τῆς ἱερατείας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, οὐκ ἐκφεύξεται τὴν κόλασιν· καὶ αὖθις, εἰ καὶ μετὰ θυμοῦ τύψει τὸν μαθητὴν ὁ διδάσκαλος, φονευτηρίῳ ῥοπάλῳ χρησάμενος, οὐκ ἀτιμώρητος ἔσται.

ZONAR. Vicesimo septimo apost. canone non licere episcopo, presbytero aut diacono quemquam ob crimen admissum verberare, quique id fecerit, depositione eum mulctandum esse decernitur. Hunc ergo canonem ita nonnulli explicabant, ut ipsis quidem sacri ordinis hominibus quempiam percussisse hoc canone vetitum; sed mandare alteri negotium verberaque per illum inferre, id vero nullo modo interdictum esse affirmarent. C Sed hanc opinionem hic canon corrigit, ac, Neque absurditate, inquit, neque periculo caret, si hoc sacros apostolos præcepisse existimemus, ut quicunque alterum ter quaterve suis ipse manibus percussisset, illum deponi vellent: qui vero per alterum crudeliter vehementissimeque adeo (hoc namque illud significat usque ad necem) cædi jussisset, impune hominem abire paterentur; idque maxime, cum indiscriminatim apostolicus canon loquatur, ac verberanti pœnam universe decernat. Idem igitur, inquiunt synodi Patres, quod apostoli, nos quoque decernimus; ne videlicet sacratis hominibus eum, qui deliquerit, aut per se, aut per alium cui ipsi mandaverint, omnino liceat verberare. D Sacerdotes namque Dei docendo et movendo peccantes corrigere atque emendare par est: quin et ecclesiasticis quandoque pœnis, quando scilicet admonitione aut cohortatione a flagitio revocari nullatenus queant. Neque enim a pœnis alterius instituendi corrigendique primordia, sed a præceptis antea atque admonitionibus, ducenda sunt; indeque ad vehementiora asperioraque remedia deveniendum. Verbera **349** vero ac plagas hominum corporibus inferre, eisque hac ratione insultare, omnino vetat canon. Quo quidem insultandi verbo furiosum ipsorum iracundumque impetum innuere ac indicare voluit. Si qui vero, inquit, neque præceptis, neque admonitionibus, neque canonicarum quoque pœnarum metu corri-

ΖΩΝΑΡ. Ὁ τῶν ἁγίων ἀποστόλων εἰκοστὸς ἕβδομος κανὼν οὔτε ἐπίσκοπον οὔτε πρεσβύτερον οὔτε διάκονον ἐᾷ τύπτειν τοὺς ἁμαρτάνοντας· καθαιρεῖσθαι γὰρ τὸν τοῦτο ποιοῦντα κελεύει. Τινὲς οὖν παρερμηνεύοντες τὸν κανόνα ἔλεγον ὅτι διὰ τῶν οἰκείων χειρῶν τύπτειν τοὺς ἱερωμένους ἐκώλυσεν ὁ κανών· ἑτέρῳ δὲ προστάσσειν καὶ δι' ἐκείνου τύπτειν ἀκώλυτον. Τοῦτο οὖν ὁ παρὼν κανὼν διορθούμενος, λέγει ἄτοπον εἶναι καὶ ἐπισφαλὲς τὸ οἴεσθαι τοὺς ἱεροὺς ἀποστόλους προστάξαι τὸν μὲν διὰ τῶν οἰκείων χειρῶν τρὶς ἢ τετράκις πλήξαντα καθαιρεῖσθαι, τὸν δὲ ἐξ ἐπιτάγματος δι' ἑτέρου τύπτοντα ἀπηνῶς καὶ λίαν σφοδρότατα (τοῦτο γὰρ τὸ μέχρι θανάτου δηλοῖ) ἀτιμώρητον ἐᾶσθαι, καὶ ταῦτα τοῦ ἀποστολικοῦ κανόνος μὴ διαστίζοντος, ἀλλ' ἁπλῶς τὸ τύπτειν κολάζοντος. Διό φασιν οἱ τῆς συνόδου Πατέρες, Καὶ ἡμεῖς· ὁμοίως τοῖς ἀποστόλοις ψηφιζόμεθα· ἵνα μήτε διὰ τῶν οἰκείων χειρῶν οἱ ἱερωμένοι μήτε ἐξ ἐπιταγῆς δι' ἑτέρου τύπτωσί τινα ἁμαρτήσαντα. Τοὺς γὰρ τοῦ Θεοῦ ἱερεῖς διδασκαλίαις καὶ νουθεσίαις χρὴ παιδεύειν καὶ σωφρονίζειν τοὺς σφαλλομένους· ἔσθ' ὅτε δὲ καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τουτέστιν, ὅτε μὴ διδασκόμενοι καὶ νουθετούμενοι οἱ ἁμαρτάνοντες σωφρονίζονται. Οὐ γὰρ ἐξ ἐπιτιμίων ἄρχεσθαι τῆς παιδείας καὶ τῆς διορθώσεως δεῖ, ἀλλὰ διδάσκειν αὐτοὺς πρότερον καὶ νουθετεῖν, καὶ οὕτω τὴν δραστικωτέραν καὶ ἐπιπονωτέραν ἰατρείαν ἐπάγειν. Τὸ δὲ μαστίζειν καὶ πληγὰς ἐπιτιθέναι τοῖς τῶν ἀνθρώπων σώμασι, καὶ τοῦτον αὐτοῖς ἐπιπηδᾷν τὸν τρόπον, τελείως ἀπαγορεύει. Διὰ τοῦ ἐπιπηδᾷν δὲ τὴν μανικὴν αὐτῶν καὶ ὀργίλον φορὰν ἠνίξατό τε καὶ ὑπέφηνεν. Εἰ δέ τινες, φησὶ, μήτε διδασκαλίαις, μήτε νουθεσίαις, μήτε μὴν ἐπιτιμίοις κανονικοῖς διορθοῦνται, τοὺς τοιούτους διὰ τῶν κατὰ τόπους ἀρχόντων σωφρονίζεσθαι δεῖ, ὑπομιμνησκομένων παρὰ τῶν ἱερέων, οἷς νουθετοῦσι καὶ ἡπίως θεραπεύουσιν οὐκ ἐπείσθησαν. Τὸ δὲ διὰ τῶν ἀρχόντων τοὺς ἀτάκτους

σωφρονίζεσθαι καὶ ἐπιστρέφεσθαι καὶ πάλαι δεικνύουσιν ὁρισθὲν παρὰ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐν τέμπτῳ αὐτῆς κανόνι.

A gantur, eos loci magistratuum opera castigari oportebit : quos quidem tota de re illi sacerdotes commonefacient, quibus ipsi præcipientibus lenique curatione utentibus non obtemperarunt. De immorigeris porro hominibus magistratuum opera corrigendis et ad sanam mentem reducendis, id jam olim ab Antiochena synodo quinto canone definitum esse demonstrat.

ΑΡΙΣΤ. « Οἱ ἱερεῖς, ἢ πιστοὺς ἁμαρτήσαντας ἢ « ἀπίστους ἀδικήσαντας τύπτοντες, ἢ αὐτοχειρίᾳ « ἢ ἐπιτάγματι, καθαιρείσθωσαν· χρὴ γὰρ διδασκαλίαις, νουθεσίαις, καὶ ἐκκλησιαστικοῖς « ἐπιτιμίοις τοὺς ἀτάκτους παιδαγωγεῖν, οὐ μάστιξιν ἢ πληγαῖς· εἰ δὲ μὴ ὑπακούοιεν, διὰ τῆς « πρὸς τοὺς ἄρχοντας ἐγκλήσεως αὐτοὺς σωφρονίζειν. »

ARIST. « Sacerdotes qui vel fideles qui peccarunt, « vel infideles qui injuria affecerunt, sive propria manu, sive mandato verberant, deponantur. Oportet enim doctrinis, admonitionibus « et pœnis ecclesiasticis immorigeros instituere, « non vero flagellis et verberibus : si nondum « autem morem gesserint, eos per provocationem ad magistratus castigare. »

ΚΑΝΩΝ. Ι'.

« Οἱ τοῖς πάθεσιν ἑαυτοὺς ἐκδότους παραστήσαντες B « οὐ μόνον τὴν ἀπὸ τῶν ἱερῶν κανόνων τιμωρίαν « οὐ φρίττουσιν, ἀλλὰ καὶ αὐτῶν ἐκείνων κατορχεῖσθαι τετολμήκασι. Στρεβλοῦσι γὰρ αὐτοὺς, « καὶ πρὸς τὸ ἐμπαθὲς αὐτῶν ἀποκιβδηλεύουσι « τοῦ θελήματος, ἵνα τῇ φιλοτιμίᾳ τῆς ἐμπαθείας, « κατὰ τὸν Θεολόγον Γρηγόριον, μὴ μόνον ἀνεύθυνον αὐτοῖς ᾖ τὸ κακὸν, ἀλλὰ καὶ θεῖον νομίζοιτο. Τὸν γὰρ ἀποστολικὸν κανόνα τὸν λέγοντα· Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν « ἢ ξύλινον, μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετερίζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, « ἐπιτιμάσθω ἀφορισμῷ· τοῦτον εἰς συνηγορίαν « τῶν οἰκείων παρανομημάτων ἐκλαμβάνοντες, οὐ « φασὶ δεῖν καθαιρέσεως ἀξίους κρίνεσθαι τοὺς C « τὴν σεβασμίαν τῆς ἁγίας τραπέζης ἔνδυτὴν εἰς « οἰκεῖον χιτῶνα, ἢ εἰς ἕτερόν τι τῶν ἀμφίων μετασχηματίζοντας· οὐ μὴν ἀλλ' οὐδὲ τοὺς τὸ « ἅγιον ποτήριον· ὦ τῆς ἀσεβείας! ἢ τὸν σεπτὸν « δίσκον, ἢ τὰ τούτοις παραπλήσια εἰς ἰδίαν ἐκδαπανῶντας χρείαν, ἢ καταχραίνοντας. Ὁ γὰρ « κανὼν, φησὶ, τοὺς εἰς τοῦτο περιπίπτοντας ἀφορισμῷ μὲν καθυποβάλλεσθαι, ἀλλ' οὐ καθαιρέσει « ἐδικαίωσεν. Ἀλλὰ τίς ἂν ἀνάσχοιτο τοῦ τῆς « τοσαύτης παρανοήσεως καὶ δυσσεβείας μεγέθους; Τοῦ γὰρ κανόνος τοῖς τὸ μόνον ἁγιασθὲν « εἰς χρῆσιν, ἀλλ' οὐκ εἰς τελείαν ἁρπαγὴν, σφετεριζομένοις τὸν ἀφορισμὸν ἐπιπέμποντος, αὐτοὶ καὶ τοὺς καθαρπάζοντας καὶ ἱεροσυλοῦντας « τὰ τῶν ἁγίων Ἅγια ἐλευθεροῦσι τῆς καθαι- D « ρέσεως, καὶ τοὺς εἰς βρωμάτων ὑπηρεσίαν « ὅσον γε τῇ ὑφ' ἑαυτῶν κρίσει τοὺς σεβασμίους « δίσκους, ἢ τὰ ἱερὰ ποτήρια καταμολύνοντας « ἀκαθαιρέτους εἰσάγουσι· καίτοι φανεροῦ καθεστηκότος τοῦ μιάσματος, καὶ δῆλον ὂν ὡς οἱ « τὰ τοιαῦτα πράττοντες οὐ μόνον καθαιρέσεως, « ἀλλὰ καὶ τῆς ἐσχάτης δυσσεβείας τῷ ἐγκλήματι « περιπίπτουσι. Διόπερ ὥρισεν ἡ ἁγία σύνοδος τοὺς ἔν τι τῶν ἐν τῷ θυσιαστηρίῳ ἱερῶν καὶ « ἁγίων σκευῶν ἢ ἀμφιασμάτων εἰς ἴδιον κέρδος « ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν ἀποχρωμένους « ἀνιέρου, παντελεῖ καθαιρέσει καθυποβάλλεσθαι. « Τὸ μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ συλῆσαι τὰ « ἅγια. Τοὺς μέντοι τὰ ἔξωθεν τοῦ θυσιαστηρίου

CANON X.

« Qui seipsos tradunt animi perturbationibus, non « solum, quod a sacris canonibus intentatur « supplicium, non horrent, sed eis etiam insultare ausi sunt. Ipsos enim torquent, et ad suam « animi perturbationem eorum quoque voluntatem adulterant : ut propter animi sui motus « contentionem, ut inquit Gregorius Theologus, « non solum sit eorum malum correctioni non « obnoxium, sed divinum quoque existimetur. « Apostolicum enim canonem, qui dicit : Vas « aureum vel argenteum sanctificatum, vel velum « lineum, nemo posthac in suum usum accipiat ; « est enim præter leges : si quis autem deprehensus fuerit, segregatione multetur; eum ad « suorum delictorum patrocinium assumentes, « dicunt eos non oportere judicari depositione « dignos, qui venerandum sanctæ mensæ indumentum in propriam tunicam, vel in aliquod « aliud vestimentum transformant : sed neque « eos qui sanctum calicem, o impietatem! vel « venerabilem discum, vel ea quæ sunt iis simili« lia, in proprium usum insumunt, vel polluunt. « Canon enim, inquiunt, eos qui in hoc incidunt, esse segregationi, non depositioni, subjiciendos æquum censuit. Sed quis tantæ perversitatis et impietatis magnitudinem ferat? « Cum enim canon eos, qui, quod sanctificatum « est, ad usum solum, et non ad perfectam rapinam sibi vindicant, segregationi subjiciat : « ipsi eos, qui Sancta sanctorum rapiunt, et « sacrilegis manibus auferunt, depositione i« berant; et eos, qui ad ciborum ministerium, « suo quidem certe judicio venerabiles discos, « aut sacros calices inquinant, non deponendos « inducunt, quamvis sit apertum piaculum; et « clarum est, quod qui hæc faciunt, non solum « in depositionem, sed in extremæ etiam impietatis crimen incidunt. Et ideo statuit sancta « synodus, eos, qui unum aliquod sacrorum et « sanctorum in altari vasorum vel vestimentorum ad proprium usum rapiunt, vel ad profanum usum convertunt, absolutæ depositioni « subjici. Hoc enim est profanare : illud vero « subripere sacra. Eos quidem certe, qui vasa

« quædam extra altare segregata, vel vestes, sibi A
« vel aliis præbent et canon segregat, et nos
« segregamus : eos autem, qui plane subri-
« piunt, una quoque sacrilegorum condemna-
« tioni subjicimus. »

BALS. Quidam sancta corripientes, et ea communia facientes, ut, verbi gratia, sanctæ mensæ indumentum ad suum amictum transferentes, et ideo depositioni subjecti, apostolico canone 75 utebantur, qui **350** dicit : Vas aureum vel argenteum sanctificatum, vel velum lineum, nemo posthac in usum suum convertat ; sin minus segregetur : et vellent sola segregatione puniri. Dicit ergo præsens canon eos deponendos, qui ad proprium lucrum rapiunt et commune efficiunt, vel ad communem et profanum usum sancto aliquo vase, ex iis quæ ad sanctum altare pertinent, utuntur. Atque eos quidem, qui per usum profanum communia faciunt, vel dant aliis similis usus gratia, sacra vasa et aulæa, quæ extra altare sunt, segregatos esse decernit : qui vero ea rapiunt, ut sacrilegos condemnari. His ita se habentibus, interrogaverit quispiam, an hic canon aliquid constituat præter canonem apostolicum ? *Solutio.* Apostolicus quidem canon de iis solum, qui communia faciunt, non etiam de iis, qui ut propria sibi vindicant, decernit. Præsens autem canon de iis, qui ea sibi vindicant, vel polluunt, vel ad proprium usum convertunt. Et propterea ille quidem per segregationem tantum punit eum qui peccavit : hic vero per depositionem, gravius illo supplicium afferens. Quoniam ergo sunt peccata differentia, habent quoque diversam pœnam. Ille enim, inquit canon, solum sanctum profanavit, non autem et transformavit : hic vero ipsum suffuratus pariter ac usus est, et ideo depositioni subjicietur. Præterea interrogaverit quispiam, quam ob causam circa finem verba faciens canon de sacris extra altare, eos, qui illa quidem communia faciunt, segregat : eos vero, qui rapiunt, ut sacrilegos condemnet ; cum deberet dicere eos quoque deponi ? *Solutio.* Idem est deponi cum qui rapit, et condemnari ut sacrilegum. Sacrilegus enim infamis efficitur : infamiam autem consequitur etiam depositio. Lege et cap. 2 tituli 2 præsentis operis, quod, quæ ad sacra vasa et ea quæ sunt dedicata pertinent, fusius docet : eaque, quæ in ipsum a nobis scripta sunt. Lege autem præcipue cap. 21 tit. 2 lib. v Basil. cujus quidem vis et effectus situs est a Photio in secundo cap. tit. 2 præsentis operis.

ZONAR. Sanctorum apostolorum canon 73 sic habet : Vas, inquit, aureum vel argenteum, aut velum sanctificatum, nemo amplius in suos usus convertat ; est enim præter leges : si quis autem deprehensus fuerit, segregatione multetur. Hoc ergo canone quidam abutentes, qui sancta, quæcunque demum illa essent, ad privatum suum usum accommodassent, segregatione tantum, non depositione puniendum, canonis sententiam prave

« ἀφωρισμένα σκεύη τινὰ ἢ ἄμφια εἰς χρησιν
« ἀνίερον ἑαυτοῖς ἢ ἑτέροις παρέχοντας, τούτους
« καὶ ὁ κανὼν ἀφορίζει, καὶ ἡμεῖς συναφορίζο-
« μεν· τοὺς δὲ παντελῶς ἁφαρπάζοντας τῇ τῶν
« ἱεροσύλων καταδίκῃ καθυποβάλλομεν.

ΒΑΛΣ. Τινὲς καθαρπάζοντες τὰ ἅγια καὶ κοινοποιοῦντες αὐτὰ, ὡς τυχὸν τὴν ἐνδυτὴν τῆς ἁγίας τραπέζης εἰς ἐνδυμενίαν μεταποιούμενοι, κἀντεῦθεν καθαιρέσει καθυποβαλλόμενοι, τῷ ογ' ἀποστολικῷ κανόνι ἐχρῶντο, λέγοντι· Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν ἢ ὀθόνην μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετεριζέσθω· εἰ δὲ μή, ἀφοριζέσθω. Καὶ ἤθελον διὰ μόνου ἀφορισμοῦ κολασθῆναι· φησὶ γοῦν ὁ παρὼν κανὼν καθαιρεῖσθαι τοὺς εἰς ἴδιον κέρδος ὑφαρπάζοντας καὶ κοινοποιοῦντας ἢ ἀποχρωμένους εἰς B
κοινὴν καὶ ἀνίερον χρῆσιν ἁγιόν τι σκεῦος ἐκ τῶν τοῦ ἁγίου θυσιαστηρίου. Τοὺς μέντοι κοινοποιοῦντας διὰ χρήσεως ἀνιέρου, ἢ ἑτέρῳ διδόντας χάριν ὁμοίας χρήσεως, τὰ ἐκτὸς τοῦ βήματος ἱερὰ σκεύη καὶ ἔπιπλα, διορίζεται εἶναι ἀφωρισμένους· τοὺς δὲ ἁφαρπάζοντας αὐτὰ, ὡς ἱεροσύλους κατακρίνεσθαι. Τούτων οὕτως ἐχόντων, ἠρώτησέ τις, Ἆρα πλέον τι παρὰ τὸν ἀποστολικὸν κανόνα διορίζεται ὁ κανὼν οὗτος ; Λύσις. Ὁ μὲν ἀποστολικὸς κανὼν περὶ τῶν κοινοποιούντων μόνον, μὴ μέντοι καὶ ἰδιουμένων τὰ ἱερὰ, θεσπίζει· ὁ δὲ παρὼν περὶ τῶν σφετεριζομένων ἢ καταχραινόντων ἢ μεταμειβόντων αὐτὰ εἰς ἰδιωτικὴν χρῆσιν. Καὶ διὰ τοῦτο ἐκεῖνος μὲν δι' ἀφορισμοῦ μόνου κολάζει τὸν ἡμαρτηκότα, οὗτος δὲ διὰ C
καθαιρέσεως, πλέον ἐκείνου λιπαίνων τὴν κόλασιν. Ὅτι τοίνυν εἰσὶ τὰ ἁμαρτήματα διάφορα, ἔχουσι καὶ τὴν κόλασιν διάφορον. Ἐκεῖνος γὰρ, φησὶν ὁ κανὼν, ἐβεβήλωσε μόνον τὸ ἅγιον, οὐ μὴν καὶ μετεποίησεν· οὗτος δὲ ἔκλεψεν καὶ ἠχρείωσεν αὐτὸ, διὸ καὶ καθαιρέσει καθυποβληθήσεται. Ἔτι ἠρώτησέ τις, Διά τί περὶ τὸ τέλος τὸν λόγον ποιούμενος ὁ κανὼν χάριν τῶν ἔξωθεν τοῦ βήματος ἱερῶν, τοὺς μὲν κοινοποιοῦντας αὐτὰ ἀφορίζει, τοὺς δὲ ἁφαρπάζοντας ὡς ἱεροσύλους κατακρίνει ; ὤφειλεν εἰπεῖν καὶ τούτους καθαιρεῖσθαι. Λύσις. Ταυτόν ἐστι τὸ καθαιρεῖσθαι τὸν ἁρπάζοντα, καὶ τὸ καταδικάζεσθαι ὡς ἱερόσυλον. Ὅτι καὶ ὁ ἱερόσυλος ἀτιμοῦται, τῇ δὲ ἀτιμίᾳ ἕπεται καὶ καθαίρεσις. Ἀνάγνωθι τὸ β' κεφάλαιον τοῦ δευτέρου τίτλου τοῦ παρόντος συν- D
τάγματος, ὃ περὶ ἱερῶν σκευῶν καὶ ἀναθεμάτων διδάσκει πλατύτερον, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γραφέντα. Ἐξαιρέτως δὲ ἀνάγνωθι τὸ κα' κεφάλαιον τοῦ β' τίτλου τοῦ α' βιβλίου τῶν Βασιλικῶν, οὗ ἡ δύναμις κατεστρώθη παρὰ Φωτίου ἐν τῷ β' κεφ. τοῦ β' τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Ὁ ἑβδομηκοστὸς τρίτος τῶν ἁγίων ἀποστόλων κανὼν φησὶ· Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν ἢ ὀθόνην μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. Τούτῳ οὖν τῷ κανόνι κεχρημένοι τινὲς ἔλεγον ὅτι τὸν τὰ ἅγια, ὁποῖα ἂν εἶεν, εἰς οἰκείαν μετασχηματίζοντα χρείαν ἀφορίζεσθαι, ἀλλ' οὐ καθαιρεῖσθαι χρεών, συρεβλοῦντες καὶ διαστρέφοντες τὴν τούτου διάνοιαν. Τοὺς γοῦν

οὕτως ἐκλαμβάνοντα; τὸν κανόνα κακίζων ὁ παρὼν κανὼν, διαστίζει τοὺς κοινοῦντας τὰ ἅγια, καὶ αὐτὰ δὲ τὰ ἱερὰ διαστίζει ἀπ' ἀλλήλων. Τὰ μὲν γὰρ. φησὶν, ἐνεργοῦσι περὶ τὸ θυσιαστήριον, οἷον δίσκος ἱερὸς, καὶ ποτήριον, καὶ τὰ τῆς παναγοῦς τραπέζης ἐνδύματα, καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἔξω που τὸν ναὸν αἰωρούμενα ἔπιπλα, καὶ ἄλλα τοιαῦτα. Τοὺς μὲν οὖν τὰ περὶ τὸν ναὸν εἰς οἰκείαν χρείαν λαμβάνοντας, ἢ ἑτέροις παρέχοντας, καὶ οὕτω κοινοῦντας αὐτὰ, ἀφορίζεσθαι διορίζεται. Περὶ τούτου γάρ, φησι καὶ τὸν ἀποστολικὸν διατάττεσθαι κανόνα, ὡς ἁπλῶς ἁγιασθέντων τῇ πρὸς τὸν ναὸν ἀναθέσει. Τοὺς δὲ ἐκ τῶν τοῦ θυσιαστηρίου λαμβάνοντάς τι καὶ νοσφιζομένους αὐτὸ, ἢ εἰς χρῆσιν μετάγοντας κοινὴν καὶ ἀνίερον, καθαιρεῖσθαι κελεύει. Τὸ μὲν γὰρ ἰδιώσασθαι ταῦτα συλῆσαί ἐστι τὰ ἅγια, καὶ ἱερόσυλος ὁ τοιοῦτος κρίνεται· τὸ δὲ χρήσασθαι αὐτοῖς καὶ κοινῶσαι βεβηλῶσαί ἐστι τὰ ἅγια, καὶ ἐκατέρωθεν τοῖς τοιούτοις δικαίως ἐπάγεται ἡ καθαίρεσις. Εἰ δὲ καὶ ἐκ τῶν ἔξω καὶ περὶ τὸν ναὸν ὄντων σκευῶν ἢ ἀμφίων, ἤγουν ἐνδυμάτων, ὑφαρπάσουσί τινές τι, ἵνα κέρδος αὐτὸ ποιήσωνται, καὶ ἐκείνους ἱεροσύλους ὁ κανὼν οὗτος καταδικάζει.

A detorquentes invertentesque, affirmabant. Eorum igitur, qui sic canonem interpretabantur, opinione rejecta, hic canon statuit inter eos, qui rebus sacris abuterentur, interque ipsa invicem sanctificata, discrimen. Quædam namque, ait, in altari adhibentur, ut discus sacer, et calix, et sacræ mensæ indumenta, atque hujus generis omnia : alia quædam in templi ornatu exteriore collocantur, ut lychnuchi, quæque circa templum suspenduntur aulæa, aliaque hujusmodi. Ergo quæ ad templi ornamenta pertinent, si quis ad suos usus adhibuerit, alterive commodaverit, eaque ratione profana reddat, segregandum esse decernit. De his namque rebus apostolici quoque canonis definitionem accipiendam asserit ; quæ nimirum eo ipso quod templo dedicantur, quomodocunque sanctificata sunt. Qui vero quidpiam ex sacro altari acceperit subripueritque vel in usum communem ac profanum converterit, eum deponi jubet. Ea namque sibi tanquam propria vindicare, est rei sacræ depeculatorem esse, sacrilegiique, qui id fecerit, condemnatur : eisdem vero uti communiaque habere, est sancta profanare ; quorum quidem criminum utrique deposition pœna constituta est. Quod si ex iis etiam, quæ in externo templi ornatu posita sunt, vas aliquod, aut vestem, hoc est, indumentum, ut inde sibi lucrum acquirant, aliqui subripuerunt ; hi quoque ut sacrilegi hoc canone condemnantur.

B

ΑΡΙΣΤ. « Οἱ τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ « ἐνδυτὴν, ἢ λαβίδα, ἢ τὸ λεγόμενον ἄερα, ἢ « ἁπλῶς ἕν τι τῶν ἱερῶν σκευῶν, ἢ ἀμφιασμά- « των, εἰς ἴδιον κέρδος ὑφαρπάζοντες ἢ εἰς χρῆ- « σιν ἀνίερον ἀποχρώμενοι καθαιρείσθωσαν. Τὸ « μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ ἱεροσυλῆσαι. Οἱ « δὲ τὰ ἔξω τοῦ θυσιαστηρίου σκεύη, ἢ ἄμφια « εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς, ἢ ἄλλοις, παρέχον- « τες ἀφοριζέσθωσαν· οἱ δὲ παντελῶς ἁφαρπά- « ζοντες ὡς ἱερόσυλοι καταδικαζέσθωσαν. »

C

ARIST. « Qui sacrum calicem, vel discum, vel « vestem, vel forcipem, vel aereum, ut dicitur (id « est sudarium), vel ut summatim dicam, unum « aliquod sacrorum vasorum, 351 vel indu- « mentorum, in proprium lucrum subripiunt vel « ad usum profanum abutuntur, deponantur. « Hoc enim est profanare, istud sacra subri- « pere. Qui autem vasa vel vestimenta, quæ « sunt extra altare, in usum profanum sibi- « met, vel aliis, præbent, segregentur. Qui vero « omnino subripiunt, ut sacrilegi condemnan- « tur. »

ΚΑΝΩΝ ΙΑ'.

« Τοὺς πρεσβυτέρους ἢ διακόνους (54) κοσμικὰς ἀρχὰς « ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις « τῶν ἀρχόντων λεγομένας κουρατωρείας οἱ θεῖοι « καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι. « Τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ « τῶν λοιπῶν τῶν ἐν κλήρῳ κατειλεγμένων διορι- « ζόμεθα ὡς, εἴ τις αὐτῶν κοσμικὰς ἀρχὰς μετα- « χειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις « ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέ- « χοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἐκδιώκεσθαι. « Οὐδεὶς γὰρ δύναται, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ

D

CANON XI.

« Presbyteros vel diaconos sæculares magistratus « vel curas suscipientes, vel quæ in magistra- « tuum ædibus curationes appellantur, divini et « sacri canones depositioni subjiciunt. Hoc ergo « nos quoque confirmantes de reliquis quoque, « qui sunt in clericorum catalogo, decernimus; « quod si quis eorum sæcularia officia assumat, « vel quæ in magistratuum ædibus vel suburbiis « curationes appellantur, suscipiat, is ex suo « clero expellatur. Nemo enim potest, ut est « Christi veri Dei nostri vox ab ipso prolata,

Guill. Beveregii notæ.

(54) *Τοὺς πρεσβυτέρους ἢ διακόνους.* Ex hujus canonis præscripto, Michael patriarcha Constantinopolitanus, qui etiam ὁ τοῦ Ἀγχιάλου καὶ ὑπατος τῶν φιλοσόφων dictus est, neque lectores sæcularia suscipere officia præcepit. Ἡ δύναμις τοῦ σημειώματος τοῦ κυρίου Μιχαὴλ ἐστιν οὕτως, Μηνὶ Ἰανουαρίῳ ιγ', ἡμέρᾳ δ', ἐπινεμήσεως δ', καὶ ἐφεξῆς, διατάττεται καὶ τοὺς ἀναγνώστας ἐπίσης τοῖς διακόνοις καὶ τοῖς ἱερεῦσι μὴ ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια, ἢ πρακτορικὰς ἐνεργείας, ἢ κουρατωρείας, διὰ τὸν ια' κανόνα τῆς ἐν Κωνσταντινουπόλει α' καὶ β' συνόδου. *Vis edicti Domini Michaelis hæc est : Mense Januario, die* 13, *feria* 4, *indictione* 4, *et deinceps, constituit, ne lectores æque ac diaconi et sacerdotes sæcularia officia suscipiant, vel exactorum munera, vel curationes, propter canonem* 11 *primæ et secundæ synodi Constantinopolitanæ. Jur. Græc. Rom.* t. III. p. 227.

« caque longe verissima, duobus dominis ser- A
« vire. »

BALS. Præsens canon prædictos canones, qui cavent ne sacerdotes magistratuum munera subeant, confirmans, adjicit, ut non solum qui sunt sancti tribunalis, sed etiam clerici qui extra sunt, si tale quid faciant, e clero expellantur. Quoniam autem in canone apostolico 6 et in 81 et in aliis canonibus, quin etiam in cap. 13 tit. 8 præsentis operis satis de eo scripsimus, lege ea, et sufficient ad interpretationem.

ZONAR. Magnæ venerabilibus apostolis ac synodicis Patribus curæ fuit, ut sacris initiati a profanis magistratibus, atque ab omni negotiorum tractatione, penitus abstinerent, multique hac de re canones editi sunt; quos quidem hoc loco Patres hujus canonis decreto confirmant, ac aliquid insuper ad ea, quæ ab illis antea definita fuerant, adjungunt. Siquidem illi canones de sacerdotibus et diaconis promulgavere, quorum decreto magistratus et profana negotia suscipere veterentur: hi vero nulli omnino clerico profanos magistratus, aut quæ in magistratuum domibus aut agris curationes appellabantur, suscipiendi facultatem esse decernunt. Qui vero canoni non obtemperaverint, eos clero moveri jubent. Nemo etenim potest, inquiunt, duobus dominis servire, quemadmodum ipsius Domini voce testatum est. B

ARIST. « Si quis eorum, qui in clerum cooptan- C
« tur, sæculares magistratus susceperit vel quæ in
« ædibus aut suburbiis fiunt curationes, clero ex-
« pellatur. Nemo enim Deo et mammonæ servire
« potest. »

CANON XII.

« Cum sancta et universalis sexta synodus, cleri- D
« cos, qui in oratoriis, quæ sunt intra domum,
« præter episcopi voluntatem celebrant vel ba-
« ptizant, depositioni subjiciat; nos quoque idem
« decernimus. Cum enim sancta Ecclesia recte
« dispertiat, veramque rationem defendat, et
« venerabilem ac honestam bonæ institutionis
« formam doceat et conservet, inconcinnum est
« et ineptum, ut qui in petulantia et insolentia
« ac in inobedientia vitam agunt, domos sub-
« euntes, bonum ejus ordinem convellant, et
« multa perturbatione et offensionibus impleant.
« Et ideo sacra nunc et divinitus coacta syno-
« dus, universali sextæ synodo consentiens, eos,
« qui in oratoriis quæ sunt intra domos, cele-
« brant, clero amotos esse statuit; a clero vi-
« delicet amotione eis ab ejus loci episcopi edi-
« cta. Si qui autem præter eos, non consen-
« tiente episcopo, **352** in domos irruentes ce-
« lebrationis ministerium attingere audeant; ii
« quidem deponantur: qui vero eorum commu-
« nionis sunt participes, segregationi subjician
« tur. »

« Θεοῦ ἡμῶν ἀληθινοῦ αὐτόλεκτον καὶ ἀψευδε-
« στάτην φωνήν, ὅτι κυρίοις δουλεύειν. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν, ἐπικρατύνων τοὺς προεκφωνηθέντας κανόνας χάριν τοῦ μὴ ἐνεργεῖν τοὺς ἱερωμένους κοσμικαῖς δουλείαις, προστίθησι μὴ μόνον τοὺς ἐντὸς τοῦ ἁγίου βήματος, ἀλλὰ καὶ τοὺς ἐκτὸς αὐτοῦ κληρικοὺς τοιοῦτόν τι ποιοῦντας ἐκ τοῦ κλήρου διώκεσθαι. Ἐπεὶ δὲ ἐν τῷ ς' ἀποστολικῷ κανόνι καὶ ἐν τῷ πα' καὶ ἐν ἑτέροις κανόσιν, ἀλλὰ μὴν καὶ ἐν τῷ ιγ' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος ἱκανῶς περὶ τούτου ἐγράψαμεν, ἀνάγνωθι ταῦτα, καὶ ἀρκέσουσιν εἰς ἑρμηνείαν.

ΖΩΝΑΡ. Πολλὴν ἔθεντο σπουδὴν καὶ οἱ σεπτοὶ ἀπόστολοι καὶ οἱ τῶν συνόδων Πατέρες τοὺς ἱερωμένους κοσμικὰς ἀρχὰς ἢ διοικήσεις πραγμάτων μὴ ἀναδέχεσθαι. Καὶ διάφοροι κανόνες περὶ τούτου ἐξεφωνήθησαν, οὓς οἱ Πατέρες· οὗτοι διὰ τοῦ παρόντος κανόνος ἐπικρατύνουσι, προστιθέντες καί τι πλέον παρὰ τὰ ἐκείνοις διωρισμένα. Οἱ μὲν γὰρ περὶ ἱερέων καὶ διακόνων τοὺς κανόνας ἐξέθεντο, κωλύοντας αὐτοὺς ἀρχὰς καὶ φροντίδας ἀναδέχεσθαι κοσμικάς· οὗτοι δὲ πάντα κληρικὸν διορίζονται μὴ μεταχειρίζεσθαι κοσμικὰς ἀρχὰς, ἢ τὰς ἐν οἴκοις ὀρχοντικοῖς καὶ ἀγροῖς καλουμένας κουρατωρείας. Τοὺς δὲ τὸν κανόνα παραβαίνοντας ἐκδιώκεσθαι τοῦ κλήρου κελεύουσιν. Οὐδεὶς γὰρ δύναται, φασὶ, δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν παρ' αὐτοῦ λεχθεῖσαν τοῦ Κυρίου φωνήν.

ΑΡΙΣΤ. « Εἴ τις τῶν ἐν κλήρῳ κατειλεγμένων κο- C
« σμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰ ἐν τοῖς
« οἴκοις ἢ προαστείοις κουρατωρείας ἐκδιωκέ-
« σθω τοῦ κλήρου· οὐ γὰρ δύναται Θεῷ δουλεύειν
« καὶ μαμμωνᾷ. »

ΚΑΝΩΝ ΙΒ'.

« Τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τοὺς D
« ἐν τοῖς εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὔσι,
« λειτουργοῦντας ἢ βαπτίζοντας κληρικοὺς παρὰ
« γνώμην τοῦ ἐπισκόπου καθαιρέσει καθυποβαλ-
« λούσης, καὶ ἡμεῖς τούτῳ συμψηφιζόμεθα. Τῆς
« γὰρ ἁγίας Ἐκκλησίας ὀρθοτομούσης, καὶ τὸν
« ἀληθῆ πρεσβευούσης λόγον, καὶ τὸ σεμνὸν τῆς
« πολιτείας συντηρούσης τε καὶ ἐνδιδασκούσης,
« ἀπηχὲς καὶ ἀνόσιον παραχωρεῖν τοὺς ἀπαιδευ-
« σίᾳ καὶ ἀναρχίᾳ συζῶντας, εἰς τὰς οἰκίας ὑπο-
« δυομένους, τὴν ταύτης εὐταξίαν διασπᾷν, καὶ
« πολλῆς ταραχῆς καὶ σκανδάλων ἀποπληροῦν.
« Διόπερ ἡ νῦν ἱερὰ καὶ θεοσυνέργητος σύνοδος,
« τῇ οἰκουμενικῇ ἕκτῃ συνόδῳ συμφωνοῦσα, ἀπο-
« κεκληρωμένους εἶναι τοὺς ἐν τοῖς εὐκτηρίοις
« οἴκοις ἔνδον οἰκίας οὔσι λειτουργοῦντας διωρί-
« σατο, τῆς ἀποκληρώσεως δηλονότι παρὰ τοῦ
« κατὰ τὸν τόπον ἐπισκόπου αὐτοῖς ἐπινεμηθεί-
« σης. Εἰ δέ τινες παρὰ τούτους, τοῦ ἐπισκόπου
« μὴ εὐδοκοῦντος, εἰς τὰς οἰκίας εἰσπίπτοντες
« ἅπτεσθαι τῆς λειτουργίας ἀποτολμῶσι, τούτους
« μὲν καθαιρεῖσθαι· τοὺς δὲ τῆς αὐτῶν κοινω-
« νίας μεταλαγχάνοντας τῷ ἀφορισμῷ καθυποβάλλε-
« σθαι. »

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανών, παρακελευόμενος καθαιρεῖσθαι τοὺς λειτουργοῦντας ἢ βαπτίζοντας εἰς εὐκτήρια παρὰ γνώμην τοῦ ἐπισκόπου, ἡρμηνεύθη ἐν τῷ λα' κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐν τῷ ἀποστολικῷ λα' κανόνι· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα.

BALS. Præsens quoque canon, qui jubet deponi, eos qui celebrant vel baptizant in oratoriis præter episcopi voluntatem, expositus est in can. 31 synodi in Trullo, et in canone apostolico 31 : et lege quæ in illis scripta sunt.

ΖΩΝΑΡ. Ὁ τῆς ἕκτης συνόδου τριακοστὸς πρῶτος κανών, οὗ μέμνηται ὁ κανὼν οὗτος, ἡρμήνευται ἐκεῖ, ᾧ σύμψηφοι γεγόνασι καὶ οἱ τοῦτον ἐκθέμενοι τὸν κανόνα, ὁρίσαντες ἀποκεκληρωμένους εἶναι, ἤγουν ὡρισμένους καὶ ἐπιτεταραμένους, ἐκκεχωρημένους, τοὺς ἐν εὐκτηρίοις ἐνδὸς οἴκων οὔσι λειτουργεῖν μέλλοντας τῆς ἀποκληρώσεως, τουτέστι τῆς ἐκχωρήσεως, παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου γινομένης. Εἰ δ' ἕτεροί τινες παρὰ τοὺς ἐκχωρηθέντας τολμήσουσι λειτουργῆσαι ἐν εὐκτηρίοις, οὔσιν ἐντὸς οἰκιῶν, ἄνευ γνώμης τοῦ ἐπισκόπου, ἐκείνους μὲν καθαιρεῖσθαι, τοὺς δὲ συγκοινωνήσαντας αὐτοῖς ἀφορίζεσθαι.

ZONAR. Tricesimum primum sextæ synodi canonem cujus hic canon meminit, ibidem explicavimus. In eamdem sententiam hunc quoque canonem Patres edidere, quo quidem ut qui in privatorum ædibus sacra facturi sunt, a clero segregati, hoc est, delecti et admissi descriptique sint segregatione, hoc est, designatione a loci episcopo facta, decernunt. Quod si alii quicunque, præter eos qui designati fuerint in privatorum sacellis, non obtenta ab episcopo facultate, sacra facere ausi fuerint; ipsos quidem deponi, qui vero eis communicaverint, segregari jubent.

ΑΡΙΣΤ. « Μηδεὶς ἐν ναῷ, ἔνδον οἰκίας τυγχάνοντι, « λειτουργείτω ἢ βαπτιζέτω κληρικὸς παρὰ γνώ- « μην τοῦ ἐπισκόπου· καθαιρεῖται γάρ. Ἀποκε- « κληρωμένοι οὖν παρὰ τοῦ ἐπισκόπου ἔστωσαν « οἱ ἐν εὐκτηρίοις ἔνδον οἴκων οὔσι λειτουργοῦν- « τες. Οἱ δὲ παρὰ τοῦτο τολμῶντες καθαιρείσθω- « σαν· καὶ οἱ κοινωνοῦντες ἀφοριζέσθωσαν. »

ARIST. « Nullus clericus in templo, quod in « ædibus est sacra celebret, vel baptizet, citra « episcopi sententiam ; nam deponitur. Qui igitur « in oratoriis, quæ sunt intra ædes sacra celebrant, « ab episcopo clero expellantur. Qui vero præter « hæc facere ausi fuerint, deponantur. Et qui iis « communicant, segregentur. »

ΚΑΝΩΝ ΙΓ'.

« Τὰς τῶν αἱρετικῶν ζιζανίων ἐπισπορὰς ἐν τῇ τοῦ « Χριστοῦ Ἐκκλησίᾳ ὁ παμπόνηρος καταβαλὼν, « καὶ ταύτας ὁρῶν τῇ μαχαίρᾳ τοῦ Πνεύματος « τεμνομένας προρρίζους, ἐφ' ἑτέρᾳν ἦλθε μεθο- « δείας ὁδὸν τῇ τῶν σχισματικῶν μανίᾳ τὸ τοῦ « Χριστοῦ σῶμα μερίζειν ἐπιχειρῶν· ἀλλὰ καὶ « ταύτην αὐτοῦ τὴν ἐπιβουλὴν ἡ ἁγία σύνοδος « ἀναστέλλουσα, παντελῶς ὥρισε τοῦ λοιποῦ ἵνα, « εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δῆθεν ἐπ' « ἐγκλήμασί τισι τοῦ οἰκείου κατεγνωκὼς ἐπι- « σκόπου, πρὸ συνοδικῆς διαγνώσεως, καὶ ἐξετά- « σεως, καὶ τῆς ἐπ' αὐτῷ τελείας κατακρίσεως (55) « ἀποστῆναι τολμήσοι τῆς αὐτοῦ κοινωνίας, καὶ « τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς (56) τῶν λειτουρ- « γιῶν εὐχαῖς κατὰ τὸ παραδεδομένον τῇ Ἐκκλη- « σίᾳ μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει, « καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. Ὁ « γὰρ ἐν πρεσβυτέρου τάξει τεταγμένος, καὶ τῶν « μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ « κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ « τὸν οἰκεῖον πατέρα καὶ ἐπίσκοπον, οὗτος οὐδὲ « τῆς τοῦ πρεσβυτέρου ἐστὶν ἄξιος τιμῆς ἢ ὀνο- « μασίας. Οἱ δὲ τούτοις συνεπόμενοι, εἰ μὲν τῶν « ἱερωμένων εἶέν τινες, καὶ αὐτοὶ τῆς οἰκείας

CANON XIII.

« Hæreticarum zizaniarum semina in Christi Ec- « clesia malignus dejiciens, et eas videns gladio « Spiritus exscindi radicitus, ad aliam venit in- « sidiarum viam, schismaticorum insania Christi « corpus dividere aggrediens : sed et has ejus « insidias sancta synodus reprimens, omnino « definiit deinceps, ut si quis presbyter vel dia- « conus, ut qui utique ob aliqua crimina pro- « prium episcopum condemnarit, ante synoda- « lem cognitionem et examinationem, et perfe- « ctam ejus condemnationem, ab illius commu « nione discedere ausus fuerit et ejus nomen in « sacris celebrationum precibus, ut Ecclesiæ « traditum est, non referat, is depositioni subji- « ciatur, et omni sacerdotali honore privetur. « Qui enim est in sacerdotali ordine collocatus, « et metropolitanorum judicium præripit, et ante « judicium ipse, quantum in se est, proprium « patrem et episcopum condemnat ; is nec pre- « sbyteri honore, nec nomine dignus est. Qui « autem eos consequuntur, si sint quidem ex iis « qui sunt sacris initiati, ipsi quoque a proprio « honore excidant : sin autem sint monachi, vel « laici, ex Ecclesia omnino segregentur; donec

Guill. Beveregii notæ.

(55) *Καὶ τῆς ἐπ' αὐτῷ τελείας κατακρίσεως.* Hæc verba non modo in Parisiensi editione, verum etiam in codice Amerbachiano omittuntur. Sed in Tiliano æque ac in Bodleiano nostro ms. leguntur.

(56) *Καὶ τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς.* Nimirum cum sacra mysteria peraguntur. Tunc enim sacerdos pro episcopo sub nominatim orare tenetur : ut in Liturgia Chrysostomi inter orandum dicit καὶ ὑπὲρ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνος. Sic passim in Euchologio.

συγκοινωνεῖν αὐτῷ, μηδὲ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ἔθος, ὡς τάχα κατεγνωκότα τοῦ ἐπισκόπου αὐτοῦ, πρὶν ἢ συνοδικῶς ζητηθῇ ἡ κατὰ τοῦ ἐπισκόπου φερομένη αἰτία καὶ τελεία προενεχθῇ ψῆφος κατακρίνουσα αὐτόν· τὸν δὲ τοῦτο ποιήσαντα καθαιρεῖσθαι. Ὁ γὰρ ἐν πρεσβυτέρου ἀξίᾳ ὤν, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν (τοὺς γὰρ ἐπισκόπους οἱ μητροπολῖται κρίνουσι), καὶ περὶ κρίσεως τὸν οἰκεῖον ἐπίσκοπον, ὃς πατήρ ἐστιν αὐτοῦ κατὰ πνεῦμα, κρίνων, οὐκ ἔστιν ἄξιος ὡς πρεσβύτερος τιμᾶσθαι ἢ ὀνομάζεσθαι. Καὶ οἱ συνεπόμενοι δὲ τῷ σχισματικῷ, καὶ ἀποσχίζοντες καὶ αὐτοὶ, ἱερωμένοι μὲν ὄντες, καθαιρεῖσθωσαν, λαϊκοὶ δὲ τυγχάνοντες ἢ μοναχοὶ, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, ἀντὶ τοῦ ἐξωθεῖσθωσαν, ὥστε μηδὲ εἰσιέναι εἰς ἐκκλησίαν. Ἔστι γὰρ ἀφορισμὸς καὶ τὸ μόνης εἴργεσθαι τῆς μεταλήψεως τῶν θείων μυστηρίων· ἔστι δὲ καὶ τὸ ἔξω τῆς Ἐκκλησίας εἶναι, ὃν παντελῆ ὠνόμασαν, ὡς βαρύτερον. Καιρὸν δὲ τῷ ἀφορισμῷ τούτῳ ὁρίζουσι τὴν ἐκείνων ἐπιστροφήν. Ἔσονται γὰρ, φησὶν, ἀφωρισμένοι μέχρις ἂν τῷ οἰκείῳ ἐπισκόπῳ προσέλθωσι, μισήσαντες τὴν πρὸς τοὺς σχισματικοὺς οἰκείωσιν.

A subjectus est subtrahere, ac illius, quasi videlicet ab ipso condemnati, vel communionem repudiare, vel ab ejusdem nomine de more referendo desistere audeat, priusquam episcopi causa in synodico conventu examinata et cognita fuerit, omninoque latis suffragiis de illius damnatione sit pronuntiatum; quique id fecerit, depositione multari jubemus. Quisquis enim sacerdotali dignitate præditus, quæ metropolitanorum judicii sunt sibi arrogat, (quippe de episcopis judicare metropolitanorum proprium est munus) ac episcopum suum, qui spiritualis ipsius pater est, priusquam de eo quidquam judicatum fuerit, ipse condemnet, hic sacerdotis honore aut appellatione haudquaquam est dignus. Et vero quicunque schismaticis consentientes ipsi quoque sese cum illis adjungunt, si quidem sacris initiati sint, deponantur : sin vero laici aut monachi, penitus segregentur, hoc est, ita, ut ne ecclesiam quidem ipsis ingredi fas sit, ejiciantur. Est namque segregatio etiam, cum a solo divinorum mysteriorum perceptione quispiam summovetur: est etiam, cum ecclesiæ quoque aditu segregati prohibentur; quod penitus segregari dixerunt, quia gravior ea segregatio sit. Spatium porro, quousque ad sanitatem homines revertantur, segregationi præfiniunt. Erunt siquidem, inquit, segregati, donec episcopo suo, repudiata cum schismaticis familiaritate, se adjunxerint.

B

ΑΡΙΣΤ. « Εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δῆθεν « ἐπ' ἐγκλήματι τοῦ οἰκείου κατεγνωκὼς ἐπισκό- « που, πρὸ συνοδικῆς διαγνώσεως ἀποστῇ τῆς « αὐτοῦ κοινωνίας, καὶ μὴ ἀναφέρει αὐτοῦ τὸ « ὄνομα, καθαιρείσθω, καὶ πάσης ἱερατικῆς στε- « ρείσθω τιμῆς. Οἱ δὲ συνεπόμενοι, ἱερατικοὶ « μὲν ὄντες, τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν, « μοναχοὶ δὲ ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν μέχρις « ἐπιστραφεῖεν. »

C

ARIST. « Si quis presbyter vel diaconus, nimirum « ac si episcopum suum et crimine aliquo condemnaret, ante synodalem cognitionem, ab illius « communione se subduxerit, et nomen ejus non « retulerit, deponatur, et omni sacerdotali dignitate privetur. Qui autem eum consequuntur, si « quidem sacris sint initiati, dignitate sua excidant : sin monachi vel laici, segregentur, usque « dum reversi fuerint. »

ΚΑΝΩΝ ΙΔ'.

354 CANON XIV.

« Εἴ τις ἐπίσκοπος, ἐγκλήματος πρόφασιν ποιού- « μενος κατὰ τοῦ οἰκείου μητροπολίτου πρὸ συν- « οδικῆς διαγνώσεως, ἀποστήσει ἑαυτὸν τῆς πρὸς « αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέρει τὸ ὄνομα « αὐτοῦ κατὰ τὸ εἰθισμένον ἐν τῇ θείᾳ μυσταγω- « γίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος καθῃρημέ- « νον εἶναι, εἰ μόνον ἐλεγχθείη, ἀποστὰς τοῦ « οἰκείου μητροπολίτου καὶ σχίσμα ποιήσας· δεῖ « γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν, καὶ « μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ οἰκείου « ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ οἰκείου « μητροπολίτου. »

D

« Si quis episcopus metropolitani crimen præ- « texens, ante synodalem cognitionem, seipsum « ab ejus communione subduxerit, et nomen « ejus in divini mysterii celebratione ut consue- « tum est, non referat; sancta synodus eum de- « positum esse statuit, si tantum convictus fuerit « a proprio metropolitano recessisse et schisma « fecisse. Oportet enim unumquemque proprias « mensuras cognoscere et nec presbyterum pro- « prium episcopum contemnere nec episcopum « proprium metropolitanum. »

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν ὅμοιος κατὰ πάντα ἐστὶ τῷ πρὸ αὐτοῦ, κἂν διαλλάττῃ περὶ τὰ πρόσωπα.

BALS. Præsens quoque canon præcedenti est in omnibus similis, etiamsi in personis differant.

ΖΩΝΑΡ. Τὰ αὐτὰ τοῦ ἀνωτέρου κανόνος καὶ ὁ κανὼν οὗτος περὶ ἐπισκόπων ἀποσχιζόντων ἐκ τῶν ἰδίων μητροπολιτῶν, καὶ μὴ κοινωνούντων αὐτοῖς, μηδὲ ἀναφερόντων αὐτοὺς, διορίζεται.

ZONAR. Eadem cum superiori canone de episcopis, qui se a metropolitanorum suorum conjunctione divellunt, nec eis communicant, nec eorum nomina referunt, hic quoque canon decernit.

ΑΡΙΣΤ. « Καὶ εἴ τις ἐπίσκοπος αὐτὸ τοῦτο τολ- « μήσει κατὰ τοῦ οἰκείου μητροπολίτου, καθαι- « ρείσθω. Δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώ- « σκειν.

ARIST. « Et si quis episcopus id ipsum ausus « fuerit contra suum metropolitanum, deponatur. « Oportet enim unumquemque proprias suas men- « suras cognoscere. »

CANON XV.

« Quæ de presbyteris et episcopis et metropolitanis constituta sunt, multo magis etiam in patriarchas conveniunt. Quamobrem si quis presbyter, vel episcopus, vel metropolitanus a sui patriarchæ communione recedere ausus fuerit, et nomen ejus in divini mysterii celebratione, prout constitutum est et ordinatum non refert, sed ante synodale decretum, et perfectam ejus condemnationem schisma fecerit; statuit sancta synodus eum esse ab omni sacerdotio alienum, si in hoc solum deliquisse convictus fuerit. Et hæc quidem constituta et obsignata sunt de iis, qui aliquorum criminum prætextu a propriis præsulibus recedunt, et schisma faciunt, et Ecclesiæ unionem convellunt. Qui enim propter hæresin aliquam, a sanctis Patribus vel synodis condemnatam, se a præsulis communione separant, illo hæresin scilicet publice prædicante, et nudo capite in ecclesia docente; ii non solum canonicæ pœnæ non subjicientur, ante synodalem cognitionem seipsos a communione ejus, qui episcopus dicitur, sejungentes : sed et honore, qui orthodoxis convenit, digni habebuntur. Non enim episcopos, sed pseudepiscopos doctores condemnaruut : et non schismate Ecclesiæ unionem conciderunt, sed a schismatibus et divisionibus Ecclesiam liberare studuerunt. »

BALS. Hic quoque præsens canon eadem cum 13 et 14 canone aliqua ex parte præcepit. Dicit enim ea, quæ prius definita sunt, etiam in patriarcham multo magis convenire, quando ab ejus communione se quis temere subtraxerit. Perinde autem ac si dixisset quispiam, si ex causa probabili, videlicet propter hæresin fortasse, quis a proprii antistitis communione recesserit, cur punietur? inferunt Patres, quod hæc tunc fiunt, quando alicujus criminalis causæ prætextu per se quis proprium pastorem condemnaverit, et ideo seipsum ab eo absciderit, et hoc modo Ecclesiæ unionem perruperit. Si enim non propter criminalem accusationem, sed propter hæresin, seipsum a proprio episcopo sejunxerit, vel metropolitano, vel patriarcha, tanquam in ecclesia sine pudore docente doctrinas quasdam a recto dogmate alienas; is et ante perfectam cognitionem, et multo magis etiam post cognitionem, si seipsum a sui præsulis communione sejunxerit vel separaverit, non solum non punietur, sed etiam ut orthodoxus honorabitur. Non enim se ab episcopo abscindit, sed a pseudepiscopo **355** et falso doctore : et quod ab eo factum est laude dignum; ut quod Ecclesiam non conscindat, sed eam magis conjungat, et a divisione liberet. Dictum est autem a canone, schismaticum ab omni sacerdotio debere esse alienum, propter eos qui dicunt hujusmodi homines debere aliquo

ΚΑΝΩΝ ΙΕ'.

« Τὰ ὁρισθέντα ἐπὶ πρεσβυτέρων καὶ ἐπισκόπων « καὶ μητροπολιτῶν πολλῷ μᾶλλον καὶ ἐπὶ πα« τριαρχῶν ἁρμόζει. Ὥστε, εἴ τις ἐπίσκοπος, ἢ « πρεσβύτερος, ἢ μητροπολίτης τολμήσειεν ἀπο« στῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινω« νίας, καὶ μὴ ἀναφέροι τὸ ὄν μα αὐτοῦ κατὰ τὸ « ὡρισμένον καὶ διατεταγμένον ἐν τῇ θείᾳ μυστα« γωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς καὶ τελείας « αὐτοῦ κατακρίσεως σχίσμα ποιήσει· τοῦτον « ὥρισεν ἡ ἁγία σύνοδος πάσης ἱερατείας παντε« λῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο « παρανομήσας. Καὶ ταῦτα μὲν ὥρισται καὶ « ἐσφράγισται περὶ τῶν προφάσει τινῶν ἐγκλη« μάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, « καὶ σχίσματα ποιούντων, καὶ τὴν ἕνωσιν τῆς « Ἐκκλησίας διασπώντων. Οἱ γὰρ δι' αἱρέσίν τινα « παρὰ τῶν ἁγίων συνόδων ἢ Πατέρων κατε« γνωσμένην τῆς πρὸς τὸν πρόεδρον κοινωνίας « ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν « δηλονότι δημοσίᾳ κηρύττοντος, καὶ γυμνῇ τῇ « κεφαλῇ ἐπ' ἐκκλησίας διδάσκοντος, οἱ τοιοῦτοι « οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκεί« σονται, πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς « πρὸς τὸν καλούμενον ἐπίσκοπον κοινωνίας « ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς πρεπούσης τιμῆς « ὀρθοδόξοις ἀξιωθήσονται· οὐ γὰρ ἐπισκόπων, « ἀλλὰ ψευδεπισκόπων διδασκάλων κατέγνωσαν, « καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς Ἐκκλησίας « κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν « Ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι. »

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ ιγ' καὶ ιδ' κανόνι παρακελεύεται μέχρι τινός. Φησὶ γὰρ πλέον ἁρμόζειν τὰ προδιορισθέντα καὶ ἐπὶ πατριάρχου, ὅταν ἐκ τῆς τούτου κοινωνίας ἀποστῇ τις ἑαυτὸν τολμηρῶς. Ὡς δέ τινος εἰπόντος, Ἐὰν δὲ ἐξ εὐλόγου αἰτίας τυχὸν προφάσει αἱρέσεως, ἀποστῇ τις ἀπὸ τῆς τοῦ οἰκείου ἀρχιερέως κοινωνίας, διὰ τί κολασθήσεται; ἐπάγουσιν οἱ Πατέρες ὡς ταῦτα πάντα τότε γίνονται, ὅταν προφάσει ἐγκληματικῆς τινος ὑποθέσεως καθ' ἑαυτόν τις τοῦ οἰκείου ποιμένος καταγνώσεται, καὶ ἀποσχίσῃ ἑαυτὸν ἐκ τούτου, καὶ τοιουτοτρόπως διαῤῥήξῃ τὴν ἕνωσιν τῆς Ἐκκλησίας. Εἰ γὰρ μὴ δι' ἐγκληματικὴν αἰτίασιν, ἀλλὰ δι' αἵρεσιν χωρίσῃ τις ἑαυτὸν ἀπὸ τοῦ ἐπισκόπου αὐτοῦ ἢ τοῦ μητροπολίτου ἢ τοῦ πατριάρχου, ὡς ἐπὶ ἐκκλησίας διδάσκοντος ἀνερυθριάστως διδάγματά τινα ἀπηλλοτριωμένα τοῦ ὀρθοῦ δόγματος, ὁ τοιοῦτος καὶ πρὸ ἐντελοῦς διαγνώσεως, πολλῷ δὲ πλέον καὶ μετὰ διάγνωσιν, ἐὰν ἑαυτὸν ἀποτειχίσῃ, ἤγουν χωρίσῃ ἐκ τῆς κοινωνίας τοῦ πρώτου αὐτοῦ, οὐ μόνον οὐ τιμωρηθήσεται, ἀλλὰ καὶ τιμηθήσεται, ὡς ὀρθόδοξος. Οὐ γὰρ ἀπέσχισεν ἑαυτὸν ἀπὸ ἐπισκόπου, ἀλλὰ ἀπὸ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου. Καὶ τὸ παρὰ τούτου γεγονὸς ἐπαίνου ἄξιόν ἐστιν, ὡς μὴ κατατέμνον τὴν Ἐκκλησίαν, ἀλλὰ μᾶλλον συνάπτον αὐτὴν καὶ τοῦ μερισμοῦ ἀπαλλάττον. Εἴρηται δὲ τῷ κανόνι τὸ πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι τὸν σχισματικὸν διὰ τοὺς λέγοντας

ὀφείλειν τοὺς τοιούτους ἐπὶ καιρόν τινα τῆς ἱερατείας παύεσθαι, καὶ μὴ καθαιρεῖσθαι. Ἐγκληματικὰ δὲ αἰτιάματά εἰσι πορνεία, ἱεροσυλία, καὶ τῶν κανόνων ἀθέτησις. Καλῶς δὲ εἶπεν ὁ κανὼν ἐπαινετέους εἶναι τοὺς ἀποσχίζοντας ἑαυτοὺς καὶ πρὸ καταδίκης ἀπὸ τῶν δημοσίᾳ διδασκόντων αἱρετικὰ δόγματα, καὶ ὄντων προφανῶς αἱρετικῶν. Εἰ γὰρ ἀπόκρυφα καὶ μετὰ ὑποστολῆς ψιθυρίζονται τὰ τῆς αἱρέσεως παρά τοῦ πρώτου ὡς ἂν ἀμφιβάλλοντος, οὐκ ὀφείλει τις ἐξ αὐτοῦ πρὸ καταδίκης ἀποσχισθῆναι· εἰκὸς γάρ ἐστι μεταῤῥυθμισθῆναι τοῦτον πρὸς τὸ ὀρθόδοξον πρὸ τῆς ἐντελοῦς ἀποφάσεως, καὶ ἀποστῆναι τῆς αἱρέσεως. Σημείωσαι ταῦτα ἴσως ὠφελήσοντα κατὰ τῶν λεγόντων μὴ καλῶς ἡμᾶς ἀποσχισθῆναι ἀπὸ τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης, πρὸ τοῦ καταδικασθῆναι τοὺς περὶ ταύτην ὡς κακόφρονας. Καὶ ὁ μὲν παρὼν κανὼν τοὺς διὰ δογματικὴν αἰτίαν ἀποτειχίζοντας οὐ κολάζει· ὁ δὲ λα' ἀποστολικὸς κανὼν καὶ τοὺς κατεγνωκότας τῶν οἰκείων ἐπισκόπων ὡς προδήλως ἀδικούντων καὶ ἀποσχίσαντας ἐξ αὐτῶν, ἀνευθύνους συντηρεῖ.

ΖΩΝΑΡ. Ἅπερ ὥρισαν οἱ τῆς συνόδου Πατέρες περὶ μητροπολιτῶν καὶ ἐπισκόπων, ταῦτα λέγουσι πλέον ἁρμόζειν καὶ περὶ πατριαρχῶν. Εἰ γάρ τις, φασὶ, μητροπολίτης ἢ ἐπίσκοπος ἢ πρεσβύτερος τολμήσει ἀποστῆναι τοῦ συγκοινωνεῖν τῷ πατριάρχῃ αὐτοῦ, καὶ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ πρὶν ἢ ἐμφανίσῃ τῇ συνόδῳ κατὰ τοῦ πατριάρχου, καὶ πρὸ τοῦ ἐξετασθῆναι ταῦτα, καὶ καταχριθῆναι ἴσως αὐτόν· ὁ τοιοῦτος ὁ σχίσμα ποιήσας πάσης ἱερατείας ἀλλότριος ἔσται παντελῶς. Εἴρηται δὲ τὸ *πάσης* ἀντὶ τοῦ, οἱ μὲν ἀρχιερεῖς τῆς ἀρχιερατικῆς, οἱ δὲ ἱερεῖς τῆς ἱερατικῆς· τὸ δὲ *παντελῶς*, ὅτι οὐκ ἐπί τινα χρόνον εἱρχθήσονται τοῦ ἱερουργεῖν, εἶτα ἀποκατασταθήσονται αὖθις εἰς τὴν οἰκείαν τιμήν· ἀλλὰ τελείως ἐκπεσοῦνται τῆς ἀξίας αὐτῶν, καὶ οὐδὲ τιμὴν ἕξουσι μόνην ἀρχιερεῦσι καὶ ἱερεῦσιν ἀνήκουσαν. Εἶτα ἐπάγουσιν ὅτι ταῦτα μὲν ὥρισται καὶ ἐσφράγισται, τουτέστι βεβαίως τετύπωται (ἡ γὰρ σφραγὶς εἰς βεβαίωσίν ἐστι τῶν σφραγιζομένων καὶ φυλακήν), περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ τὴν ἕνωσιν διασπώντων τῆς Ἐκκλησίας, ὅτε δηλαδὴ πορνείαν ἴσως αἰτιωμένῳ προσάπτουσιν, ἱεροσυλίαν, ἢ ἐπὶ χρήμασι χειροθεσίαν, ἢ ἄλλ' τοιαῦτά τινα. Εἰ δ' ὁ πατριάρχης τυχὸν ἢ μητροπολίτης, ἢ ὁ ἐπίσκοπος αἱρετικὸς εἴη, καὶ τοιοῦτος ὡς δημοσίᾳ κηρύττειν τὴν αἵρεσιν, καὶ γυμνῇ τῇ κεφαλῇ, ἀντὶ τοῦ, ἀνυποστόλως καὶ μετὰ παῤῥησίας, διδάσκει τὰ αἱρετικὰ δόγματα, οἱ ἀποσχίζοντες αὐτοῦ, ὁποῖοι ἂν εἶεν, οὐ μόνον κολάσεως ἄξιοι οὐκ ἔσονται διὰ τοῦτο, ἀλλὰ καὶ τιμῆς, ὡς ὀρθόδοξοι, ἀξιωθήσονται, χωρίζοντες ἑαυτοὺς τῆς τῶν αἱρετικῶν κοινωνίας. Τοῦτο γὰρ δηλοῖ τὸ ἀποτειχίζοντες. Τὸ γὰρ τεῖχος τῶν ἐντὸς αὐτοῦ πρὸς τοὺς ἐκτὸς χωρισμός ἐστιν. Οὐ γὰρ ἐπισκόπου ἀπέστησαν, ἀλλὰ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου. Οὐδὲ σχίσμα τὰ τῆς Ἐκκλησίας ἐποίησαν, ἀλλὰ μᾶλλον σχισμάτων τὴν Ἐκκλησίαν ἀπήλλαξαν ὅσον τὸ ἐπ' αὐτοῖς.

temporis spatio a sacerdotio cessare, et non deponi. Criminales autem causæ sunt, fornicatio, sacrilegium, et canonum transgressio ac contemptus. Recte autem dixit canon eos esse laudandos, qui seipsos, etiam ante condemnationem, ab iis, qui hæreticas doctrinas publice docent, et sunt aperte hæretici abscindunt Si enim clanculum et cum quadam hæsitatione, præsul ut ambigens, hæretica loquatur, non debet quis ab eo propterea ante condemnationem abscindi. Est enim verisimile, fore ut ad orthodoxam sententiam ante perfectam prolatamque in eum sententiam reducatur, et ab hæresi desistat. Nota hæc, quæ fortasse proderunt adversus eos qui dicunt nos non recte a throno antiquæ Romæ sejunctos esse, antequam qui eum obtinebant ut prave sentientes, condemnati essent. Ac præsens quidem canon eos, qui propter dogmatis causam recedunt et abscinduntur, non punit : tricesimus autem primus canon apostolicus eos etiam, qui proprios episcopos condemnarunt, ut qui aperte injuste agant, et ideo se ab iis sejunxerunt, ab omni pœna liberos conservat.

ZONAR. Quæ de metropolitanis episcopisque definita sunt, ea de patriarchis quoque multo magis intelligi debere synodi Patres affirmant. Si quis enim, inquiunt, metropolitanus, episcopus aut presbyter, se a patriarchæ sui communione removere, atque ab illius nomine referendo cessare audeat, priusquam ea, de quibus patriarcham accusat, synodo indicaverit, ac ille forte, causa diligenter examinata, damnatus fuerit ; ejusmodi hominem, tanquam schismaticum, omni prorsus sacerdotali honore privatum esse decernunt. *Omni* quidem aiunt, ut summos sacerdotes summo sacerdotio, sacerdotes vero sacerdotali dignitate privandos demonstrent ; *prorsus* vero particulam addidere, ut eos non ad certum temporis intervallum a sacro ministerio arcendos, ut deinde rursus pristino honori restituantur ; sed omni penitus dignitate spoliandos neque ullum ipsis honorem, qui præsulibus aut aliis sacerdotibus proprie debetur, relinquendum esse ostendant. Deinde vero hæc quidem ita decreta obsignataque, hoc est, ita plane constituta fuisse, subjiciunt (signum namque ad ea, quæ obsignantur, confirmanda ac custodienda pertinet), ne qua fraudis occasio iis hominibus relinqueretur, qui quorumdam criminum obtentu, quod ei videlicet quem accusant, aut constupratam mulierem, aut rei sacræ furtum, aut ordinum collationem pretio divenditam, aut alia hujus generis facinora, affingant, ab antistitum suorum auctoritate discisscunt, et Ecclesiæ conjunctionem propterea distrahunt ac divellunt. Quod si forte patriarcham, aut metropolitanum, aut episcopum hæreticum esse contingat, ac ejusmodi quidem hæreticum, ut hæresim suam publice profiteatur, et aperto capite, hoc est, fidenter prorsus atque audacter, hæreticas opiniones docendo in vulgus disseminet ; quicumque demum ab illo se abduxerint, non modo nullo

animadversionis aut multæ genere propterea puniendi; sed honore potius, quippe qui certam fidem constanter teneant, seque ab hæreticorum consociatione sejungant, digni existimabuntur. Hoc enim significat verbum ἀποτειχίζοντες. Nam τεῖχος, id est, paries, ab iis quæ intus sunt, exteriora discriminat. Nec enim ii ab episcopo; sed ab homine sibi episcopi ac doctoris nomen immerito usurpante discessere: neque schismatis contra Ecclesiam auctores fuerunt, sed a schismate potius, quod in ipsis fuit, Ecclesiam vindicarunt.

ARIST. « Similiter et si episcopus aut metropo- A « litanus contra patriarcham quippiam ejusmodi « ausus fuerit, ab omni sacerdotio alienetur. Si qui « autem a quopiam recesserint, non criminis præ- « textu, sed propter hæresim, a synodo vel sanctis « Patribus condemnatam, honore ac laude digni « sunt, utpote orthodoxi. »

ΑΡΙΣΤ. « Ὡσαύτως καὶ εἴ τις ἐπίσκοπος ἢ μητρο- « πολίτης κατὰ τοῦ πατριάρχου τοιαῦτα τολμή- « σει, πάσης ἱερατείας ἀλλοτριούσθω. Εἰ δέ τινες « ἀποταλέν τινος, οὐ διὰ πρόφασιν ἐγκλήματος, « ἀλλὰ διὰ αἵρεσιν, ὑπὸ συνόδου ἢ ἁγίων Πατέ- « ρων κατεγνωσμένην, τιμῆς καὶ ἀποδοχῆς ἄξιοι, « ὡς ὀρθόδοξοι. »

356 CANON XVI.

« Propter contentiones et tumultus, qui in Dei Ec- « clesia contingunt, hoc quoque est definire ne- « cessarium; ut episcopus nullo modo constitua- « tur in Ecclesia, cujus præsul adhuc vivit, et « est adhuc in proprio honore constitutus; nisi « episcopatui suo sponte renuntiaverit. Oportet « enim causam ejus, qui est episcopatu expel- « lendus, canonice examinatam ad finem prius B « deduci: deinde post ejus depositionem, alte- « rum in ejus episcopatum provehi. Si quis autem « episcopus in proprio honore constitutus, nec « vult renuntiare, nec proprium populum pa- « scere; sed a suo episcopatu recedens, plus- « quam sex mensibus in alio loco degat, nec « regio jussu detentus, nec sui patriarchæ mini- « sterio deserviens, neque a gravi morbo, et « qui, ut commovere se non possit, efficiat, « omnino retentus: is ergo nulla ex supra di- « ctis causis prohibitus, et a suo episcopatu ab- « sens, et ultra semestre tempus in alio loco « degens, ab episcopi dignitate et honore om- « nino alienabitur. Eum enim qui suæ fidei com- « missum gregem negligit, et in alio loco supra C « semestre tempus degit, statuit sancta synodus, « ut a sacerdotio, per quod pascere ordinatus « est, alienus omnino constituatur, et in ejus « episcopatum alius loco illius promoveatur.

ΚΑΝΩΝ ΙϚ'.

« Διὰ τὰς φιλονεικίας τε καὶ ταραχὰς, τὰς τῇ « τοῦ Θεοῦ Ἐκκλησίᾳ συμβαινούσας, καὶ τοῦτο « ὁρίσαι ἀναγκαῖόν ἐστι· τὸ μηδενὶ τρόπῳ ἐπί- « σκοπον καταστῆναι ἐν τῇ ἐκκλησίᾳ, ἧς ἔτι ὁ « προεστὼς ζῇ, καὶ ἐν τῇ ἰδίᾳ συνίσταται τιμῇ, « εἰ μὴ αὐτὸς ἑκὼν τὴν ἐπισκοπὴν παραιτήσεται. « Χρὴ γὰρ πρότερον τὴν αἰτίαν τοῦ μέλλοντος τῆς « ἐπισκοπῆς ἐκδιώκεσθαι κανονικῶς ἐξεταζομένην « εἰς πέρας ἄγεσθαι, εἶθ' οὕτω μετὰ τὴν αὐτοῦ « καθαίρεσιν ἕτερον ἀντ' αὐτοῦ εἰς τὴν ἐπισκοπὴν « προβιβάζεσθαι. Εἰ δέ τις τῶν ἐπισκόπων, ἐν « τῇ ἰδίᾳ συνιστάμενος τιμῇ, μήτε παραιτεῖσθαι « βούλοιτο, μήτε τὸν οἰκεῖον ἐθέλοι ποιμαίνειν « λαὸν, ἀλλὰ τῆς οἰκείας ἀποστὰς ἐπισκοπῆς ὑπὲρ « τὸ ἐξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μήτε βα- « σιλικῷ προστάγματι κατεχόμενος, μήτε ταῖς « τοῦ οἰκείου πατριάρχου λειτουργίαις ὑπηρετού- « μενος, μήτε μὴν ὑπὸ νόσου χαλεπῆς τε καὶ « ἀκινησίαν ἐμποιούσης παντελῆ συνεχόμενος· ὁ « τοιοῦτος οὖν ὁ κατὰ μηδεμίαν τῶν εἰρημένων « προφάσεων κωλυόμενος, τῆς οἰκείας ἀφιστάμε- « νος ἐπισκοπῆς, καὶ ὑπὲρ τὸν ἐξαμηνιαῖον χρό- « νον ἐν ἑτέρῳ διατρίβων τόπῳ, τῆς τοῦ ἐπισκό- « που τιμῆς τε καὶ ἀξίας ἀλλοτριωθήσεται παν- « τελῶς. Τὸν γὰρ τῆς ἐμπιστευθείσης αὐτῷ « καταμελοῦντα ποίμνης, καὶ ἐν ἑτέρῳ ὑπὲρ τὸ « ἐξάμηνον χρονοτριβοῦντα τόπῳ, ὥρισεν ἡ ἁγία « σύνοδος τῆς ἀρχιερωσύνης, δι' ἧς ποιμαίνειν « ἐτάχθη, παντελῶς ἀλλότριον καθιστάνοι, καὶ « εἰς τὸν αὐτοῦ τῆς ἐπισκοπῆς τόπον ἕτερον ἀντ' « αὐτοῦ προχειρίζεσθαι (57). »

BALS. Sæpe quidam episcopi, propter exactorum vexationes, vel propter vicinorum invasiones, vel propter populi inobedientiam, pusillo et abjecto animo suos episcopatus renuntiant. Metropolitani ergo renuntiationes ejusmodi admittentes, alios episcopos ordinabant; et nonnunquam etiam, antequam examinarentur causæ criminales quæ adversus illos introducebantur, alios eligebant. Di- D

ΒΑΛΣ. Πολλάκις τινὲς ἐπίσκοποι διὰ ἐπηρείας πρακτορικὰς, ἢ διὰ ἐπιθέσεις γειτονούντων, ἢ δι' ἀνυποταξίαν λαοῦ, παραιτοῦνται ἀπὸ μικροψυχίας τὰς οἰκείας ἐπισκοπάς. Οἱ γοῦν μητροπολῖται, τὰς τοιαύτας παραιτήσεις δεχόμενοι, ἑτέρους ἐπισκόπους ἐχειροτόνουν· ἔστι δ' ὅτε καὶ πρὸ τοῦ κατεξετασθῆναι τὰ παρά τινων κατ' αὐτῶν εἰσαγόμενα ἐγκληματικὰ αἰτιάματα ἑτέρους ἐψηφίζοντο. Φασὶ γοῦν οἱ Πατέ-

Guill. Beveregii notæ.

(57) Ἀντ' *αὐτοῦ προχειρίζεσθαι.* Inter hæc ultima canonis verba et Balsamonis interpretationem in codice Bodleiano hæc quidem leguntur, sed in margine: Σημείωσαι τὴν παροῦσαν ἑρμηνείαν καὶ ἔχε ἐπὶ μνήμην τὰ ἐν ταύτῃ γεγραμμένα χάριν τῶν ἀποδημούντων ἐπισκόπων ἐκ τῶν ἐκκλησιῶν αὐτῶν. *Observa præsentem interpretationem, et in memoria tene quæ in ea scripta sunt, istorum episcoporum gratia, qui ab ecclesiis suis peregre proficiscuntur.*

ρας, ὡς Ἐπεὶ τοῦτο στάσεων καὶ θορύβων ἐκκλη- A cunt ergo Patres : Quoniam id seditionum et ecclesiasticarum perturbationum causa est, statuimus, ne eligatur episcopus vivo ecclesiæ præsule, nisi utique vel ex examinatione constiterit esse admittendam viventis renuntiationem, vel synodali sententia condemnatus fuerit. Tunc enim eo etiam vivente ordinabitur alius. Quasi vero dixisset quispiam, Quid vero fiet in populo episcopatus, si is, qui illi præest, non facit canonicam renuntiationem, sed extra suum episcopatum moratur? intulerunt, quod si quis episcopus ultra sex menses a sua ecclesia abfuerit, sine imperiali vel patriarchali jussione, vel sine gravi morbo, qui non permittit ut possit locum loco mutare, is erit a sacerdotio alienus, et alius pro eo ordinabitur. Quoniam putem ex his quidem apparet, esse admittendas, quæ quomodocunque fiunt ab episcopis renuntiationes; alii vero canones, et sancti Cyrilli ad Domnum epistola, sive 1 et 3 ejus responsum, statuunt, non esse inconsiderate admittendas episcoporum renuntiationes, debes præsentem quoque canonem ad illa reducere. Lege 11 quoque cap. tit. 9 præsentis operis, et quæ in eo sunt. Quia autem cap. 2 tit. 8 præsentis operis, vel quæ in eo continentur cap. 18 et 19 tit. 1 lib. III Basilic. quod est pars 123 Justiniani Novellæ, videtur præsenti canoni repugnare, quæsitum est a quibusdam, quidnam sequi debeamus. Videntur autem in his adversari: Canon episcopo sex mensium spatium ad hoc ut possit perigrenari et ab episcopatu abesse, largitus est : Novella vero id ad unius anni intervallum extendit. Præterea canon eos, qui ultra sex menses a suis ecclesiis absunt, antistites citra inquisitionem ab iis ipsis alienari statuit : Novella sumptus prius ab œconomicis antistitibus non suppeditari jubet, **357** post tempus elapsum, et sic a suis clericis accersiri; et si non sic persuasi fuerint, alios ordinari. Canon permittit antistitibus etiam ultra annum abesse, si ab imperatoribus vel a patriarchis detineantur, vel propter gravem morbum prohibeantur : Novella nihil tractat ejusmodi. Magis ergo quod in parte 6 Justiniani novellæ de solo imperatore continetur, et a Photio in dicto cap. 2 tit. 8 præsentis operis situm est, repetita prælectio non recepit, sed expulit; visum est ergo canonem potius servari oportere. Ego vero adhuc etiam dubito. Quatenus enim est quæstio ecclesiastica, sto ab illis qui dicunt canonem magis servari oportere : quatenus autem Basilica repurgata sunt post nomocanoni compositionem, et hujus canonis editionem, alteri sententiæ assentior.

σιαστικῶν ἐστι παρσίτιον, ὁρίζομεν μὴ ψηφίζεσθαι ἐπίσκοπον, ζῶντος τοῦ προέδρου τῆς ἐκκλησίας, εἰ μήπω ἀπὸ κατεξετάσεως ἀναφανῇ δεκτὴ ἡ τοῦ ζῶντος παραίτησις, ἢ καταδικασθῇ ἀπὸ συνοδικῆς ἀποφάσεως. Τηνικαῦτα γὰρ καὶ ζῶντος τούτου χειροτονηθήσεται ἕτερος. Ὡς δέ τινος εἰπόντος, Τί δὲ γενήσεται εἰς τὸν λαὸν τῆς ἐπισκοπῆς, ἐὰν ὁ προϊστάμενος ταύτης οὐ ποιεῖ παραίτησιν κανονικὴν, ἀλλὰ χρονοτριβεῖ ἔξω τῆς οἰκείας ἐπισκοπῆς; ἐπήγαγον, ὡς Εἴ τις ἐπίσκοπος ὑπὲρ τὸ ἐξάμηνον ἀποδημήσει ἐκ τῆς ἐκκλησίας αὐτοῦ χωρὶς βασιλικῆς ἢ πατριαρχικῆς προστάξεως, ἢ δίχα βαρείας νόσου, μὴ παραχωρούσης αὐτῷ ἐκ τόπου εἰς τόπον μεταβαίνειν, ἀλλότριος τῆς ἀρχιερωσύνης γενήσεται, καὶ ἀντ' αὐτοῦ χειροτονηθήσεται ἕτερος. Ἐπεὶ δὲ ἐκ B τούτων μὲν ἀναφαίνεται παραδεκτέας εἶναι τὰς παρὰ τῶν ἐπισκόπων ὁποσδήποτε γινομένας παραιτήσεις· ἕτεροι δὲ κανόνες, καὶ αὐτὴ ἡ πρὸς Δόμνον ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου, ἤτοι τὸ α' καὶ γ' κεφ. αὐτῆς, διορίζονται μὴ ἀπερισκέπτως τὰς τῶν ἐπισκόπων παραιτήσεις δέχεσθαι· ὀφείλεις καὶ τὸν παρόντα κανόνα πρὸς ἐκεῖνα συμβιβάσαι. Ἀνέγνωσον καὶ τὸ ια' κεφ. τοῦ ἀ τίτλου τοῦ παρόντος συντάγματος καὶ τὰ ἐν αὐτῷ. Ὅτι δὲ τὸ μὲν β' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος, ἤτοι τὸ ἐν τούτῳ περιεχόμενον ιη' καὶ ιθ' κεφ. τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγ' Ἰουστινιανείου Νεαρᾶς, δοκεῖ ἐναντιοῦσθαι τῷ παρόντι κανόνι· συνεζητήθη παρά τινων, τίνι C προσέχειν ὀφείλομεν. Δοκοῦσι δὲ ἐναντιοῦσθαι ἐν τούτοις. Ὁ κανὼν ἐφιλοτιμήσατο εἰς ἀποδημίαν τῷ ἐπισκόπῳ ἑξαμηνιαῖον καιρόν· ἡ Νεαρὰ εἰς χρονιαῖον διάστημα τοῦτον ἐφήπλωσεν. Ἔτι ὁ κανὼν τοὺς ὑπὲρ τὸ ἐξάμηνον ἀποδημοῦντας ἐκ τῶν οἰκείων ἐκκλησιῶν ἀρχιερεῖς ἀσυζητήτως ἐξ αὐτῶν ἀλλοτριοῦσθαι διωρίσατο· ἡ Νεαρὰ πρότερον δαπάνας ἀρχιερεῦσι μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων μετὰ τὴν χρόνου παραδρομὴν παρεκελεύσατο, καὶ οὕτω μεταχαλεῖσθαι αὐτοὺς ὑπὸ τῶν οἰκείων κληρικῶν· καὶ εἰ μηδὲ οὕτω πεισθῶσιν, ἑτέρους χειροτονεῖσθαι. Ὁ κανὼν ἐκχωρεῖ τοῖς ἀρχιερεῦσι καὶ πλέον τοῦ ἐνιαυτοῦ ἀποδημεῖν, παρὰ βασιλέων ἢ πατριαρχῶν κατεχομένοις, ἢ διὰ νόσον βαρεῖαν κωλυομένοις· ἡ Νεαρὰ οὐδέν τι τοιοῦτον διαλαμβάνει. Μᾶλλον μὲν D οὖν τὸ ἐν μέρει τῆς ς' Ἰουστινιανείου Νεαρᾶς περὶ μόνου τοῦ βασιλέως περιεχόμενον, καὶ καταστρωθὲν παρὰ τοῦ Φωτίου ἐν τῷ ῥηθέντι β' κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος, ἡ ἀνακάθαρσις οὐκ ἐδέξατο, ἀλλ' ἐβίωξεν· ἔδοξε γοῦν τὰ τοῦ κανόνος μᾶλλον ὀφείλειν κρατεῖν. Ἐγὼ δὲ καὶ ἔτι ἀμφιβάλλω. Καθὼς μὲν γάρ ἐστι τὸ ζήτημα ἐκκλησιαστικὸν, πρόσκειμαι τοῖς λέγουσιν ὀφείλειν μᾶλλον τὰ τοῦ κανόνος κρατεῖν· καθὸ δὲ τὰ Βασιλικὰ ἀνεκαθάρθησαν μετὰ τὴν τοῦ νομοκανόνου ποίησιν καὶ τὴν τοῦ κανόνος τούτου ἀπόλυσιν, πρόσκειμαι τῇ ἑτέρᾳ γνώμῃ.

Ἑτέρα ἑρμηνεία (58).

Ἐν τοῖς μὲν ἐγράψαμεν ὀφείλειν τὰ τῷ παρόντι

Altera interpretatio.

In his quidem scripsimus servari oportere, quæ

Guill. Beveregii notæ.

(58) *Ἑτέρα ἑρμηνεία.* Hæc altera interpretatio hujus canonis non modo in codice Bodleiano, sed et in Amerbachiano, necnon in supplemento ad Parisiensem Balsamonis editionem exstat.

hoc canone comprehenduntur, de episcopis qui renuntiant, præter ea quæ a sancto Cyrillo in epistola ad Domnum constituta sunt : ut quæ a sancta et universali tertia synodo discussa et examinata fuere, per epistolam quæ tunc missa erat ad synodum in Pamphilia. Tu autem scias quod hæc omnia, quæ a sancto Cyrillo constituta sunt, nescio quomodo contemnuntur. Multi enim, etiam eas, quæ quomodocunque fiunt ab episcopis, renuntiationes, admittendas esse volunt, ut vult hic præsens canon. Qui sunt autem subtiliores, illas esse dicunt admittendas renuntiationes, quæ continent eas fieri propter indignitatem eorum qui renuntiant. Ego vero ea sequor, quæ sunt a sancto Cyrillo definita. Si enim concessum fuerit, ut episcoporum renuntiationes citra curiosiorem examinationem admittantur, multi episcopi episcopos esse desinent, propter rerum inæqualitatem; quod quidem ad magnam status ecclesiastici spectat injuriam : ut de Dei contumelia nihil dicam. Si vis autem per tonsuram renuntiare episcopos, et eo quod vitam monasticam elegerint, quemadmodum magnus quoque fecit Gregorius Theologus, et dicis hunc canonem de iis renuntiationibus dicere; assentior et ipse. Renuntiatio vero Macres illius servi Dei, synodaliter accepta ab illo patriarcha domino Luca, aliquanto post tempore exolevit, episcopi suasione, per synodalem sententiam, cum patriarchatum gereret sanctissimus ille patriarcha dominus Michael Anchialus. Cum videret enim ille patriarcha, episcopi renuntiationem non continere, episcopum renuntiare ut indignum, sed ut non dignum, dixit non esse admittendam ejusmodi renuntiationem. Non enim qui utique non dignus est sacrum facere, jam etiam indignus est, sicut et magnus inquit Basilius in una oratione sacrosancti mysterii, quæ sic se habet : Nemo eorum, qui carnalibus desideriis et voluptatibus alligati sunt, dignus est accedere et appropinquare, vel tibi ministrare, Rex gloriæ : et statuens eum quidem, qui se dixit indignum, esse per se condemnatum, qui autem non dignum, laudandum ut humilem, æquum censuit, ut episcopus sacerdotis officio fungeretur, ut qui non canonice renuntiasset. Qui autem dicunt longam renuntiationum consuetudinem, perinde ac canonem, valere debere, male dicunt. Longa enim non scripta consuetudo non valet, quando legi scriptæ vel canoni adversatur. Et quære quæ a nobis de ea re scripta sunt, in cap. 3 primi tit. præsentis operis.

ZONAR. Quidam olim, ut credibile est, vel ex eo tantum, quod aliqua contra episcopos crimina quispiam detulisset, vel quod ipsimet libellos renuntiationis dedissent, antequam vel de objectis criminibus quæsitum vel causæ renuntiationis examinatæ fuissent, alios in eorum **358** ecclesiis, qui accusati fuerant, quive renuntiationis libellos obtulerunt, episcopos subrogabant : qua ex re seditiones in ecclesiis ac tumultus excitabantur.

κανόνι περιεχόμενα χάριν τῶν παραιτουμένων ἐπισκόπων ἐξακούεσθαι πρὸς τὰ κανονισθέντα παρὰ τοῦ ἁγίου Κυρίλλου ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ, ὡς συγκροτούμενα καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου διὰ τῆς γινομένης τηνικαῦτα ἐπιστολῆς πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον· σὺ δὲ γίνωσκε ὅτι ταῦτα τὰ παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθέντα οὐκ οἶδ' ὅπως παραβλέπονται. Πολλοὶ μὲν γὰρ καὶ τὰς ὁπωσδήποτε γινομένας παρὰ τῶν ἐπισκόπων παραιτήσεις δεκτέας εἶναι θέλουσι κατὰ τὸν παρόντα κανόνα· οἱ ἀκριβέστεροι δὲ ἐκείνας τὰς παραιτήσεις λέγουσι εἶναι δεκτὰς, τὰς διαλαμβανούσας γίνεσθαι ταύτας διὰ τὴν ἀναξιότητα τῶν παραιτουμένων. Ἐγὼ δὲ τοῖς παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθεῖσιν ἕπομαι. Εἰ γὰρ δοθῇ παραιτήσεις ἐπισκόπων δέχεσθαι, πλείους τῶν ἐπισκόπων οἱ ἀποεπίσκοποι ἔσονται διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν, ὅπερ πρὸς μεγάλην ὕβριν ἀφορᾷ τῆς ἐκκλησιαστικῆς εὐταξίας· ἐῶ γὰρ λέγειν καὶ τοῦ Θεοῦ. Εἰ δὲ παραιτεῖσθαι θέλεις ἐπισκόπους δι' ἀποκάρσεως, καὶ διὰ τοῦ ἐπιλέξασθαι διαγωγὴν μοναδικὴν, καθὼς καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἐποίησε, καὶ περὶ τοιούτων παραιτήσεων λέγεις τὸν κανόνα ταῦτα διαλαμβάνειν, συντίθεμαι καὶ αὐτός. Ἡ μέντοι παραίτησις τοῦ Μάκρης ἐκείνου θεοδούλου, δεχθεῖσα συνοδικῶς παρὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, μετὰ ἡμέρας ἠμπράκτησεν ἐκ παρακλήσεως τοῦ ἐπισκόπου διὰ ψήφου συνοδικῆς, πατριαρχεύοντος τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου. Ἰδὼν γὰρ τοιοῦτος πατριάρχης τὴν παραίτησιν τοῦ ἐπισκόπου μὴ διαλαμβάνουσαν παραιτεῖσθαι τὸν ἐπίσκοπον ὡς ἀνάξιον, ἀλλ' ὡς μὴ ἄξιον, εἶπεν ὅτι ἀπαράδεκτος ἡ τοιαύτη ἀπαίτησίς ἐστιν. Οὐδὲ γὰρ ὁ μὴ ἄξιος εἰς τὸ ἱερουργεῖν ἤδη καὶ ἀνάξιός ἐστι· καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειος ἐν μιᾷ τῶν ἁγίων εὐχῶν τῆς ἱερᾶς ἁγιαστείας φησὶν, οὕτω πως διαλαμβανούσης· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι καὶ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· καὶ διαγνοὺς τὸν μὲν εἰπόντα ἑαυτὸν ἀνάξιον αὐτοκατάκριτον εἶναι, τὸν δὲ μὴ ἄξιον εὐχαριστητέον ὡς ταπεινόφρονα, ἐδικαίωσε τὸν ἐπίσκοπον ἱερατεύειν, ὡς μὴ κατὰ κανόνας παραιτησάμενον. Οἱ δὲ λέγοντες ὀφείλειν ὡς κανόνα τὴν περὶ τῶν παραιτήσεων μακρὰν συνήθειαν κρατεῖν κακῶς λέγουσι. Μακρὰ γὰρ συνήθεια ἄγραφος οὐ κρατεῖ, ἔνθα ἐγγράφῳ νόμῳ ἢ κανόνι ἐναντιοῦται. Καὶ ζήτει τὰ γραφέντα παρ' ἡμῶν χάριν τούτου εἰς κεφάλ. γ' τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τινὲς, ὡς ἔοικε, πάλαι, ἢ αἰτιαμάτων ἁπλῶς λαληθέντων κατ' ἐπισκόπων, ἢ παραιτήσεων παρ' αὐτῶν δοθεισῶν, πρὸ τοῦ τὰ αἰτιάματα ἐξετασθῆναι ἢ τὰς αἰτίας σκοπηθῆναι τῶν παραιτήσεων, ἑτέρους εἰς τὰς ἐκκλησίας τῶν αἰτιαθέντων ἢ παραιτησαμένων ἐχειροτόνουν, ὅπερ στάσεις καὶ θορύβους ἐνεποίει ταῖς ἐκκλησίαις. Διὰ ταῦτα τοίνυν ἡ σύνοδος ὥρισε μὴ χειροτονεῖσθαι ἐπίσκοπον ἐν ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ζῇ, καὶ οὐκ ἀπεκινήθη τῆς

ἰδίας τιμῆς, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας. Δεῖ γὰρ, φησὶ, πρότερον κανονικῶς ἐξετάζεσθαι τὴν αἰτίαν τὴν κατ' αὐτοῦ ἐπαγομένην, καὶ εἰς πέρας ἄγεσθαι, τουτέστιν εἰς ἀπόφασιν, καὶ ὅτε κανονικῶς ἐκεῖνος καθαιρεθῇ, ἕτερον χειροτονεῖσθαι εἰς τὴν ἐπισκοπήν. Ὁμοίως φησὶ καὶ ὁ τέταρτος κανὼν τῆς ἐν Σαρδικῇ συνόδου. Εἰ δέ τις ἐπίσκοπος, τοῦ δικαίου τῆς ἐπισκοπῆς ἀντεχόμενος, οὔτε τὸν οἰκεῖον ποιμαίνει λαὸν, οὔτε παραιτεῖται, εἰ εὔλογον αἰτίαν ἴσως ἔχει παραιτήσεως, ἀλλὰ πλέον ἓξ μηνῶν ἐν ἑτέρῳ διατρίβει τόπῳ, ἐκπεσεῖται καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀξίας αὐτῆς, εἰ μή που ἢ ἐκ βασιλικοῦ προστάγματος κατέχεται διά τινα χρείαν, ἢ τῷ οἰκείῳ πατριάρχῃ ἀναγκαίως ὑπηρετεῖ, ἢ νόσῳ τινὶ χαλεπῇ καὶ βαρείᾳ συνέχεται, καὶ τοιαύτῃ, ὡς ἀκινησίας αὐτῷ αἰτίαν γίνεσθαι. Τότε γὰρ συγγνώμην ἕξει ἀποδημῶν τῆς ἐκκλησίας αὐτοῦ. Ἄνευ δὲ τῶν τοιούτων αἰτιῶν ἀποδημῶν ὑπὲρ τὸ ἐξάμηνον, καὶ ἀλλαχοῦ διατρίβων, ἀλλοτριωθήσεται τῆς ἀρχιερωσύνης, καὶ ἕτερος εἰς τὴν ἐπισκοπὴν ἐκείνην ἀντεισαχθήσεται.

A Proinde igitur, qui in ecclesia episcopus est superstes, neque proprio honore, hoc est, episcopali dignitate, motus est, nullum in ea episcopum alium constitui licere synodus definivit. Oportet enim prius, inquit, ex præscripto canonum crimen, quod episcopo intenditur, examinari ad exitumque perduci, hoc est, sententiam de illo ferri; eoque demum ex decretis canonum deposito, alterum in ejus episcopatu denique subrogari. Idem Sardicensis quoque synodi canone 4 constitutum est. Quod si quispiam episcopus, jure episcopatus retento, neque in curam pascendi gregis incumbit, neque renuntiat, si justa illi forte aliqua causa sit renuntiationis; sed ultra semestre temporis spatium alio in loco degit, is episcopatu simul ipsaque episcopali dignitate excidet; nisi vel imperatoris jussu, ejus opera utentis, alicubi detineatur, vel necessariis patriarchæ sui ministeriis occupetur, vel eousque difficili gravique morbo oppressus decumbat, ut commovere sese nullatenus queat. Tunc enim, quamvis procul ab ecclesia sua degenti, nihilominus ignoscetur. Si vero, nulla ejusmodi causa intercedente, ultra semestre spatium alibi absens exegerit: altero in ejus episcopatu suffecto, summi sacerdotii dignitate ipse privabitur.

B

ΑΡΙΣΤ. « Κατὰ μηδένα τρόπον ἐπιβαινέτω τις « ἐπισκοπῆς, ἧς ὁ προεστὼς ἔτι ζῇ. Δεῖ γὰρ τὴν « αἰτίαν πρότερον ζητεῖσθαι τοῦ μέλλοντος ἐκδιώ- « κεσθαι, καὶ μετὰ καθαίρεσιν ἕτερον προβιβά- « ζεσθαι. Εἰ δέ τις ἀμελοίη τῆς ἰδίας ποίμνης, « καὶ μήτε νόσῳ, ἢ βασιλικῷ ἢ πατριαρχικῷ « κελεύσματι κατεχόμενος, ὑπὲρ ἐξαμηνιαῖον « ἀποδημήσει χρόνον, τῆς τοῦ ἐπισκόπου ἀξίας « καὶ τιμῆς ἤτω ἀλλότριος. »

ARIST. « Nemo episcopatum ullo modo invadat, « cujus præsul adhuc vivit. Causam enim illius, « qui expellendus est, examinari prius oportet, « et post depositionem alium promoveri. Si quis « autem gregem suum neglexerit, et neque morbo, « nec imperiali nec patriarchali jussu detentus, « ultra semestre spatium abfuerit, ab episcopi « dignitate simul ac honore alienus sit.

C

ΚΑΝΩΝ ΙΖ'.

« Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας (59) « φροντίζοντες, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον « ἐθέμεθα, ὥστε τοῦ λοιποῦ μηδένα τῶν λαϊκῶν « ἢ μοναχῶν ἀθρόον εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος « ἀνάγεσθαι, ἀλλὰ ἐν τοῖς ἐκκλησιαστικοῖς βαθ- « μοῖς ἐξεταζόμενον πρότερον, οὕτω τῆς ἐπισκο- « πῆς τὴν χειροτονίαν ὑποδέχεσθαι. Εἰ γὰρ καὶ

CANON XVII

« In omnibus boni ecclesiastici ordinis curam « gerentes, hoc quoque definire necessarium « duximus: ut nullus deinceps laicus vel mona- « chus repente ad episcopalem altitudinem eve- « hatur; sed in ecclesiasticis gradibus primum « examinatus, ita episcopalis dignitatis ordina- « tionem suscipiat. Etsi enim hucusque quidam

D

Guill. Beveregii notæ.

(59) *Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας.* Cautum est hoc canone, ne quis laicus aut monachus ad episcopalem dignitatem in posterum evehatur, nisi qui tempus in singulis ecclesiasticis præstitutum gradibus prius adimpleverit. Hoc autem a Photio sui ipsius causa constitutum videtur, vel ipse saltem ei constituendo occasionem præbuit; quippe qui, contra ac hic decernitur, patriarchatum Constantinopolitanum adeptus est. Is enim cum protospatharius et primus e secretis imperatori esset, e laico sex diebus patriarcha creatus est. Nam primo die factus est monachus, altero lector, deinde hypodiaconus, diaconus, presbyter, et sexto patriarcha; ut Nicetas in Vita Ignatii Constantinopolitani tradidit: Καὶ ἐν ἓξ ὅλαις ἡμέραις χερσὶν ἀνθρώπων τελειούμενος τῆς ἀποθυμουμένης ἐπελαμβάνετο καθέδρας. Καὶ ἦν ἀληθῶς ἐκεῖνον ὁρᾶν αὐθημερὸν ἅγιον πλαττόμενον κατὰ τὴν παροιμίαν· πρώτῃ γὰρ ἡμέρᾳ μοναχὸς ἀντὶ λαϊκοῦ· τῇ δευτέρᾳ δὲ ἀναγνώστης, καὶ ὑποδιάκονος τῇ ἑξῆς, εἶτα διάκονος, εἶτα πρεσβύτερος, ἔπειτα τῇ ἕκτῃ, Χριστοῦ δὲ ἦν Γενέθλια, καὶ αὐτὸς τῷ ἱερατικῷ προστὰς θρόνῳ τὴν εἰρήνην τῷ λαῷ προσεφώνει. Nicet. in Vita Ignat. Et ipsa quidem octava generalis vulgo appellata synodus, Ignatii gratia habita, præposteram hanc et irregularem Photii ordinationem perstringere videtur, ubi neminem ad episcopatus honorem promoveri statuit, nisi in lectoris munere annum, in subdiaconi duos, in diaconi tres, sacerdotii autem quatuor annos expleverit. Προβιβασθήτω εἰς τὴν ἀρχιερωσύνην, ὥστε ἐν τῷ βαθμῷ τοῦ ἀναγνώστου ἐνιαυτὸν τρεῖς, καὶ τέσσαρας ἐν τῷ τοῦ πρεσβυτέρου. Synodi octavæ can. 5. Photius autem in præsenti canone rem extenuare nititur. Primo enim subindicat, nonnullos e laicis vel monachis episcopos statim factos fuisse, et ecclesias suas in alium extulisse (quales nimirum fuerunt Ambrosius Mediolensis et Nectarius Constantinopolitanus), sed addit, hoc in exemplum non trahendum esse, præsertim τοῦ λοιποῦ *in posterum*: adeo ut quæ antea hoc modo factæ sunt ordinationes (ac proinde suam) ratas esse velit; sed tamen in posterum non faciendas esse statuat.

« ex monachis vel laicis, exigente necessitate, A « episcopali honore statim digni facti sunt, qui « et virtute excellenti fuere, et suam ecclesiam « in altum extulere : id tamen, quod raro eve- « nit, Ecclesiæ legem nequaquam statuentes, de- « cernimus ut in posterum hoc minime fiat; nisi « is, qui rite ordinatur, per gradus sacerdotales « processerit in unoquoque ordine tempus præ- « stitutum adimplens. »

« μέχρι τοῦ νῦν ἀπὸ τῶν μοναχῶν ἢ λαϊκῶν τινες, « ἀπαιτούσης χρείας, παραυτίκα τιμῆς ἄξιοι « γεγόνασιν ἐπισκοπικῆς, ἀρετῇ τε διαπρέψαντες, « καὶ τὴν κατ' αὐτοὺς ἐκκλησίαν ὑψώσαντες· « ἀλλὰ τό γε σπάνιον οὐδαμοῦ νόμον τῆς Ἐκκλη- « σίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι « τοῦτο γίνεσθαι· εἰ μὴ κατὰ λόγον ὁ χειροτο- « νούμενος διὰ τῶν ἱερατικῶν προέλθοι βαθμῶν, « ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον « ἀποπληρῶν. »

BALS. Confusionem ecclesiasticam vocant Patres, inconsiderate et absque examinatione fieri aliquem monachum vel laicum antistitem. Et ideo dicunt, non debere eorum quempiam ad episcopatus altitudinem provehi, nisi omnes prius gradus B ecclesiasticos, præstituto et sufficienti unicuique ordini tempore, pervaserit. Adjiciunt autem, quod etiamsi tale quid prius factum sit propter urgentem necessitatem, et qui electi et eodem die ordinati sunt virtute clari exstitere, et ecclesias, quibus præfuerunt, exornavere; id tamen quod raro fit non est lex Ecclesiæ, ut nos deinceps illud sequi oporteat. Quia autem sæpe fuit dubitatum, quantum est tempus præstitutum, quod canone declaratur : nonnulli quidem dicebant, quod quoniam præstantissimus Theologus magnus Gregorius, in orationibus de sacerdotio, dicit sacerdotem 7 diebus perfici, debemus nos quoque si non plus, certe necessario id ipsum tempus in unoquoque gradu observare. Alii dicebant, canonem 10 Sardicensis C synodi definire, nullum divitem vel scholasticum e foro episcopum constitui; nisi lectoris et presbyteri et diaconi **359** ministerium peregerit, in uniuscujusque ordinis gradu non minimo tempore transmisso. Usi sunt autem et septimo capite primi tituli tertii libri Basilic., quod quidem est primum caput centesimæ tricesimæ septimæ Justiniani Novellæ, quæ dicit præcise non ordinandum apparitorem, vel publicis muneribus aliter addictum, nisi in monasterio non minus quam 15 annis vitam monasticam absque reprehensione peregerit : et instabant præstitutum tempus esse 15 annos. Mihi autem videtur Novella quidem loqui de tribunis militum acieive instructoribus, et iis qui rempublicam administrant : Sardicensis autem synodi D canon de divitibus ex foro, et scholasticis in dicendo, tractat : sed non de omnibus monachis vel laicis. Et utraque etiam inter se dissident. Lege ergo centesimam vicesimam secundam Justiniani Novellam in principio sic dicentem : Damus autem potestatem iis, qui electionem faciunt, ut absque curiali et præsidis apparitore, si quem sæcularem

ΒΑΛΣ. Ἀταξίαν ἐκκλησιαστικὴν οἱ Πατέρες καλοῦσι τὸ ἀπερισκέπτως καὶ ὄψα δοκιμασίας γίνεσθαί τινα μοναχὸν ἢ λαϊκὸν ἀρχιερέα. Διό φασι μὴ προαναβιβάζεσθαί τινα ἐξ αὐτῶν εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος, εἰ μὴ πάντας πρότερον τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς διέλθῃ διὰ τοῦ νενομισμένου καὶ ἀρκοῦντος καιροῦ ἑκάστῳ τάγματι. Προστιθέασι δὲ ὡς, εἰ καὶ πρότερον γέγονέ τι τοιοῦτον διὰ κατεπείγουσαν χρείαν, καὶ οἱ ἐκλεγέντες καὶ αὐθημερὸν χειροτονηθέντες διέλαμψαν ἐπ' ἀρετῇ, καὶ τὰς ἐκκλησίας ἐκόσμησαν ὧν προέστησαν· ἀλλὰ τὸ σπανίως γενόμενον νόμος τῆς Ἐκκλησίας οὐκ ἔστιν. ὥστε τούτῳ ἀκολουθεῖν ἡμᾶς καὶ ἐφεξῆς. Ἐπεὶ δὲ γέγονε πολλάκις ἀμφιβολία περὶ τοῦ πόσος ἐστὶν ὁ τῷ κανόνι δηλούμενος νενομισμένος καιρός· τινὲς μὲν εἶπον ὡς, ἐπεὶ ὁ ἐν θεολογίᾳ διαλάμψας μέγας Γρηγόριος ἐν τοῖς περὶ ἱερωσύνης λόγοις (60) λέγει τελεῖσθαι δι' ἑπτὰ ἡμερῶν τὸν ἱερέα, ὀφείλομεν παρατηρεῖν καὶ ἡμεῖς, εἰ μὴ πλείονα, ἀλλὰ ἐξ ἀνάγκης τέως τὸν αὐτὸν καιρὸν ἐφ' ἑκάστῳ βαθμῷ. Ἕτεροι εἶπον ὡς ὁ ι' κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται μηδένα πλούσιον ἢ σχολαστικὸν ἀπὸ τῆς ἀγορᾶς καθίστασθαι ἐπίσκοπον, εἰ μὴ ἀναγνώστου καὶ πρεσβυτέρου καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσει, ἐν ἑκάστου τάγματος βαθμῷ οὐκ ἐλαχίστου χρόνου διαβιβαζομένου. Ἐχρήσαντο δὲ καὶ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ α' τίτλου τοῦ γ' βιβλίου τῶν Βασιλικῶν, ὅπερ ἐστὶ κεφάλαιον πρῶτον τῆς ρλζ' Ἰουστινιανείου Νεαρᾶς, λέγοντι ἐν μέρει μὴ ψηφίζεσθαι ταξεώτην ἢ πολιτευόμενον ἄλλως, εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐτῶν μοναχικὸν βίον ἀδιαβλήτως ἐξετέλεσε· καὶ ἐνέστησαν εἶναι νενομισμένον καιρὸν τὸν πεντεκαιδεκαετῆ. Ἐμοὶ δὲ δοκεῖ ὡς ἡ μὲν Νεαρὰ περὶ ταξεωτῶν καὶ πολιτευομένων τὸν λόγον ποιεῖται· ὁ δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου περὶ τῶν ἀπὸ ἀγορᾶς πλουσίων καὶ περὶ τοὺς λόγους σχολαστικῶν διαλαμβάνει· οὐ μέντοι γε καὶ περὶ πάντων τῶν μοναχῶν ἢ τῶν λαϊκῶν. Καὶ εἰσὶ καὶ ἄμφω ἀμέτοχα. Ἀνάγνωθι οὖν τὴν ρκβ' Ἰουστινιάνειον Νεαρὰν περὶ τὰς ἀρχὰς λέγουσαν οὕτω· Διδόαμεν δὲ ἄδειαν τοῖς τὰ ψηφίσματα ποιουμένοις, εἴ τινα κοσμικὸν ὄψα κοσμι-

Guill. Beveregii notæ.

(60) *Ἐν τοῖς περὶ ἱερωσύνης λόγοις.* Ita quidem codex noster Bodleianus legit. Sed reliqui omnes, Anerbachianus, Æmiliensis, Tilianus, etc. legunt ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ αὐτοῦ. Et recte quidem. Hæc enim verba in quadragesima quarta Gregorii Theologi hic citati oratione in sanctam Pentecosten habita exstant. Ἐν ἑπτὰ μὲν ἡμέραις ὁ ἱερεὺς τελειούμενος, ἐν ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος, ἐν τοσαύταις δὲ ὁ ναὸς ἐγκαινιζόμενος. Greg. Naz. orat. 44.

κοῦ (61) καὶ ταξεώτου ὄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίζουσι, τὸν τοιοῦτον ἅμα ἄλλοις δύο κληρικοῖς ἢ μοναχοῖς ἐπιλέξασθαι· οὕτω μέντοι, ἵνα κοσμικὸς, ὁ τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς, μὴ εὐθέως ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν τῆς Ἐκκλησίας λειτουργίαν διδαχθεὶς, ἐπίσκοπος χειροτονηθῇ. Καὶ μετά τινα πάλιν ταῦτά φησι· Εἰ δέ τις παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν τοῦτον πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι· ἀλλὰ κἀκεῖνον, ὅστις παρὰ ταῦτα ἐτόλμησε χειροτονῆσαι, χωρίζεσθαι ἐπὶ ἕνα ἐνιαυτὸν τῆς ἱερατικῆς λειτουργίας, καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν, ἥτις καθ' οἱονδήτινα χρόνον ἢ τρόπον εἰς τὴν αὐτοῦ δεσποτείαν περιῆλθε, διὰ τὸ πταῖσμα ὃ ἐποίησε, τῇ δεσποτείᾳ τῆς ἐκκλησίας, ἧς ἐπίσκοπός ἐστιν, ἐκδικεῖσθαι. Ὥστε εἰ μὴ ἐμποδίζοι τὸ μὴ καταστρωθῆναι τὴν τοιαύτην Νεαρὰν εἰς τὰ Βασιλικά, ἐκ ταύτης τέως τὸ περὶ τῶν λαϊκῶν ἀμφίβολον λύεται. Νομίζω δὲ ἐκ τούτου μηδὲν εἶναι τὸ ἐμποδὼν τῇ ἐπιλύσει τῆς ἀμφιβολίας· διὸ καὶ καταφεύγω (62) εἰς τὸ παρὰ τοῦ ἁγίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ὑποτυπωθὲν χάριν τῆς τελειώσεως τῶν ἱερέων, καὶ λέγω ἐξ ἀνάγκης ὀφεῖλειν δι' ἑπτὰ ἡμερῶν τὴν ἑκάστου βαθμοῦ τελειοῦσθαι χειροτονίαν, καὶ μᾶλλον ὅτι καὶ ἡ ἄγραφος ἐκκλησιαστικὴ συνήθεια τοῦτο παραδεξαμένη τὰς τῶν βαθμῶν χειροτονίας ἐνεργεῖ. Ἀνάγνωθι καὶ τὸ κγ' κεφάλαιον τοῦ α' τίτλου τοῦ παρόντος συντάγματος. Καὶ σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς τάγμασιν οἱ μοναχοὶ οἱ μὲν δεξάμενοι σφραγῖδα ἐπισκόπου λαϊκοῦ τόπον ἐπέχουσιν.

A prædicta electione dignum existimaverint, cum simul cum aliis duobus clericis vel monachis eligant, ut sæcularis hoc modo ad episcopatum electus, non protinus episcopus ordinetur; sed primum clericis non minus quam tribus mensibus connumeretur, et sic sanctos canones et sacrum ecclesiarum ministerium edoctus, episcopus ordinetur. Et post aliquantum rursus hæc dicit: Si quis autem præter memoratam observationem episcopus ordinatus fuerit, jubemus eum omnino episcopatu expelli: sed et illum, quicunque præter hæc ordinare ausus fuerit, a sacerdotali ministerio anno uno separari, et omnes facultates, quæ quocunque tempore vel modo in suum dominium venerunt, propter errorem quem commisit, ecclesiæ B dominio, cujus est episcopus, addici. Quare si non impedit, quod hæc Novella in Basilica non relata sit, ex ea de laicis dubitatio nunc solvitur. Existimo autem hoc nihil afferre impedimenti solutioni dubii: et ideo confugio ad id quod a sancto Patre nostro Gregorio Theologo de sacerdotum perfectione scriptum est, et dico necessario per septem dies uniuscujusque gradus fieri ordinationem, et eo magis quod etiam non scripta ecclesiastica consuetudo, hoc suscepto, sic graduum ordinationes facit. Lege et cap. 23 primi tituli præsentis operis. Et nota ex hoc canone in ecclesiasticis ordinibus monachos qui quidem episcopi characterem acceperunt, locum laici obtinere.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ εἰς ἐπίσκοπον χειροτονεῖσθαί τινα λαϊκὸν ἢ μοναχὸν, μὴ πρότερον ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξετασθέντα, ἤγουν ταχθέντα, δοκιμασθέντα. Βούλεται γὰρ τὸν εἰς ἐπισκοπὴν προβιβασθήσεσθαι μέλλοντα κατὰ τάξιν εἰς ἕκαστον τῶν ἱερατικῶν βαθμῶν προχειρίζεσθαι, καὶ πληροῦν ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον, καὶ οὕτως εἰς τὸ τῆς ἐπισκοπῆς ἀνάγεσθαι ὕψος. Εἰ γὰρ καὶ ἔφθασαν, φησὶ, τινὲς ἀπὸ λαϊκῶν ἢ μοναχῶν αὐτίκα εἰς ἐπισκοπικὸν ἀναχθῆναι ἀξίωμα, καὶ ἀρετῇ τε διέλαμψαν καὶ τὰς ἐκκλησίας ἐκόσμησαν, ὧν προέστησαν· ἀλλὰ τὸ σπανίως συμβὰν οὐ νόμον τῆς Ἐκκλησίας τιθέμεθα, ὥστε τούτῳ ἀκολουθεῖν. Καὶ ὁ δέκατος δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου ὁμοίως διετάξατο.

C ZONAR. Laicum hominem aut monachum, nisi qui prius in ecclesiasticis ordinibus recensitus sit, hoc est, constitutus et probatus, episcopum ordinari hic canon vetat. Sed eum, qui ad episcopatum sit evehendus, singulis ecclesiasticis gradibus ordine adscribi, et constitutum in unoquoque tempus implere; itaque demum ad episcopale fastigium extolli placet. Nam etsi quidam, inquit, ex laicorum monachorumve numero ad episcopalem dignitatem, non exspectato temporum intervallo, confestim evecti sunt, iique et virtute præluxerunt, et ecclesiis, quibus præfecti dati sunt, ornamento fuere; tamen quod haud ita sæpe contingit, id nos pro lege, quam sequi oporteat, accipi nequaquam jubemus. Idem Sardicensis quoque synodi decimo D canone constitutum reperias.

ΑΡΙΣΤ. « Ὁ χειροτονηθησόμενος ἐπίσκοπος μὴ « ἅθρόον ἐκ λαϊκῶν ἢ μοναχῶν ὑφούσθω· ἀλλ' ἐν « ἑκάστῳ τάγματι τῶν ἱερατικῶν βαθμῶν τὸν « νενομισμένον ἀποπληρούτω χρόνον. Εἰ γὰρ καί « τινες ἅθρόον ὑφωθέντες διέπρεψαν, ἀλλ' οὐ « νόμος Ἐκκλησίας τὸ σπάνιον. »

ARIST. « Qui episcopus ordinandus est, e laicis aut « monachis confestim ne evehatur; verum in unoquoque graduum ecclesiasticorum ordine tempus « legibus constitutum adimpleat. Etiamsi enim « nonnulli confestim evecti præclare se gesserunt, quod tamen raro accidit non est Ecclesiæ lex.

Guill. Beveregii notæ.

(61) *Δίχα κοσμικοῦ*. Legendum juxta alios codices δίχα βουλευτοῦ, quæ haud dubie verior est lectio.

(62) *Διὸ καὶ καταφεύγω*. Hæc usque ad χειροτονίας ἐνεργεῖ inclusive codici Bodleiano accepta referas: in aliis enim desiderantur, nisi quod Gentianus Hervetus ea ex ms. Tiliano Latine vertit.

ΚΑΝΟΝΕΣ

ΕΚΤΕΘΕΝΤΕΣ

ΠΑΡΑ ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ (63), ΤΗΣ ΕΝ ΤΩ ΠΕΡΙΩΝΥΜΩ ΝΑΩ
ΤΗΣ ΘΕΟΥ ΛΟΓΟΥ ΣΟΦΙΑΣ ΣΥΣΤΑΣΗΣ, ΚΑΙ ΤΗΝ Ζ' ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΝ
ΣΥΝΟΔΟΝ ΒΕΒΑΙΩΣΑΣΗΣ, ΠΑΣΑΝ ΔΕ
ΣΧΙΣΜΑΤΙΚΗΝ (64) ΚΑΙ ΑΙΡΕΤΙΚΗΝ ΠΛΑΝΗΝ ΑΠΕΛΑΣΑΣΗΣ.

—

CANONES

EDITI

A SANCTA SYNODO, QUÆ IN CELEBRI TEMPLO,
CUI NOMEN A VERA DEI SAPIENTIA INDITUM, HABITA EST, ET ŒCUMENICAM
SEPTIMAM SYNODUM CONFIRMAVIT,
OMNEMQUE SCHISMATICUM ET HÆRETICUM ERROREM EXPULIT.

—

360 CANON I.

« Statuit sancta universalis synodus, ut si qui ex
« Italiæ clericis, vel laicis, vel episcopis, in Asia,
« vel Europa, vel Libya versantes sub ligatione,
« vel depositione, vel anathematizatione apud
« sanctissimum papam Joannem fuerunt; ut ii
« quoque sint apud Photium sanctissimum pa-
« triarcham Constantinopolitanum in eadem pœnæ
« definitione, id est, vel depositi, vel anathema-
« tizati, vel segregati : et quos Photius quidem
« sanctissimus noster patriarcha, clericos, vel
« laicos, vel episcopalis vel sacerdotalis ordinis,
« in quacunque parœcia, segregationi, vel depo-
« sitioni, vel anathematizationi subjecerit; san-
« ctissimus quoque papa Joannes, et sancta Dei
« Romanorum Ecclesia, eosdem in eodem pœnæ
« judicio habeat; privilegiis, quæ sanctissimæ
« Romanorum Ecclesiæ sedi, et ejus antistiti
« adsunt, nihil penitus innovatis, nec nunc nec
« in posterum. »

A

B

ΚΑΝΩΝ Α'.

« Ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ (65) σύνοδος,
« ὥστε, εἴ τινες τῶν ἐξ Ἰταλίας κληρικῶν, ἢ λαϊ-
« κῶν, ἢ ἐπισκόπων, ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ
« Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ
« ἀναθεματισμὸν παρὰ τοῦ ἁγιωτάτου πάππα
« Ἰωάννου ἐγένοντο, ἵνα ὦσιν οἱ τοιοῦτοι καὶ παρὰ
« Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντι-
« νουπόλεως ἐντῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ, τουτ-
« έστιν ἢ καθῃρημένοι, ἢ ἀνατεθεματισμένοι, ἢ
« ἀφωρισμένοι· καὶ οὓς μέντοι Φώτιος ὁ ἁγιώτατος
« ἡμῶν πατριάρχης κληρικοὺς ἢ λαϊκοὺς ἢ τοῦ
« ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, ἐν οἱᾳ-
« δήποτε παροικίᾳ ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν,
« ἢ ἀναθεματισμὸν ποιήσει, ἵνα ἔχῃ αὐτοὺς καὶ
« ὁ ἁγιώτατος πάππας Ἰωάννης, καὶ ἡ κατ'
« αὐτὸν ἁγία τοῦ Θεοῦ Ῥωμαίων Ἐκκλησία, ἐν τῷ
« αὐτῷ τῆς ἐπιτιμίας κρίματι, μηδὲν τῶν
« προσόντων πρεσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς
« Ῥωμαίων Ἐκκλησίας, καὶ τῷ ταύτης προέδρῳ,
« τὸ σύνολον καινοτομουμένων μήτε νῦν μήτε εἰς
« τὸ μετέπειτα.

Guill. Beveregii notæ.

(63) *Παρὰ τῆς ἁγίας συνόδου.* Hæc est synodus quæ sub Photio, post Ignatii obitum sedi suæ Constantinopolitanæ restituto, in templo S. Sophiæ sive Sapientæ Constantinopoli anno Dom. 879, a Patribus 383, celebrata fuit.

(64) *Πᾶσαν δὲ σχισματικήν.* Hæc ad finem tituli codici Bodleiano debemus. In Parisiensi enim Balsamonis editione desiderantur; at non solum in Amerbachiano, sed et in Tiliano etiam codice exstant; namque Gentianus Hervetus Latine vertit, *Omnemque schismaticum et hæreticum errorem expulit sub Photio patriarcha*, verum loco ultimorum horum verborum, *sub Photio patriarcha*, nihil in codice Bodleiano legitur, neque in ullo alio, nisi quod in Amerbachiano κανόνες τρεῖς habeatur.

(65) *Καὶ οἰκουμενική.* Hæc verba non solum in Bodleiano, verum etiam in Tiliano codice leguntur. Vertit enim Hervetus, *Statuit sancta et universalis synodus.* In Amerbachiano ms. et in Parisiensi tam Balsamonis quam Zonaræ editione omittuntur. Sed et secundo canone omnes codices conveniunt in horum verborum lectione, Ἀλλ' οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος.

ΒΑΛΣ. Τινὲς κατακρινόμενοι ἀκοινωνησίᾳ, ἢ ἑτέρᾳ καταδίκῃ ἐπιτιμίου ἐκκλησιαστικοῦ καθυποβαλλόμενοι, παρὰ τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης, προστήρχοντο τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως· καὶ τὸ ἀνάπαλιν. Καὶ ἐπεὶ ἐκ τούτου σκάνδαλα μέσον τῶν δύο Ἐκκλησιῶν ἀνεφύοντο, ἐλαλήθησαν τὰ περὶ τούτου κατὰ τὸν καιρὸν τῆς οἰκουμενικῆς ταύτης συνόδου. Εἰς περιαίρεσιν οὖν σκανδάλου παντὸς ὥρισαν οἱ Πατέρες τοὺς ὁπωσδήποτε κατακριθέντας παρὰ τοῦ πάπα εἶναι καὶ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως καταδεδικασμένους· καὶ τὸ ἀνάπαλιν. Ὡς δέ τινος τοῦ ἐξ Ἰταλίας εἰπόντος ἐπὶ περιγραφῇ τῶν προνομίων τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης ταῦτα θεσπίζεσθαι διὰ τὴν ἀξίωσιν, προσέθεντο ἀκαινοτόμητα συντηρεῖσθαι εἰς τὸ ἑξῆς τὰ πρεσβεῖα, καὶ τὴν τιμὴν τοῦ προέδρου αὐτῆς. Ἐπεὶ γὰρ ἠρώτησάν τινες, ὡς τοῦ κανόνος μόνων τῶν δύο μεγάλων ἀρχιερέων μεμνημένου, τί γενήσεται εἰς τοὺς ἄλλους πατριάρχας; φαμὲν κοινῶς καὶ διὰ πάντας ἐκφωνηθῆναι τὸν κανόνα. Ὅτι καὶ ἕτεροι κανόνες παρομοίως διορίζονται ἀκοινώνητον εἶναι τὸν προσδεχόμενον ἐπίσκοπον τοὺς παρὰ ἑτέρου ἐπισκόπου ἀφορισθέντας, ἢ καὶ ἄλλως ἐπιτιμηθέντας, διὰ τὸ ἓν σῶμα λογίζεσθαι πάσας τὰς τοῦ Θεοῦ ἐκκλησίας. Ἐγράφησαν δὲ τὰ ἐν τῷ παρόντι κανόνι ἰδικῶς διὰ τὰ τότε συμπεσόντα σκάνδαλα ἐκ τοῦ πολλάκις καταβιβασθῆναι τὸν πατριάρχην Φώτιον ἐκ τοῦ πατριαρχικοῦ θρόνου, καὶ πολλάκις ἀποκαταστῆναι, κἀντεῦθεν πολλὰ σχίσματα συμπεσεῖν.

A BALS. Quidam excommunicati, vel alii pœnæ ecclesiasticæ condemnationi subjecti, a veteris Romæ sede ad Constantinopolitanam sedem accedebant; et contra. Et quoniam ex eo scandala inter duas Ecclesias oriebantur, ea hujus universalis synodi tempore ad eam relata sunt. Ad omne ergo tollendum scandalum statuerunt Patres, ut qui quomodocunque a papa sunt condemnati, ii sint apud patriarcham quoque Constantinopolitanum condemnati; et vice versa. Tanquam autem dixisset Italus quispiam, hæc ad circumvenienda veteris Romanæ sedis privilegia decerni, propterea quod inducatur æqualitas; adjecerunt, nihil penitus innovata in posterum servari ejus privilegia, et ejus antistitis honorem. Quoniam autem rogaverunt nonnulli, cum canon duorum tantum magnorum antistitum meminerit. Quid fiet de aliis patriarchis? dicimus communiter et propter omnes editum esse canonem. Nam alii quoque canones similiter decernunt esse excommunicatum episcopum, qui ab alio episcopo segregatos suscipit, vel aliqua alia pœna affectos; eo quod omnes Dei ecclesiæ unum corpus reputentur. Quæ autem sunt in præsenti canone specialiter scripta sunt, propter scandala quæ tunc contigerunt, eo quod patriarcha Photius sæpe ex throno patriarchali dejectus fuit, et sæpe restitutus: et ideo multa schismata inciderunt.

B

ΖΩΝΑΡ. Μὴ διαφέρεσθαι θέλοντες οἱ τῆς συνόδου πρὸς ἀλλήλους τόν τε τῆς πρεσβυτέρας Ῥώμης πάπαν καὶ τὸν τῆς νέας ταύτης τῆς Κωνσταντινουπόλεως πατριάρχην, ἀλλ' ὁμονοεῖν ἀλλήλοις· ἔτι γὰρ ἦσαν ὁμόδοξοι καὶ ὁμόθρονοι· ὥρισαν καὶ τοὺς ὑπὸ τοῦ πάπα δεδεσμημένους, ἤγουν ἀφωρισμένους, καὶ τοὺς καθῃρημένους, καὶ τοὺς ἀναθέματι ὑποβεβλημένους ἐκ τῶν ἐξ Ἰταλίας κληρικῶν ἢ λαϊκῶν, ἢ ἐπισκόπων, κἂν ἐν τῇ Ἀσίᾳ διάγοιεν, ἤγουν τῇ ἀνατολῇ, κἂν ἐν τῇ Εὐρώπῃ, ἤγουν τῇ δύσει, κἂν ἐν τῇ Λιβύῃ (κἀκείνη γὰρ τότε ὑπὸ τὰ δίκαια τῆς βασιλείας ταύτης ἐτέλει), εἶναι ὑπὸ τὸ αὐτὸ ἐπιτίμιον τοῦ ἀφορισμοῦ ἢ τῆς καθαιρέσεως, ἢ τοῦ ἀναθέματος, καὶ παρὰ Φωτίῳ τῷ τότε πατριαρχοῦντι ἐν Κωνσταντινουπόλει. Ἰταλία δ' ἔστιν ἡ πᾶσα χώρα ἡ περὶ τὴν Ῥώμην, καὶ ἡ κατὰ ταύτην διοίκησις. Ῥώμη δὲ καλεῖται ἡ πόλις, ἐκ τοῦ ταύτην δομησαμένου Ῥωμύλου κληρωσαμένη ὄνομα. Καὶ αὖθις δὲ τοὺς ὑπὸ τοῦ πατριάρχου Φωτίου ἀπανταχοῦ, φασί, κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοὺς ἐξ ἱεραρχικοῦ τάγματος γενησομένους ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, ἔχειν αὐτοὺς καὶ τὸν ἁγιώτατον πάπαν καὶ τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν ἐν τῷ αὐτῷ ἐπιτιμίῳ. Τὰ δὲ πρεσβεῖα, ἤγουν τὴν προτίμησιν, καὶ τὰ προνόμια, ὧν ἠξιώθη, ἔχειν τὴν Ῥωμαίων Ἐκκλησίαν ἀκαινοτόμητα. Ἀλλὰ ταῦτα τότε, ὅτε εὔπλοα περὶ τὴν πίστιν ἡ Ῥωμαίων Ἐκκλησία ἐσφάλλετο, καὶ πρὸς ἡμᾶς διεφέρετο· νῦν δὲ ἡμῖν τὰ πρὸς ἐκείνην ἀσύμβατα.

C

D

ZONAR. Cum inter Romæ antiquæ papam, et novæ hujus Constantinopoleos patriarcham controversiæ nihil existere, atque inter ipsos quam optime convenire, synodi Patres optarent (erant enim adhuc quidem, et sententiarum opinione, et rei ecclesiasticæ concordi administratione, conjuncti), quicunque ex Italia clerici, aut laici, aut episcopi a papa ligati, hoc est, quicunque segregatione, quique depositione, aut anathemate multati fuissent, sive in Asia, hoc est, in Oriente, sive in Europa, hoc est, in Occidente, sive in Libya degerent (nam ea quoque tunc temporis hujus reginæ urbium imperio subjecta erat), apud ipsum quoque Photium, qui patriarchatum 361 eo tempore Constantinopoli gerebat, segregationis, vel depositionis, vel anathematis iisdem pœnis constrictos teneri decreverunt. Italiæ vero nomine, universam circa Romam regionem, eique adjunctam diœcesim intelligimus. Roma porro ipsa urbs dicitur, a Romulo, qui eam condidit, appellationem sortita. Quique vicissim, aiunt, a Photio patriarcha, ubicunque locorum, clerici, vel laici, vel ex antistitum ordine segregationi, depositioni, aut anathemati subjicientur, a sanctissimo quoque papa et Romanorum Ecclesia eidem pœnæ obnoxios existimari. Prærogativas autem, hoc est, primum honoris locum, aliaque privilegia, quibus Romanorum Ecclesia honestata fuit, inviola servari placet. Sed hæc jam olim, cum in iis, q

fidei sunt, Romanorum Ecclesia nihil errabat, neque a nobis interea dissidebat. Nunc vero nobis cum illa non convenit.

ARIST. « Qui sub vinculo, vel depositione, vel « anathemate, et apud Romam et Constantino- « polin fuit, ita maneat. »

Α ΑΡΙΣΤ. « Ὁ ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, « παρά τε Ῥώμης γενόμενος καὶ παρὰ Κων- « σταντινουπόλεως οὕτω μενέτω. »

CANON II.

B censens scilicet, quod semel atque iterum et sæpe censuimus, hæreticos ad Ecclesiam venientes baptismo (Ecclesiæ) baptizari et sanctificari oportere. Item lectæ sunt vobis et aliæ litteræ Joviani, quibus pro sua sincera et religiosa devotione ad epistolam nostram rescribens, non tantum nobis consensit, sed etiam veritate instructum se esse gratias egit. Superest de hac ipsa re, quid singuli sentiamus, proferre, neminem judicantes, aut a jure communionis, si diversum senserit, amoventes. Neque enim quisquam episcopum se constituit, aut tyrannico terrore ad obsequendi necessitatem coepiscopos suos adigit, quandoquidem omnis episcopus potestatem habet libere faciendi quæ sentit. Ut ipse enim alium judicare non potest, sic nec ab alio judicari. Nam omnes exspectamus judicium Domini nostri Jesu Christi, qui solus potestatem habet in Ecclesia sua episcopum constituendi, et acta uniuscujusque examinandi et judicandi.

Καικίλλιος Λιβεράριος εἶπεν

Ἓν βάπτισμα ἐν μόνῃ τῇ Ἐκκλησίᾳ οἶδα, καὶ ἐκτὸς τῆς Ἐκκλησίας οὐδαμοῦ. Ἔνθα γάρ ἐστι τὸ ἓν βάπτισμα, ὄντως καὶ ἐλπὶς ἀληθείας ἐστὶ, καὶ πίστις. Οὕτω γὰρ γέγραπται, *Μία πίστις, ἓν βάπτισμα.* Οὐ γὰρ τοῖς αἱρετικοῖς, παρ' οἷς οὐδεμία πίστις καὶ ἐλπὶς, ὅπου πάντα ψευδῆ, ὅπου ἐξορκίζει δαιμονιζόμενος, μυστήριον ἐρωτᾷ, οὗ τὸ στόμα λοιμώδη καὶ ἰώδη φθέγγεται· πίστιν δὲ δίδωσιν ἄπιστος, ἄφεσιν ἁμαρτιῶν παρέχει ἁμαρτωλὸς, καὶ εἰς ὄνομα Χριστοῦ βαπτίζει ἀντίχριστος, ὑπισχνεῖται ζωὴν νεκρὸς, εἰρήνην δίδωσιν εἰρήνης ἀλλότριος, Θεὸν ἐπικαλεῖται βλάσφημος, ἱερατείᾳ χέχρηται ἀσεβής. Οἱ αὐτοῖς συνηγοροῦντες εἰπάτωσαν ταῦτα πάντα ψευδῆ εἶναι περὶ τῶν αἱρετικῶν. Ἰδοὺ τίσιν ἀναγκάζεται ἡ Ἐκκλησία συνευδοκεῖν, ἵνα χωρὶς βαπτίσματος καὶ ἀφέσεως ἁμαρτιῶν τοιούτοις συγκοινωνήσῃ. Ὅθεν, ἀδελφοὶ, φεύγειν καὶ ἐκκλίνειν ὀφείλομεν, καὶ χωρίζειν ἑαυτοὺς ἀπὸ τοιούτων πλημμελημάτων, καὶ ἓν βάπτισμα κατέχειν τὸ μόνον ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ δεδωρημένον.

Cyprianus dixit.

Audistis, dilectissimi coepiscopi, quid mihi Jovianus coepiscopus noster, de illicito et profano hæreticorum baptismo mediocritatem nostram consulens, scripserit, et quid ego ei rescripserim,

Cæcilius Liberarius dixit.

Ego unum baptisma in Ecclesia sola scio, et extra Ecclesiam nullibi. Ibi enim est unum baptisma, ubi spes vera et fides certa. Sic enim scriptum est : *Una fides, unum baptisma*[87]. Non enim apud hæreticos, ubi spes nulla est, et fides falsa; ubi omnia per mendacium aguntur, ubi exorcizat dæmoniacus, sacramentum interrogat, cujus os pestilentia et venenosa eructat : fidem autem dat infidelis, veniam delictorum tribuit sceleratus, et in nomine Christi baptizat Antichristus, vitam pollicetur mortuus, pacem dat impacificus, Deum invocat blasphemus, sacerdotium administrat profanus. Dicant, qui illis astipulantur, hæc omnia falsa esse de hæreticis. Ecce quibus Ecclesia consentire cogitur, ut sine baptismo ac venia delictorum cum talibus communicet. Quam rem, fratres, fugere ac vitare debemus, et a tanto scelere nos separare, et unum baptisma tenere, quod solum Ecclesiæ Dei concessum est.

[87] Ephes. IV, 5

Priamus a Mastripa dixit.

Censeo omnem hominem ab hæresi venientem baptizandum. Frustra enim illic putat esse baptizatum, cum non sit nisi unum baptisma in Ecclesia sola : quia et Deus unus et baptisma unum, et Ecclesia una, in qua baptisma et sanctificatio, et quæcunque alia ad salutem et vitam æternam spectant, perficiuntur. Nam quæ extra Ecclesiam exercentur, nullum habent salutis effectum.

Polycarpus ab Adrumeto dixit.

Qui hæreticorum baptisma probant, nostrum reprobum efficiunt.

Novatus a Thannubasilio dixit.

Licet sciamus omnem Scripturam testimonium reddere de salutari baptismo : debemus tamen fidem nostram **369** exprimere, ut hæreticos et schismaticos ad Ecclesiam venientes, post falsum eorum baptisma vero baptizemus. Ideoque omnes, qui inde ad Ecclesiam conversi sunt, ipse baptizavi, et quicunque ex clero ordinati videbantur inter laicos recepi.

Nemesianus a Thubunis dixit.

Baptisma, quod dat hæreticus et schismaticus, non esse verum, ubique in Scripturis sanctis declaratum est : quoniam ipsi præpositi eorum falsi christi sunt et falsi prophetæ.

Januarius a Laba dixit.

Secundum Scripturarum sanctarum auctoritatem decerno hæreticos omnes baptizandos, et sic in Ecclesiam sanctam admittendos.

Lucius a Castragalba dixit.

Dominus in Evangelio dixit : *Vos estis sal terræ : si autem sal infatuatum fuerit, in quo salietur*[88]? Cum igitur manifestum sit hæreticos, id est hostes Dei, non posse quemquam spirituali confessione vivificare, quod infatuati sint et extra Ecclesiam ; accedentes eos sancto baptismate baptizare debemus.

Crescens a Creta dixit.

Censeo et ipse hæreticos et schismaticos, qui ad catholicam Ecclesiam voluerint venire, non ante recipiendos, quam exorcizati et baptizati fuerint ; exceptis iis, qui in Ecclesia fuerint ante baptizati, et ab ea defecerint. Hi enim pœnitentiam agentes per manuum impositionem solam Ecclesiæ reconciliari debent.

Nicomedes a Sergomeis dixit.

Mea sententia hæc est : Ut hæretici ad Ecclesiam venientes baptizentur eo quod nullam foris peccatorum remissionem consecuti sint ab hæreticis baptizati.

Secundianus a Carindia dixit.

Cum Dominus noster Jesus Christus dicat : *Qui non est mecum, contra me est ;* et Joannes apostolus eos, qui ab Ecclesia exeunt, antichristos dicat ; impossibile enim est, ut ipsi gratiæ Dei et

[88] Matth. v, 13.

A

Πρίαμος ἀπὸ Μαστρίπης εἶπε.

Δογματίζω πάντα ἄνθρωπον ἀπὸ αἱρέσεως ἐρχόμενον δεῖν βαπτίζεσθαι. Μάτην γὰρ αὐτὸν ἐκεῖ βεβαπτίσθαι, μὴ ὄντος εἰ μὴ ἑνὸς βαπτίσματος ἐν τῇ Ἐκκλησίᾳ μόνῃ· ἐπεὶ καὶ ὁ Θεὸς εἷς, καὶ βάπτισμα ἕν, καὶ Ἐκκλησία μία, ἐν ᾗ τὸ βάπτισμα καὶ ὁ ἁγιασμὸς καὶ ὅσα ἄλλα εἰς σωτηρίαν καὶ εἰς ζωὴν αἰώνιον ἐπιτελεῖται. Τὰ γὰρ ἔξω τῆς Ἐκκλησίας γινόμενα εἰς οὐδὲν τούτων ἀφικνεῖται.

Πολύκαρπος Ἀδραμέντου εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν βάπτισμα δοκιμάζοντες τὸ ἡμέτερον ἀδόκιμον ποιοῦσι.

Νουβάτος ἀπὸ Θαννουβασιλέως εἶπεν.

Πᾶσαι αἱ Γραφαὶ μαρτυροῦσι περὶ ἑνὸς καὶ μόνου τοῦ ἐν τῇ Ἐκκλησίᾳ βαπτίσματος σωτηρίου· B ὀφείλομεν τὴν ἡμετέραν πίστιν ὁμολογῆσαι, ἵνα τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς προσερχομένους τῇ Ἐκκλησίᾳ μετὰ τὸ ψευδὲς ἐκείνων βάπτισμα τῷ ἀληθεῖ βαπτίσωμεν. Καὶ διὰ τοῦτο ἐγὼ τοὺς ἐκεῖθεν ἐλθόντας πάντας ἐβάπτισα, καὶ τοὺς ἀπὸ κλήρου αὐτῶν λαϊκοὺς ἔστησα.

Νεμεσιανὸς ἀπὸ Θουβούνων εἶπε.

Βάπτισμα ὃ δίδωσιν αἱρετικὸς καὶ σχισματικὸς μὴ εἶναι ἀληθὲς πᾶσαι αἱ Γραφαὶ μαρτυροῦσιν ἐπεὶ αὐτοὶ οἱ προεστῶτες αὐτῶν ψευδόχριστοί εἰσι καὶ ψευδοπροφῆται.

Ἰαννουάριος ἀπὸ Λαβῆς εἶπε.

Κατὰ τὰ προστάγματα τῶν ἁγίων Γραφῶν κρίνω δεῖν πάντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι, καὶ C οὕτως εἰς τὴν ἁγίαν Ἐκκλησίαν προσδέχεσθαι.

Λούκιος ἀπὸ Γαστρογαλβῆς εἶπεν.

Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ φησίν· *Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται ;* ὁπότε οὖν σαφές ἐστι τοὺς αἱρετικούς, τουτέστιν ἐχθροὺς τοῦ Θεοῦ, μὴ δεῖν δύνασθαι ζωοποιῆσαί τινα πνευματικῇ ὁμολογίᾳ, μωρανθέντας αὐτοὺς καὶ ἔξω ὄντας τῆς Ἐκκλησίας, ἁγίῳ βαπτίσματι βαπτίζειν αὐτοὺς ἐρχομένους ὀφείλομεν.

Κρίσκης ἀπὸ Κρήτης εἶπε.

Καὶ αὐτὸς τοὺς αἱρετικοὺς καὶ σχισματικούς, ὁπόταν εἰς τὴν Ἐκκλησίαν τὴν καθολικὴν ἔλθωσι, μὴ πρότερον δεχθῆναι, πρὶν ἐξορκισθῶσι καὶ βαπτισθῶσι, χωρὶς ἐκείνων τῶν τῇ Ἐκκλησίᾳ βαπτι- D σθέντων καὶ ἀποστάντων· οὗτοι γὰρ ὀφείλουσι μετανοήσαντες χειροθεσίας μόνης τυχεῖν.

Νικομήδης ἀπὸ Σεργομέων εἶπεν.

Ἡ ἐμὴ ἀπόφασις αὕτη ἐστίν· Ἵνα οἱ αἱρετικοὶ τῇ Ἐκκλησίᾳ προσερχόμενοι βαπτισθῶσιν· ἐπεὶ μηδεμίαν ἔξω ἄφεσιν ἁμαρτιῶν εἰλήφασιν ὑπὸ τῶν αἱρετικῶν βαπτισθέντες.

Σεκουνδιανὸς ἀπὸ Καρινδίας εἶπεν.

Ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λέγει· *Ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι·* καὶ Ἰωάννης ὁ ἀπόστολος τοὺς ἐξερχομένους τῆς Ἐκκλησίας ἀντιχρίστους ὀνομάζει. Ἀδύνατον γάρ ἐστιν αὐτοὺς

ὑπηρετῆσαι χάριτι Θεοῦ καὶ σωτηρίῳ βαπτίσματι· καὶ διὰ τοῦτο κρίνω τοὺς τῇ Ἐκκλησίᾳ προσελθόντας βαπτισθῆναι παρ' ἡμῶν.

A salutari baptismo inserviant: et ideo censeo eos, qui ad Ecclesiam confugiunt, a nobis esse baptizandos.

Φῆλιξ ἀπὸ Γαμετῶν εἶπεν.

Ὡς τυφλὸς τυφλὸν ὁδηγῶν ἅμα εἰς βόθρον ἐμπίπτουσιν, οὕτως αἱρετικὸς αἱρετικὸν βαπτίζων τῷ βαπτιζομένῳ συναποθνήσκει. Καὶ διὰ τοῦτο παρ' ἡμῖν τὸν αἱρετικὸν βαπτισθῆναι δεῖ, ἵνα μὴ ἡμεῖς οἱ ζῶντες νεκροῖς κοινωνήσωμεν.

Felix a Gametis dixit.

Sicut cæcus cæcum ducens simul in foveam cadunt; ita hæreticus hæreticum baptizans simul cum eo in mortem cadit. Et ideo baptizandus est apud nos hæreticus, ne nos vivi mortuis communicemus.

Σουκέντιος ἀπὸ Ἀβιργεμανικιανῆς εἶπεν.

Αἱρετικοῖς ἢ οὐδὲν ἔξεστιν, ἢ πάντα. Εἰ δύνανται βαπτίσαι, δύνανται καὶ Πνεῦμα ἅγιον δοῦναι. Ἐπεὶ δὲ μὴ ἔχουσιν, οὐδὲ πνευματικῶς βαπτίζουσι· καὶ διὰ τοῦτο κρίνω δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Succentius ab Abirgemaniciana dixit.

Hæreticis aut nihil licet, aut omnia. Si possunt baptizare, possunt et dare Spiritum sanctum. Quoniam autem non habent, nec baptizare spiritualiter possunt: propterea censeo hæreticos baptizandos esse.

B

Φορτουνάτος ἀπὸ Θουχαβῶρ εἶπεν·

Οἱ ἔξω τῆς Ἐκκλησίας ὄντες ἐναντίοι τῷ Χριστῷ, ὡς τὰ πρόβατα καὶ τὴν ἀγέλην αὐτοῦ σκορπίζοντες, βαπτίζειν ἔξω οὐ δύνανται.

Fortunatus a Thuchabori dixit.

Qui extra Ecclesiam sunt, contra Christum stantes, ut qui oves ejus et gregem dispergunt baptizare foris non possunt.

Θήδατος ἀπὸ Θουρβῶν εἶπε.

Πάσῃ δυνάμει ἀγωνιστέον ἵνα μή ὁ τὴν τῶν αἱρετικῶν πλάνην ἀφεὶς τὸ μόνον τῆς Ἐκκλησίας βάπτισμα διστάσῃ λαβεῖν, ᾧ τις μὴ βαπτισθεὶς ἀλλοτριοῦται τῆς τῶν οὐρανῶν βασιλείας.

Thedatus a Thurbis dixit.

Omnibus viribus nitendum est, ne quis hæreticorum errorem derelinquens singulare et verum Ecclesiæ baptisma detrectet accipere, quo quisquis non fuerit baptizatus a regno cœlorum fit alienus.

Προβατιανὸς ἀπὸ Σοφετίης εἶπεν.

Εἰ ἀπὸ Θεοῦ ἡ αἵρεσίς ἐστιν, ἔξει αἱρετικὸς καὶ δωρεὰν Θεοῦ· εἰ δὲ μή ἐστιν ἀπὸ Θεοῦ, πῶς δύναται αὐτὸς ἔχειν τὴν χάριν τοῦ Θεοῦ καὶ ἄλλῳ διδόναι;

Probatianus a Sophetia dixit.

Si hæresis a Deo est, habebit hæreticus et indulgentiam divinam. Si vero a Deo non est, quomodo gratiam Dei ipse habere et conferre alicui potest?

Μονούαλος ἀπὸ Γέρβης εἶπε.

Τοῦ Κυρίου λέγοντος· *Βαπτίσατε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*, οἴδαμεν σαφῶς τοὺς αἱρετικοὺς μὴ Πατέρα ἔχειν μήτε Υἱὸν μήτε Πνεῦμα ἅγιον. Δεῖ οὖν ἐρχομένους εἰς τὴν Ἐκκλησίαν βαπτίζειν, ἵνα ἀναγεννηθῶσι.

C

Monnulus a Gerba dixit.

Domino dicente: *Baptizate omnes gentes in nomine Patris et Filii et Spiritus sancti*[30]; manifeste scimus hæreticos nec Patrem habere, nec Filium, nec Spiritum **370** sanctum. Debent igitur venientes ad Ecclesiam baptizari, ut renascantur.

Πολιτιανὸς ἀπὸ Μίλεως εἶπεν.

Ὀρθόν ἐστι τὸν ἀπὸ αἱρέσεως ἐρχόμενον ἐν τῇ Ἐκκλησίᾳ βαπτίζεσθαι.

Politianus a Mileo dixit.

Justum est in Ecclesia baptizari eum, qui ab hæresi venit.

Θέογνις ἀπὸ Ἱππῶνος Ῥηγίου εἶπεν.

Ἀκολούθως τῷ μυστηρίῳ τοῦ Θεοῦ καὶ τῆς οὐρανίου χάριτος, ἣν εἰλήφαμεν, βάπτισμα, ὃ ἐστιν ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, οἴδαμεν.

Theognis ab Hippone Regio dixit.

Secundum sacramentum Dei et gratiæ cœlestis, quam accepimus, baptisma, quod est in Ecclesia sancta novimus.

Διατίους ὁ Σεάδης εἶπεν.

Ἡμεῖς, ὅ ἐφ' ἡμῖν ἐστιν, αἱρετικοῖς οὐ κοινωνοῦμεν, ἐὰν μὴ ἐν τῇ Ἐκκλησίᾳ βαπτισθῇ, καὶ ἄφεσιν ἁμαρτιῶν λάβῃ.

Diatius Seada dixit.

Nos, quantum in nobis est, hæreticis non communicamus; nisi baptizati in Ecclesia fuerint, et remissionem peccatorum acceperint.

D

Πρόβατος ἀπὸ Σοφιστοῦ ε.πεν.

Ὁ δοκιμάζων παρὰ τοῖς αἱρετικοῖς βάπτισμα εἶναι τί ἄλλο ἢ τοῖς αἱρετικοῖς κοινωνεῖ;

Probatus a Sophisto dixit.

Qui hæreticorum baptismum probat, quid aliud quam hæreticis communicat?

Ὁρτησιανὸς ἀπὸ Λαβούρνης εἶπε.

Καὶ ἡμεῖς ἓν βάπτισμα, ὅπερ ἐν τῇ Ἐκκλησίᾳ οἴδαμεν, τοῦτο τῇ Ἐκκλησίᾳ ἐκδικοῦμεν.

Hortensianus a Laburne dixit.

Nos unum baptisma, quod non nisi in Ecclesia novimus, Ecclesiæ vindicamus.

Κάσιος ἀπὸ Κομαζῶν εἶπεν.

Ἐπεὶ δύο βαπτίσματα εἶναι οὐ δύναται, ὁ συγχωρῶν τοῖς αἱρετικοῖς βάπτισμα ἑαυτὸν ἐκτοῦ βαπτίσματος ἀποστερεῖ. Διὸ ἐπικυρῶ αἱρετικοὺς βαπτίζειν δεῖν,

Cassius a Comasis dixit.

Cum baptismata duo esse non possint, qui hæreticis baptisma concedit, baptisma sibi tollit. Censeo itaque baptizandos esse hæreticos, cum ad

[30] Matth. XXVIII, 19.

Ecclesiam venerint ; exceptis illis, qui ab Ecclesia fidelium separati ad hæresis tenebras transierunt, quos redeuntes oportet per solam manus impositionem restitui.

Jannuarius ab Ubico dixit.

Si non obtemperat error veritati, multo magis veritas non consentit errori. Et ideo nos Ecclesiæ assistimus, in qua præsidemus, ut qui in ea non baptizati sunt, baptizemus.

Secundinus a Carpis dixit.

Si Christiani sunt hæretici, cur in Ecclesia Dei non sunt? sin autem Christiani non sunt, fiant. Unde constat, super filios alienos et sobolem Antichristi Spiritum sanctum per manus impositionem tantummodo non posse descendere.

Victorinus a Thabacis dixit.

Si licet hæreticis baptizare, et Spiritum sanctum ac remissionem peccatorum dare, quid adversus illos mentimur, ut hæreticos illos appellemus?

Alius Felix a Thuina dixit.

Confirmare debemus, ut omnes hæretici, qui ad Ecclesiam accurrunt, baptizentur, ut omnis externa perversitas purgata et sanctificata in melius reformetur.

Quintus ab Uruc dixit.

Si illi, qui apud hæreticos baptizantur, remissionem peccatorum et vitam æternam consequuntur, cur ad Ecclesiam veniunt? Sin autem ad pœnitentiam veniunt, in qua et baptismate vivificantur, quod est in Ecclesia catholica, baptizari et sanctificari debent.

Castus a Dica dixit.

Qui, contempta veritate, præsumit consuetudinem sequi, aut fratribus invidus est, quibus veritas est revelata, aut erga Deum ingratus, qui eam revelavit.

Eucratius a Thenis dixit.

Venientes ad Ecclesiam hæreticos vero et catholico baptismate baptizari oportet, ut a peccatis purificati sanctificentur.

Libosus ab Urgasa dixit.

Dominus dixit: *Ego sum veritas*[96]. Itaque veritate manifesta cedat consuetudo, ut licet olim in Ecclesia quis hæreticos non baptizaverit, nunc baptizare incipiat.

371 *Lucinus a Thibisto dixit.*

Hæreticos ut blasphemos et iniquos, qui verbis fallacibus Scripturas sacras adulterant, anathemate percuti oportet : atque idcirco tales exorcizare ac baptizare debemus.

Eugenius ab Amedaris dixit.

Et ego hoc idem censeo : hæreticos baptizandos esse.

[96] Joan. XIV. 6.

Ὅταν πρὸς τὴν Ἐκκλησίαν ἔρχωνται, χωρὶς τῶν τῆς Ἐκκλησίας τῶν πιστῶν χωρισθέντων, καὶ ἑαυτοὺς τῷ σκότει τῆς αἱρέσεως προδόντων, οὓς δεῖ ἐπανελθόντας μόνῃ τῇ χειροθεσίᾳ προσλαβέσθαι.

Ἰαννουάριος ἀπὸ Οὐβικοῦ εἶπεν.

Εἰ μὴ συγκατατίθεται ἡ πλάνη τῇ ἀληθείᾳ, πολὺ μᾶλλον ἡ ἀλήθεια οὐ συγκατατίθεται τῇ πλάνῃ. Διὸ καὶ ἡμεῖς συνιστάμεθα τῇ Ἐκκλησίᾳ, ἐν ᾗ καὶ προκαθηδράσθημεν, ἵνα τοὺς ἐν αὐτῇ μὴ βαπτισθέντας βαπτίσωμεν.

Σεκουνδῖνος ὁ ἀπὸ Καρπῶν εἶπεν.

Εἰ Χριστιανοί εἰσιν οἱ αἱρετικοὶ, διὰ τί ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ οὐκ εἰσίν ; Εἰ δὲ μὴ Χριστιανοὶ, γινέσθωσαν. Δῆλον οὖν, ἐπάνω υἱῶν ἀλλοτρίων καὶ σπορᾶς ἀντιχρίστου διὰ μόνης χειροπιθεσίας μὴ δύνασθαι ἅγιον Πνεῦμα κατελθεῖν.

Οὐικτερῖνος ἀπὸ Θαβάκων εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίσαι, καὶ ἅγιον Πνεῦμα δοῦναι καὶ ἄφεσιν ἁμαρτιῶν, τί αὐτῶν καταψευδόμεθα, ἵνα αὐτοὺς αἱρετικοὺς ὀνομάσωμεν ;

Ἄλλος Φῆλιξ ἀπὸ Θυΐνης εἶπεν.

Ὀφείλομεν διαβεβαιῶσαι, ἵνα πάντες οἱ αἱρετικοὶ οἱ προσερχόμενοι τῇ Ἐκκλησίᾳ βαπτισθῶσιν, ὅπως ἡ ἔξω γενομένη διαστροφὴ ἐπανορθωθῇ καὶ ἁγιασθῇ.

Κούιντος ἀπὸ Οὐρβοὺκ εἶπεν.

Εἰ οἱ παρὰ τοῖς αἱρετικοῖς βαπτιζόμενοι ἀφέσεως ἁμαρτιῶν καὶ αἰωνίου ζωῆς τυγχάνουσι, τί πρὸς τὴν Ἐκκλησίαν ἔρχονται ; Εἰ δὲ εἰς μετάνοιαν ἔρχονται, ἐν ᾗ ζωοποιοῦνται βαπτίσματι, ὅπερ ἐν καθολικῇ Ἐκκλησίᾳ ἐστὶ, βαπτισθῆναι καὶ ἁγιασθῆναι ὀφείλουσιν.

Κάστος ἀπὸ Δίκας εἶπεν.

Ὁ παραπεμπόμενος τὴν ἀλήθειαν καὶ τῇ συνηθείᾳ ἑπόμενος ἢ περὶ τοὺς ἀδελφοὺς φθονερὸς, οἷς ἡ ἀλήθεια ἀπεκαλύφθη, ἢ περὶ Θεὸν τὸν ἀποκαλύψαντα ἀχάριστος.

Εὐκράτιος ἀπὸ Θενῶν εἶπε.

Τοὺς αἱρετικοὺς ἐρχομένους εἰς τὴν Ἐκκλησίαν ὀρθῷ καὶ καθολικῷ βαπτίσματι βαπτίζεσθαι δεῖ, ἵν' ἀπονιψάμενοι τὰς ἁμαρτίας ἁγιασθῶσιν.

Λίβυσσος ἀπὸ Οὐργάσης εἶπεν.

Ὁ Κύριός φησιν· *Ἐγώ εἰμι ἡ ἀλήθεια.* Ὥστε ἀποκαλυφθείσης τῆς ἀληθείας παραχωρείτω ἡ συνήθεια, ἵνα, εἰ καὶ τὸ πρότερόν τις ἐν τῇ Ἐκκλησίᾳ τοὺς αἱρετικοὺς μὴ ἐβάπτισε, νῦν βαπτίσῃ.

Εὐκῖνος ἀπὸ Θιουΐστου εἶπε.

Τοὺς γὰρ αἱρετικοὺς, ὡς βλασφήμους καὶ ἀνοσίους πλάνοις λόγοις τὰς θείας Γραφὰς πραχαράσσοντας, ἀναθεματίζειν δεῖ· καὶ διὰ τοῦτο τοὺς τοιούτους ἐξορκίζειν καὶ βαπτίζειν ὀφείλομεν.

Εὐγένιος Ἀμμεδάρων εἶπε.

Κἀγὼ τοῦτο κρίνω, δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Ἄλλος Φῆλιξ ἀπὸ Μεκκόρας εἶπε.

Καὶ αὐτὸς ἑπόμενος τῷ κανόνι τῶν θείων Γραφῶν τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς βαπτίζεσθαι ἀποφαινόμαι.

Ἰανουάριος ἀπὸ Μουκούζης εἶπεν·

Εἰ αἱρετικοὶ ἔχουσι βάπτισμα, ἡμεῖς οὐκ ἔχομεν· εἰ ἡμεῖς ἔχομεν, αἱρετικοὶ ἔχειν οὐ δύνανται. Ἀμφισβητήσιμον δὲ οὐκ ἔστι τὴν Ἐκκλησίαν τὴν καθολικὴν τῷ τοῦ Χριστοῦ βαπτίσματι κεχρῆσθαι, τὴν μόνην κεκτημένην χάριν καὶ ἀγάπην καὶ ἀλήθειαν τοῦ Χριστοῦ.

Ἀδέλφιδος ἀπὸ Θασβέλθης εἶπε.

Μάτην τινὲς τῇ ἀληθείᾳ πολεμοῦσι, λέγοντες ἡμᾶς ἀναβαπτίζειν. Ἡ γὰρ Ἐκκλησία τοὺς αἱρετικοὺς οὐκ ἀναβαπτίζει, ἀλλὰ βαπτίζει.

Δημήτριος ἀπὸ Πολεμόνου εἶπεν.

Οἱ λέγοντες ὅτι οἱ αἱρετικοὶ ἀληθῶς καὶ νομίμως βαπτίζουσιν, οὗτοι οὐ μόνον δύο, ἀλλὰ καὶ πολλὰ βαπτίσματα εἰσάγουσιν. Ὁπότε γὰρ διάφοροι καὶ πολλαὶ αἱρέσεις εἰσὶ, κατὰ τὸν ἀριθμὸν αὐτῶν καὶ τὰ βαπτίσματα ἀριθμεῖται.

Οὐικέντιος ἀπὸ Θιβάρης εἶπε.

Τοὺς αἱρετικοὺς οἴδαμεν χείρονας τῶν σχισματικῶν. Ἐὰν δὲ μετανοήσωσιν ἐλθεῖν εἰς κανόνα τῆς ἀληθείας, πρότερον ἐξορκίζειν, ἔπειτα βαπτίζειν αὐτοὺς δεῖ. Τότε γὰρ δύνανται τῆς Χριστοῦ ἐπαγγελίας τυχεῖν.

Μάρκος ἀπὸ Ματθάρων εἶπε.

Κρίνω, ὡς μηδὲν ἔχοντας, τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Σάτιος ἀπὸ Σακιλιβύης εἶπεν·

Εἰ τοῖς αἱρετικοῖς ἐν τῷ βαπτίσματι αὐτῶν ἄφεσις ἁμαρτιῶν γίνεται, μάτην τῇ Ἐκκλησίᾳ προσέρχονται. Οὐδὲν γάρ ἐστι τὸ δυνάμενον φοβῆσαι αὐτοὺς ἐν τῇ κρίσει τοῦ Χριστοῦ, ἄφεσιν ἁμαρτιῶν εἰληφότας.

Αὐρήλιος ἀπὸ Ἀττικῆς εἶπε.

Λέγοντος τοῦ Ἀποστόλου ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινωνεῖν, κρίνω βαπτίζεσθαι τοὺς αἱρετικοὺς, ἵνα λάβωσι πρότερον ἄφεσιν ἁμαρτιῶν, καὶ οὕτως αὐτοῖς κοινωνήσωμεν.

Ἰαμβὸς ἀπὸ Γερμανικείας εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν δοκιμάζοντες βάπτισμα, τὸ ἡμέτερον ἀποδοκιμάζουσιν.

Λουκιανὸς ἀπὸ Ῥουκούμης εἶπεν.

Εἰ δυνατὸν φῶς καὶ σκότος κοινωνεῖν, δύναται καὶ ἡμῖν καὶ τοῖς αἱρετικοῖς εἶναί τι κοινόν. Κρίνω οὖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Πελάγιος ἀπὸ Λουπερκιανῆς εἶπεν.

Εἰ αἵρεσις οὐκ ἔστιν ἐν Ἐκκλησίᾳ, πῶς δύναται παρὰ τοῖς αἱρετικοῖς εἶναι τὸ τῆς Ἐκκλησίας βάπτισμα;

Ἴάδερ ἀπὸ Μηδείας εἶπε.

Μία πίστις, ἓν βάπτισμα· ἀλλὰ τῇ καθολικῇ Ἐκκλησίᾳ ἔξεστι βαπτίζειν.

Ἄλλος Φῆλιξ ἀπὸ Μαρδιανῆς εἶπε.

Τὰ αὐτά.

Παῦλος ἀπὸ Σαβᾶς εἶπεν.

Εἰ ὁ Θεὸς ἀληθής ἐστι, πῶς ἔσται παρὰ τοῖς αἱ-

A

Alius Felix a Mecora dixit.

Et ipse secutus divinarum Scripturarum auctoritatem hæreticos et schismaticos baptizandos esse pronuntio.

Januarius a Mucuza dixit.

Si hæretici habent baptisma, nos non habemus: si nos habemus, hæretici habere non possunt. Dubium autem non est, Ecclesiam catholicam baptismo Christi uti; quæ sola Christi gratiam et charitatem et veritatem possideat.

Adelphidus a Thasuelta dixit.

Sine causa quidem impugnant veritatem, ut rebaptizare nos dicant. Siquidem Ecclesia hæreticos non rebaptizat, sed baptizat.

B

Demetrius a Polemone dixit.

Qui dicunt hæreticos vere et legitime baptizare, ipsi non solum duo, sed et multa baptismata introducunt. Nam cum hæreses variæ ac multæ sint, pro earum numero et baptismata computabuntur.

Vincentius a Thibara dixit.

Hæreticos scimus esse pejores quam schismaticos. Si vero pœnitentiam agentes ad regulam veritatis venire voluerint: prius exorcizari, deinde baptizari eos oportet. Tunc enim Christi promissionem sortiri possunt.

Marcus a Matharis dixit.

Judico hæreticos, ut qui nihil habeant, esse baptizandos.

C

Satius a Sacilibya dixit.

Si hæreticis in baptismo ipsorum peccata donantur, sine causa ad Ecclesiam veniunt. Nihil enim est, quod timere possint in judicio Christi, si sunt remissionem peccatorum consecuti.

Aurelius ab Attica dixit.

Cum dicat Apostolus, non communicandum peccatis alienis, censeo baptizandos esse hæreticos, ut prius accipiant remissionem peccatorum, et sic illis communicemus.

Iambus a Germanicia dixit.

Qui hæreticorum baptisma probant, nostrum improbant.

D

Lucianus a Rucuma dixit.

Si fieri potest ut lux cum tenebris conveniat, potest et nobis et hæreticis aliquid esse commune. Propterea censeo hæreticos baptizandos esse.

Pelagius a Luperciana dixit.

Si hæresis in Ecclesia non est, quomodo Ecclesiæ baptisma apud hæreticos esse potest?

Iader a Medeia dixit.

Una fides, unum baptisma: sed Ecclesiæ catholicæ licet baptizare.

Alius Felix a Mardiana dixit.

Eadem.

Paulus a Saba dixit.

Si Deus verax est, quomodo apud hæreticos ve-

rum baptisma esse potest, apud quos Deus non est?

Pomponius a Dionysiana dixit.

Hæretici baptizare non possunt, neque remissionem peccatorum dare potestatem aut solvendi aut ligandi aliquid in terris non habentes.

Vinatus a Thunisia dixit.

Qui baptisma Ecclesiæ hæreticis administrat, Sponsam Christi adulteris prodit.

Lymmus ab Asuaga dixit.

Nos unum baptisma accepimus, et ipsum tenemus et exercemus. Qui autem dicit, quod et hæreticis licet baptizare, ipse duo baptismata facit.

Saturninus a Victoriana dixit.

Si licet hæreticis baptizare, excusati sunt et defensi illicita facientes; nec **372** invenies, quare eos Christus adversarios suos aut Apostolus antichristos appellaverit.

Alius Saturninus a Syca dixit.

Gentiles, etsi idola colant, tamen Deum Patrem et Creatorem cognoscunt et confitentur Dominum. In hunc Marcion blasphemat, et quomodo non erubescunt, qui Marcionis baptismum probant?

Marcellus a Zama dixit.

Cum peccatorum remissio non nisi in Ecclesia concedatur, qui hæreticum non baptizat, peccatori communicat.

Irenæus ab Ulis dixit.

Si ideo Ecclesia hæreticum non baptizat, quod dicatur jam baptizatus esse, antefertur hæresis et major fit.

Donatus a Cibalina dixit.

Si quis dicat apud hæreticos esse baptismi gratiam, illic Ecclesiam esse prius ostendat.

Zosimus a Tharasa dixit.

Revelatione facta veritatis illi cedat error.

Julianus a Philippo dixit.

Scriptum est: *Nemo potest aliquid accipere, nisi datum fuerit illi de cœlo* [91]. Si hæresis de cœlo est, potest et cœleste baptisma dare.

Faustus a Themida dixit.

Qui pro hæreticis ecclesiastico baptismati intercedunt, illos Christianos, et nos hæreticos faciunt.

Geminus a Forma dixit.

Quod semel decrevimus, hoc et tenemus; ut ab hæreticis venientes baptizemus.

Rogatianus ab Usa dixit.

Ecclesiam Christus instituit, hæresim diabolus. Quomodo ergo baptismum Christi synagoga diaboli habere potest?

[91] Joan. III, 27.

ρετικοῖς ἀληθὲς βάπτισμα, παρ' οἷς οὐκ ἔστι Θεός;

Πομπώνιος ἀπὸ Διονυσιανῆς εἶπεν.

Οἱ αἱρετικοὶ οὐ δύνανται βαπτίζειν, οὐδὲ ἄφεσιν ἁμαρτιῶν δοῦναι, οἱ μὴ ἔχοντες ἐξουσίαν λῦσαί τι ἐπὶ τῆς γῆς ἢ δῆσαι.

Οὐϊνάτος ἀπὸ Θυνίσης εἶπεν.

Ὁ τὸ βάπτισμα τῆς Ἐκκλησίας τοῖς αἱρετικοῖς κοινῶν τὴν Νύμφην τοῦ Χριστοῦ μοιχοῖς παραδίδωσιν.

Λυμμὸς ἀπὸ Ἀσυάγης εἶπεν.

Ἡμεῖς ἓν βάπτισμα εἰλήφαμεν, καὶ τούτῳ ἐξακολουθοῦμεν. Ὁ δὲ λέγων, Καὶ τοῖς αἱρετικοῖς ἔξεστι βαπτίζειν, δύο βαπτίσματα εἰσάγει.

Σατορνῖνος ἀπὸ Οὐικτοριανῆς εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίζειν, ἀνέγκλητοί εἰσιν ἄνομα ποιοῦντες· οὐδὲ εὑρήσεις διὰ τί αὐτοὺς ὁ Χριστὸς ἐναντίους ἢ ὁ Ἀπόστολος ἀντιχρίστους ὀνομάζει.

Σατορνῖνος ἄλλος ἀπὸ Συκῆς εἶπεν.

Οἱ ἐθνικοί, εἰ καὶ εἴδωλα σέβονται, ὅμως τὸν Θεὸν Πατέρα καὶ Κτίστην ἐπιγινώσκουσι καὶ ὁμολογοῦσι Δεσπότην. Εἰς τοῦτον Μαρκίων βλασφημεῖ, καὶ πῶς οὐκ αἰσχύνονται οἱ Μαρκίωνος βάπτισμα δοκιμάζοντες;

Μάρκελλος ἀπὸ Ζάμης εἶπεν.

Ὅπότε ἄφεσις ἁμαρτιῶν οὐδαμοῦ εἰ μὴ ἐν τῇ Ἐκκλησίᾳ δίδοται, ὁ αἱρετικὸν μὴ βαπτίζων ἁμαρτωλῷ κοινωνεῖ.

Εἰρηναῖος ἀπὸ Οὐλῶν εἶπεν.

Εἰ διὰ τοῦτο ἡ Ἐκκλησία τὸν αἱρετικὸν οὐ βαπτίζει, ὅτι ἤδη λέγεται βεβαπτίσθαι, προκρίνει ἡ αἵρεσις καὶ μείζων γίνεται.

Δονάτος ἀπὸ Κιβαλινῆς εἶπεν.

Ὁ λέγων παρὰ τοῖς αἱρετικοῖς χάριν βαπτίσματος εἶναι, πρότερον ἀποδειξάτω ἐκεῖ Ἐκκλησίαν.

Ζώσιμος ἀπὸ Θαραζοῦ εἶπεν.

Ἀποκαλυφθείσης τῆς ἀληθείας παραχωρείτω ἡ πλάνη τῇ ἀληθείᾳ.

Ἰουλιανὸς ἀπὸ Φιλίππου εἶπε.

Γέγραπται· *Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.* Εἰ ἡ αἵρεσις ἐξ οὐρανοῦ ἐστιν, δύναται καὶ οὐράνιον βάπτισμα δοῦναι.

Φαῦστος ἀπὸ Θημίδης εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν πρὸς τὸ τῆς Ἐκκλησίας βάπτισμα ἐνιστάμενοι, ἐκείνους μὲν Χριστιανοὺς, ἡμᾶς δὲ αἱρετικοὺς ποιοῦσι.

Γεμῖνος ἀπὸ Φόρμης εἶπεν.

Ὅπαξ ἐκρίναμεν, τοῦτο καὶ κατέχομεν· ἵνα τοὺς ἀπὸ αἱρέσεων ἐρχομένους βαπτίζωμεν.

Ῥογατιανὸς ἀπὸ Οὔσης εἶπεν.

Τὴν Ἐκκλησίαν ὁ Χριστὸς ᾠκοδόμησε, τὴν αἵρεσιν ὁ διάβολος· πῶς οὖν δύναται ἔχειν βάπτισμα Χριστοῦ ἡ συναγωγὴ τοῦ διαβόλου·

Θεράπιος ἀπὸ Βουλισμίου εἶπεν.

Ὁ τοῖς αἱρετικοῖς τὸ βάπτισμα τῆς Ἐκκλησίας παραδιδοὺς, τί ἄλλο ἢ τῆς Νύμφης τοῦ Χριστοῦ προδότης γίνεται;

Λούκιος ἀπὸ Μεμερέσης εἶπε.

Γέγραπται ὅτι *Ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει.* Ὁ δὲ αἱρετικὸς ὢν ἁμαρτωλὸς, πῶς ἀκούεται ἐν τῷ βαπτίζειν;

Ἄλλος Φῆλιξ ἀπὸ Οὐαγλακηνῆς εἶπεν.

Ἐν τῷ προσδέχεσθαι τοὺς αἱρετικοὺς ἄνευ τοῦ τῆς Ἐκκλησίας βαπτίσματος μηδεὶς τὴν συνήθειαν λόγου καὶ τῆς ἀληθείας προκρινέτω.

Ἄλλος Σατορνῖνος ἀπὸ Πλουτίμνης εἶπεν.

Εἰ δύναται Ἀντίχριστος δοῦναι τὴν χάριν τοῦ Χριστοῦ, δύνανται καὶ οἱ αἱρετικοὶ βαπτίζειν, οἱ ὀνομασθέντες ἀντίχριστοι.

Κόϊντος ἀπὸ Οὐγβῶς εἶπεν.

Ὁ Θεὸς εἷς ἐστι, καὶ Ἐκκλησία μία καὶ ἓν βάπτισμα· καὶ πῶς δύναταί τις βαπτισθῆναι ἐκεῖ, ὅπου οὔτε Θεὸς οὔτε Χριστὸς οὔτε Ἐκκλησία ἐστί;

Ἰουλιανὸς ἀπὸ Μαρκελλιανῆς εἶπεν.

Εἰ δύναται ἄνθρωπος δυσὶ κυρίοις δουλεύειν, Θεῷ καὶ μαμμωνᾷ, δύναται καὶ τὸ βάπτισμα δυσὶν ὑπηρετεῖν.

Τέναξ ἀπὸ Ὀρίων Κελλίων εἶπε.

Βάπτισμα ἓν ἐστιν, ἀλλὰ τῆς Ἐκκλησίας, ἧς τὸ βάπτισμα ἀληθές.

Ἄλλος Οὐίκτωρ ἀπὸ Ἀσούρας εἶπεν

Ὁμοίως.

Δουνατοῦλος ἀπὸ Κάμψης εἶπεν·

Ἀεὶ τοῦτο ἐγὼ ἐφρόνησα, ἵνα οἱ αἱρετικοὶ, μηδὲν ἔξω λαβεῖν δυνάμενοι, ὅταν πρὸς τὴν Ἐκκλησίαν ἔλθωσι, βαπτισθῶσιν.

Οὐήρουλος ἀπὸ Ῥουσικκάδος εἶπεν.

Ἄνθρωπος αἱρετικὸς δύναται δοῦναι ὃ μὴ ἔχει, πολὺ μᾶλλον σχισματικὸς, ὅπερ εἶχεν ἀπολέσας.

Πουδεντιανὸς ἀπὸ Κουινκόλης εἶπεν.

Ἐάν τις ἀπὸ αἱρέσεως ἔλθῃ, βαπτισθῆναι αὐτὸν ὀρθῶς καὶ δικαίως κέκριται.

Πέτρος ἀπὸ Ἱππῶνος Διαρρύτου εἶπεν·

Ἐπεὶ ἓν βάπτισμά ἐστιν ἐν μόνῃ τῇ Ἐκκλησίᾳ, διὰ τοῦτο τοὺς ἀπὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν ἐλθόντας, ὡς μηδὲν ἐκεῖθεν εἰληφότας, ἐν τῇ Ἐκκλησίᾳ βαπτίζεσθαι κρίνω.

Ἄλλος Λούκιος ἀπὸ Αὐσάφης εἶπεν.

Ἑνὸς ὄντος Θεοῦ καὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ μιᾶς ἐλπίδος, καὶ μιᾶς Ἐκκλησίας, τὰ παρὰ τοῖς αἱρετικοῖς πραττόμενα λύεσθαι δεῖν φημι, καὶ τοὺς ἀπ' αὐτῶν ἐρχομένους ἐν τῇ Ἐκκλησίᾳ βαπτίζειν.

Ἄλλος Φῆλιξ ἀπὸ Τουριτῶν εἶπεν.

Ἐγὼ κρίνω, ἵνα ἀκολούθως ταῖς θείαις Γραφαῖς ἄνομοι παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντες, ἂν πρὸς τὴν Ἐκκλησίαν καταφύγωσι, τῷ τῆς Ἐκκλησίας βαπτίσματι, ἔνθα πᾶσα ἐξουσία παρὰ τοῦ Θεοῦ δέδοται, βαπτισθῶσιν.

Πλουτιανὸς ἀπὸ Λαβάνης εἶπεν.

Ἐγὼ πιστεύω βαπτίσματι σωτηρίαν μὴ εἶναι, εἰ

Therapius a Bulismio dixit.

Qui hæreticis Ecclesiæ baptisma concedit, quid aliud quam Sponsæ Christi proditor exsistit?

Lucius a Memeresa dixit.

Scriptum est: *Deus peccatores non audit.* Hæreticus autem, cum sit peccator, quomodo in baptismo audiri potest?

Alius Felix a Vaglacena dixit.

In hæreticis sine Ecclesiæ baptismo recipiendis nemo consuetudinem rationi et veritati præponat.

Alius Saturninus a Plutimne dixit.

Si potest Antichristus dare gratiam Christi, possunt et hæretici baptizare, qui appellati sunt antichristi.

Quintus ab Ugba dixit.

Deus unus est, et Ecclesia una, et baptisma unum; quomodo ergo illic baptizari aliquis potest ubi Deus et Christus et Ecclesia non est?

Julianus a Marcelliana dixit.

Si potest homo duobus dominis servire, Deo et mammonæ, potest et baptisma duobus inservire.

Tenax ab Orii-Cellis dixit.

Baptisma unum est, sed Ecclesiæ, cujus est verum baptisma.

Alius Victor ab Asura dixit

Similiter.

Donatulus a Caspe dixit.

Et ego semper hoc sensi, ut hæretici, qui nihil foris consequi possunt, quando ad Ecclesiam veniunt, baptizentur.

373 *Verulus a Rusiccade dixit.*

Homo hæreticus dare potest, quod non habet; multo magis schismaticus, qui quod habet, amisit.

Prudentianus a Quincola dixit.

Si quis ex hæresi venerit, baptizari eum recte ac juste statutum est.

Petrus ab Hippone Diarrhyto dixit.

Cum baptisma unum sit in sola Ecclesia, idcirco eos, qui ab hæreticis et schismaticis veniunt, ut qui nihil inde acceperint, in Ecclesia censeo baptizari oportere.

Alius Lucius ab Ausafa dixit.

Cum sit unus Deus, et Pater et Filius et Spiritus sanctus, et una spes, et una Ecclesia; quæ apud hæreticos facta sunt rescindi debere dico, et eos, qui inde veniunt, in Ecclesia baptizandos esse.

Alius Felix a Turitis dixit.

Ego censeo, ut secundum sanctarum Scripturarum præcepta iniqui apud hæreticos baptizati, si ad Ecclesiam confugerint, Ecclesiæ baptismate, ubi potestas omnis a Deo data est, baptizentur.

Plutianus a Labana dixit.

Ego credo baptisma salutare non esse, nisi solur

in Ecclesia catholica ; et quando extra Ecclesiam illi, simulationem esse.

Solvianus a Zufala dixit.

Hæreticos nihil habere constat, et ideo ad nos veniunt, ut possint accipere quod non habent.

Honoratus a Luca dixit.

Cum Christus verus sit, magis veritatem quam consuetudinem sequi debemus, ut hæreticos, qui ideo ad nos veniunt, quia foris nihil accipere potuerunt, Ecclesiæ baptismo sanctificemus.

Victor ab Octyvo dixit.

Sic et ipse sentio, ut qui ab hæresi veniunt sine dubio baptizentur.

Clarius a Mascula dixit.

Manifesta est sententia Domini nostri Jesu Christi apostolos suos mittentis, et ipsis solis potestatem permittentis, quibus nos successimus, eadem potestate Ecclesiam Dei gubernantes, et eos qui credunt baptizantes. Et ideo hæretici, qui nec potestatem, nec Ecclesiam habent, neque baptizare Ecclesiæ baptismo possunt.

Secundianus a Tamba dixit.

Non debemus hæreticos nostra contentione decipere, ut in Ecclesia Domini nostri Jesu Christi non baptizati, cum judicii dies venerit, nobis imputent, quod per nos non sint baptizati, nec remissionem peccatorum consecuti sint. Quamobrem cum una sit Ecclesia et unum baptisma, quando ad nos veniunt, simul cum Ecclesia baptismum etiam consequi debent.

Aurelius a Chollaba dixit.

Joannes apostolus in Epistola sua dixit : *Si quis ad vos venit, et doctrinam Christi non habet, nolite eum admittere in domum, et ave illi ne dixeritis* [91]. Qui enim dixerit illi, ave, communicat verbis et factis ejus malis. Quomodo igitur admitti in domum Dei possunt, aut quomodo cum eis sine Ecclesiæ baptismo communicare possumus, quin simul et malis eorum factis communicemus ?

Victor a Gemellis dixit.

Si cæcus cæcum ducat, ambo in foveam cadunt [92]. Cum ergo hæreticos constet non posse illuminare quemquam, cum ipsi cæci sint, talium baptisma non valet.

374 *Matolius ab Œa dixit.*

Tam ego præsens, quam Pompeius Sabratensis, et Dioga Leptimagensis, qui mihi mandaverunt corpore quidem absentes, sed spiritu præsentes, censemus, quod et multi coepiscopi nostri ; quod hæretici communicationem habere nobiscum non possunt, nisi a nobis fuerint baptizati.

[91] II Joan. i, 10. [92] Matth. xv, 14.

μὴ ἐν μόνῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ ὅταν ἔξω τῆς Ἐκκλησίας γένηται, πιθηκισμὸν εἶναι.

Σαλουιανὸς ἀπὸ Ζυφάλης εἶπεν.

Τοὺς αἱρετικοὺς μηδὲν ἔχειν συνέστηκε, καὶ διὰ τοῦτο πρὸς ἡμᾶς ἔρχονται, ἵνα λάβωσιν, ὃ μὴ ἔχουσιν.

Ὀνωράτος ἀπὸ Λούγκης εἶπεν.

Ὁπότε ὁ Χριστὸς ἀληθής ἐστι, μᾶλλον τῇ ἀληθείᾳ ἢ τῇ συνηθείᾳ ἕπεσθαι ὀφείλομεν, ἵνα τοὺς αἱρετικοὺς, διὰ τοῦτο πρὸς ἡμᾶς ἐρχομένους, ὅτι ἔξω μηδὲν λαβεῖν ἠδυνήθησαν, τῷ τῆς Ἐκκλησίας βαπτίσματι ἁγιάσωμεν.

Θύκτωρ ἀπὸ Ὀκτύβου εἶπε.

Τοῦτο καὶ αὐτὸς φρονῶ ἵνα οἱ ὁπὸ αἱρέσεως ἐρχόμενοι ἀδιστάκτως βαπτισθῶσι.

Κλάριος ἀπὸ Μασκούλης εἶπε.

Πρόδηλός ἐστιν ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπόφασις ἀποστέλλοντος τοὺς ἑαυτοῦ ἀποστόλους, καὶ αὐτοῖς μόνοις τὴν ἐξουσίαν ἐπιτρέποντος, οἷς ἡμεῖς ἐξακολουθοῦμεν, τῇ αὐτῶν ἐξουσίᾳ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ κυβερνῶντες, καὶ τοὺς πιστεύοντας βαπτίζοντες. Καὶ διὰ τοῦτο οἱ αἱρετικοὶ, οἱ μήτε τὴν ἐξουσίαν ἔχοντες, μήτε τὴν Ἐκκλησίαν, οὐδὲ βαπτίζειν τῷ τῆς Ἐκκλησίας βαπτίσματι δύνανται.

Σεκουνδιανὸς ἀπὸ Θάμβης εἶπεν.

Οὐδαμῶς ὀφείλομεν τοὺς αἱρετικοὺς τῇ ἡμετέρᾳ φιλονεικίᾳ ἐνεδρεύειν, ἵνα οἱ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ βαπτισθέντες, ὁπόταν ἡ ἡμέρα τῆς κρίσεως ἔλθῃ, ἡμᾶς αἰτιάσωνται, ὅτι δι' ἡμᾶς οὐκ ἐβαπτίσθησαν, οὐδὲ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἔλαβον. Διόπερ μιᾶς οὔσης τῆς Ἐκκλησίας καὶ ἑνὸς βαπτίσματος, ὅταν πρὸς ἡμᾶς ἔλθωσι, μετὰ τῆς Ἐκκλησίας καὶ τοῦ βαπτίσματος τυχεῖν ὀφείλουσιν.

Αὐρήλιος ἀπὸ Χολλαβῆς εἶπεν.

Ἰωάννης ὁ ἀπόστολος ἐν Ἐπιστολῇ αὐτοῦ ἔφη· *Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ τὴν διδαχὴν τοῦ Θεοῦ οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε.* Ὁ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς λόγοις αὐτοῦ καὶ τοῖς ἔργοις τοῖς πονηροῖς. Πῶς οὖν οὗτοι εἰσδεχθῆναι εἰς οἰκίαν τοῦ Θεοῦ δύνανται, ἢ πῶς αὐτοῖς χωρὶς τοῦ τῆς Ἐκκλησίας βαπτίσματος κοινωνῆσαι δυνάμεθα, εἰ μὴ τοῖς πονηροῖς αὐτῶν ἔργοις κοινωνοῦμεν ;

Βίκτωρ ἀπὸ Γεμέλλων εἶπε.

Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. Ἐπεὶ οὖν σαφές ἐστι μὴ δύνασθαι αἱρετικόν τινα φωτίσαι, ἅτε δὴ τυφλῶν αὐτῶν ὄντων, τῶν τοιούτων τὸ βάπτισμα οὐδέν ἐστι.

Ματόλιος ἀπὸ Οἴας εἶπε.

Κἀγὼ παρὼν, καὶ Πομπήϊος ἀπὸ Σαβράτων, καὶ Διογὰς ἀπὸ Λεπτιμάγνης, οἵπερ ἐνετείλαντό μοι, σώματι μὲν ἀπόντες, τῷ δὲ πνεύματι παρόντες, κρίνομεν, ὅπερ καὶ πολλοὶ συνεπίσκοποι ἡμῶν, τοὺς αἱρετικοὺς κοινωνεῖν ἡμῖν μὴ δύνασθαι, ἐὰν μὴ παρ' ἡμῶν βαπτισθῶσιν.

Ἰούνιος ἀπὸ Νεαπόλεως εἶπεν.

Ἀπ' ἐκείνου, οὗ ἅπαξ ἐκρίναμεν, οὐ χωρίζομαι· ἵνα τοὺς αἱρετικοὺς τοὺς ἐρχομένους εἰς τὴν Ἐκκλησίαν βαπτίζωμεν.

Κυπριανὸς ἀπὸ Καρχηδόνος εἶπε.

Τὴν ἐμὴν ἀπόφασιν ἀλόκληρος δείκνυσιν ἐπιστολὴ πρὸς Ἰοβιανὸν συνεπίσκοπον ἡμῶν γραφεῖσα· τοὺς αἱρετικοὺς κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν μαρτυρίαν ἐναντίους τοῦ Χριστοῦ καὶ ἀντιχρίστους ὀνομασθέντας, ὁπόταν τῇ Ἐκκλησίᾳ προσέλθωσι, τῷ ἑνὶ τῆς Ἐκκλησίας βαπτίσματι βαπτίζεσθαι δεῖν· ἵνα δυνηθῶσι γενέσθαι ἀντὶ ἐχθρῶν φίλοι, καὶ ἐξ ἀντιχρίστων Χριστιανοί.

ΖΩΝΑΡ. Αὗται μὲν οὖν αἱ γνῶμαι τῶν ἐν τῇ συνόδῳ ταύτῃ συνελθόντων Πατέρων τῷ μεγάλῳ Κυπριανῷ· ἀλλ' οὔτε ἐπὶ τοῖς αἱρετικοῖς ἐκράτησαν πᾶσιν, οὔτε ἐπὶ τοῖς σχισματικοῖς. Ἡ γὰρ δευτέρα οἰκουμενικὴ σύνοδος, ὡς ἤδη εἴρηται, ὑπεξεῖλέ τινας τῶν αἱρετικῶν, καὶ ἄνευ βαπτίσματος δέχεσθαι τούτους θεσπίσασα, χριομένους μόνον τῷ θείῳ μύρῳ καὶ ἀναθεματίζοντας τὴν οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πάσας ἁπλῶς. Καὶ διὰ τοῦτο οὐδὲ ἐξηγήθησαν αἱ γνῶμαι αὗται, ὡς μὴ ἀναγκαῖαι, οἷα μηδὲ ἐνεργοῦσαι, ἀλλὰ καὶ κατὰ σύνψιν ἐγράφησαν.

Junius a Neapoli dixit.

Ab eo, quod semel censuimus, non recedo: ut hæreticos venientes ad Ecclesiam baptizemus.

Cyprianus a Carthagine dixit.

Meam sententiam plenissime exprimit epistola, quæ ad Jovianum coepiscopum nostrum scripta est: hæreticos evangelico et apostolico testimonio adversarios Christi et antichristos appellatos, quando ad Ecclesiam venerint, unico Ecclesiæ baptismo baptizandos esse; ut possint fieri de adversariis amici, et de antichristis Christiani.

ZONAR. Hæ sunt igitur Patrum sententiæ, qui cum magno Cypriano in concilio isto convenerant: sed nec apud omnes hæreticos nec apud schismaticos valuerunt. Nam secunda synodus œcumenica, ut jam dictum est, hæreticos nonnullos excepit, ac sine baptismo recipiendos illos sanxit, sancto chrismate tantum unctos, et singulos propriam hæresim ac omnino omnes anathematizantes. Atque hac de causa neque expositæ sunt hæ sententiæ, utpote minus necessariæ, et quæ non valent, sed et compendiosæ perscriptæ sunt.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΑΓΚΥΡΑ ΣΥΝΟΔΟΥ (68).

—

CANONES

SYNODI ANCYRANÆ.

—

ΒΑΛΣ. Εἴπομεν πρὸ μικροῦ ὡς ἡ ἐν Καρχηδόνι- A σύνοδος πρώτη ἐστὶ πασῶν τῶν συνόδων, καὶ δευτέρα ἡ ἐν Ἀντιοχείᾳ, καὶ μετὰ ταύτας ἡ ἐν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας συστᾶσα πρὸ τῆς ἐν Νι-

BALS. **375** Diximus paulo ante, quod synodus Carth. est omnium prima, et Antiochena secunda; post illas autem ea, quæ in Ancyra Galatiæ metropoli ante primam Nicææ habitam œcumenicam

Guill. Beveregii notæ.

(68) *Κανόνες τῆς ἐν Ἀγκύρᾳ συνόδου.* Hanc inscriptionem codex Bodleianus exhibet; cui similis fere est in codice Amerbachiano, videlicet, τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνες κε'. *Synodi Ancyranæ canones* 25. In Parisiensi Balsamonis editione sic inscribitur. Κανόνες τῶν ἐν Ἀγκύρᾳ συνελθόντων μακαρίων Πατέρων, οἵτινες προγενέστεροι μέν εἰσι τῶν ἐν Νικαίᾳ ἐκτεθέντων κανόνων, δευτερεύουσι δὲ διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου αὐθεντείαν, *Canones beatorum Patrum, Ancyræ convenerunt: qui sunt quidem antiquiores iis qui Nicææ editi; secundum tamen locum obtinent, propter œcumenicæ synodi auctoritatem.* Quæ etiam inscriptio est horum canonum in codice canonum Ecclesiæ universæ; nisi quod ibi eodem modo, quo in codice Amerbachiano, incipiat, τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνες κε', οἵτινες, etc. Enimvero habita est hæc synodus an. Dom. 315, ac proinde decem fere annis ante Nicænam primam œcumenicam. Ancyra, ubi celebrata est, primaria fuit et archiepiscopalis urbis Galatiæ, in meditullio regionis istius sita; hoc præsertim concilio celebris, quo octodecim episcopi convenerunt eorum causa, qui in Maximini persecutione lapsi, et in Ecclesiæ communionem recipi desiderabant.

synodum coacta est. Huic vero præfuerunt, Vitalis episcopus Antioch. Syriæ, Agricolaus Cæsareæ Cappadociæ, et martyr Basilius episcopus Amaseæ, et quæsiverunt, an eos oporteat admittere, qui idolis sacrificaverunt, et ad Ecclesiam accedunt.

ZONAR. Synodorum omnium prima fuit Antiochena, contra Paulum Samosatenum, imperante Romæ Aureliano, celebrata. Hæc vero, in Ancyrana urbe Galatiæ metropoli habita, Nicæna prima œcumenica synodo antiquior est. In ea porro sancti Patres adfuere, quorum in conventu Vitalis Antiochiæ quæ est in Syria, Agricolaus Cæsareæ quæ in Cappadocia, et martyr Basilius Amaseæ episcopus, præerant. Nam cum turbulentis Christianæ reipublicæ temporibus multi cruciatuum acerbitati perferendæ nequaquam pares fuissent. sed tyrannorum imperiis obsecuti, diis immolavissent, atque ex iis aliquos postea facti pœnituisset, seque crimen expiaturi Ecclesiæ sisterent: de iis hominibus qui Christum negaverant, qua ratione admittendi forent quæsitum est; deque illis subjectos canones hæc synodus edidit.

καὶ πρώτης οἰκουμενικῆς συνόδου. Ἐξῆρχον δὲ ταύτης Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος ἐπίσκοπος Ἀμασείας· καὶ συνεζήτησαν εἰ χρὴ δέχεσθαι τοὺς θύσαντας τοῖς εἰδώλοις, καὶ προσερχομένους τῇ Ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Πρώτη πασῶν τῶν συνόδων ἡ ἐν Ἀντιοχείᾳ γεγονυῖα σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, βασιλεύοντος ἐν Ῥώμῃ Αὐρηλιανοῦ, ἐστίν. Καὶ αὕτη δὲ, ἡ ἐν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας· συστᾶσα σύνοδος, προγενεστέρα ἐστὶ τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. Ἠθροίσθησαν δὲ ἐν αὐτῇ Πατέρες ἱεροὶ, ὧν ἐξῆρχεν Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος ἐπίσκοπος Ἀμασείας. Ἐν γὰρ τοῖς διωγμοῖς τῶν Χριστιανῶν πολλῶν μὴ δυνηθέντων μέχρι τέλους ἐγκαρτερῆσαι ταῖς βασάνοις, ἀλλ' ὑποκυψάντων· εἶτά τινων μετανοούντων καὶ προσερχομένων τῇ Ἐκκλησίᾳ εἰς μετάνοιαν, ζήτησις ἐγένετο, πῶς χρὴ τοὺς ἀρνησαμένους τὸν Χριστὸν προσδέχεσθαι, καὶ περὶ τούτων ἡ σύνοδος αὕτη κανόνας ἐξέθετο, οἵτινές εἰσιν οὗτοι.

CANON I.

« Presbyteros qui sacrificarunt, deinde contra « reluctati sunt, non simulatione quadam, sed « vere; nec hoc prius machinati sunt, nec consulto ac de industria id fecerunt, et persuaserunt, ut tormentis subjici viderentur, cum « ea specie et opinione tantum inferrentur: visum « est eos cathedræ quidem honoris esse participes; non licere autem ipsis offerre et concionari, vel omnino sacerdotale aliquod munus « obire. »

ΚΑΝΩΝ Α'.

« Πρεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, μήτε ἐκ μεθόδου τινὸς, ἀλλ' ἐξ ἀληθείας, « μήτε προκατασκευάσαντας καὶ ἐπιτηδεύσαντας, « καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασάνοις ὑποβάλλεσθαι, ταύτας δὲ τὸ δοκεῖν καὶ τῷ σχήματι « προσαχθῆναι· τούτους ἔδοξε τῆς μὲν τιμῆς τῆς « κατὰ τὴν καθέδραν μετέχειν· προσφέρειν δὲ « αὐτοὺς καὶ ὁμιλεῖν (69), ἢ ὅλως λειτουργεῖν τι « τῶν ἱερατικῶν λειτουργιῶν, μὴ ἐξεῖναι. »

BALS. Tempore persecutionis Christianorum quidam sacerdotes idolis sacrificare coacti sunt: et hi quidem, ad mortem usque puniti, martyrii coronam acceperunt; illi vero, cum ad finem usque tormenta perferre non potuissent, victi sunt et fidem abnegarunt, et idolis sacrificarunt; alii autem, etiam antequam torquerentur, omnino cessarunt. Ne autem sua sponte sacrificare viderentur, pecuniis vel suasione vel aliqua alia ratione operam dederunt, ut magnorum tormentorum minæ illis intentarentur. Statuunt ergo Patres, ut illi, qui vere torti fuerunt, propter supplicii autem acerbitatem ad perfectionis quoque coronam accipiendam non sustinuerunt, sed sacrificaverunt, deinde reluctati sunt, id est, Satanam vicerunt, qui eos in lucta prostraverat, et cum pura confessione pœnitentiam egerunt, ad solum honorem et cathedram recipiantur, neque offerant, neque concionentur, id est, ne doceant, neque aliquid

ΒΑΛΣ. Κατὰ τὸν καιρὸν τοῦ διωγμοῦ τῶν Χριστιανῶν ἱερεῖς τινες ἠναγκάσθησαν θῦσαι τοῖς εἰδώλοις· καὶ οἱ μὲν, μέχρι θανάτου κολασθέντες, τὸν τοῦ μαρτυρίου ἀνεδήσαντο στέφανον οἱ δὲ, καὶ ἕως τέλους τὰς βασάνους μὴ καρτερήσαντες, ἡττήθησαν καὶ τὴν πίστιν ἠρνήσαντο, καὶ τοῖς εἰδώλοις ἔθυσαν· ἄλλοι καὶ πρὸ τοῦ βασανισθῆναι, ὅλως ἐνέδωκαν. Ἵνα δὲ μὴ δόξωσιν αὐθαιρέτως θύειν, ἐσπούδασαν διὰ χρημάτων ἢ παρακλήσεων ἢ ἄλλως πως ἀπειλὰς βασάνων μεγάλων εἰς αὐτοὺς γενέσθαι. Διορίζονται οὖν οἱ Πατέρες μόνου; ἐκείνους τοὺς μετὰ ἀληθείας μὲν βασανισθέντας, διὰ δὲ τὴν δριμύτητα τῶν κολάσεων, μὴ ὑπομείναντας καὶ τὸν τῆς τελειώσεως στέφανον ἀναδήσασθαι, ἀλλὰ θύσαντας, εἶτα πάλιν ἀναπαλαίσαντας, τουτέστι νικήσαντας τὸν Σατανᾶν, ἐν τῇ πάλῃ ῥίψαντα αὐτοὺς, καὶ μετὰ καθαρᾶς ἐξομολογήσεως μετανοήσαντας, δέχεσθαι εἰς μόνην τιμὴν καὶ καθέδραν, μήτε δὲ προσφέρειν, μήτε ὁμιλεῖν, τουτέστι διδάσκειν, μήτε

Guill. Beveregii notæ.

(69) *Ὁμιλεῖν*. Huic verbo accommodari videtur breve illud scholium, quod inter hunc canonem et interpretationem ejus in codice Amerbachiano legitur, sic se habens, λόγους διδασκαλικοὺς ποιεῖσθαι τῷ λαῷ. Πῶς γὰρ ἕτεροι ὑποθοῖντο βέλτιστα, αὐτοὶ παρασφαλέντες τοῦ κρείττονος; *Sermones doctrinales ad populum habere. Quomodo enim alii optima edoceantur, cum ipsi a meliore aversi fuerint?* Hoc autem scholium in nullo alio codice habetur.

τι ἄλλο ἐνεργεῖν ἱερατικόν· ὥστε ἐξ ἀντιδιαστολῆς οἱ ἕτεροι, οἱ παρὰ τούτους μὴ πραγματικῶς, ἀλλὰ μετὰ σκῆψιν τὰς βασάνους προφασισάμενοι, καὶ τὸν Θεὸν ἀρνησάμενοι, οὐδὲ τιμῆς ἢ καθέδρας ἀξιωθήσονται. Τί δέ, ὡς Χριστιανοὶ ἁπλῶς μετὰ δακρύων μετανοοῦντες καὶ ἐξομολογούμενοι τὸ ἁμάρτημα δεχθήσονται; Ἐμοὶ τέως δοκεῖ. Οὐ γάρ ἐστιν ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν (70).

aliud sacerdotale exsequantur. Quamobrem argumento a contrario sumpto, alii præter hos, qui non revera, sed simulate tormenta prætexuerunt, et Deum negaverunt, nec honore quidem vel cathedra digni habebuntur. Quid vero, num ut Christiani simpliciter cum lacrymis pœnitentiam agentes, et peccatum confitentes, suscipientur? Mihi certe videtur. Non est enim peccatum, quod vincat Dei misericordiam.

ΖΩΝΑΡ. Τῶν ὑποκυψάντων ἐν τοῖς διωγμοῖς τοῖς τυράννοις καὶ θυσάντων οἱ μὲν βασάνοις ὑποβληθέντες, καὶ τῇ βίᾳ τούτῳ καὶ τῇ δριμύτητι μέχρι τέλους ἀντίσχειν μὴ δυναμένοις, ἡττήθησαν καὶ τὴν πίστιν ἠρνήσαντο· οἱ δὲ καὶ πρὸ τῆς πείρας τῶν βασάνων μαλακισθέντες ἐνέδωκαν, καὶ, ἵνα μὴ δοκοῖεν αὐθαιρέτως θύειν, ἔπεισαν τοὺς κολαστὰς ἢ χρήμασιν ἢ παρακλήσεσι πικρότερον προσενεχθῆναι τάχα αὐτοῖς, καὶ κολάσεις αὐτοῖς τῷ δοκεῖν ἐπαγαγεῖν, ἵν' οὕτω θύσαντες δόξωσι τῇ βίᾳ νικηθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ μαλακισθέντες. Τοὺς γοῦν μετὰ ἀληθείας κολασθέντας, καὶ τῇ τῶν βασάνων πικρίᾳ ἐγκαρτερήσαντας μέχρι τ.νὸς, καὶ οὕτως ἡττηθέντας τῶν ἀφορήτων κολάσεων καὶ ἐπιθύσαντας τῷ βωμῷ, εἶτα ἀναπαλαίσαντας, ἀντὶ τοῦ τὸν ἐχθρὸν ἐν τῇ πλάνῃ ῥίψαντα αὐτοὺς, διὰ τῆς μετανοίας ἡττήσαντας, καὶ καταβαλόντας, καὶ ἐπὶ τῶν τυράννων αὖθις τὴν πίστιν ὁμολογήσαντας· εἰ πρεσβύτεροι ἦσαν, ἔδοξε τῇ συνόδῳ τῆς τιμῆς μὲν τῆς ἐν ταῖς καθέδραις μετέχειν αὐτοὺς, μήτε δὲ προσφέρειν μήτε ὁμιλεῖν, ἀντὶ τοῦ διδάσκειν, μήτε ὅλως λειτουργεῖν, ἀντὶ τοῦ ἐνεργεῖν τι τῶν ἱερατικῶν δικαίων.

376 ZONAR. Qui ingruente persecutionis procella tyrannorum imperiis obsecuti immolavere; partim tormentis exagitati, cum eorum vim et asperitatem perferre non possent, victi sunt et fidem denegarunt: partim, priusquam etiam tormenta ipsis admoverentur, emolliti dedere manus; et ne sua voluntate sacrificare viderentur, satellites, ut vehementiore forte impetu ipsos invaderent, acriterque torquentium speciem præberent, pretio aut precibus adduxere; ut qui sic immolassent, non ignavo languore animi, sed cruciatuum duritate victi, Christum negasse existimarentur. Quibus igitur vere cruciatus adhibiti, quique in acerbitate tormentorum aliquandiu constantes, ita demum illorum intolerabili asperitate victi aris immolaverunt, deinde vero iterum reluctati sunt, hoc est, hostem, a quo prius in certamine dejecti fuerant, pœnitentia duce superatum vicissim prostravere, fidemque suam apud tyrannos iterum professi fuere: eos, siquidem sacerdotio initiati fuerant, cathedræ quidem honorem obtinere, nullam tamen iis aut offerendi aut concionandi, hoc est docendi, neque omnino ministerium aliquod, hoc est sacerdotale munus quodcunque obeundi facultatem synodus esse decernit.

ΚΑΝΩΝ Β'.

« Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τὴν μὲν ἄλλην τιμὴν ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερατικῆς λειτουργίας, τῆς τε τοῦ ἄρτου ἢ ποτήριον ἀναφέρειν ἢ κηρύσσειν. Εἰ μέντοι τινὲς τῶν ἐπισκόπων τούτοις συνίδοιεν κάματόν τινα ἢ ταπείνωσιν πραότητος, καὶ ἐθέλοιεν πλέον τι διδόναι ἢ ἀφαιρεῖν, ἐπ' αὐτοῖς εἶναι τὴν ἐξουσίαν. »

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ περὶ διακόνων διοριζόμενος προστίθησιν ὡς, εἴπερ οἱ ἐγχώριοι ἐπίσκοποι κατανοήσουσι τοὺς μετὰ ἀληθείας βασανισθέντας ἀξίους ἐλέους διὰ τὰ δάκρυα καὶ τὴν ταπείνωσιν αὐτῶν ἢ τοὐναντίον κολάσεως πλείονος διὰ τὴν ἀναίδειαν· ποιήσουσι κατὰ τὸ δόξαν αὐτοῖς, τουτέστιν ἢ ἐπαυξήσουσι τὴν τιμωρίαν, ἢ προσθήσουσι μᾶλλον τὴν παρηγορίαν. Παρὰ γὰρ τῇ ἐξουσίᾳ καὶ τῇ διακρίσει αὐτῶν τὰ περὶ τούτου ἀνέθεντο.

CANON II.

« Diaconos similiter qui sacrificarunt, postea autem reluctati sunt, alium quidem honorem habere, ipsos autem ab omni sacerdotali ministerio cessare, et panem vel calicem offerendi, vel prædicandi: sed si ex episcopis aliqui in iis vel afflictionem aliquam vel humilitatem ac mansuetudinem viderint, et aliquid amplius dare vel auferre voluerint, in eorum potestate id esse. »

BALS. Præsens quoque canon eadem de diaconis decernens, adjicit, quod si regionis episcopi animadverterint eos, qui vere torti sunt, esse misericordia dignos, propter lacrymas et eorum humilitatem; vel contra majore supplicio propter impudentiam; facient prout eis videbitur, id est, vel pœnam augebunt, vel potius consolationem afferent. Ea enim in eorum potestate et judicio sita sunt. Si quis autem dicat, præsentes canones

Guill. Beveregii notæ.

(70) *Τὴν τοῦ Θεοῦ φιλανθρωπίαν.* Post hæc ultima Balsamonis in hunc canonem verba, in Parisiensi editione, necnon codice tam Americhiano, quam Ætoniensi, additur, πλὴν καὶ οὗτοι καὶ οἱ δεχόμενοι εἰς μόνην τιμὴν ἐπιτιμηθήσονται κατὰ τοὺς ῥηθησομένους κανόνας. *Sed et ii, et qui ad honorem solum admittuntur, juxta dictos canones punientur.* Nos autem hæc idcirco omisimus, quia in codice nostro Bodleiano omittuntur.

Dei gratia locum hodie non habere, quia tyrannus non præest; audiet, quod apud Agarenos et alios infideles multa ejusmodi fiunt; et canones nunc quoque effectum recte sortientur. Nota etiam ex hoc præsenti canone, quod omnis animæ medela dependet ab episcopi judicio ac prudentia.

Εἰ δέ τις ἐρεῖ μὴ χώραν ἔχειν τὰ τῶν παρόντων κανόνων Θεοῦ χάριτι σήμερον, ὅτι τύραννος οὐ προκάθηται· ἀκούσει ὅτι παρὰ τοῖς Ἀγαρηνοῖς καὶ τοῖς ἄλλοις ἀπίστοις πολλὰ τοιαῦτα γίνονται· καὶ καλῶς τὰ τῶν κανόνων καὶ νῦν ἐνεργήσουσι. Σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι πᾶσα ψυχικὴ θεραπεία εἰς τὴν ἐπισκοπικὴν ἀνηρτήθη διάκρισιν.

ZONAR. Quæ superiori de sacerdotibus, eadem de diaconis hoc quoque canone decernuntur. Nam eos quoque, si in tormentis per ignaviam devicti sacrificaverint, deinde vero repetito certamine strenue depugnaverint, ab omni sacro ministerio cessare jubet. Quod si homines postea, subjicit canon, in suscepta propter abnegationem pœnitentia gravius laborare, aut ob admissi facinoris culpam discruciari, demissionemque, ac in iis, qui prolapsionem exprobrarint, aut alia ratione insultarint, pacate atque humiliter perferendis modestiam retinere, non contra audacter obsistere aut ægrius succensere, episcopi animadverterint, ac proinde aliquid amplius, quam quod a synodo concessum est, iis ob vehementius pœnitendi studium elargiri, aut vicissim ficte dolentibus nec de superbia remittentibus demere quidpiam velint, id canon totum ipsorum potestati judicioque permittit. Vide primæ quoque œcumenicæ synodi canonem undecimum.

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ περὶ διακόνων ὁ κανὼν οὗτος διατάττεται, ὅσα περὶ πρεσβυτέρων ὁ ἀνώτερος. Πεπαῦσθαι γὰρ καὶ αὐτοὺς, ἀνεπιτηδεύτως ἡττηθέντας τῶν βασάνων καὶ ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, πάσης τῆς ἱερᾶς λειτουργίας θεσπίζει. Προστίθησι δ' ἐνταῦθα ὅτι, ἐὰν τοῖς μετανοοῦσι τούτοις συνίδοιεν οἱ ἐπίσκοποι κάματόν τινα, τουτέστι κόπον ἐν τῇ μετανοίᾳ διὰ τὴν ἄρνησιν, ἢ ὅτι, συντριβέντες διὰ τὸ ἁμάρτημα, ἐταπεινώθησαν, καὶ πραότητα ἐκτήσαντο, τοῖς ἴσως αὐτοῖς ὀνειδίζουσι τὸν ὄλισθον πράως καὶ μετὰ ταπεινώσεως προσφερόμενοι, ἀλλ' οὐ θρασυνόμενοι καὶ τούτοις ἐμπικραινόμενοι, καὶ ἐθέλοιεν ἐπίσκοποι ὑφ' οὓς τελοῦσι πλέον τι τῶν παρὰ τῇ συνόδῳ ὡρισθέντων αὐτοῖς παραχεῖν, διὰ τὴν τῆς μετανοίας θερμότητα, ἢ ἀφελεῖν τι τῶν ὁρισθέντων, ὡς μὴ γνησίως αὐτῶν μεταμελομένων, μηδὲ ταπεινουμένων· ταῦτα τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων ἀνατίθησιν ὁ κανὼν καὶ τῇ διακρίσει αὐτῶν. Ἀνάγνωθι καὶ τὸν ια' κανόνα τῆς πρώτης οἰκουμενικῆς συνόδου.

ARIST. « In canone primo et secundo presbyteri et « diaconi, qui cum prius sacrificarent postea vero « reluctati sunt, **377** cathedræ solius et honoris sint participes, nihil sanctorum peragentes. »

ΑΡΙΣΤ. « Καν. α' καὶ β', πρεσβύτεροι καὶ διάκονοι « τὸ πρὶν ἐπιθύσαντες, εἶτα ἐξ ἀληθείας ἀναπαλαίσαντες, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς « μετεχέτωσαν, μηδὲν τῶν ἁγίων ἐπιτελοῦντες. »

Quicunque presbyteri vel diaconi tempore persecutionis compulsi sacrificarunt, postea vero accedunt retractantes quidquid fecerunt, cathedræ solius et honoris participes esse debent: at sacerdotale aliquod munus obire, puta panem aut poculum offerre, aut doctrinæ sermones populo facere, aut omnino sacrum aliquod ministerium peragere, iis non licet.

Ὅσοι τῶν πρεσβυτέρων καὶ διακόνων ἐν καιρῷ διωγμοῦ βιασθέντες ἔθυσαν, εἶτα ἐν ἀληθείᾳ προσῆλθον ἀναπαλαίοντες ὅπερ ἔπραξαν, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετέχειν ὀφείλουσιν· ἱερατικὸν δέ τι ἐνεργεῖν οὐκ ἐξέσται αὐτοῖς, οἷον ἄρτον ἢ ποτήριον ἀναφέρειν ἢ λόγους διδασκαλίας τῷ λαῷ ποιεῖσθαι, ἢ ὅλως τι τῶν ἁγίων λειτουργιῶν ἐπιτελεῖν.

CANON III.

« Eos, qui fugientes comprehensi sunt, vel a « domesticis traditi, vel suis alioqui facultatibus « privati, vel tormenta perpessi, vel in carcerem conjecti sunt, clamantes se esse Christianos, et divulsi ac distracti sunt, vel iis qui « vim afferebant in manus aliquid immittentibus, vel cibo aliquo per necessitatem susceptо, « se tamen esse Christianos perpetuo fatentes, « et ejus quod accidit dolorem omni cohibitione « et habitu et vitæ humilitate præ se ferentes, « ut inculpatos a communione non arceri. Sin « autem etiam ab aliquo sunt prohibiti, majoris « cautionis gratia, vel etiam propter aliquorum « ignorantiam, statim admittantur. Hoc autem « similiter in clericis et aliis laicis. Illud quoque « est examinatum, an possint etiam laici, qui in « eamdem necessitatem inciderunt, ad ordinem

ΚΑΝΩΝ Γ'.

« Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων « παραδοθέντας, ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρε« θέντας, ἢ ὑπομείναντας βασάνους, ἢ εἰς δε« σμωτήριον ἐμβληθέντας, βοῶντάς τε ὅτι εἰσὶ « Χριστιανοὶ καὶ περισχισθέντας, ἤτοι εἰς τὰς « χεῖράς τι πρὸς βίαν ἐμβαλόντων τῶν βιαζομέ« νων, ἢ βρῶμά τι πρὸς ἀνάγκην δεξαμένους, « ὁμολογοῦντας δὲ δι' ὅλου ὅτι εἰσὶ Χριστιανοὶ, « καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμέ« νους τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι καὶ « τῇ τοῦ βίου ταπεινότητι, τούτους ὡς ἔξω ἁμαρ« τήματος ὄντας τῆς κοινωνίας μὴ κωλύεσθαι. Εἰ « δὲ καὶ τὸ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας « ἀκριβείας ἕνεκεν ἢ καί τινων ἀγνοίᾳ, εὐθὺς « προσδεχθήτωσαν. Τοῦτο δὲ ὁμοίως ἐπί τε τῶν « ἐκ κλήρου καὶ τῶν ἄλλων λαϊκῶν. Προσεξετά« σθη δὲ κἀκεῖνο, εἰ δύνανται καὶ λαϊκοὶ, τῇ αὐτῇ

« ἀνάγκῃ ὑποπεσόντες, προέγεσθαι εἰς τάξιν. A
« Ἔδοξεν οὖν καὶ τούτους, ὡς μηδὲν ἡμαρτηκότας,
« εἰ καὶ ἡ προλαβοῦσα εὑρίσκοιτο ὀρθὴ τοῦ βίου
« πολιτεία, προχειρίζεσθαι. »

ΒΑΛΣ. Τινὲς κληρικοὶ καὶ λαϊκοὶ φεύγοντες τὰς τῶν τυράννων χεῖρας, καὶ συλληφθέντες, ἢ παρά τινων προδοθέντες, καὶ γυμνωθέντες τῶν προσόντων αὐτοῖς, ἔστι δ' ὅτε καὶ βασανισθέντες καὶ φυλακισθέντες, εἰδώλων εἶναι Χριστιανοί. Ὅτι δὲ κατὰ βίαν ἐνεβλήθη παρὰ τῶν δημίων ταῖς χερσὶ τούτων λιβανωτὸν τυχὸν, ὅπερ τοῖς εἰδώλοις θύεται, ἢ ἐν τῷ στόματι αὐτῶν βρῶμα εἰδωλόθυτον, ἐκωλύοντο τῆς μετὰ τῶν πιστῶν κοινωνίας, διὰ τὸ δῆθεν γενέσθαι αὐτοὺς εἰδωλοθύτας· φασὶ γοῦν οἱ Πατέρες, τὸ κατὰ βίαν γενόμενον μὴ παρεμποδίζειν αὐτοὺς B ὁμολογοῦντας διόλου εἶναι Χριστιανοὺς, ἀποκλαιομένους μετὰ κατανύξεως τὸ παρὰ τῶν τυράννων κατὰ βίαν γενόμενον εἰς αὐτούς. Οὐδὲν γὰρ ἥμαρτον, ὥστε καὶ παρ' ἡμῶν κολάζεσθαι. Εἰ δὲ παρά τινων διὰ περισσοτέραν ἀκρίβειαν ἢ δι' ἄγνοιαν τοῦ προσήκοντος ἐκωλύθησαν τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν. Ὡς δέ τινος εἰπόντος ἐπὶ μόνοις τοῖς λαϊκοῖς ἔχειν χώραν τὰ τοῦ κανόνος (οἱ γὰρ κληρικοὶ κατὰ τοὺς προῤῥηθέντας κανόνας δεχθήσονται), ἐπήγαγον μὴ μόνους τοιούτους λαϊκοὺς συγκοινωνεῖν ἡμῖν, ἀλλὰ καὶ κληρικούς. Εἴρηται δὲ τοῦτο, διὰ τὸ μεγάλην εἶναι διαφορὰν τῶν ἀρνησαμένων ἑκουσίως τὸν Θεὸν, ἐκ τοῦ μὴ δύνασθαι τὰς κολάσεις ὑπενεγκεῖν, καὶ τῶν τοιοῦτόν τι μὴ πεποιηκότων διὰ φάκτου οἰκείου, ἀλλὰ ἀκουσίως κατὰ C βίαν ὑποδεξαμένων εἰδωλόθυτα ἢ λιβανωτὸν, καὶ καταπτυσάντων αὐτῶν· οἱ μὲν γὰρ ἥμαρτον, ὡς ἐνδόντες· ὤφειλον γὰρ ἀποθανεῖν διὰ τὸν Χριστόν· οἱ δὲ κατὰ βίαν ὑπεδέξαντο μόνον τὸ λιβανωτὸν, ἔργον δέ τι οὐκ ἐνήργησαν ἀτεβές. Ὅτι γοῦν οὐδὲν ἥμαρτον, καὶ κληρωθήσονται οἱ λαϊκοὶ, ἐὰν ἄξιοι εὑρίσκωνται, πάντως δὲ καὶ οἱ κληρικοὶ εἰς μείζονας βαθμοὺς διὰ τὸν αὐτὸν λόγον προαναβιβασθήσονται. Ἐπεὶ δέ τινες ἐτιῶντό τινες τούτους, ὡς τὸ μαρτύριον φυγόντας καὶ κατασχεθέντας, εἶπον οἱ Πατέρες μηδὲ ἐκ τούτου αὐτοὺς βλάπτεσθαι. Καὶ πάντως ἄριστα καὶ τοῦτο ἐνομοθέτησαν. Φησὶ γὰρ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος μὴ ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν φειδοὶ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων. Καὶ ἐν Εὐαγγελίοις ὁ Κύριος εἶπεν· *Ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν*, καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· τοῦ δὲ χρηματισθέντος ἐπισκόπου Ἀμυκλείου κυροῦ Νικολάου τοῦ Μουζάλωνος κατὰ βίαν πρακτορικὴν ἀποκαρέντος, καὶ πολλὰ παρακλητεύσαντος, τὸ κατὰ βίαν εἰς αὐτὸν γεγονὸς περιαιρεθῆναι, καὶ πάλιν ἐνεργεῖν τὰ ἐπισκοπικὰ, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς, βλέπων τοῦτον παρουσιάζοντα μετὰ ἐπισκοπικῶν ἀμφίων συνοδικῶς, οὐ παρεδέξατο αὐτὸν, εἰπὼν ὡς, εἰ μὲν τὴν συνοδικὴν ἐκδίκησιν καὶ διόρθωσιν ἀνέμενεν ὁ ἐπίσκοπος, εὗρεν ἂν κανονικὴν βοήθειαν· ἐπεὶ δὲ τὰ κατὰ βίαν

« promoveri. Visum est ergo et eos, ut qui
« nihil peccassent, si etiam præcedens eorum
« vitæ instituendæ ratio recta inveniatur, pro-
« moveri. »

BALS. Quidam clerici et laici, manus tyrannorum fugientes, et comprehensi, vel ab aliquibus proditi, et iis quæ habebant privati, et nonnunquam etiam torti et in carcerem conjecti, se esse Christianos fatebantur. Quia autem a lictoribus in manus eorum thus forte injectum est, quod idolis sacrificatur, vel in ora eorum cibus aliquis idolis immolatus, a fidelium communione arcebantur, quod scilicet idolis sacrificassent: dicunt ergo Patres, id quod illis vi factum est, non esse illis impedimento, fatentibus perpetuo se esse Christianos, et cum compunctione id deflentibus quod in ipsos a tyrannis vi factum est. Nihil enim peccarunt, ut etiam a nobis puniantur. Sin autem ab aliquibus, propter majorem cautionem, vel propter ejus quod fieri oportet ignorationem, a communione sunt prohibiti, ut statim recipiantur sententiam tulere. Perinde autem ac si dixisset aliquis, canonem in solis laicis locum habere (clerici enim ex prædictorum canonum sententia recipientur), intulerunt, non solum ejusmodi laicos, sed etiam clericos nobiscum communicare. Hoc autem dictum est, eo quod sit magna differentia eorum qui Deum sponte negarunt, quoniam supplicia perferre non poterant, et eorum qui tale quid non fecerunt facto proprio, sed inviti et per vim idolothyta susceperunt, vel thus, et ea despuerunt. Illi enim peccarunt, ut qui cesserint: debebant enim mori propter Christum. Qui vero vi thus solum susceperunt, nullum impium opus fecerunt. Quoniam ergo nihil peccarunt, laici quoque clerici fient, si digni inveniantur; omnino autem etiam clerici ad majores gradus propter eamdem rationem provehentur. Quoniam autem nonnulli eos accusabant, ut qui martyrium fugissent et cunctati essent, dixerunt Patres, eos non ideo lædi. Et omnino id optime sanxerunt. Dicit enim magnus Theologus Gregorius, non esse sua sponte ad certamen procedendum, ut et persequentibus et imbecillioribus parcatur. Et Dominus dixit in Evangeliis: *Quando vos ex hac civitate persequentur, fugite in aliam* [99]. Et in his quidem expositus est canon. Cum autem dominus Nicolaus Muzalon, Amyclæus episcopus dictus, vi a magistratu tonsus esset, **376** et supplex contenderet, ut quod vi in eum factum erat tolleretur, et episcopale rursus munus obiret; sanctissimus ille patriarcha dominus Lucas, videns illum synodice cum vestibus episcopalibus præsentem, eum non admisit, dicens, quod si synodalem quidem sententiam et correctionem exspectasset episcopus, canonicum auxilium invenisset: sed quia vestes monasticas, quibus vi indutus fuerat, inordinate exuit, et sibi ipsi jus dixit, auxilium

[99] Matth. x, 23.

non assequetur. Sed cum sanctissimus ille patriarcha ad Dominum migrasset, qui ei successit sanctissimus patriarcha dominus Michael, vi quidem factam tonsuram tanquam non factam reputans, episcopum synodice justificavit, et eo præcipue, quod cum monasticis omnino apparere haudquaquam coactus sit. Si enim, inquit, vidisset eum cum monasticis præsentem, illum non restituisset; ut qui, quod factum est, admisit. Cumque nonnulli dicebant, admittendas esse tonsuras in periculo factas, ille judicabat tonsuram vi factam non eam esse, quæ periculo facta dicitur, sed quæ fit propter morbum. Et sic quidem restitutionem post decreta perfecit. Episcopum autem, ut qui negligens fuisset, et sibi jus dixisset, ad tempus celebrandi officio privavit. Quin et alii multi vi ab Agarenis circumcisi, et qui alia multa impia vel fecerant vel passi erant, post puram et convenientem pœnitentiam, ab Ecclesia recepti sunt, et pœnis impositis medelam acceperunt. Porro et Comnenam dominam Theodoram, quæ dicta est Lapardæ illius domini Andronici conjux, vi illius tyranni Andronici tonsam, Constantinopolitana synodus non sivit mutare habitum, nec cum Crate Hungariæ, qui hoc vehementissime petebat, conjungi; eo quod post ejus viri mortem processisset tonsura, etiamsi vi facta esset, et in cœnobiaco monasterio vitam egisset. Cum tamen alias nobiles feminas sic tonsas æquum censuit hæc synodus ad pristinum habitum reverti, vel quod eorum mariti superessent, vel quod tonsuram omnino non admisissent post mortem tyranni.

A περιβληθέντα αὐτῷ μοναχικὰ ἅμφια ἀσυντάκτως ἀπέθετο, καὶ αὐτεκδίκητος γέγονεν, οὐ τεύξεται βοηθείας. Ἀλλὰ τοῦ ἁγιωτάτου πατριάρχου τούτου μεταστάντος πρὸς Κύριον, ὁ μετ' ἐκεῖνον ἁγιώτατος πατριάρχης κυρὸς Μιχαὴλ, τὴν μὲν κατὰ βίαν γενομένην ἀπόκαρσιν ὡς μηδὲ γενομένην λογιζόμενος, ἐδικαίωσε συνοδικῶς (71) τὸν ἐπίσκοπον, καὶ μᾶλλον ὡς μηδὲ ἀναγκαζόμενον ὅλως μετὰ τῶν μοναχικῶν ἐμφανισθῆναι. Εἰ γὰρ, φησὶν, ἔβλεπε τοῦτο μετὰ τῶν μοναχικῶν παριστάμενον, οὐκ ἂν αὐτὸν ἀποκατέστησαν, ὡς καταδεξάμενον τὸ γεγονός· ὅτε καί τινων εἰπόντων, δεκτὰς εἶναι τὰς περιστατικὰς ἀποκάρσεις, αὐτὸς διέγνω τὴν κατὰ βίαν ἀπόκαρσιν μὴ εἶναι περιστατικὴν, ἀλλὰ τὴν διὰ νόσον. Καὶ τὴν μὲν ἀποκατάστασιν οὕτως ἐποιήσατο μετὰ σημειώ- B ματα· τὸν δὲ ἐπίσκοπον, ὡς ὀλιγωρήσαντα, καὶ ἑαυτὸν δικαιώσαντα, καιρικῆς ἀλειτουργησίας ἐπετιμίῳ ὑπέβαλε. Καὶ ἄλλοι δὲ πολλοὶ κατὰ βίαν περιτμηθέντες παρὰ Ἀγαρηνῶν, καὶ ἄλλα τινὰ πεποιηκότες ἢ καὶ παθόντες ἀσεβῆ, μετὰ ἐξομολόγησιν καθαρὰν καὶ προσήκουσαν μετάνοιαν παρὰ τῇ Ἐκκλησίᾳ ἐδέχθησαν, καὶ δι' ἐπιτιμίων ἐθεραπεύθησαν. Τὴν μέντοι Κομνηνὴν (72) κυρὰν Θεοδώραν τὴν χρηματίσασαν σύμβιον τοῦ Λαπαρδᾶ ἐκείνου κυροῦ Ἀνδρονίκου, ἀποκαρεῖσαν κατὰ βίαν τοῦ τυράννου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μετασχηματισθῆναι, καὶ συζυγῆναι τῷ Κράτῃ Οὐγγρίας, ἐκθύμως τοῦτο ζητήσαντι, διὰ τὸ μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς στοιC χῆσαι τῇ ἀποκάρσει, κἂν κατὰ βίαν ἐγένετο, καὶ ἐν κοινοβιακῇ διάγειν μονῇ. Ἑτέρας δὲ γυναῖκας εὐγενεῖς οὕτως ἀποκαρείσας ἐδικαίωσεν ἡ αὐτὴ σύνοδος μετὰ θάνατον τοῦ τυράννου μετασχηματισθῆναι, ἢ ὡς ἔτι περιόντων τῶν ἀνδρῶν αὐτῶν, ἢ διὰ τὸ μὴ καταδέξασθαι ὅλως τὴν ἀπόκαρσιν μετὰ θάνατον τοῦ τυράννου.

ZONAR. Lex martyrii est, magni Theologi Gregorii testimonio, ut neque nos sponte certamini offeramus, et iis qui nobis infesti sunt, et imbecillioribus parcentes, etc. Proinde nonnulli, suæ sibi infirmitatis conscii, dum tyrannorum furor in Christianos baccharetur, fuga sibi et latebris prospiciebant, evangelicum in ea re præceptum secuti, dicente Domino: *Cum vos ex hac urbe persequentur, fugite in aliam.* Quicunque igitur in fuga comprehensi, vel a familiaribus proditi (nam id D quoque Christus indicavit: *Tradet*, ait, *pater filium et frater fratrem* [74]), quique facultatibus spoliati,

ΖΩΝΑΡ. Νόμος μαρτυρίου, φησὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, μήτε ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν φειδοὶ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, καὶ τὰ ἑξῆς. Διὰ γοῦν τοῦτον τὸν λόγον τινὲς ἑαυτοῖς συνειδότες ἀσθένειαν, ἐν τοῖς διωγμοῖς ἔφευγον καὶ ἐκρύπτοντο, κάνταῦθα εὐαγγελικὴν πληροῦντες διαταγὴν, τοῦ Κυρίου εἰπόντος· *Ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν.* Τοὺς οὖν φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας (καὶ τοῦτο δὲ τοῦ Κυρίου ἀπόφασις φήσαντος· *Παραδώσουσι δὲ γονεῖς τέκνα, καὶ ἀδελφὸν ἀδελφὸς*), καὶ τοὺς ἀφαιρεθέν-

[74] Matth. x, 21.

Guill. Beveregii notæ.

(71) *Ἐδικαίωσε συνοδικῶς.* Hæc Balsamonis verba, usque ad μετὰ σημειώματα inclusive, codici nostro Bodleiano debemus: neque enim in Parisiensi editione, neque in ms. Amerbachiano habentur.

(72) *Τὴν μέντοι Κομνηνὴν.* Hæc usque ad finem hujus interpretationis exstant in supplemento ad Parisiensem Balsamonis editionem; unde etiam huc translata sunt: sed in codice nostro Bodleiano paulo aliter leguntur, præsertim in initio, hoc videl. modo: Τὴν μέντοι Κομνηνὴν κυρὰν Θεοδώραν, τὴν τοῦ Λαπαρδοῦ χρηματίσασαν σύζυγον, ἀποκαρεῖσαν παρὰ τοῦ βασιλέως κυροῦ Ἀνδρονίκου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μετασχηματισθῆναι, etc. *Porro et Comnenam dominam Theodoram, conjugem Lapardæ dictam, ab imperatore domino Andronico tonsam, synodus Constantinopolitana habitum mutare non permisit.* De Laparda, cujus hic fit mentio, Nicetas Choniates etiam meminit in *Andronico Comneno*, l. 1. Hæc autem in codice Amerbachiano desiderantur, neque Balsamonis esse affirmare ausim.

τας τὰ ὑπάρχοντα αὐτοῖς, ἢ ὑπομείναντας βασάνους, ἢ ἐγκλεισθέντας δεσμωτηρίοις, διόλου δὲ ὁμολογοῦντας ὅτι Χριστιανοί εἰσι, καὶ περισχισθέντας τοὺς χιτῶνας, καὶ γυμνωθέντας, καὶ ἢ εἰς τὰς χεῖρας αὐτῶν πρὸς βίαν ἀκόντων ἐκείνων ἐμβαλόντων τι τῶν βιαζομένων, οἷον λιβανωτὸν ἢ ἕτερόν τι εἰς θυσίαν τοῖς εἰδωλολάτραις προσαγομένων, ἢ βρῶμά τι τῶν εἰδωλοθύτων δεξαμένους εἰς τὸ στόμα, πρὸς ἀνάγκης αὐτὸ τῶν βιαστῶν ἐμβαλόντων, τοὺς τοιοῦτόν τι πεπονθότας, βοῶντας δὲ διόλου ὅτι εἰσὶ Χριστιανοὶ, καὶ διὰ τοῦτο πενθοῦντας, καὶ τῇ τε κατηστολῇ καὶ τῷ σχήματι τὸ πένθος ἐνδεικνυμένους (καταστολὴ δὲ τὸ μέτριον καὶ κατεσταλμένον τοῦ ἤθους ἐστὶν), ἢ τὰ περιβλήματα καὶ ἡ στολὴ· σχῆμα δὲ, ἡ ἔξωθεν φαινομένη κατήφεια, τὴν λύπην δηλοῦσα, ὃ καὶ βίου ταπεινότητα ὠνόμασεν ὁ κανών· τούτους οὖν μηδὲν ἁμαρτῆσαι οἱ Πατέρες φασὶν· οὔτε γὰρ τὸ εἰδωλόθυτόν τι ἅπαντας δέξασθαι εἰς τὸ στόμα, οὔτε τὸ ἐν ταῖς χερσὶν αὐτῶν ἐκβληθῆναι λιβανωτὸν ἁμαρτία ἐστὶν, εἰ ἐκεῖνοι καὶ τούτων γινομένων ἐπεκαλοῦντο τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ Θεὸν ὡμολόγουν αὐτόν· καὶ ὡς μηδὲν ἁμαρτάνοντας, μὴ κωλύεσθαι τῆς κοινωνίας παρεκελεύσαντο. Κἂν τινες ἴσως ἀγνοήσαντες τὸ πρέπον, ἢ πλέον τοῦ δέοντος τῆς ἀκριβείας ἐχόμενοι, ἐκώλυσάν τινας τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν, κἂν τε τῶν τοῦ κλήρου ἦσαν, κἂν τε τῶν τοῦ λαοῦ. Τοσοῦτον δὲ, φασὶν, οὐ λογισθήσεται τὰ ἄνω εἰρημένα εἰς ἁμάρτημα, ὥστε κἂν λαϊκός τις ᾖ ὁ ταῦτα ὑπομείνας, κωλυθήσεται διὰ ταῦτα εἰς ἱερωσύνην προβιβασθῆναι, εἰ ὁ βίος αὐτοῦ ὁ πρὸ τούτου ἀνεπίληπτος ἦν καὶ ὀρθῶς πεπολίτευτο.

vel tormenta perpessi, vel in carcerem conjecti, perpetuo tamen, vestibus quoque dilaceratis corporique detractis, sese Christianos esse professi sunt; etiamsi vel aliquid per vim repugnantium manibus sit injectum, thus videlicet aut aliud quidpiam eorum, quæ in idolorum sacrificiis adhiberi solita sunt, vel cibi aliquid ex immolatis per vim a coactoribus immissum ore excepere, qui aliquid ejusmodi perpessi fuerint, Christianos se esse nihilominus interea clamitantes, atque eo id quod factum fuit dolentes, ac dolorem demissione habituque præ se ferentes (est autem remissio Græce καταστολὴ, æquabilis ac moderata morum compositio; quamvis eodem verbo amictus quoque ornatusque corporis significari queat: habitus vero, Græce σχῆμα, tristitia extrinsecus apparens, conditumque animo mœrorem indicans, quam etiam vitæ humilitatem canon appellavit); ab iis ergo nihil peccatum esse Patres asserunt. Neque enim, quod vel idolothytum ore vel quod thus aut aliquid simile manibus, nolentes exceperint, id criminis loco poni debet; si tamen illi interea quoque, dum hæc fierent, Christum appellabant, 377 Deumque ipsum esse profitebantur: ac tanquam nulli culpæ affines, nullo modo a communione arcendos esse definivere. Quod si nonnullos etiam, æquitatis forte ignoratione, aut plus justo diligentiores aliqui communione prohibuerint, sive e clero illi sive e populo fuerint, admittendos esse illico decrevere. Tantum porro abest, ut quæ supra commemoravimus, crimini sint ducenda, ut etiamsi laico homini cuipiam perferenda fuerint, nihil tamen, modo vitam alioqui suspicione vacuam ac probatam traduxerit, quominus ad sacros ordines evehi liceat, obstare velint.

ΑΡΙΣΤ. « Οἱ βασανισθέντες καὶ βιασύντες ἀληθῶς « καὶ μετὰ τυραννίδος βρώματα λαβόντες εἰδώ- « λου, τῆς κοινωνίας μὴ κωλυέσθωσαν. Καὶ « λαϊκοὶ δὲ τοῦτο παθόντες, ὡς οὐδὲν ἡμαρτηκό- « τες, εἰ βούλοιντο χειροτονίας τυχεῖν, τυγχα- « νέτωσαν, ἄλλως ἀνεπίληπτοι ὄντες. »

Οἱ μετὰ βασάνων εἰδωλόθυτον βρῶμα δέξασθαι βιασθέντες τῶν βιαζόντων τῷ στόματι αὐτῶν τοῦτο ἐμβαλόντων μετὰ ἀνάγκης, ὡσαύτως δὲ καὶ οἱ τοιουτοτρόπως λιβανωτὸν εἰς τὰς χεῖρας αὐτῶν δεξάμενοι, καὶ πρὸς βίαν εἰς τὸν τρίποδα ἐπιρρίψαι τοῦτο καταναγκασθέντες· ὁμολογοῦντες δὲ διόλου ὅτι εἰσὶ Χριστιανοὶ, καὶ τούτου συμβάντος πένθος ἀεὶ ἐπιδεικνύμενοι τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι, καὶ τῇ τοῦ βίου ταπεινότητι, οὗτοι ὡς ἔξω ἁμαρτήματος ὄντες, τῆς κοινωνίας μὴ κωλυέσθωσαν, ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ μενέτωσαν. Εἰ δὲ λαϊκοί εἰσιν οἱ τοιοῦτοι, καὶ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἐὰν ὁ προλαβὼν βίος αὐτῶν ἐστιν ἀνεπίληπτος· ἐκ τούτου μόνου οὐ κωλυθήσονται τῆς τοιαύτης ἐπιτυχεῖν τιμῆς.

ARIST. « Qui tormentis subjecti et vim vere passi « sunt, et post tyrannidem cibum idolis oblatum « sumunt, a communione ne prohibeantur. Et « laici hoc passi, ut nihil transgressi, si ordi- « nationem velint consequi, consequantur, modo « alter inculpati sint. »

Qui cum tormentis cibum idolis immolatum recipere coacti sunt, istis, qui eos cogunt, in os eorum illud violenter injicientibus; similiter et si thus eodem modo in manus suas recipiant, et illud per vim in tripodem injicere compulsi sint; sed confitentur omnino se esse Christianos, et cum hoc contigerit, luctum omni modestia et habitu et vitæ humilitate ostendunt, hi, ut qui sunt extra peccatum, a communione ne arceantur, sed in proprio honore maneant. Si autem tales sint laici et ordinationis compotes esse cupiunt, consequantur, si præcedens eorum vita inculpata fuerit: ex eo ejusmodi honoris participes esse ne prohibeantur.

ΚΑΝΩΝ Δ'.

« Περὶ τῶν πρὸς βίαν θυσάντων, ἔτι δὲ τούτοις καὶ « τῶν δειπνησάντων εἰς τὰ εἰδώλια ὅσοι μὲν ἀπαγό-

CANON IV.

« De iis, qui vi sacrificarunt, et præterea ad idola « pransi sunt, quicunque abducti quidem, et

« lætiore habitu accesserunt, et veste sumptuo- A
« siore usi sunt, et parati prandii, non ægre id
« ferentes, participes fuerunt, visum est, anno
« audire, tribus autem annis substerni, orationi
« vero duobus annis communicare, et tunc ad
« id quod est perfectum accedere. »

BALS. Cum expositus tertius canon indistincte ignovisset iis, qui vi idolothyta suscepissent: quoniam dicebant nonnulli eis etiam ignosci, qui ea vi comedissent, vel etiam sacrificassent; per hunc et quintum canonem statuerunt Patres, quod quicunque quidem, abducti ad idolicum prandium, lætum vultum ostenderunt, et cum splendidioribus vestibus discubuerunt, et eorum, quæ idolis immolata sunt, participes fuere, punientur, ut qui omnino impietati cesserint. Quamobrem anno uno divinas B
Scripturas audient in narthece, et postea triennio substernentur, id est, in ecclesia erunt post ambonem stantes, usque ad catechumenorum exitum; tunc enim ipsi quoque egrediantur. Completis autem his quoque tribus annis, una cum fidelibus biennio communicabunt, et ab eo tempore ad id quod perfectum est, devenient, hoc est, etiam divinorum sacramentorum erunt participes. Quicunque autem vi abducti mœsti fuerunt, et cum lugubri veste accubuerunt et comederunt, post substrationis triennium in ecclesiasticam communionem suscipientur, sed non etiam divinis digni sacramentis habebuntur. Id enim est eos sine oblatione suscipi. Si autem accubuerunt quidem, non autem C
comederunt, biennio substernentur, et tertio anno una cum fidelibus in ecclesia erunt sine oblatione: post ejus enim lapsum erunt divinæ communionis participes. Hæc autem omnia episcopali judicio Patres reliquere, ut juxta ejus qui peccavit **378**
conversationem et socordiam, vel augeantur pœnæ, vel diminuantur. Examinatur autem etiam prior eorum conversatio, ut vel humanitatem vel severitatem consequantur. Rogaverit autem quispiam, Et cur clerici quidem vel laici tertio canone indicati, qui vel thus vel idolothytum vi susceperunt, non puniuntur, ut qui non erraverint, sed etiam ad gradus ecclesiasticos promoventur; qui autem in quinti canonis fine continentur, et vi accubuerunt, puniuntur, ut qui peccarint, idque cum la- D
crymas funderent, et nec idolothyta quidem gustaverint? *Solutio.* Differentia est eorum, qui vi susceperunt dona profana, et ex facto proprio nihil

« μενοι, καὶ σχήματι φαιδροτέρῳ ἀνῆλθον, καὶ
« ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον
« τοῦ παρασκευασθέντος δείπνου ἀδιαφόρως, ἔδο-
« ξεν ἐνιαυτὸν ἀκροᾶσθαι (73), ὑποπεσεῖν δὲ τρία
« ἔτη, εὐχῆς δὲ κοινωνῆσαι ἔτη δύο, καὶ τότε
« ἐλθεῖν ἐπὶ τὸ τέλειον. »

ΒΑΛΣ. Τοῦ διαληφθέντος τρίτου κανόνος συγγνωμονήσαντος ἀδιαστίκτως τοῖς κατὰ βίαν ὑποδεξομένοις εἰδωλόθυτα· ἐπεί τινες ἤθελον καὶ τοὺς κατὰ βίαν φαγόντας αὐτὰ, ἢ καὶ θύσαντας, συγγινώσκεσθαι, ὥρισαν οἱ Πατέρες διὰ τούτου τοῦ κανόνος καὶ τοῦ πέμπτου, ὡς ὅσοι μὲν ἀπαγόμενοι πρὸς τὴν εἰδωλικὸν δεῖπνον σχῆμα χαιρόντων ἐνεδείξαντο, καὶ μετὰ λαμπροτέρων ἐσθήτων ἀνέπεσον, καὶ μετέσχον τῶν εἰδωλοθύτων, ἐπιτιμηθήσονται, ὡς ὅλως ἐνδόντες πρὸς τὴν ἀσέβειαν. Διὸ ἐπὶ ἕνα μὲν ἐνιαυτὸν ἀκροάσονται τῶν θείων Γραφῶν ἐν τῷ νάρθηκι, καὶ μετὰ τοῦτο ἐπὶ τριετίαν ὑποπέσωσι, τουτέστιν ἐκκλησιάσουσιν ὀπίσω τοῦ ἄμβωνος ἱστάμενοι, μέχρι τῆς τῶν κατηχουμένων ἐξελεύσεως· τηνικαῦτα γὰρ καὶ αὐτοὶ ἐξέλθωσι. Συμπληρωθέντων δὲ καὶ τούτων τῶν τριῶν ἐνιαυτῶν, ἐπὶ ἔτη δύο συγκοινωνήσουσι τοῖς πιστοῖς, καὶ ἔκτοτε εἰς τὸ τέλειον ἔλθωσι, τουτέστι, καὶ τῶν θείων ἁγιασμάτων μεταλάβωσιν. Ὅσοι δὲ ἀπαγόμενοι τὴν βίαν ἀπεκλαίοντο, καὶ μετὰ πενθικῆς ἐσθῆτος ἀνέπεσον καὶ ἔφαγον, μετὰ τὴν τριετίαν τῆς ὑποπτώσεως εἰς κοινωνίαν ἐκκλησιαστικὴν δεχθήσονται· οὐ μέντοι γε δὲ καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται. Τοῦτο γάρ ἐστι τὸ δεχθῆναι τούτους χωρὶς προσφορᾶς. Εἰ δὲ ἀνέπεσον μὲν, οὐκ ἔφαγον δὲ, ἐπὶ διετίαν ὑποπέσωσι, καὶ εἰς τὸν τρίτον χρόνον συνεκκλησιάσουσι τοῖς πιστοῖς χωρὶς προσφορᾶς· μετὰ γὰρ τὴν παραδρομὴν καὶ τούτου τῆς θείας μεταλήψεως ἀξιωθήσονται. Ταῦτα δὲ πάντα εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνέθεντο οἱ Πατέρες, ὡς ἂν πρὸς τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος καὶ τὴν ῥαθυμίαν ἢ προστεθήσονται τὰ ἐπιτίμια, ἢ ἐκκοπήσονται. Ἐξετάζεται δὲ καὶ ἡ προτέρα τούτων ἀναστροφὴ ἵνα ἢ φιλανθρωπίας ἢ αὐστηρίας τύχωσιν. Ἐρωτήσει δέ τις, Καὶ διὰ τί οἱ μὲν τῷ γ' κανόνι δηλούμενοι κληρικοὶ ἢ λαϊκοὶ κατὰ βίαν ὑποδεξάμενοι λίβανον ἢ εἰδωλόθυτον οὐκ ἐπιτιμῶνται, ὡς μὴ ἐπταικότες, ἀλλὰ καὶ εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προκόπτουσιν· οἱ δὲ ἐν τῷ τέλει τοῦ ε' κανόνος περιεχόμενοι, καὶ κατὰ βίαν ἀναπεσόντες, ἐπιτιμῶνται, ὡς ἡμαρτηκότες, καὶ ταῦτα δακρυῤῥοοῦντες, καὶ μηδὲ γευσάμενοι τῶν εἰδωλοθύτων; *Λύσις.* Διαφορά ἐστι τῶν κατὰ βίαν

Guill. Beveregii notæ.

(73) *Ενιαυτὸν ἀκροᾶσθαι.* Hæc synodus concreta fuit eorum causa, qui grassante persecutione lapsi fuerant. Quod etiam ab auctore nomocanonis Arabici in bibliotheca Bodleiana observatum est qui de præsenti synodo ait: *Quintus est liber canonum primi concilii, quod post apostolos convocatum est in urbe Ancyra de regione Galatiæ; et numerus ejus erat duodecim episcopi, qui eorum causa congregati sunt, qui tempore timoris per varia negandi genera lapsi fuerant; et numerantur ei in exemplari Coptico viginti quinque canones.* Hinc igitur evenit ut juxta varios modos, quibus lapsi sunt, varia etiam ecclesiastica supplicia ab iis a præsenti synodo exigantur: ut, exempli gratia, hoc canone cautum est, ut qui lætiore habitu accesserunt, et parati ethnicorum prandii indifferenter participes fuerunt, uno anno audiant, tribus substernantur, duobus autem in oratione sola communicent, et sic postea inter perfectos fideles recenseantur. In aliis canonibus hæc supplicia aliter definiuntur. Qualia ea fuerunt, non opus est hic repetamus, cum de iis in annotationibus ad undecimum primi œcumenici concilii Nicææ celebrati canonem fuse commentati fuerimus.

ὑποζυγιμένων τὰ βέβηλα δῶρα, καὶ μηδὲν ἐξ οἰκείου φάκτου ἐπταικότων, καὶ τῶν ἀπὸ βίας εργασαμένων ἀσεβές τι, ὅπερ ἐστὶ τὸ ἀναπεσεῖν εἰς τὸν δεῖπνον. Κἀντεῦθεν ἐκεῖνοι μὲν, ὡς μὴ διαπραξάμενοί τε κακὸν (παρὰ ἄλλων γὰρ εἰς τὸ στόμα ἢ εἰς τὰς χεῖρας αὐτῶν ἐνεβλήθη τὸ εἰδωλόθυτον), οὐκ ἐπιτεμῶνται· οὗτοι δὲ, ὡς ἀσέβειαν πλημμελήσαντες μετὰ οἰκείου φάκτου, δηλονότι ἀναπεσόντες, ἐπιτιμῶνται. Ταῦτα δὲ ἐθέσπισαν ἀκολούθως τοῖς ὑπὸ νόμον διορισθεῖσι. Φησὶ γὰρ ἐν βιβλίῳ δεκάτῳ τῶν Βασιλικῶν τίτλῳ α', ὡς τὸ μὲν κατὰ βίαν ἀφαιρεθὲν ἀπό τινος μένει πάλιν τῆς δεσποτείας τούτου, καὶ οὐδέποτε παρ' οἱουδήτινος δεσπόζεται κατὰ τὸν νόμον τὸν λέγοντα· Τὰ φούρτιβα καὶ τὰ βιπόσεσα οὐδέποτε οὐσουκαπιτεύονται, ἤτοι οὐ δεσπόζονται. Τὸ δὲ κατὰ φόβον δοθὲν πρός τινα παρά τινος, οὐσουκαπιτεύεται παρὰ τοῦ καλῇ πίστει νομέως, κἂν ὕπεστι τῷ φόβῳ καὶ βία· μετετέθη γὰρ τοῦτο διὰ οἰκείου φάκτου τοῦ ἀληθοῦς δεσπότου. Εὐλόγως τοίνυν ὁ μηδὲν ἐνεργήσας ἀσεβὲς οὐκ ἐπιτιμᾶται, ὥσπερ συγγινώσκεται καὶ ὁ κατὰ βίαν ἀφαιρεθεὶς τὸ οἰκεῖον, καὶ ἀνακαλεῖται αὐτὸ μέχρι τριακοντατίας· ὁ δὲ ἐργασάμενός τι ἀσεβὲς, ὡς ὁ ἀναπεσὼν κατὰ βίαν ἐπὶ τὸν βέβηλον δεῖπνον, ἐπιτιμᾶται, καθὼς οὐ συγγινώσκεται καὶ ὁ κατὰ φόβον οἰκειοχείρως παραδοὺς πρός τινα τὸ οἰκεῖον. Μετὰ γὰρ δεκαετίαν ἀπόλλυσι τὴν δεσποτείαν αὐτοῦ.

A deliquerunt, et eorum, qui aliquid impium vi fecerunt; cujusmodi videlicet est ad prandium accumbere. Unde illi quidem, ut qui mali nihil fecerint (ab aliis enim in os vel in manus ipsorum injectum est idolothytum), non puniuntur; hi autem, ut qui proprio facto peccatum admiserunt, nimirum lapsi sunt, puniuntur. Hæc autem consequenter iis, quæ a legibus statuta sunt definierunt. Dicitur enim in lib. x Basil. tit. 1, quod id, quod ab aliquo quidem vi ablatum est, rursus manet ejus dominii, nec ullius unquam dominio tenetur, ut vult lex quæ dicit: Furtiva et vi possessa nunquam usu capiuntur, sive dominio tenentur: quod autem alicui ab aliquo metu datum est, a bonæ fidei possessore usu capitur, etiamsi metui quoque vis B insit: veri enim domini proprio facto translata est. Jure ergo, qui nihil impium fecit, non punitur; quemadmodum et ei ignoscitur, cui vi suum ablatum est, si id ad triginta annos usque revocat. Qui autem aliquid impium fecit, ut qui in profano prandio vi accubuit, punitur; quemadmodum ei non ignoscitur, qui propria manu, quod suum est, alicui metu tradidit. Post decennium enim perdidit ejus dominium.

ΖΩΝΑΡ. Ὅσοι, φησὶν ὁ κανὼν, βιασθέντες ἔθυσαν, ἢ καὶ ἐν τοῖς εἰδώλοις ἐδείπνησαν μετασχόντες τῶν εἰδωλοθύτων, τούτων τὴν διάθεσιν χρὴ σκοπεῖν, καὶ πρὸς ἐκείνην τυποῦν αὐτοῖς καὶ τὰ ἐπιτίμια. Εἰ μὲν γὰρ ἀπαγόμενοι πρὸς τὸ θῦσαι ἢ δειπνῆσαι, καὶ σχῆμα φαιδρὸν ἐπεδείκνυντο, καὶ ἐσθῆτι λαμπρᾷ ἐκόσμησαν ἑαυτοὺς, καὶ τῶν εἰδωλοθύτων μετέσχον ἀδιαφόρως, τουτέστι μὴ διαφερόμενοι καὶ ἐσκυθρωπάζοντες ὡς μεμιασμένων γευόμενοι, ἀλλ' ἐμφορούμενοι τούτων, ὡς εἰ ἦσαν ἀμίαντα· τούτους ἐνιαυτὸν μὲν ἀκροᾶσθαι κελεύει, ἐν τῷ νάρθηκι ἱσταμένους, καὶ ἀκούοντας τῶν Γραφῶν, τρία δὲ ἔτη ὑποπίπτειν ἤτοι ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι, εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, ὅπερ ἐστὶ τὸ μέχρι τέλους συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὅπερ ἐστὶν ἡ τῶν ἁγιασμάτων μετάληψις.

ZONAR. Quicunque coacti immolavere, vel etiam in idolis accumbentes idolothyta gustarunt, eorum, inquit canon, animi affectionem intueri, proque illius ratione supplicia iisdem luenda moderari oportet. Etenim, si dum ad sacrificandum epulandumve abducerentur, et habitu hilari splendidioreque vestium ornatu induti incessere; et immolatorum absque discrimine participes fuere, hoc est perinde quasi nihil ab aliis ciborum generibus differrent, ita ut nihil, quod pollutis vescerentur, dolerent; verum iis sese, quasi non pollutis, afflatim ingurgitarent: eos unius anni spatio audire in narthece stantes, sacrarumque Scripturarum recitationi attentos, triennio vero substerni, hoc est post ambonem consistere, et cum catechumenis egredi, biennio vero precationi tantummodo communicare, hoc est, ad finem usque cum fidelibus interesse, et cum iis una precationi vacare jubet; sanctorum videlicet mysteriorum perceptionem, atque ita demum postea ad id quod perfectum est, accedendi potestatem facit.

ΑΡΙΣΤ. « Ὅσοι ἀπαγόμενοι μετὰ θυμηδίας ἀνῆλθον καὶ ἔφαγον, ἐπὶ ἓξ ἐτείαν ὑποπιπτέτωσαν »

Ὅσοι θῦσαι ἐβιάσθησαν, ἢ καὶ δειπνῆσαι ἐν τῷ εἰδωλείῳ, ἐὰν μετὰ τοῦτο ὑπείξαντες μετὰ σχήματος φαιδροτέρου ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ τοῦ δείπνου μετέσχον, ἢ καὶ τὴν θυσίαν προσέφερον· οὗτοι ἐπὶ ἐνιαυτὸν μετὰ τῶν ἀκροωμένων ταχθήσονται, ἐπὶ δὲ τρία ἔτη ὑποπεσοῦνται, καὶ ἐφ' ἕτερα δύο ἔτη μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξονται, καὶ μόνων τῶν εὐχῶν κοινωνήσουσι· μετὰ δὲ τὴν ἑξαετίαν ταύτην τῆς τελειότητος τύχωσι, καὶ τῶν θείων ἁγιασμάτων μεταδοθήσεται.

D ARIST. « Quotquot abducti cum lætitia ascenderunt et comederunt, sex annos se submittant. »

Quicunque sacrificare vel in idoli templo prandere coacti sunt, si postea cedentes habitu splendidiori incedebant, aut amictu utebantur sumptuosiori, et prandii partem accipiebant, et sacrificium offerebant, hi uno anno inter audientes constituentur, tres autem annos substernentur, et duos alios annos una cum fidelibus collocati erunt, et precum solarum erunt participes: post sex autem istos annos perfectionis compotes fient, et divinorum sacramentorum participes.

379 CANON V.

« Quicunque autem cum veste lugubri accesserunt, « et accumbentes comederunt, interea toto accubitus tempore lacrymas fundentes, si triennale « substrationis tempus compleverint, sine oblatione recipiantur : sin autem non comederint, « biennio substrati, tertio anno communicent « sine oblatione, ut perfectionem triennio consequantur. Episcopi autem potestatem habeant, « conversationis modum examinantes, vel utendi « clementia, vel plus temporis adjiciendi. Ante « omnia autem et præcedens vita, et quæ consecuta est, examinetur, et sic eis clementia impertiatur. »

BALS. De præsenti canone tractavimus in interpretatione canonis 4, et ne quid amplius quære.

ZONAR. Eorum, qui vi adacti idolis immolarunt, affectionem uniuscujusque cognoscendam, proque ejus ratione cum singulis agendum esse constitutum est. Cum ergo de iis qui, nihil dolentes, sed lætitiæ potius aliquid præ se ferentes, immolavere, canon antea disseruerit; nunc de iis qui idolothyta scilicet, verum non sine acerbo animi sensu ac lacrymis, gustavere, decernit. Quos quidem, exacto substrationis triennio, in conventum absque oblatione admitti, hoc est, in ecclesia quidem cum fidelibus consistere, non tamen communicare jubet. Quod si nihil, inquit, ex immolatis gustavere, biennio substrati, hoc est, in catechumenorum statione agentes, et cum iis simul exeuntes, ubi tertium annum attigerint, absque oblatione communicare, fidelium nempe societati, liceat. Communionem namque hoc loco, non sacramentorum perceptionem, sed solam cum fidelibus consociationem intelligit. Quare illud addidit, sine oblatione, ut tertio anno quod perfectum est accipiant, ut, inquam, exacto triennio, communionis quoque boni participes fiant. Atque hæc quidem ita a sanctis Patribus constituta sunt. Sed cum æqualem non esse in omnibus pœnitentiæ rationem, ac alios quidem perfectiore conatu, remissiore alios in expiandis criminibus laborare intelligerent; de unoquoque statuendi potestatem omnem episcopis permisere, ut, quam quisque emendationis rationem ostendat, in singulis explorent, ac in quibus pœnitentiæ studium ardentius perspexerint, eos benignius accipiant, tempusque animadversionis contrahant; vel etiam ad præfinitum illud criminis luendi spatium iis, qui remissiorem pœnitentiam agunt, adjungant: anteactam quoque eorum, et quæ postea consecuta est, vivendi rationem inspiciant; num moderate ac religiose, an remisse dissoluteque egerint, agantque in præsentia, et sic benignitatis quoque erga illos modum adhibeant.

ARIST. « Qui cum lugubri veste ascenderunt, « et cum lacrymis comederunt, triennio substernantur; si vero non comederunt, biennio. Præcedens vero subsequensque vita, ut bona vel « mala, episcopum humaniorem aut severiorem « ostendit. »

Qui ad idolorum templum accedere coacti, et in eodem edere, si lugubri amictu accedebant, et dum comederent lacrymas effundebant, hi ut tormentis

A

ΚΑΝΩΝ Ε'.

« Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς, καὶ ἀνα- « πεσόντες ἔφαγον, μεταξὺ δι' ὅλης τῆς ἀνακλίσεως « δακρύοντες, εἰ ἐπλήρωσαν τὴν τῆς ὑποπτώσεως « τριετῆ χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν· « εἰ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ τρίτῳ « κοινωνείτωσαν ἔτει χωρὶς προσφορᾶς, ἵνα τὸ « τέλειον τῇ τετραετίᾳ λάβωσιν. Τοὺς δὲ ἐπισκόπους « ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δο- « κιμάσαντας φιλανθρωπεύσασθαι ἢ πλείονα προσ- « τιθέναι χρόνον. Πρὸ πάντων δὲ καὶ ὁ πρόαγων « βίος, καὶ ὁ μετὰ ταῦτα, ἐξεταζέσθω, καὶ οὕτως « ἡ φιλανθρωπία ἐπιμετρείσθω. »

B

ΒΑΛΣ. Περὶ τοῦ παρόντος κανόνος διελάβομεν ἐν τῇ ἑρμηνείᾳ τοῦ δ' κανόνος, καὶ πλέον τι μὴ ζήτει.

ΖΩΝΑΡ. Εἴρηται τὴν διάθεσιν σκοπεῖν τῶν θυσάντων ἐκ βίας, καὶ πρὸς ἐκείνην οἰκονομεῖν αὐτούς. Εἰπὼν οὖν ὁ κανὼν τὰ περὶ τῶν θυσάντων, καὶ μὴ πενθούντων, ἀλλὰ φαιδρότερον διακειμένων, νῦν καὶ περὶ τῶν φαγόντων μὲν εἰδωλόθυτα, δακνομένων δ' ἐπὶ τούτῳ καὶ δακρυόντων, φησίν. Οὓς μετὰ τριετίαν τῆς ὑποπτώσεως δέχεσθαι παρακελεύεται εἰς σύστασιν χωρὶς προσφορᾶς, ἤγουν συνίστασθαι μὲν ἐν τῇ ἐκκλησίᾳ τοῖς πιστοῖς, μὴ μεταλαμβάνειν δέ. Εἰ δὲ οὐκ ἔφαγον, φησὶ, διετίαν ὑποπεσόντες, τουτέστι μετὰ τῶν κατηχουμένων ἱστάμενοι, καὶ σὺν ἐκείνοις ἐξερχόμενοι, τοῦ τρίτου ἄψαμενοι ἐνιαυτοῦ κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἤγουν τῆς μετὰ τῶν πι- C στῶν στάσεως. Κοινωνίαν γὰρ ἐνταῦθα οὐ τὴν μετάληψιν τῶν ἁγιασμάτων λέγει, ἀλλὰ τὴν μετὰ τῶν πιστῶν σύστασιν. Διὸ ἐπήνεγκε, χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τριετίᾳ λάβωσιν, ἵνα πληρουμένης τῆς τριετίας καὶ τοῦ ἀγαθοῦ μετάσχωσι. Ταῦτα μὲν ὥρισαν οἱ τῆς συνόδου. Ἐπειδὴ ἤδεισαν ὅτι οὐ πάντες ὁμοίως μετανοοῦσιν, ἀλλ' οἱ μὲν ἐπιμελέστερον ἔχοντες τῆς μετανοίας, οἱ δὲ ῥᾳθυμότερον, τὸ πᾶν τῆς ἐπ' αὐτοῖς οἰκονομίας τοῖς ἐπισκόποις ἀνέθεντο, ὥστε δοκιμάζειν ἐκείνους τὸν τρόπον τῆς ἑκάστου ἐπιστροφῆς, καὶ φιλανθρωπεύεσθαι, καὶ συστέλλειν τὸν χρόνον τῶν ἐπιτιμίων τοῖς θερμότερον μετανοοῦσι, καὶ πλείονα προστιθέναι χρόνον τοῖς νωθρότερον, σκοπεῖν δὲ καὶ τὸν προλαβόντα βίον αὐτῶν, καὶ τὸν μετὰ ταῦτα, εἰ σωφρόνως ἔζων καὶ συντετηρημένως, καὶ D ζῶσιν, ἢ ἀνειμένως καὶ ἀδιαφόρως, καὶ οὕτως ἐπιμετρεῖν αὐτοῖς τὴν φιλανθρωπίαν.

ΑΡΙΣΤ. « Οἱ μετὰ πενθικῆς στολῆς ἀνεληλυθότες, « καὶ φαγόντες μετὰ δακρύων, τριετίαν ὑποπι- « πτέτωσαν· εἰ δὲ μὴ ἔφαγον, διετίαν. Ὁ προά- « γων δὲ βίος, καὶ ὁ ἑπόμενος σπουδαῖος ὤν, ἢ οὐ « σπουδαῖος, τὸν ἐπίσκοπον φιλανθρωπότερον ἢ « ἀφιλανθρωπότερον δείκνυσιν. »

Οἱ εἰς τὸ εἰδωλεῖον ἀνελθεῖν βιασθέντες, καὶ φαγεῖν ἐν αὐτῷ, ἐὰν μετὰ πενθικῆς ἀνῆλθον στολῆς, καὶ ἐν τῷ ἐσθίειν ἐδάκρυον, οὗτοι ὡς τῇ κολάσει

ὑπεξάντες, καὶ τὸ πᾶν μὴ λογιζόμενοι ἀκουσίως ποιῆσαι, διὰ τὸ τοῖς οἰκείοις μέλεσι χρήσασθαι εἰς τὴν τῶν ἀπαιτουμένων ἀθέσμων ἐκπλήρωσιν, τριετίαν μόνην ὑποπιπτέτωσαν. Εἶτα χωρὶς τῆς μετοχῆς τῶν θείων ἁγιασμάτων δεχθήτωσαν μετὰ τῶν πιστῶν. Εἰ δὲ μὴ ἔφαγον, ἀνῆλθον δὲ μόνον, ἐπὶ διετίαν ἔσονται ὑποπίπτοντες, ἐπὶ ἐνιαυτὸν τοῖς πιστοῖς συνιστάμενοι. Καὶ μετὰ ταύτην τὴν τριετίαν τὴν τελειότητα λάβωσι. Παρὰ τῇ ἐξουσίᾳ δὲ κείσεται τοῦ ἐπισκόπου, ὡς ὁρᾷ αὐτοὺς εἴτε σπουδάζοντας εἴτε καὶ ἀμελοῦντας, οὕτω καὶ διατεθῆναι, καὶ ἢ φιλανθρωπεύσασθαι καὶ συντεμεῖν τὸν χρόνον τῆς μετανοίας, ἢ μᾶλλον προσθεῖναι. Κατεξετάσει δὲ καὶ τὸν προλαβόντα βίον αὐτῶν ὁποῖος ἦν· καὶ ἐξ ἀμφοτέρων τῶν καταστάσεων, τῆς τε νῦν ὁποίας καὶ τῆς προτέρας, ἢ μειώσει, ἢ ἐπαυξήσει τὰ ἐπιτίμια.

ΚΑΝΩΝ Ϛ'.

« Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολάσεως καὶ « ἀφαιρέσεως ὑπαρχόντων, ἢ μετοικίας, καὶ θυ- « σάντων, καὶ μέχρι τοῦ παρόντος καιροῦ μὴ με- « τανοησάντων, μηδὲ ἐπιστρεψάντων, νῦν δὲ παρὰ « τὸν καιρὸν (74) τῆς συνόδου προσελθόντων, καὶ « εἰς διάνοιαν τῆς ἐπιστροφῆς γενομένων, ἔδοξε « μέχρι τῆς μεγάλης ἡμέρας (75) εἰς ἀκρόασιν « δεχθῆναι, καὶ μετὰ τὴν μεγάλην ἡμέραν ὑπο- « πεσεῖν τρία ἔτη, καὶ μετὰ ἄλλα δύο ἔτη κοινωνῆ- « σαι χωρὶς προσφορᾶς, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ « τέλειον, ὥστε τὴν πᾶσαν ἐξαετίαν πληρῶσαι. Εἰ « δέ τινες πρὸ τῆς συνόδου ταύτης ἐδέχθησαν εἰς « μετάνοιαν, ἀπ' ἐκείνου τοῦ χρόνου λελογίσθαι « αὐτοῖς τὴν ἐξαετίαν. Εἰ μέντοι κίνδυνος καὶ θα- « νάτου προσδοκία ἐκ νόσου ἢ ἄλλης τινὸς προ- « φάσεως συμβαίη, τούτους ἐπὶ ὅριῳ δεχθῆναι. »

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι Πατέρες τί ὀφείλει γίνεσθαι εἰς τοὺς θύσαντας διὰ τὸ ἀνυπόστατον τῶν βασάνων, ἀρτίως διαλαμβάνουσι περὶ τῶν θυσάντων διὰ μόνην ἀπειλὴν κολάσεως ἢ ἀφαίρεσιν τῶν προσόντων τούτοις ἢ ἐξορίαν, καὶ μὴ μετανοησάντων μέχρι τοῦ καιροῦ τῆς συνόδου. Διορίζονται οὖν, ὡς ἐπεὶ ἀρτίως προσίρχονται τῇ ἐκκλησίᾳ, ὀφείλουσιν ἐπιτιμηθῆναι· καὶ πρῶτον μὲν ἀκροᾶσθαι τῶν θείων Γραφῶν ἐν τῷ νάρθηκι μέχρι τῆς μεγάλης ἡμέρας, ἤτοι τοῦ Πάσχα, καὶ μετὰ τοῦτο ὑποπίπτειν ἐπὶ ἔτη τρία, καὶ ἔκτοτε ἐκκλησιάζειν μετὰ τῶν πιστῶν ἐπὶ ἔτη δύο· καὶ οὕτω μεταλαμβάνειν τῶν ἁγιασμάτων, ὡς ἤδη ἑξαετίας πληρωθείσης. Ἐπεὶ δέ, φασί, τινὲς

A cedentes, et omnia involuntarie fecisse non reputati qui ad illicitorum quæ ab eis exacta fuerunt explectionem propriis suis membris usi sunt, tres solos annos discumbent; postea sine divinorum sacramentorum participatione inter fideles recipiantur. Si autem non edebant, sed accedebant tantum, duos annos substernentur, unum annum cum fidelibus constituti. Et post tres istos annos perfectionem accipiant. In episcopi autem potestate ponitur, ut videt vel diligentes vel negligentes, sic eos tractare, et vel humaniorem se gerere et pœnitentiæ tempus decurtare, vel etiam plus addere. Examinabit autem et præcedentem **380** eorum vitam qualis erat, et ex utriusque vitæ ni-
B mirum et præsentis et præcedentis constitutionibus vel minuet pœnas vel augebit.

CANON VI.

« De iis, qui solis supplicii minis et bonorum ablationis vel exterminationis cesserunt et sacrifi- « carunt, et ad præsens usque tempus pœniten- « tiam non egerunt, nec conversi sunt, nunc « autem circa tempus synodi accesserunt, et « conversionis cogitationem induerunt, visum « est ad magnum usque diem eos ad auditionem « admitti, et post magnum diem tribus annis « substerni, et post alios duos annos communi- « care sine oblatione, et sic ad id quod est per- « fectum venire, ut totum sexennium impleant. « Si qui autem ante hanc synodum ad pœniten- « tiam admissi sunt, ab illo tempore eis sexen- « nium computari. Sed si periculum mortisque « exspectatio ex morbo vel aliqua alia occasione « evenerit, ii sub definitione recipiantur.

BALS. Postquam dixerunt sancti Patres quid debeat fieri in eos qui sacrificarunt eo quod tormenta sustinere non possent, nunc de iis tractant, qui propter solas minas suppliciorum, vel eorum quæ habent ablationem, vel exsilium, sacrificarunt, et usque ad tempus synodi pœnitentiam non egerunt. Decernunt ergo quod, quoniam nuper ad ecclesiam veniunt, debent puniri: et primum quidem audire Scripturas in narthece usque ad magnum diem, scilicet Paschæ, et postea tribus annis substerni, tum fidelium concioni duobus annis interesse, et sic esse sacramentorum participes, tanquam jam impleto sexennio. Quoniam autem, inquiunt, qui-

Guill. Beveregii notæ.

(74) *Νῦν δὲ παρὰ τὸν καιρόν.* Sic hunc locum legit, non modo codex noster Bodleianus, verum etiam Ætoniensis, et Joannes Antiochenus in Collectione canonum, necnon Parisienses Balsamonis Zonaræque editiones, una cum veteribus Latinis interpretibus. Nam Isidorus Mercator vertit: *Nunc autem, id est tempore hujus synodi, se obtulerunt;* et Dionysius Exiguus *Nunc hujus concilii tempore semet obtulerunt;* at codex Amerbachianus e contra legit, μηδὲ περὶ τὸν καιρὸν τῆς συνόδου προσελθόντων. Sed altera lectio præferenda videtur, non tantum quod communior sit, sed et eo quod loco Patrumque menti melius conveniat. Quid sibi velit vetus interpres per suam hujus loci versionem incertum est; vertit enim, *et nunc extra tempora synodi supplicantes.* Quæ quidem verba neutri e prædictis lectionibus respondent.

(75) *Μέχρι τῆς μεγάλης ἡμέρας.* Per magnum diem intelligendum est sanctum *Pascha*, ita dictum ob magna illa beneficia quæ Servator noster per resurrectionem suam isto die nobis conciliavit; unde etiam Sabbatum præcedens vocatur μέγα Σάββατον, et Parasceve sive sexta feria mox antecedens, μεγάλη Παρασκευή, et tota quidem ea septimana, in qua Dominus noster crucifixus est, quæque magnum istum diem Paschalem præcedit, μεγάλη Ἑβδομάς veteribus passim nuncupatur.

dam ex iis ad pœnitentiam suscepti sunt, debet eis reputari sexennium ab eo tempore quo ad pœnitentiam conversi sunt. Quicunque autem ex iis veniunt in periculum, ne ex morbo vel aliqua alia causa moriantur, divinorum sacramentorum participatione digni habebuntur. Quod si ipsos non mori contigerit, ne amplius communicent, tanquam pœna soluti, nisi præfinitum sexennium præterierit. Hoc enim est illud, sub definitione, scilicet sub distinctione, recipi ad divinorum sacramentorum participationem. Nota ergo quod li magis puniuntur, qui non sunt tormentis affecti et sacrificarunt, quam qui tormenta passi sacrificarunt.

ZONAR. Quicunque nulla tormentorum experientia minis cessere, jacturamque pecuniarum aut exsilium (id enim μετοικία significat) metuentes immolavere, neque postea conversi sunt, nunc vero, inquiunt Patres, synodi tempore accedunt, et pœnitentiam agere velint, ad magnum usque diem inter audientes admitti placuit. Magnum autem diem sanctum Pascha, Domini videlicet resurrectionem, nominavere. Tum a Paschate triennium in substratione degere, hoc est, in catechumenorum statione commorari, cumque illis exire; deinde biennio absque oblatione communicare, hoc est, inter fideles, absque ulla tamen sacrorum perceptione versari, atque hoc pacto ad perfectum, sanctificatorum scilicet sumptionem, accedere; proindeque in omnibus pœnarum locis sexennium absolvi. Si qui vero, inquiunt, sese, priusquam synodus haberetur, obtulere, ac ad pœnitentiam admissi sunt, ab eo tempore sexennium numerari, hoc est, ipsis præfiniri placet. Quod si eos, quibus pœnæ nomine communione interdictum est, ob morbum aliamve quamcunque causam in discrimen vitæ vocari contingat, ad sacrorum munerum communionem admitti; sed ea tamen lege, sive distinctione, ut si valetudinem evitata morte recuperarint, communione rursus, ad præfinitum usque sexennii tempus, omnino careant.

381 ARIST. « Vir qui minis tantum cesserit, et sacrificaverit, deinde resipuerit, quinquennio substernatur. »

Qui tormentis non subjecti erant, sed minis solis terrefacti et sacrificabant et aliquandiu in errore isto permanebant, postea autem resipiscebant et conversi fuere, per annum quidem inter audientes erunt, triennio cum substratis, biennio cum fidelibus constituentur, et precibus solis communicabunt, et post omnes sex annos elapsos ad perfectionem venient, et divinæ communionis participes erunt.

CANON VII.

« De iis qui in festo ethnico, in loco gentilibus deputato convivati sunt, et proprios cibos

A ἀπὸ τούτων προσεδέχθησαν εἰς μετάνοιαν, ὀφείλει λογισθῆναι αὐτοῖς ἡ ἐξαετία ἀφ' οὗ καιροῦ ἐπέστρεψαν εἰς μετάνοιαν. Ὅσοι μέντοι ἐξ αὐτῶν κινδυνεύουσι τελευτῆσαι ἀπὸ νόσου ἢ ἑτέρας τινὸς αἰτίας, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται. Πλὴν εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, μηκέτι αὖθις κοινωνεῖτωσαν, ὡς ἀνεπιτίμητοι, εἰ μὴ παρέλθῃ ἡ ὡρισμένη ἐξαετία. Τοῦτο γάρ ἐστι τὸ ἐπὶ ὅρῳ, ἤγουν ἐπὶ διαστίξει, δεχθῆναι τούτους εἰς τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν. Ὥστε σημείωσαι ὅτι πλείονος ἐπιτιμῶνται οἱ μὴ βασανισθέντες καὶ θύσαντες, παρὰ τοὺς βασανισθέντας καὶ θύσαντας.

B ΖΩΝΑΡ. Τοὺς μὴ μέχρι πείρας βασάνων ἐληλυθότας, ἀλλὰ ἀπειλαῖς εἴξαντας, καὶ ἀφαίρεσιν φοβηθέντας χρημάτων, ἢ μετοικίαν, τουτέστιν ἐξορίαν, καὶ θύσαντας μὴ ἐπιστρέψαντας (76), νῦν δέ, φασὶν οἱ Πατέρες, κατὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντας, καὶ μετανοῆσαι θελήσαντας, ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι. Μεγάλην δὲ ἡμέραν τὸ ἅγιον Πάσχα ὠνόμασαν, τὴν τοῦ Κυρίου δηλονότι ἀνάστασιν. Καὶ μετὰ τὸ Πάσχα τρία ἔτη εἶναι ἐν ὑποπτώσει, μετὰ τῶν κατηχουμένων δηλαδὴ συνισταμένους, καὶ σὺν αὐτοῖς ἐξιόντας, καὶ ἄλλα δύο ἔτη κοινωνῆσαι χωρὶς προσφορᾶς, ἀντὶ τοῦ συνίστασθαι τοῖς πιστοῖς μὴ μεταλαμβάνοντας, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ἤγουν τὴν τῶν ἁγιασμάτων μετάληψιν· ὥστε διὰ πάντων τῶν τόπων τῶν ἐπιτιμίων πληρῶσαι τὴν ἐξαετίαν. Εἰ δέ τινες, φασὶ, C πρὸ τῆς συνόδου προσῆλθον, καὶ ἐδέχθησαν εἰς μετάνοιαν, ἔκτοτε λογίζεσθαι, ἤγουν συμψηφίζεσθαι αὐτοῖς τὸν χρόνον τῆς ἐξαετίας. Εἰ δὲ τοῖς ἐν ἐπιτιμίοις ἀκοινωνησίᾳ οὖσι νοσήσασιν, ἢ ἄλλως πως κίνδυνος θανάτου γένηται προσδοκήσιμος, τούτους δεχθήσεσθαι μὲν εἰς κοινωνίαν τῶν ἁγίων δώρων, ἐπὶ ὅρῳ δέ, ἤγουν ἐπὶ διαστίξει, ὥστε, εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, ἀλλὰ ἀναῤῥωσθῆναι, μηκέτι αὖθις κοινωνῆσαι, εἰ μὴ ὁ ὡρισμένος παρέλθῃ χρόνος τῆς ἐξαετίας.

ΑΡΙΣΤ. « Ἀνὴρ ἀπειλῇ μόνον εἴξας, καὶ θύσας, « εἶτα μετανοήσας, πενταετίαν ὑποπιπτέτω. »

Οἱ μὴ ὑπενεγκόντες βάσανα, ἀλλ' ὑπὸ μόνης D ἀπειλῆς πτοηθέντες, καὶ θύσαντες, καὶ ἐπὶ καιρὸν τῇ πλάνῃ ταύτῃ προσκαρτερήσαντες, εἶτα μετανοήσαντες καὶ ἐπιστρέψαντες, ἐνιαυτὸν μὲν ἐπ' ἀκροωμένοις ἔσονται, ἐπὶ τριετίαν μετὰ τῶν ὑποπιπτόντων, ἐπὶ διετίαν συστήσονται μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν κοινωνήσουσι μόνον· καὶ μετὰ τὸ πληρῶσαι τὴν πᾶσαν ἐξαετίαν, ἐλεύσονται ἐπὶ τὸ τέλος, καὶ τῆς θείας μετάσχωσι μεταλήψεως.

ΚΑΝΩΝ Ζ'.

« Περὶ τῶν συνεστιαθέντων ἐν ἐθνικῇ ἑορτῇ ἐν τόπῳ « ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἴδια βρώματα ἐπι-

Guill. Beveregii notæ.

(76) *Καὶ θύσαντας μὴ ἐπιστρέψαντας.* Codex Amerbachianus rectius legit θύσαντας καὶ μηδὲ μετὰ ταῦτα μετανοήσαντας, ἢ ἐπιστρέψαντας. Quomodo etiam Gallandi codex locum hunc legit.

« καμισαμένων ἢ καὶ φαγόν.ων ἐὸ.ξε δεκτέαν ὑπο- A
« μεσόντας δεχθῆναι· τὸ δὲ, εἰ χρὴ μετὰ τῆς προσ-
« φορᾶς, ἕκαστον τῶν ἐπισκόπων ἐστὶ τὸ δοκιμά-
« σαι, καὶ τὸν ἄλλον βίον ἑφ' ἑκάστου ἐξετάσαι. »

« attulerunt vel comederunt, placuit, cum bienuio
« substrati fuerint, esse recipiendos : an cum
« oblatione recipere oporteat, est episcoporum
« examinare, et aliam vitam in unoquoque inqui
« rere. »

ΒΑΛΣ. Τινὲς πιστοὶ εὑρεθέντες ἐν χώραις ἀλλο-
εθνῶν κατά τινα καιρὸν ἑορτῆς ἐθνικῆς συνέφαγον
τούτοις ἐν τόπῳ τινὶ ἀφωρισμένῳ εἰς τοῦτο αὐτό.
Ὅτι δὲ οὐκ ἦσαν τὰ βρώματα ἀπὸ ἐθνικῶν, ἀλλ'
οἰκεῖα, ἤθελον συντηρηθῆναι ἀκαταστάτους. Φασὶ
γοῦν οἱ Πατέρες ὡς, εἰ καὶ μὴ ἐμολύνθησαν διὰ
βρωμάτων μυσαρῶν, ἀλλ' ἐπεὶ συνεπίεσαν μετὰ
ἀπίστων, καὶ διὰ κοινῆς τραπέζης συνεκοινώνησαν
ὥσπερ αὐτοῖς ἑορτάζουσιν, ἐπιτιμηθήσονται εἰς
ὑπόπτωσιν καὶ δίαιταν· καὶ μετὰ τοῦτο δεχθήσονται
κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου, εἴτε εἰς μόνην B
κοινωνίαν, εἴτε καὶ εἰς ἁγίαν μετάληψιν. Τί δέ,
ἐὰν μὴ κατὰ τὸν ἑορτάσιμον καιρὸν, ἀλλ' ἐν ἑτέρᾳ
ἡμέρᾳ καὶ ἐν ἑτέρῳ τόπῳ συνέφαγον μετὰ τῶν ἀπί-
στων, ἀνεπιτίμητοι ἔσονται; *Λύσις.* Οὐδαμῶς. Καὶ
οὗτοι γὰρ ἐπιτιμηθήσονται. Εἰ μὲν γὰρ ἐξ ἀνάγκης
συνέφαγον μετὰ τῶν ἀπίστων, ὡς πρεσβεῦσαι τυχὸν
ὄντες ἢ αἰχμάλωτοι, διὰ μετρίου φαρμάκου θερα-
πευθήσονται· εἰ δὲ ἀπὸ καταφρονήσεως καὶ ἀδια-
φορίας, πλείονας ἐπιτιμηθήσονται· πλὴν οὐ κατ'
ἐκείνους; τοὺς δόξαντας συνεορτάζειν μετὰ τῶν ἀπί-
στων. Ὥσπερ πάλιν ἐκείνοις καὶ τούτων τιμωρη-
θήσονται, οἱ μὴ φαγόντες οἰκεῖα βρώματα, ἀλλὰ
τὰ τῆς ἐθνικῆς ἑορτῆς. Ταῦτα δὲ πάντα εἰς τὴν τοῦ
ἐπισκόπου διάκρισιν ἀνηρτήθησαν. Σημείωσαι
ταῦτα, πολλὰ χρησιμεύσαι σοι ὀφείλοντα εἰς τοὺς C
μετὰ τῶν Ἀγαρηνῶν συμφαγόντας, ἢ ἄλλων ἐθνι-
κῶν. Οἱ Ἴβηρες δὲ διάφορον λέγουσιν εἶναι τὸ
μετὰ τῶν ὀρθοδόξων καὶ αἱρετικῶν ἐσθίειν· καὶ
πῶς τοῦτο γίνεται ἀγνοῶ.

BALS. Quidam fideles, in alienarum gentium regionibus inventi, quodam tempore festi ethnici cum eis in loco aliquo ad hoc ipsum deputato comederunt. Quia autem non erant gentilium cibi, sed essi, ne ab omni reprehensione alienos conservari volebant. Dicunt ergo Patres, quod, etsi execrabilibus cibis non sunt inquinati, quia tamen cum infidelibus accubuerunt, et per communem mensam cum illis festum agentibus communicarunt, per biennium substratione punientur : et postea secundum episcopi examinationem, vel ad solam communionem vel ad sanctam etiam participationem recipientur. Quid autem, si non in tempore festi, sed in alio die et in alio loco, cum infidelibus comederunt, nunquid pœnam non erunt obnoxii? *Solutio.* Nequaquam. Nam sic quoque punientur. Si enim ex necessitate cum infidelibus comederunt, ut qui sunt fortasse legati vel captivi, medicinali medicamento curabuntur : sin autem ex contemptu vel indifferentia, magis punientur ; sed non ut illi, qui cum eis festum celebrare visi sunt. Quemadmodum et magis quam illi punientur quoque ii qui non suos, sed festi ethnici cibos comederunt. Hæc autem omnia episcopi judicio sunt relinquenda. Nota hanc, quæ tibi valde multa fatera sunt adversus eos qui una cum Saracenis comedunt, vel cum aliis gentilibus. Iberes autem nihil referre dicunt, an cum orthodoxis, an cum hæreticis comedatur : et quomodo hoc fiat nescio.

ΖΩΝΑΡ. Εἰ δέ τινες ἐν ἑορτῇ ἐθνικῇ συνεστιάθησαν
ἐθνικοῖς, ἐν ἐπίσσοις ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνι-
κοῖς, ἐν εἰδωλείῳ τυχὸν ἢ ἄλλῳ τόπῳ εἰς τελετὰς
αὐτοῖς τελουμένας ἀνειμένῳ, κἂν ἴδια βρώματα
ἐκόμισαν καὶ ἔφαγον οἱ πιστοὶ, δι' αὐτὸ μένει τὸ
συνεστιαθῆναι τοῖς ἐθνικοῖς, καὶ οὕτω δέξαι συνερ-
τάσαι αὐτοῖς, ἴδοξε τῇ συνόδῳ διετίαν ὑποπεσεῖν
αὐτοὺς, τουτέστι, μετὰ τῶν κατηχουμένων ἑστασθαι
καὶ σὺν αὐτοῖς ἐξιέναι, καὶ μετὰ τὴν διετίαν δε- D
χθῆναι. Ὅπως δὲ χρὴ ἕκαστον αὐτῶν δεχθῆναι εἴτε
καὶ εἰς μετάληψιν τῶν ἁγιασμάτων, εἴτε εἰς μόνην τὴν
μετὰ τῶν πιστῶν σύστασιν, τῶν ἐπισκόπων ἐστὶ,
φασὶ, δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἑκάστου ἐξετάσαι.

ZONAR. Si qui vero aliquo ex iis diebus, qui ethnicorum consuetudine solennes habentur, definito apud ipsos loco, utpote in idolio forte aut alio in hos celebritatum usus addicto, convivia cum ethnicis obierint ; quamvis proprios cibos, quibus ipsi vescerentur domi, fideles attulerint, ob hoc ipsum, quod cum ethnicis epulati sint, speciemque proinde cum eis festum diem celebrantium præbuerint, biennio substerni, hoc est, stare cum catechumenis et cum ilsdem egredi, biennoque exacto rursum admitti, synodica constitutione decretum est. De singulis porro quid statuendum, an ad sanctificatorum perceptionem, an vero ad solam cum fidelibus communionem admitti oporteat, episcoporum judicio, a quibus reliqua etiam uniuscujusque vita examinetur, definiri placet.

ΑΡΙΣΤ. « Ἐάν τις, ἴδια βρώματα ἔχων, συνεστιάθη
« τοῖς ἐθνεσιν ἐν ταῖς ἑορταῖς αὐτῶν, διετίαν
« ὑποπιπτέτω. »

Εἴ τις ἐν ταῖς ἑορταῖς τῶν ἐθνῶν ταῖς ἐν ἀφω-
ρισμένῳ τινὶ τόπῳ γινομέναις συνῆλθε, καὶ ἴδια
βρώματα ἔχων, συνέφαγε μετ' αὐτῶν, διετίαν μό-
νην ὑποπιπτέτω· εἰ δὲ χρὴ αὐτὸν ἔκτοτε εἴτε τῶν
εὐχῶν μόνων μετὰ τῶν πιστῶν κοινωνεῖν, ἢ καὶ τῶν

ARIST. « Si quis proprios habens cibos, cum eth
« nicis comederit in eorum festis, biennio subster-
« natur. »

Si quis ad ethnicorum festa selecto aliquo præparata loco convenerit, et proprios cibos cum eis comederit, substernetur biennio. An autem eum ex eo tempore precum a fidelibus communionem habere, aut

sacramentorum participem esse, oporteat, judicio episcopi novam illius resipiscentis vitam inquirentis relinquitur.

382 CANON VIII.

« Qui autem bis et ter coacti sacrificarunt, quadriennio substernantur, duobus autem annis sine « oblatione communicent, et septimo perfecte « recipiantur. »

BALS. Cum dixissent sancti Patres de iis qui semel sacrificassent, nunc etiam de iis dicunt qui bis vel ter sacrificarunt. Quoniam enim dicebant quidam, idem esse et semel et sæpe sacrificare, definierunt Patres eos magis puniri, qui bis vel ter coacti sacrificarunt : adeo ut propter mali multitudinem etiam augeatur supplicium. Et hoc quoque omnino deinceps progredietur.

ZONAR. De iis qui semel immolaverunt, ea quæ superiorum canonum decretis continentur, a Patribus definita sunt: hæc vero constitutio, de iis quoque qui bis ac ter coacti sacrificaverunt, edita. Quos quidem quadriennio in substratione degere, duobus annis deinceps cum fidelibus communicare, hoc est, cum eis consistere, simulque preces, sine oblatione tamen, id est, sine boni perceptione, fundere, septimo demum anno perfecte recipi, hoc est, ad immaculati corporis et sanguinis Domini perceptio em admitti jubent.

ARIST. « Qui secundo et tertio sacrificaverit, sed « vi coactus, septennio pœnitentiæ subjiciatur. »

Quicunque non semel, sed bis aut ter coacti sacrificarunt, hi quadriennium substernantur, biennum sine oblatione in precibus solis cum fidelibus communicent, et septimo anno perfectionem recipiant.

CANON IX.

« Quicunque autem non solum desciverunt, « sed etiam insurrexerunt et fratres suos coegerunt, et causæ fuerunt ut cogerentur, ii annis « quidem tribus auditionis locum suscipiant, per « aliud autem sexennium substernantur, alio autem « anno sine oblatione communicent : ut decennio « expleto, ejus quod est perfectum sint participes. « Eorum autem reliquam in eo quoque tempore « vitam examinare oportet. »

BALS. Fideles quidam adeo propter tormenta timidi ignaviique evaserunt, et ab orthodoxis defecerunt, ut etiam adversus illos procederent; aliquando quidem cogentes eos idem sentire cum tyrannis, aliquando vero etiam latebris occultatos prodentes : hos ergo sancti Patres decennio puniri definierunt. Ne dicas autem dictos fideles adeo a fide Christiana fuisse abalienatos, ut etiam infideles et Christianorum persecutores fuerint. Tales enim Ecclesia alio quodam modo suscipit, sicut et eos qui sunt a nativitate infideles, vel potius cum majore examinatione : sed dic eos quidem adhuc orthodoxe sentire, sed propter tormenta statim cessisse, et cum male sentientibus consentire videri; adeo ut qui eos videbant hæretici non offenderentur, sed

θείων ἁγιασμάτων μεταλαμβάνειν, παρὰ τῇ κρίσει ἔσται τοῦ ἐπισκόπου τὸν ἄλλον αὐτοῦ δὴ τοῦ μετανοοῦντος βίον κατεξετάζοντος.

ΚΑΝΩΝ Η'.

« Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες μετὰ βίας, « τετραετίαν ὑποπεσάτωσαν, δύο δὲ ἔτη χωρὶς « προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ τε« λείως δεχθήτωσαν. »

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι Πατέρες περὶ τῶν ἅπαξ θυσάντων, νῦν καὶ περὶ τῶν δὶς ἢ τρὶς θυσάντων φασίν. Ἐπεὶ γὰρ ἔλεγόν τινες ταυτὸν εἶναι τὸ ἅπαξ καὶ τὸ πολλάκις θῦσαι, ὥρισαν οἱ Πατέρες πλειόνως ἐπιτιμᾶσθαι τοὺς δὶς ἢ τρὶς θύσαντας κατὰ βίαν, ὥστε διὰ τὸ μέγεθος τοῦ κακοῦ μεγεθύνεται καὶ ἡ κόλασις. Καὶ πάντως τοῦτο προχωρήσει καὶ ἐφεξῆς.

ΖΩΝΑΡ. Ἃ μὲν ἐν τοῖς ἀνωτέρω κανόσιν εἴρηται περὶ τῶν ἅπαξ θυσάντων οἱ τῆς συνόδου ταύτης Πατέρες διετάξαντο· νῦν δὲ καὶ περὶ τῶν δὶς ἢ τρὶς ἐκ βίας τεθυκότων φασὶν, οὓς καὶ τετραετίαν διάγειν ἐν ὑποπτώσει κελεύουσιν, ἐπὶ διετίαν δὲ ἄλλην κοινωνεῖν τοῖς πιστοῖς, ἤτοι συνίστασθαι αὐτοῖς, καὶ συνεύχεσθαι ἄνευ προσφορᾶς, ἤγουν τῆς τοῦ ἁγαθοῦ μεταλήψεως, καὶ τῷ ἑβδόμῳ ἔτει τελείως δέχεσθαι, τουτέστι καὶ εἰς μετάληψιν τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ Κυρίου.

ΑΡΙΣΤ. « Ὁ δεύτερον καὶ τρίτον θύσας, ἀλλὰ μετὰ « βίας, ἐπταετίαν ὑποπιπτέτω. »

Ὅσοι οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον ἔθυσαν βιασθέντες, οὗτοι τετραετίαν ὑποπεσάτωσαν, διετίαν χωρὶς προσφορᾶς τῶν εὐχῶν μόνων μετὰ τῶν πιστῶν κοινωνησάτωσαν· καὶ τῷ ἑβδόμῳ ἔτει δεξάσθωσαν τὴν τελείωσιν.

ΚΑΝΩΝ Θ'.

« Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν, ἀλλὰ καὶ ἐπανέστη« σαν, καὶ ἠνάγκασαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγέ« νοντο τοῦ ἀναγκασθῆναι, οὗτοι ἔτη μὲν τρία τὸν « τῆς ἀκροάσεως δεξάσθωσαν τόπον, ἐν δὲ ἄλλῃ ἐξ« αετίᾳ τὸν τῆς ὑποπτώσεως ἄλλον ἐνιαυτὸν κοινω« νησάτωσαν χωρὶς προσφορᾶς· ἵνα τὴν δεκαετίαν « πληρώσαντες τοῦ τελείου μετάσχωσιν. Ἐν μέντοι « τούτῳ τῷ χρόνῳ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖ« σθαι βίον.

ΒΑΛΣ. Τοσοῦτόν τινες ἐδειλάνδρησαν πιστοὶ διὰ τὰς βασάνους, καὶ ἀπέστησαν ἐκ τῶν ὀρθοδόξων, ὡς καὶ χωρῆσαι κατ' αὐτῶν, ποτὲ μὲν ἀναγκάζοντες αὐτοὺς φρονῆσαι τὰ τῶν τυράννων, ποτὲ δὲ καὶ καταμηνύοντες κρυπτομένους· τούτους γοῦν ἐπὶ δεκαετίαν ἐπιτιμᾶσθαι οἱ ἅγιοι Πατέρες διωρίσαντο. Μὴ εἴπῃς δὲ τοὺς ῥηθέντας πιστοὺς οὕτως ἀπαλλοτριωθῆναι τῆς πίστεως τῶν Χριστιανῶν, ὡς καὶ γενέσθαι ἀπίστους, καὶ διώκειν τοὺς ὀρθοδόξους. Τοὺς τοιούτους γὰρ ἀλλοτρόπως ἡ Ἐκκλησία δέχεται, ὥσπερ καὶ τοὺς ἐκ γενετῆς ἀπίστους, μᾶλλον δὲ καὶ μετὰ πλείονος ἐξετάσεως· ἀλλ' εἰπὲ αὐτοὺς φρονεῖν μὲν καὶ εἰσέτι τὰ τῶν ὀρθοδόξων, διὰ δὲ τὰς βασάνους ταχέως ἐνδοῦναι καὶ κατὰ σκῆψιν ὑποκρίνεσθαι τὰ τῶν κακοδόξων· ὥστε τοὺς βλέποντας

αἱρετικοὺς μὴ σκανδαλίζεσθαι, ἀλλὰ συντίθεσθαι παρομοίως τούτοις καὶ αὐτοὺς πιστεύειν. Διὰ γὰρ τοῦτο καὶ ἐπιτιμίοις καθυποβάλλονται, καὶ οὐ δέχονται ὡς οἱ εἰδωλολάτραι καὶ οἱ ἄπιστοι. A

ZONAR. Εἰ δέ τινες οὐ μόνον ἀπέστησαν τῆς εἰς τὸν Κύριον πίστεως, ἀλλὰ καὶ ἐπανέστησαν, ἀντὶ τοῦ κατ' αὐτῆς ἐγένοντο, καὶ ἠνάγκασαν, ἀδελφοὺς θῦσαι, ἢ καὶ αἴτιοι ἐγένοντο ἀναγκασθῆναι αὐτούς, οἷον φυγόντας καὶ κρυπτομένους καταμεμηνυκότες αὐτοὺς, ἢ ἀγνοουμένους ὅτι Χριστιανοί εἰσι δήλους αὐτοὺς θέμενοι τοῖς διώκταις, τοὺς τοιούτους ὡκονόμησαν οἱ Πατέρες τρία μὲν ἔτη ἐν ἀκροάσει πληρῶσαι ἐκτὸς τοῦ ναοῦ ἱσταμένους ἐν τῷ προνάῳ, ἓξ δὲ ἄλλα ἐν ὑποπτώσει διαγαγεῖν, καὶ ἐνιαυτὸν ἕτερον κοινωνῆσαι τῶν εὐχῶν τοῖς πιστοῖς, καὶ μετὰ τὴν δεκαετίαν ταύτην μετασχεῖν τοῦ τελείου. Ἐν δὲ τῷ χρόνῳ τούτῳ, τῆς μετανοίας αὐτῶν δηλονότι, φασὶ, χρὴ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον. Εἰ γὰρ ἀμελῶς ἢ καὶ πλημμελῶς διαγνωσθῶσι ζῶντες, ἐπιταθήσεται χρόνος τῶν ἐπιτιμίων αὐτῶν. B

ZONAR. Si qui vero Christi fidem non deseruerunt modo, sed etiam insurrexerunt, id est eam oppugnaverunt, fratresque aut ad sacrificia ipsi compulere, aut ut ab aliis compellerentur, dum eos fugientes aut latebris occultatos produnt, aut Christianos esse cum ignorarentur, hostibus Christiani nominis indicant, causam præbuere; eos triennium in vestibulo extra templum inter audientes explere, sexennium vero deinceps in substratione degere, uno anno demum cum fidelibus una precari, ac decennio mox expleto perfecti compotes fieri Patres **383** jubent. Interea vero (hoc videlicet pœnitentiæ tempore) reliquam quoque, inquiunt, ipsorum vitæ rationem observare oportet. Si namque otiosam vel etiam vitiosam vitam agere significatum sit, pœnarum quoque præfinitum ipsis tempus diutius prorogabitur.

ΑΡΙΣΤ. « Ὁ μὴ μόνον ἑθελουσίως τεθυκὼς, ἀλλὰ « καὶ ἕτερον ἀναγκάσας, δεκαετίαν ὑποπιπτέτω. »

Οὗτος, ὡς καὶ ἑαυτὸν ἀπολέσας, καὶ ἑτέρους συνωθήσας καὶ βιάσας εἰς τὴν ἀπώλειαν, εἰ ὑποστρέψει, ἐπὶ τριετίαν μὲν ἔστω μετὰ τῶν ἀκροωμένων, ἐν δὲ ἄλλῃ ἓξαετίᾳ, μετὰ τῶν ὑποπιπτόντων, ἐπὶ δὲ ἕτερον ἕνα ἑνιαυτὸν μετὰ τῶν συνισταμένων, καὶ κοινωνείτω μέχρι τέλους τῆς θείας μυσταγωγίας τῶν εὐχῶν μετὰ τῶν πιστῶν, καὶ οὕτω τοῦ δεκαετοῦς χρόνου παραῤῥυέντος μετασχέτω τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήτω· ἐὰν μέντοι καὶ ὁ ἄλλος αὐτοῦ βίος ἐπιτηρούμενος μὴ ἀπείργῃ τοῦτον τῆς θείας μεταλήψεως. C

ARIST. « Qui non solum voluntarie sacrificaverit, « sed et alium coegerit, decennio substernatur. »

Hic, ut et se perdens et alios compellens cogensque ad perditionem, si convertatur, triennium quidem cum audientibus transigat, alios autem annos sex cum substratis, alium tandem unum cum consistentibus, et precum cum fidelibus usque ad divinæ mystagogiæ finem particeps sit, et sic decennio præterlapso, perfectionis sit compos, et divinis sacramentis dignus habeatur, nisi forte reliqua ejus vita examinata eum a divina participatione arceat.

ΚΑΝΩΝ Ι'.

« Διάκονοι ὅσοι καθιστάμενοι, παρ' αὐτὴν τὴν κα- « τάστασιν εἰ διεμαρτύραντο καὶ ἔφασαν χρῆναι « γαμῆσαι, μὴ δυνάμενοι οὕτω μένειν· οὗτοι « μετὰ ταῦτα γαμήσαντες ἑστωσαν ἐν τῇ ὑπηρε- « σίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοὺς ὑπὸ τοῦ ἐπι- « σκόπου. Τοῦτο δὲ εἴ τινες παρασιωπήσαντες, « καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕ- « τω, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι « αὐτοὺς τῆς διακονίας. »

CANON X.

« Quicunque diaconi constituti, in ipsa ordinatione « protestati sunt, et dixerunt, oportere se « uxores ducere, cum non possint sic manere: « ii, si uxorem postea duxerint, sint in ministerio; eo quod hoc sit illis ab episcopo con- « cessum. Si qui autem hoc silentio præterito, « et in ordinatione ut ita manerent susceptι « sunt, postea autem ad matrimonium venerunt, « ii a diaconatu cessent. »

ΒΑΛΣ. Τῷ κανόνι τούτῳ μὴ προσσχῇς διοριζομένῳ τοὺς διακόνους μετὰ τὸ χειροτονηθῆναι συνάπτεσθαι γυναιξὶν, ὅτι ἐν τῷ χειροτονεῖσθαι διεμαρτύραντο, τουτέστιν, εἶπον πρὸς τοὺς ἐπισκόπους αὐτῶν ἀναγκαῖον εἶναι αὐτοῖς εἰς γάμον ἐλθεῖν, καὶ οἱονεὶ ἔλαβον τὸ ἐνδόσιμον. Εἴτε γὰρ προενεῴνησαν τὰ περὶ τούτου, εἴτε ἐσιώπησαν χειροτονούμενοι, οὐ παραχωρηθήσονται μετὰ τὴν χειροτονίαν γυναιξὶ συζευχθῆναι, ὅτι ὁ ς' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται καθαιρεῖσθαι τοὺς μετὰ τὴν χειροτονίαν γάμους συναλλάττοντας πρεσβυτέρους, διακόνους καὶ ὑποδιακόνους. Τὸ δὲ ἀκανόνιστον οὔτε ἀπὸ ἐπιτροπῆς ἐπισκοπικῆς οὔτε ἀπὸ μόνου τοῦ σιωπῆσαι ἐκχωρηθήσεται, ὡς ἀνυπόστατον. Ἀνάγνωθι καὶ τὴν ς' Νεαρὰν τοῦ βασι- D

BALS. Hunc canonem ne sequaris, qui definit diaconos posse cum mulieribus matrimonio conjungi, postquam ordinati fuerint, quando dum ordinarentur testificati sunt, id est, dixerunt suis episcopis, necesse esse ut ad matrimonium veniant, et veluti permissionem acceperunt. Sive enim hoc prædixerint, sive silentio præterierint qui ordinantur, non permittetur eis, ut post ordinationem cum mulieribus conjungantur; sextus enim canon synodi in Trullo deponendos decrevit presbyteros et diaconos et subdiaconos, qui post ordinationem matrimonium contraxerint. Quod fit autem contra canones, nec ex permissione episcopali, nec ex eo tantum quod tacuerint, concedetur, ut quod consistere nequit. Lege etiam sextam Novellam impe-

ratoris domini Leonis Sapientis, quæ dicit quod, etiamsi ex consuetudine non scripta potestatem habeant ii qui sunt sacrati, intra biennium post ordinationem præfinitum, ducendi uxores legitimas : hoc tamen, ut a canonibus prohibitum, observari non debet.

ZONAR. Quicunque, dum diaconi constituerentur, hoc est, quo tempore diaconatu initiandi fuerant, uxorem sibi necessario ducendam esse, nec virginitatem a se coli posse, testati, hoc est, aperte, quasi adhibitis etiam testibus, professi sunt, si quam sibi mulierem post susceptum ordinem matrimonii jure copulaverint, a ministerio, hoc est a diaconatu, nequaquam arcendos esse canon decernit. Videtur iis siquidem obeundi post ordinem susceptum matrimonii ab episcopo facultas permissa. Si qui vero, dum initiandi forent, siluere, eoque proinde silentio castimoniam condixere (nam hic quoque assensum taciturnitas indicat), eos, si uxorem postea duxerint, a ministerio cessare jubet. Atque hæc quidem hujus canonis decreto sancita. Sanctorum vero apostolorum vicesimo sexto canone, lectoribus solis et cantoribus, postquam in clerum lecti fuerint, matrimonia inire permissum. Et hunc apostolicum canonem secuta sexta synodus, canone sexto, nulli presbytero, diacono aut hypodiacono post susceptum ordinem uxorem ducendi facultatem esse decernit; ac quicunque canoni non obtemperaverint depositione multari jubet. Nuptias porro, **384** si velint, antequam initientur, celebrandi postestatem facit. Cum igitur sibi invicem hi canones manifesto adversentur, sextæ synodi canon qui et posterior fuit et magis cum apostolico canone consentit, servari debet. Nec enim unquam sacerdoti aut diacono, qui uxorem post susceptos ordines duxerit, aut obeundi facultas erit.

ARIST. « Qui diaconus est ordinandus, si protesta-
« tus fuerit episcopo se non posse cœlibem perse-
« verare, uxore ducta sit diaconus ; si vero cum
« tacuerit, uxorem postea duxerit, ejiciatur. »

Hic canon statuit eum qui ante ordinationem episcopo protestatus fuit, se non posse cœlibem agere, sed velle matrimonii communionem inire, non prohiberi etiam post ordinationem matrimonium inire, et in eodem etiam ministerio et honore adhuc permanere. Eum autem qui siluit et in ordinatione ut cœlebs maneret, susceptus est, a diaconatu cessare, si postea matrimonii lege mulieri conjunctus fuerit. Sed huic canoni opponitur sextus sextæ synodi canon, non omnino ei qui cœlebs ad hypodiaconi aut diaconi aut presbyteri gradum venit, concedens matrimonio sibi feminam conjungere, sed eum qui hoc ausus fuerit, deponi jubens. Et vim retinet ille canon, sed hic in desuetudinem abiit.

CANON XI.

« Desponsas aliis puellas, et ab aliis postea raptas,

λέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λέγουσιν ὡς, εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου εἶχον ἄδειαν οἱ ἱερωμένοι ἐντὸς διετίας ψηφιζομένης μετὰ τὴν χειροτονίαν λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ καὶ τοῦτο ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, οὐκ ὀφείλει κρατεῖν.

ΖΩΝΑΡ. Φησὶν ὁ κανὼν οὗτος, ὅτι ὅσοι ἐν τῷ καθίστασθαι εἰς διακονίαν, ἤγουν ἐν τῷ μέλλειν χειροτονεῖσθαι διεμαρτύραντο, ἀντὶ τοῦ φανερῶς, εἶπον ὡς ἐπὶ μάρτυσιν ὡς ἀναγκαῖόν ἐστιν αὐτοῖς εἰς γάμον ἐλθεῖν, μὴ δυναμένοις παρθενεύειν, οὗτοι μετὰ τὴν χειροτονίαν εἰς γάμον ἐλθόντες μενέτωσαν ἐν τῇ ὑπηρεσίᾳ, ἤτοι τῇ διακονίᾳ. Διακοῦσι γὰρ ἐπιτραπῆναι τὸ μετὰ τὴν χειροτονίαν ἐλθεῖν εἰς γάμον ὑπὸ τοῦ ἐπισκόπου. Εἰ δέ τινες σιωπήσαντες ἐν τῷ μέλλειν χειροτονεῖσθαι, καὶ καταδεξάμενοι διὰ τῆς σιωπῆς ἄγαμοι μένειν · κάνταῦθα γὰρ ἡ σιωπὴ συγκατάθεσιν δηλοῖ · μετὰ τὴν χειροτονίαν ἔγημαν, πεπαῦσθαι τῆς διακονίας ὁρίζει. Ταῦτα μὲν τοῦ παρόντος κανόνος · ὁ δὲ εἰκοστὸς ἕκτος τῶν ἁγίων ἀποστόλων κανὼν μόνοις ἀναγνώσταις καὶ ψάλταις ἐνδίδωσι, μετὰ τὸ εἰς κλῆρον καταταγῆναι γαμεῖν. Καὶ ὁ ἕκτος τῆς ἕκτης συνόδου κανὼν, τῷ ἀποστολικῷ κανόνι ἑπόμενος, ἀπαγορεύει παντὶ πρεσβυτέρῳ καὶ διακόνῳ καὶ ὑποδιακόνῳ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι · καὶ τοὺς μὴ τὸν κανόνα φυλάττοντας καθαιρεῖσθαι κελεύει. Πρὸ δὲ τῆς χειροτονίας τοὺς εἰρημένους θεσπίζει συναλλάττειν γάμον, εἰ βούλοιντο. Ἐναντίων οὖν προδήλως τῶν κανόνων τούτων ὄντων, ὁ τῆς ἕκτης συνόδου κρατεῖν ὀφείλει, ὡς μεταγενέστερος καὶ τῷ ἀποστολικῷ συμφωνῶν κανόνι. Οὐ γάρ ποτε πρεσβύτερος ἢ διάκονος, μετὰ τὴν χειροτονίαν γυναῖκα λαβὼν, ἐν τῇ οἰκείᾳ ἔσται ἐπιτιμίᾳ, ἢ ἱερουργεῖν παραχωρηθήσεται.

dignitatem suam retinendi aut sacra ministeria

ΑΡΙΣΤ. « Ὁ μέλλων διάκονος χειροτονεῖσθαι, εἰ
« προεμαρτύρατο τῷ ἐπισκόπῳ μὴ δύνασθαι κα-
« τερεῖν ἄγαμον, γαμήσας ἔστω διάκονος · εἰ δὲ
« σιωπήσας ἔγημεν ὕστερον, ἀποβαλλέσθω. »

Οὗτος ὁ κανὼν διαγορεύει τὸν πρὸ τῆς χειροτονίας προμαρτυράμενον τῷ ἐπισκόπῳ μὴ δύνασθαι παρθενεύειν, ἀλλ' εἰς γάμου βούλεσθαι κοινωνίαν ἐλθεῖν, μὴ κωλύεσθαι, καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ μένειν ἐπὶ τῆς αὐτῆς αὐθις ὑπηρεσίας τε καὶ τιμῆς. Τὸν δὲ σιωπήσαντα, καὶ καταδεξάμενον ἐν τῇ χειροτονίᾳ ἄγαμον μένειν, τῆς διακονίας πεπαῦσθαι, εἴπερ μετὰ τοῦτο γάμου νόμῳ γυναικὶ συναφθῇ. Πλὴν τῷ παρόντι κανόνι ἀντίκειται ὁ ἕκτος κανὼν τῆς ἕκτης συνόδου, μὴ παραχωρῶν ὅλως τῷ προελθόντι ἀγάμῳ εἰς ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου βαθμὸν μετὰ τὴν χειροτονίαν γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον, ἀλλὰ τὸν τοῦτο τολμήσαντα ποιῆσαι διατεττόμενος καθαιρεῖσθαι. Καὶ κρατεῖ ὁ κανὼν ἐκεῖνος, καὶ οὗτος ἤργησε.

ΚΑΝΩΝ ΙΑ'.

« Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπὸ

« ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν. »

ΒΑΛΣ. Περὶ τῶν ἁρπαζόντων κόρας οἱασδήτινας τὰ εἰκότα διελήφθη ἐν τῷ λ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι ταῦτο· ὡσαύτως ἀνάγνωθι καὶ τὸν ιβ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν νη' ὅλον τίτλον τοῦ ξ' βιβλίου. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος ἀποδίδοσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις· μὴ εἴπῃς ἀναγκάζεσθαι τούτους ταύτας λαβεῖν, ἀλλὰ θέλειν καὶ ζητεῖν αὐτοὺς αὐτάς. Τοῦτο γὰρ καὶ ἐπὶ μοιχαλίδων γυναικῶν εἴρηται ἐν βιβλίου νη' τίτλου ζ' κεφαλ. α', ὅπερ ἐστὶ Νεαρὰ Ἰουστινιάνειος; ριζ'. Εἰ δὲ θέλεις εἰπεῖν καὶ ἄκοντας λαμβάνειν αὐτὰς τοὺς μνηστῆρας, ἑρμήνευσον τὸν κανόνα κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ· ἣν καὶ ἀνάγνωθι περὶ τὰς ἀρχάς· πρὸς δὲ καὶ τὰ εἰς ἑρμηνείαν τῆς αὐτῆς ἐπιστολῆς γραφέντα, ἀλλὰ καὶ τὸν κβ' κανόνα τοῦ ἁγίου Βασιλείου οὕτως ἑρμήνευσον.

ΖΩΝΑΡ. Καὶ ὁ μέγας Βασίλειος ἐν εἰκοστῷ δευτέρῳ κανόνι αὐτοῦ τὸν ἐξ ἁρπαγῆς ἔχοντα γυναῖκα μὴ πρότερον παραδέχεσθαι εἰς μετάνοιαν βούλεται, εἰ μὴ ἀφαιρεθῇ ἐξ αὐτοῦ ἡ ἁρπαγεῖσα, καὶ τῷ μνηστευσαμένῳ αὐτὴν δοθῇ, εἰ τέως βούλοιτο λαβεῖν αὐτήν. Οὕτω καὶ τὸν κανόνα τοῦτον νοητέον λέγειν τὸ ἀποδίδοσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις αὐτάς, εἰ αἱροῖντο δηλονότι λαβεῖν αὐτάς. Ἄκοντες γὰρ οὐκ ἀναγκασθήσονται,

ΑΡΙΣΤ. « Εἰ ἐμνηστεύθη κόρη, ἡρπάγη δὲ παρ' ἄλλου, τῷ προτέρῳ ἀποκαθίσταται. »

Ὁ μὲν κανὼν οὗτος τὴν μνηστευθεῖσάν τινι κόρην, καὶ μετὰ ταῦτα ὑφ' ἑτέρου ἁρπαγεῖσαν, προστάττει ἀποκαθίστασθαι τῷ προτέρῳ μνηστῆρι, κἂν ὑπὸ τοῦ ἁρπάσαντος αὐτὴν ἡ παρθένος ἐφθάρη. Ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ξ' βιβλίου Βασιλικῶν μεγάλαις ποιναῖς ὑποβάλλει τὸν ἁρπαγὴν ποιησάμενον γυναικὸς, καὶ τὸν βοηθήσαντα αὐτῷ ἐν τῇ ἁρπαγῇ, καὶ τοὺς ἄλλους τοὺς οἱανδήποτε σπουδὴν τούτῳ εἰσπενεγκόντας. Καὶ οὐδὲ συγχωρεῖ, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνὴ, κἂν οἱ γονεῖς αὐτῆς, τῷ ἁρπάσαντι συναφθῆναι πρὸς γάμον. Ἀλλὰ καὶ εἰ συναινέσουσιν οἱ γονεῖς τῷ τοιούτῳ συνοικεσίῳ, περιορίζονται.

ΚΑΝΩΝ ΙΒ'.

« Τοὺς πρὸ τοῦ βαπτίσματος τεθνηκότας, καὶ μετὰ « ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγε- « σθαι, ὡς ἀπολουσαμένους. »

ΒΑΛΣ. Τινὲς ἄπιστοι τὸ μὲν κήρυγμα ἐδέχοντο, καὶ ἐπίστευον τῷ Χριστῷ· βαπτίζεσθαι δὲ ὑπερετίθεντο. Ἐπεὶ οὖν οὗτοι κατὰ τοὺς λοιποὺς ἀπίστους (77) θύσαντες ἠξίουν, μετὰ τὸ βαπτισθῆναι, ἱερωθῆναι, καὶ οὐ παρεχωροῦντο, ὥς τινων λεγόντων μὴ ὀφεί-

« placuit, iis, quibus desponsæ erant, reddi, « etiam si vim passæ sint. »

BALS. De iis, qui quaslibet puellas rapiunt, ea quæ sunt consentanea tractata sunt in cap. 30 tit. 9 præsentis operis, et lege ipsum. Similiter lege et 92 canonem synodi in Trullo, et tit. 58 totum lib. LX. Cum autem audis canonem dicentem, raptas reddendas iis quibus desponsæ fuerant, ne dicas eos cogi illas accipere, sed ipsos quoque velle eas quærere. Hoc enim etiam in mulieribus adulteris dictum est, in lib. XXVIII, tit. 7, cap. 1, quod quidem est Justiniani Novella 117. Sin autem velis dicere, eas sponsos vel invitos accipere; canonem interpretare convenienter epistolæ sancti Gregorii Thaumaturgi; quam etiam lege in principio : itemque ea, quæ ad expositionem istius epistolæ scripta sunt, sed et vicesimum secundum canonem sancti Basilii sic expone.

ZONAR. Magnus quoque Basilius canone vicesimo secundo, qui mulierem raptam habet, non prius ad pœnitentiam admitti sinit, quam mulier ab eo abducta priori sponso, si tamen eam ducere adhuc ille in animo habeat, restituta sit. Eodem modo hic etiam canon intelligendus; raptas videlicet mulieres iis, quibus ante desponsæ fuerant, si nimirum illi ducere velint, esse reddendas. Inviti enim non cogentur.

ARIST. « Si desponsata sit puella, ab alio vero « rapta fuerit, priori restituitur. »

Hic quidem canon desponsam cuipiam puellam et postea ab alio raptam, priori sponso restitui jubet, etiamsi ab eo qui ipsam rapuit, virgo corrupta sit. At quinquagesimus octavus tit. lib. LX Basilic. magnis pœnis eum subjicit, qui mulierem rapuit, eumque qui opem isti in raptu tulit, eosque qui diligentiam quamcunque ei contulerunt. Et non permittit, quamvis ipsa mulier rapta et quamvis ipsius parentes voluerint, isti, qui eam rapuit, matrimonio conjungi. Sed et si parentes istiusmodi assentiantur conjugio, exterminantur.

385 CANON XII.

« Eos qui ante baptismum sacrificarunt, et postea « baptizati sunt, visum est ad ordinem promoveri, ut qui abluti sunt. »

BALS. Infideles aliqui prædicationem quidem susceperunt, et Christo credebant, baptizari autem differebant. Quoniam ergo ii, ut reliqui infideles, sacrificantes, ubi baptizati fuerant, volebant sacris initiari, et non sinebantur, eo quod nonnulli dice-

Guill. Beveregii notæ.

(77) *Ἐπεὶ οὖν οὗτοι κατὰ τοὺς λοιποὺς ἀπίστους.* Ita quidem cum Bodleiano Amerbachianus quoque codex legit; sed in Parisiensi Balsamonis editione pro istis verbis legitur tantum, ἐπεὶ οὖν κατὰ τοὺς λοιπούς.

rent, eos non esse ad gradus ecclesiasticos provehendos, ex prædictis canonibus eos punientibus qui idolis sacrificarunt : statuerunt Patres, ut ii ad sacerdotium provehentur, ut qui per sacrum baptismum abluti et omni peccati sorde mundati essent. Interrogaverit autem quispiam, Quamnam ob causam hos quidem, qui sua sponte et non vi sacrificarunt, suscipimus et baptizamus, et clero ordinamus ; Christianos autem, qui vi sacrificarunt, non solum sacerdotio dignos non existimamus, sed pœnis etiam subjicimus, ut prius dictum est ? *Solutio.* Illi quidem, cum sint Christiani, vim tormentorum non perferentes, sed immolantes, Deum abnegarunt, et, ut qui gravissime deliquissent, ad sacerdotium non admittuntur, sed puniuntur : hi autem, infideles cum essent a nativitate, et ante divinum baptismum sacrificarunt, Deum non negaverunt. Quomodo enim negassent quem nondum susceperant, quod baptizati non essent? et ideo non peccarunt, suæ superstitionis ritui convenienter facientes ; proinde ad Ecclesiam accedentes suscipiuntur, ut infideles ; et quoniam ii baptizati etiam sacerdotio digni habentur, cum episcopali examinatione, nec ipsi ad sacra admitti prohibebuntur, sed in iis fient omnia quæ a sanctis Patribus constituta sunt de infidelibus baptizatis, et volentibus ad sacros ordines promoveri.

A λειν τούτου; εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προαναβιβάζεσθαι κατὰ τοὺς προῤῥηθέντας κανόνας, τοὺς ἐπιτιμῶντας τοὺς θύσαντας τοῖς εἰδώλοις· διωρίσαντο οἱ Πατέρες τούτους εἰς ἱερωσύνην προάγεσθαι ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπολουσαμένους καὶ καθαρισθέντας ἀπὸ παντὸς ῥύπου ἁμαρτίας. Ἐρωτήσει δέ τις, Καὶ τίνος χάριν τούτους μὲν ἑκοντὶ καὶ μὴ κατὰ βίαν θύσαντας δεχόμεθα καὶ βαπτίζομεν, καὶ τῷ κλήρῳ συντάττομεν, τοὺς δὲ Χριστιανοὺς κατὰ βίαν θύσαντας οὐ μόνον ἱερωσύνης οὐκ ἀξιοῦμεν, ἀλλὰ ἐπιτιμίοις καθυποβάλλομεν, ὡς προείρηται; *Λύσις.* Ἐκεῖνοι μὲν, Χριστιανοὶ ὄντες καὶ τὰς βασάνους μὴ ἀναμείναντες, ἀλλὰ θύσαντες, ἀρνησίθεοι γεγόνασι, καὶ ὡς τὰ ἔσχατα ἐπταικότες εἰς ἱερωσύνην οὐ παραδέχονται, ἀλλὰ καὶ ἐπιτιμῶνται· οὗτοι δὲ, ἐκ γενετῆς ὄντες ἄπιστοι καὶ πρὸ τοῦ θείου βαπτίσματος θύσαντες, οὐκ ἠρνήσαντο τὸν Θεόν. Πῶς γὰρ, ὃν ἔτι οὐ παρεδέξαντο, διὰ τὸ μηδὲ βαπτισθῆναι, καὶ κατὰ τοῦτο οὐδὲ ἥμαρτον ποιήσαντες καὶ κατὰ τὴν οἰκείαν θρησκείαν ; κἀντεῦθεν καὶ προσερχόμενοι τῇ Ἐκκλησίᾳ δέχονται ὡς ἄπιστοι· καὶ ἐπεὶ οἱ τοιοῦτοι βαπτιζόμενοι καὶ ἱερωσύνης ἀξιοῦνται, μετὰ δοκιμασίας ἐπισκοπικῆς, οὐδὲ αὐτοὶ κωλυθήσονται ἱερωθῆναι, ἀλλὰ γενήσεται καὶ ἐπὶ τούτοις πάντα τὰ τοῖς θείοις Πατράσι διωρισμένα χάριν τῶν ἐξ ἀπίστων βαπτισθέντων καὶ θελόντων ἱερωθῆναι.

B

Alia interpretatio.

Præsenti canone usus ille sanctissimus patriarcha dominus Polyeuctus, primum quidem ex sanctissimæ Dei Magnæ ecclesiæ sacris ambitibus imperatorem dominum Joannem Tzimiscem expulit, ut qui imperatorem Nicephorum Phocam interfecit ; postea autem suscepit. Dixit enim cum sancta synodo, in synodalibus actis quæ tunc habita fuerunt, quæ in chartophylacio reponuntur, quod quoniam sancti baptismatis unctio omnia, quæ ante baptismum fuerunt, qualia et quantacunque sunt, peccata delet, omnino imperatoris quoque unctio eadem, quæ ante eam a Tzimisce facta est, delevit. Si ergo actioni consequenter, quicunque sunt paulo misericordiores, et Dei misericordiam ante judicium corripiunt, per episcopalem unctionem quæ ante eam commissa sunt peccata deleri dicunt, et pulchre instant de animæ peccatis ante sacerdotium commissis sacerdotes non postulari. Ut enim imperatores uncti Domini appellati sunt, sic etiam antistites et sunt et nominantur. Dictum autem suum ex hoc quoque confirmant, quod ejusdem virtutis sunt preces quæ leguntur quando imperatores coronantur, et quando ordinantur antistites. Pro oleo autem, quo antiqua lege inungebantur reges et antistites, dicunt antistitibus sufficere Evangelii jugum collis eorum impositum et ejus

C

D

Ἑτέρα ἑρμηνεία (78).

Τῷ παρόντι κανόνι χρησάμενος ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κῦρος Πολύευκτος πρῶτον μὲν ἐξώθησεν ἐκ τῶν ἱερῶν περιβόλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας τὸν βασιλέα κύριον Ἰωάννην τὸν Τζιμισκῆν ὡς φονεύσαντα τὸν βασιλέα κύριον Νικηφόρον τὸν Φωκᾶν· ὕστερον δὲ ἐδέξατο. Εἶπε γὰρ μετὰ τῆς ἁγίας συνόδου ἐν τῇ γενομένῃ τηνικαῦτα συνοδικῇ πράξει, τῇ ἐν τῷ χαρτοφυλακείῳ ἀποκειμένῃ, ὡς, ἐπεὶ τὸ χρίσμα τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου ἁμαρτήματα ἀπαλείφει, οἷα καὶ ὅτα ἂν ὦσι, πάντως καὶ τὸ χρίσμα τῆς βασιλείας τῶν πρὸ ταύτης γεγονότα φόνον παρὰ τοῦ Τζιμισκῆ ἐξήλειψεν. Ἀκολούθως οὖν τῇ τοιαύτῃ πράξει λέγουσιν ὅσοι μᾶλλόν εἰσι συμπαθέστεροι καὶ τὸν τοῦ Θεοῦ ἔλεον τῆς κρίσεως προαρπάζουσι, διὰ τοῦ χρίσματος τῆς ἀρχιερωσύνης τὰ πρὸ ταύτης ἀπαλείφεσθαι ἁμαρτήματα, καὶ διενίστανται τῶν πρὸ τῆς ἀρχιερωσύνης ψυχικῶν μολυσμάτων τοὺς ἀρχιερεῖς μὴ εὐθύνεσθαι· ὡς γὰρ οἱ βασιλεῖς χριστοὶ κύριοι λέγονται καὶ εἰσὶν, οὕτω καὶ ἀρχιερεῖς εἰσί τε καὶ ὀνομάζονται. Κατασκευάζονται δὲ τὸν οἰκεῖον λόγον καὶ ἀπὸ τοῦ εἶναι τὰς ἀναγινωσκομένας εὐχὰς, ὅτε στέφονται οἱ βασιλεῖς, τῆς αὐτῆς δυνάμεως καὶ ὅτε χειροτονοῦνται οἱ ἀρχιερεῖς. Ἀντὶ δὲ τοῦ χριομένου ἐλαίου τοῖς βασιλεῦσι καὶ τοῖς ἀρχιερεῦσι, κατὰ τὸν παλαιὸν νόμον, εἶπον ἀρκεῖν τοῖς ἀρχιερεῦσι τὸν ἐπικείμενον ζυγὸν

Guill. Beveregii notæ.

(78) *Ἑτέρα ἑρμηνεία.* Hanc alteram hujus canonis interpretationem codici nostro Bodleiano acceptam ferimus ; exstat autem et in ms. Amerbachiano, necnon in Tiliano. Nam Gentianus Hervetus eam Latine vertit.

τοῦ Εὐαγγελίου τῷ τραχήλῳ αὐτῶν, καὶ δι' ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος σφραγῖδα τοῦ χειροτονοῦντος. Εἰς σύστασιν δὲ τούτων πάντων ἀναντιῤῥήτον χρῶνται καὶ τῷ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου λόγῳ, οὗ ἡ ἀρχή, Πάλιν ἐπ' ἐμὲ χρῖσμα καὶ πνεῦμα. Ἀφ' οὗ μάθῃς ὅτι οὐδὲν ἧττον ἀξιοῦται τῆς τοῦ πανσέπτου Πνεύματος χάριτος ὁ ἀναξίως χειροτονηθείς, καὶ ἐν καθαρότητι τὸν μετὰ τὴν χειροτονίαν βίον ἀνύσας, τοῦ ἀξίως χειροτονηθέντος, καὶ μετὰ τῆς αὐτῆς καθαρότητος τὸν ἐν ἡμῖν βίον ἀπολιπόντος. Ταῦτα περὶ ἀρχιερέων· περὶ γὰρ ἱερέων καὶ ἑτέρων κληρικῶν ζήτει συνόδου Νικαίας κανόνα ιθ', συνόδου Νεοκαισαρείας κανόνα θ', ια', Βασιλείου κανόνα κζ', καὶ Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανόνα δ', ε', η'. Καὶ σημείωσαι ἐκ τούτων ὅτι ἡ χειροτονία τῶν ἀρχιερέων καὶ τὸ χρῖσμα τῶν βασιλέων ἀπαλείφουσι τὰ πρὸ τῆς χειροτονίας καὶ τοῦ χρίσματος ἁμαρτήματα, οἷα ἂν ὦσι· διὰ γὰρ τοῦτο ἔχουσιν οἱ ἐπίσκοποι ἐξουσίαν ἀφιέναι ἁμαρτήματα, ὡς ἀκούσαντες ἅμα τῷ χειροτονηθῆναι, *Ὅσα δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.* Ἡ δὲ τῶν ἱερέων καὶ τῶν λοιπῶν χειροτονία μικρὰ ἁμαρτήματα ἀπαλείφει, οἷον συγκατάθεσιν, ψεῦδος καὶ τοιαῦτα, μὴ ἐπάγοντα καθαίρεσιν, πορνείαν δὲ οὐχί. Ὅθεν οὐδὲ ἀφιέναι ἁμαρτίας οἱ ἱερεῖς δύνανται. Καὶ ἀνάγνωσον τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα θ', τὰ αὐτὰ περὶ ἱερέων λέγοντα. Μὴ ἐναντωθῇ δέ σοι ὁ ις' κανὼν τῶν ἁγίων ἀποστόλων, λέγων· Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου, μηδὲ ὁ ιη' τὰ αὐτὰ σχεδὸν διοριζόμενος. Ἀλλ' ἐκλαβοῦ τὸ εἶναι εἰς τὸ γίνεσθαι, καὶ εἰπέ, Οὐδεὶς οὕτως ὁλισθήσας ἀξιωθήσεται ἐπισκοπικοῦ ἢ ἱερατικοῦ ἀξιώματος. Ἀξιωθεὶς δὲ παρὰ τὰ δεδογμένα, εἰ μέν ἐστιν ἐπίσκοπος, οὐκ ἀναχριθήσεται διὰ τὰς ῥηθείσας αἰτίας, καὶ οἱ ἀρχιερεῖς ἅμα τῷ χειροτονηθῆναι οὐ μόνον ἀποστολικοῦ χαρίσματος ἀξιοῦνται, ἀλλὰ καὶ προφητικοῦ. Οὕτω γὰρ καὶ Σαοὺλ ἐν προφήταις, καὶ Καϊάφας ἄκων προεφήτευσεν· ἦν γάρ, φησὶν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· εἰ δὲ ἱερεύς ἐστιν ἢ ἕτερος ἱερωμένος, καθαιρεθήσεται. Ἀνάγνωσον καὶ τὸ κθ' κεφ. τοῦ θ' τίτλου τοῦ παρόντος συντάγματος, καὶ εὑρήσεις ἐν αὐτῷ νόμους διαφόρους πολλὰ περὶ ἱερέων καὶ ἑτέρων ἱερωμένων διαλαμβάνοντας, ἐπισκόπων δὲ ὅλως μνείαν μὴ ποιουμένους.

ΖΩΝΑΡ. Τὸ παλαιὸν τὸ μὲν κήρυγμα ἐδέχοντο οἱ τελείους, καὶ ἐπίστευον τῷ Χριστῷ, βαπτίζεσθαι δὲ ὑπερετίθεντο. Διὸ καὶ ὁ Θεολόγος Γρηγόριος καὶ ὁ μέγας Βασίλειος τοὺς εἰς τὸ ἅγιον βάπτισμα προτρεπτικοὺς συνεγράψαντο λόγους. Ἦσαν οὖν ἐν τοῖς καιροῖς τῶν διωγμῶν τοιοῦτοι πολλοί, Χριστιανοὶ μὲν ὄντες, μήπω δὲ βαπτισθέντες. Φησὶν οὖν περὶ τούτων ὁ κανὼν ὅτι, ἐάν τινες ἔθυσαν κατασχεθέντες ὡς Χριστιανοί, ἀφώτιστοι δὲ ὄντες μετὰ ταῦτα ἐβαπτίσθησαν, οὐδὲν αὐτοὺς κωλύει τὸ θῦσαι εἰς τὸ προαρ-

qui ordinat characterem, cum sancti Spiritus invocatione. Ad irrefutabilem autem horum omnium comprobationem, magni quoque Gregorii Theologi sermone utuntur, cujus initium, Rursus super me unctio et spiritus. Unde discas, quod nihilominus sancti Spiritus gratia dignus censetur is, qui indigne electus in puritate post ordinationem vitam transigit, quam is qui digne electus, et post istam puritatem vitam nostram reliquit. Hæc de antistitibus. De sacerdotibus enim et aliis clericis quære synodi Nicænæ canonem decimum nonum, synodi Neocæsariensis canonem 9 et 11, Basilii 386 canonem 27 et Theophili ex commentario canones 4, 5 et 8. Et nota ex iis, quod antistitum quidem ordinatio et regum unctio, quæ ante ordinationem et unctionem fuerunt, delent. Propterea enim habent potestatem episcopi remittendi peccata; ut qui cum primum ordinati sunt audiverint: *Quæcunque ligaveritis super terram erunt ligata in cœlis, et quæcunque solveritis super terram erunt soluta in cœlis* [96]. Sacerdotum autem, et aliorum qui sunt in sacris, ordinatio, parva quidem peccata delet, consensum dico et mendacium, et similia quæ depositionem non inducunt; non autem fornicationem. Unde nec sacerdotes possunt peccata remittere. Et lege Neocæsariensis syn. canonem 9, qui eadem dicit de sacerdotibus. In his autem ne tibi contrarius videatur canon 17 sanctorum apostolorum, dicens, Qui duobus matrimoniis post baptismum fuit colligatus, vel habuit concubinam, non potest esse episcopus, aut presbyter, aut diaconus, vel omnino in catalogo sacerdotali; neque decimus octavus eadem fere statuens. Sed accipe illud, esse, pro, fieri; et dic, quod nemo, qui sic lapsus est, episcopali vel sacerdotali honori dignus habebitur. Qui autem præter decreta dignus habetur, siquidem est episcopus, non postulabitur propter dictas causas, et quod antistites cum primum sunt ordinati, non solum apostolica gratia digni sunt, sed etiam prophetica. Sic enim et Saul inter prophetas, et Caiphas invitus prophetizavit. Erat enim, inquit, pontifex anni illius. Sin sacerdos sit, aut alius sacris initiatus, deponetur. Lege et cap. 29 tit. 9 præsentis operis, et invenies in eo leges diversas, quæ multa de sacerdotibus et aliis qui sunt in sacris tractent; episcoporum autem omnino mentionem non faciunt.

ZONAR. Mysteria quidem olim nostræ religionis audita plures admittebant, ac fidei, quæ de Christo est, plane assentiebantur; sed baptismi diem longius nihilominus extrahebant. Ex quo et Gregorii Theologi et magni Basilii orationes, quibus ad baptismum hortabantur, exstitere. Erant itaque per ea tempora, quibus rem Christianam tyranni divexabant, ejusmodi homines haud pauci, qui cum Christiana professione censerentur, baptismo tamen nequaquam adhuc expiati fuissent. De his

[96] Matth. xvi, 19.

igitur hominibus, si nomine Christianæ religionis comprehensi immolavere, ac postea baptismo, quem antea non susceperant, initiati sunt; nihil ex eo quod sacrificaverint impediri, quominus eos ad ordinem, hoc est sacerdotii gradum, evehi liceat, canon decernit. Omnes enim antea contractæ sordes baptismo elui delerique creduntur.

ARIST. « Qui ante baptisma sacrificavit, post in-
« sons habeatur. »

Cum sanctum baptisma omnem animalem sordem abluat, merito quidem ille qui ante baptismum sacrificavit, post baptismum crimine vacabit, et ad gradum sacerdotalem promovebitur, si subsequens ejus vita inculpata inveniatur.

CANON XIII.

« Chorepiscopis non licere presbyteros vel diaconos
« ordinare; sed neque urbis presbyteris, nisi
« cum litteris ab episcopo permissum fuerit, in
« aliena parochia. »

BALS. Si scire velis quinam sint chorepiscopi, et quænam eorum privilegia, lege Neocæsarianæ synodi canonem 13, Antiochenæ canonem 10 et sancti Basilii ad chorepiscopos epistolam. Statuunt autem et præsentis synodi Patres chorepiscopum non ordinare presbyteros vel diaconos sine scripta epistola proprii episcopi, sed neque urbis presbyterum. Ac de præsenti **387** quidem canone quædam scribere volebamus; sed quoniam chorepiscoporum gradus omnino exolevit, neque nos inanem frustra laborem suscipere voluimus.

ZONAR. Eadem Antiochenæ quoque synodi canon decimus de chorepiscopis statuit, quibus presbyteri ac diaconi creatione interdicens, hypodiaconos tantum, lectores ac exorcistas creandi potestatem reliquit: sacerdotes vero, ac diaconos, absque eorum, quibus subjecti sunt, episcoporum facultate, creare, sed et sacerdotes in urbe aliqua constituere, omnino vetat. Si namque in iis regionibus, quarum episcopi sunt, dictos creandi potestatem non habent: multo magis id sibi sumere in urbibus vetabuntur. Facultatem porro ejusmodi per litteras, hoc est scriptis exaratam, ne quæ de ea re controversia oboriatur, chorepiscopo quidem factam ei potestatem asseverante, episcopo autem, vel non satis explicata ratione memoriæ, vel alia quacunque de causa, pernegante, canon concedi jubet.

ARIST. « Chorepiscopus non ordinat sine episcopi
« permissione. »

Hic quidem canon sine distinctione chorepiscopos sine episcopi permissione ordinare prohibet. At decimus synodi Antiochenæ canon concedit eis lectores tantum, vel hypodiaconos vel exorcistas constituere, non autem presbyterum vel diaconum ordinare audere, sine episcopi civitatis illius cui et ille et regio subest voluntate. Magnus vero Basilius inveniens ministros Ecclesiæ a chorepiscopis sine examinatione factos, sæpenumero autem et a presbyteris et diaconis introductos, contra episcoporum suorum permissionem, non concedit chorepiscopis

χθῆναι εἰς τάξιν, τουτέστιν εἰς ἱερωσύνης βαθμόν· τὸ γὰρ ἅγιον βάπτισμα ἅπαντα τὰ πρώην μολύσματα ἀπολοῦσαι καὶ ἐκκαθᾶραι πιστεύεται ὁποῖα ἂν εἶεν.

ΑΡΙΣΤ. « Ὁ πρὸ τοῦ βαπτίσματος θύσας ἀνεύθυνος
« μετὰ τὸ βάπτισμα. »

Ἐπεὶ τὸ ἅγιον βάπτισμα πάντα ῥύπον ψυχικὸν ἀποπλύνει, εἰκότως ὁ πρὸ τοῦ βαπτίσματος θύσας μετὰ τὸ βάπτισμα ἔσται ἀνεύθυνος, καὶ εἰς ἱερατικὸν βαθμὸν προαχθήσεται, εἴπερ ὁ μετὰ ταῦτα βίος αὐτοῦ εὑρεθῇ ἀνεπίληπτος.

ΚΑΝΩΝ ΙΓ'.

« Χωρεπισκόπους μὴ ἐξεῖναι πρεσβυτέρους ἢ
« διακόνους χειροτονεῖν· ἀλλὰ μὴν μηδὲ πρεσβυ-
« τέρους πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι
« ὑπὸ τοῦ ἐπισκόπου μετὰ γραμμάτων, ἐν ἑτέρᾳ
« παροικίᾳ. »

ΒΑΛΣ. Εἰ θέλεις μαθεῖν τίνες εἰσὶν οἱ χωρεπίσκοποι καὶ τίνα τὰ τούτων προνόμια, ἀνάγνωθι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ιγ', τῆς ἐν Ἀντιοχείᾳ κανόνα ι', καὶ τὴν πρὸς τοὺς χωρεπισκόπους ἐπιστολὴν τοῦ ἁγίου Βασιλείου. Διορίζονται δὲ καὶ οἱ τῆς παρούσης συνόδου Πατέρες μὴ χειροτονεῖν χωρεπισκόπων πρεσβυτέρους ἢ διακόνους χωρὶς ἐγγράφου ἐπιστολῆς τοῦ ἐγχωρίου ἐπισκόπου· ἀλλὰ μηδὲ πρεσβύτερον πόλεως. Περὶ μέντοι τοῦ παρόντος κανόνος ἠθέλομεν γράψαι τινά· ἐπεὶ δὲ ὁ τῶν χωρεπισκόπων βαθμὸς παντελῶς ἠπράκτησεν, οὐδὲ ἡμεῖς ματαιοπονῆσαι ἠθελήσαμεν.

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου δέκατος κανὼν τὰ αὐτὰ περὶ τῶν χωρεπισκόπων ὁρίζει, ἀπαγορεύων αὐτοῖς χειροτονίαν πρεσβυτέρου ἢ διακόνου, μόνους δὲ ἐπιτρέπων χειροτονεῖν ὑποδιακόνους καὶ ἀναγνώστας καὶ ἐφορκιστάς· ἄνευ δὲ ἐπιτροπῆς τῶν ἐπισκόπων οἷς ὑπόκεινται μὴ ἐξεῖναι αὐτοῖς πρεσβύτερον ἢ διάκονον χειροτονεῖν, ἀλλὰ μηδὲ πρεσβυτέρους ἐν πόλεσι καθιστᾷν. Εἰ γὰρ ἐν ταῖς χώραις ἐν αἷς ἐπισκοποῦσιν οὐ δύνανται χειροτονεῖν τοὺς εἰρημένους, μᾶλλον ἐν πόλεσι τοῦτο ποιεῖν κωλύονται. Τὴν δὲ ἐπιτροπὴν βούλεται ὁ κανὼν διὰ γραμμάτων γίνεσθαι, ἤτοι ἔγγραφον, ἵνα μή τις εἴη περὶ τούτου ἀμφιβολία, τοῦ μὲν χωρεπισκόπου λέγοντος ἐπιτραπῆναι, τοῦ δὲ ἐπισκόπου ἀρνουμένου ἴσως ἢ διὰ λήθην ἢ ἄλλως.

ΑΡΙΣΤ. « Χωρεπίσκοπος οὐ χειροτονεῖ ἄνευ ἐπι-
« τροπῆς ἐπισκόπου. »

Ὁ μὲν κανὼν οὗτος ἀδιαστίκτως τοὺς χωρεπισκόπους κωλύει χειροτονεῖν ἄνευ ἐπιτροπῆς ἐπισκόπου· ὁ δὲ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου συγχωρεῖ αὐτοῖς μόνον ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς καθιστᾷν, μὴ μέντοι γε πρεσβύτερον ἢ διάκονον χειροτονεῖν τολμᾷν δίχα γνώμης τοῦ ἐν τῇ πόλει ἐπισκόπου ἢ ὑπόκειται αὐτός τε καὶ ἡ χώρα. Ὁ δὲ μέγας Βασίλειος, εὑρὼν ἀνεξετάστως γινομένους τοὺς ὑπηρέτας τῆς Ἐκκλησίας παρὰ τῶν χωρεπισκόπων, πολλάκις δὲ καὶ παρὰ τῶν πρεσβυτέρων καὶ διακόνων εἰσαγομένους,

κατ' ἐπιτροπὴν αὐτῶν ἐπισκόπων, οὐ συγχωρεῖ τοῖς χωρεπισκόποις ἄνευ γνώμης αὐτοῦ τινα εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν παραδέχεσθαι· ἀλλὰ κατεξετάζεσθαι μὲν τοὺς ἀξίους παρὰ τῶν χωρεπισκόπων, καὶ παραδέχεσθαι· μὴ συναριθμεῖν δὲ αὐτοὺς τῷ κλήρῳ πρὸ τοῦ ἀνενεγκεῖν αὐτῷ τὰ περὶ αὐτῶν. Χωρεπίσκοποι δέ εἰσιν οἱ σήμερον ἔν τισι κώμαις καὶ χώραις πρωτοπαπάδες λεγόμενοι.

A sine illius sententia ad ecclesiasticum ministerium quempiam admittere ; sed dignos quidem a chorepiscopis inquiri, et admitti, non autem clero eos connumerare, priusquam quæ ad eos spectant, ipsi episcopo retulerint. Chorepiscopi autem sunt qui nunc in quibusdam vicis et regionibus protopapades nominantur.

ΚΑΝΩΝ ΙΔ'.

« Τοὺς ἐν κλήρῳ, πρεσβυτέρους ἢ διακόνους ὄντας, « ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι, καὶ « οὕτως, εἰ βούλοιντο, κρατεῖν ἑαυτῶν· εἰ δὲ μή « βούλοιντο, ὡς μηδὲ τὰ μετὰ κρεῶν βαλλόμενα « λάχανα ἐσθίειν, καὶ μηδὲ ὑπείκοιεν τῷ κανόνι, « πεπαῦσθαι αὐτοὺς τῆς τάξεως. »

CANON XIV.

« Eos qui in clero sunt, presbyteros vel diaconos, « a carnibus abstinentes, placuit illas attingere, « et sic, si velint, ab eis abstinere : sin autem « nolint, ut nec olera, quæ cum carnibus appo- « nuntur, comedere, et canoni non cedant, ab « ordine cessare. »

ΒΑΛΣ. Τὰ μὲν περιεχόμενα τῷ ἀποστολικῷ να' κανόνι χάριν τῶν ἀπεχομένων γάμου, οἴνου καὶ κρεῶν, προηρμηνεύθησαν ἐκεῖσε· ἐπεὶ δὲ διελήφθη ἐν τῷ τοιούτῳ κανόνι μὴ κολάζεσθαι τοὺς διὰ ἄσκησιν νηστεύοντας, ἀλλὰ τιμωρεῖσθαι τοὺς βλασφημοῦντας κατὰ τῶν οἰκονομιῶν τοῦ Θεοῦ· εἰκὸς δὲ εἰπεῖν τινας, Καὶ πόθεν ἀναφανήσονται οἱ διὰ ἀγαθὸν τρόπον καὶ οἱ διὰ φαῦλον νηστεύοντες; οἱ τῆς παρούσης συνόδου Πατέρες εὐμαρῶς καὶ τοῦτο διεκρίνησαν. Ἔφασαν γὰρ, ὡς Εἰ βούλονται οἱ νηστεύοντες ἅπαν σκάνδαλον περιαιρῆσαι, ἐφαπτέσθωσαν μόνον τῶν κρεῶν, καὶ πάλιν νηστευέτωσαν, εἰ αἱροῦνται. Εἰ δὲ τοῦτο οὐ ποιήσουσιν, ἀλλ' οὐδὲ τὰ λάχανα τὰ μετὰ τῶν κρεῶν βαλλόμενα ἐσθίουσιν, ἀναγκαζόμενοι πάντως παρὰ τοῦ ἐπισκόπου ἐκ προσαγγελίας τινῶν, καταλαμβάνονται διὰ τρόπον οὐκ ἀγαθὸν ἀπέχεσθαι τῶν κρεῶν, καὶ καθαιρείσθωσαν, ὡς μὴ τῷ κανόνι ὑποτασσόμενοι. Καλῶς δὲ ἐκεῖσε μὲν ὁ κανὼν εἶπεν ἢ παύεσθαι ἢ καθαιρεῖσθαι τούτους· ἐνταῦθα δὲ παύεσθαι τῆς τάξεως οἱ Πατέρες διωρίσαντο. Ἔτι γὰρ τοῦ ἀμφιβόλου μὴ λυθέντος, ὤφειλε πάντως ὁ αἰτιώμενος παρεγγυηθῆναι περιαιρῆσαι διὰ τοῦ κρεωφαγῆσαι τὸ σκάνδαλον, καὶ οὕτω καταχριθῆναι. Ἐνταῦθα δὲ τῆς ὑποψίας περιαιρουμένης διὰ τῆς ὑποτυπωθείσης οἰκονομίας παρὰ τῶν Πατέρων, ἐξ ἀνάγκης ὁ μὴ κατὰ ταύτην ποιῶν καθαιρεῖται ἀπεντεῦθεν. Ἐπεὶ δὲ πρεσβυτέρων καὶ διακόνων μόνων ἐμνήσθη ὁ παρὼν κανών, ὁ δὲ ῥηθεὶς ἀποστολικὸς κανὼν πάντων τῶν ἀνθρώπων μέμνηται, ὀφείλεις καὶ σὺ τὰ ἐνταῦθα διορισθέντα εἰς πάντας ἐκτείνειν. Ὡς ἔοικεν οὖν, καὶ οἱ αἰτιώμενοι διὰ Βωγομιλικὴν αἵρεσιν ἀκολούθως τῷ παρόντι κανόνι ἀναγκάζονται κρεωφαγῆσαι ἢ τυροφαγῆσαι, καὶ περιαιρῆσαι τὴν ὑποψίαν τῆς Βωγομιλικῆς νηστείας· ἀλλὰ καὶ οἱ πλείους τῶν εὐλαβεστέρων μοναχῶν, μὴ θέλοντες καταλῦσαι εἰς ἰχθύας διὰ τὸ τῆς ἁγίας Τεσσαρακοστῆς αἰδέσιμον, κατὰ τοῦτον δῆθεν τὸν κανόνα τούτων μὲν ἀπέχονται, ἐσθίουσι δὲ τὰ ἀποβράσματα αὐτῶν καὶ τὰ σὺν αὐτοῖς ἑψόμενα λάχανα. Καὶ τὸ μὲν οὕτω γινόμενον εἰς τοὺς κατηγορουμένους διὰ Βωγομιλικὴν αἵρεσιν καλῶς εἴποι τις γίνεσθαι· ὥσπερ καὶ τὸ ἀπογεύσασθαί τινα κρέατος ἢ τυροῦ εἰς τὰς ἑβδομάδας καθ' ἃς Ἀρμένιοι ἢ ἄλλοι αἱρετικοὶ νηστεύουσι· καὶ

B BALS. Quæ apostolico canone 51 continentur, de iis qui a nuptiis et vino et carnibus abstinent, illic sunt exposita. Quoniam autem in eo canone tractatum est, eos non puniendos qui propter exercitationem jejunent ; sed eos esse coercendos, qui adversus Dei œconomiam maledice blasphemeque loquuntur ; est autem verisimile dixisse nonnullos, Et undenam a nobis cognoscentur qui bono more et qui malo jejunant? præsentis synodi Patres hoc quoque facile dissolverunt. Dicunt enim, quod Si volunt, qui jejunant, omnem offensionem tolli, carnes tantum attingant, et jejunent si velint : si autem hoc non facient, sed neque olera quæ sunt cum carnibus injecta comedunt, omnino ab epi-
C scopo coacti ex aliquorum denuntiatione, deprehenduntur non bono more a carnibus abstinere, et deponantur, ut qui canoni non obediant. Recte autem dixit illic canon, eos vel cessare, vel deponi. Hic autem eos ab ordine cessare Patres definiere. Cum enim dubium adhuc non esset solutum, debebat omnino, qui accusabatur, jubere vescendo carnem tollere scandalum, et sic condemnari. Hic autem ablata suspicione per œconomiam a Patribus descriptam, necessario, qui non facit ei convenienter, eo ipso deponitur. Quoniam autem 390 presbyterorum et diaconorum solorum meminit præsens canon, dictus autem canon apostolicus omnium hominum meminit : debes tu quoque, quæ illic dicta sunt, ad omnes extendere.
D Ut est ergo verisimile, ii quoque, qui Bogomilicæ hæresis accusantur, præsenti canoni consentanee coguntur carnibus vel caseo vesci, et Bogomilici jejunii suspicionem tollere : quin et paulo religiosiores complures monachi, nolentes piscibus jejunium solvere, propter sanctæ Quadragesimæ hõnorem, huic utique canoni convenienter ab eis quidem abstinent ; eorum autem jura comedunt, et olera quæ cum eis coquuntur. Et quod sic quidem fit in eos, qui Bogomilicæ hæreseos accusantur, recte fieri dixerit quispiam : quemadmodum et si quis carnem gustet vel caseum in hebdomadibus, in quibus Armenii vel alii hæretici jejunant ; et maxime quando in suspecta regione versatur. Hoc enim facit, ne una cum hæreticis jejunare repute-

tur. Quod autem fit ab iis, qui in sancta Quadragesima jejunant, et jejunium solvunt, ut dictum est, non videtur mihi esse ignoscendum. Oportebat enim eos jejunantes in iis jejunium non solvere, et Quadragesimam despicatui habere. Canon autem dixit olera ejusmodi comedere, non ut suadens a carnibus quidem abstinere, quæ sunt autem in eis olera comedere; sed ut eos odio habens, qui propter carnium odium et abominationem, oleribus quoque vesci recusant, quæque coquuntur cum carnibus. Ut ubique ejus, qui jejunium solvit, vel non solvit, affectio consideretur. Latini vero monachi, qui a carnibus quidem abstinent, earum autem adipem cum oleribus indiscriminatim comedunt, non mihi videntur huic canoni consentanee facere. Non enim, ne accusentur quod a carnibus abstinent, adipe jejunium solvunt : sed ut ventrem impleant, et gulæ blandiantur.

ZONAR. Si quis episcopus, aut presbyter, aut diaconus, a vino et carnibus, non exercendæ temperantiæ studio, sed quasi a damnatis rebus abstineat, eos sancti apostoli canone quinquagesimo tertio deponi jussere. Quoniam vero credibile erat aliquos carnem et vinum, tanquam impuros cibos, aversari, qui se ab illis studio exercendæ virtutis abstinere profiterentur : hæc synodus definivit, ut qui a carnibus abstinere soliti, quibus diebus fidelium conventus peragebantur, eas attingerent, hoc est, iis vescerentur ; atque ita rursum, si voluissent, ab iis postea temperarent. Quod si eousque a carnium esu abstineant, ut olera quoque cum iis decocta rejiciant, ab ordine cessare, hoc est ab eo, in quo sunt constituti, honoris gradu repelli jubet.

ARIST. « Sacerdos a carnibus abstinens, ubi tan-
« tum gustaverit, sic abstineat : si vero nec olera
« quæ cum carnibus sunt, degustet, a fungendo
« munere desistat. »

Presbyter vel diaconus a carnibus abstinens, degustet. Si autem non persuadeatur vel olera cum carne gustare, deponatur, ut Dei opificium improbans, illudque calumnia afficiens. Et quære sanctorum apostolorum canonem 51.

CANON XV.

« Ex iis, quæ pertinent ad Dominicum, quæcunque

μᾶλλον ὅταν εἰς ὑποπτον χώραν διάγῃ. Ποιεῖ γὰρ τοῦτο ἵνα μὴ λογισθῇ συννηστεύειν τοῖς αἱρετικοῖς. Τὸ δὲ γινόμενον παρὰ τῶν νηστευόντων ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς, καὶ καταλυόντων, ὡς εἴρηται, οὐ δοκεῖ μοι ἀκατάγνωστον. Ἔδει γὰρ τοὺς νηστεύοντας μὴ καταλύειν ἐν τοιούτοις καὶ ἀτιμάζειν τὴν νηστείαν. Ὁ δὲ κανὼν εἶπε τὸ ἐσθίειν τοιαῦτα λάχανα, οὐχ ὡς προτρέπων ἀπέχεσθαι μὲν τῶν κρεῶν, τὰ δ' ἐν αὐτοῖς λάχανα ἐσθίειν, ἀλλ' ὡς μισῶν τοὺς διὰ βδελυρίαν καὶ ἀποστροφὴν τῶν κρεῶν ἀποτασσομένους καὶ αὐτοῖς τοῖς λαχάνοις τοῖς μετὰ τῶν κρεῶν ἑψομένοις. Ὥστε πανταχοῦ ἡ διάθεσις σκοπεῖται τοῦ καταλύοντος καὶ μὴ καταλύοντος. Οἱ δὲ Λατῖνοι μοναχοὶ, τῶν κρεῶν μὲν ἀπεχόμενοι, τὸ δὲ στέαρ τούτων μετὰ λαχάνων ἀδιαφόρως ἐσθίοντες, οὐ δοκοῦσί μοι ποιεῖν κατὰ τὸν παρόντα κανόνα. Οὐ γὰρ, ἵνα μὴ αἰτιαθῶσιν ὡς ἀπεχόμενοι τῶν κρεῶν, καταλύουσιν εἰς τὸ στέαρ, ἀλλ' ἵνα τὴν γαστέρα ἐμπλήσωσι καὶ τὸν φάρυγγα θεραπεύσωσιν.

ΖΩΝΑΡ. Ἐν πεντηκοστῷ τρίτῳ κανόνι οἱ ἅγιοι ἀπόστολοι διετάξαντο τοὺς μὴ μεταλαμβάνοντας κρεῶν καὶ οἴνου ἐπισκόπου ἢ πρεσβυτέρους ἢ διακόνους, ὡς βδελυσσομένους αὐτὰ, καὶ οὐ δι' ἄσκησιν, καθαιρεῖσθαι. Ἐπεὶ δὲ εἰκὸς ἦν τινας, βδελυττομένους τὰ κρέας καὶ τὸν οἶνον, ἀπέχεσθαι αὐτῶν, λέγειν δὲ, ὅτι Δι' ἄσκησιν αὐτῶν ἀπεχόμεθα· ὥρισεν ἡ σύνοδος αὕτη ἅπτεσθαι τῶν κρεῶν τοὺς ἀπεχομένους αὐτῶν, ἀντὶ τοῦ ἀπογεύεσθαι αὐτῶν, κατά τινας καιροὺς συνάξεων, καὶ οὕτως αὖθις, εἰ βούλοιντο, ἐγκρατεύεσθαι. Εἰ δὲ οὕτως βούλονται ἀπέχεσθαι αὐτῶν, ὡς μηδὲ λάχανα μετὰ κρεῶν ἑψόμενα ἐσθίειν, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως, τουτέστιν, ἐξωθεῖσθαι τοῦ βαθμοῦ καὶ τῆς τιμῆς ἐν ᾗ τυγχάνουσιν.

ΑΡΙΣΤ. « Ἱερατικὸς, κρεῶν ἀπεχόμενος γευσά-
« μενος μόνον, οὕτως ἀπεχέσθω· εἰ δὲ μηδὲ
« τῶν μετὰ κρέατος γεύοιτο λαχάνων, πεπαύ-
« σθω. »

Ὁ ἀπεχόμενος κρεῶν πρεσβύτερος ἢ διάκονος ἀπογευσάσθω. Εἰ δὲ οὐ πείθεται, ὡς μηδὲ τῶν λαχάνων τῶν μετὰ κρέατος γεύσασθαι, καθαιρείσθω, ὡς τὴν τοῦ Θεοῦ ἀποδοκιμάζων δημιουργίαν, καὶ διαβάλλων αὐτήν. Καὶ ζήτει καὶ τῶν ἁγίων ἀποστόλων κανόνα να'.

ΚΑΝΩΝ ΙΕ'.

« Περὶ τῶν διαφερόντων τῷ Κυριακῷ (79), ὅσα

Guill. Beveregii notæ.

(79) *Περὶ τῶν διαφερόντων τῷ Κυριακῷ.* Vox Κυριακὸν hoc in loco templum Domino Deoque nostro consecratum significat. Sic etiam usurpatur a concilio Neocæsariensi, Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς Κυριακὸν, can. 5. Sic etiam synodus Laodicena, ἐν τοῖς Κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις, syn. Laod. can. 28. Et Trullan. can. 74. Sic et apud Eusebium legimus, κατὰ τὰ Κυριακὰ δὲ τὰ οἰκεῖα ὅπως κατασκευάζοιεν, συγχωρεῖται. Euseb. *Eccl. Hist.* l. IX, c. 10. Qui alibi etiam rationem hujus nominis his verbis reddit, ἱερὰ καὶ τεμένη ἑνὶ τῷ πάντων βασιλεῖ Θεῷ τῷ δὴ καὶ τῶν ὅλων Δεσπότῃ καθιερῶσθαι, ἔνθεν καὶ τῆς τοῦ Δεσπότου προσηγορίας ἠξίωται τὰ καθιερωμένα οὐκ ἐξ ἀνθρώπων τυχόντα τῆς ἐπικλήσεως, ἐξ αὐτοῦ δὲ τοῦ τῶν ὅλων Κυρίου, παρὸ καὶ Κυριακῶν ἠξίωνται τῶν ἐπωνυμιῶν. Id. De laud. Constant. cap. 17. Hinc Latini *Dominicum* appellarunt : ut apud Rufinum, *Surge et sequere me ad Dominicum, et hujus fidei signaculum suscipe.* Ruffin. *Hist.* l. I, c. 3. Et apud Hieronymum in Chronico, ad annum tertium Olymp. 276 : *In Antiochia Dominicum, quod appellatur Aureum, ædificari cœptum ;* et ad secundum Olym. 280 : *Antiochiæ Dominicum Aureum dedicatur.* De isto Dominico sic etiam Cedrenus ex Theophane : Τῷ κγ', καὶ δ', καὶ ε' ἔτει τὸ ἐν Ἀντιοχείᾳ ὀκτάγωνον Κυριακὸν ἤρξατο οἰκοδομεῖσθαι. Ab eodem autem et Κυριακαὶ appel-

« ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, A « ἀναχαλεῖσθαι τὸ Κυριακόν. Ἐν δὲ τῇ κρίσει « τοῦ ἐπισκόπου εἶναι, εἴπερ προσήκει ἀπολα- « βεῖν τὴν τιμήν, εἴτε καὶ μή, διὰ τὸ πολλάκις « τὴν πρόσοδον τῶν πεπραμένων ἀποδεδωκέναι « αὐτοῖς τούτοις πλείονα τὴν τιμήν. »

Et octogesimus septimus sextæ in Trullo synodi canon septem annorum pœnam adultero infert, quemadmodum et præsens canon constituit. Ut unum quidem annum defleat, biennium audiat, triennium substernatur, et septimo cum fidelibus conveniat, et sic oblatione dignus habeatur, si cum lacrymis pœnitentiam egerit. At quinquagesimus octavus Basilii magni canon adulterum quindecim annorum pœnæ subjicit : ut quatuor quidem defleat, quinque vero audiat, quatuor substernatur, duos cum fidelibus congregetur, et postea communione dignus censeatur.

ΚΑΝΩΝ ΚΑ'. — 398 CANON XXI.

« Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν, καὶ ἀνι-
« ρουσῶν τὰ γεννώμενα (88), καὶ σπουδαζουσῶν
« φθόρια ποιεῖν· ὁ μὲν πρότερος ὅρος μέχρις
« ἐξόδου ἐκώλυσεν, καὶ τούτῳ συντίθενται· φιλ-
« ανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δε-
« καέτη χρόνον κατὰ τοὺς βαθμοὺς τοὺς ὡρι-
« σμένους πληρῶσαι. »

« De mulieribus, quæ sunt fornicatæ, et fetus in
« utero perimunt, et fetuum necatoriis medica-
« mentis faciendis dant operam ; prior quidem
« definitio usque ad vitæ exitum prohibebat, et
« ei quidam assentiuntur; sed humanitate ta-
« men utentes, decrevimus ut decennium per
« gradus præfinitos impleant. »

ΒΑΛΣ. Ἀπὸ ὅρου ἀρχαιοτέρου ἐκκλησιαστικοῦ κατὰ μόνας τὰς τελευταίας ἀναπνοὰς τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως ἠξιοῦντο αἱ συλλαβοῦσαι λαθραίως, καὶ διὰ τὸ μὴ ἐπιγνωσθῆναι ἀναιροῦσαι τὰ ἔμβρυα αὐτῶν καθ' οἱονδήτινα λόγον. Οἱ δὲ τῆς συνόδου ταύτης Πατέρες, φιλανθρωπευσάμενοι, ὥρισαν μετὰ δέκα ἐνιαυτοὺς μεριζομένους εἰς τοὺς τέσσαρας βαθμοὺς τῶν ἐπιτιμίων, ἤγουν εἰς τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, καὶ τὸν τοῦ συνεστῶτος, μεταλαμβάνειν αὐτάς. Φθόριον δέ ἐστιν ἅπαν φάρμακον φθεῖρον τὸ ἐγκυμονούμενον. Ἀνάγνωθι τὸν β' κανόνα τοῦ ἁγίου C

BALS. Antiquiore ecclesiastica definitione, in sola ultima respiratione divinorum sacramentorum participatione dignæ habebantur eæ, quæ cum clam concepissent, ne id cognosceretur, suos fetus in utero necabant quovis modo. Hujus autem synodi Patres, usi humanitate, post decem annos in pœnarum quatuor gradus dispertitos, scilicet ejus qui deflet, ejus qui audit, ejus qui supplex substernitur, et ejus qui ad preces fidelium congregatur, eas posse sacramentis communicare statuerunt. Φθόρια autem dicuntur omnia medicamenta, quæ, quod in utero conceptum est, peri-

Guill. Beveregii notæ.

(88) *Καὶ ἀναιρουσῶν τὰ γεννώμενα.* Fetum in utero necare Tertullianus olim interdictum asserit, dicens, *Nobis vero homicidio semel interdicto, etiam conceptum utero, dum adhuc sanguis in hominem deliberatur, dissolvere non licet. Homicidii festinatio est prohibere nasci : nec refert natam quis eripiat animam, an nascentem disturbet : homo est et qui est futurus, et fructus omnis jam in semine est.* Tertull. *Apol* c. 9. De hoc atroci flagitio intelligendus est Lactantius, ubi ait, *Verum homines, ne quid sit facinus, quo manus suas non polluant, ruubibus adhuc et simplicibus animis abnegant lucem non a se datam.* Lactant. l. vi, c. 20. Hoc autem per medicamenta quædam a mulierculis impense improbis epota perpetrari solet. De quibus Juvenalis *Satyr.* 6, ait :

Tantum artes hujus, tantum medicamina possunt,
Quæ steriles facit, atque homines in ventre necandos.

Et Minutius Felix in Octavio, dicens, *Vos enim video procreatos filios nunc feris et avibus exponere, nunc adstrangulatos misero mortis genere elidere : sunt quæ in ipsis visceribus medicaminibus epotis originem futuri hominis exstinguant, et parricidium faciant, antequam pariant.* De hoc facinore jus civile sic statuit, *Qui abortionis aut amatorium poculum dant, etsi dolo non faciant, tamen quia mali exempli res est, humiliores in metallum, honestiores in insulam amissa parte bonorum relegantur. Quod si eo mulier aut homo perierit, summo supplicio afficiuntur*, l. xxxviii, sect. 5 *De pœnis.* Hujusmodi medicamenta, a præsenti quidem canone φθόρια dicuntur; sed a synodo Trullana, can. 91, ἀμβλωθρίδια appellantur. Quæ vox eodem sensu ab Athenagora quoque usurpatur, dicente, Καὶ οἱ τὰς τοῖς ἀμβλωθριδίοις χρωμένας, ἀνδροφονεῖν τε καὶ λόγον ὑφέξειν τῆς ἐξαμβλώσεως τῷ θεῷ φαμεν, κατὰ ποῖον ἀνδροφονοῦμεν λόγον. Athenag. leg. pro Christian. In scholiis ad Basilic. lib. lx, tit. 39, ἀμβλωθρίδια scribitur. Ubi etiam legimus, καὶ αἱ ἀμβλωθρίδια διδοῦσαι φάρμακα φονεύτριαί εἰσι, καὶ αὐταὶ καὶ αἱ ἐχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια. Quæ ex nonagesimo primo synodi Trullanæ canone desumpta sunt. Suidas autem de voce Ἀμβλωθρίδιον ait, quod sit, αὐτό τε τὸ φθόριον φάρμακον, καὶ ὃ καὶ τὸ διαφθαρέν.

nunt. Lege secundum canonem sancti Basilii, et nonagesimum primum synodi in Trullo, et eorum interpretationem.

ZONAR. Mulieres ex concubitu furtivo prægnantes, ne flagitium uterus prodat, fetum, aut gravi pondere ad alvum premendam superinjecto, aut epotis ad conceptum abigendum medicamentis, data opera interficiunt. Eas igitur mulieres toto vitæ tempore a communione arcendas, tantumque in extremo vitæ articulo ad sacrorum mysteriorum perceptionem admittendas, priori constitutione definitum esse hic canon affirmat. Nos vero, inquiunt synodi Patres, mitiore excogitato remedio, decennium constituimus; eoque per definitos gradus vicissim exacto, hoc est certo tempore in singulis pœnitentium locis, lugentium scilicet, audientium, in substratione degentium, et cum cæteris astantium, expleto, sacram illis communionem impertiri haud vetamus. Magnus quoque Basilius secundo ipsius canone, quæ mulieres sponte uterum vitiavere, decennii multa puniri jubet. Quamvis curationem non temporis longitudine, sed pœnitendi modo definiri oportere demonstret,

ARIST. « Meretrices medicamenta noxia accipien-
« tes, decennio subjiciantur. »

Mulieres quæ pharmaca noxia accipiunt ad fetus suos in utero necandos, decem annos castigentur. Duos quidem annos extra ecclesiæ ambitum stantes, et flentes, tres autem ad basilicas fores immorantes, et divinas audientes Scripturas, aliud item triennium in postica ambonis parte substratæ et cum catechumenis egredientes, unum autem annum cum fidelibus convenientes et precationum partem habentes. Et sic post hosce gradus perfectione dignæ habentur.

CANON XXII.

« De involuntariis cædibus, prior quidem consti-
« tutio jubet in septennio per præfinitos gradus
« esse perfecti participes : secunda vero quin-
« quennii tempus implere. »

BALS. Magnus Basilius in suo canone octavo et in septimo quinquagesimo fusius de voluntariis et involuntariis cædibus disserit. Tu igitur illos perlege, tum accuratius disces, quænam involuntariæ sint et voluntariæ cædes; et quales illarum pœnæ. Lege et quæ a nobis scripta sunt, cum canonem 91 synodi in Trullo exponeremus.

399 ZONAR. Hic quidem canon voluntariam cædem communionis privatione multat, ejusque auctorem perpetuo a sanctorum perceptione extremo vitæ articulo duntaxat excepto arceri jubet, Magnus vero Basilius sexto et quinquagesimo canone viginti annorum spatium ei sceleri luendo constituit, idque ita describit; ut auctorem facinoris quadriennio lugere, quinquennio audire, septem annis substerni, et quatuor annis subsistere in fidelium conventu velit; quibus postmodum exactis, ad sacramentorum communionem admittendus sit.

Βασιλείου καὶ τὸν ια' τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτῶν.

ΖΩΝΑΡ. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθῶσιν, ἀναιροῦσι τὰ ἔμβρυα ἐξεπίτηδες ἢ βάρη ταῖς κοιλίαις ἑαυτῶν ἐπιτιθεῖσαι καὶ συμπιέζουσαι ταύτας, ἢ φάρμακά τινα πίνουσαι, καὶ φθείρουσαι τὰ κυοφορούμενα. Ταύτας οὖν, φησὶν ὁ κανὼν οὗτος, ὅτι ὁ πρότερος ὅρος ἐτετίμησεν ἀκοινωνησίᾳ μέχρι θανάτου, καὶ ὥστε ἐν τῷ θνήσκειν μόνον ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. Ἡμεῖς δὲ, φασὶν οἱ τῆς συνόδου Πατέρες, φιλανθρωπότερόν τι εὑρόντες, δεκαετίαν ὡρίσαμεν, ὥστε διὰ δέκα ἐτῶν καταμεριζομένων εἰς τοὺς ὡρισμένους βαθμοὺς, ἤτοι τοὺς τόπους τῶν ἐπιτιμίων, τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, τὸν τοῦ συνεστῶτος, ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. Καὶ ὁ μέγας δὲ Βασίλειος ἐν δευτέρῳ αὐτοῦ κανόνι, ταῖς κατ' ἐπιτήδευσιν φθειρούσαις τὰ ἔμβρυα δεκαετίαν ἐπιτιμᾷ. Λέγει δὲ δεῖν μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας ὁρίζειν τὴν θεραπείαν.

ΑΡΙΣΤ. « Αἱ πόρναι, λαμβάνουσαι φθόρια, δεκαε-
« τίαν ὑποπιπτέτωσαν. »

Αἱ δεχόμεναι δηλητήρια ἐπὶ τῷ τὰ ἔμβρυα αὐτῶν ἀνελεῖν, ἐπὶ δέκα ἐπιτιμάσθωσαν ἔτεσι· δύο μὲν ἔτη ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ἱστάμεναι καὶ προσκλαίουσαι, τρία δὲ παρὰ τοῖς βασιλικοῖς ἐστῶσαι πυλῶσι, καὶ τῶν θείων Γραφῶν ἀκροώμεναι· ἄλλην δὲ τετραετίαν ἐντὸς τοῦ περιβόλου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος ὑποπίπτουσαι, καὶ μετὰ τῶν κατηχουμένων συνεξιοῦσαι, ἐπὶ δὲ ἐνιαυτὸν συνιστάμεναι τοῖς πιστοῖς, καὶ τῶν εὐχῶν κοινωνοῦσαι· καὶ οὕτω μετὰ τοὺς βαθμοὺς τούτους τῆς τελειώσεως ἀξιούμεναι.

ΚΑΝΩΝ ΚΒ'.

« Περὶ ἀκουσίων φόνων ὁ μὲν πρότερος ὅρος ἐν
« ἑπταετίᾳ κελεύει τοῦ τελείου μετασχεῖν κατὰ
« τοὺς ὡρισμένους βαθμούς· ὁ δὲ δεύτερος τὸν
« πενταέτη χρόνον πληρῶσαι. »

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος ἐν τῷ η' κανόνι αὐτοῦ καὶ ἐν τῷ νζ' πλατύτερον περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων διαλαμβάνει. Καὶ ἀνάγνωθι τούτους, καὶ μάθοις ἀκριβέστερον ποῖοί τε εἰσὶν οἱ ἀκούσιοι φόνοι, καὶ τίνα τὰ κατὰ τούτων ἐπιτίμια. Ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ ια' κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν ἀκοινωνησίᾳ ἐπιτιμίῳ κολάζει τὸν ἑκούσιον φόνον, μὴ συγχωρῶν μετέχειν τῶν ἁγιασμάτων τὸν ἑκουσίως φονεύσαντα εἰ μὴ ἐν τῷ τέλει τοῦ βίου· ὁ δὲ μέγας Βασίλειος ἐν πεντηκοστῷ ἕκτῳ κανόνι εἰκοσαετίαν ὁρίζει ἐπὶ τούτῳ, οὕτως αὐτὴν διαιρῶν· προσκλαίειν μὲν τετραετίαν, ἀκροᾶσθαι δὲ πέντε ἔτη, ὑποπίπτειν δὲ ἑπτά, καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπὶ τετραετίαν, καὶ τούτων ἐκπεπερωμένων μετέχειν τῶν ἁγιασμάτων.

ΑΡΙΣΤ. « Ὁ ἀκουσίως φονευτὴς πενταετίαν ὑποπιπτέτω. »

Περὶ τοῦ ἀκουσίου φονευτοῦ οὗτος μὲν ὁ κανὼν πενταετίαν ὁρίζει εἰς ἐπιτίμησιν· ὁ δὲ νζ' τοῦ Βασιλείου κανὼν δύο ἔτη προσκλαίειν τὸν τοιοῦτον παρακελεύεται, τρία ἔτη ἐν ἀκροωμένοις διατελεῖν, τέσσαρα ὑποπίπτειν, καὶ ἐν ἑνιαυτῷ συνίστασθαι τοῖς πιστοῖς· ὥστε διὰ δεκαετίας τυγχάνειν τῆς τελειώσεως, καὶ ἀξιοῦσθαι τῆς κοινωνίας.

ARIST. « Involuntarius sternatur homicida quinquennio sub. »

De involuntario homicida hic quidem canon quinquennium in pœnam statuit. At Basilii canon 57 duos annos talem deflere jubet, tres annos inter audientes agere, quatuor substerni, et uno anno cum fidelibus consistere, adeo ut post decennium perfectionem assequatur, et communione dignus habeatur.

ΚΑΝΩΝ ΚΓ'.

« Περὶ ἑκουσίων φόνων ὑποπιπτέτωσαν μὲν (89), « τοῦ δὲ τελείου ἐν τῷ τέλει τοῦ βίου καταξιούσθωσαν. »

ΒΑΛΣ. Τὰ τῶν ἑκουσίων φόνων ἐπιτίμια ὁ νς' κανὼν τοῦ ἁγίου Βασιλείου ὑποτυποῖ· καὶ πρόσσχες μᾶλλον τοῖς ἐν αὐτῷ.

CANON XXIII.

« De voluntariis cædibus, supplices quidem substernantur : eo autem quod perfectum est in « fine vitæ digni habeantur. »

BALS. Voluntariarum cædium pœnas canon 56 sancti Basilii describit : et magis mentem adhibe iis, quæ in eo scripta sunt.

ΖΩΝΑΡ. Τίνες εἰσὶν ἀκούσιοι φόνοι καὶ τίνες ἑκούσιοι, ὁ μέγας Βασίλειος ἐν ὀγδόῳ αὐτοῦ κανόνι ὁρίζεται. Ἐν δὲ τῷ νζ' κανόνι ἐπὶ δεκαετίαν ἀκοινώνητον εἶναι τὸν ἀκουσίως φονεύσαντα διορίζεται. Οὕτω δὲ τὴν δεκαετίαν καταμερίζει εἰς τοὺς τόπους τῶν ἐπιτιμίων. Δύο μέν, φησὶν, ἔτη προσκλαύσει ἔξω τοῦ ναοῦ ἑστώς· τρία δὲ ἔτη ἐν ἀκροάσει ἔσται· τέσσαρα δὲ ἔτη ὑποπεσεῖται, καὶ ἐνιαυτὸν στηθήσεται, καὶ τῷ ἐξῆς εἰς τὰ ἅγια δεχθήσεται.

ZONAR. Quænam invitæ cædes, quæ vero voluntate susceptæ dici debeant, aperte octavo canone magnus Basilius constituit. Qui vero cædem invitus patravit, ei toto decennio communione interdictum esse quinquagesimo septimo canono jubet. Decennium porro pro variis pœnitentium locis ea ratione distribuit, ut duobus primum annis inter lugentes extra templi fores, tribus inter audientes degere, quatuor in substratione explere, extremo inter fideles consistere, ac ita deinceps filium ad sacramentorum communionem admitti licere decernat.

ΑΡΙΣΤ. « Ὁ αὐθαίρετος ἀνδροφόνος ἐν τῷ τέλει « τοῦ τελείου τυγχανέτω. »

Ὁ ἑκουσίως φονεύων ἐν τῷ τέλει τοῦ βίου καταξιοῦται τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων μεταλαμβάνει, κατὰ τὸν παρόντα κανόνα. Ὁ δὲ πεντηκοστὸς ἕκτος κανὼν τοῦ μεγάλου Βασιλείου ἐπὶ εἴκοσι ἔτεσιν τὸν ἑκούσιον φονέα ἀπείργει τῆς κοινωνίας· τέσσαρα μὲν ἔτη διοριζόμενος προσκλαίειν αὐτὸν, πέντε δὲ ἔτη ἀκροᾶσθαι, ἓν ἑπτὰ ἔτεσιν ὑποπίπτειν, καὶ ἐν τέσσαρσι συνίστασθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα μετασχεῖν τῶν ἁγιασμάτων.

ARIST. « Voluntarius homicida in fine vitæ perfectionem consequatur. »

Qui voluntarie aliquem occidit in vitæ exitu perfectione dignus censetur, et de sacramentis divinis participat, secundum præsentem canonem. At quinquagesimus sextus Basilii magni canon voluntarium homicidam viginti annos a communione arcet, quatuor quidem annos eum deflere jubens, quinque autem annos audire, septem substerni, et quatuor cum fidelibus consistere, et postea sacramentorum participem esse.

ΚΑΝΩΝ ΚΔ'.

« Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν

CANON XXIV.

« Qui vaticinantur, et gentium consuetudines se-

Guill. Beveregii notæ.

(89) Ὑποπιπτέτωσαν μέν. Quid sit proprie ὑπόπτωσις inter pœnitentiæ gradus, in annotationibus ad undecimum primæ œcumenicæ synodi canonem edocuimus. Hic insuper observetur, omnes istos gradus præter τῶν ἀκροωμένων, in scholiis ad Basilica, juxta quæ ibi diximus, sic describi : Ὑπόπτωσίς ἐστιν ἡ ἔσω τοῦ περιβόλου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἀμβῶνος στάσις, ὅτε αὐτὸς τῇ τῶν κατηχουμένων συνεξέρχεται ἐκφωνήσει· σύστασις ἡ μέχρι τῆς πληρώσεως τῆς θείας λειτουργίας σὺν τοῖς πιστοῖς στάσις. Μετοχὴ τῶν ἁγιασμάτων, ἡ τοῦ ζωοποιοῦ Σώματος καὶ Αἵματος κοινωνία. Πρόσκλαυσις τὸ ἑστάναι ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας τὸν ἁμαρτήσαντα, καὶ ἑκάστῳ τῶν εἰσιόντων ἐπιλέγειν μετὰ κλαυθμοῦ, εὔχεσθαι ὑπὲρ αὐτοῦ, προπίπτοντα καὶ τοῖς πόσιν αὐτοῦ. Quæ verba ab interprete male intellecta, sic interpretor ; Ὑπόπτωσις *substratio est intra ambitum ecclesiæ in postica ambonis parte statio, cum ipse etiam* (qui ibi stat) *una cum catechumenorum exclamatione egreditur.* Σύστασις *sive consistentia est statio cum fidelibus usque ad expletam divinam liturgiam.* Μετοχὴ *sacramentorum est vivificantis panis communio.* Πρόσκλαυσις *sive fletus, est consistere delinquentem extra ecclesiæ ambitum, et singulis, qui ingrediuntur, dicere cum fletu, ut pro ipso orent, ad pedes etiam eorum procidentem.* Schol. ad Basil. l. LX, c. 39, initio. Quid autem sibi velit vox ὑποπιπτέτωσαν hoc in loco, non adeo certum est. Vel ita enim intelligatur, ut voluntariæ cædis rei inter substratos perpetuo usque ad vitæ exitum maneant : vel ita ut ὑπόπτωσιν, nisi moribundi, nunquam transiliant. Sed prius nobis non arridet, propterea quod, qui tanto crimine tenentur, humiliores haud dubie gradus peragrare debent, priusquam ad substratos veniant : adeo ut sensus huc potius redire nobis videatur, ut qui tantum scelus admiserint, aliis peragratis pœnitentium gradibus, ὑποπιπτέτωσαν μέν, inter substratos quidem admittantur, sed ita ut communionis non sint participes, usquedum morituri fuerint.

« quuntur, vel in suas ædes aliquos introducunt, A
« ad medicamenta arte invenienda, vel lustra-
« tionem, in quinquennii canonem incidant,
« secundum gradus definitos : tres annos sub-
« strationis, et duos annos orationis sine obla-
« tione. »

BALS. Non solos præstigiatores et vates puniunt canones, sed et eos etiam qui illis utuntur. Quoniam ergo nonnulli ægrotantes, et artibus magicis se ita affici existimantes, vel etiam cum quasdam res ad se pertinentes perdidissent, incantatores in ædes suas accersebant, qui pollicebantur se artes magicas inventuros, ex quibus scilicet ægrotantes decumbebant, et eorum abominationem expiaturos; vel id etiam, quod amissum erat, indicaturos; alii vero gentilibus consuetudinibus B mentem adhibentes, de felicibus et infelicibus eventis interrogabant astrologos **400** et alios, qui dæmoniaca opera tractant : statuerunt Patres, ut ii quinquennio pœnas darent; ut tribus scilicet annis essent substrati; et postea divinæ sacramenta percipere digni existimarentur. Lege etiam 61 canonem syn. in Trullo, et quæ in eum scripta sunt; et 83 canonem sancti Basilii, eos sexennio punientem. Memento autem, eos etiam iisdem pœnis subjiciendos, qui incantatricibus et critriis, et iis, quæ cum hordeo divinant, fidem adhibent.

ZONAR. Vaticiniis uti Christianum hominem, ethnicorum et Græcorum consuetudines sectari, C atque ad mali pharmaci cujuspiam, hoc est veneficii inventionem præstigiatores admittere (quilusdam forte in ea re tunc nimium curiosis), vel eos ad remedia veneficiis quærenda adhibere hic canon vetat : quique iis usi fuerint, quinquennii pœnam persolvere, ac tribus quidem annis substerni, duobus in conventu fidelium consistere, precationique simul vacare, quinquennio vero expleto ad Boni præterea communionem admitti jubet. Magnus vero Basilius octogesimo tertio canone, ejusmodi homines sexennii pœna puniendos esse decernit.

ARIST. « Qui vaticiniis utitur, et qui quempiam
« in domum veneficii exquirendi, aut lustrationis
« causa introducit, quinquennio subjaceat. » D

Qui vatibus aut incantatoribus, aut amuletorum præbitoribus, vel aliis istiusmodi seipsum tradit, ut revelentur quæ in desiderio habet, vel per medicamenta malum male sanat, triennium substernetur, et biennium cum fidelibus consistet, et precum solarum particeps erit, et sic post quinquennium de oblatione participabit. At sexagesimus primus sextæ synodi in Trullo canon talem a communione sex annos arcendum statuit.

CANON XXV.

« Quidam, cui erat desponsa puella, sororem ejus
« vitiavit, ita ut ea etiam conciperet. Sponsam
« autem postea uxorem duxit : ea autem cui

« ἐθνῶν καταχολουθοῦντες, ἢ εἰσάγοντές τινα εἰς
« τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν,
« ἢ καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν
« τῆς πενταετίας κατὰ τοὺς βαθμοὺς ὡρισμένους·
« τρία ἔτη ὑποπτώσεως, καὶ δύο ἔτη εὐχῆς, χωρὶς
« προσφορᾶς. »

Οὐ μόνους τοὺς γόητας καὶ τοὺς μάντεις κολάζουσιν οἱ κανόνες, ἀλλὰ καὶ τοὺς χρωμένους αὐτοῖς. Ἐπεὶ οὖν τινες νοσηλευόμενοι, καὶ νομίζοντες ἀπὸ φαρμακειῶν πάσχειν, ἢ καὶ ἀπολέσαντές τινα τῶν προσόντων αὐτοῖς, μετεκαλοῦντο γόητας εἰς τοὺς οἴκους αὐτῶν, ἐφευρεῖν ἐπαγγελλομένους ἐν αὐτοῖς τὰς μαγείας, ἐξ ὧν δῆθεν κατεκλίθησαν οἱ νοσηλευόμενοι, καὶ καθᾶραι τὸ ἀπὸ τούτων μῦσος, ἢ καὶ τὸ ἀπολεσθὲν καταμηνύσαι· ἄλλοι δὲ συνηθείαις ἐθνικαῖς προσέχοντες περὶ εὐτυχημάτων καὶ δυστυχημάτων ἐρωτήσει· ἐποιοῦντο ἀπὸ ἀστρολόγων καὶ ἑτέρων δαιμωνιώδη μεταχειριζομένων ἔργα· ὥρισαν οἱ Πατέρες ἐπὶ πενταετίαν τούτους ἐπιτιμᾶσθαι, ἤγουν ἐπὶ μὲν τρισὶν ἔτεσιν ὑποπίπτειν, ἐν δὲ δυσὶν εὔχεσθαι μετὰ τῶν πιστῶν, καὶ μετὰ ταῦτα ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Ἀνάγνωθι καὶ τὸν ξα' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα, καὶ τὸν πγ' κανόνα τοῦ ἁγίου Βασιλείου ἐπὶ ἑξαετίαν ἐπιτιμῶντα τούτους. Ἔχε δὲ ἐπὶ μνήμης ὅτι τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλονται καὶ οἱ προσερχόμενοι γοητευτρίαις καὶ κριτρίαις καὶ ταῖς μετὰ κριθῶν μαντευομέναις.

ΖΩΝΑΡ. Τὸ χεχρῆσθαι μαντεύμασι καὶ ταῖς ἐθνικαῖς ἢ καὶ Ἑλληνικαῖς ἀκολουθεῖν συνηθείαις τοὺς Χριστιανοὺς, καὶ γόητας προσδέχεσθαι ἐπὶ ἀνευρέσει φαρμακειῶν ἤτοι μαγειῶν ὡς τάχα παράτινων περιεργασθέντας, ἢ ἐπὶ καθάρσει τῶν γοητειῶν προσκαλεῖσθαι αὐτοὺς, ἀπηγόρευται, καὶ τοὺς τούτοις χρωμένους ὁ κανὼν ὑπὸ ἐπιτίμιον ποιεῖται πενταετίας, ὡς τρία ἔτη ὑποπίπτειν, καὶ δύο ἔτη συνεύχεσθαι τοῖς πιστοῖς· μετὰ δὲ τὴν πενταετίαν ἀξιοῦνται καὶ τῆς τοῦ Ἁγιασμοῦ μεταλήψεως. Ὁ δὲ μέγας Βασίλειος ἐν ὀγδοηκοστῷ τρίτῳ κανόνι ἑξαετίας ἐπιτιμίῳ τοὺς τοιούτους κολάζει.

ΑΡΙΣΤ. « Ὁ καταμαντευόμενος, καὶ ὁ εἰσάγων
« τινὰ ἐν τῷ οἴκῳ ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ
« καθάρσει, πενταετίαν ὑποπιπτέτω. »

Ὁ μάντεσιν, ἢ γοητευταῖς, ἢ φυλακτηρίοις, ἢ ἑτέροις τισὶ τοιούτοις ἑαυτὸν ἐκδεδωκώς, ἐπὶ τῷ ἐκκαλυφθῆναι ἃ δι' ἐπιθυμίας ἔχει, ἢ ἐπὶ φαρμακείας κακῷ τὸ κακὸν ἰώμενος· ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ ἐπὶ διετίαν συστήσεται τοῖς πιστοῖς, καὶ μόνων τῶν εὐχῶν κοινωνήσει· καὶ οὕτω μετὰ τὴν πενταετίαν μεθέξει τῆς προσφορᾶς. Ὁ δὲ ξα' κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου ἐπὶ ἑξαετίαν ὁρίζει τὸν τοιοῦτον τῆς κοινωνίας ἀπείργεσθαι.

ΚΑΝΩΝ ΚΕ'.

« Μνηστευσάμενός τις κόρην, προσεφθάρη τῇ ἀδελ-
« φῇ αὐτῆς, ὡς καὶ ἐπιφορῆσαι αὐτὴν, ἔγημε
« δὲ τὴν μνηστὴν μετὰ ταῦτα· ἡ δὲ φθαρεῖσα

« ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν ἐν δε- A
« καετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας κατὰ τοὺς
« ὡρισμένους βαθμούς. »

ΒΑΛΣ. Ἀπό φάκτου τινὸς οἱ Πατέρες παρεκινήθησαν τὸν παρόντα κανόνα ἐκθέσθαι. Προσηγγέλθη γὰρ αὐτοῖς ὅτι ἄνθρωπός τις, μνηστευσάμενος κόρην, συνεφθάρη μετὰ τῆς ἀδελφῆς αὐτῆς, ὡς καὶ κατὰ γαστέρα ταύτην ἐκ τούτου συλλαβεῖν (τοῦτο γάρ ἐστι τὸ ἐπιφορῆσαι), καὶ μετὰ τοῦτο κατὰ γάμου κοινωνίαν συνηρμόσθη τῇ οἰκείᾳ μνηστῇ. Ἡ δὲ αὐταδέλφη ταύτης σὺν τῷ ἁμαρτήματι τῆς αἱμομιξίας ἐφόνευσεν ἑαυτήν. Ὥρισαν οὖν τοὺς συνειδότας ταῦτα τὰ κακὰ, μετὰ δεκαετίαν ὀφείλουσαν διὰ τῶν συνήθων βαθμῶν παρελθεῖν, δεχθῆναι εἰς τὴν μετὰ τῶν πιστῶν εὐχήν. Μὴ ἐναντιωθῇ δέ σοι πρὸς B
ταῦτα ὁ οη' κανὼν τοῦ ἁγίου Βασιλείου, διοριζόμενος μετὰ ἑπτὰ χρόνους ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων τὸν συναρμοσθέντα κατὰ νόμον γάμου δυσὶν ἀδελφαῖς· ἐνταῦθα γὰρ πολλὰ ἐτολμήθησαν ἄτοπα, πορνεία, ἀθεμιτογαμία καὶ φόνος· ἐκεῖσε δὲ μόνη ἀθεμιτογαμία. Καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη ὧδε τὸ ἐπιτίμιον. Ἐρωτήσει δέ τις, Διὰ τί ὁμοίως ἐπιτιμῶνται τοῖς αὐτουργοῖς καὶ οἱ συνειδότες; *Λύσις.* Ἐπὶ τῶν ἀθεμίτων γάμων πλέον ὠφελον ἐπιτιμᾶσθαι οἱ συνειδότες παρὰ τοὺς αὐτουργούς. Τούτους γὰρ πολλάκις ἀκολασία ἐρωτικὴ, καὶ μὴ βουλομένους, κατάγει πρὸς τὸ ἀθέμιτον· ἐκεῖνοι δὲ συγγνωστέοι οὐκ εἰσὶν, ὡς ἐπὶ τῷ κακῷ συμπράξαντες χωρὶς ἀνάγκης τινὸς, καὶ εὐχαριστείτωσαν, ὅτι ὁμοίως τοῖς αὐτουργοῖς κολάζονται. Συνειδότες C
δέ εἰσιν οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἰδῆσαι, καὶ κωλῦσαι μὴ δυνάμενοι.

ΖΩΝΑΡ. Μνηστείαν τις συνεστήσατο ἐπί τινι κόρῃ· μήπω δὲ τῶν γαμηλίων ἐπ' αὐτοῖς τελεσθέντων, ὁ μνηστὴρ συνεφθάρη τῇ ἀδελφῇ τῆς μνηστῆς, ὡς ἔγκυον ἐκείνην γενέσθαι. Τοῦτο γάρ ἐστι τὸ ἐπιφορῆσαι αὐτήν. Εἶτα ὁ ἀνὴρ ἔγημε τὴν μνηστὴν, ἡ φθαρεῖσα δὲ ἀπήγξατο. Κατὰ τῶν συνειδότων οὖν τὴν ἄτοπον ταύτην πρᾶξιν δεκαετία ὡρίσθη, ὥστε αὐτοὺς ταύτης παρελθούσης δεχθῆναι εἰς τοὺς συνεστῶτας. Ὁ δὲ τοῦ μεγάλου Βασιλείου ἑβδομηκοστὸς ὄγδοος κανὼν, τὸν δύο ἀδελφὰς εἰς D
συνοικέσιον ἀγαγόμενον κατὰ ἄλλον καὶ ἄλλον χρόνον, ἐνιαυτὸν προσκλαίειν ὁρίζει, δύο δ' ἐπακροᾶσθαι, τρεῖς ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσῃ. Εἴποι οὖν ἄν τις, Πῶς ἐνταῦθα βαρύτερον τοὺς συνειδότας οἱ τῆς συνόδου ἐκέλευσαν; Οἶμαι τοίνυν ὅτι ἔνθα δύο ἀδελφὰς ὁ αὐτὸς εἰς γάμον ἄγεται, ἀθεμιτογαμίᾳ μόνῃ πλημμελεῖται· ἐπὶ δὲ τῆς παρούσης ὑποθέσεως πολλὰ τὰ τολμηθέντα ἦσαν, φθορὰ τῆς παρθένου, ἀθεμιτογαμία, ὡς δύο ἀδελφαῖς τοῦ αὐτοῦ μιχθέντος, καὶ φόνος ἐκ τῆς αἰτίας ταύτης γενόμενος, καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη τὸ ἐπιτίμιον.

ΑΡΙΣΤ. « Κόρην τί; τινος μνηστευσάμενος προσ-
« εφθάρη τῇ ἀδελφῇ αὐτῆς, εἶτα τὴν μνηστὴν ἔλα-

« stuprum erat illatum se suffocavit. Qui conscii
« fuerant, jussi sunt decennio inter eos, qui
« consistunt, recipi, per gradus definitos. »

BALS. Ex facto quodam moti sunt Patres, ut præsentem canonem ederent. Eis enim nuntiatum est quemdam hominem, cui puella erat desponsa, sororem ejus constuprasse, ut illa etiam ex eo in utero conciperet (illud enim significat vox ἐπιφορῆσαι), et postea matrimonii societate sponsæ suæ conjunctus est. Ejus autem soror, cum incestus crimine, sibi ipsi mortem conscivit. Definierunt ergo, ut qui horum malorum fuerant conscii, post decennium quod debebat per gradus consuetos procedere, ad orationem una cum fidelibus admitterentur. Ne tibi autem his contrarius videatur canon 78 sancti Basilii, decernens, post septem annos divinorum sacramentorum perceptione dignum haberi eum, qui legitimo matrimonio duabus sororibus conjunctus est. Hic enim multa nefaria commissa sunt : fornicatio, illicitum matrimonium et cædes ; illic autem, tantum nefarium matrimonium Et propterea gravior hic pœna decreta est. Interrogaverit autem quispiam : Cur ii, qui conscii sunt, æque puniuntur, ac ipsi actores? *Solutio.* In illicitis ac nefariis nuptiis magis puniri debent ii, qui sunt conscii, quam qui agunt. Hos enim amoris impotentia, sæpe etiam nolentes, ad id quod est illicitum nefariumque deducit : illis autem non est danda venia, qui absque ulla **401** necessitate malo auxilium tulere ; et bene secum actum esse existiment, quod non magis quam ii qui fecerunt puniantur. Sunt autem conscii ii, qui opera juverunt ; non autem ii, qui solam habent conscientiam, et prohibere nequeunt.

ZONAR. Desponsa fuerat cuidam puella, cujus sororem nuptiis nondum peractis sponsus vitiavit, quæ etiam ex illo concubitu gravida facta est. (Id enim significat verbum ἐπιφορῆσαι.) Sponsam deinde vir ejus traduxit ; quæ vero fuerat vitiata se suffocavit. Contra igitur indigni faciroris conscios decennii pœna constituta ; quo demum elapso in fidelium conventum reciperentur. Magni vero Basilii septuagesimus octavus canon, qui duas sorores diverso tempore duxerit, uno anno in luctu esse, duobus inter audientes, tribus in substratione degere, septimo in consortium fidelium admitti, et sic, si cum lacrymis pœnitentiam egerit, oblatione dignum haberi jubet. Quæret igitur quispiam : Cur in eos, qui conscii fuerant, gravius hoc loco synodi Patres animadverterint? Ego vero propterea id factum existimo, quod qui matrimonio duas sibi sorores jungit, in eo tantum, quod vetitis se nuptiis alligaverit, peccat : in præsenti autem facto multa scelera ineraut ; virgo stuprata, nuptiæ nefariæ, cum duabus scilicet sororibus coitus, tum exinde quoque secuta cædes ; ideirco gravioribus pœnis jure damnati sunt.

ARIST. « Quidam cum puellam desponsassel so-
« rorem ejus violavit, deinde sponsam accepit.

« Prima suffocata est : et qui facti sunt conscii « decennio subjiciantur. »

Et qui conscii fuerunt hoc fieri, et suffocationem impedire potuerunt, et non impediebant, ut auctores cædis judicantur, et decennio puniuntur, et sic consistunt et cum fidelibus comprecantur.

« δεν· ἡ πρώτη ἀπήγξατο· καὶ οἱ συνειδότες « δεκαετίαν ὑποπιπτέτωσαν. »

Καὶ οἱ συνειδότες γὰρ τὸ γενόμενον, καὶ τὴν ἀγχόνην δυνάμενοι κωλῦσαι, καὶ μὴ κωλύσαντες, ὡς αἴτιοι φόνου κρίνονται, καὶ δεκαετίαν ἐπιτιμῶνται· καὶ οὕτως συνίστανται καὶ συνεύχονται τοῖς πιστοῖς.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ ΣΥΝΟΔΟΥ (90).

—

CANONES SYNODI NEOCÆSARIANÆ.

—

402 BALS. ET ZONAR. Synodus Neocæsareæ, quæ urbs est Ponti, congregata, secunda quidem est ab Ancyrana, reliquis autem antiquior, atque adeo ipsa etiam prima œcumenica Nicæna. In ea ergo congregati sancti Patres, cum quibus etiam sanctus martyr Basilius Amaseæ episcopus interfuit, canones ad rem ecclesiasticam constituendam edidere, qui sequuntur.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ἡ ἐν Νεοκαισαρείᾳ (91) τῇ κατὰ Πόντον συστᾶσα σύνοδος δευτέρα μέν ἐστι τῆς ἐν Ἀγκύρᾳ· τῶν δὲ λοιπῶν προγενεστέρα, καὶ αὐτῆς τῆς πρώτης οἰκουμενικῆς τῆς ἐν Νικαίᾳ. Οἱ γοῦν ἐν ταύτῃ συναθροισθέντες ἅγιοι Πατέρες, οἷς συνῆν καὶ ὁ ἅγιος μάρτυς Βασίλειος ἐπίσκοπος Ἀμάσεως, κανόνας ἐπὶ καταστάσει ἐκκλησιαστικῇ ἐξεφώνησαν, οἵτινές εἰσιν οὗτοι.

CANON I.

« Presbyter, si uxorem duxerit, ordine suo mo- « veatur : si autem fornicatus fuerit, vel adul- « terium commiserit, penitus extrudatur, et ad « pœnitentiam deducatur. »

ΚΑΝΩΝ Α'.

« Πρεσβύτερος, ἐὰν γήμῃ, τῆς τάξεως αὐτοῦ « μετατιθέσθω· (92) ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, « ἐξωθείσθω τέλεον, καὶ ἀγέσθω εἰς μετά- « νοιαν. »

Guill. Beveregii notæ.

(90) *Κανόνες τῆς ἐν Νεοκαισαρείᾳ συνόδου.* Hæc est Bodleiana hujus concilii inscriptio ; a qua Amerbachiana non multum differt, quæ est, κανόνες τῆς ἐν Νεοκαισαρείᾳ συνόδου δεκαπέντε, *Canones synodi Neocæsariensis quindecim.* Sed in Parisiensi Zonaræ editione, titulus sic se habet, Κανόνες τῶν ἐν Νεοκαισαρείᾳ συνελθόντων ἁγίων καὶ μακαρίων Πατέρων, οἵτινες δεύτεροι μέν εἰσι τῶν ἐν Ἀγκύρᾳ, τῶν δὲ ἐν Νικαίᾳ πρεσβύτεροι. Διὰ δὲ σεβασμιότητα προτέτακται αὐτῶν οἱ ἐν Νικαίᾳ. *Canones sanctorum et beatorum Patrum, qui Neocæsariæ congregati sunt, posteriores quidem illis, qui Ancyræ convenerunt, antiquiores vero Nicænis. Sed propter dignitatem Nicæni his antepositi sunt.* In Parisiensi Balsamonis editione, duplex est inscriptio ; una hic ante præfationem, vid. ἡ ἐν Νεοκαισαρείᾳ σύνοδος, altera ante canones, his verbis concepta, Κανόνες τῶν ἁγίων Πατέρων τῶν ἐν Νεοκαισαρείᾳ συνελθόντων. *Canones sanctorum Patrum qui Neocæsariæ congregati sunt.*

(91) *Ἡ ἐν Νεοκαισαρείᾳ.* Neocæsarea est urbs Cappadociæ in Ponto Polemoniaco, unde etiam ἡ κατὰ Πόντον a Balsamone et Zonara hoc in loco dicitur : de qua Plinius meminit *Hist. nat.* l. vi, c. 3, et Ptolemæus in prima tabula Asiæ. Hic ergo celebrata fuit præsens synodus ab iisdem fere Patribus, a quibus Ancyrana, et eodem etiam anno, vel saltem sequenti, sive an. Dom. 315. Unde constat hanc ante Nicænam synodum decem plus minus annis habitam fuisse. Et ea quidem antiquiorem esse Dionysius Exiguus etiam testatus est in Præfatione ad eos canones, dicens, *Et hæ regulæ post eas quidem probantur esse, quæ apud Ancyram expositæ sunt : sed Nicænis anteriores reperiuntur.* Et vetus Latinus interpres in sua itidem ad hos canones Præfatione, dicens, *Isti canones secundi sunt Ancyrensium, qui Neocæsariæ sunt expositi : et hi priores sunt Nicænis.* Ab hoc concilio in omnibus Græcis codicibus, Balsamonis præsertim et Zonaræ, quindecim canones editi perhibentur. Sed in Numocanone Arabico in bibliotheca nostra Bodleiana quatuordecim tantum numerantur. Quippe in quo de præsenti synodo hæc habemus : *Et sextus est liber canonum secundi concilii in Carthagena, denominata etiam Cæsarea, et numerus erat quinquaginta episcopi, et ediderunt quatuordecim canones de conjugio et sacerdotibus.* Et sic etiam priscæ editionis Latinæ auctor, et Dionysius Exiguus, et Isidorus Mercator quatuordecim tantum canones huic concilio adscribunt, decimum tertium, et decimum quartum in unum contrahentes.

(92) *Τῆς τάξεως αὐτοῦ μετατιθέσθω.* Ita quidem codex Amerbachianus cum Bodleiano legit, usque ad finem canonis, quemadmodum hic imprimitur. Sed aliter Joannes Antiochenus in sua canonum Collectione, tit. 27, nimirum, τῆς τάξεως αὐτὸν κατατίθεσθαι· ἐὰν δὲ πορνεύσῃ, ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον, καὶ ἄγεσθαι αὐτὸν εἰς μετάνοιαν. Quomodo etiam in Parisiensi Balsamonis editione legitur ; nisi quod pro κατατίθεσθαι ibi scribitur μετατίθεσθαι.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς κς' κανὼν τοὺς τοῦ βήματος, συναπτομένους μετὰ τὴν χειροτονίαν γυναικὶ κατὰ νόμον γάμου, καθαιρεῖσθαι διατάττεται. Καὶ ὁ παρὼν κανὼν παρομοίως αὐτῷ διορίζεται. Ἐπάγει δὲ ὅτι, ἐάν τις ἐξ αὐτῶν πορνεύσῃ ἢ μοιχεύσῃ, οὐ μόνον καθαιρεθήσεται, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν κοινωνίας ἐκβληθήσεται, καὶ ἀναγκασθήσεται τοὺς τέσσαρας τόπους τῆς μετανοίας διελθεῖν, καὶ οὕτω μετασχεῖν τῶν θείων ἁγιασμάτων. Τὰ περὶ τούτων δὲ ἀνῃρέθησαν ἀπὸ τοῦ κζ' κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἀπὸ τοῦ λβ' κανόνος τοῦ μεγάλου Βασιλείου, λέγοντος· Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΖΩΝΑΡ. Ἐὰν γάμον νομιμόν τάχα ἑαυτῷ πρεσβύτερος συναλλάξῃ, μετατίθεται τῆς τάξεως αὐτοῦ, ἀντὶ τοῦ, ἐκβάλλεται τῆς ἱερωσύνης· καθαιρεῖται γάρ. Ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, τελείως ἐξωθεῖται τῆς Ἐκκλησίας, καὶ εἰς μετανοούντων ἄγεται τόπον, ὥστε προσκλαίειν, καὶ ἀκροᾶσθαι, καὶ τὰ λοιπὰ ἀναπληροῦν. Ὁ δὲ μέγας Βασίλειος ἐν λβ' κανόνι ταῦτα λέγει ῥητῶς· Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Τὰ αὐτὰ δὲ τῷ μεγάλῳ Βασιλείῳ καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος διατάττεται ἐν κζ' κανόνι αὐτῆς. Ζητητέον οὖν τὰ ἐκεῖ εἰρημένα. Οἶμαι δὲ τὸν τοῦ μεγάλου Βασιλείου καὶ τὸν τῆς ἐν Καρθαγένῃ συνόδου ἐπικρατεστέρους εἶναι, ὡς μεταγενεστέρους, καὶ ὡς τῷ ἀποστολικῷ συμφωνοῦντας κανόνι, ὃς τοὺς ἐπὶ πορνείᾳ ἁλόντας ἱερωμένους καθαιρεῖσθαι, καὶ μὴ ἀφορίζεσθαι λέγει.

ΑΡΙΣΤ. « Γήμας πρεσβύτερος μετατιθέσθω τῆς « τάξεως· ἐξωθείσθω δὲ μοιχεύσας, ἢ πορνεύσας, « καὶ ἀγέσθω εἰς μετάνοιαν. »

Ὁ γυναῖκα λαβὼν πρεσβύτερος τῆς μὲν ἱερωσύνης μετακινεῖται, τῆς δὲ τιμῆς καὶ τῆς καθέδρας μετέχει. Ὁ δὲ πορνεύσας, ἢ μοιχεύσας, τέλειον ἐξωθεῖται, καὶ εἰς μετάνοιαν ἄγεται.

ΚΑΝΩΝ Β'.

« Γυνὴ, ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω « μέχρι θανάτου μὴ πειθομένη λῦσαι τὸν γάμον· « πλὴν ἐν τῷ θανάτῳ διὰ τὴν φιλανθρωπίαν, « εἰποῦσα ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἔξει τὴν « μετάνοιαν. Ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν τοιούτῳ « γάμῳ οὖσα, ἤτοι ὁ ἀνὴρ, δυσχερὴς τῷ μείναντι « ἡ μετάνοια. »

ΒΑΛΣ. Οἱ τῆς παρούσης συνόδου ἅγιοι Πατέρες διώκουσιν ἀπὸ τῆς Ἐκκλησίας μέχρι θανάτου, ἤγουν μέχρις ἂν τῷ βίῳ περίεστι, τὴν λαβοῦσαν κατὰ νόμον γάμου δύο ἀδελφοὺς, καὶ μὴ ἀποστᾶσαν τῆς ἀθεμιτογαμίας. Ὡς δέ τινος εἰπόντος, Εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ τότε τῶν θείων ἁγιασμάτων

BALS. Apostolicus canon 26 eos, qui sunt ecclesiastici ordinis, si legitimo matrimonio post ordinationem conjungantur, deponi jubet. Præsens quoque canon ei similiter decernit. Subjungit autem: Quod si quis ex eis fornicatus fuerit, vel adulterium commiserit, non solum deponetur, sed etiam a fidelium communione ejicietur, et quatuor pœnitentiæ loca pervadere cogetur; et sic esse divinorum sacramentorum particeps. (Quæ autem hoc canone continentur, sublata sunt a canone 27 Carthaginensis synodi et a canone 32 magni Basilii, dicentis: Clerici, qui peccatum quod est ad mortem peccant, e gradu dejiciuntur: sed a laicorum communione non arcentur. Non enim vindicabis bis in idipsum.

ZONAR. Si mulierem forte legitimis nuptiis sibi presbyter copularit, moveri ordine, hoc est, sacerdotii dignitate privari (depositioni is namque obnoxius est): sin autem stupro se aut adulterio polluerit, ab ecclesia prorsus expelli, ac in pœnitentium stationem relegari, ibique lugere, audire, aliaque pœnarum persolvere, hic canon jubet. Magnus autem Basilius tricesimo secundo canone totidem verbis ea quæ sequuntur pronuntiat: Qui peccatum, inquit, ad mortem clerici peccant, de gradu suo dejiciuntur; a laicorum vero communione nequaquam arcentur. Non enim vindicabis bis in idipsum. Eadem vero, quæ magnus Basilius, Carthaginensis quoque synodus vicesimo septimo canone statuit; quæ ibi diximus quærenda. Magni porro Basilii et Carthaginensis synodi canones magis puto servandos, quippe qui posteriores fuerunt, magisque cum apostolico canone consentiunt; qui sacratos homines fornicationis reos, depositione tantum, non etiam segregatione mulctandos esse decernit.

ARIST. « Presbyter qui uxorem duxerit, ordine « deponatur; si vero mœchatus aut scortatus « fuerit, expellatur, et ad pœnitentiam redi- « gatur. »

Presbyter uxorem ducens sacerdotio movetur, sed honorem et cathedram retinet. Qui fornicatus autem fuit, aut adulterium commisit, perfecte expellitur, et ad pœnitentiam redigitur.

CANON II.

« Femina, si duobus fratribus nupserit, extruda- « tur usque ad mortem, si matrimonium solvere « non persuadeatur: at in morte, propter hu- « manitatem, si dixerit, quod si convaluerit, « solvet matrimonium, habebit pœnitentiam. « Sed si mortua fuerit mulier in tali conjugio « existens, vel ejus maritus, difficilis est super- « stiti pœnitentia. »

BALS. Præsentis synodi sancti Patres ab ecclesia ad mortem usque expellunt, scilicet donec ei vita superest, eam quæ legitimo matrimonio duos fratres acceperit, et a nefario matrimonio non destiterit. Tanquam autem dixisset quispiam: Sin autem ad mortem pervenerit, ne tunc quidem

divina sacramenta percipiet? **403** subjunxerunt. Quod si quidem inter moriendum, ejusmodi mulier se, postquam convaluerit, separandam esse affirmet, tunc quidem communionis esse particeps sinetur. Sed postquam a morbo liberata fuerit, et a nefario conjugio separata, ad pœnitentiam admittetur. Et hoc quidem procedet, quando in vita eorum fuerit divortium. Si autem una ex personis in nefario matrimonio decesserit, ei qui relictus est, est admodum difficilis pœnitentia. Qui enim agit pœnitentiam a peccato desistens, is creditur pœnitentia duci. Qui autem ad mortem usque ab eo non desistit, ostendit quod etiam si illa pars adhuc superesset quæ est mortua, a peccato non destitisset. Quia ergo qui vivit, videtur adhuc in eo malo quantum in se est perseverare, difficilem habebit pœnitentiam. Quæ cum ita se habeant, ne dixeris præsenti canoni adversari magni Basilii canonem 78 dicentem, eum qui duas uxores duxit in matrimonio, post septennium dignum haberi qui divina sacramenta percipiat. Præsens enim canon decernit de muliere quæ nefarium matrimonium contraxit, et ab eo tota vita non est sejuncta, et propterea non est ad pœnitentiam admittenda. Dictus autem canon ponit eum, qui nefarium matrimonium contraxit, a peccato destitisse, et eum propterea ad pœnitentiam admittit. Lege etiam canonem 39 sancti Basilii, qui eam vocat adulteram, quæ cum adultero adhuc cohabitat. Nota ergo, quod ei qui peccat, et a pœnitentia desistit, dantur pœnæ, non autem ei qui perseverat : ipse enim est omnino ejiciendus. Interrogavit autem quispiam : Si autem nolit dicta mulier affirmare, sc. postquam convaluerit, a nefario isto conjugio separandam, an non erit sanctæ communionis particeps? *Solutio.* Præsens quidem canon de eo nihil dicit. Existimo autem hoc esse nimium a misericordia remotum, si ea, cum sit orthodoxa, ne in extremo quidem spiritu, bono viatico digna censebitur. Quare si nec hoc quidem affirmaverit, nihilo secius sancte erit communionis particeps : et si, postquam convaluerit, solvat nefarium conjugium, ad pœnitentiam admittetur : sin minus, ab ecclesia omnino exterminabitur, ut quæ in malo perseveret.

ZONAR. Si qua mulier nuptias cum duobus fratribus contraxerit, nec ut eas dissolvat adduci possit, extra ecclesiam, inquit, quoad vixerit, extrudatur. Quod si inter moriendum de dissolvendo conjugio si convaluerit polliceatur, sanctæ communionis tunc quidem particeps fiet : verum depulso morbo pœnitentiam habebit, hoc est, ad pœnitentiam admittetur. Quod si una ex his personis interdicto conjugio illigata decesserit, difficilis pœnitentiæ ratio superstiti relinquetur. Qui enim pœnitentiam agit, is si a peccato desistat pœnitentia duci existimatur. At si in malo persistit, quis eum pœnitentia admissi facinoris tangi credat, aut quo pacto ille ad pœnitentiam admitti queat? Qui vero usque ad mulieris obitum nunquam se ab illegitimis nuptiis abjunxit, is se muliere

ἀξιωθήσεται; Ἐπήγαγον ὡς, εἴπερ ἐν τῷ τελευτᾷν ἡ τοιαύτη γυνὴ κατάθηται διαζεύχθῆναι μετὰ ὑγείαν, τότε μὲν μεταλαβεῖν παραχωρηθήσεται· μετὰ δὲ τὸ ἀπαλλαγῆναι τῆς νόσου, καὶ ἀποστῆναι τῆς ἀθεμιτογαμίας, προσδεχθήσεται εἰς μετάνοιαν. Καὶ τοῦτο μὲν γενήσεται ὅταν προδῇ ἐν ζωῇ αὐτῶν διαζύγιον. Ἐὰν δὲ τὸ ἓν τῶν προσώπων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι. Ὁ γὰρ μετανοῶν, ἀφιστάμενος τῆς ἁμαρτίας, πιστεύεται μετανοεῖν· ὁ δὲ μέχρι θανάτου μὴ ἀποστὰς αὐτῆς δείκνυσιν ὅτι, εἰ καὶ ἔτι περιῆν τὸ τελευτῆσαν μέρος, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας. Ὅτι οὖν ὁ ζῶν ἀναφαίνεται ὅσον τὸ ἐπ' ἐκείνῳ τῷ κακῷ ἐπιμένων, δυσχέρειαν ἕξει πρὸς μετάνοιαν. Τούτων οὕτως ἐχόντων μὴ εἴπῃς· ἐναντιοῦσθαι τῷ παρόντι κανόνι τὸν τοῦ μεγάλου Βασιλείου σὴ κανόνα λέγοντα τὸν δύο ἀδελφὰς εἰς συνοικέσιον ἀγαγόμενον μετὰ ἑπταετίαν ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Ὁ μὲν γὰρ παρὼν κανὼν νομοθετεῖ περὶ γυναικὸς ἀθέμιτον γάμον ποιησάσης, καὶ μὴ διαζευχθείσης ἐξ αὐτοῦ δι' ὅλης τῆς ζωῆς αὐτῆς, καὶ διὰ τοῦτο οὐσης ἀπαραδέκτου εἰς μετάνοιαν· ὁ δὲ ῥηθεὶς θεματίζει τὸν ἀθεμιτογαμήσαντα ἀποστῆναι τῆς ἁμαρτίας, καὶ διὰ τοῦτο προσδέχεται αὐτὸν εἰς μετάνοιαν. Ἀνάγνωθι καὶ τὸν λθ' κανόνα τοῦ ἁγίου Βασιλείου, ὀνομάζοντα μοιχαλίδα τὴν ἔτι τῷ μοιχῷ συζῶσαν· ὥστε σημείωσαι ὅτι τῷ ἁμαρτάνοντι καὶ ἀφισταμένῳ τοῦ κακοῦ ἐπιτίμια δίδονται, οὐ μὴν τῷ ἐπιμένοντι· οὗτος γὰρ πάντη ἀπόβλητός ἐστιν. Ἐρωτήσει δέ τις, Εἰ δὲ οὐ θελήσει ἡ ῥηθεῖσα γυνὴ καταθέσθαι τὴν μετὰ τὴν ὑγείαν ἀπόστασιν τοῦ τοιούτου ἀθεμίτου γάμου, οὐ μετάσχῃ τελευτῶσα τῆς ἁγίας μεταλήψεως; *Λύσις.* Ὁ μὲν παρὼν κανὼν οὐδέν τι περὶ τούτου φησίν· οἶμαι δὲ ἀσυμπαθὲς εἶναι τὸ μὴ ἀξιωθῆναι ταύτην τοῦ καλοῦ ἐφοδίου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, ὀρθόδοξον οὖσαν. Διὸ κἂν μὴ ποιήσῃ τοιαύτην κατάθεσιν, διὰ τῆς θείας μεταλήψεως ἐφοδιασθήσεται· καὶ εἰ μὲν ὑγιάνασα λύσῃ ἀθέμιτον γάμον, παραδεχθήσεται εἰς μετάνοιαν· εἰ δὲ μή, τῆς Ἐκκλησίας παντάπασιν ἐξοστρακισθήσεται, ὡ, τῷ κακῷ ἐπιμένουσα.

ΖΩΝΑΡ. Ἐὰν γυνὴ κατὰ γάμον δύο ἀδελφοῖς συνοικήσῃ, ἐξωθείσθω τῆς ἐκκλησίας μέχρι θανάτου μὴ πειθομένη λῦσαι τὸν γάμον· εἰ δὲ θνήσκουσα ἐπαγγέλληται ὅτι ὑγιάνασα λύσει τὸν γάμον, τεύξεται τῆς ἁγίας μεταλήψεως τότε, καὶ ἀναῤῥωσθεῖσα, ἕξει μετάνοιαν, ἀντὶ τοῦ, δεχθήσεται εἰς μετάνοιαν. Ἐὰν δὲ τὸ ἓν τῶν προσώπων τούτων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι. Ὁ γὰρ μετανοῶν ἀφιστάμενος τῆς ἁμαρτίας πιστεύεται μετανοεῖν. Εἰ δ' ἔτι τὸ κακὸν πράττει, πῶς λογισθήσεται μεταμέλεσθαι, ἢ πῶς δεχθήσεται εἰς μετάνοιαν; Ὁ δὲ μέχρι θανάτου τῆς γυναικὸς μὴ ἀποστὰς τῆς ἀθεμιτογαμίας δείκνυσιν ὅτι, εἰ καὶ ἔτι περιῆν, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας, ὡς γοῦν ὅσον τὸ ὑπ' ἐκείνῳ τῷ κακῷ ἐπιμένων, δυσχέρειαν ἕξει πρὸς τὴν μετάνοιαν· καὶ ὥσπερ ὁ

μέγας Βασίλειος ἐν λθ' κανόνι φησίν· Ἡ τῷ μοιχῷ συζῶσα μοιχαλίς ἐστι πάντα τὸν χρόνον· οὕτω καὶ ὁ ἀθεμιτογαμῶν, ἕως ἂν μὴ λύσῃ τὸν ἀθέμιτον γάμον, ἁμαρτάνει καὶ εἰς μετάνοιαν ἄδεκτος ἔσται.

A superstite nunquam a crimine recessurum fuisse plane demonstrat. Igitur velut qui quantum in ipso est, in nefario crimine perseveret, ad pœnitentiam multis difficultatibus obseptum iter inveniet; et quemadmodum magnus Basilius in canone ait semper adulterii ream esse eam quæ cum adultero habitat, ita et qui nefarias nuptias contraxit, donec interdictum conjugium rescinderit, in noxa est, nec ad pœnitentiam ullatenus admitti potest.

ΑΡΙΣΤ. « Ἡ ἀδελφοῖς γημαμένη δυσοῖς διὰ βίου « ἐξωθείσθω· εἰ δὲ κατὰ τὸν θάνατον ὑπισχνοῖτο « λύσειν τὸν γάμον, ἂν ἐπιδιώῃ, ἕξει μετάνοιαν· « εἰ δὲ τελευτήσει, τῶν συνοίκων ὁ εἷς, δυσχερὴς « τῷ μείναντι ἡ μετάνοια »

ARIST. « Mulier quæ duobus fratribus nupta est, « per totam vitam expellatur. Si vero morti « proxima se nuptias soluturam promiserit, si « supervixerit, ad pœnitentiam admittetur. Si « autem unus e conjugibus obierit, difficilis est « superstiti pœnitentia. »

Ἡ δυσὶν ἀδελφοῖς γαμηθεῖσα, καὶ τῷ ἀθέσμῳ γάμῳ ἐπιμένουσα, διὰ βίου παντὸς αὐτῆς ἐξωθείσθω τῆς ἐκκλησίας. Ζήτει καὶ τοῦ μεγάλου Βασιλείου κανόνα κγ'. Εἰ δὲ πρὸς θάνατον ἐλθοῦσα ὑποσχεθῇ λύσειν τὸν γάμον, ἐὰν ἐπιζήσει· δέχεται εἰς μετάνοιαν. Ὅπως δὲ, ζήτει κανόνα ξβ' καὶ ξγ' μεγάλου Βασιλείου. Ὡς δέ τινος εἰπόντος, Εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ τότε τῶν θείων ἁγιασμάτων ἀξιωθήσεται; ἐπήγαγον, ὡς Ἐὰν δὲ ἐν τῷ παρανόμῳ τούτῳ γάμῳ εἷς ἐξ αὐτῶν τελευτήσῃ, δυσχερὴς τῷ ζῶντι ἡ μετάνοια, διὰ τὸ μὴ διακοπῆναι τὸ ἄθεσμον παρὰ τὴν αὐτοῦ γνώμην τε καὶ προαίρεσιν.

Quæ duobus fratribus nupta est, et in illegitimo isto conjugio manet, per totam suam vitam ecclesia expellatur. Quære et magni Basilii canonem 23. Si autem morti appropinquans conjugium solvere promittit, si supervixerit, ad pœnitentiam admittitur. Quomodo vero, quære Basilii magni canones 62 et 63. **404** Tanquam autem dixisset quispiam: Sin autem ad mortem pervenerit, ne tunc quidem divina sacramenta percipiet? adjecerunt, Si autem in illegitimo isto conjugio unus eorum mortem obierit, difficilis est superstiti pœnitentia, quia non discinditur et corrigitur scelus cum voluntate ipsius et proposito.

ΚΑΝΩΝ Γ'.

« Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων ὁ μὲν « χρόνος σαφὴς ὁ ὡρισμένος, ἡ δὲ ἀναστροφὴ καὶ « ἡ πίστις αὐτῶν συντέμνει (93) τὸν χρόνον (94).

CANON III.

« De iis qui in plurima matrimonia incidunt, « tempus quidem præstitutum manifestum est. « Sed conversio et pœnitentia eorum tempus « contrahit. »

ΒΑΛΣ. Τοὺς πολυγάμους φησὶν ὁ κανὼν ἐπιτιμᾶσθαι διὰ χρόνου ὡρισμένου ἤτοι προεγνωσμένου ἀπὸ συνηθείας· πλὴν παρὰ τῇ ἐπισκοπικῇ διακρίσει ἐστὶ καὶ τὸν τοιοῦτον χρόνον συντεμεῖν διὰ τὴν ἀγαθὴν τοῦ ἁμαρτάνοντος ἐπιστροφήν. Ἐπεὶ δὲ ἀπὸ τούτου οὐ παρίσταται τίνες εἰσὶ οἱ πολυγαμοῦντες, οὐδὲ τίς ἐστιν ὁ ὡρισμένος χρόνος, κἀντεῦθεν ἄλλως καὶ ἄλλως τὰ περὶ τούτου ἐξελήφθησαν· οὐδὲ ἡμεῖς ἠδυνήθημεν γράψαι τι ἐνταυθοῖ. Ἐν μέντοι τῷ δ' κανόνι τοῦ μεγάλου Βασιλείου, τοῦ Θεοῦ διδόντος, εἴπομεν τὰ εἰκότα περὶ τῶν τριγάμων καὶ πολυγάμων καὶ περὶ τοῦ χρόνου τῶν διδομένων ἐπιτιμίων ἑκάστῳ αὐτῶν.

BALS. Eos qui multas uxores duxerunt, dicit canon præfinito seu præstituto tempore esse puniendos ex consuetudine: sed est in episcopalis judicii potestate hoc tempus contrahere, propter bonam ejus qui peccavit conversionem. Sed quia ex hoc non ostenditur, quinam sint polygami, neque quodnam sit tempus præstitutum, et hoc aliter et aliter hinc et inde tractatum est, nec nos hic aliquid scribere potuimus. Sed in quarto magni Basilii canone, Deo dante, dicemus quæ sunt consentanea de trigamis et polygamis, et de tempore pœnarum quæ dantur unicuique ipsorum.

ΖΩΝΑΡ. Ἐν τετάρτῳ κανόνι ὁ μέγας Βασίλειος, τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφορίζεσθαι λέγει, καὶ τοῦτον τὸν χρόνον οὐκ ἀπὸ κανόνος εἶναί φησιν, ἀλλ' ἐκ συνηθείας καὶ τῆς τῶν προειληφότων ἀκολουθίας, καὶ τὴν τριγαμίαν δὲ εἰς πολυγαμίαν ἀνάγει. Τίνα δὲ λέγει χρόνον ὡρισμένον ὁ παρὼν

ZONAR. Magnus Basilius quarto canone trigamos ad quinquennium segregari jubet: atque id spatium non a canone, sed tradita a majoribus consuetudine definitum esse asserit, ac trigamiam ad polygamiam quoque extendit. Quod vero tempus præfinitum hic canon intelligat, ignoratur, si

Guill. Beveregii notæ.

(93) *Συντέμνει.* Codex Amerbachianus legit τέμνει, nostræ lectioni non solum reliqui omnes codices, sed et Joannes Antiochenus suffragatur, in Coll. can. tit. 43.

(94) *Τὸν χρόνον.* Post hæc verba in codice Amerbachiano hoc σχόλιον habetur. Τοῦτον ἐξηγούμενος τὸν κανόνα ὁ μέγας Βασίλειός φησιν, Οὕτω περὶ τριγάμων καὶ πολυγάμων, καὶ δείκνυσιν, ὅτι πολυγάμους οἱ Πατέρες τοὺς τριγάμους, οὐκ ἄλλους φασίν. *Hunc explicans canonem magnus Basilius dicit, Sic de trigamis et polygamis, et ostendit, quod trigamos Patres, non alios dixerunt polygamos.* Vide sanctum Basil. can. 4.

quidem multo antiquior hæc synodus magno Basilio fuit : ac omnino si in ea aliquod tempus trigamorum pœnitentiæ præfinitum fuisset, nequaquam illud sapientissimum Basilium latuisset. Nisi forte hæc quoque synodus præfinitum tempus, consuetudinem dicit. Tempus quidem igitur, inquit canon, præfinitum est, sed eorum qui ob trigamiam pœnitentiæ addicti sunt conversio ac fiducia erga Deum tempus contrahit. Si namque qui illorum pœnitentiæ præfectus est, eos in luendis pœnis studium ardoremque præ se ferre animadvertat, nec consternari mente, sed præsidentes divinæ bonitati veniam sibi contractæ noxæ polliceri, præstituti temporis intervallum contrahet ac præcidet.

ARIST. « Polygamorum tempus manifestum est. « Pœnitentiæ vero studium illud præcidit. »

Tempus trigamorum et polygamorum supplicii in quarto canone magni Basilii et in octogesimo illius canone ponitur. Quinque enim annos, inquit, qui tres uxores duxit, segregetur, sed non omnino ab ecclesia arceatur ; verum duos aut tres annos divinarum Scripturarum auditione dignetur : et postea usque ad expletum quinquennium cum fidelibus consistat, a boni autem communione abstineat ; et sic sincere resipiscens ad communionem admittatur. At polygami seu qui plures nuptias inierunt ut plus aliquid etiam fornicatione peccantes, unum annum defleant, tres substernantur, et sic admittantur cum fidelibus. In episcopi autem potestate, ad conversationem fidemque agentis pœnitentiam respicientis, ut dicit hic canon, pœnitentiæ tempus contrahere, ponitur.

CANON IV.

« Si quis mulierem concupiscens, proposuerit cum « ea concumbere, ejus autem desiderium ad « opus non venerit, manifestum est quod a « gratia servatur. »

BALS. In peccatis esse quatuor gradus dicunt sancti Patres, impressionem seu primum motum, luctationem, assensionem, et actum : quorum duo quidem prima non esse pœnæ obnoxia ; in duo autem **405** quæ sequuntur, pœnam cadere. Neque enim impressio neque luctatio judicatur ; si ratio impressionem suscipiens, et cum ea colluctata, cogitatum repudiaverit : assensio autem judicatur et accusatur, et actio punitur. Si ergo mulieris desiderium alicui injectum est, et is victus, ut cum ea rem haberet, assensus est, ad opus autem non venit, id est, actum non implevit, manifestum est, quod Dei gratia eum servavit ; sed non impune abibit. Pœna enim in assensionem etiam cadit. Hoc quoque manifestum est ex can. 70 sancti Basilii, qui dicit : Diaconus labris pollutus, sive qui usque ad osculum mulieris pervenit, et se hucusque peccasse confessus est, ministerio ei interdicetur, id est, ad tempus prohibebitur : sed sacramentis una cum diaconis

κανὼν, ἠγνόηται· προγενεστέρα γὰρ ἐστι πολλῷ τοῦ μεγάλου Βασιλείου ἡ σύνοδος αὕτη· καὶ παντελῶς, εἰ ὥριστο πρὸ ταύτης χρόνος ἐπὶ τῶν τριγάμων, οὐκ ἂν ἠγνοήθη τῷ τὰ πάντα σοφῷ Βασιλείῳ· εἰ μή που λέγει καὶ αὕτη ἡ σύνοδος ὡρισμένον χρόνον τὴν συνήθειαν. Ὁ μὲν οὖν χρόνος, φησὶν, ὡρισμένος ἐστίν· ἡ δὲ τῶν ἐπὶ τῇ τριγαμίᾳ μετανοούντων ἀναστροφὴ καὶ ἡ πίστις ἡ πρὸς τὸν Θεὸν συντέμνει τὸν χρόνον. Εἰ γὰρ ὁ τούτους οἰκονομῶν ὁρᾷ αὐτοὺς σπουδὴν ἐνδεικνυμένους καὶ θερμότητα περὶ τὴν μετάνοιαν, καὶ οὐκ ἀπογινώσκοντας, ἀλλὰ πιστεύοντας ὅτι διὰ τὴν πολλὴν ἀγαθότητα τοῦ Θεοῦ ἀφεθήσεται αὐτοῖς τὸ ἁμάρτημα, συντεμεῖ τὸν χρόνον καὶ ἐλαττώσει αὐτόν.

ΑΡΙΣΤ. « Τῶν πολυγάμων ὁ χρόνος σαφής· τὸ δὲ « τῆς μετανοίας σπουδαῖον, αὐτὸν ὑποτέμνεται. »

Ὁ χρόνος τῆς ἐπιτιμίας τῶν τριγάμων καὶ πολυγάμων κεῖται ἐν τῷ τετάρτῳ κανόνι τοῦ μεγάλου Βασιλείου καὶ ἐν τῷ ὀγδοηκοστῷ κανόνι αὐτοῦ. Ἐπὶ πέντε γὰρ ἔτεσί φησι τὸν τρίγαμον ἀφορίζεσθαι, πλὴν μὴ πάντη ἀπείργειν αὐτὸν τῆς ἐκκλησίας· ἀλλ' ἐν δυσὶν ἢ καὶ τρισὶν ἔτεσι τῆς τῶν θείων Γραφῶν ἀκροάσεως αὐτὸν ἀξιοῦν· καὶ μετὰ ταῦτα, μέχρι τοῦ πληρωθῆναι τὴν πενταετίαν, συστήκειν μετὰ τῶν πιστῶν· τῆς δὲ τοῦ ἀγαθοῦ κοινωνίας ἀπέχεσθαι· καὶ οὕτω γνησίως μετανοοῦντα, εἰς κοινωνίαν παραδεχθῆναι· τοὺς δὲ πολυγάμους, ὡς πλέον τι καὶ πορνείας ἁμαρτάνοντας, ἐνιαυτὸν προσκλαίειν, τρεῖς ὑποπίπτειν, καὶ οὕτω δέχεσθαι μετὰ τῶν πιστῶν. Παρὰ τῇ ἐξουσίᾳ δὲ κεῖται τοῦ ἐπισκόπου, ὡς ὁ παρὼν κανὼν λέγει, ἐλαττῶσαι τὸν χρόνον τῆς μετανοίας, πρὸς τὴν διαγωγὴν καὶ τὴν πίστιν ὁρῶντος τοῦ μετανοοῦντος.

ΚΑΝΩΝ Δ'.

« Ἐὰν πρόθηταί τις, ἐπιθυμήσας γυναικὸς, συγκα- « θευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ « ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐρ- « ρύσθη. »

ΒΑΛΣ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς οἱ ἅγιοι Πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν, καὶ πρᾶξιν· ὧν τὰς δύο τὰς πρώτας ἀνεπιτιμήτους εἶναι, τὰς δὲ μετ' αὐτὰς δύο ὑπὸ ἐπιτίμιον. Οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς καὶ παλαίσας ἀπεπέμψατο τὸ ἐνθύμιον· ἡ δὲ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. Ἐὰν οὖν ἐπιθυμία προσέβαλέ τινι γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ, οὐκ ἦλθε δὲ εἰς ἔργον, ἤτοι οὐ τὴν πρᾶξιν ἐπλήρωσε, φαίνεται ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐρρύσατο· πλὴν οὐκ ἀνεπιτίμητος ἔσται. Καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον γίνεται. Καὶ τοῦτο δῆλον ἐκ τοῦ ϙ' κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος· Διάκονος ἐν χείλεσι μιανθεὶς ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. Τὸ

μέντοι μιανθῆναι ἐν χείλεσί τινες; ἄλλως ἑρμηνεύουσι· καὶ ῥηθήσεται τὰ περὶ τούτου ἐν τῷ ϙ' κανόνι τοῦ ἁγίου Βασιλείου.

netur. Labris autem esse pollutum nonnulli aliter interpretantur; et de eo dicetur in can. 70 sancti Basilii.

ΖΩΝΑΡ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς οἱ ἅγιοι Πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν καὶ πρᾶξιν· ὧν τὰς δύο καὶ πρώτας ἀνεπιτιμήτους εἶναι, τὰς δὲ μετ' αὐτὰς δύο ὑπὸ ἐπιτίμιον. Οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς καὶ παλαίσας ἀπεπέμψατο τὸ ἐνθύμημα· ἡ δὲ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. Ἐὰν οὖν ἐπιθυμία προσέβαλέ τινι γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ, οὐκ ἦλθε δὲ εἰς ἔργον, ἤτοι οὐ τὴν πρᾶξιν ἐπλήρωσε, φαίνεται ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐῤῥύσατο. Πλὴν οὐκ ἀνεπιτίμητος ἔσται. Καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον γίνεται. Καὶ τοῦτο δῆλον ἐκ τοῦ ἑβδομηκοστοῦ κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος· Διάκονος ἐν χείλεσι μιανθείς, ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. Τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. Εἰ δέ τι πλέον φωραθῇ τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεθήσεται. Ἐντεῦθεν δῆλον ὅτι ἄλλο δηλοῖ τὸ ἐπισχεθήσεται, ὡς εἴρηται, δηλαδὴ τὸ, προσκαίρως τῆς λειτουργίας εἰρχθήσεται. Εἰ καί τισιν οὐχοὕτως νοεῖται, οἷς καὶ τὸ χείλεσι μιανθῆναι ἑτέρως ἐκλαμβάνεται, οὐκ εὐστόχως μέντοι, ὡς οἶμαι.

ZONAR. In peccatis esse quatuor gradus dicunt sancti Patres, impressionem, luctationem, assensionem et actum : quorum duo quidem prima non esse pœnæ obnoxia; in duo autem quæ sequuntur pœnam cadere : neque enim impressio, neque luctatio judicatur, si ratio impressionem suscipiens, et cum ea colluctata, cogitatum repudiaverit; assensio autem judicatur et accusatur, et actio punitur. Si ergo mulieris desiderium alicui injectum est, et is victus, ut cum ea rem haberet, assensus est, ad opus autem non venit, id est, actum non implevit, manifestum est, quod Dei gratia servavit; sed non impune abibit. Pœna enim in assensionem etiam cadit. Hoc quoque manifestum est ex can. 70 sancti Basilii, qui dicit : Diaconus labris pollutus, sive qui usque ad osculum mulieris pervenit, et se hucusque peccasse confessus est, ministerio ei interdicetur, id est, ad tempus prohibebitur : sed sacramentis una cum diaconis communicare non indignus habebitur. Itidem et presbyter. Si quis autem ultra peccasse deprehensus fuerit, in quocunque sit gradu, deponetur. Unde constat, quod aliud significatur per illud, interdicetur, nimirum, ad tempus a ministerio arcebitur. Etsi a nonnullis ita non intelligitur, qui illud, Labris esse pollutum, aliter interpretantur, minus tamen recte, ut opinor.

ΑΡΙΣΤ. « Ὁ ἐπιθυμήσας μὲν, μὴ δράσας δὲ, Θεῷ ἐῤῥύσθη. »

ARIST. « Qui concupivit, sed non perfecit, per Deum servatus est. »

Ὅστις μέχρι ψιλῆς προθέσεως συγκαθευδῆσαι γυναικὶ ἐπεθύμησεν, ἐχόμενον δέ τι σπουδῆς οὐκ ἔπραξεν, οὔτε εἰς ἔργον ἡ ἐνθύμησις αὐτοῦ ἦλθε, φαίνεται ὡς ὑπὸ τῆς ἄνωθεν ἐῤῥύσθη χάριτος. Εἰ γὰρ καὶ ἐπεθύμησε, καὶ ἐσπούδασε, καὶ μέσοις τισὶν εἰς ἀπάρτισιν τοῦ μέσους ἐχρήσατο· ἀποτέλεσμα δὲ ἡ σπουδὴ αὐτοῦ οὐκ ἔσχε διά τινα παρεμπεσόντα ἐμπόδια ἔξωθεν· ἐπιτιμίοις ὑπόκειται, ὡς ὁ ἑβδομηκοστὸς κανὼν τοῦ ἁγίου Βασιλείου διαγορεύει περὶ τοῦ ἐν χείλεσι μιανθέντος διακόνου.

Quicunque etiam nudo proposito cum muliere dormire concupiverit, sed quod conatus est non fecit, neque ad factum venit concupiscentia ejus, manifestum est, quod per gratiam cœlestem servatur. Si enim et concupivit, et diligentiam adhibuit, et mediis quibusdam ad illius consummationem usus est, conatus autem ejus perfectionem non habuit propter impedimenta aliqua externa quæ inciderunt, pœnis subjicitur, ut septuagesimus sancti Basilii canon mandat de diacono qui in labris pollutus est.

ΚΑΝΩΝ Ε'

« Κατηχούμενος, ἐὰν εἰσερχόμενος (95) εἰς κυριακὸν « ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος

CANON V.

« Catechumenus, si in Dominicum ingrediens in « Catechumenorum ordine steterit, is autem

Guill. Beveregii notæ.

(95) *Κατηχούμενος ἐὰν εἰσερχόμενος*. In codice Amerbachiano ad præsentem canonem hoc scholium apponitur, Κατηχουμένους λέγει πιστοὺς βαπτίζεσθαι μέλλοντας. Δύο δὲ τούτων εἴδη· οἱ μὲν γὰρ ἅρτι προσέρχονται, διὸ καὶ ὡς ἀτελέστεροι μετὰ τὴν ἀκρόασιν τῶν Γραφῶν καὶ τῶν θείων Εὐαγγελίων εὐθὺς ἐξίασιν· οἱ δὲ ἤδη προσῆλθον, καὶ γεγόνασι τελειότεροι τῶν ἅρτι προσερχομένων, ὅθεν καὶ τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένοντες, τὸ γόνυ κλίνουσιν ἐν ταύτῃ. *Catechumenos vocat fideles, qui baptismum susceperi sunt. Eorum autem duæ sunt species. Nonnulli enim modo accedunt; quapropter ut imperfectiores post Scripturarum et divinorum Evangeliorum auditionem protinus egrediuntur : alii autem antehac venerunt, et perfectiores iis, qui modo accedunt, facti sunt; quare etiam illi ad orationem usque pro catechumenis factam manentes, in ea peragenda genuflectunt.* Simile hujus scholium in Harmenopuli epitomen hujus canonis exstat, his verbis, Δύο τῶν κατηχουμένων ἦσαν τάξεις, ἡ μὲν τῶν γονυκλινόντων, ἡ τελειοτέρα, ἡ δὲ τῶν ἀκροωμένων, ἡ ἀτελεστέρα. Λέγει γοῦν, εἰ τῶν γονυκλινόντων εἴη, καὶ ἁμάρτοι, πεισάμενος τοῦ ἁμαρτάνειν γενέσθω τῶν ἀκροωμένων· εἰ δὲ τῶν ἀκροω-

« peccat, si genu quidem flectens sit, audiat, A « non amplius peccans : sin autem etiam audiens adhuc peccet, extrudatur. »

BALS. Duo sunt ordines catechumenorum. Hi enim nuper accesserunt, et, ut imperfectiores, post Scripturarum et divinorum Evangeliorum auditionem statim exeunt : illi vero jampridem accesserunt, et perfectiores facti sunt ; unde et orationem, quæ fit supra catechumenos, exspectantes, in ea genu flectunt. Quando autem pronuntiatum fuerit, Catechumeni, procedite, tunc et ipsi exeunt. Dicit ergo canon, quod si catechumenus **406** peccat, si est quidem ex perfectioribus, a peccando abstinens, veniat ad locum imperfectiorum, id est, stet in templo usque ad Evangelium : sin autem ex imperfectioribus, qui sola etiam B auditione digni habentur, et a peccato non abstineat, extrudatur, id est, stet extra ecclesiam cum deflentibus. Quid vero si imperfectior a peccato abstinuerit, non punietur, quemadmodum perfectiores, sed in primo loco stabit ? *Solutio.* Duo sunt loci catechumenorum, ut dictum est : hic quidem, qui est usque ad lectionem divinorum Evangeliorum ; ille vero usque ad exitum catechumenorum. Qui sunt itaque perfectiores, si peccent et abstineant, parum dimittentur in locum imperfectiorum : sin autem non abstineant, in deflentium loco statuentur. Si ii autem, qui sunt imperfectiores, peccent, nec desistant, in locum deflentium abducentur : sin vero desistant, non habe- C bunt locum, in quem deducentur. Si dixerimus enim eos cum flentibus stare oportere, desperationis gravitate eos obruemus ; nec ulla erit differentia eorum qui abstinent et non abstinent. Et ideo, tanquam qui a malo destiterint, rursus cum audientibus stabunt.

ZONAR. Duo catechumenorum olim erant ordines. Alii quidem amplexi fidem, sed qui baptismum differrent, cum catechumenis astabant, dumque precatio in catechumenos recitaretur genibus provolvebantur, ac postquam illud, Catechumeni, procedite, de more pronuntiatum esset, tunc egrediebantur. Alii autem jam primum accedentes, minusque perfecti, sacræ Scripturæ auscultabant, Evan D gelioque recitato dimittebantur. Quandocunque igitur e catechumenis quispiam peccaverit, si qui-

« δὲ ἁμαρτάνων· ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω « μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι « ἁμαρτάνῃ, ἐξωθείσθω. »

ΒΑΛΣ. Δύο τάξεις τῶν κατηχουμένων εἰσίν. Οἱ μὲν γὰρ ἄρτι προσέρχονται, καὶ, ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν Γραφῶν καὶ τῶν θείων Εὐαγγελίων εὐθὺς ἐξίασιν· οἱ δὲ ἤδη προσῆλθον, καὶ γεγόνασι τελεώτεροι ὅθεν καὶ τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένοντες, τὸ γόνυ κλίνουσιν ἐν ταύτῃ. Ὅταν δὲ ἐκφωνηθῇ τὸ, Οἱ κατηχούμενοι προέλθετε, τότε ἐξέρχονται· καὶ οὗτοι. Φησὶν οὖν ὁ κανὼν ὅτι, ἐὰν κατηχούμενος ἁμαρτάνῃ, εἰ μὲν τῶν τελεωτέρων ἐστὶν, ἐὰν ἀπόσχηται τοῦ ἁμαρτάνειν, ἐλθέτω εἰς τὸν τόπον τῶν ἀτελεστέρων, τουτέστι, στήτω μέχρι τοῦ Εὐαγγελίου ἐν τῷ ναῷ· εἰ δὲ τῶν ἀτελεστέρων, τῶν καὶ ἀκροάσεως μόνης ἀξιουμένων, καὶ οὐκ ἀφίσταται τῆς ἁμαρτίας, ἐξωθείσθω, ἀντὶ τοῦ, ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων. Τί δὲ, ἐὰν ἀποστῇ ὁ ἀτελέστερος τῆς ἁμαρτίας, οὐκ ἐπιτιμηθήσεται καθὼς ὁ τελεώτερος, ἀλλ' εἰς τὸν πρότερον τόπον στήσεται ; *Λύσις.* Δύο τόποι εἰσὶ τῶν κατηχουμένων, ὡς εἴρηται, ὁ μέχρι τῆς ἀναγνώσεως τῶν θείων Εὐαγγελίων, καὶ ὁ μέχρι τῆς ἐξελεύσεως τῶν κατηχουμένων. Οἱ γοῦν τελεώτεροι, ἁμαρτάνοντες καὶ ἀφιστάμενοι δὲ, εἰς τὸν τόπον τῶν προσκλαιόντων στήσονται. Οἱ δὲ ἀτελέστεροι ἁμαρτάνοντες, μὴ ἀφιστάμενοι, μυκρὸν ὑποδιβασθήσονται εἰς τὸν τόπον τῶν ἀτελεστέρων· μὴ ἀφιστάμενοι, μὲν, εἰς τὸν τόπον τῶν προσκλαιόντων ἀπαχθήσονται· ἀφιστάμενοι δὲ, οὐκ ἔχουσι τόπον ἔνθα καταταχθήσονται. Εἰ γὰρ εἴπωμεν τούτους μετὰ τῶν προσκλαιόντων στῆναι, ἀπογνώσεως θλίψει καταβαπτίσομεν, καὶ οὐδεμία ἔσται διαφορὰ ἀφισταμένων καὶ μὴ ἀφισταμένων. Διά τοι τοῦτο, ὡς ἀποστάντες τοῦ κακοῦ, στήσονται καὶ πάλιν μετὰ τῶν ἀκροωμένων.

ΖΩΝΑΡ. Δύο τάξεις ἦσαν (96) τῶν κατηχουμένων τὸ παλαιόν. Οἱ μὲν γὰρ πιστοὶ ὄντες, ὑπερτιθέμενοι δὲ τὸ βάπτισμα, μετὰ τῶν κατηχουμένων ἵσταντο, καὶ τῆς ἐπὶ κατηχουμένοις εὐχῆς λεγομένης ἔκλινον τὸ γόνυ, ὅτε δ' ἐξεφωνήθη τὸ, Οἱ κατηχούμενοι προέλθετε, τότε ἐξήρχοντο· οἱ δὲ ἄρτι προσελθόντες καὶ ἀτελέστεροι ὄντες τῶν ἁγίων Γραφῶν ἤκουον, καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου ἀπῄεσαν. Ὅταν οὖν ὁ κατηχούμενος ἁμαρτάνῃ, εἰ μὲν τῶν τελεωτέρων τῶν γόνυ κλινόντων δηλονότι

Guill. Beveregii notæ.

μένων, ἔξω στήτω τῆς ἐκκλησίας. Καὶ οἱ ἀκροώμενοι γὰρ ἐκτὸς ἵσταντο τῆς ἐκκλησίας μέχρι τῆς ἀναγνώσεως τοῦ ἁγίου Εὐαγγελίου. *Duo catechumenorum ordines erant ; unus eorum qui genu flectebant, perfectior scilicet ; alter imperfectior eorum, qui audiebant. Vult ergo dicere, si sit ex ordine flectentium genu, et peccet, quod peccare desinens in ordinem audientium referri debeat : sin ex audientibus sit, consistat extra ecclesiam. Nam et audientes extra ecclesiam stabant usque ad lectionem sancti Evangelii.* Harmenop. Epit. can. sect. 5, tit. 3. Hæc duo scholia juxta se posita præsentem canonem, satis in se obscurum, perspicuum reddunt et apertum.

(96) Δύο τάξεις ἦσαν. In Gallandi J. C. codice, ante hæc prima Zonaræ in hunc canonem verba, hæc leguntur, tanquam principium interpretationis, Ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος εἰς κανόνα τὸν ὁρίζει χρόνον τοῦ ἐπιτιμίου ἐν τοῖς τοιούτοις. Κατηχουμένους δὲ λέγει τοὺς βαπτίζεσθαι μέλλοντας· δύο δὲ εἶδη τούτων· οἱ μὲν ἄρτι προσέρχονται· οἱ δὲ ἤδη προσῆλθον, καὶ γεγόνασι τῶν ἤδη προσερχομένων τελειότεροι· ὅθεν καὶ τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένοντες τὸ γόνυ κλίνουσιν ἐν ταύτῃ. Hæc autem, post verba ἐν τοῖς τοιούτοις, eadem fere sunt, quæ ante ex codice Amerbachiano sub scholii nomine protulimus : adeo ut alia interpretatione non opus sit. Ad Zonaræ autem interpretationem nequaquam pertinent, quia in ea eadem iterum leguntur.

ἐν τῇ εὐχῇ ἐστιν, ἀκροάσθω. τουτέστι μετὰ τῶν μέχρις ἀκροάσεως ἱσταμένων στήτω, εἰ ἀπόσχηται τοῦ ἁμαρτάνειν· εἰ δὲ τῶν ἀκροωμένων ἐστὶν, ἔτι καὶ ἁμαρτάνει, ἐξωθείσθω, ἀντὶ τοῦ ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων.

ΑΡΙΣΤ. « Ὁ ἐν τῷ κατηχεῖσθαι ἁμαρτάνων, ἐὰν « γόνυ κλίνων μηκέτι ἁμαρτάνοι, ἀκροάσθω· εἰ « δὲ καὶ ἀκροώμενος ἁμαρτάνοι, τέλεον ἀπωθεί- « σθω. »

Δύο εἴδη τῶν κατηχουμένων εἰσὶν· οἱ μὲν γὰρ ἅπαξ προσέρχονται· διὸ καὶ ὡς ἀτελέστεροι μετὰ τὴν ἀκρόασιν τῶν Γραφῶν, καὶ τῶν θείων Εὐαγγελίων εὐθὺς ἐξίασιν· οἱ δὲ πρὸ καιροῦ προσῆλθον, καὶ γεγόνασι τελειώτεροι· ὅθεν καὶ μετὰ τὸ Εὐαγγέλιον τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένουσι· καὶ ἐν τῷ προσφωνεῖσθαι τὸ, Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε, τὸ γόνυ κλίνουσιν. Οἱ γοῦν τελειότεροι, ὡς γευόμενοι καλοῦ Θεοῦ ῥήματα, καὶ παραπεσόντες, μετακινοῦνται τῆς στάσεως, καὶ τοῖς ἀκροωμένοις συντάττονται· εἰ δὲ καὶ ἀκροώμενοι ἁμαρτάνουσι, τῆς Ἐκκλησίας τέλεον ἐξωθοῦνται.

ΚΑΝΩΝ Ϛ'.

« Περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι, ὁπόταν « βούληται. Οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ « τίκτουσα τῷ τικτομένῳ· διὰ τὸ ἑκάστου ἰδίαν « τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυ- « σθαι. »

ΒΑΛΣ. Τινὲς ἔλεγον μὴ ὀφείλειν βαπτίζεσθαι τὰς ἐξ ἀπίστων τῇ Ἐκκλησίᾳ προσερχομένας κυοφορούσας, ἀλλ' ἀναμένειν τὴν εἰς τὸ φῶς τοῦ τοκετοῦ ἔξέλευσιν, ἵνα μὴ, ταύτης βαπτιζομένης, δόξῃ συμβαπτίζεσθαι καὶ τὸ ἐγκυμονούμενον, ὡς ἡνωμένον διόλου αὐτῇ· κἀντεῦθεν μετὰ τὸ γεννηθῆναι, ἢ ἀφώτιστον καταλειφθῇ, ἢ βαπτιζόμενον λογισθῇ καὶ αὖθις βαπτίζεσθαι. Οἱ γοῦν Πατέρες, τὴν ἀντίθεσιν ταύτην μὴ παραδεξάμενοι, ὥρισαν ἀποκριματίστως βαπτίζεσθαι τὰς κυοφορούσας, ὅτε βούλοιντο, διὰ τὸ μηδεμίαν κοινωνίαν ὑπεῖναι τῇ τικτούσῃ μετὰ τοῦ τικτομένου, ὅσον εἰς τὸν λόγον τοῦ φωτίσματος. Ἄλλως τε, φασὶν, ἀναγκαία ἐστὶν ἡ ἑκάστου ὁμολογία ἐν τῷ βαπτίζεσθαι· τὸ δὲ ἔμβρυον ἐστερημένον διαθέσεως οὐ δύναται τὰς ἐπὶ τῷ βαπτίσματι ὁμολογίας ποιῆσαι. Προσετέθη δὲ τῷ κανόνι τὸ, ὅτε βούλοιντο, διὰ τοὺς λέγοντας πρὸ μὲν τοῦ εἰδοποιηθῆναι τὸ ἔμβρυον εἰς ἄνθρωπον ἀκινδύνως βαπτίζεσθαι τὴν μητέρα ἐγκυμονοῦσαν, μετὰ δὲ τοῦτο μὴ καλῶς αὐτὴν βαπτίζεσθαι· διὰ τὸ εἶναι τοιαύτης διαθέσεως τὸ ἐγκυμονούμενον, οἵας εἰσὶ καὶ ἀρτιγέννητα νήπια, τὰ μὴ δυνάμενα ὁμολογεῖν. Διό τοι καὶ εἶπον οἱ Πατέρες ἐπ' ἀδείας ἔχειν τὴν ἐγκυμονοῦσαν, ὅτε θέλει βαπτίζεσθαι. Τὰ μὲν γὰρ ἔμβρυα, ὅπως ἔχουσι διαθέσεως, οὐδεὶς περιεργάσασθαι δύναται ἢ ἀναδέξασθαι· τὰ δὲ νήπια διὰ τῶν ἀναδεχομένων αὐτὰ κατατίθενται, καὶ πραγματικῶς φωτιζόμενα θείας καταξιοῦνται ἐλλάμψεως. Ἀνά-

A dem ex perfectiorum numero fuerit, eorum scilicet, qui in precatione genu flectunt, audiat, hoc est, cum iis qui auscultari tantummodo permittuntur, si modo finem peccandi fecerit, consistat; sin vero inter audientes agens adhuc tamen offenderit, expelli, hoc est, extra ecclesiam cum lugentibus stare, hic canon jubet.

ARIST. « Catechumenus peccans, si, dum genu « flectit, amplius peccaverit, inter audientes sit; « sin, dum inter audientes est, peccet, penitus « ejiciatur. »

Duæ sunt species catechumenorum: nonnulli enim modo accedunt; quocirca et ut imperfectiores post Scripturarum et Evangeliorum auditionem statim emittuntur. Alii autem ante tempus aliquod B advenerunt, et perfectiores evaserunt. Quare et post Evangelium preces pro catechumenis factas exspectant; et cum illud dicitur, Catechumeni, capita vestra Domino flectite, genu flectunt. Perfectiores itaque ut qui bona Dei verba pergustarunt, si lapsi fuerint, statione sua moventur, et cum audientibus collocantur; si autem, et cum audientes sint, peccant, ab ecclesia perfecte expelluntur.

CANON VI.

« De ea quæ uterum gerit, quod oporteat eam « baptizari, quando velit. Nihil enim ea, quæ « parit, cum fetu, qui paritur, hac in re com- « mune habet; quod proprium uniuscujusque « institutum ac propositum in confessione oste- « datur. C

BALS. Quidam dicebant, non debere baptizari gravidas, quæ ex infidelibus ad Ecclesiam accedunt, sed exspectare fetus in lucem exitum; ne dum ea baptizatur, videatur quoque una baptizari fetus, quem in utero gerit, ut qui sit ei omnino unitus: quo fit ut postquam natus fuerit, vel non baptizatus relinquetur, vel si baptizetur, rursus baptizari reputetur. Patres itaque, hac contradictione non admissa, statuerunt, ut sine ullo præjudicio baptizentur prægnantes mulieres, quando voluerint; eo quod nihil habeat commune puerpera cum fetu qui paritur, quod ad baptismum attinet. Maxime, inquiunt, cum sit unicuique sua in baptismate necessario promissio: fetus autem, qui est in utero, cum sit affectione destitutus, non potest quæ in baptismate requiruntur professiones et vota facere. **407** Adjectum est autem canoni illud, Quando velint, propter eos qui dicunt, antequam fetus formetur in hominem posse mulierem prægnantem sine periculo baptizari, non recte autem baptizari postea: quoniam id, quod habetur in utero, in ea est constitutione, in qua infantes modo nati qui polliceri non possunt; et ideo dixerunt Patres, esse in mulieris gravidæ potestate baptizari quando velit. Quomodo enim se habeant fetus, nemo potest perquirere, vel eos suscipere. Infantes autem per susceptores suos affirmant, et actu baptizati divina illuminatione digni censentur.

Lege et quæ in cap. 10 titul. 4 præsentis operis a nobis scripta sunt.

ZONAR. Mulieres, quæ uterum ferunt, quandocunque voluerint, canon baptizari oportere decernit. Quod autem nonnulli, fetum cum matre simul baptizari, ac proinde infantem, postquam in lucem datus esset, ne baptismus in eodem geminaretur, nullo modo baptizandum esse, asseverabant; propterea verba illa, Nihil enim ea quæ parit, cum fetu qui paritur ea in re commune habet, adjunxit, hoc est, sola etenim mater, non per eam filius quoque simul, sancti baptismatis consors efficitur. Ut enim, inquit, se quis Christi sectatorem profiteatur, propria uniuscujusque electio requiritur, ac per eam, quam libenti animo baptismum quisque amplectatur, facile apparet. Quoniam vero in fetu maternis adhuc visceribus incluso electio nulla est, nec baptismum quidem suscepisse putandus est, proindeque iterum baptizari, cum eligendi facultas penes illum fuerit, oportebit.

ARIST. « Prægnans quandocunque vult baptiza- « tur. Nam uniuscujusque voluntas judicatur. »

Gravida enim propter generatum baptizari non impedietur; nec enim fetus una cum gravida baptizatus reputatur, adeo ut si cum editus fuerit, baptizetur, secundo baptizatus existimaretur. Ille enim cum ad lucem nondum venerit, nec per seipsum substitit, nec voluntatem habet.

CANON VII.

« Presbyter in digamiam incuntis nuptiis ne « convivetur. Cum enim requirat pœnitentiam « digamus, quis erit presbyter, qui, eo quod sit « convivio acceptus, nuptiis assentiatur? »

BALS. Laicus, qui digamus est affectus, hinc non permittitur, nisi anno præterito, esse divinorum sacramentorum particeps. Dicit ergo canon, quod quoniam hæc pœna a sacerdote digamo inducitur, non debet cum eo in nuptiis convivium inire. Videtur enim veluti per suam præsentiam consentire,

ΖΩΝΑΡ. Τὰς ἐν τῇ γαστρὶ φερούσας δεῖ βαπτίζειν, φησὶν ὁ κανών, ὅτε βούλονται. Τινῶν δὲ λεγόντων ὅτι λοιπὸν τὸ κυοφορούμενον συμβαπτίζεται τῇ μητρὶ, καὶ οὐ χρὴ αὐτὸ μετὰ τὸ γεννηθῆναι βαπτίζεσθαι, ἵνα μὴ δὶς δοκῇ βαπτίζεσθαι, ἐπήγαγε τὸ, Οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ, ἀντὶ τοῦ, Αὐτὴ γὰρ μόνη τοῦ ἁγίου ἀξιοῦται βαπτίσματος, καὶ οὐχὶ κἀκεῖνο διὰ μέσης αὐτῆς. Ὅτι, φησὶν, ἐπὶ τῇ ὁμολογίᾳ συντάττεσθαι τῷ Χριστῷ ἡ ἑκάστου προαίρεσις ἀπαιτεῖται, καὶ ἐξ αὐτῆς δείκνυται εἰ προθύμως πρόσεισι τῷ ἁγίῳ βαπτίσματι. Ἐπεὶ δὲ τὸ ἔμβρυον ἐστέρηται προαιρέσεως οὐδὲ βαπτίζεσθαι δοκεῖ, ὥστε αὐτὸ χρῄζει αὖθις βαπτίσματος ὅτε προαιρεῖσθαι δυνήσεται. »

ΑΡΙΣΤ. « Ἡ κυοφοροῦσα, ὅτε θέλει, βαπτίζεται· « ἑκάστου γὰρ ἡ προαίρεσις κρίνεται. »

Οὐ γὰρ ἐμποδισθήσεται ἡ κυοφοροῦσα διὰ τὸ τικτόμενον βαπτισθῆναι· οὐδὲ γὰρ λογίζεται τὸ ἔμβρυον συμβαπτίζεσθαι τῇ τικτούσῃ, ὥστε, ἐὰν μετὰ τὸ γεννηθῆναι βαπτισθῇ, νομισθῆναι βαπτίζεσθαι δεύτερον. Ἐκεῖνο γὰρ, μήπω εἰς φῶς ἐλθὸν, οὔτε καθ' ἑαυτὸ ὑπέστιν, οὔτε προαίρεσιν ἔχει.

ΚΑΝΩΝ Ζ'.

« Πρεσβύτερον εἰς γάμον διγαμοῦντος (97) μὴ « ἐστιᾶσθαι. Ἐπὶ μετάνοιαν αἰτοῦντος τοῦ δι- « γάμου (98), τίς ἔσται ὁ πρεσβύτερος, ὁ διὰ τῆς « ἑστιάσεως συγκατατιθέμενος τοῖς γάμοις. »

Ὁ διγαμήσας λαϊκὸς οὐ παραχωρεῖται μετασχεῖν τῶν θείων ἁγιασμάτων ἀπεντεῦθεν, ἀλλὰ μετὰ ἐνιαυτόν. Φησὶ γοῦν ὁ κανὼν ὡς, ἐπεὶ τὸ ἐπιτίμιον τοῦτο παρὰ τοῦ ἱερέως ἐπάγεται τῷ διγαμήσαντι, οὐκ ὀφείλει οὗτος συνεστιᾶσθαι αὐτῷ εἰς τὸν γάμον. Δοκεῖ γὰρ ὥσπερ διὰ τῆς παρουσίας συναινεῖν,

Guill. Beveregii notæ.

(97) *Πρεσβύτερον εἰς γάμον διγαμοῦντος.* Cautum est hoc canone, ne quis presbyter in ejus, qui digamiam init, nuptiis convivetur. Hinc cum Constantinus quidam episcopus ad Nicetam metropolitanum Heracleæ hanc quæstionem proposuisset, Τοὺς εἰς δεύτερον συνοικέσιον ἐρχομένους εἰ δεῖ λαβεῖν τὴν τοῦ διγάμου εὐχὴν παρὰ τοῦ κατὰ χώραν ἀρχιερέως; *An qui ad secundas convolant nuptias accipere possint bigami precationem a regionis antistite?* respondit ille juris canonici peritissimus, Ἡ μὲν ἀκρίβεια τοὺς διγάμους οὐκ οἶδε στεφανοῦν· ἡ δὲ ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ συνήθεια τὰ τοιαῦτα οὐ παρατηρεῖται· ἀλλὰ καὶ τοῖς διγάμοις τοὺς νυμφικοὺς στεφάνους ἐπιτίθησι, καὶ οὐδεὶς οὐδέποτε διὰ τοῦτο ἐνεκλήθη. Ὥστε οὐδέ τις φοβηθήσεται τὸ ἔγκλημα, τοὺς τοιούτους στεφανώσας· πλὴν ὀφείλουσιν ἕνα ἢ καὶ δεύτερον ἐνιαυτὸν κωλυθῆναι τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως, καὶ οὐδὲ τὸν ἱερολογήσαντα χρὴ συνεστιαθῆναι τούτοις. *Accurata sane disciplina bigamos coronare non novit. Magnæ autem Ecclesiæ consuetudo hæc non observat; sed bigamis etiam sponsalitias coronas imponit; nec ullus unquam propter eam causam accusatus est: ideoque calumniam non formidabit quisquam, qui tales coronavit. Illi autem annum unum aut alterum a mysteriorum communione arceri debent: nec eum, qui precationem concepit, simul cum iis convivari oportet.* In *Jur. Gr. Rom.* t. v, p. 310. Extat hoc responsum etiam in Euchologio, ubi ultima ejus pars his verbis concipitur, Ἀλλὰ καὶ τὸν ἱερολογήσαντα τούτοις πρεσβύτερον συνδεῖπνεῖν αὐτοῖς οὐ νενόμισται, κατὰ τὸν ζ' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου. *Sed neque fas est presbyterum benedictionem iis impertientem, sive pro iis precantem, simul cum iis convivari, juxta septimum canonem Neocæsariensis synodi.* Ex hoc etiam canone desumpta videntur, quæ Ælfricus in Saxonicos ad Wulfinum episcopum canones de hac retulit, ubi statuit: *Ne liceat sacerdoti ulli iis interesse nuptiarum celebritatibus, in quibus aut secundæ vir uxori jungitur, aut secundo viro femina; nec vel iisdem benedicere, ut sic admoneat eos.* Et paulo post: *Canones autem jam tum prohibent benedictionem, et ejusmodi connubentibus imponunt etiam pœnitentiam.* Ælfric. can. 9.

(98) *Ἐπὶ μετάνοιαν αἰτοῦντος τοῦ διγάμου.* Ex his verbis facile est colligere, quales digami hic intelligendi sunt; tales nimirum qui duas habent eodem tempore uxores. Laicis enim, qui post mortem unius aliam uxorem ducunt, pœna a nullo unquam canone imposita fuit, nec publica ab iis exacta pœnitentia. Sed de hac re alibi fusius agemus.

καὶ οὐ δυνήσεται ἐπιτιμῆσαι τὸν διγαμήσαντα. Καλῶς δὲ διωρίσαντο συνιστιᾶσθαι τούτῳ τὸν ἱερέα μετὰ τὸν καιρὸν τοῦ γάμου. Μετὰ γὰρ τὸν γάμον οὐ κωλυθήσεται συναναπεῖσθαι αὐτῷ, ὡς μηδὲ ἀκοινωνήτῳ ὄντι. Εἰπών δέ τίς ποτε ὀφείλειν τὸν διγαμήσαντα μετὰ τὴν ἀπόστασιν τῆς διγαμίας δέχεσθαι εἰς μετάνοιαν, καὶ ἐπιτιμᾶσθαι (ἔτι γὰρ τοῦ γάμου συνισταμένου, ταῦτα χώραν οὐκ ἔχουσι, κατὰ τὸν καθόλου κανόνα), ἤκουσε μὴ εἶναι γάμον ἀθέμιτον, ὥστε διασπᾶσθαι. Καὶ διὰ τοῦτο ἔρρωται μὲν, ἐπιτιμᾶται δὲ μετρίως, ὡς εἴρηται. A

nec poterit cum, qui duas uxores duxit, punire. Recte autem definierunt, ne sacerdos cum eo convivetur tempore nuptiarum. Post nuptias enim non prohibebitur cum eo accumbere, ut qui non sit omnino excommunicatus. Cum autem dixisset aliquando quispiam, debere cum qui secundam uxorem duxit, postquam a secundo matrimonio diverterit, ad pœnitentiam recipi et puniri (adhuc enim constante matrimonio, hæc locum non habent, secundum universalem regulam), audivit non esse illicitum matrimonium, ut separari debeat. Et propterea est quidem confirmatum, modice autem punitur, ut dictum est.

Ἑτέρα ἑρμηνεία (99).

Ὁ παρὼν κανὼν κωλύει τοὺς πρεσβυτέρους ἑστιᾶσθαι μετὰ διγάμων, καὶ παριστᾷ διὰ τούτου B ἐπιτετιμημένον εἶναι τὸν δεύτερον γάμον. Τὸ αὐτὸ δὲ φαίνεται καὶ ἀπὸ τοῦ γ' καν. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου καὶ ἀπὸ δ' καν. τοῦ ἁγίου Βασιλείου. Ἐπεὶ δὲ βλέπομέν τινας σκανδαλιζομένους ἐκ τοῦ μηδέ τινα δευτερογαμήσαντα ἐπιτιμηθῆναί ποτε, μήτε τὴν τοιαύτην ἱερολογίαν ἐμποδίζεσθαι, μᾶλλον μὲν οὖν ἔστιν ὅτε ἐπιτρέπεται διὰ πιττακίου χαρτοφύλακος· εἴδομεν δὲ πατριάρχας καὶ ἀρχιερεῖς πολλοὺς συνεσθίοντας μετὰ βασιλέων διγαμούντων, καὶ ἄλλων μεγιστάνων, φαμὲν ὅτι κἂν ἐπιτιμίῳ καιρικῆς ἀκοινωνησίας ἐκ τοῦ ῥηθέντος κανόνος οἱ δευτερογαμοῦντες ὑπέκειντο, ἀλλ' ὁ τῆς ἑνώσεως τόμος, καταστρωθεὶς παρ' ἡμῶν εἰς τὸν δ' κανόνα τοῦ ἁγίου Βασιλείου, ἐξισώσει τῷ πρώτῳ γάμῳ δίολου τὸν δεύτερον· καὶ εἰπών πότε καὶ οὗτοι ἐπιτιμᾶσθαι ὀφείλουσιν, ἔλυσε τὸ ἐπιτίμιον. Φησὶ γὰρ ἐν μέρει ταῦτα μὲν περὶ τοῦ τρίτου γάμου· οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν α' ἐκτὸς ἀσφαλείας ἐῶμεν· ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν ἢ ἐξ ἁρπαγῆς ἢ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμους καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ πονηρᾶς ἀκαθαρσίας· καὶ ἐφεξῆς ἐπιτιμῶμεν τούτους μόνους· τοὺς δὲ λοιποὺς ἀνεπιτιμήτους συντηρεῖ. C

Altera interpretatio.

Præsens canon prohibet presbyteros cum digamis convivari, et per hoc secundum matrimonium puniri ostendit. Idem autem apparet et ex tertio canone syn. Neocæsarianæ, et ex canone 4 sancti Basilii. Quoniam autem videmus nonnullos offendi, eo quod nullus eorum, qui secundum matrimonium contraxit, unquam puniatur, nec iis sacramentorum participatio impediatur, sed potius etiam per chartophylacis pittacium permittatur; vidimus autem et patriarchas et multos alios antistites cum imperatoribus, qui secundas nuptias celebrant, et **408** cum aliis magnatibus comedentes; dicimus, quod etiamsi temporalis excommunicationis pœnæ ex prædicto can. digami subjecti sint, unionis tamen decisio, quæ a nobis sita est in can. 4 sancti Basilii, primo matrimonio secundum omnino æquavit; et dixit, quando ii omnino punientur, pœnam dissolvit. Hæc etiam in particulari dicit de tertio matrimonio: at nec secundum nec primum sine securitate relinquimus: sed et illa sic constituenda decernimus, ut nullam improbam causam habeant, vel ex raptu, vel ex clandestino præcedente coitu; sed sint legitima et ab ejusmodi inquinamentis sordibusque malis aliena; et deinceps quæ sunt hujusmodi solum punimus; reliqua vero pœnis non obnoxia conservat.

ΖΩΝΑΡ. Ἡ διγαμία ὑπὸ ἐπιτίμιόν ἐστιν. Ἐνιαυτὸν γὰρ τῆς ἁγίας μεταλήψεως εἴργεται. Τὸ δὲ ἐπιτίμιον οἱ ἱερεῖς ἐπάγουσιν, εἰς μετάνοιαν ἐρχομένου τοῦ διγαμήσαντος. Ὁ γοῦν διὰ τῆς παρουσίας αὐτοῦ συναινεῖν δοκῶν τῷ δευτέρῳ γάμῳ ἱερεὺς τίς ἔσται, φησὶν ὁ κανών, τουτέστι, πῶς οὐκ αἰδεσθήσεται ἐπιτιμῶν τῷ δευτερογαμοῦντι ὁ διὰ τῆς παρουσίας αὐτοῦ συνευδοκῶν τῇ δευτερογαμίᾳ; Ἀλλὰ ταῦτα ἐν γράμμασιν. Ἡμῖν δὲ καὶ πατριάρχης ὤφθη, καὶ μητροπολῖται διάφοροι συνιστιώμενοι δευτερογαμήσαντι βασιλεῖ. D

ZONAR. Suam digamiæ multam can. statuere. Uno siquidem anno digamos a perceptione sacrorum munerum arceri jubent. Eam vero pœnam digamis, sibi a pœnitentia remedium quærentibus, sacerdotes injungunt. Quis ergo sacerdos, inquit canon, secundis nuptiis, ut eas vel hoc ipso, quod adest, probare videatur, intersit? hoc est, qui fieri potest ut pœnam a digamo exigere non pudor sit ei, qui digami factum a se non improbari, cum nuptiis secundis ipse interfuerit, satis ostendit? Verum hæc in libris scripta reperiuntur. Nos autem et patriarcham et metropolitanos complures in convivio imperatoris secundas nuptias celebrantes aspeximus.

Guill. Beveregii notæ.

(99) *Ἑτέρα ἑρμηνεία.* Hanc alteram hujus canonis interpretationem codici Bodleiano acceptam ferimus. Neque enim Græce exstat: sed Latina ejus versio in supplemento ad Parisiensem Balsamonis editionem habetur, e codice Tiliano per Gentianum Herveteum eruta. In codice Amerbachiano desideratur.

ARIST. « Presbyter digamorum nuptiis non debet « interesse. Cum digamus enim veniam implora- « verit, quis eum venia dignabitur? »

Sacerdos qui digamo benedixit, a mensa debet recedere et non cum eo convivari. Si enim pœnæ subjectus fuerit digamus, quænam presbytero concedatur venia qui, eo quod convivatus est, istiusmodi nuptiis assensum præbuit?

ΑΡΙΣΤ. « Οὐχ ἑστιᾶται πρεσβύτερος ἐπὶ διγάμους· « ἐκείνου γὰρ συγγνώμης δεομένου, τίς ἐκεῖνον « ἀξιώσει συγγνώμης; »

Ὁ ἱερεὺς, εὐλογήσας τὸν δίγαμον, τῆς τραπέζης ὀφείλει ὑπαναχωρεῖν, καὶ μὴ συνεστιαθῆναι αὐτῷ. Εἰ γὰρ ὑπὸ ἐπιτίμιόν ἐστιν ὁ δίγαμος, ποία ἔσται τῷ πρεσβυτέρῳ συγγνώμη, τῷ διὰ ἑστιάσεως τοῖς τοιούτοις συγκατατιθεμένῳ γάμοις;

CANON VIII.

« Si alicujus uxor, cum esset laicus, adulterata « fuisse plane convicta fuerit, is non potest ad « ministerium accedere. Sin autem etiam post « ordinationem adulterata fuerit, debet eam di- « mittere. Quod si cohabitet, non potest sibi com- « missum ministerium exsequi. »

BALS. Didicisti ex diversis legibus, licere sine periculo uxorem adulteratam recipere, et peccati veniam dare. Et lege librum Basil. XXVIII, tit. 7, cap. 1, qui dicit, maritum posse intra biennium, sine ullo periculo, suam uxorem ex monasterio recipere, quæ ut adultera condemnata est et inclusa: ab eo enim tempore tondetur. Dicit ergo etiam canon, quod, etsi vir hoc facere potest, nimirum veniam adulteratæ uxoris peccato dare, sed tamen quoniam can. apostolicus 18 non permittit, ut in sacerdotalem catalogum adscribatur, qui uxorem fornicatricem vel dimissam vel scenicam duxerit, ne hic quidem ad sacrum ordinem provehetur. Atque id quidem ita se habet, si laici uxor adulterata fuerit: sin autem ejus qui est sacratus, ipse quidem, ut qui nihil deliquerit, si exinde ab ea separetur, erit in proprio gradu. Sin vero hoc facere noluerit, sed una cum adultera cohabitat, deponetur, ut qui sit inquinamenti particeps; eo quod cum adultera rem habuerit. Interrogaverit autem quispiam, Cur cum Patres de mulieris adulterio dixissent, non satis habuerunt, nisi etiam adderent adulterium fuisse aperte convictum? *Solutio.* Diversæ leges jubent mulierem non aliter condemnari ut adulteram, quam per apertas probationes, id est, per quinque testes jurantes se vidisse in ipso actu fieri adulterium. Hac ratione nec omnes possunt crimen adulterii intendere: sed quinque solum personæ, maritus, pater, frater, patruus, avunculus. Sed nec ipsa mulier, se adulterium commisisse confessa, condemnatur, quod etiam est novum. Adjecerunt ergo Patres, eam damnari ut adulteram, quæ est apertis probationi-

ΚΑΝΩΝ Η'.

« Ἐὰν γυνή τινος (1) μοιχευθεῖσα λαϊκοῦ ὄντος ἐλεγχθῇ « φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ « δύναται. Ἐὰν δὲ καὶ μετὰ τὴν χειροτονίαν μοι- « χευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν. Ἐὰν δὲ συζῇ, « οὐ δύναται (2) ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ « διακονίας.

ΒΑΛΣ. Ἔμαθες ἀπὸ διαφόρων νομίμων ὡς ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ, καὶ συμπαθεῖν τὸ ἁμάρτημα. Ζήτει καὶ βιβλίον (3) τῶν Βασιλικῶν κη', τίτ. ζ', κεφ. α' λέγον, ἐντὸς διετίας δύνασθαι τὸν ἄνδρα λαμβάνειν ἀκινδύνως ἐκ τοῦ μοναστηρίου τὴν οἰκείαν γυναῖκα, καταδικασθεῖσαν ὡς μοιχαλίδα καὶ ἐγκλεισθεῖσαν. Ἔκτοτε γὰρ κουρεύεται. Φησὶ τοίνυν ὁ κανὼν ὡς, εἰ καὶ δύναται ὁ ἀνὴρ τοῦτο ποιεῖν, ἤγουν τὸ συμπαθεῖν (4) τὸ ἁμάρτημα τῆς μοιχευθείσης γυναικὸς, ἀλλ' ἐπεὶ ὁ ιη' ἀποστολικὸς κανὼν οὐ παραχωρεῖ ἱερατικῷ καταλόγῳ συναριθμηθῆναι τὸν λαβόντα γυναῖκα πόρνην ἢ ἐκβεβλημένην ἢ σκηνικὴν, οὐδὲ οὗτος εἰς βαθμὸν ἱερατικὸν ἀναχθήσεται. Καὶ τοῦτο μὲν, ἐὰν λαϊκοῦ τινος γυνὴ μοιχευθῇ· ἐὰν δὲ ἱερομένου, αὐτὸς μὲν ὡς μηδέν τι πταίσας, ἐὰν διαζυγῇ αὐτῆς ἀπεντεῦθεν, ἔσται εἰς τὸν οἰκεῖον βαθμόν. Εἰ δὲ οὐ θελήσει τοῦτο ποιῆσαι, ἀλλὰ συνδιάγει μετὰ τῆς μοιχαλίδος, καθαιρεθήσεται, ὡς μετασχὼν τοῦ μιάσματος διὰ τὸ συμμίγνυσθαι τῇ μοιχευθείσῃ. Ἐρωτήσει δέ τις, Διὰ τί εἰπόντες περὶ μοιχείας γυναικὸς οἱ Πατέρες οὐκ ἠρκέσθησαν, ἀλλὰ προσέθεντο τὴν μοιχείαν φανερῶς ἐλεγχθῆναι; *Λύσις.* Διάφοροι νόμοι παρακελεύονται μὴ ἄλλως τὴν γυναῖκα ὡς μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τοῦτ' ἔστι διὰ πέντε μαρτύρων ὁμνυόντων ἰδεῖν ἐπ' αὐτοφώρῳ τὴν μοιχείαν τελουμένην. Κατὰ τοῦτο γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ μοιχικὸν ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε, ἀνὴρ, πατὴρ, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, καὶ θεῖος πρὸς μητρός. Οὐδὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχεῦσαι καταδικάζεται, ὅπερ ἐστὶ καὶ καινόν. Προσέθεντο οὖν οἱ Πατέρες ὡς μοιχαλίδα ἐκείνην κατα-

Guill. Beveregii notæ.

(1) *Ἐὰν γυνή τινος.* Joannes Antiochenus in Collect. can. tit. 41, legit, Γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐὰν ἐλεγχθῇ φανερῶς. Sic etiam legit Dionysius Exiguus; vertit enim, *Mulier cujusdam adulterata laici constituti, si evidenter arguatur.* Et vetus interpres, *Mulier cujusque adulterata laico constituto, si doceatur.* Sic etiam legitur in Parisiensi Balsamonis editione: sed codex Amerbachianus cum Tiliano nostræ lectioni adstipulatur.

(2) *Οὐ δύναται.* Sic omnes codices mss.; sed Joannes Antiochenus legit, Οὐ δι' αὐτὴν δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας. *Non potest propter eam commissum sibi ministerium exsequi.* Collect. can. tit. 41.

(3) *Ζήτει καὶ βιβλίον.* Hæc usque ad ἔκτοτε γὰρ κουρεύεται inclusive, ex ms. Bodleiano supplevimus. Exstant autem in Tiliano: Nam Gentianus Hervetus Latine ea vertit. In aliis codicibus desiderantur.

(4) *Ἤγουν τὸ συμπαθεῖν.* Hanc etiam pericopen ἐξηγητικὴν codici Bodleiano debemus: in nullo enim alio legitur.

δικάζεσθαι, τὴν ἐλεγχθεῖσαν διὰ φανερῶν ἀποδείξεων, ὡς εἴρηται, οὐ μὴν τὴν ὑποπτευθεῖσαν ἀπὸ ὁμιλίας ἢ συνοικήσεως, ἢ ἄλλης τινὸς αἰτίας. Τί δὲ, ἐὰν ὁ λαϊκὸς, μετὰ τὸ μοιχευθῆναι τὴν γυναῖκα τούτου, ἀπολύσῃ αὐτὴν, προαναβιβασθήσεται εἰς βαθμὸν, ὥσπερ οὐ καθαιρεῖται ὁ ἱερωμένος, ὁ ἀπολύσας τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ; *Λύσις.* Ἀπὸ τοῦ ιη' ἀποστολικοῦ κανόνος κωλύεται προαναβιβασθῆναι εἰς βαθμὸν ὁ γυναῖκα πόρνην ἀγόμενος· πολλῷ γοῦν πλέον οὐ προαναβιβασθήσεται ὁ μετὰ μοιχαλίδος συμφθαρεὶς, κἂν ἐν ἀγνοίᾳ. Διὰ γὰρ τοῦτο καὶ οἱ Πατέρες ἐπὶ μὲν τοῦ λαϊκοῦ διαίρεσιν οὐ πεποιήκασι, χάριν τοῦ ἀπολυθῆναι τὴν μοιχαλίδα, καὶ μὴ ἀπολυθῆναι, ἀλλὰ ἀδιαστίκτως διωρίσαντο μὴ δύνασθαι τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν· ἐπὶ δὲ τοῦ ἱερέως εἰσήγαγον τὴν διαίρεσιν. Ἔστι δὲ καὶ διαφορὰ τοῦ μήπω ἱερωθέντος καὶ τοῦ ἱερωθέντος, καὶ διά τι πταῖσμα καθαιρεθῆναι μέλλοντος. Ὁ μὲν γὰρ μὴ ἐπιτυχὼν πλείονός τινος οὐ τοσοῦτον βαρυθυμήσει, ἀλλ' εὐχαριστήσει μᾶλλον, ὡς τῷ κανόνι μὴ προσκρούσας· ὁ δὲ διά τι πταῖσμα ἑτέρου ἀφαιρούμενος τὸ προσὸν αὐτῷ ἀξίωμα μεγάλως δεινοπαθήσει. Τὸ γὰρ εἰς πεῖραν ἧκον ἀναιρὸν εἰς ἀφαίρεσιν.

ΖΩΝΑΡ. Ἀνδρὸς λαϊκοῦ γυνὴ μοιχευθεῖσα, καὶ φανερῶς ἐλεγχθεῖσα, κωλύει τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν, τουτέστιν εἰς βαθμὸν ἱερατικόν τινα· πλὴν ἡ φανερῶς ἐλεγχθεῖσα, οὐχ ἡ ἐν ὑποψίᾳ γενομένη ἢ καὶ κατηγορηθεῖσα παρά τινος τῶν κατηγορεῖν, ἀλλὰ ῥητοῖς προσώποις. Οὐ γὰρ τῷ βουλομένῳ ἐφεῖται περὶ μοιχείας κατηγορεῖν οὐ δυναμένων αὐτῆς προσώπων. Οὐ γὰρ τῷ βουλομένῳ ἐφεῖται περὶ μοιχείας κατηγορεῖν ἀλλὰ προσώποις. Ἐὰν δὲ καὶ ἱερωμένου γυνὴ μοιχευθῇ, ἀπολῦσαι αὐτὴν ὀφείλει, τουτέστι διαζυγῆναι αὐτῆς· εἰ δὲ συζῆν αὐτῇ βούλεται, κωλύεται τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας, ἤτοι τοῦ βαθμοῦ εἰς ὃν κατετάχθη. Ἡ γὰρ μοιχευθεῖσα μεμίανται· ὁ δὲ ταύτῃ μιγνύμενος ἓν σῶμα γίνεται, καὶ λοιπὸν μετέχει κἀκεῖνος τοῦ μιάσματος. Ὡ δὲ μεμιασμένος πῶς δεχθήσεται εἴς τι θεῖον λειτούργημα;

gione ipsum maculari necesse est. Hominem ferat?

ΑΡΙΣΤ. « Ὁ λαϊκὸς, οὗ ἡ γυνὴ μεμοίχευται, οὐ « κληροῦται· καὶ ὁ ἐν κλήρῳ εἰ κατέχει μοιχευ- « θεῖσαν αὐτὴν, ἐκδιώκεται. »

Εἰ ὁ κεκληρωμένος, τὴν γυναῖκα αὐτοῦ μοιχευθεῖσαν μὴ ἀπολύων, τῆς ἀξίας μετακινεῖται· πῶς ὁ λαϊκὸς, οὗ ἡ γυνὴ μεμοίχευται, εἰς κλῆρον παραδεχθήσεται;

ΚΑΝΩΝ Θ'.

« Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι, προ- « αχθῇ, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ χειροτονίας, « μὴ προσφερέτω· μένων ἐν τοῖς λοιποῖς διὰ τὴν « ἄλλην σπουδήν. Τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφα- « σαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι. Ἐὰν « δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ « δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν. »

ΒΑΛΣ. Ἱερεὺς, πορνεύσας πρὸ τῆς χειροτονίας,

bus convicta, ut dictum est; non autem eam, quæ fuit suspecta propter collocutionem, vel consuetudinem ac familiaritatem, vel aliquam aliam ob causam. Quid autem, an laicus, si postquam **409** ejus uxor fuit adulterata, dimiserit eam, ad gradum promovebitur; sicut non deponitur is qui est sacratus, dimissa uxore sua, quæ commisit adulterium? *Solutio.* A canone apostolico 18 prohibetur ad gradum promoveri, qui duxit uxorem foruicatricem: multo ergo magis non promovebitur, qui cum adultera vel insciens rem habuit. Propterea enim Patres nullam in laico divisionem fecere, de dimittenda adultera, vel non dimittenda: sed indistincte definierunt, non posse ejus maritum venire ad ministerium. In sacerdote autem divisionem introduxere. Est autem differentia ejus qui nondum est sacratus, et ejus qui est sacratus; sed propter delictum aliquod est deponendus. Qui enim non est majus aliquod assecutus, non tam ægre feret: sed æquo potius animo patietur et lætabitur, quod canonem non offenderit. Is autem, cui propter alterius delictum auferitur ea quam habet dignitas, admodum ægre feret. Id enim quod jam expertus est, molestum est si auferatur.

ZONAR. Si laici uxor adulterii manifesto convicta sit, ejus virum a ministerio, a sacrorum scilicet ordinum susceptione, arceri [canon] jubet; modo tamen manifestis indiciis convicta mulier, non autem vel suspicione tantum notata, vel ab iis, quibus nomen illius deferendi potestas non est, accusata fuerit. Nec enim cuicunque volenti, sed certis tantum quibusdam hominibus, mulierem adulterii ream agere concessum est. Quod si adulterium sacro ordine initiati hominis conjux patraverit, eam vir dimittat, hoc est, ab illius se consuetudine [commercioque sejungat; si vero cum illa vitæ societatem habere voluerit, ipsum a commisso ministerio, hoc est, a sui ordinis gradu, dimoveri decretum est. Patrato namque adulterio mulier polluta est; qui vero pollutæ commiscetur, unum corpus efficitur, eademque proinde contavero pollutum in sacro aliquo ministerio quis

ARIST. « Laicus cujus uxor adulterata est non fit « clericus, et clericus qui eam retinet postquam « adulterium commisit, expellitur. »

Si ille qui in clerum cooptatus est, uxorem suam adulteratam non dimittens, dignitate movetur: quomodo laicus cujus uxor adulterata est in clerum admittatur?

CANON IX.

« Si presbyter, qui corpore prius peccaverat, promo- « tus fuerit, et si ante ordinationem peccasse con- « fessus fuerit, ne offerat: manens in aliis, pro- « pter aliud ejus bonæ vitæ studium. Reliqua enim « peccata dicunt multi manuum impositione tolli. « Quod si ipse non confiteatur, aperte autem convin- « ci non potuerit, illius quoque ei fiat potestas.

BALS. Sacerdos, qui ante ordinationem f

tus erat, peccatum sua sponte post ordinationem fassus est. Dicunt ergo Patres, eum, ut qui sua sponte fassus sit, a sacrificii quidem celebratione cessare, habere autem alia sacerdotum privilegia, scilicet cum sacerdotibus cathedram, sacramentorum in altari participationem, et alia quædam : et maxime si sit virtutis studiosus. Perinde autem ac si dixisset quispiam, alia quoque peccata sequi fornicationis vitium, consensum, manus contrectationem, oscula, et hujusmodi alia; et ab iis impediri eum qui fassus est, ne habeat sacerdotis honorem: subjunxerunt Patres, quod quoniam ab hujusmodi delictis non impeditur quispiam, quominus ad sacerdotium provehatur, quia hæc ab ordinatione solvuntur, non impedietur ab iis, quominus alia habeat privilegia. Et hæc quidem, quando sacerdos suum peccatum confessus fuerit. Sin autem nec confessus nec aperte convictus fuerit, nullo modo labefactabitur, sed in ejus potestate erit sacra celebrare vel cessare, prout ei sua dictarit conscientia; quemadmodum si convictus fuerit, exinde deponetur, et nec honore nec alio privilegio dignus habebitur. **410** Adjecerunt autem Patres apertam probationem, eo quod nemo deponatur, nisi per apertas probationes, scilicet per affirmationem quinque testium jurantium. Dicit autem etiam lex civilis: Melius est peccata relinqui impunita, quam aliquos sine causa puniri. Lege et canonem sancti Basilii, 27 et novellam 29 domini Leonis Philosophi, et ex interrogationibus factis in synodo Constantinopolitana interpretationem responsi, dicentis laicorum loco censeri eos, qui depositi fuerint : et die paucis, quod est differentia ejus qui peccavit ante ordinationem et confessus est et ejus qui propter crimen condemnatus est post ordinationem. Similiter et ejus qui fuit digamus post ordinationem, et ejus cui sacerdotium ablatum est. Qui enim, quod ante ordinationem commisit, peccatum confessus est, ab offerendo tantum removebitur, sed sacerdotali cathedra dignus habebitur, et reliquis ejusmodi, ut vult canon 89 sancti Basilii. Qui autem secundam uxorem duxit, et se eo modo sacerdotio movit, ministeriis, quæ sunt extra sacrum tribunal, dignus habebitur. Sed qui est condemnatus, ne hæc quidem exercebit, sed in laicorum locum rejicietur. Lege syn. in Trullo canonem 21 et 26, et quæ sunt in ipsis. 79 autem imp. domini Leonis Sapientis novella, sic se habet ad verbum : Quæ Deo semel sunt consecrata, ea non esse auferenda constitui oportet; idque non solum in rebus pretiosis consecratis, sed multo etiam magis in hominibus, quibus per clericatum Deo dedicatio accessit; etiamsi, cujusmodi multa sunt humana delicta, ab eo ordine, in quo, ut se honeste præclareque gererent, electi sunt, tyrannidem exercens eos peccatum detruserit. Veteris itaque legislatoris institutum non admittimus, qui vult presbyterum vel diaconum vel subdiaconum, qui postquam ei manus est imposita, cum muliere conjungi-

A ὡμολόγησεν ἑκὼν μετὰ τὴν χειροτονίαν τὴν ἁμαρτίαν. Φασὶν οὖν οἱ Πατέρες τὸν τοιοῦτον ὡς αὐτοθελῶς ἐξομολογησάμενον τῆς μὲν ἱερουργίας παυθῆναι, ἔχειν δὲ τἆλλα προνόμια τῶν ἱερέων, δηλονότι τὴν μετὰ τῶν ἱερέων καθέδραν, τὴν ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μετάληψιν, καὶ ἕτερά τινα, καὶ μάλιστα ἐὰν πρὸς ἀρετὴν σπουδαῖός ἐστιν. Ὡς τινος δὲ εἰπόντος ἐπακολουθεῖν τῷ πάθει τῆς πορνείας καὶ ἄλλα τινὰ ἁμαρτήματα, συγκατάθεσιν, ἁφὴν χειρὸς, φιλήματα, καὶ τοιαῦτα, καὶ ἀπὸ τούτων ἐμποδίζεσθαι τὸν ἐξομολογούμενον, ὥστε ἔχειν τιμὴν ἱερέως, ἐπήγαγον οἱ Πατέρες ὡς, ἐπεὶ ἀπὸ τοιούτων ἁμαρτημάτων οὐκ ἐμποδίζεταί τις εἰς ἱερωσύνην προαναβιβασθῆναι, διὰ τὸ λύεσθαι ταῦτα ὑπὸ τῆς χειροτονίας, οὐ κωλυθήσεται ἐξ αὐ-
B τῶν ἔχειν τὰ ἄλλα προνόμια. Καὶ ταῦτα μὲν, ὅταν ὁ ἱερεὺς ἐξομολογήσηται τὸ ἁμάρτημα· ἐὰν δὲ μήτε ὁμολογήσῃ μήτε ἐλεγχθῇ φανερῶς, οὐδεπωσοῦν παρασαλευθήσεται· ἀλλὰ παρ' αὐτῷ κείσεται ἐξουσία τοῦ ἱερουργεῖν ἢ παύσασθαι πρὸς τὸ οἰκεῖον συνειδός· ὥσπερ ἐὰν ἐλεγχθῇ, ἀπεντεῦθεν καθαιρεθήσεται, καὶ οὐδὲ τιμῆς ἢ ἄλλου προνομίου ἀξιωθήσεται. Προσέθεντο δὲ οἱ Πατέρες τὸν φανερὸν ἔλεγχον, διὰ τὸ μηδένα καθαιρεῖσθαι εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, ἤτοι διὰ καταθέσεως μαρτύρων πέντε ὀμνυόντων. Φησὶ δὲ καὶ ὁ νόμος· Κρεῖττόν ἐστι τὰ ἁμαρτήματα ἀνεκδίκητα καταλιμπάνεσθαι, ἢ τινας ἀναιτίους κολάζεσθαι. Ἀνάγνωθι καὶ τὸν κζ' κανόνα τοῦ ἁγίου Βασιλείου καὶ τὴν
C οθ' νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ Φιλοσόφου, καὶ ἀπὸ τῶν γεγονυιῶν ἐρωτήσεων εἰς τὴν ἑρμηνείαν τῆς ἀποκρίσεως, τῆς λεγούσης· εἰς τὸν τόπον τάττεσθαι τῶν λαϊκῶν τοὺς καθαιρεθέντας· καὶ συναγαγὼν εἰπὲ ὅτι διαφορά ἐστι τοῦ πρὸ τῆς χειροτονίας ἁμαρτηκότος καὶ ἐξομολογησαμένου, καὶ τοῦ καταδικασθέντος διὰ ἔγκλημα μετὰ τὴν χειροτονίαν· ὡσαύτως καὶ τοῦ διγαμήσαντος μετὰ τὴν χειροτονίαν, καὶ ἀφαιρεθέντος τὴν ἱερωσύνην. Ὁ μὲν γὰρ ἐξομολογησάμενος τὴν πρὸ τῆς χειροτονίας ἁμαρτίαν μόνου τοῦ προσφέρειν στερηθήσεται· καθέδρας δὲ ἱερατικῆς ἀξιωθήσεται καὶ λοιπῶν τοιούτων, κατὰ τὸν πῆ' κανόνα τοῦ ἁγίου Βασιλείου. Ὁ δὲ διγαμήσας, καὶ ἑαυτὸν τοιουτοτρόπως ἐκ
D τῆς ἱερωσύνης μετακινήσας, τῶν ἔξω τοῦ βήματος διακονιῶν ἀξιωθήσεται. Ὁ δὲ καταδικασθεὶς οὐδὲ ταῦτα ἐνεργήσει, ἀλλ' εἰς τὸν τόπον τῶν λαϊκῶν ῥιφήσεται. Ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα κα' καὶ τὰ ἐν αὐτοῖς. Ἡ δὲ οθ' νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ ἔχει κατὰ ῥῆμα οὕτως· Τὰ ἅπαξ ἀνατεθειμένα τῷ Θεῷ ἀνεφαίρετα δεῖν εἶναι καθίστασθαι, καὶ τοῦτο οὐ μόνον ἐπὶ κειμηλίων ἀνιερωμένων, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἀνθρώπων, οἷς διὰ τοῦ κλήρου προσγένηται ἡ πρὸς τὸ θεῖον ἀνάθεσις, κἂν, οἷα πολλὰ τὰ ἀνθρώπινα πταίσματα, τῆς τάξεως ἐν ᾗ διαπρέπειν κατεκληρώθησαν, ἡ τύραννος αὐτοὺς ἐξωθήσειεν ἁμαρτία. Οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον ἢ διάκονον ἢ ὑποδιάκονον, μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συνα-

πτόμενον γαμετῇ, παντελῶς τοιοῦτον ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀκυροῦμεν τὸ δόγμα. Θεσπίζομεν δὲ μόνον τῇ ὑποχωρήσει τῆς τάξεως ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι.

ΖΩΝΑΡ. Ἐάν τις πρὸ τῆς εἰς ἱερωσύνην χειροτονίας ἁμάρτῃ σώματι, ἤγουν μέχρι μίξεως σαρκικῆς ἔλθῃ, εἶτα προαχθῇ, ἀντὶ τοῦ, πρεσβύτερος χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν ὁμολογήσῃ τὴν ἁμαρτίαν, προσφέρειν μὲν οὐ συγχωρεῖται, τουτέστιν ἱερουργεῖν· μενεῖ δὲ ἐν τοῖς ἄλλοις, τουτέστιν ἐν τῇ τιμῇ τῶν ἱερέων, ἐν τῇ καθέδρᾳ, καὶ ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μεταλήψεται, καὶ ἄλλα ἕξει προνόμια διὰ τὴν ἄλλην σπουδὴν σπουδαῖος. Ἁμαρτήματα γὰρ τὰ ἐλάττω, τὰ πρὸς τῆς μίξεως δηλαδή, οἷον τὴν συγκατάθεσιν, τὸ ἅψασθαι χειρὶ γυναικός, τὸ μέχρι φιλήματος προελθεῖν, ἡ χειροθεσία λύει, φησί. Καὶ οὐδὲ τοῦτο ὡς ὁμολογούμενον εἶπε, ἀλλὰ κεκολασμένως, ἔφασαν, εἶπον, οἱ πολλοί, ἀντὶ τοῦ, ὡς παρά τινων λέγεται. Εἰ μὲν οὖν αὐτὸς ὁμολογεῖ τὸ ἁμάρτημα, τὰ εἰρημένα γενήσεται· εἰ δὲ οὐχ ὁμολογεῖ οὔτε πρόφανῶς ἐλέγχοιτο, τότε χρὴ τὴν ἐξουσίαν τοῦ ἱερουργεῖν ἢ παύεσθαι ἐκεῖνον ἔχειν, ἵνα, εἰ σύνοιδεν ἑαυτῷ τὸ ἁμάρτημα, παύηται τῆς λειτουργίας· κρεῖσσον γὰρ, φησί που ὁ νόμος, τὰ ἁμαρτήματα καταλιμπάνεσθαι ἀνεκδίκητα, ἢ τινας ἀναιτίως καλάζεσθαι.

ΑΡΙΣΤ. « Ἐὰν ὁμολογήσῃ πρεσβύτερος ὅτι προήμαρτε, μὴ προσφερέτω, καὶ μόνον. Τινὰ γὰρ τῶν ἁμαρτημάτων αἱ χειροτονίαν ἀφιᾶσιν. Εἰ δὲ μήθ' ὁμολογοίη, μήτ' ἐλέγχοιτο, αὐτὸς ἐχέτω τὴν ἐξουσίαν. »

Τὰ μὲν ἄλλα πάντα ἁμαρτήματα ἡ χειροθεσία λύει· μόνης δὲ τῆς σωματικῆς ἁμαρτίας ἥττᾶται. Ἐὰν οὖν τις, πορνείαν προημαρτηκὼς, εἶτα ἱερωσύνην παραδεχθῇ, καὶ μετὰ τὴν χειροτονίαν ὡμολόγησε τὰ ἁμαρτήματα· τῆς μὲν καθέδρας καὶ τιμῆς τῶν πρεσβυτέρων μεθέξει· ἱερατικὸν δέ τι οὐκ ἐνεργήσει. Εἰ δὲ μήτε αὐτὸς ὁμολογοίη, μήτε παρ' ἄλλου ἐλέγχοιτο φανερῶς, παρὰ τῇ αὐτοῦ ἐξουσίᾳ κείσεται τῆς ἱερωσύνης παυθῆναι, εἴτε καὶ μή.

ΚΑΝΩΝ Ι'.

« Ὁμοίως καὶ διάκονος, ἐὰν ἐν τῷ αὐτῷ ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω. »

ΒΑΛΣ. Ἐν τῷ θ' κανόνι τὰ περὶ πρεσβυτέρων ἡμαρτηκότων διελέχθησαν· ἐν δὲ τῷ παρόντι περὶ διακόνων. Καὶ οὗτοι γὰρ, ἐξομολογούμενοι, τοῦ μὲν διακονικοῦ ἀξιώματος ἐκπεσοῦνται, εἰς ὑπηρέτου δὲ τάξιν καταβιβασθήσονται, ἤτοι ἀχειροτονήτου ὑποδιακόνου ἢ ἀναγνώστου.

ΖΩΝΑΡ. Ἐκπεσεῖται γὰρ τῆς διακονίας, καὶ εἰς ὑπηρέτου τόπον καταβιβασθήσεται. Οἱ γὰρ ὑπηρέται οὐ προσφέρουσιν.

tur, ab eo habitu omnino excidere, et ad vitam laicam redire : et decretum infirmamus. Decernimus autem solum ut ordinis cessione, in quo ante matrimonium cognoscebatur, supplicii satis sit : clerici autem habitus, et alius in ecclesiis ministerii, quod nefas non est attingere, alienatione non omnino condemnetur.

ZONAR. Si, priusquam sacris ordinibus initiaretur, corpore quispiam peccaverit, hoc est, ad libidinosam usque corporum commistionem progressus fuerit, deinde vero admissum crimen promotus, hoc est, ubi sacerdos creatus fuerit, confiteatur, offerre, hoc est, sacra celebrare homini nequaquam licebit : cæterum alia, scilicet sacerdotum honorem, cathedræ prærogativam, jusque præterea in altari communicandi, retinebit, aliisque ob alias virtutes, si nimirum vitæ integer ac virtutis exercendæ studiosus sit, privilegiis cohonestabitur. Nam reliqua minora crimina, quæ videlicet conjunctionem corporum comitantur, quale est facinori assentiri, contrectare manu feminam, osculum quoque eidem impertiri, hæc, inquit, manuum impositione tolluntur. Verum ne id quidem tanquam omnino certum, sed cum ea moderatione dixere multi, hoc est, ut a quibusdam dicitur, asseveravit. Atque hæc quidem, eo scelus non inficiente, tenenda sunt. Quod si nec ille crimen fateri velit, neque manifesto convinci potest; tunc sacra ministeria obeundi, vel ab eis cessandi potestas illius arbitrio permitti debet; ut si quidem conscientia flagitii premitur, sua sponte a sacrorum munerum functione desistat. Maleficia namque, alicubi lex ita, potius impunita dimitti, quam innocentibus quibuscunque pœnam irrogari, decet.

ARIST. « Si presbyter confessus fuerit se peccasse, « ab oblatione abstineat, et ab ea tantum. Quædam enim peccata ordines remittunt. Si vero « nec confiteatur nec convincatur, ipse sui potestatem habeat. »

Omnia quidem alia peccata manuum impositio tollit, solo autem corporali peccato inferior est. Si quis itaque 411 qui fornicationem antea commisit, in sacerdotium recipitur, et post ordinationem peccata sua confessus est, cathedræ quidem et honoris presbyterorum particeps erit; at sacerdotale aliquod munus non obeat. Si autem nec ipse confessus fuerit, nec ab alio manifeste convincatur, in sua relinquitur potestate an a sacerdotio cessabit necne.

CANON X.

« Similiter et diaconus, si in idem peccatum incidierit, ministri ordinem habeat. »

BALS. In canone 9 de presbyteris qui peccarunt tractatum est : in præsenti autem de diaconis : nam et ii confessi a diaconi dignitate excident : in ministri autem ordinem deprimentur, hypodiaconi scilicet, qui non est ordinatus, vel lectoris.

ZONAR. Excidet enim a diaconatu, et in ministri locum dejicietur. Ministri namque non offerunt.

ARIST. « Diaconus etiam eodem crimine obstri- A
« ctus, minister maneat. »

Et diaconus si in idem inciderit peccatum panem et poculum afferre, aut populum docere, aut omnino aliquid sacerdotale peragere cessabit. Sed tantum ecclesiæ minister erit.

ΑΡΙΣΤ. « Καὶ ὁ διάκονος, τῷ αὐτῷ ἁμαρτήματι συσχεθεὶς, ὑπηρέτης μενέτω. »

ZONAR. Quæ hujus quoque synodi Patres decrevere, nono apostolico canone respondent. Illo namque quicunque fideles ecclesiam ingrediuntur, et Scripturas audiunt, tum precatione sanctaque communione nondum peractis discedunt, ut confusionis in ecclesia auctores segregari oportere decernitur. Hic igitur eodem modo Patres, quicunque ecclesiam adeuntes precationi haud assistunt, neque communicant, ex quadam perversitate ac licentia, hoc est, nulla justa causa interdicente, sed petulanter ac temere; eos extra ecclesiam expelli, hoc est, segregari atque extra fidelium cœtum eliminari jussere. Aversionem porro hoc loco Patres, non odium erga divinam communionem nuncupavere, quo impulsi quidam ab illa abstinent; sed quamdam ab ea fu- B gam, a reverentia fortasse ac veluti ab animi demissione profectam. Qui namque ex odio et animi offensione sacram communionem aversarentur, eos non segregatione, sed omnino absoluta excommunicatione atque anathemate damnari oportuisset. Ex eo vero, quod segregationis mentio injecta est, illud quoque addidere, ut ne cuiquam cum iis, qui communione moti vel extra ecclesiam ejecti sunt, communicare, neque in privata domo cum iis precationi vacare, neque vero in alteram eos ecclesiam admitti liceat : qui vero ejusmodi homines ad precationis societatem aut in ecclesiam receperint, quippe canonis ecclesiastici turbatores, ipsos quoque communione privatos esse. Eadem decimo et undecimo sanctorum apostolorum canone constituta C fuerant; tricesimus tertius quoque Laodicenæ synodi canon hæreticos aut schismaticos ad precationis societatem admitti vetat.

ΖΩΝΑΡ. Ἀκολούθως τῷ ἀποστολικῷ ἐννάτῳ κανόνι οἱ τῆς παρούσης συνόδου Πατέρες διετάξαντο. Λέγει γὰρ ἐκεῖνος πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τῶν Γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή. Καὶ οὗτοι τοίνυν τοὺς εἰσιόντας εἰς ἐκκλησίαν, καὶ μὴ προσμένοντας τῇ εὐχῇ, μηδὲ μεταλαμβάνοντας κατά τινα ἀταξίαν, ἤγουν οὐ δι' αἰτίαν εὔλογον, ἀλλ' ἀτάκτως καὶ ἀναιτίως, ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας διωρίσαντο, ἤγουν ἀφωρισμένους καὶ ἔξω τῆς συνάξεως τῶν πιστῶν. Ἀποστροφὴν δ' ἐνταῦθα οἱ Πατέρες οὐ τὸ μισεῖν τὴν θείαν μετάληψιν ὠνόμασαν, καὶ διὰ τοῦτο ἀνέχεσθαι τῆς κοινωνίας, ἀλλὰ τὸ ἀποφεύγειν αὐτὴν δι' εὐλάβειαν τάχα, καὶ οἷον διὰ ταπεινοφροσύνην (43). Εἰ γάρ ὡς μισοῦντες καὶ μυσαττόμενοι τὴν ἁγίαν μετάληψιν ἀπεστρέφοντο ταύτην, οὐκ ἂν ἀφορισμῷ, ἀλλ' ἀποκηρύξει τελείᾳ καὶ ἀναθέματι κατεδικάσθησαν ἄν. Ἐπεὶ δὲ ἀφορισμοῦ ἐμνήσθησαν, προσέθεντο καὶ τὸ μὴ ἐξεῖναί τινι κοινωνεῖν τοῖς ἀκοινωνήτοις καὶ τοῖς ἀποβλήτοις τῆς ἐκκλησίας, μήτε ἐν οἴκῳ τινὰς συνεύχεσθαι, μήτε μὴν ἐν ἑτέρᾳ ἐκκλησίᾳ αὐτοὺς ὑποδέχεσθαι· τοὺς δὲ τοῖς τοιούτοις συνευχομένους ἢ ὑποδεχομένους αὐτοὺς εἰς ἐκκλησίαν ἀκοινωνήτους κἀκείνους εἶναι, ὡς συγχέοντας τὸν κανόνα τῆς Ἐκκλησίας. Τὰ αὐτὰ δὲ καὶ ὁ ι' καὶ ια' τῶν ἱερῶν ἀποστόλων κανόνων ἔφη, καὶ λγ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου φησὶν ὅτι οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύχεσθαι.

ARIST. « Qui ecclesiam ingreditur, et sacras Scri-
« pturas attente audit, deinde despicit, et egre-
« ditur, et aversatur communionem, ejiciatur,
« usque dum pœnitentiæ fructum ostendens, ve-
« niam assequatur. Et qui cum excommunicato
« communicat, excommunicatus erit, et qui iis
« comprecatur, qui ecclesiæ non comprecantur,
« reus est, et qui eum suscipit qui ecclesiæ con-
« ventibus non interest, non est extra culpam. »

Ille etiam ecclesia est ejectus qui in oratione cum populo non communicat, sed ante absolutionem exit, ut divinam participationem contemnens et aversans, usque dum resipiscens, pœnitentiæ fructum ostenderit : sed ardenti animo pœnitentiam agens, admittitur. Qui eum autem qui ecclesiæ se D non conjungit, nec cum fidelibus comprecatur, recipit, et privatim cum eo comprecatur, vel etiam in alia ecclesia, pœnis canonicis obnoxius erit. Quemadmodum et qui cum excommunicato communicat, erit excommunicatus.

ΑΡΙΣΤ. « Ὁ εἰς ἐκκλησίαν εἰσιὼν, καὶ προσέχων τῇ
« ἱερᾷ Γραφῇ, εἶτα περιφρονῶν, καὶ ἐξιὼν, καὶ
« ἀποστρεφόμενος τὴν μετάληψιν, ἀπόβλητος, ἕως
« ἂν, ἐπιδειξάμενος, καρπὸν μετανοίας, συγγνωμο-
« νηθῇ. Καὶ ἀκοινωνήτῳ κοινωνῶν ἔσται ἀκοινώ-
« νητος· καὶ ὁ συνευχόμενος τοῖς μὴ τῇ ἐκκλησίᾳ
« συνευχομένοις, ὑπεύθυνος· καὶ τὸν μὴ εἰς ἐκ-
« κλησίαν συναγόμενον ὁ ὑποδεχόμενος οὐκ ἀναί
« τιος. »

Ἀπόβλητος καὶ οὗτος τῆς ἐκκλησίας, ὁ μὴ συγκοινωνῶν τῷ λαῷ τῆς εὐχῆς, ἀλλ' ἐξερχόμενος πρὸ τῆς ἀπολύσεως· ὡς περιφρονῶν καὶ ἀποστρεφόμενος τὴν θείαν μετάληψιν, ἕως ἂν, μεταμεληθείς, καρπὸν μετανοίας ἐνδείξηται· μετανοήσας θερμῶς, παραδεχθήσεται. Ὁ δὲ τὸν εἰς ἐκκλησίαν μὴ συναγόμενον, καὶ συνευχόμενον τοῖς πιστοῖς παραδεξάμενος, καὶ κατ' οἴκους αὐτῷ συνευξάμενος, ἢ καὶ ἐν ἑτέρᾳ ἐκκλησίᾳ, τοῖς κανόσιν ὑπεύθυνος ἔσται· καθάπερ δὴ καὶ ὁ ἀκοινωνήτῳ κοινωνῶν ἔσται ἀκοινώνητος.

Guill. Beveregii notæ.

(43) *Καὶ οἷον διὰ ταπεινοφροσύνην.* Legendum cum codice Amerbachiano, καὶ τὸ ἐκκλίνειν τὴν *κοινωνίαν οἷον διὰ ταπεινοφροσύνην*, *Et declinationem a communione, velut ab animi demissione profectam.*

ΚΑΝΩΝ. Γ'.

« Εἴ τις πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ « ἱερατείου τις, καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν, « εἰς ἑτέραν ἀπέλθῃ, ἔπειτα παντελῶς μεταστὰς « διατρίβειν ἐν ἄλλῃ παροικίᾳ πειρᾶται ἐπὶ πολλῷ « χρόνῳ, μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι « τῷ ἐπισκόπῳ τῷ ἰδίῳ ἐπανελθεῖν εἰς τὴν πα- « οικίαν τὴν ἑαυτοῦ καὶ παραινοῦντι μὴ ὑπ- « ακούει. Εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς « αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μη- « κέτι χώραν ἔχειν ἀποκαταστάσεως. Εἰ δὲ καθ- « αιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος « ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ « κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς « τοὺς ἐκκλησιαστικούς. »

CANON III.

« Si quis presbyter, vel diaconus, vel quis omnino « ex sacerdotali ordine, relicta sua parœcia, in « aliam abierit; deinde omnino commigrans, in « alia parœcia longo tempore versari conatur, ne « amplius celebret; maxime si proprio vocanti « episcopo, ut in suam parœciam redeat, exhor- « tantique, non pareat. Si autem in insolentia « perseverat, is **433** omnino a sacro ministerio « deponatur, ut nec amplius redeundi locum in- « veniat. Si autem cum, qui propter hanc causam « depositus est, alius episcopus receperit; ille « quoque a communi synodo puniatur, ut qui « ritus ecclesiasticos dissolvat. »

ΒΑΛΣ. Περὶ τῶν καταλιμπανόντων τὰς οἰκείας παροικίας καὶ εἰς ἑτέρας ἀπερχομένων ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα ιε' τῆς α' συνόδου κανόνα ις' καὶ τῆς δ' κανόνα ε', καὶ μάθῃς ἐκ τῶν ἐν τούτοις γραφέντων καὶ τὰ τῷ παρόντι κανόνι διωρισμένα.

BALS. De iis, qui suas parœcias relinquunt, et in alias recedunt, quære canonem sanctorum apostolorum 15, primæ synodi canonem 16 et quartæ canonem 5, et disces ex iis quæ illic scripta sunt, etiam ea quæ hoc canone constituta fuere.

Ἑτέρα ἑρμηνεία (44).

Ἐπειδή, τινῶν πρεσβυτέρων, διακόνων καὶ ὑποδιακόνων οἰκειοθελῶν, οὐκ ἐξ ἐπιτιμίου, ἐπὶ πολὺν χρόνον μὴ ἱερουργησάντων, πάλιν δὲ βουλομένων ἱερουργεῖν, καὶ κωλυομένων, συνεζητήθη πόσος νοηθήσεται χρόνος ὁ τὴν ἱερουργίαν ἀφαιρούμενος ἀπὸ τοῦ μὴ ἐνεργήσαντος ταύτην δι' ὅλου αὐτοῦ· Λέγω ὅτι πολὺς χρόνος ἀπὸ τοῦ νόμου ἡ τριετία ἐστίν. Εἰ γοῦν ἱερωμένος τις δι' ὅλης τριετίας οὐκ ἐνεργήσει, μήτε ἀπὸ νόσου, μήτε ὑπὸ αἰχμαλωσίας, ἢ ἄλλης τοιαύτης κωλυόμενος αἰτίας, οὐκέτι λειτουργῆσαι παραχωρηθήσεται· εἰ γὰρ κατὰ τὸν παρόντα κανόνα καθαιρεῖται ὁ εἰς ἑτέραν παροικίαν διατρίβων ἐπὶ πολὺν χρόνον, ἤγουν τριετίαν, ἴσως δὲ καὶ ἐνεργῶν ἐκεῖσε· πολλῷ πλέον οὐ παραχωρηθήσεται ἱερουργῆσαι ὁ τὴν οἰκείαν διακονίαν ἐπὶ τριετίαν ἀποστραφείς ἢ καὶ ἀναξιότητος ἑαυτὸν καταψηφισάμενος. Συνιστῶ δὲ τοῦτον καὶ ἀπὸ τοῦ γεγονότος σημειώματος κατὰ τὸν Μάρτιον μῆνα τῆς γ' ἰνδικτ. ἐπὶ τῆς πατριαρχίας τοῦ κυροῦ Νικολάου, λέγοντος ἐν μέρει ῥητῶς ταῦτα πλὴν κοινῶς ὥρισται παρὰ πάντων τῶν ἐν πάσαις ταῖς ἑβδομάσιν ὑπηρετουμένων ἱερέων τε καὶ διακόνων περὶ μὲν τῶν ἐν βαθμῷ ὃ καὶ πάλαι διώρισται· περὶ δὲ τῶν περισσῶν, τὸν μέλλοντα τῆς πόλεως ἐκδημεῖν κατά τινα χρείαν συνταξάμενον τῷ ἀρχιδιακόνῳ καὶ τοῖς πρωτεύουσιν ἐν τῇ ἑβδομάδι τὴν ἀποδημίαν στέλλεσθαι, ἐφ' ἓξ μὲν μῆνας· οὐδὲ σοῦπερον ἀντ' αὐτοῦ ἐνιστῶντα, μετὰ δὲ τούτοις ἕως πέρατος τριετίας ἕτερον ἀντ' αὐτοῦ τῇ δουλείᾳ ὑποβάλλοντα, ἵνα ἡ παρὰ τὴν ἐκκλησίαν διακονία αὐτῷ ἀνάπληρῶται διὰ τοῦ ἀντισήκου. Εἶτα εἰ μὴ δι' ὅλης τριετίας ἐπανέλθῃ, πόρρῳ τοῦ καθίστασθαι, καὶ ἐκπτώ-

Altera interpretatio.

Quoniam nonnulli presbyteri, diaconi et hypodiaconi, qui sua sponte, et non ob pœnam iis impositam, sacra aliquandiu non celebrant, rursus sacra peragere volentes prohibiti sunt; quæsitum est quantum sit tempus, quod sacrorum celebrationem ei adimit, qui eam non omnino exercuit. Dico quod multum tempus ex lege est triennium. Si ergo sacerdos quispiam toto triennio non celebrat, non morbo, nec captivitate, nec alia ejusmodi causa impeditus; non amplius celebrare sinetur. Si enim, ut vult hic præsens canon, deponitur, qui longo tempore, triennio scilicet, in aliena parœcia versatur, licet etiam fortassis illic celebret, multo magis qui suum ministerium per triennium averterit, vel se etiam indignitatis condemnaverit, celebrare non sinetur. Hoc autem probo et ex edicto facto mense Martio indict. 3, tempore sancti patriarchæ domini Nicolai, quod sic præcise dicit; sed communiter definitum est de omnibus qui in omnibus septimanis deserviunt, sacerdotibus et diaconis, de iis quidem qui sunt in gradu, quod et olim definitum fuit. De superfluis autem, eum, qui a magna urbe peregre profecturus est, aliquam causam necessariam significantem archidiacono, et iis qui in hebdomade primas gerunt, peregre proficisci ad sex menses; nec alium superum quidem loco suo subsistentem, postea autem ad finem usque triennii, alterum pro se servitio subjicientem, ut ecclesiæ ministerium ei suppleatur per substitutum. Deinde si post integrum triennium non redierit, procul constituatur, et ab hebdomade omnino excidat, nihil eum juvante substituti datione vel resti-

Guill. Beveregii notæ.

(44) *Ἑτέρα ἑρμηνεία.* Hanc alteram Balsamonis interpretationem ms. nostro Bodleiano debemus. Verum Gentianus Hervetus eam tanquam appendicem ad priorem interpretationem ex codice Taliano Latine vertit: sed in ms. Amerbachiano tota desideratur.

tutionis spem præbere valente. Si autem sunt etiam quidam in urbe imperiali, in hebdomadis ministeriis vacare non sinuntur, nec a proprio officio recedere; et si non ad sex usque menses ad ministerium redierint, extruduntur, nullum alium quem accusent præter seipsos habentes; quod præsentes sex menses dormierint et socordiæ se dederint, nullam ecclesiæ curam gerentes.

σειν παντάπασι τῆς ἑβδομάδος, μηδ' ὁτιοῦν αὐτῷ συμβαλλομένης τῆς τοῦ ἀντισήκου δόσεως ἢ ἐλπίδα, ἀποκαταστάσεως δυναμένης παρέχειν. Εἰ δὲ καὶ τῇ βασιλευούσῃ ἐπιδημοῦντές τινες, ταῖς διακονίαις τῆς ἑβδομάδος μὴ πάνυ τῆς οἰκείας δουλείας ἀφίστασθαι· καὶ εἰ μὲν ἕως μηνῶν ὅλων ἓξ μὴ διανασταίεν πρὸς ὑπηρεσίαν, ἐξωθεῖσθαι· μηδένα ἄλλον, ἀλλ' ἑαυτοὺς αἰτιᾶσθαι ἔχοντας· ὅτι παρόντες μῆνας ὅλους ἓξ ὑπνωσαν, καὶ ἐῤῥαθύμησαν μὴ προσχόντες τῇ ἐκκλησίᾳ.

ZONAR. In hanc sententiam multi canones editi sunt. Nam et sanctorum apostolorum decimo quinto eadem, et Nicænæ primæ synodi decimo sexto, valde his affinia, constituta sunt; et canones ante id tempus editi quinto quartæ synodi canone confirmati fuere. Quapropter ex iis, quæ in illos canones scripsimus, hujus quoque explicationi satisfactum putamus.

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης πολλοὶ κανόνες ἐξεφωνήθησαν. Ὅ τε γὰρ ιε' κανὼν τῶν ἁγίων ἀποστόλων τὰ αὐτὰ προεψηφίσατο, ὁ τῆς ἐν Νικαίᾳ τε πρώτης συνόδου ις' κανὼν τὰ ὅμοια ἀπεφήνατο, καὶ ὁ ε' κανὼν τῆς δ' συνόδου τοὺς ἤδη τεθέντας κανόνας ἐπεβεβαίωσε. Τὰ γοῦν ἐν ἐκείνοις γραφέντα ἀρκοῦσιν εἰς ἐξήγησιν καὶ τοῦ παρόντος κανόνος.

ARIST. « Si quis clericus, sua parochia relicta, ad « aliam abierit, deinde illinc commigrans, in alia « longo tempore versetur, ne amplius sacra peragat; præsertim si a proprio vocatus episcopo « non regrediatur. Si vero in insolentia perseveret, deponatur, nec ullam postea redeundi « potestatem habeat. Et si quis episcopus sic « depositum susceperit, a communi synodo puniatur, ut leges dissolvens ecclesiasticas. »

ΑΡΙΣΤ. « Εἴ τις κληρικὸς, καταλιπὼν τὴν ἰδίαν « παροικίαν, εἰς ἑτέραν ἀπέλθοι, εἶτ' ἐκεῖθεν « μεταστὰς, ἐν ἄλλῃ ἐπὶ μακρὸν διατρίβοι, μηκέτι λειτουργείτω· μάλιστα εἰ, καλούμενος παρὰ « τοῦ ἰδίου ἐπισκόπου, μὴ ἐπανέλθοι. Εἰ δὲ ἐπιμένοι τῇ ἀταξίᾳ, καθαιρείσθω, μηκέτι ἔχων « ἀποκατάστασιν. Καὶ εἴ τις ἐπίσκοπος δέχεται « τὸν οὕτω καθῃρημένον, ἐπιτιμάσθω παρὰ κοινῆς « συνόδου, ὡς τοὺς ἐκκλησιαστικοὺς παραλύων « θεσμούς. »

Eadem quæ decimus quintus canon apostolicus et hic canon jubet, neminem videlicet presbyterorum aut diaconorum aut aliorum omnino qui in sacerdotali sunt catalogo suam relinquentem paræciam et ad alteram profiteiscentem, et multum in eo absumentem temporis sacra peragere : et præsertim si a proprio episcopo vocatus fuit et morem non gessit nec redire voluit. Eum autem qui in istiusmodi confusione permanet, deponi, nec spem restitutionis **434** habere. Sed et episcopum qui ita depositum ut clericum admittit, ut legum ecclesiasticarum transgressorem castigari mandat a communi synodo, quando omnium provinciæ episcoporum fit conventus ob ecclesiasticas incidentes controversias et quæstiones canonicas.

Τὰ αὐτὰ τῷ πεντεκαιδεκάτῳ ἀποστολικῷ κανόνι καὶ ὁ οὗτος κανὼν διαγορεύει· τὸ μή τινα τῶν πρεσβυτέρων, ἢ τῶν διακόνων, ἢ ὅλως τῶν τοῦ ἱερατικοῦ καταλόγου, καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, καὶ εἰς ἑτέραν ἀπελθόντα, καὶ ἐπὶ μακρὸν χρόνον ἐν αὐτῇ διατρίβοντα, λειτουργεῖν· καὶ μάλιστα εἰ παρὰ τοῦ ἰδίου ἐπισκόπου καλοῖτο, καὶ μὴ ὑπακούοιτο ὑποστρέψαι. Τὸν δὲ ἐπιμένοντα τῇ τοιαύτῃ ἀταξίᾳ, καὶ καθαιρεῖσθαι, μηδὲ ἐλπίδα ἀποκαταστάσεως ἔχοντα. Ἀλλὰ καὶ τὸν ἐπίσκοπον τὸν παραδεξάμενον, ὡς κληρικὸν, τὸν οὕτω καθῃρημένον ἐπιτιμᾶσθαι προστάττει παρὰ τῆς κοινῆς συνόδου, ὅτε συνέλευσις πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας διὰ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας καὶ τὰ κανονικὰ ζητήματα γίνεται, ὡς παραβάτην τῶν τῆς Ἐκκλησίας θεσμῶν.

CANON IV.

« Si quis episcopus a synodo, vel presbyter aut

ΚΑΝΩΝ Δ'.

« Εἴ τις ἐπίσκοπος (45) ὑπὸ συνόδου καθαιρεθείς,

Guill. Beveregii notæ.

(45) *Εἴ τις ἐπίσκοπος.* Hic cum sequenti, sive quinto hujus concilii canone, a concilio Chalcedonensi in causa Carosi et Dorothei verbatim recitatur, sub nominibus octogesimi tertii et octogesimi quarti canonis, non hujus concilii, sed codicis e quo lectus est. Synodus enim dicebat, Οἱ θεῖοι τῶν Ἑτέρων κανόνες ἀναγινωσκέσθωσαν, καὶ ἐμφερέσθωσαν τοῖς ὑπομνήμασι. Deinde sequitur, Καὶ λαβὼν τὴν βίβλον Αἴτιος ἀρχιδιάκονος καὶ πριμικήριος τῆς Μεγάλης ἐκκλησίας ἀνέγνω. Κανὼν πγ'. Εἴ τις ἐπίσκοπος, ὑπὸ συνόδου καθαιρεθείς, ἢ πρεσβύτερος, etc, et recitato præsenti canone addit, Περὶ τῶν ἑαυτοὺς ἀφοριζόντων. Κανὼν πδ'. Εἴ τις πρεσβύτερος ἢ διάκονος, et deinceps, totidem verbis, quibus proximus huic canon concipitur. Concil. Chalced. Act. 4, p. 249, edit. Colon., an. 1618. Unde perspicuum redditur et indubitatum hos præsentis concilii canones in codicem canonum ab Actio tunc temporis lectum relatos fuisse; qui quidem similis fuit codici canonum Ecclesiæ universæ, quem Christophorus Justellus edidit, quemque Dionysius Exiguus Latine vertit. Namque in utroque eorum, a concilio Nicæno incipiente, præsens sane octogesimus tertius, et sequens, octogesimus quartus, quemadmodum et in concilio Chalcedonensi, canon numeratur. Nisi quod Dionysius Exiguus quartum et quintum syn. Ancyr. canonem in unum conjungat. Quinetiam in Actione undecima ejusdem Chalcedonensis concilii, decimus sextus et decimus se-

« ἢ πρεσβύτερος ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπι- A
« σκόπου, τολμήσειέν τι πρᾶξαι τῆς λειτουργίας,
« εἴτε ὁ ἐπίσκοπος κατὰ τὴν προάγουσαν συν-
« ήθειαν, εἴτε ὁ πρεσβύτερος, εἴτε ὁ διάκονος,
« μηκέτι ἐξὸν εἶναι αὐτῷ μηδ' ἐν ἑτέρᾳ συνόδῳ
« ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χώραν
« ἔχειν. Ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ πάντας
« ἀποβάλλεσθαι τῆς Ἐκκλησίας, καὶ μάλιστα,
« εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προει-
« ρημένων ἐξενεχθεῖσαν, τολμήσειαν αὐτοῖς κοι-
« νωνεῖν. »

« diaconus a proprio episcopo depositus, aliquid
« de ministerio agere ausus fuerit; sive episco-
« pus secundum præcedentem consuetudinem,
« sive presbyter, sive diaconus, nullam amplius
« spem restitutionis in alia synodo, neque defen-
« sionis locum ei habere liceat. Sed et omnes, qui
« ei communicant, ex Ecclesia ejiciantur, et
« maxime si cum sententiam adversus prædictos
« prolatam dilucerint, eis communicare ausi fue-
« rint. »

ΒΑΛΣ. Ὁ μὲν κη' ἀποστολικὸς κανὼν ἀποκηρύσσει τοὺς καθαιρεθέντας δικαίως, καὶ αὖθις τῆς προτέρας ἐνεργείας ἁπτομένους· ὁ δὲ παρὼν κανὼν φησι μὴ ἔχειν αὐτοὺς ἐλπίδα ἀποκαταστάσεως ἢ δι' ἐπικρίσεως ἑτέρας συνόδου· καὶ τοὺς κοινωνοῦντας τούτοις ἐν εἰδήσει ἀποβλήτους εἶναι ἐκ τῆς Ἐκκλησίας. Δοκοῦσιν οὖν οἱ κανόνες μὴ ἐξισοῦσθαι. Οἶμαι δὲ συμφωνεῖν ἐν πᾶσιν αὐτούς. Διορίζονται γὰρ κατὰ δύο τόπους κολάζεσθαι τοὺς μετὰ ἐντελῆ καταδίκην ἱερατικόν τι ἐνεργοῦντας. Ὁ μὲν οὖν ἀποστολικὸς κανὼν φησι τοὺς δικαίως καθαιρεθέντας, ἤγουν μὴ ἔχοντας βοήθειαν ἐκκλήτου, καὶ ἐνεργήσαντας ἱερατικόν τι, ἀποκηρύσσεσθαι· ὁ δὲ παρὼν κανὼν παρομοίως· ἐκείνῳ πρῶτον μὲν διορίζεται μὴ προσδέχεσθαι παρ' ἑτέρας συνόδου τοὺς ὑπὸ συνόδου τελείας καθαιρεθέντας, τῆς ἐν Κωνσταντινουπόλει τυχὸν, καθ' ἣν οὐδὲ ἔκκλητός ἐστι· καὶ τοὺς δὶς ἐκκαλεσαμένους καὶ ἡττηθέντας καὶ μετὰ τὸ ἀπαγορευθῆναι αὐτοῖς τὴν βοήθειαν τῆς ἐκκλήτου ἐνεργήσαντας ἱερατικόν τι. Εἶτα δι' ὧν φησιν ἐκβάλλεσθαι ἀπὸ τῆς Ἐκκλησίας καὶ τοὺς κοινωνοῦντας αὐτοῖς, δοκεῖ λέγειν καὶ ἀποκηρύκτους ὀφείλειν γενέσθαι αὐτούς. Οὕτως ἑρμήνευσον τοὺς κανόνας, καὶ μὴ εἴπῃς τὸν καθαιρεθέντα ὑπὸ συνόδου καὶ ἔχοντα βοήθειαν ἐκκλήτου, ἐνεργοῦντα ἱερατικόν τι μετὰ τὴν καθαίρεσιν, ἀποκήρυκτόν τε εἶναι καὶ τὴν βοήθειαν ἐκκλήτου ἀπόλλειν, καθώς τινες εἶπον. Ἐναντιωθήσῃ γὰρ κανόσι καὶ νόμοις διαφόροις, διοριζομένοις ἀκεραίαν ἔχειν τὸν κατακριθέντα τὴν οἰκείαν κατάστασιν, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου γυμνασθῶσιν· ἐξαιρέτως δὲ τῷ ὅ' κανόνι τῆς ἐν Σαρδικῇ συνόδου, ὃν καὶ ἀνάγνωθι. Ζήτει τὸν ιγ' καὶ ιε' κανόνα τῆς παρούσης συνόδου, καὶ τῆς ἐν Σαρδικῇ κανόνα δ' ἀναιροῦντα τούτους· καὶ βιβλίου τῶν Βασιλικῶν γ' τίτλου α' κεφάλαιον με', οὗ ἡ ἀρχὴ, Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι· καὶ μάθῃς πῶς καὶ παρὰ τίσι δικάζονται περὶ ἐγκλημάτων ὑποθέσεων ἐπίσκοποι καὶ κληρικοὶ, καὶ πότε καὶ παρὰ τίσιν ἐκκαλοῦνται καταδικαζόμενοι.

BALS. Vicesimus quidem octavus canon apostolicus abdicat eos, qui juste depositi fuerint, et rursus prius ministerium attingunt. Præsens autem canon dicit eos non habere spem restitutionis vel per judicium alterius synodi, et eos, qui illis scientes communicant, ex Ecclesia ejici. Videntur ergo canones non exæquari. Puto autem eos in omnibus convenire. Definiunt enim, ut duobus modis puniantur ii, qui post perfectam condemnationem aliquid sacerdotale exercent. Apostolicus itaque canon dicit eos, qui juste depositi fuerint, scilicet qui non habent appellationis auxilium, et aliquid sacerdotale exercent, abdicari. Præsens autem canon illi consimiliter, primum quidem decernit ab alia synodo non admitti eos, qui a perfecta synodo, Constantinopolitana, verbi gratia, depositi fuerint, adversus quam non est appellatio; nec eos etiam, qui bis appellaverunt, et victi sunt, et postquam appellationis auxilium eis denegatum fuerit, aliquid sacerdotale exercent. Deinde per id quod dicit, eos ex Ecclesia ejici, qui ipsis communicant, debere ipsos etiam abdicatos fieri dicere videtur. Sic interpretare canones; nec dixeris eum, qui est a synodo depositus, et habet auxilium appellationis, si post depositionem aliquid sacerdotale, exerceat esse abdicatum, et appellationis auxilium perdere, ut nonnulli dixerunt. Dices enim repugnantia et canonibus et diversis legibus, quæ statuunt, eos, qui sunt condemnati integrum et intactum statum habere, donec de appellatione cognitum fuerit: præcipue autem quarto canone Sardicensis synodi quem etiam lege. Quære etiam canones 13 et 15 præsentis synodi et Sardicensis synodi canonem 4 qui hos tollit; et libri III Basilicorum tit. 1, cap. 44 cujus principium est, Si autem aliqui sanctissimi episcopi: et scies, quomodo et a quibus de causis criminalibus judicantur episcopi et clerici; et quando et a quibus appellantur condemnati.

ZΩΝΑΡ. Οἱ μὲν ἐπίσκοποι, ἐπὶ ἐγκλήμασι κατηγορούμενοι, συνόδου δέονται δικαζούσης· καὶ ἀποφαινομένης· οἱ δὲ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ οἱ καθεξῆς κληρικοὶ, ὑπὸ τοῦ ἰδίου ἐπισκόποι-

ZONAR. Episcopi quidem si accusentur, ipsorum causam a synodo examinari ac definiri oportet: de presbyteris vero, diaconis, aliisque inferioribus clericis proprio episcopo judicare ac sententiam

Guill. Beveregii notæ.

plinus præsentis synodi canon ex eodem codice legunturs sub nomine nonagesimi quinti et nonagesimi sexti canonis; quo etiam ordine in supradictis codicibus etiamnum reperiuntur. Quod ad præsentem denique canonem spectat, is a concilio Aquisgranensi anno Domini 816, habito, ex versione Dionysiana citatur et renovatur.

ferre permissum est. Quod si injuste se damnatos querantur, a metropolitano synodoque provinciæ ex hujus synodi sexto canone et ex Sardicensis synodi canone tertio et quinto, lata ab episcopo sententia examinari debet. Exstat quoque de ea re decretum, lib. III, titulo 1, cap. 22 Basilicorum, cujus initium, Si qua vero inter reverendissimos ejusdem synodi episcopos controversia exorta sit. Illinc igitur sunt illa hujus canonis verba : Si quis episcopus a synodo depositus, etc. aliquam liturgiæ partem attingere ausus fuerit (liturgiæ nomine hoc loco, non sacrorum celebratio incruentique sacrificii oblatio solum, sed omnes præterea summi sacerdotii functiones intelliguntur. Proinde etiamsi a sacro faciendo abstineat, baptismum tamen ministret, aliave, quæ ex præcedente, hoc est, inveterata antiqua **435** consuetudine, summi sacerdotis propria munia sunt) vel presbyter aut diaconus quamvis injuste se damnatum fuisse contendat audiri hominem in altera synodo et de illius damnatione iterum ipso postulante cognosci, aut alium ei defensionis locum concedi, ne liceat. Quinetiam quicunque, illorum damnatione cognita, ipsis communicaverint, segregentur et ab Ecclesia expellantur. Et vero ejusmodi hominem suo seipsum calculo condemnare synodi Carthaginensis canon undetricesimus asserit. Igitur, tum ex hoc canone, tum ex iis, quos supra commemoravimus, facile apparet, licere episcopo, qui injuste se condemnatum existimet, alios causæ suæ ac damnationis cognitores postulare : quamvis huic constitutioni decimus quintus ejusdem synodi canon repugnare videatur, Si quis, inquiens, episcopus aliquorum criminum coram omnibus provinciæ episcopis accusatus, consentientibusque illorum suffragiis damnatus fuerit, is ne amplius ab aliis judicetur ; sed ea sententia, quam consentientes provinciæ episcopi tulere, rata permaneat. Videntur ergo, ut diximus, hi canones inter se contrarii, sed non sunt tamen. Verum canon 4 de iis agit, qui a synodo, hoc est, sententia ab aliquibus provinciæ episcopis inter se convenientibus pronuntiata, damnati fuerint ; quamobrem et ei, qui se injuste læsum putat, de altera quæstione instituenda integrum esse decernit : at vero decimus quintus canon de damnatione, quam omnes simul provinciæ episcopi unanimi consensu approbavere, est intelligendus. Igitur quandocunque aliqui ex episcopis provincialibus quemquam condemnaverint, ei, qui damnatus est, secundam de causa quæstionem instituendi facultas erit : at si contra aliquem omnes episcopi provinciales consentientibus animis judicarint, judicium illud ei contra quem pronuntiatum est, in dubium revocare amplius non licebit ; ut facile a contrario intelligi queat, si minus inter se de damnatione consentiant, quamvis omnes simul convenerint, tunc quoque de sententia damnationis examinanda ab eo, qui damnatus est, quæri licere. De hac re vide etiam synodi hujus canonem decimum quartum.

A δικάζονται, καὶ αὐτῷ ψηφίζεσθαι δέδοται. Εἰ δέ φασιν ἀδικεῖσθαι οἱ καταψηφισθέντες, ὑπὸ τοῦ μητροπολίτου καὶ τῆς συνόδου τῆς ἐπαρχίας ἡ ψῆφος σκοπεῖται, κατὰ τὸν ἕκτον κανόνα τῆς συνόδου ταύτης, καὶ κατὰ τὸν τρίτον καὶ πέμπτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου. Περὶ τούτου δὲ νομοθετεῖ καὶ βιβλίον τῶν Βασιλικῶν τρίτον, τίτ. α', κεφάλαιον κβ', οὗ ἡ ἀρχή, Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου, ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν. Διὰ ταῦτα τοίνυν ὁ παρὼν κανὼν εἶπεν· Εἴ τις ἐπίσκοπος, ὑπὸ συνόδου καθαιρεθείς, καὶ τὰ ἐφεξῆς, τολμήσει πρᾶξαί τι τῆς λειτουργίας; (λειτουργίαν ἐνταῦθα οὐ τὴν ἱερουργίαν καὶ τὴν τελετὴν τῆς ἀναιμάκτου θυσίας φησὶ μόνην, ἀλλ' ἅπαν ἀρχιερατικὸν δίκαιον. Κἂν γὰρ οὐχ ἱερουργήσῃ, βαπτίσῃ δὲ, ἢ ἕτερον ποιήσῃ ἀρχιερεῖ προσῆκον, κατὰ τὴν προάγουσαν συνήθειαν, ἤγουν κατὰ τὸ κρατῆσαν παλαιὸν ἔθος) ἢ πρεσβύτερος ἢ διάκονος, μὴ ἐξέστω αὐτῷ, κἂν λέγῃ μὴ καταδικασθῆναι, ἑτέρᾳ συνόδῳ προσέρχεσθαι, καὶ ζητεῖν δοκιμασθῆναι τὴν κατ' αὐτοῦ ψῆφον, μηδὲ χώραν αὐτοῦ ἀπολογίας παρέχεσθαι, ἀλλὰ καὶ τοὺς κοινωνοῦντος αὐτοῖς, μαθόντας τὴν κατ' αὐτῶν ἀπόφασιν, ἀφορίζεσθαι καὶ ἐξωθεῖσθαι τῆς Ἐκκλησίας. Καὶ ὁ κθ' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν λέγει καθ' ἑαυτοῦ τὸν τοιοῦτον τὴν δίκην προαγαγεῖν. Φαίνεται οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τῶν ἀνωτέρω μνημονευθέντων ὅτι ἔξεστι τῷ δικαζομένῳ ἐπισκόπῳ, ἀδικεῖσθαι ὑπολαμβάνοντι, ζητεῖν ὑφ' ἑτέρων διαB γνωμονηθῆναι τὴν κατ' αὐτοῦ ἀπόφασιν. Καὶ ὁ ιε' δὲ ταύτης τῆς συνόδου κανὼν ἐναντιοῦσθαι δοκεῖ τῷ παρόντι κανόνι, λέγων, Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, πάντες τε σύμφωνον μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον, τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν. Δοκοῦσι μὲν οὖν, ὡς εἴρηται, ἐναντίοι ἀλλήλοις οἱ κανόνες οὗτοι, οὐκ εἰσὶ δέ. Ἀλλ' ὁ μὲν τέταρτος κανὼν περὶ καταψηφισθέντος ὑπὸ συνόδου φησὶν, ἤγουν τινῶν ἐπισκόπων τῆς ἐπαρχίας συνελθόντων καὶ ἀποφηναμένων, διὸ καὶ δίδωσι τῷ νομίζοντι ἀδικεῖσθαι ζητεῖν καὶ δευτέραν ἐξέτασιν· ὁ δὲ ιε' περὶ ψήφου φησὶ παρὰ πάντων ὁμοῦ τῶν τῆς D ἐπαρχίας ἐπισκόπων συμφώνως ἐξενεχθείσης. Ὥστε ὅτε μέν τινες τῶν ἐπαρχιωτῶν ἐπισκόπων κατά τινος ἀποφήνωνται, δυνήσεται ὁ καταδικασθείς, καὶ εἰς δευτέραν ζήτησιν τὴν δίκην καταγαγεῖν· ὅτε δὲ οἱ τῆς ἐπαρχίας πάντες ἐπίσκοποι κατά τινος ὁμογνωμονήσαντες ἀπόφασιν ποιήσουσι σύμφωνον, οὐκέτι τῷ καταδικασθέντι δοθήσεται ἄδεια τὴν ψῆφον ἐκείνην ἀναπαλαίειν· ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι ὅτι κἂν πάντες συνέλθοιεν, οὐχ ὁμοφωνήσωσι δὲ ἀλλήλοις περὶ τὴν ψῆφον, ἐξέσται καὶ τότε τῷ καταδικαζομένῳ ζητεῖν τὴν κατ' αὐτοῦ τηρηθῆναι ἀπόφασιν· καὶ περὶ τούτου ἀνάγνωθι καὶ τὸν ιδ' κανόνα ταύτης τῆς συνόδου.

ΑΡΙΣΤ. « Ὁ ὑπὸ συνόδου καθῃρημένος ἐπίσκοπος, εἰ αὐθαδιαζόμενος λειτουργήσει, μὴ ἐχέτω « κατάστασιν. »

Ὁ μὲν κανὼν οὗτος ἐμφαίνει, ὡσαύτως καὶ ὁ δωδέκατος κανών, δύνασθαι τὸν ὑπὸ συνόδου καθαιρεθέντα ἐπίσκοπον ἐκκαλεῖσθαι, καὶ τὴν κατ' αὐτοῦ ψῆφον, εἰ κακῶς γέγονεν, ὑφ' ἑτέρας μείζονος διορθοῦσθαι συνόδου· εἰ μή που ὁ καθαιρεθεὶς ἐπίσκοπος κατ' οἰκείαν αὐθάδειαν πρὸ διορθώσεως τῆς κατ' αὐτοῦ ἀποφάσεως τολμήσειε λειτουργεῖν. Τηνικαῦτα γὰρ, οὐδὲ εἰ κακῶς λέγει καθαιρεθῆναι, ἀποκατάστασιν ἕξει, ἡ χώραν ἀπολογίας δευτέρας. Ὁ δὲ πεντεκαιδέκατος κανὼν τῆς συνόδου ταύτης φάσκει τὸν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθαιρεθέντα μηκέτι δύνασθαι ἐκκαλεῖσθαι, ἀλλὰ τὴν κατ' αὐτοῦ ἀπόφασιν μένειν βεβαίαν. Ὁ δὲ τῆς ἐν Σαρδικῇ συνόδου τέταρτος καὶ πέμπτος κανὼν ἄδειαν δίδωσι τῷ ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων καθαιρεθέντι ἐπισκόπῳ ἐκκαλεῖσθαι, καὶ ὑπὸ τὸν μακαριώτατον τῆς Ῥωμαίων Ἐκκλησίας ἐπίσκοπον καταφεύγειν· καὶ μηδὲ εἰς τὴν ἐπισκοπὴν αὐτοῦ ψηφίζεσθαι ἕτερον, μέχρις ἂν ὁ τῆς Ῥωμαίων ἐπίσκοπος τὰ τῆς ἀποφάσεως ἐξετάσῃ, καὶ τελείαν ποιήσηται τὴν διάγνωσιν· καὶ ἔστιν ἡ γνώμη αὕτη δικαιοτέρα καὶ φιλανθρωποτέρα, καὶ κρατοῦσα καὶ νῦν.

ARIST. « Episcopus a synodo depositus, si sacra « celebrare ausus fuerit, redeundi potestatem non « habeat. »

Hic quidem canon, ut et canon duodecimus, ostendit episcopum a synodo depositum posse provocare, et sententiam contra se latam, si injuste facta fuit, ab altera majori emendare synodo, nisi forsitan episcopus qui deponitur per arrogantiam suam ante sententiæ contra se latæ correctionem sacra facere ausus fuerit. Tunc enim neque licet injuste se deponi dicit, restitutionem habebit, nec secundæ apologiæ locum. At decimus quintus hujus synodi canon ait, eum qui ab omnibus in provincia episcopis deponitur postea provocare non posse, sed sententiam contra eum latam firmam manere. At synodi Sardicensis quartus et quintus canon licentiam dederunt episcopo qui ab omnibus provincialibus deponitur episcopis provocare, et ad beatissimum Ecclesiæ Romanæ episcopum confugere, nec in episcopatum ejus alium elegi priusquam Romanorum episcopus sententiam examinaverit, et decretum confirmaverit; et hæc quidem sententia justior et humanior est, et nunc etiam obtinet.

ΚΑΝΩΝ Ε'.

« Εἴ τις πρεσβύτερος ἢ διάκονος, καταφρονήσας « τοῦ ἐπισκόπου τοῦ ἰδίου, ἀφώρισεν ἑαυτὸν τῆς « Ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔπηξε, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ ὑπακούοι καὶ πρῶτον καὶ δεύτερον « καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ « μηκέτι θεραπείας τυγχάνειν, μήτε δύνασθαι « λαμβάνειν τὴν ἑαυτοῦ τιμήν. Εἰ δὲ παραμένοι « θορυβῶν καὶ ἀναστατῶν τὴν Ἐκκλησίαν, διὰ τῆς « ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι. »

CANON V.

« Si quis presbyter, vel diaconus, proprio contempto « episcopo, ab Ecclesia seipsum segregaverit, et « privatim congregationem effecerit, et altare « fixerit, et episcopo accersente non obedierit, « nec velit ei parere, nec morem gesserit primo « et secundo vocanti; is omnino deponitur, et « non amplius curationem assequi, nec suum « possit honorem capere. Si autem perseveret « turbas et seditionem in Ecclesia concitare, is « per externam potestatem ut seditiosus castigetur. »

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ ἀποστολικῷ λα' κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται· καὶ ἀρκοῦσι τὰ ἐκεῖσε γραφέντα. Προστίθησι δὲ τοὺς θορυβοῦντας καὶ μὴ ἐμμένοντας τῇ κατ' αὐτῶν ἀποφάσει, ἐντελεῖ πάντως· οὕσῃ, παρὰ τῆς ἀρχοντικῆς ἐξουσίας παιδεύεσθαι. Ὥστε σημειώσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὥσπερ καὶ ἀπὸ τοῦ θ' κανόνος τῆς ἐν τῷ νεῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης συνόδου, ὅτι ἐπιτιμᾷν, οὐ μὴν βασανίζειν οἱ ἐπίσκοποι τοὺς πταίοντας ὀφείλουσι. Μὴ πειθομένους γὰρ παραδώσουσι τοῖς ἄρχουσι. Ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ι', συνόδου ς' κανόνα λα', καὶ συνόδου α' καὶ β' κανόνα ιβ', ιγ', ιδ' καὶ ιε'. Σκόπησον οὖν μήπως ἀπὸ τοῦ παρόντος κανόνος καὶ οἱ διὰ πλαστογραφίαν ἢ καθοσίωσιν ἢ ἱεροσυλίαν ἢ δογματικὴν ὑπόθεσιν ἢ ἄλλην τοιαύτην αἰτίαν τινὰ καθαιρούμενοι, καὶ μὴ πειθόμενοι ἐξαγορίαν καθαρὰν ποιῆσαι, καὶ περὶ τῶν συνιστόρων ὁμολογῆσαι, βασανίζονται ὑπὸ τῶν πολιτικῶν ἀρχόντων. Οἴδαμεν γὰρ διαφόρως τοῦτο γενόμενον.

BALS. Eadem cum canone apostolico 31 hic præsens canon decernit; et sufficiunt quæ illic scripta sunt. Adjicit autem, ut et qui turbas excitant, et sententiæ adversus eos latæ, quæ quidem perfecta est, non stant, per civilium magistratuum potestatem corrigantur. Quare nota ex præsenti canone sicut etiam ex canone 9 synodi quæ habita est in æde Apostolorum, quod multare debent episcopi delinquentes, non autem eos torquere. Si enim non pareant, tradent civilibus magistratibus. Lege et Carthaginensis synodi canonem 10, synodi sextæ canonem 31 et synodi primæ et secundæ canones 12, 13, 14 et 15. Considera ergo, numquid etiam ex præsenti canone 2, qui propter falsi vel læsæ majestatis vel sacrilegii crimen, vel causam ad religionis decreta pertinentem, vel aliquam ejusmodi causam, depununtur, nec pure eloqui ac proferre et de conscriis fateri persuadentur, a civilibus magistratibus pœnis subjiciuntur. Scimus enim hoc varie fieri.

ZONAR. Eadem cum sanctorum apostolorum canone 31 hic quoque canon decernit; quæque eo loci diximus, ad hujus simul explicationem sufficiunt. Quiddam vero præterea ad illa, quæ canone apostolico continentur, hic canon adjungit, dicens: Si vero tumultus ciere Ecclesiamque labefactare pergat, ipsum ab externa potestate veluti seditiosum coerceri placet. Quicunque, ait, ob conventus seorsim habitos depositione multatus fuit, si non quiescat, sed in Ecclesia tumultus ac perturbationes excitet, eam labefactans, hoc est, seditiones in ea commovens, externæ potestatis, civilis nimirum, auctoritate, ut se ad pœnitentiam recipiat, veluti seditiosum volumus emendari. Constantinopolitanæ præterea synodi, in templo Sanctorum Apostolorum congregatæ, nonus canon eos, qui episcopis non obtemperant, neque multa indicta resipiscunt, magistratuum illius regionis opera coercendos esse decernit. Ex quo illud ex hoc quoque canone 5 notandum est, quod episcopis potestate cuiquam supplicia irrogandi omnino interdictum est: sed ab iis multæ impositione, qui peccaverint, corrigendos; ac si minus paruerint, sæcularibus magistratibus esse tradendos.

ARIST. « Omnis presbyter, vel diaconus qui episcopum contemnit, et ab eo recedit, atque aliud altare exstruit, si ter ab episcopo vocatus in arrogantia persistit, depositus sit, et curationis spe destitutus. »

Talis episcopum impietatis aut injustitiæ non condemnans, ut tricesimus primus sanctorum apostolorum canon statuit, sed superbia et fastu elatus juxta decimum synodi Carthaginensis canonem, si seipsum ab Ecclesia separaverit, et aliud altare struxerit, et populum sibi attraxerit privata peragens conventicula, postea ter ab episcopo vocatus, non morem gesserit, sed in confusione manserit, dignus est qui omnino deponatur, et non amplius speret se curationem unquam assecuturum et honorem suum resumpturum.

437 CANON VI.

« Si quis à proprio episcopo fuit excommunicatus, « ne prius ab aliis suscipiatur (nisi a proprio susceptus fuerit episcopo) quam facta synodo accedens se defenderit, et persuasa synodo, aliam « sententiam retulerit. Idem autem decretum adversus laicos et presbyteros et diaconos, et omnes qui sunt in cleri catalogo, observetur. »

BALS. De iis, quæ hoc canone comprehenduntur, satis scripsimus in aliis diversis canonibus, et in duodecimo et tertio decimo can. apostolico.

ZONAR. Multi de hac quoque re canones editi sunt; ac per ea, quæ in illos diximus, hujus etiam explicationi satisfactum arbitramur.

ARIST. « Excommunicatum ab episcopo clericum « si major synodus susceperit, vel condemnaverit, sententiæ acquiescat. »

Qui ligat, et solvere potest. Idcirco clericum ab episcopo pœnis subjectum, et segregatum, non

ΖΩΝΑΡ. Τὰ αὐτὰ τῷ λα' κανόνι τῶν Ἁγίων Ἀποστόλων καὶ ὁ κανὼν οὗτος ψηφίζεται, καὶ τὰ εἰρημένα ἐκεῖ καὶ πρὸς τοῦτον ἀρκέσουσι. Πλέον δέ τι τοῦ ἀποστολικοῦ κανόνος οὗτος διέξεισι, λέγων· Εἰ δὲ παραμένει θορυβῶν καὶ ἀναστατῶν τὴν Ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι· Ὁ διὰ τὸ παρασυνάγειν, φησὶ, καθαιρεθείς, ἐὰν οὐχ ἡσυχάζει, ἀλλ' ἐπιθορυβεῖ καὶ ταράσσει τὴν Ἐκκλησίαν, ἀναστατῶν αὐτὴν, τουτέστι διεγείρων εἰς στάσεις, διὰ τῆς ἔξωθεν ἐξουσίας, τῆς πολιτικῆς δηλαδὴ, ὡς στασιώδης, παιδευθήσεται, ὡς ἂν ἐπιστρέψῃ πρὸς μετάνοιαν. Καὶ ὁ ἔννατος δὲ κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης συνόδου ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων περὶ τῶν μὴ πειθομένων τοῖς ἐπισκόποις, μηδὲ δι' ἐπιτιμίων σωφρονιζομένων, φησὶ διὰ τῶν κατὰ χώραν ἀρχόντων αὐτοὺς σωφρονίζεσθαι. Ὥστε σημειωτέον καὶ ἐκ τοῦ ε' τούτου κανόνος ὅτι ἀπηγόρευται τοῖς ἐπισκόποις κολάζειν ὅλως τινάς· ἐπιτιμίοις δὲ μόνοις σωφρονίζειν αὐτούς· καὶ εἰ μὴ πείθοιντο, παραδιδόναι αὐτοὺς τῇ ἐξουσίᾳ.

ΑΡΙΣΤ. « Πᾶς ὁ ἐπισκόπου καταφρονῶν, καὶ ἀφιστάμενος πρεσβύτερος, ἢ διάκονος, καὶ οἰκοδομῶν ἄλλο θυσιαστήριον, εἰ, προσκαλούμενος τρὶς παρὰ τοῦ ἐπισκόπου, ἐπιμένει τῇ ἀπονοίᾳ, καθαιρούμενος ἔστω, καὶ ἀθεράπευτος. »

Ὁ τοιοῦτος, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου εὐσεβείᾳ καὶ δικαιοσύνῃ, ὡς ὁ τριακοστὸς πρῶτος κανὼν τῶν ἁγίων ἀποστόλων διαλαμβάνει, ἀλλ' ὑπερηφανίᾳ καὶ τύφῳ ἐπαρθεὶς κατὰ τὸν δέκατον κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, εἰ ἀφώρισε τῆς Ἐκκλησίας ἑαυτὸν, καὶ θυσιαστήριον ἕτερον ἔπηξε, καὶ λαὸν ὑφ' ἑαυτὸν εἵλκυσεν, ἰδίας συνάξεις ποιούμενος, εἶτα τρισσάκις παρὰ τοῦ ἐπισκόπου καλούμενος, ἀπειθοίη, καὶ ἐπιμένοι τῇ ἀταξίᾳ· ἄξιός ἐστι παντελῶς καθαιρεῖσθαι, καὶ μηκέτι ἐλπίζειν θεραπείας τυχεῖν, καὶ τὴν ἑαυτοῦ τιμὴν ἐπαναλαβεῖν.

ΚΑΝΩΝ ϛ'.

« Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γέγονε, μὴ πρότερον αὐτὸν παρ' ἑτέρων δεχθῆναι « (εἰ μὴ ὑπ' αὐτοῦ δεχθείη τοῦ ἰδίου ἐπισκόπου) « ἢ συνόδου γενομένης ἀπαντήσας ἀπολογήσεται, « πείσας τε τὴν σύνοδον, καταδέξοιτο ἑτέραν « ἀπόφασιν. Ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν καὶ « πρεσβυτέρων καὶ διακόνων καὶ πάντων τῶν ἐν « τῷ κλήρῳ καταλεγομένων κρατείτω. »

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων ἱκανῶς ἐγράψαμεν ἔν τε ἄλλοις κανόσι διαφόροις καὶ ἐν τῷ ιβ' καὶ ιγ' ἀποστολικῷ κανόνι.

ΖΩΝΑΡ. Καὶ περὶ ταύτης τῆς ὑποθέσεως πολλοὶ διετάξαντο κανόνες· καὶ ἃ εἴρηται ἐν ἐκείνοις καὶ εἰς τὴν τοῦ παρόντος ἀρκοῦσι σαφήνειαν.

ΑΡΙΣΤ. « Τὸν ἀφορισθέντα παρ' ἐπισκόπου κληρικὸν, ἐὰν μείζων σύνοδος προσδέξοιτο, ἢ κατακρίνειε, στεργέτω τὴν ἀπόφασιν. »

Ὁ δήσας καὶ λύειν δύναται. Διὰ τοῦτο γοῦν τὸν ἐπιτιμηθέντα παρ' ἐπισκόπου κληρικὸν, καὶ ἀφ-

ορισθέντα, οὐ δεῖ παρ' ἑτέρου δεχθῆναι ὡς ἀνεπιτίμητον, εἰ μὴ παρ' αὐτοῦ λυθῇ τοῦ δεσμήσαντος. Εἰ δὲ σύνοδος τὸν ἀφορισθέντα ἐξετάσοι, καὶ παραλόγως εὕροι τὸν ἀφορισμὸν ἐπενεχθέντα, δύναται τὸ κακῶς γενόμενον διορθοῦσθαι, καὶ λύειν αὐτὸν, καὶ ἡ περὶ τούτου ἀπόφασις μένει βεβαία.

A oportet ab alio ut inculpatum admitti, nisi ab eo qui ligavit, sit absolutus. Si synodus autem depositum examinaverit, et segregationem invenerit præter rationem illatam, quod male factum est emendare potest, et eum solvere, et sententia de eo firma manet.

ΚΑΝΩΝ Ζ'.

« Μηδένα ἄνευ εἰρηνικῶν δέχεσθαι τῶν ξένων. »

ΒΑΛΣ. Ἐν τῷ λγ' ἀποστολικῷ κανόνι καὶ τῷ ις' τῆς ἐν Χαλκηδόνι συνόδου διελήφθησαν τὰ περὶ τῶν εἰρηνικῶν καὶ τῶν συστατικῶν ἐπιστολῶν, καὶ ὅτι ξένοι εἰσὶν οἱ ἀπὸ ἑτέρων ἐνοριῶν ὁρμώμενοι. Ἀνάγνωθι οὖν τὰ ἐν ἐκείνοις γραφέντα.

ΖΩΝΑΡ. Εἴρηται ἐν κανόνι ια' τῆς τετάρτης συνόδου τίνες εἰσὶν εἰρηνικαὶ ἐπιστολαὶ, καὶ τίνες συστατικαί. Ξένους οὖν ἐνταῦθα οὐχὶ τοὺς τυχόντας λέγει, τοὺς ἐξ ἄλλης χώρας ἴσως εἰς ἄλλην ἐπιδημοῦντας, ἀλλὰ τοὺς κληρικοὺς τοὺς ἀπὸ ἄλλης ἐκκλησίας εἰς ἄλλην ἀπιόντας· οὓς καὶ μὴ δέχεσθαι παρὰ τῶν προεστώτων τῶν ἐκκλησιῶν, ἐν αἷς ἀπίασιν, ὁ κανὼν ἐγκελεύεται, εἰ μὴ εἰρηνικὰς ἐπιστολὰς ἐπιφέρονται τῶν προεστώτων τῶν ἐκκλησιῶν, ἐξ ὧν ὑπεχώρησαν. Ὁ δὲ λγ' τῶν ἀποστόλων κανὼν σαφέστερον τὸ τῶν ξένων φησὶ, λέγων μηδένα τῶν ξένων πρεσβυτέρων καὶ διακόνων ἢ καὶ ἐπισκόπων ἄνευ συστατικῶν ἐπιστολῶν προσδέχεσθαι. Ξενίζεσθαι μὲν γὰρ αὐτοὺς ὁ κανὼν, καὶ χορηγεῖσθαι αὐτοὺς τὰ πρὸς τὴν χρείαν παρὰ τῶν, πρὸς οὓς ἀπῆλθον, ἐπιτρέπει· δέχεσθαι δὲ εἰς κοινωνίαν ἀπαγορεύει.

B commendatitiæ, undecimo canone quartæ synodi satis explicavimus. Externos porro hoc loco, non omnes, qui ex alia regione in aliam forte se conferunt, sed clericos, qui ex alia in aliam ecclesiam proficiscuntur, intelligit; quos quidem a præsulibus ecclesiarum, ad quas se conferunt, nisi a præfectis ecclesiarum, a quibus discessere, pacificas epistolas afferant, hic canon admitti vetat. Externi vero qui sint, tricesimo tertio Apostolorum canone apertius indicatur: Ne quem, inquit, externum episcopum, aut presbyterum, aut diaconum sine commendatitiis litteris recipi liceat. Nam quominus hospitio excipiantur, necessariaque ad vitæ usus ab iis, ad quos se contulere, suppeditentur, haud prohibet: ad communionem vero ipsos admitti canon omnino

C vetat.

ΑΡΙΣΤ. « Ὁ ξένος, εἰρηνικὰς ἐπιστολὰς οὐ προσά-
« γων, ἀπρόσδεκτος. »

ARIST. « Peregrinus pacificas non afferens epistolas, non est suscipiendus. »

Ἐν πολλοῖς εἴρηται κανόσι καὶ τοῦτο, τὸ μὴ τοὺς ξενοχειροτονήτους προσδέχεσθαι ἄνευ γραμμάτων τοῦ ἐπισκόπου παρ' οὗ τὴν χειροτονίαν ἀνεδέξαντο.

Etiam in plurimis canonibus hoc dicitur, nempe eos qui alibi ordinantur, non admittendos esse sine episcopi a quo ordinationem acceperunt litteris.

ΚΑΝΩΝ Η'.

« Μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονι-
« κὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γεί-
« τονας ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν· τοὺς
« δὲ ἀνεπιλήπτους χωρεπισκόπους (46) διδόναι
« εἰρηνικάς. »

CANON VIII.

« Nec presbyteri qui sunt in regionibus dent ca-
« nonicas epistolas, vel ad suos vicinos episco-
« pos epistolas emittant: chorepiscopi autem,
« nulli reprehensioni affines dent pacificas. »

ΒΑΛΣ. Ἔμαθες τίνες εἰσὶν εἰρηνικαὶ ἤτοι ἀπολυτικαὶ ἐπιστολαὶ, καὶ τίνες συστατικαὶ, αἱ λεγόμεναι καὶ κανονικαί. Ἐπεὶ δέ τινες διετείνοντο δύνασθαι τοὺς ἐν ταῖς χώραις πρεσβυτέρους, ἤτοι τοὺς πρωτοπαπάδας, διδόναι εἰρηνικὰς ἐπιστολὰς, κἂν πρὸς τοὺς γείτονας ἐπισκόπους, διὰ τὸ μὴ μετέχειν αὐτοὺς δικαίου τινὸς χειροτονίας, ἀλλ' εὐσεβείας καὶ Χριστιανικῆς κοινωνίας· ὥρισαν οἱ Πατέρες καὶ ταύτας παρὰ μόνῃ τῇ ἐπισκοπικῇ ἐξουσίᾳ ἀνα-

BALS. Didicisti quænam sunt pacificæ vel dimissoriæ epistolæ, et quænam sunt commendatitiæ, quæ dicuntur et canonicæ. Quia autem nonnulli asserebant, presbyteros, qui sunt in regionibus seu protopapas, dare posse epistolas pacificas, etiam ad vicinos episcopos; eo quod ipsi non haberent jus aliquod ordinationis, sed pietatis et Christianæ communionis: statuerunt Patres eas quoque dare in solius episcopi potestate esse situm. **438** Chorepi-

Guill. Beveregii notæ.

(46) *Τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους.* Harmenopolus totum hunc canonem in hanc Epitomen redegit: Χωρεπισκόπους κανονικὰς ἐπιστολὰς διδότω, *Chorepiscopus canonicas epistolas dato*, cui duplex scholium subjicitur. Primum quidem: Χωρεπίσκοποι οἱ νῦν λεγόμενοι ἔξαρχοι, εἴτε πατριάρχου εἰσὶν, εἴτε μητροπολίτου· *Chorepiscopi sunt, qui nunc vocantur exarchi, sive ad patriarcham pertineant, sive ad metropolitanum.* Alterum autem sic se habet: Ὁ δὲ ὁ τῆς ζ' οὐδὲ ἀναγνώστας χειροτονεῖν δίδωσιν, εἰ μὴ κατ' ἐπιτροπὴν ἐπισκόπου. *Canon vero 14 synodi 8 neque lectores ut ordinet [Chorepiscopo] concedit, nisi permissu episcopi.* Harmenop. Epit. can. sect. 1, tit. 9.

ἐν ἅπασι συμφωνεῖ. Ὥστε ἃ ἐν ἐκείνῳ εἴρηται καὶ τὸν τούτου νοῦν παριστᾶσι τῷ βουλομένῳ.

ΑΡΙΣΤ. « Τοῦ μητροπολίτου τῆς γνώμης ἀνερτῆ-
« σθαι τοὺς ἐπισκόπους, καὶ μή τι τῆς αὐτῶν
« προνοίας οἰκονομεῖν δίχα, ἢ μόνον τὰ τῇ ἰδίᾳ
« ἐνορίᾳ προσπίπτοντα καὶ χειροθεσίας ἀνεπιλή-
« πτους ἀνδράσιν ἐπιτελεῖν. »

Τὰ αὐτὰ τῷ τριακοστῷ τετάρτῳ κανόνι τῶν ἁγίων ἀποστόλων καὶ ὁ κανὼν οὗτος διδάσκει, τὸ ἐπιγινώσκειν τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας τὸν ἑαυτοῦ πρῶτον, καὶ ἄνευ γνώμης αὐτοῦ μήτε ἐπισκόπους ψηφίζεσθαι, μήτε | τι ἕτερον παριττὸν πράττειν τῶν ἐκείσε παρ' ἡμῶν εἰρημένων, εἰ μόνα τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ· καὶ χειροτονεῖν πρεσβύτερον, καὶ διάκονον, καὶ ὅσα τούτοις ἀκόλουθα.

ΚΑΝΩΝ Ι'.

« Τοὺς ἐν ταῖς κώμαις ἢ ταῖς χώραις, ἢ τοὺς κα-
« λουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν
« εἶεν ἐπισκόπου εἰληφότες, ἔδοξε τῇ ἁγίᾳ συν-
« όδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν
« τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ
« τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθ-
« ιστᾶν δὲ ἀναγνώστας καὶ ὑποδιακόνους καὶ
« ἐξορκιστάς, καὶ τῇ τούτων ἀρκεῖσθαι προαγω-
« γῇ, μήτε δὲ πρεσβύτερον μήτε διάκονον χει-
« ροτονεῖν τολμᾷν δίχα τοῦ ἐν τῇ πόλει ἐπισκό-
« που, ᾗ ὑπόκεινται αὐτός τε καὶ ἡ χώρα. Εἰ δὲ
« τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαι-
« ρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς· χωρεπι-
« σκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως, ᾗ
« ὑπόκειται, ἐπισκόπου. »

ΒΑΛΣ. Κεκωλυμένον ὑπὸ τῶν κανόνων ἐστὶν ἐπισκόπους γίνεσθαι εἰς βραχείας πόλεις καὶ κώμας· καὶ διὰ τοῦτο ἐχειροτόνουν εἰς ταύτας πρεσβυτέρους, ἤγουν πρωτοπαπάδας καὶ χωρεπισκόπους. Ἐπεὶ δέ τινες τῶν χωρεπισκόπων ἐπεχείρουν ἱερεῖς χειροτονεῖν, καὶ ἕτερά τινα ἐπισκοπικὰ δίκαια ἐνεργεῖν, καὶ αἰτιώμενοι, ἔλεγον καλῶς τοῦτο ποιεῖν, διὰ τὸ δέξασθαι χειροθεσίαν ἐπισκόπου· ὥρισαν οἱ Πατέρες ἀπὸ τούτου μὴ ὠφελεῖσθαι αὐτοὺς εἰς τὸ παρεξιέναι τὰ ἀπὸ τῶν κανόνων ἐπιφιλοτιμηθέντα τούτοις προνόμια, μηδὲ χειροτονεῖν διάκονον ἢ πρεσβύτερον δίχα τοῦ ἐπισκόπου, ἀλλὰ μόνους ἀναγνώστας, ὑποδιακόνους καὶ ἐξορκιστάς, ἤτοι κατηχητάς, διοικεῖν τε καὶ τὰ ἀνατεθέντα τούτοις ἐκκλησιαστικὰ πράγματα, ἢ μὴν ἐκ παραβάσεως τῶν διορισθέντων ὑποκεῖσθαι καθαιρέσει καὶ ἧς μετέσχον τιμῆς. Ἐπεὶ δέ τινες ἐσπούδαζον ἐξ ἀλαζονείας χειροθεσίαν χωρεπισκόπου λαβεῖν ἀπὸ μητροπολίτου ἢ πατριάρχου, μὴ ἐπιστρεφόμενοι τῶν ἐγχωρίων ἐπισκόπων, ἐκωλύθη καὶ τοῦτο· καὶ ὥρισθη παρ' αὐτοῦ ἐπισκόπου τῆς πόλεως γίνεσθαι τὸν χωρεπίσκοπον, ἵνα ὑπόκειται αὐτῷ, καὶ μὴ καταφρονῇ τούτου, ὡς μὴ δεξιωκότος αὐτῷ τὴν χειροθεσίαν τοῦ ἀξιώματος. Καλῶς δὲ περὶ χωρεπισκόπων μόνον πεποιήκασι τὸν ἅπαντα λόγον οἱ Πατέρες, οὐ μὴν καὶ περὶ πρεσβυτέρων. Οὐδὲ γὰρ ἦν ἀμφιβολία

congruit. Ex iis ergo quæ ibi dicta sunt, hujus quoque intelligentiam facile, qui voluerit, assequetur.

ARIST. « A metropolitæ sententia pendere oportet
« episcopos, et nihil citra illius consilium insti-
« tuere, nisi ea sola quæ ad suam cujusque pa-
« roeciam spectant, et viris reprehensioni non
« obnoxiis manus imponere. »

Eadem ac tricesimus quartus sanctorum apostolorum canon etiam hic docet, episcopos nimirum uniuscujusque provinciæ primum suum cognoscere et sine ejus sententia nec episcopos eligere, nec aliquid aliud, ex iis quæ ibi dicuntur, magni momenti facere, sed ea sola quæ ad cujusque provinciam spectant, et presbyterum ac diaconum ordinare, et quæcunque hisce sunt similia.

439 CANO.. X.

« Ii qui sunt in vicis vel regionibus, vel qui dicuntur
« chorepiscopi, etiam si episcopi manuum imposi-
« tionem acceperint, visum e t sanctæ synodo,
« ut suum modum sciant, et sibi subjectas eccle-
« sias administrent, earumque cura et sollicitu-
« dine gerenda contenti sint : constituant autem
« lectores, hypodiaconos et exorcistas, et eorum
« promotioni sufficere existiment ; presbyterum
« vero aut diaconum ordinare non audeant,
« absque urbis episcopo, cui subjicitur ipse et
« regio. Si quis autem 'ea, quæ definita sunt,
« transgredi audeat, ipse quoque honore, quem
« habet, privetur : fiat autem chorepiscopus ab
« episcopo civitatis, cui subjicitur. »

BALS. Prohibitum est a canonibus, ne in parv's urbibus et vicis fiant episcopi ; et propterea presbyteros in eis ordinabant, seu protopapas et chorepiscopos. Quia autem nonnulli chorepiscopi conabantur ordinare sacerdotes, et alia quædam jura episcopalia exercere ; et accusati dicebant se hoc recte facere, quod episcopi manuum impositionem accepissent : statuerunt Patres eos non ex eo adjuvari, ut privilegia, quæ illis a canonibus concessa sunt, transgrediantur, nec ordinent diaconum vel presbyterum sine episcopo, sed solos lectores, subdiaconos et exorcistas, sive catechistas, et administrent res ecclesiasticas, quæ sunt illis attributæ; alioqui propter eorum, quæ definita sunt, transgressionem depositioni subjiciantur, et a suo honore excidant. Quia autem nonnulli contendebant, propter arrogantiam, a metropolitano vel etiam patriarcha chorepiscopi ordinationem accipere, episcoporum regionis nullam curam gerentes; hoc quoque prohibitum est : et ordinatum ab urbis episcopo fieri chorepiscopum, ut ei subjiciatur; nec eum contemnat, ut qui ei dignitatis ordinem non dederit. Recte autem de solis chorepiscopis verba semper fecerunt Patres, non etiam de presbyteris. Neque enim erat de iis dubium, ut qi nullam aditum accepissent ad ordinationem ulla

faciendam. Interrogaverit autem quispiam, cur verbo depositionis additum est, ab honore quoque deponi ? *Solutio.* Nonnulli instaban t, chorepiscopum quidem, qui transgressus est, debere deponi ; sed tamen chorepiscopalem honorem habere sive cathedram, et reliqua, ut vult canon 9 Neocæsariensis synodi et 21 et 26 sextæ synodi. Propterea ergo dicit canon, eum quoque utrumque amittere, ut est in fine canonis præsentis synodi. Illud autem, sine civitatis episcopo, non accipitur pro eo quod est, sine ejus mandato, sed, sine illius sacrorum celebratione. Etsi enim fuerit chorepiscopo mandatum, ut presbyterum ordinet, et hoc fecerit, irrita erit ordinatio ; quod non sit ei a canonibus data presbyterum ordinandi potestas. Lege et canonem 14 Neocæsariensis synodi. Et nota, quod manuum impositiones, quæ fiunt a metropolitanis in præfectos, vel in aliquos alios aliis regionibus subjectos, infirmantur : sed et constitutiones, quæ factæ sunt ab aliquibus, de non consecrandis seu charactere donandis ipsorum monasteriorum præfectis ab ipso patriarcha, sed ab illis episcopis, vel omnino non ordinandis, sunt penitus irritæ.

ZONAR. Ne quem in vico aut parva urbe episcopum constitui liceat, sexto Sardicensis synodi canone decretum est. Pro iis igitur, in ejusmodi locis, presbyteri vel chorepiscopi creabantur. Hos ergo chorepiscopos canon ultra potestatis suæ limites progredi vetat ; sed ecclesiarum, inquit, sibi subjectarum administratione contenti, lectores, hypodiaconos, exorcistasque constituant : a diaconis vero sacerdotibusque creandis, absque urbani episcopi facultate, etiamsi episcopali ordine aliquando 440 insigniti fuissent, prorsus chorepiscopi abstineant. Qui vero canonem violarit, in eum depositione animadverti placet. Chorepiscopos autem urbani episcopi in sua diœcesi constituunt ; quos quidem in apostolorum locum suffectos fuisse septuagesimo Neocæsariensis synodi canone edocemur.

ARIST. « Exorcistas, et lectores, et hypodiaconos,
« et cantores chorepiscopus constituit, non itidem
« presbyterum et diaconum sine episcopo qui
« civitati præest : qui hoc vero transgredi audet,
« deponatur. Civitatis vero episcopus facit cho-
« repiscopum. »

Quisque debet suam cognoscere mensuram et in propriis terminis manere. Propterea itaque et chorepiscopus si ausus fuerit presbyterum aut diaconum ordinare, exceptis iis qui ipsi committuntur, nempe lectoribus, cantoribus, exorcistis, et hypodiaconis, deponetur. Quamvis aliter de istis etiam gradibus visum est magno Basilio, ut in decimo tertio synodi Ancyranæ canone scriptum est.

CANON XI.

« Si quis episcopus, vel presbyter, vel omnino

περὶ αὐτῶν, οἷα μηδὲ λαβόντων ὅλως πάροδον εἰς τὸ ποιεῖν χειροτονίαν οἱανδήτινα. Ἐρωτήσει δέ τις, διὰ τί προσετέθη τῷ ῥήματι τῆς καθαιρέσεως καὶ ἡ ἔκπτωσις τῆς τιμῆς ; Λύσις. Τινὲς διενίσταντες ὀφείλειν μὲν καθαιρεῖσθαι τὸν παραβάντα χωρεπίσκοπον, ἔχειν δὲ χωρεπισκοπικὴν τιμὴν, ἤγουν τὴν καθέδραν, καὶ τὰ λοιπὰ, κατὰ τὸν θ' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τὸν κα' καὶ τὸν κς' τῆς ς' συνόδου. Διὰ τοῦτο οὖν φησιν ὁ κανὼν ἀπόλλειν τοῦτον καὶ ἀμφότερα κατὰ τὸ τέλος τοῦ α' κανόνος τῆς παρούσης συνόδου. Τὸ δὲ, δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, οὐκ ἐκλαμβάνεται εἰς τὸ ἄνευ ἐντολῆς τούτου, ἀλλὰ εἰς τὸ δίχα τελεσιουργίας ἐκείνου. Κἂν γὰρ ἐνταλθῇ χωρεπίσκοπος χειροτονῆσαι πρεσβύτερον, καὶ ποιήσῃ τοῦτο, ἄκυρος ἔσται ἡ χειροθεσία, διὰ τὸ μὴ ἔσθῆναι αὐτῷ ἐξουσίαν ἀπὸ τῶν κανόνων πρεσβυτέρους χειροτονεῖν. Ἀνάγνωθι καὶ τὸν ιδ' κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου. Καὶ σημείωσαι ὅτι αἱ παρὰ μητροπολιτῶν γινόμεναι χειροθεσίαι εἰς ἡγουμένους ἢ εἰς ἄλλους τινὰς ὑποκειμένους ἑτέραις ἐπαρχίαις ἀκυροῦνται· ἀλλὰ καὶ τὰ παρά τινων γινόμενα τυπικὰ χάριν τοῦ μὴ σφραγίζεσθαι παρὰ τοῦ πατριάρχου τοὺς καθηγουμένους τῶν μοναστηρίων αὐτῶν, ἀλλὰ παρὰ ἑτέρων ἐπισκόπων, ἢ μηδὲ ὅλως σφραγίζεσθαι, ἄκυρά εἰσι.

ΖΩΝΑΡ. Κεκώλυται κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου τὸ καθιστᾷν ἐπίσκοπον ἐν κώμῃ τινὶ ἢ βραχείᾳ πόλει. Διὸ πρεσβυτέρους ἢ χωρεπισκόπους ἐν ταύταις καθίστων. Τούτους οὖν τοὺς χωρεπισκόπους ἀπαιτεῖ ὁ κανὼν μὴ παρεξιέναι τὴν οἰκείαν τάξιν, οἰκονομεῖν δὲ τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ ποιεῖν ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστάς· μήτε δὲ διάκονον χειροτονεῖν, μήτε πρεσβύτερον, ἄνευ τοῦ τῆς πόλεως ἐπισκόπου, κἂν ἐπισκόπου χειροτονίας ἔτυχον οἱ χωρεπίσκοποι. Ὁ δὲ τὸν κανόνα παραβαίνων καθαιρεθήσεται. Τοὺς χωρεπισκόπους δὲ οἱ τῶν πόλεων ποιοῦσιν ἐπίσκοποι, αἷς ὑπόκεινται, οὓς ὁ ιδ' κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου εἰς τύπον τῶν ο' ἀποστόλων εἶναί φησι.

ΑΡΙΣΤ. « Ἐξορκιστὰς, καὶ ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ψάλτας καθίστησι χωρεπίσκοπος·
« οὐ μέντοι πρεσβύτερον, καὶ διάκονον ἄνευ τοῦ
« κατὰ τὴν πόλιν ἐπισκόπου· ὁ δὲ τοῦτο τολμῶν
« ὑπερβαίνειν εἴη καθῃρημένος. Ὁ τῆς πόλεως
« δὲ ἐπίσκοπος ποιεῖ χωρεπίσκοπον. »

Ἕκαστος ὀφείλει τὸ ἑαυτοῦ μέτρον εἰδέναι, καὶ τοῖς ἰδίοις ὅροις ἐμμένειν. Διὰ τοῦτο γοῦν καὶ ὁ χωρεπίσκοπος, εἰ τολμήσει πρεσβύτερον ἢ διάκονον χειροτονῆσαι ἄνευ τῶν ἐπιτετραμμένων αὐτῷ, ἤγουν ἀναγνωστῶν, ψαλτῶν, ἐφορκιστῶν τε καὶ ὑποδιακόνων, καθαιρεθήσεται· κἂν ἄλλως καὶ περὶ αὐτῶν τῶν βαθμῶν τῷ μεγάλῳ Βασιλείῳ δοκῇ, καθὼς ἐγράφη ἐν τῷ τρισκαιδεκάτῳ κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ΚΑΝΩΝ ΙΑ'.

« Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κα-

« νόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ A
« ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τῶν κατὰ τὴν
« μητρόπολιν, ὁρμήσειε πρὸς βασιλέα ἀπελθεῖν,
« τοῦτον ἀποκηρύττεσθαι, καὶ ἀπόβλητον γίνε-
« σθαι οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς
« ἀξίας, ἧς μετέχων τυγχάνει, ὡς παρενοχλεῖν
« τολμῶντα τὰς τοῦ θεοφιλεστάτου βασιλέως
« ἡμῶν ἀκοὰς παρὰ τὸν θεσμὸν τῆς Ἐκκλησίας.
« Εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασιλέα
« ὁρμᾷν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώ-
« μης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας
« ἐπισκόπου καὶ τῶν ἐν αὐτῇ, τοῖς τε τούτων
« γράμμασιν ἐφοδιάζεσθαι. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται μὴ μόνον ἀφορίζεσθαι, ἀλλὰ καὶ καθαιρεῖσθαι τοὺς εἰς βασιλέα B
ἀπερχομένους ἐπισκόπους ἢ κληρικοὺς ἄνευ γραμμάτων τοῦ κατὰ χώραν ἐπισκόπου, καὶ μάλιστα τοῦ μητροπολίτου, ὡς παρενοχλοῦντας τὰς βασιλικὰς ἀκοάς παρὰ τὰ δεδογμένα τῇ Ἐκκλησίᾳ· ἀναγκαίας δὲ προκειμένης αἰτίας, παραχωρεῖ πρὸς βασιλέα ὁρμᾷν μετὰ ἐγγράφου ἐκχωρήσεως συνοδικῆς. Ἀνάγνωθι τῆς ἐν Σαρδικῇ συνόδου κανόνας ζ', η', θ', καί, καὶ τῆς ἐν Καρθαγένῃ κανόνα ρς'. Ἐπεὶ δέ τινες (47) τῶν ῥημάτων τοῦ παρόντος κανόνος ἐξεχόμενοι (τῆς γὰρ ἐννοίας ἀποδιίστανται) θέλουσι τοὺς ἐνδημοῦντας ἀρχιερεῖς εἰς τὴν τῶν πόλεων βασιλεύουσαν μετὰ εἰδήσεως καὶ προτροπῆς πατριαρχικῆς, καὶ μὴ ἄλλως, εἰς βασιλέως προσκύνησιν ἀπέρχεσθαι, φαμὲν ὅτι τὰ τοῦ παρόντος κανόνος, καὶ τῶν λοιπῶν τῶν ἐνταῦθα μνημονευομένων χώ- C
ραν ἔχουσιν, εἰ ὁ ἀρχιερεὺς ἀπὸ τῆς λαχούσης αὐτοῦ αὐθόρμητος εἰς βασιλέα ἀπέλθῃ· ὅταν γὰρ ἐνδημῇ ἐν τῇ βασιλευούσῃ, καὶ κατὰ βασιλικὸν ὁρισμὸν ἢ κατὰ πατριαρχικὴν ἐπιτροπὴν ἀκωλύτως προσκυνήσει τὸν βασιλέα καὶ ὑπομνήσει περὶ ὧν βούλεται. Τὸ δὲ μετὰ βασιλικὸν ὁρισμὸν ἀπέρχεσθαι τοὺς ἀρχιερεῖς, ἔνθα ἂν προσταχθεῖεν καὶ δίχα συνοδικῆς εἰδήσεως, ἐν διαφόροις κανόνων ἑρμηνείαις ἐδηλώθη, καὶ οὐ χρὴ ἡμᾶς ταυτολογεῖν.

ΖΩΝΑΡ. Εἰ μὴ ὅτι πᾶσα ἀνάγκη, οὐ βούλονται οἱ κανόνες τοὺς ἐπισκόπους προσέρχεσθαι βασιλεῖ, καὶ ἐνοχλεῖν αὐτῷ ὑπὲρ οἰκείων δεήσεων. Ἀλλὰ καὶ ὅτε μέλλοι τις ἀναγκαίόν τι ἀνενεγκεῖν βασιλεῖ, μὴ ἀπέρχεσθαι ἄνευ γνώμης τῶν τῆς ἐπαρχίας ἐπισκό- D
πων, ἀφ' ἧς καὶ ὁ ἀπελθεῖν μέλλων ἐστὶ, μάλιστα δὲ τοῦ μητροπολίτου τῆς ἐπαρχίας ἐκείνης. Τὸν δὲ ὁρμήσαντα χωρὶς γνώμης (48) καὶ γραμμάτων τοῦ μητροπολίτου ἀπελθεῖν πρὸς βασιλέα καθαιρεῖσθαι. Ὁ δὲ τῆς ἐν Σαρδικῇ συνόδου ζ' κανὼν καὶ η', εἰ διὰ βοήθειαν χηρῶν καὶ ὀρφανῶν καὶ πενήτων, καὶ λαϊκῶν προσφευγόντων τῇ ἐκκλησίᾳ ἀδικουμένων ἢ καταδυναστευομένων ἢ ἀποστερουμένων τῶν ἀνη-

« ecclesiasticæ regulæ subjectus, citra senten-
« tiam et litteras episcoporum provinciæ et ma-
« xime metropolitanorum, ad imperatorem profi-
« cisci aggressus fuerit : is abdicetur et ejiciatur
« non solum a communione, sed etiam a digni-
« tate, cujus est particeps ; ut qui religiosissimi
« imperatoris nostri auribus molestiam afferre
« audeat præter ritum Ecclesiæ. Si autem neces-
« sarius usus exigat, ut ad imperatorem se con-
« ferat, id agat cum deliberatione et sententia
« metropolitani provinciæ, et episcoporum qui
« sunt in ea ; eorumque litteris munitus proficis-
« catur. »

BALS. Præsens canon decernit, non solum segregari, sed etiam deponi episcopos vel clericos, qui ad imperatorem proficiscuntur, sine litteris episcopi regionis, et maxime metropolitani, ut qui imperatoris auribus molestiam exhibeant, præter ea, quæ sunt ab Ecclesia decreta : si autem necessaria sit causa proposita, concedit ut ad imperatorem proficiscantur cum litteris mandata permissione synodali. Lege Sardicensis synodi canones 7, 8, 9, 12, et Carthaginensis canonem 106. Quoniam autem nonnulli verbis præsentis canonis adhærentes (a sententia enim longe absunt) antistites volunt, qui in regina urbium versantur, cum scientia et permissione patriarchæ, et non aliter, ad imperatorem salutandum proficisci : dicimus, quod quæ hoc canone continentur, et reliqua quorum hic fit mentio locum habent, quando antistes a sua regione sponte sua ad imperatorem profectus est. Cum enim in urbium regina versetur, vel imperatoris jussu, vel patriarchali permissione, citra ullum impedimentum imperatorem conveniet, et eum, illorum quæ voluerit, admonebit. Imperatoris autem jussu proficisci antistites, quo jussi fuerint, etiam sine synodali consensu, in diversis canonum interpretationibus declaratum est ; nec sunt ea a nobis repetenda.

ZONAR. Episcopos imperatorem adire, ejusque aures privatæ rei causa importunis precibus obtundere, nisi cum id prorsus necessario faciendum sit, canones haud sinunt. Verum et si quando aliquid ad imperatorem deferre quispiam necesse habuerit, nisi ejus provinciæ, ex qua ipse est, episcopis, ac metropolitano præsertim ejusdem provinciæ consentiente, proficisci vetant. Qui vero absque metropolitani consensu ac litteris ad imperatorem adire in animum induxerit, depositione multari jubent. Sardicensis vero synodi canones 7 et 8 episcopo, ut viduarum pupillorumque et pauperum causam agat, ac laicis patrocinetur, qui

Guill. Beveregii notæ.

(47) Ἐπεὶ δέ τινες. Hæc usque ad finem hujus Balsamonis interpretationis ex ms. Bodleiano supplevimus : sed exstant etiam in Amerbachiano ; necnon in Tiliano ; nam Gentianus Hervetus ea latine vertit.

(48) Τὸν δὲ ὁρμήσαντα χωρὶς γνώμης. Hæc et sequentia Zonaræ verba codex Amerbachianus plenius sic legit, τὸν δὲ ὁρμήσαντα γνώμης χωρὶς καὶ γραμμάτων μητροπολίτου καὶ τῶν ἐπισκόπων ἀπελθεῖν πρὸς βασιλέα, ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ ἤτοι καθαιρεῖσθαι.

se per injuriam a potentioribus opprimi, suaque sibi injuste eripi queruntur, propterea que ab Ecclesia sibi 441 auxilium exposcunt, aut etiam quibus ob aliquas delicti offensiones exsilii pœna irrogata est, imperatorem adeundi facultatem esse decernunt : diaconum tamen potius cum litteris suum ad imperatorem mitti, eoque pacto Ecclesiæ supplicibus opitulari placet.

A κόντων αὐτοῖς, ἢ καὶ περιορισθῆναι διὰ πταίσματα καταδικασθέντων, προσελθεῖν ἐθέλοι τῷ βασιλεῖ, ἐχχωροῦσι τῷ τοιούτῳ ἀπιέναι· μᾶλλον δὲ διάκονον στέλλειν οἰκεῖον πρὸς τὸν βασιλέα μετὰ γραμμάτων εἰς ἐπικουρίαν τῶν προσφευγόντων τῇ Ἐκκλησίᾳ.

ARIST. « Episcopus vel presbyter, qui sua sponte, « et non provinciæ metropolitani jussu imperatorem adit, communione pariter ac dignitate « excidat. »

ΑΡΙΣΤ. « Ὁ προσιὼν αὐτομάτως τῷ βασιλεῖ ἐπίσκοπος, ἢ πρεσβύτερος, καὶ οὐχὶ κελευσθεὶς « παρὰ τοῦ τῆς χώρας μητροπολίτου, μετὰ τῆς « κοινωνίας ἐκπιπτέτω καὶ τῆς ἀξίας. »

Inobedientiam in omnibus tollentes Patres, et constitutum ordinem conservantes, prohibent et episcopos, et presbyteros et alios catalogi sacerdotalis sine primatis sui litteris regem adire et aures ejus obturbare, et quidquam de aliquibus referre. Et idcirco cum qui sine illius, qui provinciæ metropolis est episcopus, sententia regem adit, et dignitate deponi jubent, et a communione arceri.

Τὸ ἀνυπότακτον ἐν πᾶσιν οἱ Πατέρες περιαιροῦντες, καὶ τὸ εὔτακτον συντηροῦντες, κωλύουσι καὶ τοὺς ἐπισκόπους, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς B ἄλλους τοῦ ἱερατικοῦ καταλόγου ἄνευ γραμμάτων τοῦ πρώτου αὐτῶν πρὸς βασιλέα ἀπέρχεσθαι, καὶ τὰς ἀκοὰς αὐτοῦ παρενοχλεῖν, καὶ ἀναφέρειν περί τινων. Καὶ διὰ τοῦτο τὸν ἄνευ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου τῷ βασιλεῖ προσιόντα καὶ τῆς ἀξίας καθαιρεῖσθαι προστάττουσι, καὶ τῆς κοινωνίας ἀπείργεσθαι.

CANON XII.

« Si quis presbyter vel diaconus a proprio episcopo, « vel episcopus a synodo depositus, ausus fuerit imperatoris auribus molestiam exhibere, « cum oporteat ad majorem synodum converti, « et jus, quod se habere putat, ad plures episcopos referre, eorumque examinationem et « judicium suscipere : si itaque his contemptis « imperatori molestus fuerit, is nulla venia dignus, neque sui defendendi locum habeat, nec « restitutionis futuræ spem exspectet. »

ΚΑΝΩΝ ΙΒ'.

« Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου καθαιρεθεὶς πρε- « σβύτερος ἢ διάκονος, ἢ καὶ ἐπίσκοπος ὑπὸ « συνόδου, ὀχλῆσαι τολμήσειε τὰς βασιλικὰς « ἀκοὰς, δέον ἐπὶ μείζονα ἐπισκόπων σύνοδον « τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν προσ- « αναφέρειν πλείοσιν ἐπισκόποις, καὶ τὴν παρ' « αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι· C « εἰ δὲ τούτων ὀλιγωρήσας ἐνοχλήσειε τῷ βασι- « λεῖ, καὶ τοῦτον μηδὲ μιᾶς συγγνώμης ἀξιοῦ- « σθαι, μηδὲ χώραν ἀπολογίας ἔχειν, μηδὲ ἐλ- « πίδα μελλούσης ἀποκαταστάσεως προσδοκᾶν. »

BALS. Cuivis condemnato, qui se injuria affectum putet, appellationis auxilium datum est. Dicit ergo canon, quod etsi hoc episcopis datum est, similiter et clericis ; non tamen eis permissum est, aures regias de ea re obtundere. Si quis ergo, relicto ad majorem synodum aditu, prætermissisque juris sui coram ea allegationibus per appellationem, de ea re imperatori molestus fuerit, non solum non juvabitur, sed perinde ac nulla venia dignus, omnem sui juris proponendi januam sibi occludet, et nec spem quidem restitutionis habebit. Dixerit autem quispiam ; Cum canon dicat depositos non D debere ad imperatorem accedere, sed ad majorem synodum, ut is, qui forte ab Ephesino vel Thessalonicensi depositus est, ad patriarcham universa salem recte accedere cogetur : qui vero a patriarcha condemnatus est, cum non habeat quo confugiat, ad imperatorem accedens, punietur, an non? *Solutio.* Nonnulli dicebant, in eorum quoque sententias locum habere ea, quæ a canone dicuntur, excepto universali, quoniam Hierosolymitani sententia ab Antiocheno dijudicetur, et Antiocheni ab Alexandrino, et sic deinceps secundum majorem uniuscujusque ordinem. Mihi autem videtur canon esse editus propter sententias aliorum episcoporum et metropolitanorum, non etiam patriarcharum. Eorum enim sententiæ appellationi non subjiciuntur. Et

ΒΑΛΣ. Παντὶ καταδικαζομένῳ καὶ ἀδικεῖσθαι οἰομένῳ ἡ τῆς ἐκκλήτου ἐδόθη βοήθεια. Φησὶ γοῦν ὁ κανὼν ὡς, εἰ καὶ ἐνεδόθη τοῦτο τοῖς ἐπισκόποις, ὡσαύτως καὶ τοῖς κληρικοῖς, ἀλλ' οὐκ ἐξεχωρήθη καὶ τὰς βασιλικὰς ἀκοὰς χάριν τούτου ὀχλεῖν. Εἴ τις οὖν καταλιπὼν τὸ προσελθεῖν μείζονι συνόδῳ καὶ γυμνάσαι τὰς δικαίας δικαιολογίας κατὰ λόγον ἐκκλήτου, ὀχλήσει βασιλέα περὶ τούτου, οὐ μόνον οὐκ ὠφεληθήσεται, ἀλλ' ὡς μηδεμιᾶς συγγνώμης ἀξιούμενος, πᾶσαν θύραν οἰκείας δικαιολογίας ἑαυτῷ ἐπιζυγώσει, καὶ οὐδὲ ἐλπίδα ἕξει ἀποκαταστάσεως. Εἴποι δέ τις ὡς, τοῦ κανόνος λέγοντος μὴ προσέρχεσθαι τὸν καθαιρεθέντα βασιλεῖ, ἀλλὰ μείζονι συνόδῳ, ὁ μὲν καθαιρεθεὶς ὑπὸ τοῦ Ἐφέσου τυχὸν ἢ τοῦ Θεσσαλονίκης τῷ οἰκουμενικῷ, πατριάρχῃ εὐλόγως προσελθεῖν ἀναγκασθήσεται· ὁ δὲ ὑπὸ πατριάρχου καταδικασθεὶς μὴ ἔχων ὅπου προσφύγῃ, τῷ βασιλεῖ προσερχόμενος κολασθήσεται, ἢ οὔ; Λύσις. Τινὲς μὲν εἶπον καὶ εἰς τὰς ἀποφάσεις τούτων χώραν ἔχειν τὰ τοῦ κανόνος ἄνευ τοῦ οἰκουμενικοῦ, διὰ τὸ τὴν τοῦ Ἱεροσολύμων ἀπόφασιν ἀνακρίνεσθαι παρὰ τοῦ Ἀντιοχείας, καὶ τὴν τοῦ Ἀντιοχείας παρὰ τοῦ Ἀλεξανδρείας, καὶ ἐφεξῆς κατὰ τὴν μείζονα τάξιν ἑκάστου αὐτῶν· ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὰς ἀποφάσεις τῶν ἄλλων ἐπισκόπων καὶ τῶν μητροπολιτῶν, οὐ μὴν καὶ τῶν πατριαρχῶν.

Αἱ ψῆφοι γὰρ τούτων ἐκκλήτῳ οὐχ ὑπόκεινται. Διὸ καὶ ὁ προσελθὼν βασιλεῖ χάριν τοῦ ἀνακριθῆναι κατ' ἔκκλητον ἀπόφασιν τούτων, τιμωρηθήσεται κατὰ τὸν παρόντα κανόνα. Φησὶ γὰρ ἡ ρλζ' Ἰουστινιάνειος Νεαρά, ἡ κειμένη ἐν βιβλίῳ τρίτῳ τῶν Βασιλικῶν τιτ. α', κεφ. με'· Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῆς αὐτῆς συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης ἐκείνης τῆς διοικήσεως μεταξὺ αὐτῶν ἀκροασάσθω, κἀκεῖνα ὁριζέτω ἅτινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ τοῖς νόμοις συνᾴδουσιν, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου. Ὅτι δὲ πολλάκις ἐτράχθη εἰ χρὴ ἐκκλήτῳ ὑποκεῖσθαι τὴν ψῆφον τίνος τοῦ Κωνσταντινουπόλεως, ἔδοξέ μοι ἀναγκαῖον εἶπεῖν τὸ δοκοῦν μοι χάριν τούτου, καὶ τὰ παρά τινων δικαιολογούμενα. Λέγουσί τινες ὡς, ἐπεὶ τὴν μὲν ἀπόφασιν τοῦ ἐπάρχου, τῶν πραιτωρίων καὶ τὴν ἀπόφασιν τοῦ δὶς γεγονότος ἐπάρχου τῆς πόλεως, οἱ νόμοι ῥητῶς διορίζονται μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, πατριαρχικὴν δὲ ἀπόφασιν τοῦ τοιούτου προνομίου ῥητῶς οὐκ ἠξίωσαν, κατὰ τὰς πολλὰς καὶ τυχόντων δικαστῶν ψήφους, καὶ αὕτη ἐκκλητευθήσεται. Πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν χρῶνται καὶ τῇ τρίτῃ Ἰουστινιανείῳ Νεαρᾷ, τῇ κειμένῃ ἐν βίβλῳ τρίτῳ τῶν Βασιλικῶν τίτλου β', καὶ διοριζομένῃ εὐθύνεσθαι παρὰ τοῦ βασιλέως τὸν πατριάρχην, εἴπερ χειροτονήσῃ ὑπέρθετον κληρικόν. Ἄλλοι, τῆς πατριαρχικῆς μεγαλειότητος τὴν ὑπεροχὴν ὡσπερεὶ σεβαζόμενοι, φασὶ μήτε πάντως ἀποκλειστέον κατὰ τῆς πατριαρχικῆς ἀποφάσεως τὴν ἔκκλητον, μήτε πάντη ἐνδοτέον. Ἀλλ' εἰ μὲν τὰ μέρη τὰ δικαζόμενα τῆς τῶν ἱερωμένων ἢ καὶ μοναχῶν εἶσι τύχης, ἡ κατά τινος τούτων ἐξενεχθεῖσα ἀπόφασις οὐκ ἀνακριθήσεται· εἰ δὲ θάτερον τῶν μερῶν ἢ καὶ ἄμφω ἐν μοίρᾳ τάττοιντο λαϊκοῦ, ἀμάχως ἐκκλητευθήσεται· ἕτεροι τῆς ὑποθέσεως τὴν ποιότητα λέγουσι γεννήτριαν εἶναι τῆς Ἐκκλησίας. Ἡ μὲν γὰρ ἐκκλησιαστικὴ ζήτησις οὐκ ὠδίνει, φασί, παιδίον ἐκκλητοπόθητον· ἡ δὲ χρηματικὴ κυΐσκει τὴν ἔκκλητον, ὡς ἐχιδναῖον ἄμβλωμα τῆς τεκούσης σπαράττων τὰ ἔγκατα. Ἄλλοι, τοὺς ταῦτα λέγοντας ἐπιστομίζοντες, ἀξιοῦσι τότε καὶ μόνον ὑποκεῖσθαι ἐκκλήτῳ τὴν πατριαρχικὴν ἀπόφασιν, ὅτε κατὰ βασιλικὸν ὁρισμὸν προκάθηται διακρίνων ὁ πατριάρχης μετὰ συνδικαστῶν, ἢ καὶ μετὰ τῆς οἰκείας συνόδου. Ἐμοὶ δὲ δοκεῖ ὡς, ἐπεὶ οἱ νόμοι πρὸ τοῦ καταστῆναι τὴν ἐκκλησιαστικὴν τάξιν συνεγράφησαν, καὶ οἱ πλείους τούτων παρὰ Ἑλλήνων, καλῶς οὐκ ἐμνήσθησαν πατριαρχῶν. Εἰ δέ τις ἐρεῖ καὶ παρὰ βασιλέων ὀρθοδόξων γενέσθαι Νεαρὰν μετὰ τὸ τιμηθῆναι τοὺς πατριαρχικοὺς θρόνους, ἀκούσει πρῶτον μὲν ὡς οὐδὲ εἰς ἐνθύμησιν ἦλθεν ὀρθοδόξῳ βασιλεῖ τοιοῦτόν τι τολμηθῆναί ποτε παρά τινος, καὶ εἰπεῖν τὴν κρίσιν τοῦ τοσαύτῃ τετιμη-

A ideo, qui imperatorem adierit, ut de eorum sententia per appellationem quæratur, ut vult hic præsens canon, punietur. Dicit enim Justiniani Novella 137, quæ in lib. 3 Basilicorum, tit 1, cap 45, sita est sic expresse : Si qui autem sanctissimi hujus synodi episcopi aliquam inter sese controversiam habeant, sive de jure ecclesiastico, sive pro aliquibus aliis rebus; prius eorum metropolitanus cum aliis duobus ejusdem synodi episcopis rem judicet, et nisi utraque pars stet iis quæ judicata fuerint, tunc beatissimus patriarcha illius diœcesis inter eos audiat, et illa definiat, quæ ecclesiasticis canonibus et legibus conveniunt, nulla parte ejus sententiæ contradicere valente. Quia autem sæpe tractatum est, an oportet Constantinopol. 442 sententiam esse
B appellationi subjectam, visum est oportere, quod mihi videtur, de eo dicere, et ea quoque quæ de ea re ab aliis dicuntur. Dicunt nonnulli, quod quoniam sententiam præfecti prætorio, et sententiam ejus, qui bis fuit præfectus urbis, leges aperte statuunt appellationi non subjici; patriarchalem autem sententiam eo privilegio dignam non judicavere : quemadmodum a multis et quibuslibet judicibus, ita etiam ab eo provocabitur. Ad sui autem dicti confirmationem utuntur et Justiniani Novella 3, in libro 3 Basilicorum, tit. 2 sita, quæ decernit patriarcham imperatori rationem reddere, si clericum ultra numerum ordinarit. Alii patriarchalis magnitudinis eminentiam veluti venerantes
C dicunt nec omnino a patriarchali sententia penitus excludendam esse appellationem, nec omnino concedendam. Sed si partes quidem, quæ in judicio contendunt, sunt vel clericorum vel monachorum ordinis, prolata adversus aliquem eorum sententia, non rursus examinabitur : si vero altera pars vel utraque sint laici ordinis, citra ullam controversiam appellabitur. Alii vero dicunt causam esse appellationis genitricem. Causa enim ecclesiastica non parit, inquiunt, fetum appellatorium : pecuniaria autem parit appellationem, tanquam viperinam quamdam abortionem parentis viscera lacerantem. Alii iis, qui hæc dicunt, os occludentes
D censent patriarchalem sententiam tunc solum appellationi subjici, quando mandato imperiali præsidet patriarcha cum aliis conjudicibus, vel cum sua synodo. Mihi autem videtur, quod quoniam leges, antequam ecclesiasticus status constitueretur, conscriptæ sunt, et complures earum a Græcis, recte nullam patriarcharum mentionem fecere. Si quis autem dicat etiam ab orthodoxis imperatoribus factam fuisse Novellam, postquam sedes patriarchales honore affectæ sint, primum quidem audiet, quod orthodoxo imperatori nunquam in mentem venit, futurum ut quis hoc auderet, et diceret, quod a tanta auctoritate prædito tamque honorato judicatum sit esse rursus in judicium revocandum. Deinde et Justiniani Novellam, in præsentis canonis interpretatione positam, qua cavetur ne quis patriarchali sententiæ contradicat, sufficere ad os-

eis penitus occludendum : ab eo autem de iis, quæ ab illo factæ sunt supernumerariis ordinationibus, rationem exigi, non introducit ejus judiciorum de integro examinationem. Illud enim est factum proprium : hoc vero, sedis privilegium. Quoniam igitur statutum est, nullum per alium injuria afficiendum, ipse quidem ab imperatore qui Ecclesiæ habet potestatis scientiam, judicabitur, forte ut sacrilegus vel male de fide sentiens, vel alicujus alius criminis reus. Hoc enim nos judicialiter actum esse vidimus diversis temporibus, ejus autem judicium in disceptationem non revocari, nec de eo ratio postulari debet propter sedis excellentiam. Quia vero adversus hanc Novellam quidam perversam linguam immitemque exacuunt, et dicunt, tunc non posse patriarchæ judicio contradici, quando patriarcha audit per appellationem antistitis sententiam, eo quod nolit Novella causam in duobus judiciis agitatam ad tertium deduci ; non autem quando primo loco judicat, et maxime laicos : dico, me posse quidem multa ad hæc dicere, et ostendere ipsos non recte dicere. Quia autem canon 4 Sardicensis synodi decernit licere ei, qui est condemnatus, bis appellare, ut ultimum judicium fieri a papa Romano : non sinit hoc eis procedere. Alia quidem prætermitto ; hoc autem dico, quod quoniam sancti Constantini decretum ad papam Silvestrum factum, a nobis in cap. 1, tit. 8 præsentis operis interpretatione situm statuit, papam habere omnia jura imperialia secunda autem universalis synodus et quarta dederunt patriarchæ Constantinopolitano privilegia papæ et statuerunt, ut, quemadmodum et ille, in omnibus honoretur : necessario in ejus sententiam appellatio non cadit; quemadmodum **443** nec de imperiali sententia quæritur. Propterea enim, ut est consentaneum, et synodalia edicta instar privilegiorum regalium edictorum emittuntur. Cum hoc autem ita se habeat, reliquæ quoque eorum cessant allegationes. Nam sive clericos sive laicos judicaverit patriarcha, sive laicum cum clerico, sive jussu imperatorio, sive jure proprio, sive cum conjudice, sive solus, erit quacunque examinatione et judicatione superior ; et qui ausus fuerit ad imperatorem appellare, ut de patriarchæ sententia rursus judicetur, erit præsenti canoni obnoxius. Si enim non permittitur imperatorem molestia afficere, pro rursus revocanda in judicium alicujus metropolitani sententia, multo magis non permittetur patriarchalem sententiam ad imperatorem introduci.

μένου μεγαλειότητι ἀνακρίνεσθαι. Εἶτα δὲ καὶ τὴν καταστρωθεῖσαν Νεαρὰν τοῦ Ἰουστινιανοῦ εἰς τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν, καὶ διοριζομένην μηδένα ἀντιλέγειν κατὰ τῆς πατριαρχικῆς ψήφου, ἀρκεῖν εἰς παντελῆ τούτων ἐπιστομισμόν· τὸ δὲ λογοπραγεῖσθαι τοῦτον χάριν τῶν παρ' αὐτοῦ γινομένων ὑπεραριθμίων χειροτονιῶν οὐκ εἰσάγει καὶ τῶν κρίσεων τούτου ἀνάκρισιν. Τὸ μὲν γὰρ φάκτον οἰκεῖόν ἐστι, τὸ δὲ τοῦ θρόνου προνόμιον. Ὅτι οὖν νενόμισται μηδένα δι' ἑτέρου ἀδικεῖσθαι, αὐτὸς μὲν παρὰ τῷ ἐπιστημονάρχῃ τῆς Ἐκκλησίας τῷ βασιλεῖ κριθήσεται, ὡς ἱερόσυλος τυχὸν ἢ ἑτερόδοξος, ἢ ὡς ἕτερόν τι ἡμαρτηκώς. Εἴδομεν γὰρ τοῦτο καὶ πραγματικῶς γεγονὸς μετὰ διαφόρους καιρούς. Τὸ δὲ δικαστήριον αὐτοῦ ἀλογόπρακτον ἔσται διὰ τὴν τοῦ θρόνου ὑπεροχήν. Ἐπεὶ δέ τινες καὶ κατὰ τῆς τοιαύτης Νεαρᾶς ὁπλίζουσι γλῶτταν σκολιὰν καὶ ἀτίθασσον, καὶ λέγουσι τότε μὴ δύνασθαι τὸν παρὰ πατριάρχῃ δικασάμενον ἀντιλέγειν, ὅτε κατ' ἔκλητον ὁ πατριάρχης ἀκροᾶται τῆς ἱερατικῆς ἀποφάσεως, διὰ τὸ μὴ ἐθέλειν τὴν Νεαρὰν τὴν εἰς δύο δικαστήρια ζητηθεῖσαν ὑπόθεσιν, καὶ εἰς τρίτον εἰσάγεσθαι, οὐ μὴν ὅταν πρωτοτύπως δικάζῃ καὶ μάλιστα λαϊκούς· λέγω ὅτι εἶχον μὲν πρὸς τοῦτο πολλὰ εἰπεῖν, καὶ παραστῆσαι αὐτοὺς μὴ καλῶς λέγειν· ὅτι δὲ ὁ δ' κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται ἔχειν ἐπ' ἀδείας τὸν καταδικασθέντα δὶς ἐκκαλεῖσθαι, καὶ τὴν τελευταίαν κρίσιν γίνεσθαι παρὰ τοῦ πάππα τῆς Ῥώμης, οὐ παραχωρεῖ τούτοις τοιαῦτα προτιθέναι. Τὰ μὲν ἄλλα παρίημι, λέγω δὲ ὅτι, ἐπεὶ τὸ μὲν τοῦ ἁγίου Κωνσταντίνου θέσπισμα τὸ πρὸς τὸν ἅγιον Σίλβεστρον γεγονὸς, καταστρωθὲν παρ' ἡμῶν εἰς τὴν ἑρμηνείαν τοῦ πρώτου κεφ. τοῦ η' τίτλου τοῦ παρόντος συντάγματος, διορίζεται ἔχειν τὸν πάππαν πάντα τὰ βασιλικὰ δίκαια· ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος καὶ ἡ τετάρτη δεδώκασι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως τὰ προνόμια τοῦ πάππα, καὶ ὥρισαν κατ' ἐκεῖνον ἐπὶ πᾶσιν τιμᾶσθαι· ἐξ ἀνάγκης ἐκκλήτῳ οὐχ ὑποπέσῃ ἡ τούτου ἀπόφασις, ὥσπερ οὐδὲ ἡ βασιλικὴ ἀπόφασις ἀνακρίνεται. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ τὰ συνοδικὰ σημειώματα κατὰ τὰ προνόμια τῶν βασιλικῶν σημειωμάτων ἀπολύονται. Τούτου δὲ οὕτως ἔχοντος, πάντως ἀπρακτοῦσι καὶ τὰ λοιπὰ δικαιολογήματα. Κἂν γὰρ ἱερατικούς τινας δικάσῃ ὁ πατριάρχης, κἂν λαϊκούς, κἂν λαϊκὸν μετὰ ἱερωμένου, κἂν διὰ βασιλικῆς προστάξεως, κἂν οἰκείῳ δικαίῳ, κἂν μετὰ συνδικαστοῦ, κἂν μόνος, πάσης ἀνακρίσεως ἔσται ἐπέκεινα· καὶ ὁ τοιμήσας ἐκκαλέσασθαι εἰς βασιλέα χάριν τοῦ ἀνακριθῆναι τὴν ἀπόφασιν τὴν πατριαρχικὴν, ὑπόδικος ἔσται τῷ παρόντι κανόνι. Εἰ γὰρ οὐκ ἐφεῖται βασιλεῖ ὀχλεῖν χάριν τοῦ ἀνακριθῆναι τὴν τοῦ δεῖνος μητροπολίτου ἀπόφασιν· πολλῷ πλέον οὐκ ἐχωρηθήσεται πατριαρχικὴν διάγνωσιν παρὰ βασιλεῖ γενέσθαι εἰσαγώγιμον.

ZONAR. Episcopo, quem synodus, vel clerico, quem episcopus deposuerit, quo pacto de sententia suæ damnationis, si injustam esse asserat, examinanda agere liceat, jam antea explicavimus : hoc vero loco eos, qui depositione multati sunt imperatorem adire, eique molestos esse, ac ad eum

ΖΩΝΑΡ. Εἴρηται ἀνωτέρω πῶς ἡ ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς, ἢ κληρικὸς ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, δύναται ζητεῖν δοκιμασθῆναι τὴν ψῆφον τὴν κατ' αὐτοὺς, εἰ δοκεῖ ἀδικεῖσθαι· ἐνταῦθα δὲ ἀπαγορεύει τοῖς καθαιρουμένοις ὁ κανὼν προσιέναι βασιλεῖ, καὶ ἐνοχλεῖν αὐτῷ, καὶ ζητεῖν τὴν κατ'

αὐτοῦ ἐξετασθῆναι ἀπόφασιν, καὶ τῷ τοῦτο ποιήσαντι μήτε χώραν ἀπολογίας δίδοσθαι κελεύει, μήτε ἐλπίζειν, ὡς ἀποκαταστήσεται.

ΑΡΙΣΤ. « Ὁ καθῃρημένος, εἰ ἐνοχλοίη τῷ βασιλεῖ, αἰτείτω σύνοδον μείζονα, καὶ τὸ ἐκεῖθεν δόξαν στεργέτω· εἰ δὲ καὶ αὐθις ἀποδυσπετοίη, μὴ ἐχέτω ἀποκατάστασιν. »

Τὸν καθαιρεθέντα ὑπὸ συνόδου, καὶ οἰόμενον ἀδικεῖσθαι, ὁ κανὼν οὐ κωλύει μείζονα σύνοδον ἐπικαλεῖσθαι, καὶ παρ' αὐτῇ γυμνάζειν ἃ νομίζει δίκαια ἔχειν, εἰς ἀνατροπὴν τῆς κατ' αὐτοῦ ἐξενεχθείσης ψήφου. Ἀλλὰ μᾶλλον καὶ ἐπιτρέπει αὐτῷ ποιεῖν αὐτό. Τὸν δὲ μὴ θέλοντα προσελθεῖν συνόδῳ, καὶ παρ' αὐτῇ τὰ οἰκεῖα προθεῖναι δίκαια, ἀλλὰ τὰς βασιλικὰς ἀκοὰς παρενοχλεῖν πειρώμενον εἰς ἐκδίκησιν, συγγνώμης τινὸς οὐκ ἀξιοῖ, οὐδὲ χώραν ἀπολογίας αὐτῷ δίδωσι, καὶ ἐλπίδα προσδοκᾶν μελλούσης ἀποκαταστάσεως.

ΚΑΝΩΝ ΙΓ'.

« Μηδένα ἐπίσκοπον τολμᾶν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν, καὶ χειροτονεῖν ἐν ἐκκλησίαις τινὰς εἰς προαγωγὴν λειτουργίας, μηδὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους, εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων, ὧν εἰς τὴν χώραν παρέρχεται. Εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταστάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πεπραγμένα τυγχάνειν· καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ καὶ τῆς παραλόγου ἐπιχειρήσεως τὴν προσήκουσαν δίκην, καθῃρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας συνόδου. »

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων ἱκανῶς διελάβομεν ἐν τῷ λε' ἀποστολικῷ κανόνι καὶ ἐν ἑτέροις. Καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα. Ζήτει καὶ τῆς παρούσης συνόδου καν. κβ'.

ΖΩΝΑΡ. Σκανδάλων καὶ ταραχῶν αἴτιον τὸ ἀπιέναι ἐπίσκοπον εἰς ἐπαρχίαν ἑτέραν, καὶ χειροτονίας ποιεῖν ἄνευ γνώμης τοῦ ἐπισκόπου τῆς ἐπαρχίας ἐκείνης. Διὸ καὶ κωλύει τοῦτο ὁ κανὼν, καὶ τὸν τοῦτο ποιήσαντα καθαιρέσει καταδικάζει. Ταῦτα δὲ κεκανόνισται καὶ τοῖς ἁγίοις ἀποστόλοις ἐν λε' κανόνι· τὰ αὐτὰ δὲ ὁρίζει καὶ ὁ κβ' κανὼν τῆς συνόδου ταύτης.

ΑΡΙΣΤ. « Εἰ μηδενὸς ἀξιοῦντος ἐπίσκοπος εἰς ἄλλην ἐπαρχίαν ἀπέοι, καὶ χειροτονοίη, καὶ διοικοίη πράγματα, αὐτά τε ἄκυρα μενέτω, κἀκεῖνος καθαιρείσθω. »

Πολλοὺς κανόνας εὑρήσεις τοῦτο κωλύοντας, τὸ μεταβαίνειν ἐπίσκοπον ἀπὸ τῆς ἰδίας ἐπαρχίας εἰς ἀλλοτρίαν, καὶ χειροτονεῖν ἐν αὐτῇ, ἢ ἕτερόν τι ἐπισκοπικὸν ἐνεργεῖν· εἰ μή που προσκληθῇ τις, καὶ ἀξιωθῇ παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου τοιοῦτόν τι ποιῆσαι. Τὸν δ' οἴκοθεν εἰς ἐπαρχίαν ἑτέραν παραγενόμενον, καὶ ἢ χειροθεσίας ποιούμενον, ἢ καταστάσεις ἐκκλησιαστικῶν πραγμάτων, μὴ προσηκόντων αὐτῷ, σὺν τῷ ἄκυρα μένειν τὰ ὑπ' αὐτοῦ πραττόμενα, καὶ καθαιρεῖσθαι προστάττουσι.

damnationis suæ cognitionem deferre, canon vetat; quique id fecerit, nec audiri amplius in judicio, et omni in posterum restitutionis spe carere jubet.

ARIST. « Depositus, si imperatori molestiam exhibuerit, majorem petat synodum, ejusque decreto acquiescat. Si verò rursum ægre tulerit, restitutionem ne assequatur. »

Eum qui a synodo deponitur, sibique videtur injuria affectus, canon hic majorem provocare synodum non prohibet, et apud eam proferre quæ justa esse arbitratur, ad sententiæ contra se latæ eversionem. Imo potius ei hoc permittit facere. Eum autem qui non vult synodum adire, et apud eam jura sua proponere, sed imperatorias obturbare aures in ultionem molitur, nulla dignatur venia nec apologiæ locum ei concedit, nec futuræ restitutionis spem exspectare.

CANON XIII.

« Nullus episcopus audeat ab una provincia in aliam transire, et ad ministerii promotionem aliquos ecclesiis ordinare, nec si alios una secum inducat, nisi venerit litteris accersitus metropolitani, et episcoporum qui sunt cum ipso, in quorum regionem accedit. Si autem nullo vocante, ad aliquorum ordinationem et ecclesiasticarum rerum ad se non pertinentium constitutionem, inordinate insolenterque processerit, sint quidem irrita quæ ab ipso geruntur: ipse autem suæ insolentiæ et præter rationem factæ aggressionis debitas det pœnas, a sancta scilicet synodo exinde depositus. »

BALS. De iis, quæ in præsenti canone tractata sunt, in canone apostolico 35 satis tractavimus, et alibi. Et lege ea, quæ illic scripta sunt. Quære et præsentis synodi canonem 22.

ZONAR. Si quis episcopus alterius provinciam ingrediatur, ibique eo inconsulto ordines conferat, offensiones ac tumultus ex ea re exsistere facile est. Quare tum id fieri canon vetat, tum qui fecerit, depositione damnatum esse decernit. Eadem vero, et apostolorum tricesimo quinto et hujus quoque synodi vicesimo secundo canone, constituta sunt.

ARIST. « Si, nemine rogante, episcopus in aliam se contulerit provinciam, et ordinaverit, resque administraverit, et irritæ maneant, et iste deponatur. »

Multos canones invenies hoc prohibentes, nimirum episcopum e sua provincia ad alienam transilire, et in ea ordinare, aut aliud aliquod munus episcopale obire. Nisi forsitan vocetur aliquis et a regionis episcopo dignus habeatur, qui tale aliquid faciat. At qui sua sponte in alteram 444 provinciam proficiscitur, et vel manuum impositiones facit, vel negotiorum ecclesiasticorum constitutiones ad ipsum non pertinentium, et irrita manere quæ ab [illegible] cta sunt, et ipsum deponi jubent.

CANON XIV.

« Si quis episcopus ob aliqua crimina judicetur, « deinde contingat episcopos provinciæ de eo « dissentire; illis quidem eum, de quo fertur sen- « tentia, innocentem pronuntiantibus; his vero, « reum : pro tota componenda controversia, vi- « sum est sanctæ synodo, ut metropolitanus « episcopus ex propinqua provincia alios evocet « judices, qui controversiam dirimant, cum pro- « vincialibus, quod probatum fuerit, confirman- « do. »

BALS. Episcopum, qui ab episcopis provincialibus judicatur, et ab aliquibus quidem absolvitur, ab aliis vero condemnatur, non alias condemnari vel absolvi statuit synodus, nisi synodi metropolitanus propinquos episcopos accerserit, qui id quod quæritur judicare, et sententiam confirmare debent. Ne dicas ergo canonem 12, huic canoni adversari, dicentem : dubiam sententiam a majori synodo rursus judicari, et non ab eo, qui primo judicavit, cum finitimis episcopis examinari. Illic enim fuerat prolata sententia, nec potest amplius judicare qui illam semel protulit ; et propterea illius sententia, ut dubia appellationi subjicitur : hic autem non est prolata sententia. Et canon metropolitanum admonet finitimos episcopos accersere ut tollatur dissensio, et sic omnis condemnati suspicio et tergiversatio resecetur, sed si hoc quoque facto, condemnatus sibi factam injuriam esse putet, recte appellaverit, ut duodecimo canone continetur, et quarto Sardicensis synodi. Lege et ejusdem synodi canones 3 et 5. Si autem apud patriarcham litigaverit, præsens canon et sequens locum habebit.

ZONAR. Quandocunque aliquis ab omnibus provinciæ episcopis unanimi consensu damnatus fuerit damnationem in dubium revocare, ut hujus synodi canone 4 constitutum est, nequaquam licebit. At si non omnes episcopi idem sentiant, sed alii quidem damnari reum, alii contra fieri oportere contendant; tunc a metropolitano ejus provinciæ a vicina provincia alii episcopi evocari, eorumque suffragiis ad alteram partium adjunctis dissentientium inter se episcoporum controversiæ componi debent. Lege Sardicensis quoque synodi canonem tertium et quintum.

ARIST. « Si episcopo accusato, provinciæ episcopi « inter se discrepent, ad controversiam certo « dirimendam, alii e vicinis sunt advocandi. »

Unusquisque episcopus criminibus accusatus a propria synodo judicari debet ; si autem provinciæ episcopi dissentiant, illi quidem insontem judicatum, alii reum dicentes, a vicina provincia potest metropolitanus alios evocare episcopos ut controversiam ab episcopis agitatam solvant.

ΚΑΝΩΝ ΙΔ.

« Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κρίνοιτο, « ἔπειτα συμβαίη παρὰ αὐτοῦ διαφωνεῖν τοὺς ἐν « τῇ ἐπαρχίᾳ ἐπισκόπους, τῶν μὲν ἀθῶον τὸν « κρινόμενον ἀποφαινόντων, τῶν δὲ ἔνοχον · ὑπὲρ « ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως ἔδοξε τῇ « ἁγίᾳ συνόδῳ τὸν τῆς μητροπόλεως ἐπίσκοπον « ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας μεταλαλεῖσθαι « ἑτέρους τινὰς τοὺς ἐπικρινοῦντας, καὶ τὴν ἀμ- « φισβήτησιν διαλύσαντας, τοῦ βεβαιῶσαι σὺν « τοῖς τῆς ἐπαρχίας τὸ παριστάμενον. »

ΒΑΛΣ. Τὸν ὑπὸ ἐπαρχιωτῶν ἐπισκόπων κρινόμενον ἐπίσκοπον, καὶ παρά τινων μὲν ἀθῳούμενον, παρά τινων δὲ καταδικαζόμενον, μὴ ἄλλως κατακρίνεσθαι ἢ δικαιοῦσθαι ὥρισεν ἡ σύνοδος, εἰ μὴ μετακαλέσηται ὁ τῆς συνόδου μητροπολίτης πλησιοχώρους ἐπισκόπους, ἐπικρῖναι ὀφείλοντας τὸ ζητούμενον, καὶ βεβαιῶσαι τὴν ψῆφον. Μὴ εἴπῃς γοῦν ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ τὸν ιβ' κανόνα, τὸν λέγοντα τὴν ἀμφίβολον ψῆφον ἀνακρίνεσθαι παρὰ μείζονος συνόδου, καὶ μὴ δοκιμάζεσθαι παρὰ τοῦ πρώτως κρίνοντος μετὰ πλησιοχώρων ἐπισκόπων. Ἐκεῖ μὲν γὰρ ἔφθασε γενέσθαι ἡ ἀπόφασις, καὶ οὐκέτι δύναται δικάζειν ὁ ἅπαξ ἀποφηνάμενος, καὶ διὰ τοῦτο ἡ ψῆφος ἐκείνου, ὡς ἀμφίβολος, ἐκκλήτῳ ὑπόκειται · ἐνταῦθα δὲ οὐ γέγονεν ἀπόφασις. Καὶ ὑποτίθησιν ὁ κανὼν τῷ μητροπολίτῃ μεταλαλεῖσθαι καὶ πλησιοχώρους ἐπισκόπους, ἐφ' ᾧ τὴν διαφωνίαν λυθῆναι, καὶ οὕτω πᾶσαν περιαιρεθῆναι τὴν τοῦ καταδικαζομένου ὑποψίαν καὶ πρόφασιν · πλὴν καὶ τούτου γινομένου, ἐὰν ὁ καταδικασθεὶς νομίζῃ ἀδικεῖσθαι, καλῶς ἐκκαλέσηται, κατὰ τὴν περίληψιν τοῦ ιβ' κανόνος καὶ τοῦ δ' κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. Ἀνάγνωθι καὶ τῆς αὐτῆς γ' καὶ ε' κανόνας· εἰ δὲ παρὰ τῷ πατριάρχῃ ἐδικάσατο, τὰ τοῦ παρόντος κανόνος καὶ τοῦ ἑφεξῆς ἕξουσι χώραν.

ΖΩΝΑΡ. Ὅτε μὲν ὑπὸ πάντων τῶν τῆς ἐπαρχίας ἐπισκόπων συμφώνως καταδικάζοιτο ὁ κρινόμενος, οὐκ ἔξεστιν αὐτῶν τὴν ψῆφον αἰτιᾶσθαι κατὰ τὸν δ' κανόνα τῆς παρούσης συνόδου · ὅτε δὲ διαφωνοῦσιν οἱ ἐπίσκοποι, καὶ οἱ μὲν καταδικάζουσιν αὐτὸν, οἱ δὲ ἀντιλέγουσι, τότε χρὴ τὸν μητροπολίτην τῆς ἐπαρχίας ἐκείνης ἀπὸ τῆς πλησιαζούσης ἐπαρχίας μεταλαλεῖσθαι ἐπισκόπους ἑτέρους, ὥστε παρ' ἐκείνων λυθῆναι τὴν διαφωνίαν τῶν ἐπισκόπων, προστεθέντων ἑνὶ μέρει τῶν ἐναντιουμένων ἀλλήλοις. Ἀναγνωστέον δὲ καὶ τῆς ἐν Σαρδικῇ συνόδου τὸν γ' καὶ ε' κανόνα.

ΑΡΙΣΤ. « Εἰ, ἐπισκόπου κρινομένου, οἱ τῆς ἐπαρ- « χίας ἐπίσκοποι διαφέροιντο · μεταλητέον ἀπὸ « τῶν πέλας ἑτέρους εἰς ἀναμφίβολον λύσιν τοῦ « ἀμφισβητήματος. »

Ἕκαστος τῶν ἐπισκόπων, κατηγορούμενος ἐπ' ἐγκλήμασι, παρὰ τῇ ἰδίᾳ συνόδῳ ὀφείλει κρίνεσθαι. Εἰ δὲ οἱ τῆς ἐπαρχίας ἐπίσκοποι διαφωνοῦσιν, οἱ μὲν ἀθῶον τὸν κρινόμενον λέγοντες, οἱ δὲ ὑπεύθυνον· ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας δύναται ὁ μητροπολίτης ἑτέρους ἐπισκόπους μεταλαλεῖσθαι, ἵνα τὴν ὑποῦσαν μέσον τῶν ἐπισκόπων ἀμφιβολίαν λύσωσι.

ΚΑΝΩΝ ΙΕ'.

« Εἴ τις ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κατηγορη-
« θείς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ
« ἐπισκόπων, πάντες τε σύμφωνον μίαν κατ'
« αὐτοῦ ἐξενέγκοιεν ψῆφον· τοῦτον μηκέτι παρ'
« ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν
« σύμφωνον τῶν τῆς ἐπαρχίας ἐπισκόπων ἀπό-
« φασιν. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀνῃρέθη ἀπὸ τοῦ δ' κα-
νόνος τῆς ἐν Σαρδικῇ συνόδου. Εἰ δὲ μὴ θέλεις τοῦτο
εἰπεῖν, ἑρμήνευσον τὸν κανόνα καθὼς ἀνωτέρω εἴ-
ρηται, καὶ εἰπὲ τὴν καταδίκην γενέσθαι ἐνταῦθα
παρὰ συνόδου μὴ παραπιπτούσης ἐκκλήτῳ, ὡς τοῦ
πάπα ἢ τοῦ Κωνσταντινουπόλεως.

ΖΩΝΑΡ. Τὰ ἐν τῷ δ' κανόνι εἰρημένα καὶ εἰς τὴν
τοῦ παρόντος ἐξήγησιν ἱκανά εἰσιν.

ΑΡΙΣΤ. « Ἐπισκόπου δικαζομένου, εἰ πᾶς ἐπαρ-
« χιώτης ἐπίσκοπος συμφωνοίη, παλινδικία οὐ
« γίνεται. »

Ὁ κανὼν οὗτος οὐ συγχωρεῖ τῷ ὑπὸ πάντων τῶν
ἐπισκόπων τῆς ἐπαρχίας καθαιρεθέντι παρ' ἑτέροις
ἐκκλητον κρίνεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν κατ'
αὐτοῦ ἀπόφασιν πάντων τῶν ἐπαρχιωτῶν ἐπισκό-
πων συμφώνως ἐξενεχθεῖσαν βούλεται. Πλὴν, ὡς
εἰρήκαμεν ἐν τῷ τετάρτῳ κανόνι τῆς παρούσης συ-
νόδου, μᾶλλον ἡ γνώμη κρατεῖ τῶν ὁρισάντων ἐκκα-
λεῖσθαι τὸν ὀλόμενον ἀδικεῖσθαι, καὶ τῆς βοηθείας
τῆς ἐκκλήτου ἐπιτυγχάνειν, ὡς δικαιοτέρα καὶ φιλ-
ανθρωποτέρα.

ΚΑΝΩΝ ΙϚ'.

« Εἴ τις ἐπίσκοπος σχολάζων (49), ἐπὶ σχολάζουσαν
« ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν
« θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον
« εἶναι, καὶ εἰ πᾶς ὁ λαὸς, ὃν ὑφήρπασεν, ἕλοιτο
« αὐτόν. Τελείαν δὲ ἐκείνην εἶναι σύνοδον, ᾗ
« συμπάρεστι καὶ ὁ μητροπολίτης. »

ΒΑΛΣ. Ἐπίσκοπός τις σχολάζων, ἤγουν μὴ ἔχων
ἐκκλησίαν, ὡς ὑπὸ ἐθνῶν κρατουμένην, κατέσχεν
αὐθεντικῶς σχολάζουσαν ἐκκλησίαν, μὴ ἔχουσαν
ἔτι νόητι ἐπίσκοπον, καὶ ἐπέβη τοῦ θρόνου αὐτῆς,
καὶ ἐνήργει ἀρχιερατικὰ δίκαια. Αἰτιώμενος οὖν

A

CANON XV.

« Si quis episcopus aliquorum criminum accusatus,
« fuerit ab omnibus provinciæ episcopis con-
« demnatus, et omnes unam consentientem ad-
« versus eum sententiam tulerint : is ne amplius
« ab aliis judicetur ; sed provinciæ episcoporum
« firma maneat sententia. »

BALS. Præsens canon sublatus est a quarto canone synodi Sardicensis. Sin autem hoc nolis dicere, interpretare canonem ut superius dictum est : et die fieri condemnationem a synodo, in quam non cadit appellatio, ut a papa, vel a patriarcha Constantinopolitano.

445 ZONAR. Ex iis quæ in quarto canone diximus hujus quoque canonis intelligentiam quilibet assequetur.

B

ARIST. « Episcopo judicato, si omnium provinciæ
« episcoporum sententiæ sint concordes, actionis
« redintegratio non datur. »

Hic canon eum qui ab omnibus provinciæ episcopis deponitur, ab aliis appellationis more more judicari non permittit, sed omnium provincialium episcoporum sententiam unanimiter contra eum illatam, firmam vult manere. Sed ut in quarto synodi hujus canone diximus, sententia eorum qui decreverunt eum qui se injuria affectum putat, provocare et appellationis auxilium assequi, potius valet ut justior et humanior.

C

CANON XVI.

« Si quis vacans episcopus, in vacantem eccle-
« siam irrumpens, sedem arripuerit absque
« perfecta synodo ; is sit ejectus, etiamsi omnis
« populus, quem invasit, eum elegerit. Perfecta
« vero synodus illa est, cui una quoque adest
« metropolitanus. »

BALS. Episcopus quidam vacans, seu ecclesiam non habens, utpote quæ a gentibus tenebatur, sua auctoritate vacantem occupabat ecclesiam, quæ scilicet episcopum non habebat, ejus sedem invadens, et jura archiepiscopalia exercebat. Cum

Guill. Beveregii notæ.

(49) *Εἴ τις ἐπίσκοπος σχολάζων.* Hic una cum sequenti canone a Leontio episcopo in concilio Chalcedonensi ex codice canonum recitatus est, quo hic quidem nonagesimus quintus, sequens nonagesimus sextus, juxta ordinem nimirum canonum in isto codice observatum, dicitur. Concil. Chalced. Act. 11, pag. 301. 302 edit. Col. an. Domini 1618. Ubi etiam vi horum canonum Bassianus et Stephanus episcopatus Ephesi pulsi sunt, dignitate tantum, sive honore, communione et necessariis ad vitam sustentandam iis concessis. Porro Harmenopuli præsentis canonis epitome sic se habet ; Καὶ σχολάζων ἐπίσκοπος, εἰ δίχα τελείας συνόδου (τελεία δὲ ἐστὶν, ὅταν καὶ ὁ μητροπολίτης παρῇ) ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἐπιπηδήσει, κἂν ὁ τῆς πόλεως ἐκείνης λαὸς ἑαυτὸν ἕληται, ἀπόβλητος ἔστω. *Etiam vacans episcopus, si absque integra synodo (integra autem est, cum et metropolitanus adest) in ecclesiam vacantem insilierit, licet ita civitatis illius populus voluerit, rejiculus est.* In

D

quam Epitomen scholiastes hæc habet : Ἡ συνοδικὴ ἡ τοῦ πατριάρχου Μιχαὴλ διάγνωσις συγχωρεῖ καὶ μεταθέσεις ἐπισκόπων γίνεσθαι, γνώμῃ τοῦ πρωτεύοντος αὐτῶν, χρείας κατεπειγούσης πρὸς τὸ λυσιτελέστερον, καὶ κατ' ἐπίδοσιν ἐπισκόπῳ καὶ ἑτέραν ἐπισκοπὴν δίδοσθαι παρὰ τοῦ πρωτεύοντος ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ, ἐν ᾗ καὶ πασῃ ἐπαρχίᾳ αὐτῆς τὴν διεξαγωγὴν τῶν ἀρχιερατικῶν ἁπάντων δικαίων ποιήσεται, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῶν· πάρεξ τοῦ ἐν τῷ ἱερῷ θρόνῳ ἐγκαθιδρύεσθαι. *Synodica patriarchæ Michaelis sententia permittit et translationes episcoporum fieri, de judicio illius, qui primus inter eos est, usu sic poscente ad majorem utilitatem ; item episcopo concedi et episcopatum alterum insuper a primate in territorio ipsius, in quo et omnibus ejus finibus omnia pontificalia jura exercebit, quæcunque germanus eorum pontifex exerceat ; excepto, quod in sacro synthrono non collocetur.* Harmenop. Epit. can. sect. 1, tit. 4.

autem reprehenderetur, et interrogaretur, quomodo hoc esset ausus, hoc se modo defendebat. Non propter aliquid aliud fuisse prohibitam in alia regione seu diœcesi operationem seu exercitium, quam ne injuria afficeretur et contemneretur hujus regionis diœcesisve præsul : cum autem non sit antistes in vacante ecclesia, et cum ipse eam, quæ illi obtigerat, non habet, ut quæ a gentibus detinebatur, nec quæ de injuria dicta sunt locum habebunt, nec ullum ei præjudicium afferetur, tanquam qui, ultra ea quæ habet, aliena sibi usurpet. Dicit ergo canon, eum, qui tam temere a Spiritus sancti gratia non sibi datum thronum arripit, etiamsi et ipse et ecclesia vacet, esse ejiciendum. Perinde autem ac si dixisset quispiam, ea locum habere, quando is, qui vacat, prædonis more vacantem ecclesiam invasisset; non autem quando ejus populus eum, qui vacat, vel invitum ad eam transtulerit : adjicit canon ne propterea quidem esse illi ignoscendum, qui in vacantem diœcesin aliquid episcopale exercuit absque synodi permissione. Cum autem, ut est verisimile, a provincialium episcoporum dispensatione vacanti cuipiam permissum esset in vacante ecclesia celebrare, et hoc damnaretur, eo quod non esset etiam assensus metropolitanus, dicebant quidam, esse et vocari synodum provincialium episcoporum conventum, et ideo firmum esse quod ab eis fit sine metropolitano, quoniam episcoporum sententiis, etiam sine metropolitano, contradici non potest : dixerunt Patres, in hac causa eam esse perfectam synodum, quæ habet etiam metropolitanum præsentem; est autem sententia singularis; et singularia non trahuntur ad exemplum. Nota ergo ex præsenti canone, quod cum synodali decreto permittitur vacanti episcopo in vacante ecclesia celebrare; quin et in ipso ejus throno sedere. Sæpe enim audivi, quod imperatorio quoque mandato ad id opus est. Interrogaverit autem quispiam, Quomodo intelligi debet illud, esse ejiciendum eum qui illam sic invasit ecclesiam? et dicebant quidem nonnulli hoc de segregatione accipi. Mihi autem videtur esse accipiendum de depositione, secundum canones qui dicunt eos esse deponendos qui ordinant ultra suas diœceses. Si enim, qui ad injuriam unius antistitis, qui est in regione, episcopale quidpiam exerquit, deponitur : multo magis punietur, qui ad perfectæ synodi injuriam tale quid fecit. **446** Sæpe quæsitum est, Quis est is qui vacat, et quænam dicatur vacare Ecclesia? Ac de vacante quidem ecclesia nulla fuit dubitatio : omnes enim dixerunt eam esse vacantem ecclesiam, quæ antistite orbata est : sed de vacante antistite multa fuit controversia, et placuit omnibus

A

B

C

D

ὅπως τοῦτο τετόλμηκεν, ἐδικαιολογεῖτο, μὴ δι' ἄλλο τι κωλυθῆναι τὴν παρ' ἐνορίαν ἐνέργειαν, ἀλλ' ἢ διὰ τὸ μὴ ὑβρίζεσθαι ἢ καταφρονεῖσθαι τὸν τῆς ἐνορίας ταύτης πρόεδρον· ἀρχιερέως δὲ μὴ ὄντος ἐν τῇ σχολαζούσῃ ἐκκλησίᾳ, ἐπεὶ καὶ αὐτὸς τὴν λαχοῦσαν τοῦτον οὐκ ἔχει, ὑπὸ τῶν ἐθνῶν κατεχομένην, οὔτε τὰ τῆς ῥηθείσης ὕβρεως χώραν ἔχει, οὐδὲ αὐτὸς προκριματισθήσεται ἐπέκεινα ὧν ἔχει ἰδιούμενος τὰ ἀλλότρια. Φησὶ τοίνυν ὁ κανὼν τὸν οὕτω ῥιψοκινδύνως ἁρπάζοντα τὸν μὴ δοθέντα αὐτῷ θρόνον ὑπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος, κἂν σχολάζων ἐστὶ, καὶ ἡ τοιαύτη ἐκκλησία σχολάζουσα, ἀπόβλητον γίνεσθαι. Ὡς δέ τινος εἰπόντος ταῦτα χώραν ἔχειν ἔνθα λῃστρικῶς ὁ σχολάζων ἐσφετερίσατο τὴν σχολάζουσαν, οὐ μὴν ὅτε ὁ ταύτης λαὸς καὶ ἄκοντα τὸν σχολάζοντα μετήγαγεν εἰς αὐτήν· προστίθησιν ὁ κανὼν μηδὲ ἀπὸ τούτου συγγινώσκεσθαι τὸν εἰς σχολάζουσαν ἐνορίαν ἀρχιερατικόν τι πράξαντα δίχα συνοδικῆς ἐπιτροπῆς. Ἐπεὶ δὲ, ὡς ἔοικεν, ἀπὸ οἰκονομίας ἐπαρχιωτῶν ἐπισκόπων παρεχωρήθη τις σχολάζων ἱερουργεῖν εἰς σχολάζουσαν, καὶ τοῦ γεγονότος κατακρινομένου, διὰ τὸ μὴ συμψηφίσασθαι καὶ τὸν μητροπολίτην, ἔλεγόν τινες σύνοδον εἶναι καὶ ὀνομάζεσθαι τὴν συνέλευσιν τῶν ἐπαρχιωτῶν, κἀντεῦθεν εἶναι βέβαιον τὸ παρὰ τούτων γινόμενον δίχα τοῦ μητροπολίτου, ὅτι καὶ αἱ ψῆφοι τῶν ἐπισκόπων ἀναντίῤῥητοί εἰσι, γινόμεναι καὶ ταῦτα δίχα τοῦ μητροπολίτου· εἶπον οἱ Πατέρες ἐπὶ ταύτῃ τῇ ὑποθέσει ἐκείνην εἶναι τελείαν σύνοδον, τὴν ἔχουσαν παρουσιάζοντα καὶ τὸν μητροπολίτην· τὸ δὲ τῆς ψήφου ἰδικόν ἐστι, καὶ τὰ ἰδικὰ οὐχ ἕλκονται εἰς ὑπόδειγμα. Ὥστε σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος ὅτι ἐφεῖται μετὰ συνοδικῆς διαγνώσεως παραχωρεῖν τῷ σχολάζοντι ἐπισκόπῳ ἱερουργεῖν εἰς σχολάζουσαν ἐκκλησίαν, καθῆσθαι δὲ καὶ εἰς αὐτὸν τὸν θρόνον αὐτῆς. Ἤκουσα γὰρ πολλάκις ὅτι χρεία ἐστὶ πρὸς τοῦτο καὶ βασιλικῆς προστάξεως. Ἐρωτήσει δέ τις, πῶς ὀφείλει νοηθῆναι τὸ εἶναι ἀπόβλητον τὸν οὕτως ἁρπάσαντα ἐκκλησίαν; Καί τινες μὲν εἶπον ἐκλαμβάνεσθαι τοῦτο εἰς ἀφορισμόν· ἐμοὶ δὲ δοκεῖ εἰς καθαίρεσιν, κατὰ τοὺς κανόνας τοὺς λέγοντας καθαιρεῖσθαι τοὺς παρ' ἐνορίαν χειροτονοῦντας. Εἰ γὰρ ὁ ἐφ' ὕβρει τοῦ ἐγχωρίου ἑνὸς ἀρχιερέως ἐνεργήσας ἀρχιερατικόν τι καθαιρεῖται· πολλῷ πλέον κολασθήσεται ὁ ἐπὶ ὕβρει τελείας συνόδου τοιοῦτόν τι ποιήσας. Πολλάκις συνεζητήθη (50), τίς ἐστιν ὁ σχολάζων, καὶ ποία ἐστὶν ἡ σχολάζουσα. Καὶ περὶ μὲν τῆς σχολαζούσης οὐδεμία γέγονεν ἀμφιβολία· πάντες γὰρ διέγνων σχολάζουσαν εἶναι τὴν χηρεύουσαν ἀρχιερέως· περὶ δὲ τοῦ σχολάζοντος ἦρσε πᾶσι σχολάζοντα εἶναι μὴ δυνάμενον ἀπελθεῖν εἰς ἣν ἐπεκηρύχθη ἐκκλησίαν, διὰ τὸ ὑπὸ ἐθνῶν ἢ αἱρετικῶν ταύτην κατέχεσθαι, ἴσως δὲ κοινωθῆναι καὶ μὴ παραχωρεῖσθαι τὸν ἀρχιερέα

Guill. Beveregii notæ.

(50) *Πολλάκις συνεζητήθη*. Hæc usque ad finem hujus Balsamonis in hunc canonem interpretationis ms. nostro Bodleiano accepta referas : neque enim in Parisiensi editione exstant; nisi quod in supplemento Latina eorum versio a Gentiano Hervetio elaborata habeatur. Sed in Amerbachiano codice, non secus atque in nostro, leguntur.

πόλας βαλεῖν ἐν αὐτῇ· οἷά ἐστι σήμερον ἡ τῶν Ἱεροσολύμων, ἡ τῆς Ἀντιοχείας, ἡ Ταρσοῦ καὶ ἕτεραι· τὰ μὲν γὰρ Ἱεροσόλυμα ἐμιάνθησαν παρὰ ἀθέων Ἀγαρηνῶν, ἡ Ἀντιόχεια κατέχεται παρὰ πατριάρχου Λατίνου, ἡ Ταρσὸς παρὰ Ἀρμενίων· τινὲς δὲ τῶν Ἱεροσολυμιτικῶν ἐκκλησιῶν, τῆς Ἀντιοχείας καὶ τῆς Κωνσταντινουπόλεως οὐ λογίζονται σχολάζουσαι διὰ τὸ τοὺς Ἀγαρηνοὺς καὶ τοὺς Λατίνους παραχωρεῖν τοῖς ἀρχιερεῦσιν ἀρχιερατικῶς οἰκονομεῖν τὰς οἰκείας ἐκκλησίας, καὶ τῶν ἐκεῖσε ὄντων Χριστιανῶν προνοεῖσθαι. Ὅθεν καὶ μετακαλούμενοι οἱ τῶν τοιούτων ἐκκλησιῶν ἀρχιερεῖς ὀφείλουσιν ἀπέρχεσθαι. Τὸ δὲ δίδοσθαί τισιν ἀρχιερεῦσι, μὴ σχολάζουσιν, ἀλλὰ πενομένοις, ἐκκλησίας χηρευούσης, οἰκονομίας λόγος ἐστί· καὶ ὁ κανὼν ὁ λέγων τὴν σχολάζουσαν τῷ σχολάζοντι δίδοσθαι χώραν οὐκ ἔχει. Διὸ καὶ οἱ συνοδικῶς ἐγχωροῦντες καθῆσθαι εἰς τὸ σύνθρονον τῆς κατὰ λόγον οἰκονομίας διδομένης τινὶ ἐκκλησίας ἀκανόνιστόν τι πρᾶγμα ποιοῦσι καὶ ἀσύγγνωστον. Τοῖς γὰρ σχολάζουσιν ὀφείλει δίδοσθαι θρόνος, οὐ μὲν τοῖς ἔχουσι θρόνον ἀρχιερατικόν. Διὰ γὰρ τοῦτο καὶ ὁ μὲν λαμβάνων σχολάζουσαν ἐκκλησίαν ἀρχιερεὺς οὐκέτι καλεῖται ἐπίσκοπος, εἰς ἣν ἐπεκηρύχθη, ἐκκλησίας πρῶτον, ἀλλὰ τῆς δοθείσης αὐτῷ σχολαζούσης· ὡς ὁ μέγας Θεολόγος Γρηγόριος οὐκέτι ἐκλήθη Ναζιανζοῦ, ἀλλὰ Κωνσταντινουπόλεως· οὐδὲ ὁ χειροτονηθεὶς προσεχῶς εἰς Ἀμάσειαν, καὶ μετατεθεὶς εἰς Κερασοῦντα, διὰ τὸ ἀποκαταστῆναι τὸν προκαθαιρεθέντα Ἀμασείας, οὐκέτι ἐκλήθη Ἀμασείας, ἀλλὰ Κερασοῦντος. Ὁ δὲ Κλαυδιουπόλεως λαβὼν τὴν ἰδίαν ἐπισκοπὴν, τὴν Ποντικὴν Ἡράκλειαν, ὡς σχολάζουσαν, καὶ ἐγχωρηθεὶς καθῆσθαι εἰς τὸν σύνθρονον αὐτῆς, ὅπως καλεῖται Κλαυδιουπόλεως ἀπορῶ.

A eum dici vacare, qui non potest proficisci ad eam ecclesiam in quam suffectus est, eo quod vel a gentibus vel etiam ab hæreticis occupetur, et fortasse etiam profanetur communisque reddatur, nec sinatur antistes pedem in eam inferre, cujusmodi est hodie Hierosolymitana Ecclesia, Antiochena, Tarsensis, et aliæ. Hierosolyma enim ab impiis Agarenis polluta sunt, thronus Antiochenus a patriarcha Latino detinetur, et Tarsus ab Armeniis. Nonnullæ autem Hierosolymorum, Antiochiæ, et Constantinopolis ecclesiæ non reputantur vacare, quia Latini et Agareni permittunt antistitibus suas ecclesias episcopaliter administrare, et Christianorum, qui illic sunt, curam gerere. Unde et ejusmodi ecclesiarum evocati antistites debent proficisci. Quod autem dantur quibusdam antistitibus non vacantibus, sed paupertate laborantibus, orbatæ seu vacantes ecclesiæ, est dispensationis ratio : et canon, qui dicit vacantem dandam esse vacanti, locum non habet. Et ideo, qui synodaliter permittunt cuipiam, ut possit etiam in sede illius ecclesiæ, quam dispensationis ratione sibi datam habet, sedere, facinnt contra canonem rem, cui venia danda non est : iis enim, qui vacant, debet dari thronus ; non autem iis, qui habent sedem episcopalem. Propterea enim et antistes, qui vacantem accipit ecclesiam, non amplius vocatur episcopus illius ecclesiæ, in quam primum renuntiatus est, sed ejus, quæ illi ut vacans data est, quemadmodum magnus Theologus Gregorius non amplius dictus est Nazianzenus, sed Constantinopolitanus episcopus, nec qui proxime ordinatus est ad Amaseam, et in Cerasuntem translatus, quia qui prius fuerat depositus, est restitutus, non Amasem episcopus vocatus est, sed Cerasuntis. Claudiopolitanus autem proprium episcopatum, Heracleam Ponticam, ut vacantem adeptus, et in ei quoque conjuncta sede sedere permissus, quomodo Claudiopolitanus appellatur nescio.

B

C

D

ΖΩΝΑΡ. Σχολάζων ἐστὶν ἐπίσκοπος, ὁ μὴ ἔχων ἐκκλησίαν, ἢ ὑπὸ ἐθνῶν κρατουμένην, ἢ ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐν ᾗ ἐχειροτονήθη, μὴ δεχθεὶς, οὐκ αὐτοῦ ὄντος αἰτίαν, ἀλλ' ἀταχτήσαντος τοῦ λαοῦ. Σχολάζουσα δ' ἐστὶν ἐκκλησία ἡ μὴ ἔχουσα ἐπίσκοπον. Εἰ γοῦν σχολάζων ἐπίσκοπος ἐπελθὼν ἐκκλησίᾳ σχολαζούσῃ ἁρπάσει τὸν θρόνον αὐτῆς, κἂν ὁ τῆς πόλεως ἐκείνης λαὸς θελήσῃ αὐτὸν, ἀπόβλητος ἔσται, εἰ μὴ σύνοδος τελεία τὴν σχολάζουσαν αὐτῷ ἐκκλησίαν ψηφίσεται. Ἐκείνη δὲ τελεία λογίζεται σύνοδος, ᾗ καὶ ὁ μητροπολίτης τῆς ἐπαρχίας συμπάρεστιν· ὥστε τελείας συνόδου ψηφισαμένης δίδοσθαι τῷ σχολάζοντι τὴν σχολάζουσαν δυνατόν.

ZONAR. Vacans episcopus ille est, qui vel nullius, vel occupata a gentibus ecclesiæ, præfectus est, vel a populo ejus urbis, cui datus episcopus fuit, nullo ipsius vitio, sed sola populi pervicacia exclusus ; vacans porro ecclesia est, quæ præfectum sibi episcopum non habet. Si ergo vacans episcopus vacantem ecclesiam invadens, thronum illius occuparit ; quamvis illum populus ejus urbis episcopum habere velit, nisi tamen eidem perfecta synodus vacantem illam ecclesiam decreto suo adjudicarit, ab illius ecclesiæ administratione omnino repelli placet. Perfecta vero synodus ea existimatur, cui provinciæ metropolitanus interfuerit ; ut proinde, si id synodus perfecta decreverit, nihil obstet quominus vacans ecclesia episcopo vacanti assignari queat.

ΑΡΙΣΤ. « Ὁ δίχα συνόδου τελείας καὶ αὐτοῦ τοῦ « μητροπολίτου ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἐπι- « πηδῶν, κἂν ᾖ σχολάζων, ἀπόβλητος. »

Τὸν μὲν σχολάζοντα ἐπίσκοπον εἰς σχολάζουσαν ἐκκλησίαν καθίστασθαι παρὰ συνόδου τελείας, παρόντος καὶ τοῦ τῆς μητροπόλεως ἐπισκόπου, ὁ παρὼν κανὼν παραδέχεται· μὴ μέντοι γε ἀφ' ἑαυτοῦ,

ARIST. « Qui sine synodo perfecta, et ipso metro- « politano in vacantem ecclesiam transilit, « etiamsi ipse sit vacans, ejiciendus est. »

Vacantem quidem episcopum in vacanti ecclesia a perfecta synodo, præsente et metropolis episcopo, constitui, præsens canon permittit, non autem a seipso, etiamsi a toto populo thronum usurpare

cogeretur, nisi excommunicari velit. Eum autem qui non vacat, nec omnino et vicesimus primus præsentis synodi canon, et alii varii ut in decimo quarto canone apostolico scribitur, in aliam migrare ecclesiam permittunt, sed in ea manere ecclesia in quam ab initio a Deo ordinatus fuit.

A κἂν ὑπὸ παντὸς τοῦ λαοῦ βιάζηται τὸν θρόνον ὑφαρπάζειν, εἰ μὴ βούλεται γενέσθαι ἀπόβλητος. Τὸν δὲ μὴ σχολάζοντα, οὐδ' ὅλως ὁ εἰκοστὸς πρῶτος κανὼν τῆς παρούσης συνόδου, καὶ ἕτεροι διάφοροι, καθὼς ἐν τῷ τδ' ἀποστολικῷ κανόνι ἐγράφη, μεταπεσεῖν εἰς ἑτέραν ἐκκλησίαν ἀνέχονται· ἀλλὰ μένειν εἰς ἣν ἐτάχθη ἐξ ἀρχῆς ὑπὸ Θεοῦ ἐκκλησίαν

447 CANON XVII.

« Si quis episcopus, accepta manuum impositione « ab episcopo, et populo præesse jussus, munus « non susceperit, nec, ut ad sibi concreditam « ecclesiam proficiscatur, persuaderi possit : is « sit excommunicatus, donec coactus suscipiat, « vel perfecta synodus episcoporum provinciæ « de ipso aliquid decernat. »

ΚΑΝΩΝ ΙΖ'.

« Εἴ τις ἐπίσκοπος, χειροθεσίαν ἐπισκόπου λαβών, « ὁρισθεὶς προεστάναι λαοῦ, μὴ καταδέξοιτο τὴν « λειτουργίαν, μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγ- « χειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοι- « νώνητον, ἕστ' ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ « ὁρίσοι τι περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ « τὴν ἐπαρχίαν ἐπισκόπων.

BALS. Lege apostolicum canonem 36, et dices quæ decreta sunt de præsulibus, qui ad eas ad quas ordinati sunt ecclesias non proficiscuntur. Consequenter ergo præsens quoque canon eadem decernit, adjiciens eum esse segregatum, qui non proficiscitur ad ecclesiam quæ ipsum sortita est; donec aliquid de ipso statuerit synodus quæ eum eligit. Forte enim eum admittet aliquam causam probabilem afferentem. Quia autem illic diximus, non accipi, ut dicunt aliqui, manuum impositionem pro electione, eo quod canon utique de susceptione meminit; debes præsentem quoque canonem sic intelligere.

B ΒΑΛΣ. Ἀνάγνωθι τὸν λς' ἀποστολικὸν κανόνα, καὶ μάθῃς τὰ δεδογμένα περὶ τῶν ἀρχιερέων τῶν μὴ ἀπερχομένων εἰς ἃς ἐχειροτονήθησαν ἐκκλησίας. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται τὰ αὐτά, προστιθέμενος εἶναι ἀφωρισμένον τὸν μὴ ἀπερχόμενον εἰς τὴν λαχοῦσαν αὐτὸν, μέχρις ἂν ὁρίσῃ τι περὶ αὐτοῦ ἡ ψηφισαμένη τοῦτον σύνοδος. Τυχὸν γὰρ παραδέξεται αὐτὸν προσβαλλόμενον εὔλογον αἰτίαν. Ἐπεὶ δὲ ἐκεῖσε εἴπομεν μὴ ἐκλαμβάνεσθαι, καθώς τινες λέγουσι, τὴν χειροτονίαν εἰς ψῆφον, διὰ τὸ μεμνῆσθαι τάχα τὸν κανόνα καταδοχῆς· ὀφείλεις καὶ τὸν παρόντα κανόνα οὕτω νοεῖν.

ZONAR. Si quis ad prælecturam populi vocatus, munus illud, hoc est, servitium sive ministerium, obire recusaverit, communione motus, hoc est, segregatus erit, donec id suscipiat. Quod si recusare omnino pergat, a segregatione hominem absolvi prorsus haud licebit; nisi forte aliquid jam de ipso perfecta synodus constituerit. Causas enim fortasse ob quas a præfecturæ munere excusari velit probabiles afferet, quibus per synodum approbatis multa quoque imposita homini condonabitur.

ΖΩΝΑΡ. Ὁ εἰς προστασίαν λαοῦ καλούμενος, καὶ μὴ πειθόμενος καταδέξασθαι τὴν λειτουργίαν, τουτέστι τὴν διακονίαν, ἀκοινώνητος ἔσται, ἤγουν ἀφωρισμένος, ἕως ἂν καταδέξηται. Εἰ δὲ διόλου ἀπειθεῖ, διόλου ἔσται ἀκοινώνητος, εἰ μή πού τι ὁρίσει περὶ αὐτοῦ τελεία σύνοδος. Ἴσως γὰρ εἴποι ἂν τινας εὐλόγους αἰτίας, δι' ἃς παραιτεῖται τὴν προστασίαν, καὶ δεχθήσεται παρὰ τῆς συνόδου, καὶ τοῦ ἐπιτιμίου λυθήσεται.

C

ARIST. « Qui ordinem suscepit, et ab eo resilit, « excommunicatur, usque dum pœnitentia ductus « manus in se susceperit. »

ΑΡΙΣΤ. « Ἀκοινώνητος ὁ δεξάμενος χειροτονίαν, « καὶ ταύτης ἀποσκιρτῶν, ἕως μεταγνοὺς κατα- « δέξοιτο. »

Qui non persuadetur ad eam quam sibi commissam habet ecclesiam ire, et populo præesse, excommunicatus erit, donec sententiam mutans, animarum curam ipsi concreditam susceperit.

Ὁ μὴ πειθόμενος ἀπελθεῖν εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, καὶ τοῦ λαοῦ προεστάναι, ἀφωρισμένος ἔσται, ἕως ἂν μεταγνοὺς, τὴν προστασίαν τῶν ἐμπιστευθεισῶν τούτῳ ψυχῶν καταδέξηται.

CANON XVIII.

D

ΚΑΝΩΝ ΙΗ'.

« Si quis ordinatus non ierit ad paræciam ad

« Εἴ τις χειροτονηθεὶς (51) εἰς παροικίαν μὴ ἀπέλθῃ

Guill. Beveregii notæ.

(51) *Εἴ τις χειροτονηθείς.* Præter ea quæ Balsamon et Zonaras in hunc canonem scripserunt, in codice Amerbachiano hoc σχόλιον habetur : Ὅτε ὁ τοῦ Χαλκηδόνος Ἰωάννης πατριάρχης ὢν ἐπὶ κγ' ἐνιαυτοὺς παρὰ τοῦ Κομνηνοῦ κυροῦ Ἀλεξίου τοῦ βασιλέως προβληθεὶς ἔθετο, ζήτησις γέγονε περὶ τοῦ εἰ δεῖ τὸν Ἀντιοχείας πατριάρχην Ἰωάννην τὸν ἀποκεχθέντα ἐπὶ κη' ἔτεσιν ὄντα Ἀντιοχείας, μὴ ἀπελθόντα δὲ ἐκεῖσε διὰ τὸ ὑπὸ τῶν Φράγγων κρατεῖσθαι τὴν Ἀντιόχειαν, λογισθῆναι σχολάζοντα, καὶ εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως ἀναχθῆναι. Ἀλλ' οὐκ ἐνοήθη σχολάζων, ὡς χειροτονίας καὶ ψήφους μυρίας ποιησάμενος τῶν ὑπ' αὐτὸν μητροπόλεων, καν ἐνιδρυσάμενος οὐκ ἔφθασε. Γέγονε δὲ πατριάρχης ὁ μέγας οἰκονόμος τῆς Μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεων, παρὰ πάσης τῆς Ἐκκλησίας ζητηθεὶς, καὶ προκριθεὶς παρὰ τοῦ βασιλέως κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ μηνὶ Μαΐῳ, ἰνδικτιῶνος ιβ' ἔτους ,ϛχμβ'. *Quando Joannes Chalcedonius patriarcha a domino Alexio Comneno imperatore promotus, annos 25 sedebat, mota est quæstio, utrum Joannem Antiochenum patriarcham, qui ad thronum Antiochenum 28 annos electus fuerat, sed illuc proficisci non potuit, propterea quod Antiochia a Francis tenebatur, vacantem haberi oportuerit, et ad thronum Constantinopolitanum promoveri : verum non judicatus est vacans, ut qui innumeras in metropoles sibi subjectas electiones et ordinationes fecerat; etiamsi nondum in throno collocatus fuerit. Factus est autem patriarcha magnus œconomus*

« εἰς ἣν ἐχειροτονήθη ἐπίσκοπος, οὐ διὰ τὴν ἑαυ- A
« τοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραί-
« τησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ γενομέ-
« νην· τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουρ-
« γίας, μόνον μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι
« τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο. Ἐκδέχεσθαι
« δὲ τοῦτον, ὃ ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος
« κρίνασα τὸ παριστάμενον ὁρίσῃ.»

ΒΑΛΣ. Ἐν μὲν τῷ ιζ' κανόνι κολάζουσιν οἱ Πατέρες τὸν χειροτονηθέντα καὶ μὴ πειθόμενον ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτόν· ἐν δὲ τῷ παρόντι συγγνώμης ἀξιοῦσι τὸν χειροτονηθέντα καὶ θέλοντα μὲν ἀπελθεῖν εἰς ἣν ἐχειροτονήθη παροικίαν, μὴ παραχωρούμενον δὲ ἢ διὰ τὴν τοῦ ἐν ἐκείνῃ λαοῦ ἀναισχυντίαν, ἢ διὰ ἐπιδρομὴν ἐθνῶν· διὸ καὶ ἐπιτρέπουσι, παρ' ᾗ ἂν εὑρίσκηται ἐνορία, τιμῆς B
ἀξιοῦσθαι, ἤγουν καθέδρας καὶ κλήσεως καὶ ἐνεργείας ἀρχιερατικῆς, μετὰ εἰδήσεως καὶ ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου· πλὴν μέντοι μὴ ἔχειν ὅλως μετουσίαν ἐν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης ἔνθα κατοικεῖ, ἤγουν μὴ διδάσκειν, μὴ χειροτονεῖν, μή ἕτερόν τι ἐνεργεῖν ἀρχιερατικὸν χωρὶς ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου, ἀλλ' ἡσυχάζειν μέχρις ἂν τὸ ποιητέον μάθῃ ἀπὸ οἰκονομίας καὶ κρίσεως τελείας συνόδου.

ΖΩΝΑΡ. Ὁ χειροτονηθεὶς εἰς ἐκκλησίαν πόλεως, καὶ μὴ δυνηθεὶς εἰς αὐτὴν ἀπελθεῖν, ἴσως ὑπὸ ἔθνους κυριευομένην, ἢ χώρας δι' ἧς ὁδεῦσαι αὐτὸν ἀνάγκη ὑπὸ βαρβάρων κατεχομένης, ἢ τοῦ λαοῦ τῆς πόλεως δι' ἀταξίαν οἰκείαν μὴ δεχομένου αὐτὸν, τὴν C
μὲν τιμὴν τὴν προσήκουσαν ἐπισκόπῳ ἕξει καὶ τὴν λειτουργίαν· οὐ γὰρ αἴτιος αὐτός ἐστι τοῦ μὴ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν· παρενοχλεῖν δὲ τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο οὐ παραχωρεῖται. Εἰς γάρ τινα πόλιν ἴσως ἔσται αὐτῷ ἡ κατοικία, καὶ παρὰ τῇ τῆς πόλεως ἐκείνης ἐκκλησίᾳ συνάγοιτο ἄν. Ἐνοχλεῖν οὖν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης οὐκ ἐξέσται αὐτῷ· οὔτε γὰρ διδάσκειν δύναται ἐκεῖ, οὔτε χειροτονεῖν, οὔτε ἱερουργεῖν, εἰ μὴ ἐπιτραπείη, οὔτε τι τῶν προσόδων σφετερίζεσθαι τῆς ἐκκλησίας ἐκείνης. Ἀναρτῆσαι δὲ τὸ πᾶν ὀφείλει εἰς τὴν κρίσιν καὶ οἰκονομίαν τῆς τελείας συνόδου, ὥστε παρ' ἐκείνης αὐτῷ γενέσθαι πρόνοιαν.

« quam est ordinatus episcopus, non sua quidem
« culpa, sed propter populi recusationem, vel
« aliquam aliam causam, quæ a se non oritur :
« is sit et honoris et muneris particeps, dum-
« modo nullam rebus ecclesiæ, in qua conve-
« nit, molestiam afferat. Is autem id suscipiat,
« quod perfecta provinciæ synodus, quod ad se
« allatum est judicando, statuerit. »

BALS. In septimo decimo quidem canone Patres eum puniunt, qui ordinatus fuerit, et non persuadetur ad ecclesiam proficisci, quæ illum sortita est. In præsenti autem canone ei dant veniam, qui ordinatus est, et vult quidem ad eam, ad quam ordinatus est, parœciam proficisci, non sinitur autem, vel propter populi impudentiam, vel propter gentium incursionem : et ideo permittunt, ut in qua invenitur provincia, honore dignus habeatur; cathedra scilicet et vocatione et episcopalis officii exercitio, cum scientia et permissione episcopi illius regionis; nec tamen se omnino ingerat negotiis illius ecclesiæ, in qua habitat, scilicet ne doceat, ne ordinet, neque aliquid aliud episcopale exerceat, sine illius regionis episcopi permissione; sed quiescat, donec quid sit agendum didicerit a perfectæ synodi sententia.

ZONAR. Quicunque ordinatus est, ut ecclesiæ urbis alicujus præsit, et ad eam vel quia forte ethnicorum ditioni subjecta sit, vel quod itinera a Barbaris obsideantur, vel quod a populo ejus urbis insolentius pervicaci non admittatur, minime proficisci potuerit, dignitatem ille quidem episcopi, liturgiæque exercendæ facultatem, obtinebit (nec enim per ipsum factum est, ut ab ecclesiæ, cui destinatus est statione diutius abesset), 448 verum ne se illius Ecclesiæ, in qua degit, negotiis immisceat, interdictum. Est enim illi forte in urbe aliqua domicilium, suosque in illius urbis ecclesia conventus agit. Ejus igitur ecclesiæ negotiorum partem aliquam attingere homini haud licebit. Neque enim in ea docendi, neque ordinis conferendi, neque sacra faciendi, nisi ejus rei concessa facultate, neque vero aliquid ex illius ecclesiæ reditibus in suos usus transferendi potestas erit. Universa porro ab illo perfectæ synodi judicio consilioque permitti decet, ut quod ipsius rationibus maxime opportunum fore videbitur, statuat.

ΑΡΙΣΤ. « Μετεχέτω τῆς τιμῆς ἐπίσκοπος ὁ χειροτο- D
« νηθεὶς, καὶ μηδαμῶς δεχόμενος παρὰ τῆς πό-
« λεως καὶ λειτουργείτω μόνον, ἀναμένων ὅ τι
« ἂν ἡ τῆς ἐπαρχίας ἀποφαίνοιτο σύνοδος.»

Ὁ μὴ παρ' αἰτίαν ἰδίαν παρὰ τῆς πόλεως προσδεχθεὶς ἐν ᾗ ἐχειροτονήθη, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν· καὶ τῆς τιμῆς μετέχει, καὶ λειτουργεῖν οὐ κεκώλυται. Ὀφείλει δὲ προσκαρτερεῖν, καὶ μή τινι στρατιωτικῇ βοηθείᾳ χρήσασθαι, ἢ δυναστείᾳ

ARIST. « Episcopus ordinatus et a civitate non
« acceptus honore frustur, et munus tantum
« obeat, exspectans quid provinciæ synodus
« pronuntiaverit. »

Qui non suam ob causam a civitate admittitur in quam ordinatus fuit, sed propter populi improbitatem : et honoris particeps est, et sacra facere non prohibetur. Debet autem patienter manere, et non militari aliquo uti auxilio aut alia potestate,

Guill. Beveregii notæ.

Magnæ Ecclesiæ Constantinopolitanorum, ab universa Ecclesia quæsitus, et ab imperatore domino Joanne Comneno electus mense Maio, indictione 12, *an.* 6642.

donec perfecta provinciæ synodus, quod ipsi de eo visum est, decreverit.

CANON XIX.

« Episcopus ne ordinetur absque synodo et præ-
« sentia metropolitani provinciæ : eo autem
« præsente, omnino melius est omnes una cum
« eo adesse comministros, qui sunt in provincia,
« et oportet per epistolam metropolitanum eos
« convocare, et si omnes quidem accesserint,
« melius est : sin autem hoc fuerit difficile,
« plures omnino adesse oportet, vel per litteras
« una cum illis suffragium ferre, et sic cum
« plurium præsentia vel electione fieri constitu-
« tionem. Sin autem aliter præter hæc, quæ
« decreta sunt, fiat, non valeat ordinatio. Si
« vero ex præfinito canone facta fuerit consti-
« tutio, aliqui autem propter suum contentionis
« studium contradicant, vincat plurium suffra-
« gium. »

BALS. Quomodo oporteat eligere antistites, ex quarto canone primæ synodi didicimus. Et præsens canon eadem præcipit. Adjicit autem, electionem quæ præter ea quæ hic decreta sunt sancta fuerit, esse irritam et invalidam : et quod, cum ii qui eligunt in plures sententias dividuntur, plurium vincent suffragia. Cum audiveris autem canonem dicentem, non fieri electionem sine præsentia metropolitani, ne dixeris eum debere adesse in electione (hoc est enim prohibitum, sicut in aliis canonibus dictum est) : sed die præsentiam hic ejus permissionem vel suasionem esse, sine qua fieri non potest electio.

ZONAR. Primum quidem notandum est, ordinationis nomine hoc loco suffragii calculum, non autem perfectam cum manuum impositione episcopi institutionem intelligi. Primus namque sanctorum apostolorum canonum a duobus tribusve episcopis episcopum creari, ab uno sacerdotem et diaconum : hic vero omnes provinciæ episcopos aut plures certe adesse, vel reliquorum sententiæ per litteras assentiri jubet. Ut ex hoc suffragium quoque ordinationis voce indicari certissime comprobetur. Diximus porro in canonis apostolici primi, et primæ synodi quarti explicatione de hac re fusius. Quandocunque igitur episcopus aliquis ordinari seu eligi debet, ejus provinciæ metropolitanum imprimis, deinde episcopos plerosque ejusdem litteris in metropolitanam urbem evocatos adesse; qui vero justa causa impediti convenire haud potuerint, aliorum sententiæ per litteras subscribere, atque eo pacto hunc hominem hujus urbis episcopum constitui aut eligi oportere, canon decernit; ac si aliter fiat, irritam esse ordinationem jubet. Quod si electione ex hujus constitutionis præscripto canonice habita, adhuc tamen eam episcopi forte aliqui contentionis cupidi haud probent, ratam nihilominus esse eamque sententiam, quæ numero potior est superiorem haberi placet. Quod eodem modo sexto quoque Nicænæ synodi *canone* definitum est.

μέχρις ὅν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος τὸ δοκοῦν αὐτῇ περὶ τούτου ὁρίσῃ.

ΚΑΝΩΝ ΙΘ'.

« Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ
« παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας·
« τούτου δὲ παρόντος, ἐξάπαντος βέλτιον μὲν συν-
« εῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλει-
« τουργοὺς, καὶ προσήκει δι' ἐπιστολῆς τὸν ἐν τῇ
« μητροπόλει συγκαλεῖν, καὶ εἰ μὲν ἅπαντες οἱ
« πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς τοῦτο εἴη, τοὺς
« γε πλείονας ἐξάπαντος παρεῖναι δεῖ, ἢ διὰ γραμ-
« μάτων ὁμοψήφους γενέσθαι, καὶ οὕτω μετὰ τῆς
« τῶν πλειόνων παρουσίας ἢ ψήφου γίνεσθαι τὴν
« κατάστασιν. Εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα
« γίνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν. Εἰ δὲ
« κατὰ τὸν ὡρισμένον κανόνα γίγνοιτο ἡ κατά-
« στασις, ἀντιλέγοιεν δέ τινες δι' οἰκείαν φιλο-
« νεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον. »

ΒΑΛΣ. Πῶς δεῖ ψηφίζεσθαι τοὺς ἀρχιερεῖς, ἐμάθομεν ἀπὸ τοῦ δ' κανόνος τῆς πρώτης συνόδου. Καὶ ὁ παρὼν δὲ κανὼν τὰ αὐτὰ παραγκελεύεται. Προστίθησι δὲ τὴν γενομένην ψῆφον παρὰ τὰ ἐνταυθοῖ διωρισμένα ἀνίσχυρον εἶναι· καὶ ὅτι τῶν ψηφιζομένων μεριζομένων εἰς διαφόρους γνώμας, ἡ τῶν πλειόνων ψῆφος νικᾷ. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ γίνεσθαι ψῆφον χωρὶς παρουσίας τοῦ μητροπολίτου, μὴ εἴπῃς ὀφείλειν καὶ αὐτὸν παρουσιάζειν εἰς τὴν ψῆφον· τοῦτο γὰρ κεκώλυται, καθὼς ἐν ἑτέροις κανόσι διελήφθη· ἀλλὰ παρουσίαν εἰπὲ ἐνταῦθα τὴν τούτου προτροπήν, ἧς χωρὶς ψῆφον γενέσθαι ἀδύνατον.

ΖΩΝΑΡ. Πρῶτον μὲν σημειωτέον ὅτι χειροτονίαν ὁ κανὼν ἐνταῦθα τὴν ψῆφον λέγει, οὐχὶ τὴν τελεσιουργίαν τοῦ ἐπισκόπου καὶ τὴν χειροθεσίαν. Ὁ γὰρ πρῶτος τῶν ἁγίων ἀποστόλων κανὼν ὑπὸ δύο ἢ τριῶν ἐπισκόπων χειροτονεῖσθαι κελεύει ἐπίσκοπον, ἱερέα δὲ καὶ διάκονον, ὑφ' ἑνός· οὗτος δὲ πάντας θέλει παρεῖναι τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, ἢ τέως τοὺς πλείονας, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι. Ὡς ἐντεῦθεν σαφέστατα δείκνυσθαι ὅτι καὶ τὴν ψῆφον χειροτονίαν ὠνόμασεν. Εἴρηται δὲ περὶ τούτου πλατύτερον ἐν τῇ ἐξηγήσει τοῦ α' ἀποστολικοῦ κανόνος, καὶ τοῦ τετάρτου τῆς α' συνόδου. Ὅτε οὖν χειροτονία ἤτοι ψήφισμα μέλλει γενέσθαι ἐπισκόπου, παρεῖναι δεῖν φησιν ὁ κανὼν ἐξάπαντος τὸν μητροπολίτην τῆς ἐπαρχίας, εἶτα καὶ τοὺς πλείονας τῶν ἐπισκόπων δι' ἐπιστολῆς τοῦ μητροπολίτου συγκαλουμένους ἐν τῇ μητροπόλει· τοὺς δὲ μὴ συνιόντας διά τινα αἰτίαν ἀναγκαίαν διὰ γραμμάτων ὁμοψήφους γίνεσθαι, καὶ οὕτω, γίνεσθαι τὴν κατάστασιν ἤτοι τὴν ψῆφον τὴν καθιστῶσαν τόνδε εἰς τὴν πόλιν ἐπίσκοπον· εἰ δὲ μὴ οὕτως γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. Τῆς δὲ ψήφου κατὰ τὴν παρατήρησιν ταύτην γενομένης κανονικῶς, εἴ τινες ἴσως ἐπίσκοποι ἀντιλέγοιεν φιλονείκως, μὴ ἐμποδίζειν τῇ ψήφῳ, ἀλλὰ κρατεῖν τὴν τῶν πλειόνων γνώμην. Τοῦτο δὲ ὁ ἕκτος κανὼν τῆς ἐν Νικαίᾳ συνόδου οὕτω διατάττεται.

ΑΡΙΣΤ. « Εἰ μὴ σύνοδος εἴη καὶ ὁ μητροπολίτης, μὴ γινέσθω ἐπίσκοπος. Εἰ δὲ διά τι δυσχερὲς, συνάγοιντο ἅπαντες, τέως οἱ πλείους, ἢ γράμμασιν ἔσοιντο σύμψηφοι. Εἰ δ' οὕτω τοῦ πράγματος τελουμένου φιλονεικοῖέν τινες, ἡ τῶν πλειόνων ψῆφος ἰσχυέτω.

A 449 ARIST. « Si non sit synodus et metropolitanus, ne fiat episcopus. Si vero propter aliquam difficultatem omnes non conveniant, saltem plures, vel litteris assentiantur. Si autem re ita peracta, contendant aliqui, plurium suffragium valeat. »

Εἴρηται πολλάκις τὸ μήτε τὸν μητροπολίτην μήτε τοὺς ἐπισκόπους ἄνευ τῆς τῶν ἀδελφῶν γνώμης ψηφίζεσθαι ἐπίσκοπον. Εἰ δὲ πάντες οἱ τῆς ἐπαρχίας ἐπίσκοποι συνελθεῖν τῇ ψήφῳ οὐ δύνανται διά τινα δυσχέρειαν, τέως οἱ πλείους συνερχέσθωσαν, ἢ διὰ γραμμάτων γενέσθωσαν τοῖς παροῦσιν ὁμόψηφοι· καὶ οὕτω τῆς ψήφου τελουμένης, ἐάν τινες, ὡς ἐριστικοὶ, ἀντιλέγοιεν, ἡ τῶν πλειόνων κρατείτω ψῆφος.

Sæpius diximus nec metropolitanum nec episcopos sine fratrum sententia episcopum eligere. Si autem omnes provinciæ episcopi ad sententiam ferendam convenire non possunt, ob aliquam difficultatem, saltem plures conveniant, aut per litteras præsentibus consensum suum attestentur. Et sic sententia perfecta, si nonnulli ut contentiosi contradixerint, B plurium sententia valeat.

ΚΑΝΩΝ Κ'.

« Διὰ τὰς ἐκκλησιαστικὰς χρείας καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις καλῶς ἔχειν ἔδοξε συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῶν ἐπισκόπων γίνεσθαι δεύτερον τοῦ ἔτους· ἅπαξ μὲν μετὰ τὴν τρίτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ Πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν σύνοδον, ὑπομιμνήσκοντος τοὺς ἐπαρχιώτας τοῦ ἐν τῇ μητροπόλει· τὴν δὲ δευτέραν σύνοδον γίνεσθαι εἰδοῖς ὀκτωβρίαις, ἥτις ἐστὶ δεκάτη Ὑπερβερεταίου, ὥστε ἐν αὐταῖς ταύταις ταῖς συνόδοις πρσιέναι πρεσβυτέρους καὶ διακόνους, καὶ πάντας τοὺς ἠδικῆσθαι νομίζοντας, καὶ παρὰ τῆς συνόδου ἐπικρίσεως τυγχάνειν· μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοὺς συνόδους ποιεῖσθαι, ἄνευ τῶν πεπιστευμένων τὰς μητροπόλεις. »

CANON XX.

« Propter usus ecclesiasticos, et pro dirimendis controversiis, recte habere visum est, ut synodi episcoporum in unaquaque provincia bis in anno fiant: semel quidem post tertiam hebdomadem festi Paschæ, ut quarto hebdomade Pentecostes perficiatur synodus, metropolitano provinciales episcopos admonente; secundam vero synodum idibus Octobris futuram, qui est decimus Hyperberetæi, ut in his ipsis synodis accedant presbyteri et diaconi, et omnes qui se injuria affectos putant, et a synodo judicium assequantur: nullis autem liceat synodos per se facere, sine iis quibus sunt creditæ metropoles. »

ΒΑΛΣ Περὶ τῶν ὀφειλουσῶν ἐτησίως γίνεσθαι συνόδων ἱκανῶς διειλήφθη ἐν τῷ λζ' ἀποστολικῷ κανόνι καὶ ἐν τῷ η' κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Καὶ ἀνάγνωθι τὰ ἐν αὐτοῖς γραφέντα. Ὁ δὲ παρὼν κανὼν προστίθησι μὴ γίνεσθαι τὰς συνόδους χωρὶς παρουσίας τοῦ μητροπολίτου.

BALS. De synodis quæ debent fieri annuatim satis dictum est in tricesimo septimo apostolico canone, et in octavo canone synodi in Trullo. Et lege quæ in ipsis scripta sunt. Præsens autem canon adjicit non fieri synodos sine præsentia metropolitani.

ΖΩΝΑΡ. Καὶ τοῖς ἁγίοις ἀποστόλοις δὶς τοῦ ἔτους συνόδους ἐφ' ἑκάστῃ τῶν ἐπαρχιῶν γίνεσθαι ἔδοξε, καὶ τῇ ἐν Νικαίᾳ πρώτῃ συνόδῳ ἐν πέμπτῳ κανόνι τὰ αὐτὰ κεκανόνισται. καὶ τῇ παρούσῃ ὁμοίως ὥρισται περὶ τῶν συνόδων. Ὁ δγδοος δὲ κανὼν τῆς ς' συνόδου διετάξατο μίαν ἐτησίως γίνεσθαι σύνοδον. Λέγει δὲ ὁ παρὼν κανὼν τὰς συνόδους ὀφείλειν γίνεσθαι διὰ τὰς ἐκκλησιαστικὰς χρείας, ἤγουν τὰς περί τινων ἴσως καταστάσεων ἐκκλησιαστικῶν ζητήσεις, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, ἤτοι τὰς αἰτιάσεις τὰς παρά τινων ἴσως κατὰ ἐπισκόπων φερομένας, ὡς ἀδίκως αὐτοὺς ἀφορισάντων ἢ καθελόντων, καὶ ἄλλας τινὰς τοιαύτας ἀμφιβολίας. Τέταχται δὲ καὶ ὁ καιρὸς ἑκάστης συνόδου, τῆς μὲν πρώτης ἡ τετάρτη ἑβδομὰς τῆς Πεντηκοστῆς· τῆς δὲ δευτέρας αἱ τοῦ Ὀκτωβρίου εἰδοῖ. Τὰς γὰρ ἑκάστου μηνὸς ἡμέρας οἱ παλαιοὶ εἰς τρεῖς κατεμέριζον τάξεις, καὶ τὰς

ZONAR. De bina annua synodo in unaquaque provincia celebranda, et sanctorum apostolorum decreto, et quinto Nicænæ primæ synodi canone constitutum est; et eadem, quod ad conventuum synodicorum rationem attinet, hæc quoque synodus definivit. Unam porro in singulos annos synodum habendam esse octavo sextæ synodi canone sancitum est. Has vero synodos ad res Ecclesiæ componendas, hoc est, ut in iis de rebus ad constitutionem ecclesiasticam spectantibus deliberetur, controversiæque dirimantur, eorum videlicet qui episcopos forte accusant, quod se ab illis injuste segregatos aut depositos esse autument, contentionesque aliæ hujus generis tollantur, haberi oportere hic canon affirmat. Tempus vero etiam utriusque synodi præfinitum; ac priori quidem quarta hebdomada Pentecostes, posteriori vero celebrandæ .dus Octobris constitutæ. Prisci

namque dies cujusque mensis in tres ordines dividebant; ac primo quidem calendas statuebant; qui eas consequerentur, idus: postremos demum nonas appellabant. A solis autem episcopis, non adhibito cujusque provinciæ metropolitano, synodum haberi canon vetat.

ARIST. « Propter ecclesiasticas necessitates bis « quotannis in unaquaque provincia celebretur « synodus; quarta Pentecostes hebdomade, et « decima die Hyperberetæi. »

Scribitur et in tricesimo septimo canone apostolico, quod contrahitur illud, bis quotannis in unaquaque provincia haberi synodum. Et decretum fuit ab octavo sextæ in Trullo synodi canone, et a sexto synodi Nicænæ secundæ canone semel quotannis episcoporum cujusque provinciæ fieri conventum, inter Pascha et mensem Octobrem, et canonicas ab eis solvi quæstiones.

450 CANON XXI.

« Episcopus ab alia paroecia in aliam ne transeat, « nec sua se sponte ingerens, nec a populis vi « adactus, nec ab episcopis coactus: maneat « autem in ea, in quam ab initio vocatus est, « ecclesia, et ab ea non recedat, secundum de- « cretum prius de ea re editum. »

BALS. Quære canonem apostolicum 14, et synodi primæ canonem 15.

ZONAR. Multi de hac quoque re canones promulgati fuere. Idem namque et apostolico decimo quarto et Nicænæ primæ synodi quinto decimo canone constitutum. Hic vero canon aliquid etiam amplius adjungit; et quantumvis populo urbis adigente, hoc est, vehementissime urgente (præpositiones namque significationem augent), quamvis etiam episcopo aliquo acrius impellente, relicta urbe quam sortitus est in aliam demigrandi facultate omnino episcopo cuilibet interdictum esse decernit.

ARIST. « Episcopus etiam a populis coactus, et « ab episcopis compulsus, in aliam paroeciam ne « transeat. »

Episcoporum translatio omnino prohibetur, quamvis a populo, quamvis ab episcopis transilire ad aliam provinciam impellantur.

CANON XXII.

« Episcopus in aliam civitatem quæ ei subjecta « non est, non ascendat, nec in regionem, quæ « ad eum non pertinet, ad alicujus ordinationem, « nec presbyterum vel diaconum constituat in « locis alii episcopo subjectis, nisi cum volun- « tate proprii illius regionis episcopi. Si quis « tale quid ausus fuerit, infirma sit ordinatio, « et ipse a synodo puniatur. »

BALS. Lege etiam quartumdecimum canonem apostolicum, et quintum decimum Nicænæ primæ synodi, et disces ex illis, et ex duobus præsentibus

μὲν πρώτας ἐκάλουν καλάνδας· ταῖς δὲ μετ' ἐκείνας εἰδοῖς ἦν ἡ κλῆσις· ταῖς δὲ τελευταίαις νόνναι. Οὐ παραχωρεῖ δὲ ὁ κανὼν μόνους τοὺς ἐπισκόπους συνιστᾷν σύνοδον, μὴ παρόντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας.

ΑΡΙΣΤ. « Διὰ τὰς ἐκκλησιαστικὰς χρείας δὶς τοῦ « ἔτους γενέσθω σύνοδος καθ' ἑκάστην ἐπαρχίαν, « τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς καὶ τῇ « δεκάτῃ ἡμέρᾳ Ὑπερβερεταίου. »

Ἐγράφη καὶ ἐν τῷ λζ' ἀποστολικῷ κανόνι ὡς συνεστάλη τὸ δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν σύνοδον γίνεσθαι· καὶ ὡρίσθη παρά τε τοῦ ἁγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου καὶ τοῦ ἕκτου κανόνος τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας γίνεσθαι τὴν συνάθροισιν μεταξὺ τοῦ Πάσχα καὶ τοῦ Ὀκτωβρίου μηνός, καὶ τὰς κανονικὰς ζητήσεις λύεσθαι παρ' αὐτῶν.

ΚΑΝΩΝ ΚΑ'.

« Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν « μὴ μεθίστασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα « ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον, μήτε « ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον, μένειν δὲ εἰς ἣν « ἐκλήθη ἐξαρχῆς ἐκκλησίαν, καὶ μὴ μεθίστασθαι « αὐτῆς, κατὰ τὸν ἤδη πρότερον περὶ τούτου ἐξ- « ενεχθέντα ὅρον. »

ΒΑΛΣ. Ζήτει ἀποστολικὸν κανόνα ιδ', καὶ α' συνόδου τε'.

ΖΩΝΑΡ. Καὶ περὶ τούτου τοῦ κεφαλαίου διάφοροι κανόνες ἐξεφωνήθησαν. Ὅ τε γὰρ ἀποστολικὸς ιδ' κανὼν περὶ τούτου θεσμοθετεῖ καὶ ὁ ιε' κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. Οὗτος δὲ ὁ κανὼν καὶ πλέον τι προστίθησι· τοῦτο δ' ἔστι τὸ κἂν ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐκείνης ἐκβιάζηται, ἀντὶ τοῦ σφοδρότατα βιάζηται· αἱ γὰρ προθέσεις ἐπίτασιν δηλοῦσι· κἂν ὑπὸ ἐπισκόπου ἀναγκάζηται, μὴ πείθεσθαι καταλιπεῖν τὴν, ἐν ᾗ ἐκληρώθη, πόλιν, καὶ ἀπελθεῖν εἰς ἑτέραν.

ΑΡΙΣΤ. « Ἐπίσκοπος καὶ ὑπὸ λαῶν βιαζόμενος « καὶ ὑπὸ ἐπισκόπων ἀναγκαζόμενος, μὴ μεθι- « στάσθω εἰς παροικίαν ἑτέραν. »

Ἀπηγόρευται καθόλου τῶν ἐπισκόπων ἡ μετάθεσις, κἂν ὑπὸ τοῦ λαοῦ, κἂν ὑπὸ ἐπισκόπων μεταπεσεῖν εἰς ἑτέραν παροικίαν βιάζονται.

ΚΑΝΩΝ ΚΒ'.

Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει τῇ μὴ « ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ αὐτῷ μὴ « διαφερούσῃ ἐπὶ χειροτονίᾳ τινὸς, μηδὲ καθι- « στᾷν πρεσβύτερον ἢ διάκονον εἰς τόπους « ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους, εἰ μὴ ἄρα μετὰ « γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου. Εἰ δὲ « τολμήσειέν τις τοιοῦτο, ἄκυρον εἶναι τὴν « χειροτονίαν καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς « συνόδου τυγχάνειν. »

ΒΑΛΣ. Ἀνάγνωθι καὶ τὸν ιδ' ἀποστολικὸν κανόνα, καὶ τὸν ιε' τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ μάθῃς ἐξ ἐκείνων τε καὶ ἀπὸ τῶν παρόντων δύο

κανόνων. ἀλλὰ μὴν καὶ ἐξ ἑτέρων πολλῶν, ὅπως κολάζονται οἱ παρ' ἐνορίαν χειροτονοῦντές τε καὶ χειροτονούμενοι χωρὶς προτροπῆς τοῦ κατὰ χώραν ἐπισκόπου. Ἀνάγνωθι καὶ τὸν λε' ἀποστολικὸν κανόνα καὶ τὸν τῆς δευτέρας συνόδου τὸν β'.

ZΩNAP. Καὶ τοῦτο διαφόροις κανόσι κεκώλυται, τὸ μήτε εἰς πόλιν μήτε εἰς χώραν ἄλλῳ ὑποκειμένην ἐπισκόπῳ ἕτερον ἀπιέναι ἐπίσκοπον καὶ χειροτονεῖν, εἰ μὴ παραχωρηθείη παρὰ τοῦ ἐπισκόπου τῆς χώρας ἐκείνης· εἰ δὲ ἄλλως ἀπέλθῃ καὶ χειροτονήσει, τὴν μὲν χειροθεσίαν ἄκυρον εἶναι, τὸν δὲ χειροτονήσαντα ἐπιτιμᾶσθαι. Ἀναγνωστέον καὶ τὸν δεύτερον κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου.

ARIST. « Ἐπὶ τὸ χειροτονεῖν τινας ἐπίσκοπος ἐκ πόλεως εἰς πόλιν μὴ ἀπιέτω, ἀλλ' ἢ γνώμῃ τοῦ ἐπισκόπου τῆς πόλεως· εἰ δ' οὔ, ἀβέβαιος ἡ χειροτονία, κἀκεῖνος ὑπόδικος. »

Τὰ αὐτὰ τῷ τρισκαιδεκάτῳ κανόνι καὶ ὁ κανὼν οὗτος λέγει, τὸ ἕκαστον τῶν ἐπισκόπων τὰ τῆς ἰδίας ἐνεργεῖν παροικίας, καὶ εἰς ἑτέραν μὴ ἀπιέναι, καὶ χειροτονίας ποιεῖσθαι, ἢ ἕτερόν τι ἐπισκοπικὸν πράττειν, ἄνευ γνώμης τοῦ ἐγχωρίου ἐπισκόπου· εἰ μὴ βούλεται καὶ καθαιρέσει γενέσθαι ὑπόδικος, καὶ τὰ παρ' αὐτοῦ πραχθέντα μεῖναι ἀβέβαια.

ΚΑΝΩΝ ΚΓ'.

« Ἐπισκόπῳ μὴ ἐξεῖναι ἀντ' αὐτοῦ καθιστᾷν « ἕτερον (52) ἑαυτοῦ διάδοχον, κἂν περὶ τῇ τελευτῇ « τοῦ βίου τυγχάνῃ· εἰ δέ τι τοιοῦτον γίνοιτο, « ἄκυρον εἶναι τὴν κατάστασιν, φυλάττεσθαι δὲ « τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν περιέχοντα δεῖν « μὴ ἄλλως γίνεσθαι ἐπίσκοπον, ἢ μετὰ συνόδου « καὶ ἐπικρίσεως ἐπισκόπων, τῶν μετὰ τὴν κοί- « μησιν τοῦ ἀναπαυσαμένου τὴν ἐξουσίαν ἐχόν- « των τοῦ προάγεσθαι τὸν ἄξιον. »

BAAΣ. Ὁ ος' κανὼν τῶν ἁγίων ἀποστόλων λέγει μὴ ἐξεῖναι τῷ ἐπισκόπῳ χειροτονεῖν ὃν βούλεται ἀντ' αὐτοῦ. Τὰ αὐτὰ οὖν καὶ ὁ παρὼν κανὼν θεσπίζει, προστιθέμενος μὴ ἄλλως γίνεσθαι ἐπίσκοπον, εἰ μὴ, θανόντος τοῦ ἐπισκόπου, ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσεται.

ZΩNAP. Καὶ ὁ ος' κανὼν τῶν ἁγίων ἀποστόλων μὴ ἐξεῖναι λέγει τῷ ἐπισκόπῳ χειροτονεῖν, ὃν βού-

canonibus, quinetiam ex multis aliis, quomodo puniantur qui ultra suæ regionis fines ordinant et ordinantur, sine permissione regionis episcopi. Lege et tricesimum quintum canonem apostolicum et canonem 2 synodi secundæ.

ZONAR. Hoc quoque! plurium canonum sanctionibus vetitum est, ac episcopo in urbem, aut regionem alterius episcopi ditioni subjectam, proficisci, ibique ordines conferre, nisi facultate ab ejus loci episcopo impetrata, ne liceat, constitutum : quod si tamen abierit, ordinesque contulerit, collationem quidem irritam esse : ipsum vero, qui contulit, multæ irrogatione puniri jubent. Vide secundæ quoque œcumenicæ synodi canonem secundum.

ARIST. « Episcopus a civitate in civitatem ad « aliquos ordinandos ne abeat, præterquam ex « civitatis episcopi sententia : alioquin invalida « sit ordinatio, et ipse judicio obnoxius. »

Eadem ac tertius decimus canon et hic canon dicit, unumquemque episcoporum quæ ad suam pertinent paroeciam facere, et aliam non adire, ordines conferre, vel aliquod aliud munus episcopale obire, sine regionis episcopi sententia, nisi vellet et se depositioni fieri obnoxium, et quæ ab eo facta sunt, infirma manere.

CANON XXIII.

« Ne liceat episcopo alium pro se successorem « constituere, etiamsi sit in fine vitæ : si quid « autem fiat ejusmodi, irrita sit constitutio. « Servetur autem ritus ecclesiasticus, qui dicit, « non aliter debere fieri episcopum quam cum « synodo et judicio episcoporum, qui post de- « functi dormitionem potestatem habent di- « gnum provehendi. »

BALS. Septuagesimus sextus sanctorum apostolorum canon dicit, non licere episcopo quem velit loco suo eligere. Eadem ergo præsens quoque canon decernit, adjiciens, non aliter fieri episcopum, quam si, mortuo episcopo, dignum provinciæ synodus elegerit.

451 ZONAR. Et septuagesimus sextus sanctorum apostolorum canon ne episcopo liceat quemcunque

Guill. Beveregii notæ.

(52) *Ἐπισκόπῳ μὴ ἐξεῖναι ἀντ' αὐτοῦ καθιστᾷν ἕτερον ἑαυτοῦ διάδοχον.* Ante celebratam hanc synodum Narcissus Hierosolymorum episcopus, senio jam confectus, Alexandrum sibi adjutorem in eodem episcopatu constituit; sed divinitus per somnium prius admonitus; ut testatur Eusebius, qui de Narcisso loquens, ait : Καὶ δὴ μηκέθ' οἷόν τε ὄντος λειτουργεῖν διὰ λιπαρὸν γῆρας, τὸν εἰρημένον Ἀλέξανδρον ἐπίσκοπον ἑτέρας ὑπάρχοντα παροικίας οἰκονομίᾳ Θεοῦ ἐπὶ τὴν ἅμα τῷ Ναρκίσσῳ λειτουργίαν ἐκάλει, κατὰ ἀποκάλυψιν νύκτωρ αὐτῷ δι' ὁράματος φανεῖσαν. Euseb. *Hist. Eccles.* lib. vi, cap. 11. Sic etiam Theotecnus Cæsareæ Palæstinæ episcopus Anatolium, non modo coadjutorem, sed et successorem sibi creavit; ut idem Eusebius de Anatolio verba faciens, scribit, τούτῳ πρῶτος ὁ τῆς Παλαιστινῶν Καισαρείας ἐπίσκοπος Θεότεκνος χεῖρας εἰς ἐπισκοπὴν ἐπιτίθεικε, διάδοχον ἑαυτοῦ μετὰ τελευτὴν πορισάμενος τῇ ἰδίᾳ παροικίᾳ προνοούμενος· καὶ δὴ ἐπὶ σμικρόν τινα χρόνον ἅμφω τῆς αὐτῆς προΐστησαν ἐκκλησίας. Id. l. vi, c. 32. Hoc autem a præsenti canone prohibetur. Sed et post editum hunc canonem plurima in contrarium exempla passim occurrunt. Ut alia omittam Severus in Milevitana Ecclesia *successorem sibi designavit*, ut ait B Augustinus epist. 110. Quinetiam ipse ille Augustinus ordinatus est episcopus Hipponensis a Valerio adhuc superstite; et ipse postea Eradium sibi successorem designavit, ut ibidem testatus est. Sed quod observandum est, omnes hæ electiones cleri populique suffragiis comprobatæ sunt; quæ etiam, quantum ad eam, quam ipse fecerat, per notarios divus Augustinus excipi voluit.

collibitum fuerit ordinibus insignire; idque si A fecerit, cum ordinum collationem irritam habendam, tum eum, qui contulit, segregatione puniendam esse, decernit. Eadem hujus quoque canonis decreto sancita, ac præter eum, quem, episcopo vita functo, dignum eo munere provinciæ synodus electum crearit, alium episcopum habere ne liceat constitutum.

ARIST. « Episcopus in vitæ exitu alium ne consti-
« tuat episcopum : illo autem vita functo, a
« synodo eorum qui potestatem habent, dignus
« provehatur. »

Non licet episcopo moribundo, cum moritur, alium episcopum sui loco constituere. Sed provinciæ synodus post ejus mortem juxta sententiam illius etiam provinciæ metropolitani, dignum ordinabit. B

λεται· εἰ δὲ χειροτονήσῃ (53), ἄκυρόν τε τὴν χειροτονίαν εἶναι, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι. Ταῦτα οὖν καὶ ὁ παρὼν θεσπίζει κανὼν, καὶ μὴ δεῖν ἄλλως γίνεσθαι ἐπίσκοπον, εἰ μὴ, θανόντος τοῦ ἐπισκόπου, ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσεται καὶ καταστήσει.

ΑΡΙΣΤ. « Μὴ καθιστάτω ἕτερον ἐπὶ τῇ ἐξόδῳ ἐπί-
« σκοπον ὁ ἐπίσκοπος· ἐκείνου δὲ κοιμηθέντος,
« μετὰ συνόδου τῶν ἐχόντων ἐξουσίαν ἄξιος προ-
« βιβλήσθω. »

Οὐκ ἔξεστι τῷ τελευτῶντι ἐπισκόπῳ ἐν τῷ τελευτᾷν ἐπίσκοπον ἕτερον ἀντ' αὐτοῦ καθιστᾷν· ἀλλ' ἡ σύνοδος τῆς ἐπαρχίας μετὰ θάνατον αὐτοῦ κατὰ γνώμην καὶ τοῦ ταύτης μητροπολίτου τὸν ἄξιον προχειρίζεται.

CANON XXIV.

« Recte habet, ut ea, quæ sunt Ecclesiæ serventur
« cum omni cura et bona conscientia, et fide in
« omnium præsidem et judicem Deum : quæ
« etiam administrari convenit cum judicio et
« potestate episcopi, cui est omnis populus con-
« creditus, et eorum animæ qui in Ecclesia con-
« gregantur. Sint autem manifesta, quæ ad
« Ecclesiam pertinent, cum cognitione presbyte-
« rorum et diaconorum qui circa ipsum sunt, ut
« ipsi sciant, et non ignorent, quæ sint propria
« Ecclesiæ, nec eos quidquam lateat : ut si
« contingat episcopum e vita migrare, iis mani- C
« festis exsistentibus, quæ ad Ecclesiam perti-
« nent, ne ea intercidant et pereant, nec quæ
« sunt propria episcopi, prætextu rerum eccle-
« siasticarum, vexentur. Est enim justum, et
« apud Deum et homines acceptum, ut episcopus
« propria, quibus velit, relinquat; quæ sunt
« autem Ecclesiæ, ipsi serventur : ut nec Ecclesia
« damnum aliquod sustineat, nec episcopus
« Ecclesiæ prætextu proscribatur, vel qui ad
« eum attinent in causas incidant quo et ipse
« post mortem maledictione oneretur. »

ΚΑΝΩΝ ΚΔ'.

« Τὰ τῆς Ἐκκλησίας τῇ Ἐκκλησίᾳ καλῶς ἔχει
« φυλάττεσθαι δεῖν μετὰ πάσης ἐπιμελείας καὶ
« ἀγαθῆς συνειδήσεως καὶ πίστεως τῆς εἰς τὸν
« πάντων ἔφορον καὶ κριτὴν Θεὸν, ἃ καὶ διοικεῖ-
« σθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ
« ἐπισκόπου, τοῦ πεπιστευμένου πάντα τὸν λαὸν
« καὶ τὰς ψυχὰς τῶν συναγομένων. Φανερὰ δὲ
« εἶναι τὰ διαφέροντα τῇ Ἐκκλησίᾳ μετὰ γνώ-
« σεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακό-
« νων, ὥστε τούτους εἰδέναι, καὶ μὴ ἀγνοεῖν τίνα
« ποτὲ τὰ ἴδιά ἐστι τῆς Ἐκκλησίας, ὥστε μηδὲν
« αὐτοὺς λανθάνειν· ἵν', εἰ συμβαίη τὸν ἐπίσκο-
« πον μεταλλάττεσθαι τὸν βίον, φανερῶν ὄντων
« τῶν διαφερόντων τῇ Ἐκκλησίᾳ πραγμάτων,
« μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ
« ἴδια τοῦ ἐπισκόπου ἐνοχλεῖσθαι προφάσει τῶν
« ἐκκλησιαστικῶν πραγμάτων. Δίκαιον γὰρ καὶ
« ἀρεστὸν παρά τε τῷ Θεῷ καὶ ἀνθρώποις τὰ
« ἴδια τοῦ ἐπισκόπου, οἷς ἂν αὐτὸς βούληται,
« καταλιμπάνεσθαι· τὰ μέντοι τῆς Ἐκκλησίας
« αὐτῇ φυλάττεσθαι· καὶ μήτε τὴν Ἐκκλησίαν
« ἐπιμένειν ζημίαν, μήτε τὸν ἐπίσκοπον προφά-
« σει τῆς Ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς
« πράγματα ἐμπίπτειν τοὺς αὐτοῦ διαφέροντας,
« μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ
« περιβάλλεσθαι. »

CANON XXV.

« Episcopus habeat rerum Ecclesiæ potestatem, ut
« eas in omnes egentes dispenset, cum multa
« cautione et Dei timore : ipse autem eorum,
« quibus ei opus est, si indigeat, sit particeps ad
« usus suos necessarios, et fratrum, qui apud
« eum hospitio excipiuntur, ut ipsi nullo modo
« priventur secundum divinum Apostolum, qui
« dicit : « Habentes autem alimenta et quibus
« tegamur, iis contenti erimus [13]. » Sin autem

ΚΑΝΩΝ ΚΕ'.

« Ἐπίσκοπον ἔχειν τῶν τῆς Ἐκκλησίας πραγμάτων
« ἐξουσίαν, ὥστε αὐτὰ διοικεῖν εἰς πάντας τοὺς
« δεομένους μετὰ πάσης εὐλαβείας καὶ φόβου
« Θεοῦ· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόν-
« των, εἴγε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ
« χρείας, καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελ-
« φῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς στερεῖ-
« σθαι, κατὰ τὸν θεῖον Ἀπόστολον λέγοντα·
« Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις

[13] I Tim. vi, 8.

Guill. Beveregii notæ.

(53) *Εἰ δὲ χειροτονήσῃ.* Hunc Zonaræ locum codex Gallandi rectius sic legit, εἰ δὲ χειροτονήσει, ἄκυρόν τε τὴν χειροτονίαν νοεῖται. Et quidem vox νοεῖται sensu summe necessaria est : sed in codice Amerbachiano desideratur.

« ἀρκεσθησόμεθα. » Εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, A « iis non sit contentus, sed res in proprios usus
« μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκειακὰς αὐ- « convertat, et Ecclesiæ reditus vel agrorum
« τοῦ χρείας, καὶ τοὺς πόρους τῆς Ἐκκλησίας ἢ « fructus, non ex presbyterorum vel diaconorum
« τοὺς τῶν ἀγρῶν καρποὺς, μὴ μετὰ γνώμης « sententia administret, sed domesticis suis aut
« τῶν πρεσβυτέρων ἢ τῶν διακόνων χειρίζοι, ἀλλ' « cognatis, vel fratribus, vel filiis, licentiam det,
« οἰκείοις αὐτοῦ καὶ συγγενέσιν ἢ ἀδελφοῖς ἢ υἱοῖς « ut rationes Ecclesiæ per ipsos clam detrimen-
« παράσχοι τὴν ἐξουσίαν, εἰς τὸ διὰ τῶν τοιούτων « tum capiant ; is synodo provinciæ administra-
« λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς Ἐκκλη- « tionis rationem reddat. Sin autem etiam alias
« σίας, τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς « insimuletur episcopus, vel qui cum eo sunt
« ἐπαρχίας (54). Εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ « presbyteri, ea quæ ad Ecclesiam pertinent vel
« ἐπίσκοπος ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ « ex agris vel quacunque alia causa ecclesiastica,
« τῇ Ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν ἢ καὶ « ad seipsos referendi ut pauperes quidem op-
« ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς, εἰς ἑαυ- « primantur, et rationi (Ecclesiæ) ac iis qui sic
« τοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς « administrant criminatio ac infamia inuratur,
« πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρί- « ii quoque correctionem assequantur, sancta
« βεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσι, καὶ B « synodo id quod decet examinante. »
« τούτους διορθώσεως τυγχάνειν, τὸ πρέπον δο-
« κιμαζούσης τῆς ἁγίας συνόδου. »

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες τὰ αὐτὰ θεσπίζουσι τῷ μ' καὶ μα' ἀποστολικοῖς κανόσι· καὶ ζήτει τὰ ἐν αὐτοῖς γραφέντα. Σημείωσαι δὲ καὶ ἀπὸ τοῦ παρόντος κε' κανόνος ὅτι διὰ ἐκκλησιαστικῶν ὀφείλουσι πάντα τὰ τῶν ἐκκλησιῶν διοικεῖσθαι, καὶ ὅτι οἱ παρὰ τοὺς κανόνας τούτους διαπραττόμενοι κατὰ τὸ δόξαν τῇ συνόδῳ κολάζονται.

BALS. Præsentes duo canones eadem decernunt cum canonibus 40 et 41 apostolicis : et quære quæ in ipsis scripta sunt. Nota autem etiam ex præsenti canone 25 quod ab ecclesiasticis debent omnia, quæ sunt Ecclesiarum, administrari : et quod qui præter hos canones faciunt, ut synodo visum fuerit, puniuntur.

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος συμφωνεῖ τῷ μα' κανόνι τῶν ἁγίων ἀποστόλων. Κἀκεῖνος γὰρ τῷ ἐπισκόπῳ τὴν ἐξουσίαν τῶν τῆς Ἐκκλησίας δίδωσι πραγμάτων, καὶ τὴν τούτων διοίκησιν αὐτῷ ἀνατίθησι. Καὶ ὁ μ' δὲ κανὼν τῶν αὐτῶν φανερὰ εἶναι βούλεται τὰ τοῦ ἐπισκόπου πράγματα, εἰ ἔχοι ἴδια, καὶ φανερὰ αὖθις τὰ τῆς ἐκκλησίας. Ἃ τοίνυν ἄμφω οἱ κανόνες ὥρισαν οἱ λεχθέντες, ταῦτα οἱ τῆς συνόδου ταύτης ἐν τῷ παρόντι κανόνι συμπεριέλαβον. Τὰ γοῦν εἰρημένα εἰς ἐξήγησιν τῶν ἀποστολικῶν κανόνων ἀμφοῖν καὶ τοῦτον σαφηνίζουσι τὸν κανόνα.

ZONAR. in canonem 24. Canoni 41 sanctorum apostolorum canon hic consentit. Nam is quoque ecclesiæ negotia 452 administrandi potestatem penes episcopum esse decernit. Quadragesimus vero eorumdem privatas episcopi possessiones, si quas habeat, notas esse vult ; notas item eas, quæ Ecclesiæ adjudicatæ sunt. Quæ igitur duo canones allati statuere, ea synodi quoque auctores hoc uno canone complexi sunt. Ergo huic quoque explicando, quæ in utriusque apostolici canonis explicatione sunt dicta, sufficiunt.

ΑΡΙΣΤ. « Παντὶ τῷ κλήρῳ τὰ τῆς Ἐκκλησίας θε- ARIST. « in canonem 24. Totum clerum res Eccle-

Guill. Beveregii notæ.

(54) *Τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας.* Vetus interpres reddit *subjacere synodo provinciæ*. Isidorus Mercator, *Is det synodo provinciæ rationem*. Dionysius Exiguus : *Synodo provinciæ pœnas iste persolvet*. Et quidem εὐθύνας διδόναι, vel εὐθύνας παρέχειν, *rationes susceptæ administrationis dare* sæpe significat : quo sensu Demosthenes ait, κἂν δεδωκότες ὦσιν εὐθύνας. Dem. De falsa legat. Sic et εὐθύνας διδόναι nonnunquam est *pœnas dare* : utrovis sensu hic exponatur. Nam mens canonis huc redit, quod si episcopus, cujus incuria Ecclesia in bonis suis detrimentum reperit, provinciæ synodo rationem reddet, et si convictus fuerit, pœnas dabit. Quo sensu Alexius patriarcha Constantinopolitanus hunc canonem intellexit, in synodica epistola hæc habens, Καὶ φροντιστὰς ὁμοίως παρὰ τῶν μητροπολιτῶν δοθῆναι, τοὺς ὀφείλοντας ἅπασάν τε τὴν πρόνοιαν τῶν Ἐκκλησιῶν ποιεῖσθαι, ἅμα τοῖς αὐτῶν ἐπισκόποις, καὶ λόγους τῆς κατ' ἐνιαυτὸν εἰσπράττεσθαι διοικήσεως· καὶ τὸ παραττοῦν τῶν προσόδων, εἴ γε καὶ περισσεύοι, τὸ μὲν ἐκ τῶν ζημίας αἰτίων γενομένων τῇ μητροπόλει, ταύτῃ δηλονότι ἀνεισίδοσθαι· τὸ δ' ἐκ τῶν λοιπῶν δυντηρεῖν τὴν Ἐκκλησίαν ἀκαινοτόμητον. Ὅτι δὲ κανονικῆς ἔχονται ἀκριβείας τὰ ὁρισθέντα ἐξ αὐτῶν τῶν θείων κανόνων δείκνυται. Καὶ γὰρ ὁ ε' καὶ κ' τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν τοῖς ἐπισκόποις τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρέπων πραγμάτων, κωλύει μεταβάλλειν αὐτὰ εἰς ἰδίας χρείας, καὶ οἰκείοις αὐτῶν συγγενέσι παρέχειν, εἰς τὸ διὰ τούτου λεληθότως βλάπτεσθαι τοὺς λόγους τῶν Ἐκκλησιῶν· διὸ καὶ ὑπευθύνους ταῖς κατ' ἐπαρχίαν συνόδοις τιθεὶς, τὸ πρέπον αὐτοὺς δοκιμάζειν ἐπιτρέπει. *Adeoque curatores similiter a metropolitanis dentur, qui Ecclesiis omni adhibita sollicitudine cum episcopis earum prospiciant ; et administrationis annuæ rationes exigant : quodque superfluum est ex reditibus, si quidem aliquid superest, partim iis ademptum, qui metropoli auctores accepti detrimenti sunt, eidem reddatur, reliquum Ecclesia nulla innovatione facta sibi servet. Quod autem hæc a nobis ita definita consentanea sint accuratæ canonum menti, ex ipsis canonibus sacris constat. Nam quintus et vicesimus synodi Antiochenæ canon, potestatem in res ecclesiasticas episcopis concedens, quo minus eas in usus suos convertant, cognatisque suis prohibeant, ut hoc modo rationes Ecclesiarum tacite detrimentum capiant, prohibet. Idcoque rationibus ad synodos provinciales reddendis obnoxios faciens decori explorandi curam iis injungit. Jur. Græc. Rom.* lib. IV. pag. 251.

« sic cognoscere oportet ; ut cum episcopus
« obdormierit, quæ suæ sunt Ecclesiæ conser-
« ventur : quæ autem sunt episcopi, juxta illius
« dispositionem administrentur. »

Oportet episcopum bonorum suorum inventarium facere, eaque manifesta reddere, et similiter bonorum Ecclesiæ, et ea presbyteris et diaconis nota facere, ut cum moritur, inter suos quod sibi placuerit, disponat. Si autem sic non fecerit, omnia Ecclesiæ adjudicari.

ZONAR. Quæcunque hoc canone continentur, ab iis quos attulimus apostolicis canonibus repetita sunt. Esse namque penes episcopum res ecclesiasticas administrandi auctoritatem ; sed ita esse, ut nequaquam ipsius arbitratu abutendi, verum in usus pauperum conferendi, facultas sit, ac sibi etiam retinendi ea, quibus opus habet, necessaria videlicet. sed ea quoque, si egeat, hoc est, si inopia laboret (nec enim quidquam in res supervacuas insumere, sed Apostoli consilium sequi vult : *Habentes alimenta*, inquit ille, *et, quibus tegamur, his contenti erimus*), hæc ex apostolicis constitutionibus universa ducuntur. Quod si non contentus sumptibus necessariis, ad proprias quoque utilitates bona ecclesiastica convertit, nec ex eorum sententia, qui honestiores e clero prohibentur, Ecclesiæ reditus administrat, hoc est, acceptos et expensos refert, sed eam propinquis licentiam permittit, ut ipsis res ad se occulte trahentibus, rationes Ecclesiæ laedantur ; (λόγους vero, id est rationes appellat, quas aliter Græci λογοπραγίας. Nisi enim subductis accepti et expensi calculis, quo pacto ecclesiastici homines administratarum Ecclesiæ facultatum rationem a procuratoribus repetant?) si ergo talem se in Ecclesiæ bonorum administratione episcopus præbeat, hominem a provinciæ synodo corrigi canon jubet. Quod si præterea res ecclesiasticas quomodocunque intervertere, sibique usurpare, sive quæ ex agris, sive quæ aliunde obveniant, episcopum ejusque socios criminentur, ex quo pauperes quidem necessariis destituti subsidiis deficiant, ipsi vero infamia male gestæ administrationis laborent, neque vero rationes, quas ipsi videlicet exhibent, satis probatæ appareant ; eos quoque per synodum rebus diligenter exploratis ac examinatis, vel etiam ab ea firmatis, corrigendos esse decernit.

ARIST. in Canonem 25. « Episcopus rerum ecclesiasticarum potestatem habeat ; si autem non « sit contentus iis quæ illi sufficiunt, verum res « ac reditus Ecclesiæ absque cleri consilio in « alienos usus transfert, pœnæ ab eo coram « synodo exigantur. Si vero quæ pauperibus « debita sunt in proprios usus converterit, sic « etiam synodo rationes reddat. »

Qui pretiosas hominum animas sibi habet concreditas, multo magis rerum ecclesiasticarum potestatem habeat, ut eas egentibus per presbyteros et diaconos distribuat, et sibi etiam concedat, si

« μις διαγινώκεσθαι · ἵνα, τοῦ ἐπισκόπου τελευ-
« τῶντος, τὰ οἰκεῖα τῆς ἐκκλησίας διαφυλάττηται,
« τὰ δὲ τοῦ ἐπισκόπου κατὰ τὴν ἐκείνου διοικῆται
« διάταξιν. »

Δεῖ τὸν ἐπίσκοπον ἀπογραφὴν ποιεῖσθαι τῶν ἑαυτοῦ πραγμάτων, καὶ φανερὰ αὐτὰ καθιστᾷν · ὡσαύτως καὶ τῶν τῆς Ἐκκλησίας, καὶ γινώσκεσθαι ταῦτα τοῖς πρεσβυτέροις καὶ διακόνοις · ἵν', ὅτε τελευτᾷ, ἐν τοῖς οἰκείοις κατὰ τὸ βουληθὲν αὐτῷ διατάξηται. Εἰ δὲ μὴ οὕτω ποιήσει, πάντα προσκυροῦσθαι τῇ ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Ὅσα ἐν τῷ κανόνι τούτῳ οἱ τῆς συνόδου ταύτης εἶπον, τοῖς εἰρημένοις ἀποστολικοῖς κανόσιν ἑπόμενοι εἶπον. Καὶ τὸ ἔχειν γὰρ τὸν ἐπίσκοπον ἐξουσίαν τῶν τῆς ἐκκλησίας πραγμάτων, ἐξουσίαν δὲ οὐχ ὥστε χρῆσθαι τούτοις ὡς βούλεται, ἀλλ' εἰς διοίκησιν τῶν δεομένων, καὶ τὸ μεταλαμβάνειν αὐτὸν τῶν δεόντων, τουτέστι τῶν ἀναγκαίων, καὶ τούτων εἰ δέοιτο, ἀντὶ τοῦ ἐνδεῶς ἔχῃ (περισσὸν γὰρ οὐδὲν αὐτῷ συγχωρεῖ δαπανᾷν, τῷ Ἀποστόλῳ δὲ πείθεται, λέγοντι, *Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*), τῶν ἀποστολικῶν εἰσι διατάξεων · εἰ δὲ μὴ τοῖς ἀναγκαίοις ἀρκοῖτο, δαπανᾷ δὲ τὰ ἐκκλησιαστικὰ εἰς ἑαυτοῦ χρείας, καὶ μὴ μετὰ γνώμης τῶν τοῦ κλήρου ἀξιολογωτέρων τὰς προσόδους τῆς ἐκκλησίας εἰσοδιάζει τε καὶ ἐξοδιάζει, ἀλλὰ συγγενέσι παράσχῃ τὴν ἐξουσίαν, ὥστε λεληθότως ἐκείνων μετιόντων τὰ πράγματα βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, (λόγους δὲ τὰς λογοπραγίας καλεῖ · εἰ γὰρ μὴ εἴδησιν ἔχοιεν οἱ τῆς Ἐκκλησίας τῶν ἀληθῶν εἰσόδων καὶ ἐξόδων, πῶς τοὺς διοικητὰς τῶν τοιούτων λόγους ποιεῖν ἀπαιτήσουσιν) ; ὅταν οὖν οὕτως ἐπίσκοπος διοικῇ τὰ τῆς ἐκκλησίας, εὐθύνεσθαι αὐτὸν παρὰ τῆς συνόδου τῆς ἐπαρχίας διορίζεται ὁ κανών. Εἰ δὲ καὶ ἄλλον τινὰ τρόπον σφετερίζεσθαι καὶ οἰκειοῦσθαι τὰ ἐκκλησιαστικά, κἂν ἐξ ἀγρῶν εἶεν, κἂν ἄλλοθεν, ὁ ἐπίσκοπος καὶ οἱ σὺν αὐτῷ διαβάλλοιντο, ὥστε θλίβεσθαι μὲν τοὺς πένητας, μὴ χορηγουμένων σφίσι τῶν χρειωδῶν, δυσφημεῖσθαι δὲ καὶ κακῶς ἀκούειν τοὺς οὕτω διοικοῦντας, καὶ τὸν λόγον, τουτέστιν ἃς ποιοῦσι λογοπραγίας, ὡς μὴ καλῶς προβαινούσας, καὶ τούτους διορθοῦσθαι παρὰ τῆς συνόδου, τὸ ἐνδεχόμενον δοκιμαζούσης, ἐξεταζούσης ἢ κυρούσης.

ΑΡΙΣΤ. « Κύριος ὁ ἐπίσκοπος τῶν τῆς ἐκκλησίας
« ἔστω πραγμάτων · εἰ δὲ μὴ ἱκανοῖτο τοῖς ἱκα-
« νοῦσιν αὐτῷ, ἀλλὰ τὰ πράγματα καὶ τοὺς πό-
« ρους μεταβάλλοι τῆς Ἐκκλησίας μὴ μετὰ γνώ-
« μης τοῦ κλήρου, εἰσπραττέσθω δίκας πρὸ τῆς
« συνόδου. Εἰ δὲ καὶ τὰ πένησιν ὀφειλόμενα εἰς
« ἑαυτὸν σφετερίζοιτο, καὶ οὕτω τῇ συνόδῳ λό-
« γους διδότω. »

Ὁ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς ἐμπεπιστευμένος πολλῷ μᾶλλον ἂν σχοίη τῶν τῆς ἐκκλησίας πραγμάτων τὴν ἐξουσίαν, ὥστε διανέμειν ταῦτα τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων ·

ἐπιχωρεῖν δὲ καὶ ἑαυτῷ, εἴγε προσδεής ἐστι, τὰ δέοντα· ὥστε τὰς ἀναγκαίας αὐτῷ χρείας καὶ τῶν παρ' αὐτοῦ ἐπιξενουμένων ἀδελφῶν, ὥστε μὴ ὑστερεῖσθαι αὐτούς. Εἰ δὲ οὐκ ἀρκοῖτο τοῖς ἀναγκαίοις, ἀλλὰ τὰς εἰσόδους τῆς ἐκκλησίας κερδαίνειν αἱροῖτο, καὶ οἰκειοῦσθαι αὐτὰς, καὶ διὰ τοῦτο τὴν οἰκονομίαν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκείοις αὐτοῦ καὶ συγγενέσι παράσχοιτο, ὥστε λανθάνειν ἔνθα κατακενοῦνται αἱ εἴσοδοι, παρὰ τῆς συνόδου σύνοψιν ἔσεσθαι, καθὼς ἂν αὐτῇ συνδόξῃ.

A indigens est, quibus opus habet, et quibus necessario uti debet et ille et fratres ab eo hospitio excepti, ne ipsi inopiam patiantur. Si autem necessariis non est contentus, sed et Ecclesiæ reditus in proprium lucrum convertere deprehenditur, eosque sibi vendicare, et ideo ecclesiasticorum bonorum administrationem propinquis suis et cognatis præbet, ut clam exinde evacuentur reditus, a synodo in disquisitionem vocabitur, ut ipsi visum fuerit.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΛΑΟΔΙΚΕΙΑ (55) ΚΑΠΑΤΙΑΝΗΣ ΦΡΥΓΙΑΣ ΣΥΓΚΡΟΤΗΘΕΙΣΗΣ ΣΥΝΟΔΟΥ ΕΚ ΔΙΑΦΟΡΩΝ ΕΠΑΡΧΙΩΝ ΤΗΣ ΑΣΙΑΝΗΣ.

—

CANONES

SYNODI LAODICENÆ, QUÆ EST URBS PHRYGIÆ CAPATIANÆ EX DIVERSIS ASIÆ PROVINCIIS CONGREGATÆ.

—

ΚΑΝΩΝ Α'.

Περὶ τοῦ δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα τοὺς ἐλευθέρως καὶ νομίμως συναφθέντας δευτέροις

B

CANON I.

Quod oportet, secundum ecclesiasticum canonem, eos, qui libere et legitime secundis nu-

Guill. Beveregii notæ.

(55) *Κανόνες τῆς ἐν Λαοδικείᾳ.* Hæc est inscriptio Bodleiana; pro qua in Parisiensi Zonaræ editione habetur : Κανόνες τῆς ἐν Λαοδικείᾳ τῆς Παχατιανῆς Φρυγίας συγκροτηθείσης συνόδου πολλῶν ἐν αὐτῇ μακαρίων Πατέρων συναθροισθέντων ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ἀσιανῆς. *Canones synodi in Laodicea Phrygiæ Pacatianæ urbe habitæ, in qua multi beati Patres ex diversis Asianæ provinciis congregati sunt.* Sic etiam inscribitur in codice Amerbachiano : nisi quod post Ἀσιανῆς in eo addatur κανόνες ξ', *canones* 60, et pro Παχατιανῆς, ibi pariter atque in nostro codice, scribatur Καπατιανῆς : quæ voces in Notitia imperii et conciliis promiscue usurpantur. Post inscriptionem in impressis Balsamonis et Zonaræ codicibus, nec non in ms. Amerbachiano, ante primum canonem hæc C leguntur : Ἡ ἁγία σύνοδος, ἡ κατὰ Λαοδίκειαν τῆς Φρυγίας Παχατιανῆς συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ἀσιανῆς, ὅρους ἐξέθετο ἐκκλησιαστικοὺς, ὡς ὑποτέτακται. Quæ Dionysius Exiguus Latine sic vertit : *Sancta synodus, quæ apud Laodiceam Phrygiæ Pacatianæ convenit, ex diversis regionibus Asiæ, definitiones exposuit ecclesiasticas, quæ subter annexæ sunt.* De tempore quo celebrata est hæc synodus inter doctos non convenit. Baronius, et ex eo Binius, eam medio tempore inter Neocæsariensem et Nicænam collocat. Hinc plerisque persuasum est eam ante primam illam universalem synodum habitam fuisse. Verum omnes rationes, vel conjecturæ potius, quibus opinio nititur, a septimo canone destruuntur, quippe quo Photiniani diserte commemorantur, qui aliquot post synodum Nicænam celebratam annis exorti sunt. Neque enim Isidoro Mercatori, Photinianos in istius canonis versione omittenti, credendum est; cum omnes codices Græci tam mss. quam impressi eos ut ibi damnatos exhibeant; Dionysio etiam Exiguo iis suffragante. Huc etiam accedit, quod in omnibus antiquis canonum collectionibus, ut Joannis Antiocheni, Dionysii Exigui, Photii, aliisque, synodus hæc Laodicena post Antiochenam constanter collocatur : quem etiam conciliorum ordinem in codice quem Aetius et Leontius in concilio Chalcedonensi legerant, observatum esse, ex canonibus Antiochenis quos citabant, manifestum est; utpote e quibus constat eumdem canonum ordinem in isto codice obtinuisse, qui in codice canonum Ecclesiæ universæ, et in Dionysii Exigui versione etiamnum observatur, ubi canones Laodiceni post Antiochenos statuuntur; quod sane primi canonum collectores nunquam fecissent, nisi pro certo et comperto habuissent synodum Antiochenam ante Laodicenam habitam fuisse. Quanto autem tempore post synodum istam Antiochenam, vel quoto Dom. anno celebrata fuit, vix certe definiri potest : sed si conjecturis locus datur, quid nobis visum est, paucis expediemus. Primo itaque ex omnibus inscriptionibus horum canonum super allatis constat hanc synodum in Phrygia Pacatiana ex diversis Asiæ regionibus sive provinciis conflatam esse. Deinde æque certum est, nonnullos Valentiniano et Valente imperantibus in Asia et Phrygia doctrinam fidei in controversiam vocasse, quod synodo in Illyrico cogendæ occasionem dedit, ut Theodoretus diserte asserit his verbis, de Valentino loquens : Μαθών δέ τινας ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Φρυγίᾳ περὶ τῶν θείων ἀμφισβητοῦντας δογμάτων, ἐν μὲν τῷ Ἰλλυρικῷ σύνοδον γενέσθαι προσέταξε. Theodor. *Hist. Eccles.* lib. IV, cap. 6. Synodo congregata, ipsi imperatores litteras miserunt ad diœcesim

« ptiis juncti sunt, et non clam uxores duxe- A
« runt, cum exiguum tempus præterierit, et
« orationibus et jejuniis vacaverint, ex venia dare
« communionem. »

« γάμοις, μὴ λαθρογαμήσαντας, ὀλίγου χρόνου
« παρελθόντος, καὶ σχολάσαντας ταῖς εὐχαῖς καὶ
« νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς
« τὴν κοινωνίαν.

BALS. Qui secundo uxores ducunt, ex præsenti quidem canone, pœnitentiam agentes et orantes, post aliquantulum temporis divinorum sacramentorum communione digni habentur : a quarto autem canone sancti Basilii, post annum. Illi quidem puniantur, qui in legitimo matrimonio uxores sic duxerunt. Qui enim prius uxores clam duxerunt, sive fornicati sunt, cum iis quæ illis postea legitime conjunctæ sunt, ut fornicatores punientur, ex legitima conjunctione nihil auxilii sentientes. Et hæc quidem sic habent. Leges autem eos, qui ex fornicatione nati sunt, tanquam ex legitima conjunctione natos, reputant, si pater eorum matrem postea legitime duxerit. Quære lib. xxxii Basilicorum tit. 2 totum; et tit. 14 lib. xxviii Basilicorum, seu Justiniani novellam 22, quæ aliter de iis, qui secundis nuptiis conjunguntur, tam viris quam mulieribus, decernit.

ΒΑΛΣ. Οἱ δευτερογαμοῦντες. ἀπὸ τοῦ παρόντος κανόνος μετανοοῦντες, καὶ προσευχόμενοι, μετὰ ὀλίγον χρόνον ἀξιοῦνται τῆς κοινωνίας τῶν θείων ἁγιασμάτων· ἀπὸ δὲ τοῦ δ' κανόνος τοῦ ἁγίου Βασιλείου μετὰ ἐνιαυτόν. Ἐκεῖνοι μέντοι οὕτως ἐπιτιμῶνται, οἱ μετὰ νομίμου συνοικεσίου δευτερογαμήσαντες. Οἱ γὰρ πρότερον λαθρογαμήσαντες, ἤτοι πορνεύσαντες, μετὰ τῶν ὕστερον συζευχθεισῶν αὐτοῖς νομίμως κατὰ πόρνους κολασθήσονται, κατὰ μηδὲν ὠφελοῦμενοι ἐκ τῆς νομίμου συναφείας. Καὶ ταῦτα μὲν οὕτω· οἱ δὲ νόμοι τοὺς ἐκ πορνείας γεννηθέντας B
ὡς ἐκ νομίμου συναφείας τεχθέντας λογίζονται, ἐὰν ὕστερον τὴν μητέρα αὐτῶν νομίμως ἀγάγηται ὁ πατήρ. Καὶ ζήτει βιβλίου τῶν Βασιλικῶν λβ' τίτλον β' ὅλον, καὶ τὸν ιδ' τίτλον τοῦ κη' βιβλίου τῶν Βασιλικῶν, ἤτοι τὴν κβ' Ἰουστινιάνειον νεαράν, ἥτις ἄλλως τὰ περὶ τῶν δευτερογαμούντων ἀνδρῶν καὶ γυναικῶν διατάττεται.

ZONAR. Nec vetitæ sane secundæ nuptiæ nec omnino tamen impunitæ sunt. Nam etsi secundas nuptias magnus quoque Paulus non improbet, tamen eas adolescentioribus tantummodo viduis concedi oportere decernit; nec desunt qui eas solis feminis, quod natura infirmiores atque ad deteriora proclives sint, permissas fuisse contendant. Patres autem, viris quoque ejus rei facultatem C
esse haud vetant; ac si quidem servatis legum constitutionibus ad secundas nuptias transivere, neque aliquid prius furtivo inter se inito matrimonio deliquere, postquam per aliquod tempus jejunio ac precationibus vacaverint, ex indulgentia, hoc est, data iis, ob necessitatem a natura impositam, venia, ad communionem admitti placet. Atque hic quidem canon nihil certi, quod ad tempus attinet, definivit. Magnus vero Basilius canone 4. bigamis unius anni tempus constitutum, ab aliis etiam biennii multam impositam fuisse, affirmat. Sed tum quidem unius anni spatio multa finietur, cum eorum, qui ad secundas nuptias con-

ΖΩΝΑΡ. Εἰ καὶ οὐ κεκώλυται ἡ δευτερογαμία, ἀλλ' οὐδ' ἀνεπιτίμητος πάντη ἐᾶται. Εἰ γὰρ καὶ ὁ μέγας Παῦλος τὸν δεύτερον ἐπιτρέπει γάμον, ἀλλὰ νεωτέρας χήρας γαμεῖν διατάττεται· καί εἰσί τινες λέγοντες μόναις γυναιξὶ τοῦτο συγκεχωρῆσθαι διὰ τὸ τῆς φύσεως αὐτῶν ἀσθενὲς καὶ εὐόλισθον. Οἱ δὲ Πατέρες καὶ τοὺς ἄνδρας διγαμοῦντας ἐδέξαντο, καὶ εἰ νομίμως, φασὶ, τὸν δεύτερον ἐποιήσαντο γάμον, μὴ πρότερον λαθρογαμίαν ἐπ' ἀλλήλοις ἡμαρτηκότες, ὀλίγου παρελθόντος χρόνου σχολάσαντες νηστείᾳ καὶ προσευχῇ δεχθήσονται εἰς κοινωνίαν κατὰ συγγνώμην, τουτέστι συγγνωμονούμενοι διὰ τὴν ἀνάγκην τὴν φυσικήν. Ὁ μὴν οὖν κανὼν οὗτος ἀόριστον ἀφῆκε τὸν χρόνον· ὁ δὲ μέγας Βασίλειος ἐν τῷ τετάρτῳ αὐτοῦ κανόνι ἐνιαυτὸν λέγει εἶναι τὸν τοῦ ἐπιτιμίου καιρόν· ἄλλους δέ φησι διετίαν ὁρίζειν ἐπὶ τῶν διγάμων. Ἀλλ' ὁ μὲν ἐνιαυτὸν ἔσται, ὅτε οὐ προηγήσατο ἐπὶ τῶν δευτέρους ὁμιλησάντων γάμοις λαθροgαμία. Εἰ δὲ λαθραίᾳ μίξει συνήλθοσαν πρότερον, εἶτα εἰς νόμιμον γάμον ἀπῆλθον, καὶ ὡς πεπορνευκότες ἐπιτιμηθήσονται. Καὶ ἡ κβ' Ἰουστινιάνειος

Guill. Beveregii notæ.

Asianam, sic inscriptas, Αὐτοκράτορες μέγιστοι, D
ἀεισέβαστοι, νικηταὶ, Αὐγουστοὶ, Βαλεντινιανὸς, καὶ Οὐάλης, καὶ Γρατιανὸς ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας Καροφρυγίας, Πακατιανῆς, ἐν Κυρίῳ χαίρειν. Ipsa etiam synodus synodicam ad eosdem episcopos epistolam misit, sic inscriptam, οἱ ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ καὶ ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Πακατιανῆς, ἐν Κυρίῳ χαίρειν. Ibid. cap. 7 et 8. Cum igitur hæ duæ epistolæ ad episcopos Asiæ, Phrygiæ, Carophrygiæ, Pacatianæ, scriptæ fuerint, eos ex diversis istis Asianæ diœceseos provinciis, ad synodum in Laodicea Phrygiæ metropoli convenisse verisimile est, ut de rebus in istis epistolis comprehensis, de fide nimirum consubstantialis in controversiam a nonnullis tunc dierum vocata, inter se disererent, eamque confirmarent, prout in istis litteris ab iis postulatum est. Suspicor igitur hos canones a synodo tunc temporis habita constitutos esse, hoc est, anno Domini 365. Nam et isto currente anno supradicta in Illyrico synodus celebrata fuit. Huic conjecturæ aliquid accrescit roboris ex ipsa synodica epistola ad episcopos Asianos missa, utpote in qua synodus illa Illyricana eos admonuit, ut istiusmodi eligerentur episcopi, qui probata fide et moribus inculpatis essent. Hoc enim et ab ipsa hac synodo definitur, can. 12. Quod denique a nobis conjectum est, verisimilius adhuc ex eo videtur, quod nihil in ecclesiasticis historiis occurrit, synodo ex diversis Asianæ diœceseos provinciis congregandæ occasionem istis diebus præbens, præter litteras illas ab imperatoribus et synodo Illyriciana illuc missas : et si non certum sit, saltem probabile est, hanc synodum illis diebus, hoc est, anno Domini 365, plus minus, habitam fuisse cujus propterea canones post Antiochenos merito collocantur

κεφαλὰ κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν κη', τίτλος ιδ', πολλὰ περὶ δευτερογαμούντων καὶ ἀνδρῶν καὶ γυναικῶν διατάττεται.

venere, nulla prius conjunctio inter ipsos furtiva interceserit. Quod si, cum occulte antea coivissent, ad legitimas deinde nuptias animum adjecere, scortatorum præterea pœnis puniri debent. Multa de secundis virorum ac feminarum nuptiis Justiniani quoque novella 22, lib. XXVIII, tit. 14 Basilicorum sita præcipiuntur.

ΑΡΙΣΤ. « Ὁ μὴ λαθραιογαμήσας δίγαμος, ὀλίγον « τοῖς ἐπιτιμίοις σχολάσας, λοιπὸν ἀνεύθυνος. »

ARIST. « Bigamus qui non occulte matrimonium « inivit, ubi paululum pœnas dederit, insons « postea habeatur. »

Ἐπὶ ἐνιαυτὸν ὁ δίγαμος ἀφορίζεται, τῇ προσευχῇ καὶ τῇ νηστείᾳ σχολάζων· καὶ οὕτω τῆς κοινωνίας καταξιοῦται. Εἰ δὲ μὴ ἐλευθερίως καὶ νομίμως τῷ δευτέρῳ συνήφθη γάμῳ, ἀλλὰ πρότερον λαθραιογαμήσας, μετὰ ταῦτα καὶ εἰς κοινωνίαν ἦλθε γάμου, τῷ τῆς πορνείας ἐπιτιμίῳ ὑπόκειται.

Bigamus in annum segregatur orationi et jejunio vacans, et sic communionis dignus habetur. Si autem non libere et legitime secundis nuptiis conjunctus fuerit, sed cum primo clam uxorem duxisset, postea ad matrimonii communionem venit, fornicationis pœnæ subjicitur.

ΚΑΝΩΝ Β'.

454 CANON II.

« Περὶ τοῦ τοὺς ἁμαρτάνοντας ἐν διαφόροις πταί- « σμασι, καὶ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς « ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὴν ἀποστρο- « φὴν τῶν κακῶν τελείαν ποιουμένους, κατὰ τὴν « ἀναλογίαν τοῦ πταίσματος, καιροῦ μετανοίας δο- « θέντος αὐτοῖς, τοὺς τοιούτους διὰ τοὺς οἰκτιρ- « μοὺς καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ προσάγεσθαι « τῇ κοινωνίᾳ. »

« Quod eis, qui diversis delictis peccant, et in « oratione confessionis et pœnitentiæ perseve- « rant, et se a malis perfecte convertunt, pro « qualitate delicti tempore pœnitentiæ eis dato « propter miserationes et Dei bonitatem, com- « munio concedenda est. »

ΒΑΛΣ. Ἐμάθομεν μηδεμίαν ἁμαρτίαν νικᾶν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Καὶ ὁ παρὼν δὲ κανὼν διορίζεται τοὺς ἀφισταμένους τελείως τοῦ κακοῦ μετὰ ἐξομολογήσεως καθαρᾶς καὶ μετανοίας ἀξίας τῷ πταίσματι ἀξιοῦσθαι τῆς θείας μεταλήψεως· οὐ διὰ τὴν σπουδὴν τούτων, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα. Ταῦτα δὲ πάντως διευκρινήσει ἡ ἐπισκοπικὴ δοκιμασία.

BALS. Decidimus nullum peccatum vincere Dei misericordiam. Porro præsens quoque canon statuit, ut qui a malo perfecte desistunt, cum pura confessione et digna peccatorum pœnitentia, ii digni sancta participatione habeantur ; non propter eorum virtutis studium, sed propter Dei miserationes et inenarrabilem bonitatem. Hæc autem omnino discernet episcopalis examinatio.

ΖΩΝΑΡ. Κἂν ἐν διαφόροις πταίσμασιν ἡμαρτέ τις, ἐξομολογῆται δὲ ταῦτα, καὶ ἀποστρέφηται τελείως ἃ ἔφθη ποιῆσαι κακὰ, δίδοσθαι αὐτῷ καιρὸν μετανοίας διορίζεται ὁ κανών, ἀναλόγως τοῖς πταίσμασιν, οἷς ἐποίησε, καὶ οὕτως αὐτοῦ ἐνδεικνυμένου μετάνοιαν, δέχεσθαι αὐτὸν καὶ προσάγεσθαι τῇ κοινωνίᾳ, οὐχ ὡς αὐτοῦ διὰ τῆς οἰκείας σπουδῆς ἀξιουμένου τῆς τῶν θείων μυστηρίων μεταλήψεως, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα.

ZONAR. Si quis, multis licet facinoribus irretitus, tamen ea, pœnitentia ductus, confiteri velit, admissaque flagitia penitus aversetur ; pro criminum ratione, quibus obstrictus est, pœnitentiæ tempus homini præscribendum : itaque sibi ægre esse quæ patravit indicantem, admittit eum et in communionem recipi canon decernit : neque vero ut divinorum mysteriorum perceptione dignus haberetur, ipsius diligentiæ, sed Dei miserationi ac longe maximæ bonitati ascribi oportere demonstrat.

ΑΡΙΣΤ. « Οἱ διαφόροις ἀγνοήμασιν ἁλωκότες, εἰ « ἐπιγνόντες ἐξομολογοῖντο, καὶ ἀναλόγως μετα- « νοοῖεν, εὐπρόσδεκτοι.

ARIST. « Qui variis delictis obstricti sunt, si iis « cognitis confiteantur, et pro eorum ratione « pœnitentiam agant, facile recipiantur. »

Πάντες οἱ ἁμαρτήσαντες, ὁποῖα ἂν τις εἴποι τὰ ἁμαρτήματα, εἰ μετανοήσουσι καὶ ἐξομολογήσονται ταῦτα, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιήσονται, καὶ κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος τὸν δοθέντα αὐτοῖς καιρὸν εἰς μετάνοιαν ἐν προσευχαῖς καὶ δάκρυσιν ἐκτελέσουσιν· παραδεχθήσονται εἰς κοινωνίαν διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ.

Omnes qui peccarunt, qualiacumque dicat aliquis eorum peccata, si pœnitentiam egerint, et ea confessi fuerint, et a malis perfecte se converterint, et tempus ad pœnitentiam agendum secundum delicti proportionem iis concessum precibus et lacrymis absolverint, propter Dei miserationes et bonitatem in communionem recipientur.

ΚΑΝΩΝ Γ'.

CANON III.

« Περὶ τοῦ μὴ δεῖν τὸν προσφάτως φωτισθέντα προσ- « άγεσθαι ἐν τάγματι ἱερατικῷ. »

« Quod non oportet eum, qui recens baptizatus est, « in ordinem sacerdotalem promoveri. »

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα π', συνόδου Νικαίας κανόνα β', τὰ αὐτὰ τῷ παρόντι καν. θεσπίζοντας χάριν τῶν προσφάτως βαπτισθέντων, καὶ ζητούντων ἱερωθῆναι. Ὁ μέντοι μέγας

BALS. Lege sanctorum apostolorum canonem 80, synodi Nicænæ canonem 2, qui eadem cum præsenti canone decernunt, de iis qui sunt recenter baptizati, et petunt ad sacros ordines admitti. Ma-

gnum tamen illud lumen Nectarius, a catechumenorum grege nuper separatus, cum divino lavacro vitæ sordes abluisset, purus jam purissimam episcopatus dignitatem induit, et simul fit reginæ urbis episcopus, et sanctæ secundæ universalis synodi præses.

ZONAR. Hoc, eodem modo, primæ quoque Nicænæ synodi secundo canone constitutum est; quæque in illius explicatione diximus, hic quoque sufficient,

ARIST. « Recens illuminatus, sacris ordinibus non « est idoneus. »

Qui recens illuminatur, non statim in ordinem sacerdotalem promovetur.

CANON IV.

« Quod non oportet sacerdotes fenerari, et usuras « quæ dicuntur hemioliæ (id est totius sortis di- « midia pars) accipere. »

BALS. Apostolicus quadragesimus quartus canon, et septimus decimus primæ synodi diffusius tractant de sacris initiatis, qui usuras accipiunt: et lege eos.

ZONAR. Eadem primæ quoque œcumenicæ synodi canone 17 constituta sunt. Nec ad ea, quæ ibi attulimus, quidquam hoc loco addendum existimamus.

455 ARIST. « Sacerdos usuras vel sesquialteras « non accipit. »

Non oportet eos qui sunt in clero turpia lucra excogitare, et gravissimis aut levioribus usuris fenerari : nisi se hoc facientes et non cessantes deponi vellent.

CANON V.

« Quod non oportet electiones fieri in præsentia « audientium. »

BALS. Χειροτονίας canon hic electiones nominat et dicit, quod quoniam in electionibus dicuntur nonnulla, sæpe etiam indigna, de iis qui eliguntur : non licet in communi cujuslibet volentis auditione ea fieri. Propterea ergo hodie quoque seorsum antistites et soli convenientes eligunt. In primo autem canone apostolico χειροτονία pro manuum impositione sumitur.

ZONAR. Χειροτονίας nomine electionem hoc loco canon indicavit. Cum namque in electionibus, aliquorum crimina propter quæ illi forte a sacro ordine arcendi sint, a præsulibus enuntientur, adesse homines, qui ea quæ dicerentur excipèrent, rationi minime consentaneum Patres existimavere : quod ea scilicet, quæ audiebant, et iis contra quos dicebantur pudori, et a quibus audiebantur ad nequitiam incitamento essent, et aliis, quorum non ita constans in fide ratio, blasphemandi Numinis causam præberent. Ut enim virtutum actionibus gloria Numinis augetur, concelebrant siquidem, qui præclaras actiones in-

Ἐκεῖνος φωστὴρ Νεκτάριος ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθείς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς ἀρχιερωσύνης ἀξίωμα περιβάλλεται, καὶ ἅμα τῆς βασιλευούσης ἐπίσκοπος γίνεται, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου ἔξαρχος.

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου διετάξατο, καὶ ἃ ἐν ἐκείνῳ εἴρηται, κἀν τούτῳ ἀρκέσουσιν.

ΑΡΙΣΤ. « Ὁ νεοφώτιστος ἀνιεράτευτος.

Ὁ νεοφώτιστος οὐκ εὐθὺς ἐν ἱερατικῷ προσάγεται τάγματι.

ΚΑΝΩΝ Δ'.

« Περὶ τοῦ μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους καὶ τὰς λεγομένας ἡμιολίας λαμβάνειν. »

ΒΑΛΣ. Ὁ ἀποστολικὸς μδ' κανὼν καὶ ὁ ιζ' τῆς πρώτης συνόδου πλατύτερον διαλαμβάνουσι περὶ τῶν ἱερωμένων λαμβανόντων τόκους· καὶ ἀνάγνωθι τούτους.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἑπταικαιδέκατος κανὼν τῆς πρώτης οἰκουμενικῆς συνόδου οὕτως ὥρισε, καὶ πλείω τῶν εἰρημένων ἐκεῖ οὐ χρεία ἐρεῖν.

ΑΡΙΣΤ. « Τόκους ἢ ἡμιολίας ἱερατικὸς οὐ λαμ- « βάνει. »

Οὐ δεῖ τοὺς ἐν κλήρῳ αἰσχρὰ κέρδη ἐπινοεῖν, καὶ ἐπὶ βαρυτάτοις τόκοις, ἢ καὶ ἐλαφροῖς ἐκδανείζειν· εἰ μὴ βούλοιντο τοῦτο ποιοῦντες, καὶ μὴ παυόμενοι, καθαιρεῖσθαι.

ΚΑΝΩΝ Ε'.

« Περὶ τοῦ μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ « ἀκροωμένων γίνεσθαι. »

ΒΑΛΣ. Χειροτονίας ἐνταῦθα τὰς ψήφους ὀνομάζει ὁ κανών, καί φησιν ὡς, ἐπεὶ ἐν ταῖς ψήφοις λέγονταί τινα πολλάκις ἀνάξια χάριν τῶν ψηφιζομένων, οὐ χρὴ ἐπὶ κοινῇ ἀκροάσει τοῦ βουλομένου τὰς ψήφους γίνεσθαι. Διὰ τοῦτο οὖν καὶ σήμερον κατ' ἰδίαν οἱ ἀρχιερεῖς καὶ μόνοι συνερχόμενοι ψηφίζονται. Ἐν μέντοι τῷ πρώτῳ ἀποστολικῷ κανόνι ἡ χειροτονία εἰς χειροθεσίαν ἐκλαμβάνεται.

ΖΩΝΑΡ. Χειροτονίας ἐνταῦθα τὰς ψήφους ὠνόμασεν ὁ κανών. Ἐπει γὰρ ἐν τῷ τὰ ψηφίσματα γίνεσθαι παρὰ τῶν ἀρχιερέων λέγονται κατά τινων αἰτιάματα, δι' ἃ κωλύονται ἴσως ἱερωσύνης, οὐκ ἔδοξε τοῖς Πατράσι προσῆκον παρεῖναί τινας ἀκροωμένους τῶν λεγομένων, ὡς αἰσχύνην τοῖς κατ' ὧν λέγονται ἐπαγόντων, καὶ τοῖς ἀκροωμένοις εἰς προτροπὴν γινομένων κακίας, καὶ τοῖς ἀστηρίκτοις πρὸς πίστιν εἰς βλασφημίαν κατὰ Θεοῦ. Ὥσπερ γὰρ διὰ τῶν εὐαρέτων δοξάζεται ὁ Θεός, τῶν ὁρώντων τὰ καλὰ ἔργα δοξαζόντων αὐτὸν, οὕτω διὰ τῶν ἐναντίων βλασφημεῖται τὸ Θεῖον παρὰ ἀπίστων καὶ ἀστηρίκτων ἀνθρώπων. Διατί δὲ καὶ ἡ ψῆφος, χειροτονία λέγεται,

εἴρηται ἐν τῷ πρώτῳ κανόνι τῶν ἱερῶν ἀποστόλων.

bus nituntur, divino numini petulanter obtrectant. tur, am primo sacrorum apostolorum canone satis

ΑΡΙΣΤ. « Αἱ χειροτονίαι ἐπ' ἀκροωμένοις οὐ γί-
« νονται. »

Αἱ εὐχαὶ τῶν χειροτονουμένων οὐκ ἐκφωνοῦνται μεγάλως, ὥστε τὸν λαὸν ἐπακροᾶσθαι αὐτῶν.

ΚΑΝΩΝ ς'.

« Περὶ τοῦ μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς
« τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει. »

ΒΑΛΣ. Σαφὴς ὁ κανών. Οὐ γὰρ συγχωρεῖ τοῖς αἱρετικοῖς ἐπιμένουσι τῇ αἱρέσει συνεκκλησιάζειν μετὰ ὀρθοδόξων. Ἀνάγνωθι καὶ τὸν θ' κανόνα τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Τιμοθέου.

ΖΩΝΑΡ. Οἱ αἱρέσεσι περιπεσόντες, καὶ μένοντες ἐν αὐταῖς, τῆς Ἐκκλησίας ἐξοστρακίζονται, ὡς ταύτης ἀλλότριοι. Πῶς οὖν εἰς τὸν οἶκον τοῦ Θεοῦ συγχωρηθήσονται εἰσιέναι; Ὁ δὲ ἀρχιεπίσκοπος Ἀλεξανδρείας Τιμόθεος, περὶ τούτου ἐρωτηθείς, ἀπεκρίνατο ἐν κανόνι θ' ὅτι οὐκ ὀφείλουσιν ἐν εὐχῇ παρεῖναι αἱρετικοί, εἰ μὴ ἐπαγγέλλονται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΑΡΙΣΤ. « Αἱρετικοῖς τὸ ἱερὸν ἀνεπίβατον. »

Οὐ συγχωροῦνται αἱρετικοὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ εἰσιέναι, κἂν ὁ μέγας Βασίλειος, οὔπω τοῦ κανόνος τούτου ἐκτεθέντος, τῷ πληρώματι τῶν πιστῶν Οὐάλεντα παρεδέξατο.

ΚΑΝΩΝ Ζ'.

« Περὶ τοῦ τοὺς ἐκ τῶν αἱρέσεων, τοῦτ' ἔστιν,
« Ναυατιανῶν ἤτοι Φωτεινιανῶν (56) ἢ Τεσσα-
« ρεσκαιδεκατιτῶν, ἐπιστρεφομένους εἶτουν κα-
« τηχουμένους εἴτε πιστοὺς τοὺς παρ' ἐκείνοις, μὴ
« προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵ-
« ρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε
« λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς,
« ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρι-
« σθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν
« τῶν μυστηρίων τῶν ἁγίων. »

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ς' κανόνα τῆς δευτέρας συνόδου, τὸν ιθ' κανόνα τῆς α', τὸν ιε' τῆς ἕκτης· καὶ μάθῃς περὶ ὧν καὶ ὁ παρὼν κανὼν διέξεισι.

A tuentur, Dei majestatem, ita vicissim ob ea, quæ virtuti adversantur, qui parum firmis fidei radici. Cur autem ordinationis nomine electio significe- explicavimus.

ARIST. « Ordinationes coram audientibus non
« celebrantur. »

Ordinatorum preces magna voce non exprimen- tur, adeo ut populus eas audiat.

CANON VI.

« Non esse permittendum hæreticis, ut in do-
« mum Dei ingrediantur, si in hæresi perma-
« neant. »

BALS. Canon est apertus. Non enim permittit hæreticis, in hæresi permanentibus, una cum or- thodoxis in ecclesiis agere. Lege etiam canonem 9 B Timothei Alexandriæ archiepiscopi.

ZONAR. Qui in hæreses lapsi sunt, neque a pertinacia discedunt, extra Ecclesiam, tanquam ab ea alieni, ejicientur. Qui tandem igitur illis in do- mum Dei ingrediendi facultas erit? Alexandrinus vero archiepiscopus Timotheus, cum de hac re consultus fuisset, nono canone, hæreticos, nisi se pœnitentiam acturos hæresimque aversaturos pol- liceantur, nullo modo ad fidelium precationes ad- mittendos esse respondit.

ARIST. « Hæreticis sacra ædes est inaccessa. »

Hæreticis Dei domum ingredi non permittitur, licet Basilius magnus, hoc canone nondum expo- sito, ad fidelium completionem Valentem admi- sit.

C

CANON VII.

« Quod ii, qui ex hæresibus, hoc est, Novatianis,
« sive Photinianis, aut Quartadecimanis conver-
« tuntur, sive catechumeni, sive qui apud illos
« fideles dicuntur, non sunt admittendi prius-
« quam omnem hæresim anathematizaverint,
« et præcipue eam in qua detinebantur: et
« tunc deinceps eos, qui apud illos fideles di-
« cebantur, fidei symbola discentes, et sancto
« Chrismate inunctos, sic sancto mysterio com-
« municare. »

BALS. Lege canonem 7 secundæ synodi, canonem 95 sextæ, et scies ea de quibus hic quoque præsens canon tractat.

Guill. Beveregii notæ.

(56) *Ἤτοι Φωτεινιανῶν.* Isidorus Mercator hæc verba non legit, vel saltem Latine non vertit. Unde Baronius suspicatur, ea ex canone expungenda esse. Verum non modo omnes codices Græci, sed et Dionysius Exiguus legit; primam enim hanc canonis partem sic interpretatur: *De his qui ab hæreticis convertuntur, id est, Novatianis, aut Photinianis, aut Tessarescaidecatis, sive baptizati sint illi, sive catechumeni, non ante suscipiantur, quam omnes hæreses anathematizent, præcipue illam qua detinebantur.* Sed excipit Baronius, Photinianos eosdem fuisse atque Paulianistas, quos conversos per baptismum recipiendos esse synodus Nicæna can. 19 decrevit; cum præsenti canone eos baptizandos esse non præcipiatur, sed tantum per catechizationem et chrisma admittendos: et præterea a concilio Arelatensi secundo statum esse, quod *Photinianos sive Paulianistas secundum Patrum statuta* D *baptizari oportet.* Concil. Arel. 2, can. 16. Recte quidem, sed animadvertere debuit quid proximo ejusdem concilii canone definitur, nimirum, *Bonosiacos autem ab eodem errore* (Photinianorum scilicet) *venientes, quos sicut Arianos baptizari in Trinitate manifestum est, dum interrogati, fidem nostram ex toto corde confessi fuerint, cum chrismate et manus impositione in Ecclesia recipi sufficit.* Ibid. can. 17. Hic enim idem atque in præsenti canone de eorum susceptione constituitur, qui eodem, quo Photiniani, errore imbuti sunt. Et quidem concilii tempore omnes, ut videtur, Photiniani, non secus atque Ariani, in nomine Trinitatis baptizati sunt. Et cum inter omnes constet Arianorum baptismum ab Ecclesia catholica perpetuo receptum esse, non mirum est, quod Photinianos sine baptismate denuo collato recipiendos esse, a præsenti canone sanciatur.

456 ZONAR. Hæreses, quæ hoc loco afferuntur, A altæque complures secundæ œcumenicæ synodi canone 7 continentur. Quænam igitur illæ sint, et quæ ratio eos, qui ejusmodi erroribus impliciti sunt, cum ad Ecclesiam se conferunt, excipiendi, nos in illius canonis explicatione persecuti sumus ; ea qui legerit, aliam hujus canonis explicationem haud desiderabit.

ARIST. « Novatiani, et Photiniani, et Quartodecimani nisi cæteras hæreses suamque abjurent, non sunt suscipiendi : post autem abjurationem, uncti communicent. »

Illi et alias hæreses et suam anathematizantes, ab Ecclesia accipiuntur, et solo chrismate sancto unguntur, sed Novatiani et Quartodecimani, et B Photiniani, etiam sancto et salutari baptismo opus habent, quandoquidem dux eorum Photinus multas hæreses renovavit, et hæresim Pauli Samosateni, et Sabellii Afri, et Montani, docens Verbum Dei non esse sine principio, nec omnium sæculorum factorem, nec ante omnem creaturam exsistere, sed de novo esse et recenter, et principium a generatione ejus secundum carnem e Virgine sumere. At Quartodecimanorum hæresis est, decima quarta lunæ die etiamsi in secunda aut tertia aut quarta feria inciderit, sospitatoris nostri Jesu Christi resurrectionem celebrare. Non admittunt autem secundum Novatianos etiam conversorum pœnitentiam. Utuntur autem et spuriis libris, C et alia nonnulla ejusmodi tenent.

ΖΩΝΑΡ. Περὶ τῶν αἱρέσεων τούτων καὶ ἄλλων πλειόνων ὁ τῆς δευτέρας οἰκουμενικῆς συνόδου ζ' περιέχει κανών. Ἐν γοῦν τῇ ἐξηγήσει τοῦ τοιούτου κανόνος εἴρηται τίνες τέ εἰσιν αἱ αἱρέσεις αὗται, καὶ πῶς δέχονται οἱ ταύταις κατεχόμενοι, προσερχόμενοι τῇ Ἐκκλησίᾳ, ἅπερ ἀναγινωσκόμενα ἑρμηνεύουσι καὶ τὸν παρόντα κανόνα.

ΑΡΙΣΤ. « Ναυατιανοὶ καὶ Φωτεινιανοί, καὶ Τεσσα-
« ρεσκαιδεκατῖται, εἰ μὴ τάς τε ἄλλας αἱρέσεις
« ἀναθεματίζοιεν, καὶ τὴν οἰκείαν, ἀπρόσδεκτοι·
« μετὰ μέντοι τὸ ἀνάθεμα, χριόμενοι κοινωνεί-
« τωσαν. »

Οὗτοι, τάς τε ἄλλας αἱρέσεις καὶ τὴν οἰκείαν ἀναθεματίζοντες, προσδέχονται παρὰ τῆς Ἐκκλησίας, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρίονται· ἀλλ' οἱ μὲν Ναυατιανοὶ καὶ οἱ Τεσσαρεσκαιδεκατῖται, καὶ οἱ Φωτεινιανοί, τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος χρῄζουσιν· ὅτιπερ ὁ ἀρχηγὸς ὁ αὐτῶν Φωτεινὸς πολλὰς αἱρέσεις ἀνενεώσατο, τήν τε τοῦ Σαμοσατέως Παύλου, καὶ Σαβελλίου τοῦ Λίβυος, καὶ τοῦ Μοντανοῦ, οὐκ ἄναρχον δογματίσας τὸν τοῦ Θεοῦ Λόγον, οὐδὲ ποιητὴν τῶν αἰώνων παντων, οὐδὲ πάσης τῆς κτίσεως προϋπάρχοντα, ἀλλὰ νέον καὶ πρόσφατον, καὶ ἀρχὴν λαβόντα ἀπὸ τῆς κατὰ σάρκα γεννήσεως ἐκ τῆς Παρθένου. Τῶν δὲ Τεσσαρεσκαιδεκατιτῶν ἡ αἵρεσίς ἐστι τὸ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης ἡμέρᾳ κἂν ἐν δευτέρᾳ, ἢ τρίτῃ, ἢ τετράδι ἐμπέσῃ, τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζειν ἀνάστασιν. Οὐ παραδέχονται δὲ κατὰ τοὺς Ναυατιανούς, καὶ τὴν τῶν ἐπιστρεφόντων μετάνοιαν. Κέχρηνται δὲ νόθοις καὶ βιβλίοις, καὶ ἄλλα τινὰ τοιαῦτα φρονοῦσι.

CANON VIII.

« Quod qui ab eorum hæresi, qui Phryges dicun-
« tur, conversi sunt, sive sint in clero qui apud
« illos esse creditur, sive maximi dicantur, cum
« omni studio catechizandi sunt, seu initiandi, et
« ab Ecclesiæ episcopis et presbyteris baptizandi. »

BALS. Quæ in canone 7 secundæ synodi scripta sunt, ad præsentis canonis interpretationem sufficiunt. Quia autem ex Phrygibus hæretici vocabant quosdam ipsorum doctores clericos maximos, quod alios clericos hæreticos superabant, et non D deerant qui asserebant, non oportere eos baptizari, ut qui essent in clerum recepti : adjicit canon, eos quoque et catechizari, seu initiari ac baptizari oportere.

ZONAR. Secundæ synodi canon is cujus proximo superiore canone mentio facta est, de Phrygibus quoque disserit ; quos quidem Montanistas alio nomine appellat. Eos ergo, cum ad Ecclesiam accedunt, catechismi institutione diligenter eruditos, tum ille, tum hic quoque canon baptizandos esse decernit. Idque etiam si in eum, quem illi cum revera non esset, clerum tamen existimabant, relati, vel si maximi quoque dignitate ornati forent. Fuere siquidem apud illos quidam, primæ inter

ΚΑΝΩΝ Η'.

« Περὶ τοῦ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων
« Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομι-
« ζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι
« λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας
« κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς
« Ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβυτέρων. »

ΒΑΛΣ. Τὰ ἐν τῷ ζ' κανόνι τῆς δευτέρας συνόδου γραφέντα ἀρκοῦσιν εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος. Ἐπεὶ δὲ ἔλεγον οἱ ἐκ Φρυγῶν αἱρετικοί τινας διδασκάλους αὐτῶν κληρικοὺς μεγίστους, διὰ τὸ, ὑπερέχειν τῶν ἄλλων αἱρετικῶν κληρικῶν· καὶ ἦσάν τινες διατεινόμενοι μὴ ὀφείλειν τούτους βαπτίζεσθαι, ὡς δῆθεν κεκληρωμένους· προστίθησιν ὁ κανὼν, καὶ τούτους κατηχεῖσθαι καὶ βαπτίζεσθαι.

ΖΩΝΑΡ. Ὁ τῆς δευτέρας συνόδου κανὼν, οὗ ἐν τῷ ἀνωτέρω προσεχεῖ κανόνι ἐμνήσθημεν, διαλαμβάνει καὶ περὶ τῶν Φρυγῶν, οὓς Μοντανιστὰς λέγει. Τούτους οὖν προσιόντας τῇ Ἐκκλησίᾳ κἀκεῖνος ὁ κανὼν καὶ οὗτος βαπτίζεσθαι κελεύει κατηχουμένους ἐπιμελῶς, κἂν κληρικοὶ ἐν κλήρῳ παρ' αὐτοῖς δοκοῦντι, μὴ ὄντι δὲ πρὸς ἀλήθειαν, ὠνομάζοντο, κἂν μέγιστοι ἐλέγοντο. Ἦσαν γὰρ παρ' ἐκείνοις τινὲς τῶν ἄλλων προέχοντες, ὡσανεὶ διδασκάλων ληροῦντες τάξιν, οἳ καὶ μέγιστοι ἐκαλοῦντο. Τοὺς

γοῦν τοιούτους ἐπιστρέφοντας. καὶ τῇ Ἐκκλησίᾳ προσερχομένους, ἐξ αὐτῶν οἵτινες ἂν εἶεν, ὁ κανὼν κατηχεῖσθαι καὶ βαπτίζεσθαι βούλεται.

A cæteros existimationis, ac veluti doctorum locum obtinentes, qui ab illis etiam Maximorum appellatione designabantur. Ex eorum igitur numero qui mutata voluntate ad Ecclesiam reverti statuerint, quicunque demum illi sint, eos canon, et catechesi instrui, et salutari baptismi lavacro perfundi jubet.

ΑΡΙΣΤ. « Φρύγες μεταμελόμενοι ἀναβαπτιζέσθωσαν, εἰ καὶ παρ' ἐκείνοις κεκλήρωνται. »

ARIST. « Phryges resipiscentes denuo baptizantur, « etiamsi ab illis in clerum cooptati sunt. »

Καὶ οὗτοι μεταμεληθέντες, καὶ ἀπὸ τῆς αἱρέσεως αὐτῶν ἐπιστρέφοντες, καὶ τῇ ἀμωμήτῳ πίστει προσερχόμενοι, καὶ τὰς αἱρέσεις πάσας, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες προσδέχονται, καὶ μετὰ πάσης ἐπιμελείας κατηχοῦνταί τε καὶ βαπτίζονται, κἂν ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τοῖς Φρυξὶν ἐτύγχανον. Οὗτοι δὲ οἱ Φρύγες ἀπὸ Μοντανοῦ καὶ Πρισκίλλης ἔσχον τὴν αἵρεσιν. Ὁ δὲ Μοντανὸς οὗτος παράκλητον ἑαυτὸν προσηγόρευσε · δύο γυναῖκας πορνικῶς ἔσχε, Πρισκίλλαν καὶ Μαξιμίλλαν · ἃς καὶ προφήτιδας ἐκάλεσε · πολίχνιόν τι τῆς Φρυγίας, τὴν Πέζουσαν Ἱερουσαλὴμ ὠνόμασε · γάμους ἐπέτρεψε λύεσθαι, καὶ βρωμάτων ἀπέχεσθαι · τὸ Πάσχα διέστρεψε · καὶ τὰς τρεῖς ὑποστάσεις τῆς ὁμοουσίου Θεότητος εἰς ἓν συνῆψε πρόσωπον συγχέομενον. Αἷμα ἀναμιγνύειν ἀλεύρῳ, καὶ εἰς μετάληψιν τοῦτο διδόναι ἐδίδαξε · τὴν δὲ μέθεξιν τούτου τοὺς μεταλαμβάνοντας δι' αἰσχύνην ἀρνεῖσθαι.

B habuit Priscillam et Maximillam, quas et prophetissas vocavit. Pezusam oppidulum quoddam Phrygiæ **457** Hierosolymam nominavit. Nuptias permisit solvi, et a cibis abstinere. Pascha evertit, et tres consubtantialis Deitatis substantias in unam confusam personam contraxit. Sanguinem farina commiscere, eumque ad participationem dare docuit; istius autem participationem communicantes propter infamiam denegare.

ΚΑΝΩΝ Θ'.

« Περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια (57) ἢ « εἰς τὰ λεγόμενα μαρτύρια πάντων τῶν αἱρετικῶν ἀπιέναι τοὺς τῆς Ἐκκλησίας, εὐχῆς ἢ θεραπείας ἕνεκα · ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοί, ἀκοινωνήτους γίνεσθαι μέχρι τινός· « μετανοοῦντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι. »

CANON IX.

« Non concedendum esse ut in cœmeteria vel in « ea quæ dicuntur martyria quorumvis hæreticorum, abeant ii qui sunt Ecclesiæ, orationis vel curationis gratia. Sed tales, si sint « fideles, esse aliquantisper excommunicatos : « sin autem pœnitentia ducantur, et se delinquisse confiteantur, suscipi. »

ΒΑΛΣ. Ὥσπερ ἐν τῷ ς' κανόνι ἐκωλύθησαν οἱ αἱρετικοὶ εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, οὕτω καὶ ἐνταῦθα κωλύονται οἱ πιστοὶ ἀπιέναι εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα παρὰ τούτων μαρτύρια. Ὡς δέ τινος εἰπόντος, Εἰ δὲ ἀπέλθοι πιστὸς εἰς σύναξιν αἱρετικῶν χάριν τοῦ καταπτῦσαι αὐτῆς, ἵνα τί κολασθήσεται; Φασὶν οἱ Πατέρες ἐκείνους ἀκοινωνήτους εἶναι πρὸς καιρόν, ἤγουν ἀφωρισμένους, τοὺς χάριν εὐχῆς ἢ θεραπείας ἀπιόντας εἰς τὰ τῶν αἱρετικῶν μαρτύρια, οὓς καὶ μετανοοῦντας καὶ ἐπιγινώσκοντας τὸ παρ' αὐτῶν ἐσφαλμένον προσδέχεσθαι διορίζονται. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων καν. ξδ' καὶ σ', τῆς παρούσης συνόδου καν. κθ', λβ', λδ', λζ', λη' καὶ λθ', τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ', καὶ τῆς ς' καν. ια'.

BALS. Quemadmodum in canone 6 prohibiti sunt hæretici in domum Dei ingredi, ita hic quoque prohibentur fideles hæreticorum cœmeteria vel quæ apud eos dicuntur martyria, ingredi. Tanquam autem dixisset quispiam : Sed si profectus sit fidelis quispiam ad hæreticorum congregationem, pro eis exsecrandis ac despuendis, cur punietur? Dicunt Patres, illos esse ad tempus segregatos, qui pro oratione vel curatione ad hæreticorum martyria proficiscuntur : quos et pœnitentiam agentes, et suum delictum agnoscentes, suscipiendos decernunt. Lege sanctorum apostolorum canones 64 et 70 præsentis synodi canones 29,32,34,37,38 et 39, Carthaginensis synodi canonem 60 et sextæ synodi canonem 11. Martyria autem di-

Guill. Beveregii notæ.

(57) *Εἰς τὰ κοιμητήρια.* Ædes, quibus peregrini dormire soliti sunt, κοιμητήρια dicta fuerunt, apud Athenæum, lib. IV, cap. 5, quemadmodum locus cœnobii, ubi monachi dormiunt, *dormitorium* appellatur. Hinc Christiani, docti mortem nihil aliud esse, quam dormitionem quamdam usque ad generalem resurrectionem, qua omnes expergefient, loca mortuis suis sepeliendis destinata κοιμητήρια, quasi dicas *dormitoria*, nuncuparunt. Ad hæc itaque loca Christiani olim convenire consueti sunt. Unde Æmilianus Ægypti præfectus illis hoc prohibuit, οὐδαμῶς δὲ ἐξέστατ, inquit, οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν, ἢ συνόδου; ποιεῖσθαι, ἢ εἰς τὰ καλούμενα κοιμητήρια εἰσιέναι. Euseb. *Hist. Eccl.* l. VII, cap. 9. Nec tantum ibi convenire, sed et sacra ibidem celebrare, et preces Deo fundere soliti sunt. Cassiodorus, *populus jejunans est egressus ad cœmeterium orationis causa. Hist. tripart.* l. V, c. 5. Hinc templa in istis locis postea exstructa sunt. Si in istiusmodi itaque locis hæretici sepulti sint, vel ea ad hæreticos pertineant, cautum est hoc canone ne quis orationis causa illuc se conferat.

cuntur ab hæreticis cœmeteria. In tempore enim persecutionis, quidam hæretici Christianos seipsos nominantes, ad mortem usque supplicio affecti sunt : et ideo qui erant ejusdem opinionis eosdem martyras appellabant

A Μαρτύρια δὲ παρὰ αἱρετικῶν λέγονται τὰ κοιμητήρια. Ἐν γὰρ τῷ καιρῷ τοῦ διωγμοῦ τινες αἱρετικοὶ, Χριστιανοὺς ἑαυτοὺς ὀνομάζοντες, μέχρι θανάτου ἐτιμωρήθησαν· διὸ καὶ μάρτυρας τούτους ἐκάλουν οἱ ὁμοδοξοῦντες αὐτοῖς.

ZONAR. Non solum ecclesiam fidelium ingredi hæretici canonico decreto prohibentur, sed fidelibus quoque hæreticorum cœmeteria, in quibus forte magni apud ipsos nominis hominum cadavera servarentur, vel martyria quæ vocabant adire ne liceat, interdictum est. Credibile est enim, sæviente hostium Christianæ religionis furore, etiam ex hæreticis quosdam usque ad necem infractos stetisse, quos et martyrum appellatione gregales honestabant, et domos, in quibus ipsorum corpora tumulata fuerant, martyria nominabant. In B ea igitur loca fideles, sive ad fundendas preces, seu venerationis aut remedii gratia ingredi vetitum est. Nomine enim τῆς θεραπείας, aut venerationem, aut morborum remedium canon intelligit. Vult igitur fideles nullo modo, neque ut precationi vacent, neque ut honorem iis, quos hæretici venerantur, exhibeant, neque ut morbis aut tentationum variis generibus remedium petant, in eâ quæ diximus loca proficisci : sed qui Ecclesiæ sunt, si eo se conferant, segregari, hoc est, ad aliquod tempus a communione arceri (eorum porro nomine, qui Ecclesiæ sunt, non initiati sacris ordinibus, aut clero ascripti, sed fideles, etiam laici, intelliguntur); eosdem vero, si postea commissi pœniteat, culpamque agnoscant, admitti jubet.

ΖΩΝΑΡ. Οὐ μόνον αἱρετικοὺς εἰσιέναι εἰς ἐκκλησίαν πιστῶν κωλύουσιν οἱ κανόνες, ἀλλ' οὐδὲ πιστοὺς ἀπιέναι παραχωροῦσιν εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἔνθα τυχὸν οἱ παρ' αὐτοῖς ὀνομαστοὶ θανόντες κατέκειντο, ἢ εἰς τὰ λεγόμενα μαρτύρια. Εἰκὸς γὰρ καί τινας τῶν ὑποκειμένων αἱρέσεσιν ἐν τοῖς διωγμοῖς ἑστῆναι μέχρι θανάτου, οὓς καὶ μάρτυρας· οἱ ὁμοδοξοῦντες αὐτοῖς ἐκάλουν, καὶ τοὺς οἴκους, ἐν οἷς τὰ ἐκείνων ἐτέθαπτο σώματα, μαρτύρια ἔλεγον. Ἐν τούτοις ἀπιέναι πιστοὺς εὐχῆς χάριν, ἢ θεραπείας ἕνεκα ἀπηγόρευται. Θεραπείαν δὲ ἢ τὴν τιμὴν ὀνομάζει, ἢ τὴν ἐκ νόσων ἴασιν. Τοῦτο δ' ἔστιν ὃ βούλεται ὁ κανὼν, τὸ μὴ ἀπιέναι τινὰς εἰς τὰ εἰρημένα, μήτε ὡς εὐξομένους, μήτε ὡς τιμήσοντας τοὺς παρὰ τῶν αἱρετικῶν τιμωμένους, μήτε ὡς θεραπείαν νόσων ἢ πειρασμῶν ἀλλοίων ἐξ ἐκείνων αἰτήσοντας, ἀλλὰ τοὺς τῆς Ἐκκλησίας ἀπερχομένους ἐκεῖ ἀφορίζεσθαι, ἤγουν ἐπί τινα καιρὸν τῆς κοινωνίας εἴργεσθαι· τῆς Ἐκκλησίας δὲ οὐ τοὺς ἱερωμένους λέγει, ἢ κεκληρωμένους, ἀλλὰ τοὺς πιστοὺς, κἂν λαϊκοὶ ὦσι· μετανοοῦντας δὲ καὶ ἐπιγινώσκοντας τὸ σφάλμα αὐτῶν δέχεσθαι.

ARIST. « Qui in cœmeteriis et martyriis hæreti- C
« corum orat, excommunicatus est. »

ΑΡΙΣΤ. « Ὁ κοιμητηρίοις καὶ μαρτυρίοις αἱρετικῶν ἐπευχόμενος ἀκοινώνητος. »

CANON X.

« Quod non oportet eos, qui sunt Ecclesiæ, indiscriminatim suos filios hæreticis matrimonio
« conjungere. »

ΚΑΝΩΝ Ι'.

« Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως
« πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν
« παιδία αἱρετικοῖς. »

BALS. Lege canonem 14 quartæ synodi; et quæ in illo scripta sunt ad præsentis canonis interpretationem sufficient.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιδ' κανόνα τῆς δ' συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα ἀρκέσουσι πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ZONAR. Multi in hanc sententiam canones editi sunt : quorum in explicatione canonis 14 quartæ œcumenicæ synodi meminimus; quæque ibi dicta sunt, ad hujus quoque canonis explicationem sufficiunt.

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης διάφοροι κανόνες εἰσίν· ὧν ἐν τῇ ἐξηγήσει τοῦ ιδ' κανόνος τῆς οἰκουμενικῆς τετάρτης συνόδου ἐμνησθημεν, καὶ ἱκανὰ τὰ ῥηθέντα ἐκεῖ καὶ πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ARIST. « Cum hæreticis matrimonium ne con-
« trahas. »

ΑΡΙΣΤ. « Αἱρετικοῖς γαμικῶς μὴ συνάλλασσε. »

D

458 CANON XI.

« Quod non oportet eas, quæ dicuntur semores viduæ vel præsidentes, in ecclesia con-
« stitui. »

ΚΑΝΩΝ ΙΑ'.

« Περὶ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας
« ἤτοι προκαθημένας ἐν ἐκκλησίᾳ καθίστα-
« σθαι. »

BALS. Antiquitus mulieres quædam vetulæ in catholicis ecclesiis sedentes, reliquas forte mulieres ad bonum honestumque ordinem servandum deducebant. Quia autem ex earum consuetudine, eo quod honestum est non recte utentium, vel propter arrogantiam, vel propter turpem quæstum, quædam offendebantur; prohibuerunt Patres, ne deinceps essent omnino in ecclesiis presbyteræ sive præsidentes. Ne dixeris autem, Et quomodo hoc

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες πρεσβύτιδες καθήμεναι εἰς τὰς καθολικὰς ἐκκλησίας καθίστων τὰς λοιπὰς γυναῖκας τάχα εἰς εὐταξίαν. Ἐπεὶ οὖν ἐκ τῆς ὁμιλίας τῆς ἀπὸ τούτων ἐβλάπτοντό τινες, μὴ χρωμένων καλῶς τῷ καλῷ διὰ ὑπεροψίαν ἢ αἰσχροκέρδειαν, ἐκώλυσαν οἱ Πατέρες τὸ ὅλως εἶναι τοιαύτας γυναῖκας εἰς ἐκκλησίας, καλουμένας πρεσβύτιδας ἤτοι προκαθημένας. Μὴ εἴπῃς δὲ, Καὶ πῶς; τοῦτο γίνεται εἰς τὰ γυναικεῖα μοναστήρια, καὶ μία

γυνὴ, ἡ ἡγουμένη δηλαδὴ, πασῶν προΐσταται; Ἀκούσεις γὰρ ὅτι ἡ κατὰ Θεὸν ἀποταγὴ καὶ ἀπόκαρσις τὰς πολλὰς ἓν σῶμα ποιεῖ λογίζεσθαι, καὶ πάντα τὰ αὐτῶν πρὸς μόνην ψυχικὴν σωτηρίαν ἀφορῶσι. Τὸ δὲ διδάσκειν γυναῖκα εἰς ἐκκλησίαν καθολικὴν, ἔνθα πλῆθος ἀνδρῶν συναθροίζεται, καὶ διαφόρων γνωμῶν γύναια, ἀπρεπέστατόν ἐστι καὶ ὀλέθριον.

ZONAR. Ἦσάν τινα παρὰ τοῖς παλαιοῖς ἔθη, ἐν ταῖς ἐκκλησίαις γινόμενα, ὧν τὰ μὲν ὁ χρόνος ἠλλοίωσε, τὰ δὲ καὶ τέλεον ἔπαυσε, τὰ δὲ καὶ κανόνες ἀπηγόρευσαν, ὧν ἓν ἦν καὶ τὸ πρεσβύτιδάς τινας γηραιὰς γυναῖκας ἐν ταῖς ἐκκλησίαις τάττεσθαι, καὶ προκαθημένας λέγεσθαι, ἐξαρχούσας τῶν εἰσερχομένων εἰς τὴν ἐκκλησίαν γυναικῶν, ὥσπερ διδασκάλους καὶ καθιστώσας αὐτὰς πρὸς εὐταξίαν, καὶ ὅπως καὶ ὅπου χρὴ ταύτας ἑστάναι παιδευούσας αὐτάς. Ταύτας οὖν μὴ δεῖν γίνεσθαι ὁ κανὼν διορίζεται, ἢ οὕτω καλεῖσθαι.

ARIST. « Αἱ λεγόμεναι προκαθήμεναι ἐν ἐκκλη-
« σίαις μὴ καθιστάσθωσαν. »

Εἰ γὰρ πολιτικὰ ὀφφίκια κωλύονται ἐνεργεῖν, πῶς ποτε ἐν ἐκκλησίᾳ τοῦ κλήρου πρωτεύουσι, καὶ ὡς κεφαλάς τινας ταῦτα ἔχουσι;

ΚΑΝΩΝ ΙΒ'.

« Περὶ τοῦ τοὺς ἐπισκόπους κρίσει τῶν μητροπο-
« λιτῶν καὶ τῶν πέριξ ἐπισκόπων καθίστασθαι
« εἰς τὴν ἐκκλησιαστικὴν ἀρχὴν, ὄντας ἐκ πολ-
« λοῦ δεδοκιμασμένους τε τῷ λόγῳ τῆς πίστεως
« καὶ τῇ τοῦ εὐθέος λόγου πολιτείᾳ. »

BALS. Καὶ ὁ παρὼν κανὼν κωλύει ὑπὸ τοῦ ὄχλου τοὺς ἐπισκόπους ψηφίζεσθαι· καὶ διορίζεται παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων τούτους καθίστασθαι. Παρακελεύεται δὲ δοκίμους εἶναι αὐτοὺς κατά τε τὸ δόγμα καὶ τὸν βίον.

ZONAR. Τὸ παλαιὸν οἱ δῆμοι τῶν πόλεων ᾑροῦντο τοὺς ἐπισκόπους· ὅτι δὲ στάσεις ἐντεῦθεν ἠγείροντο, διὰ τοῦτο τοῖς ἐπισκόποις ἑκάστης ἐπαρχίας τὰ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως ἀνετέθη ψηφίσματα. Ἐπάγει δὲ ὁ κανὼν καὶ οἵους δεῖ εἶναι τοὺς εἰς ἐπισκοπὴν προχειριζομένους, ἤγουν πρὸ πολλοῦ δεδοκιμασμένους ἔν τε τῷ λόγῳ τῆς πίστεως, τουτέστιν ὀρθῶς καὶ ὑγιῶς ἔχοντας περὶ τὴν πίστιν, ἢ καὶ ἄλλως, ἤτοι περὶ τὸν λόγον τῆς πίστεως γεγυμνασμένους καὶ δοκίμους. Τῷ μὲν γὰρ Τιμοθέῳ γράφων ὁ μέγας Παῦλος, διδακτικὸν εἶναι δεῖν λέγει τὸν ἐπισκοπῆς ὀρεγόμενον· τῷ Τίτῳ δ' ἐπιστέλλων, ἀντεχόμενον τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν· οὕτω μὲν οὖν ἔχειν τὸν ἐπισκοπῆς προστησόμενον ἐν τῷ λόγῳ τῆς πίστεως ὁ κανὼν διατάττεται· ἐν δὲ τῇ πολιτείᾳ, ἤγουν τῇ τοῦ βίου διαγωγῇ, εὐθύτατον εἶναι, μὴ σκολιὸν, μὴ πονηρίας μεστὸν, ἀλλὰ κἀκεῖ δεδοκιμασμένον καὶ γνώριμον, ὅτι εὐθὺς

A omni penitus opere, atque adeo etiam ab ipsis divinis canticis, omnino cessabant, quod est Judaicæ superstitionis opus, in illo autem canone, solum ut legatur Evangelium et divinæ Scripturæ, Patres constituerunt: nunc jubent, ne otientur fideles more Judæorum a suis operibus, sed in Sabbato quidem operentur, Dominicum autem honorent, propter **466** Domini resurrectionem; et a manuum quidem operibus abstineant, ecclesiis autem assideant. Sed et hoc, scilicet die Dominico, non operari, non necessario mandarunt; sed adjecerunt, si possint, fideles. Si enim propter inopiam, vel aliquam aliam necessitatem, etiam die Dominico fuerit aliquis operatus, præjudicium ei non afferetur. Et hæc quidem prædictus canon. Quinquagesimæ quartæ autem imperatoris domini Leonis sapientis Novella decernit, ipsos quoque agricolas die Dominico debere otiari. Lege et sextæ synodi canonem 66.

ZΩΝΑΡ. Τοῖς Ἰουδαίοις τιμᾶται τὸ Σάββατον, ἀπραξίαν ἄγουσιν ἐκ τῶν ἔργων αὐτῶν, τοῦ παλαιοῦ νόμου τοῦτο αὐτοῖς ἐπιτάσσοντος· τοῖς δὲ τὸν εὐαγγελικὸν νόμον δεξαμένοις τὸν τελεώτερον τηρεῖν τὰ τοῦ ἀτέλους ἀποτέτραπται. Διὸ καὶ τὸ ἐν Σαββάτῳ ἀργεῖν τοῖς πιστοῖς ὡς Ἰουδαϊκὸν ἀπηγόρευται, καὶ τοῖς Ἰουδαΐζουσιν ἀνάθεμα ὁ κανὼν ἐπιψηφίζεται ἐν Χριστῷ, τουτέστι κεχωρισμένους εἶναι καὶ ἀποδιῃρημένους τοῦ Χριστοῦ, ἀργεῖν δ' ἐπιτρέπειν κατὰ τὴν Κυριακὴν διὰ τὴν τοῦ Κυρίου ἀνάστασιν τὴν ἡμέραν τιμῶντας. Ἀλλ' ὁ μὲν κανών, εἰ δύναιντο, προσέθετο· ὁ δὲ τῆς πολιτείας νόμος ἀπαραίτητον τὴν ἀργίαν ἐν τῇ Κυριακῇ ἀπαιτεῖ ἄνευ τῶν γεωργῶν. Ἐκείνοις γὰρ καὶ ἐν Κυριακῇ ἐργάζεσθαι ἐφίησιν, ὅτι ἴσως τῶν ἔργων κατεπειγόντων οὐχ εὑρήσουσιν ἄλλην ἡμέραν οὕτως αὐτοῖς εἰς τὰ ἔργα αὐτῶν συμβαλλομένην. Καὶ ὁ ο' κανὼν τῶν ἁποστόλων οὔτε νηστεύειν μετὰ Ἰουδαίων, οὔτε ἑορτάζειν παραχωρεῖ τοῖς πιστοῖς· ἀλλὰ τῶν μὲν ἱερωμένων καθαίρεσιν καταψηφίζεται, τοὺς δὲ λαϊκοὺς ἀφορίζει.

ZONAR. Sabbati diem Judæi colunt, nec quidquam operis, ita antiquæ legis instituto edocti, ea luce attingunt: qui vero legem evangelicam perfectiorem sunt amplexi, iis, ne imperfectioris decreta servent, interdictum est. Proinde Sabbato otiari, tanquam repetito a Judæis more, fidelibus haud permissum., quique Judaicis ritibus adhærescant, iis canon anathema in Christo indicit, hoc est, a Christo segregatos ac divisos esse decernit. Vacationem porro Dominica luce, id ejus diei veneration, qua Christus a mortuis redivivus exstitit deferentes, agitare permissum. Et canon quidem addit, si possunt: lex vero civilis, a muneribus die Dominico vacationem esse, si agricolarum opera excipias, omnino jubet. Illis namque, quia forte operibus primo quoque tempore obeundis alium diem pariter accommodatum nancisci non ita facile fuerit, Dominico quoque die operam navandi facultas concessa est. Et vero septuagesimus quoque sanctorum apostolorum canon neque jejunia cum Judæis exercere, nec festos dies agere, fideles sinit: verum qui id fecerint, sacris quidem ordinibus initiatos denositione, laicos vero segregatione, teneri jubet.

ΑΡΙΣΤ. « Οὐ Σάββατον ἀργήσει Χριστιανὸς, ἀλλὰ « Κυριακήν. »

Ἰουδαΐζει γὰρ ἐν τῷ Σαββάτῳ σχολάζων Χριστιανός. Διὰ τοῦτο δεῖ ἐργάζεσθαι ἐν αὐτῇ ἡμέρᾳ, σχολάζειν δὲ ἐν τῇ Κυριακῇ.

ARIST. « Christianus non Sabbato, sed die Domi- « nica feriatur. »

Christianus enim qui in Sabbato vacat, judaizat. Quapropter ista die operari oportet et Dominica vacare.

ΚΑΝΩΝ Λ'.

« Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἢ ἀσκητὴν ἐν « βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ « πάντα Χριστιανὸν, ἢ λαϊκόν· αὕτη γὰρ πρώτη « κατάγνωσις τοῖς ἔθνεσιν. »

ΒΑΛΣ. Ἐν τῷ οζ' κανόνι τῆς ς' συνόδου, τὰ αὐτὰ τῷ παρόντι κανόνι διοριζομένῳ ἀπαραλλάκτως, ἐγράψαμεν τὰ δόξαντα.

ΖΩΝΑΡ. Τὸ συλλούεσθαι γυναιξὶν ἄνδρας καὶ βλαβερόν ἐστιν εἰς ψυχὴν, καὶ ἄλλως ἀσχημοσύνης ἁπάσης ἐπέκεινα. Τὸ γὰρ γυμνὰς ὁρᾶσθαι γυναῖκας

CANON XXX.

« Quod non oportet sacratum, vel clericum, vel « monachum, in balneo cum mulieribus lavari, « neque omnem penitus Christianum, vel laicum. « Hæc est enim prima gentibus condemnatio. »

BALS. In canone 77 sextæ synodi, qui eadem omnino cum præsenti canone statuit, scripsimus quæ visa fuerunt.

ZONAR. Viros cum feminis lavari, tum est animo perniciosum, tum a decore et honestate omni prorsus alienum. Etenim si se invicem nudos viri mu-

lieresque conspiciant, flammam inde cupiditatis exsistere, ardoremque libidinis excitari necesse est. Ipsa vero per se satis ad luxuriem ebulliente natura, quid adhuc oleum camino superinfundas? Quin id usque adeo cum omni honestate pugnare semper existimatum est, ut a quibus committeretur eos intemperantiæ crimine ethnici quoque graviter condemnarint. Omnibus igitur, qui Christiana professione censentur, vetitum id omnino esse canon decernit.

ARIST. « Cum mulieribus lavare, nefas est. »

Magnam nos condemnandi occasionem ethnicis dedit quod omnis Christianus una cum mulieribus lavatur. Quocirca, ut illegitimum, prohibetur.

CANON XXXI.

« Quod non oportet cum omni hæretico matrimo-
« nium contrahere, vel dare filios aut filias, sed
« magis accipere, si se Christianos futuros profi-
« teantur. »

CANON XXXII.

« Quod non oportet hæreticorum benedictiones ac-
« cipere, quæ sunt potius maledictiones quam
« benedictiones. »

467 CANON XXXIII.

« Quod non oportet una cum hæretico vel schisma-
« tico orare. »

BALS. Præsentium trium canonum vis est æqualis et potestas eadem. Jubent enim fideles nec cum hæreticis comedere, nec una orare, nec benedictionem ab eis accipere, nec proprio nomine cum eis matrimonium contrahere; sed neque hæreticis filios proprios dare: eos enim suam superstitionem docebunt, et a recta fide avertent. Si autem velint hæretici liberos suos fidelibus dare in matrimonium, qui se fideles futuros profiteantur, canon hoc permittit. Illud autem, cum omni hæretico non oportet, ne dixeris accipi, quod cum omnibus quidem non oportet, cum aliquibus autem oportet: sed dic hoc esse a canonibus omnino prohibitum. Est enim ejusmodi et quod scriptum est: *Ne verere quando dives factus fuerit homo: quia non dum morietur ipse accipiet omnia* [13], quoniam et hic, ex eo quod dicat David: *Omnia non accipiet*, ex contrario non acceperit aliqua ex suis divitiis. Lege sanctorum apostolorum canones 10, 45 et 46, Antiochenæ synodi canonem 2, Chalcedonensis canonem 14, Carthaginensis canonem 11, sextæ synodi canonem 72, et præsentis operis tit. 12, cap. 13, et quæ in eo sunt.

ZONAR. Si neque cum hæreticis vesci, nec eos precationum socios adhibere, nec ab eis benedictiones accipere, fidelibus concessum est, multo minus connubio cum ipsis jungi, aut cum iis liberos matrimonio sociare, fidelium cuiquam licebit. Suis namque erroribus illos imbuent, atque a recta fide ad perversas opiniones, quibus ipsi irretiti sunt,

[13] Psal. XLVIII, 17.

A παρὰ ἀνδρῶν, καὶ ἄνδρας ὁμοίως αὐθις παρὰ γυναικῶν, ἀναφλέγει τοὺς ἐρωτας, καὶ τῆς σαρκὸς ἀνάπτει τὴν πύρωσιν. Ἀρκετὸν δὲ τῇ σαρκὶ ἡ ἐκ τῆς φύσεως κίνησις· τί δὲ δεῖ πλειόνων ὑλῶν τῇ φλογί; καὶ πᾶσαν δ' ὑπερβαίνει ἀσχημοσύνην, ὡς καὶ παρὰ τῶν ἐθνῶν τοὺς οὕτω ποιοῦντας ὡς ἀκολάστους καταγινώσκεσθαι· πᾶσιν οὖν τοῖς Χριστιανοῖς ἀπαγορεύει τοῦτο ὁ κανών.

ΑΡΙΣΤ. « Γυναιξὶ, τῶν ἀθεμίτων, συλλούεσθαι. »

Μεγίστην καθ' ἡμῶν κατάγνωσιν τοῖς ἔθνεσιν δίδωσι, τὸ μετὰ γυναικῶν πάντα Χριστιανὸν συλλούεσθαι· διὰ τοῦτο γοῦν, ὡς ἀθέμιτον, ἀπηγόρευται.

ΚΑΝΩΝ ΛΑ'.

B « Ὅτι οὐ δεῖ πρὸς πάντα αἱρετικὸν ἐπιγαμίας ποιεῖν,
« ἢ διδόναι υἱοὺς ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμ-
« βάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γίνε-
« σθαι. »

ΚΑΝΩΝ ΛΒ'.

« Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵτινές
« εἰσιν ἀλογίαι μᾶλλον ἢ εὐλογίαι. »

ΚΑΝΩΝ ΛΓ'.

« Ὅτι οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύγε-
« σθαι. »

ΒΑΛΣ. Οἱ παρόντες τρεῖς κανόνες ἰσοδυναμοῦσι· παρακελεύονται γὰρ τοῖς πιστοῖς μήτε συνεσθίειν μετὰ αἱρετικῶν, μήτε συνεύχεσθαι, μήτε εὐλογίας ἐξ αὐτῶν λαμβάνειν, μήτε γάμον συναλλάττειν οἰκείῳ ὀνόματι, ἀλλὰ μηδὲ διδόναι πρὸς αἱρετικοὺς παῖδας οἰκείους· διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν θρησκείαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως. Εἰ δὲ αἱρετικοὶ βούλοιντο παῖδας αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι πιστοῖς, ἐπαγγελλομένους γενέσθαι πιστοὺς, ἐφίησιν ὁ κανὼν τοῦτο. Τὸ δὲ, οὐ δεῖ πρὸς πάντα αἱρετικὸν, μὴ εἴπῃς ἐκλαμβάνεσθαι, ὡς πρὸς πάντας μὲν οὐ δεῖ, πρός τινας δὲ δεῖ· ἀλλὰ καθόλου εἰπὲ ὑπὸ τῶν κανόνων τοῦτο ἀπαγορεύεσθαι. Τοιοῦτον γάρ ἐστι καὶ τὸ γεγραμμένον, *Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα.* Ἐπεὶ δὲ οὗτος ἐκ τοῦ λέγειν τὸν Δαβὶδ, *Τὰ πάντα οὐ λήψεται*, ἐξ ἀντιδιαστολῆς οὐ λάβῃ τινὰ ἐκ πλούτου αὐτοῦ. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ι', με', καὶ μς', τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανονα β', τῆς ἐν Χαλκηδόνι κανόνα ιδ', τῆς ἐν Καρθαγένῃ κανόνα κα', τῆς ς' συνόδου κανόνα οβ', καὶ τοῦ παρόντος συντάγματος, τίτλου ιβ', κεφ. ιγ', καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Εἰ συνεσθίειν ἢ συνεύχεσθαι αἱρετικοῖς, ἢ εὐλογίας ἐξ αὐτῶν λαμβάνειν τοὺς πιστοὺς οὐ δεῖ, πολλῷ μᾶλλον γάμον συναλλάσσειν, καὶ διδόναι αὐτοῖς υἱοὺς ἢ θυγατέρας εἰς ἐπιγαμίαν. Διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν κακοδοξίαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως εἰς τὰς διεστραμμένας δόξας αὐτῶν. Εἰ δὲ αἱρετικοὶ βούλονται παῖ-

ὁις αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι τισὶ, ἐπαγγελ- A
λομένους ἐξ ἀπίστων Χριστιανοὺς γενέσθαι, ἢ ἐκ
διεστραμμένων δογμάτων εἰς ὀρθοδοξίαν μετατε-
θῆναι, τοῦτο ἐφίησιν ὁ κανών. Τὸ δὲ, οὐ δεῖ πρὸς
πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐχ οὕτω νοη-
τέον, ὅτι πρὸς πάντας μὲν οὐ δεῖ, πρός τινας δὲ
δεῖ· ἀλλὰ ἀπαξαπλῶς ἀπαγορεύουσι τοῦτο, μονω-
θυχὶ τοῦ κανόνος λέγοντος ὅτι πρὸς οὐδένα αἱρετι-
κὸν δεῖ ἐπιγαμίαν ποιεῖν. Τοῦτο δὲ ἴδίωμα γραφικόν
ἐστι. Λέγει γὰρ ὁ Δαβίδ· *Μὴ φοβοῦ ὅταν πλου-
τήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐ-
τὸν λήψεται τὰ πάντα.* Τί οὖν, τινὰ τίως λήψεται;
ἀλλ' οὐδὲν πάντως. Καὶ ἀλλαχοῦ, *Μὴ γὰρ ματαίως
ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;* Τί-
νας δὲ ματαίως ἔκτισεν; οὐδεὶς τοῦτο ἐρεῖ. Οὕτως
οὖν ἐκληπτέον κἀνταῦθα τὸ πρὸς πάντας. Τοιοῦτόν B
ἐστι καὶ τὸ, *Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον
σαρκός σου.* Αἱρετικοὶ δὲ λέγονται οἱ περὶ τὴν
πίστιν σφαλλόμενοι, σχισματικοὶ δὲ οἱ περὶ μὲν
τὴν πίστιν καὶ τὰ δόγματα ὑγιῶς ἔχοντες, διά τινας
δ' αἰτίας ἀποσχίζοντες καὶ ἀντισυνάγοντες.

ARIST. « Οὐ δίδόναι τοῖς αἱρετικοῖς εἰς συνάφειαν
« τέκνα, ἀλλὰ λαμβάνειν δεῖ, Χριστιανίζειν ἐπαγ-
« γελλόμενα. »

Τὸ μὲν λαμβάνειν τῶν αἱρετικῶν τέκνα Χριστια-
νίζειν ἐπαγγελλόμενα, καὶ ἐπισυνάπτειν αὐτὰ εἰς
γάμου κοινωνίαν τοῖς παισὶ τῶν Χριστιανῶν, ἐπι-
τέτραπται· τὸ δὲ διδόναι τὰ τῶν Χριστιανῶν τέκνα
εἰς συνάφειαν τοῖς αἱρετικοῖς ἐν πολλοῖς τῶν κανό- C
νων ἀπηγόρευται.

ARIST. « Ἀλογίαι αἱ τῶν αἱρετικῶν εὐλογίαι. »

Οὐ δεῖ προσδέχεσθαι τὰ παρὰ τῶν αἱρετικῶν προσ-
αγόμενα· ἀλογίαι γὰρ μᾶλλον ταῦτά εἰσιν ἢ εὐλο-
γίαι.

ARIST. « Αἱρετικοῖς, ἢ σχισματικοῖς; μὴ συνεύξῃ. »

Ἀκοινώνητος ὁ τούτοις συνευχόμενος. Σχισματι
κοὶ δέ εἰσιν οἱ Αὐδιανοὶ, οἵτινες τὴν μὲν πίστιν ὡς
ἡ καθολικὴ Ἐκκλησία ἔχουσιν, ἐν μοναστηρίοις
δὲ οἱ πλείους αὐτῶν οἰκοῦσι, καὶ οὐ πᾶσι συνεύ-
χονται. Ψέγουσι δὲ καὶ τοὺς παρ' ἡμῖν ἐπισκόπους
πλουσίους, καὶ ἄλλους εἰς ἄλλα. Καὶ μετὰ Ἰου-
δαίων τὸ Πάσχα ἰδιαζόντως ποιοῦσιν. Ἔχουσι δέ τι D
καὶ ἴδίωμα φιλόνεικον, ξηρότατά τινα τῶν τῆς θείας
Γραφῆς ἑρμηνεύοντες.

ΚΑΝΩΝ ΛΔ'.

« Ὅτι οὐ δεῖ πάντα Χριστιανὸν (62) ἐγκαταλείπειν
« μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευ-

avocabunt. Quod si liberos suos fidelibus matrimo-
nio copulare hæretici velint, modo se illi infidelitate
deposita Christianos fore, atque opinionum pravi-
tate abjecta rectam fidem amplexuros esse polli-
ceantur, tum vero ejus rei canon facultatem esse
decernit. Verba autem illa, Non oportet cum omni
hæretico matrimonium contrahere, non ita intelli-
gas, quasi non cum omnibus quidem hæreticis, sed
cum aliquibus tantum ex eo grege matrimonia inire
concessum sit : nam iis verbis inita cum hæreticis
quibuscunque connubii fœdera universe damnantur;
perinde ac si cum nemine prorsus hæretico matri-
monia jungi licere canon affirmet. Est vero hæc
loquendi formula in sacris Litteris usitatior, ut cum
David ait : *Ne timueris cum dives factus fuerit homo;
quoniam non cum moriatur recipiet omnia.* Quænam
etenim demum recipiet? nihil omnino. Et illud :
Numquid nunc constituisti omnes filios hominum [16]?
Quidam ergo vane constituti? Nemo hoc dixerit.
Eodem modo igitur verba, Non cum omnibus, hoc
loco sunt accipienda. Simile est et illud : *Non in-
gredieris ad omnem domesticum carnis tuæ.* Dicuntur porro hæretici, qui in iis quæ fidei sunt hallucinan-
tur : schismatici vero, qui a recta quidem fidei doctrina nequaquam aberrant : verum aliquas ob
causas ipsi seorsum conventus agentes, ab Ecclesiæ se communione divellunt.

ARIST. « Hæreticis liberos in matrimonium dare
« non oportet, sed accipere, Christianos se futu-
« ros profitentes. »

Hæreticorum liberos Christianismum amplecti
profitentes, sumere, eosque in matrimonii commu-
nionem Christianorum filiis conjungere, permittitur.
At Christianorum liberos hæreticis conjungere, in
multis canonibus prohibetur.

ARIST. « Hæreticorum benedictiones sunt maledi-
« ctiones. »

Non oportet ea accipere quæ ab hæreticis affe-
runtur. Ea enim maledictiones potius sunt quam
benedictiones.

ARIST. « Cum hæreticis vel schismaticis ne com-
« precceris. »

Excommunicatur qui cum illis comprecatur.
Schismatici autem sunt Audiani, qui fidem quidem,
ut catholica Ecclesia, retinent, sed eorum plurimi
in monasteriis habitant, et cum omni non orant.
Vituperant autem divites nostros episcopos et alios
ob alia. Et cum Judæis Pascha seorsim celebrant.
At contentiosam habent proprietatem, avidissime
quædam divinæ Scripturæ loca interpretantes.

468 CANON XXXIV.

« Quod non oportet quemcunque Christianum
« Christi martyras relinquere, et ad falsos mar-

[16] Psal. LXXXVIII, 48.

Guill. Beveregii notæ.

(62) *Ὅτι οὐ δεῖ πάντα Χριστιανὸν.* Constantinus Harmenopolus præsentem canonem in hunc modum in compendium reduxit, ὁμοίως καὶ τῷ τοὺς ψευδομάρτυρας τιμῶντι ἀνάθεμα, *Similiter et illi sit anathema, qui commentitios martyres honore afficit.* Ubi ad vocem ψευδόμαρτυρας scholiastes habet, ἤγουν οὓς οἱ ἑτερόδοξοι ὡς ἁγίους τιμῶσι καὶ μάρτυρας, *nimirum quos heterodoxi homines tanquam sanctos et martyres honorant.* Harmen. epit. can. sect. 5, tit. 5.

« tyras, hoc est hæreticos, abire, vel eos qui
« prius hæretici fuere. Hi enim sunt a Deo alieni.
« Sint ergo anathema qui ad eos abeunt. »

« δομάρτυρας, τοῦτ' ἔστιν αἱρετικοὺς γενομένους.
« Οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν·
« ἔστωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐ-
« τούς. »

BALS. Nonus canon præsentis synodi dicit aliquantisper eos excommunicatos fieri, qui ad hæreticorum cœmeteria, et quæ ab eis martyria appellantur, profecti fuerint : præsens autem canon eos anathematizat. Et est canonum differentia. Illic enim qui proficiscuntur, ex errore et per aliquorum fraudem profecti sunt, fortasse ut curarentur, et propterea mitius puniuntur : hic autem, toto animo se malo dederunt, et a Deo defecerunt ; et propterea anathematizantur. Cur autem hæretici pseudomartyres dicantur, dictum est in canone 9.

ΒΑΛΣ. Ὁ μὲν θ' κανὼν τῆς παρούσης συνόδου ἀκοινωνήτους γίνεσθαί φησι μέχρι τινὸς τοὺς ἀπερχομένους εἰς τὰ κοιμητήρια τῶν αἱρετικῶν, καὶ τὰ μαρτύρια παρὰ τούτων λεγόμενα· ὁ δὲ παρὼν κανὼν ἀναθεματίζει τούτους. Καὶ ἔστι διαφορὰ τῶν κανόνων. Ἐκεῖ μὲν γὰρ οἱ ἀπερχόμενοι κατὰ πλάνην καὶ ἀπάτην τινῶν ἀπῆλθον, χάριν τοῦ ἰατρευθῆναι τάχα, καὶ διὰ τοῦτο μετρίως κολάζονται· ἐνταῦθα δὲ ὁλοψύχῳ διαθέσει ἐτόλμησαν τὸ κακὸν, καὶ ἀπέστησαν τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἀναθεματίζονται. Διὰ τί δὲ λέγονται ψευδομάρτυρες οἱ αἱρετικοὶ, εἴρηται ἐν τῷ θ' κανόνι.

ZONAR. Quosdam ex hæreticis, dum Christiana religio infensis principum odiis agitaretur, cruciatus pertulisse, atque in tormentis usque ad necem obdurasse, jam antea diximus ; quos proinde instar martyrum gregales venerabantur : verum pseudomartyres atque a Deo alienos hic canon appellat. Cum igitur ipsorum sepulcra nonnulli ex fidelibus frequentarent, quicunque ad ea invisenda profecti fuerint, anathematis pœna teneri jubet.

ΖΩΝΑΡ. Εἴρηται καὶ ἄνω που ὅτι τινὲς τῶν αἱρετικῶν ἐν τοῖς καιροῖς τῶν διωγμῶν ἔπαθον, καὶ μέχρι θανάτου ταῖς βασάνοις ἐνεκαρτέρησαν, οὓς οἱ συναιρεσιῶται ἐτίμων ὡς μάρτυρας, οὓς ὁ κανὼν ψευδομάρτυρας ὀνομάζει· καὶ ἀλλοτρίους καλεῖ τοῦ Θεοῦ. Τινὲς οὖν τῶν πιστῶν ἀπήρχοντο πρὸς τοὺς τάφους αὐτῶν· τοὺς οὖν ἀπερχομένους ἀναθέματι καταδικάζει.

ARIST. « Qui martyrem, falso sic dictum, hæreti-
« cum honorat, sit anathema. »

Qui a Deo alienos ut martyres honorat, et ipse a Deo erit alienus.

ΑΡΙΣΤ. « Ὁ ψευδομάρτυρα αἱρετικὸν τιμῶν ἤτω
« ἀνάθεμα. »

Ὁ τοὺς ἀλλοτρίους Θεοῦ τιμῶν, ὡς μάρτυρας, ἀλλότριος ἔσται Θεοῦ καὶ αὐτός.

CANON XXXV.

« Quod non oportet Christianos, relicta Dei Ecclesia,
« abire, et angelos nominare, vel congregationes
« facere, quæ sunt prohibita. Si quis ergo inven-

ΚΑΝΩΝ ΛΕ'.

« Ὅτι οὐ δεῖ Χριστιανοὺς ἐγκαταλείπειν τὴν Ἐκ-
« κλησίαν τοῦ Θεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους
« ὀνομάζειν (63), ἢ συνάξεις ποιεῖν, ἅπερ ἀπηγόρευ-

Guill. Beveregii notæ.

(63) *Καὶ ἀγγέλους ὀνομάζειν.* Scholiastes Harmenopuli ad hæc verba observat, quod, Αἵρεσις ἦν παλαιὰ, λεγόντων τινῶν, ὡς οὐ δεῖ τὸν Χριστὸν εἰς βοήθειαν ἐπικαλεῖσθαι, ἢ εἰς προσαγωγὴν τὴν πρὸς τὸν Θεὸν, ἀλλὰ τοὺς ἀγγέλους. Τοῦτο δὲ τάχα δι' εὐλάβειαν ἔλεγον ταπεινούμενοι. *Antiqua erat quorumdam hæresis, qui dicebant non Christum ad opem nobis ferendam implorandum esse, vel ut nos ad Deum adducat, sed angelos : quod quidem illi fortasse tradebant ex religioso humilitatis prætextu.* Harmenop. epit. can. sect. 5, tit. 5. Quinetiam in codice Amerbachiano hoc habetur σχόλιον ; quod ad proximum sane canonem scribitur, sed ad hunc pertinet. Μέμνηται μὲν καὶ ὁ θεῖος Ἐπιφάνιος ἐν τοῖς παναρείοις αἱρέσεώς τινος τῶν Ἀγγελικῶν λεγομένων εἴτε διὰ τὸ ἑαυτοὺς, φησὶ, σεμνύνειν ὡς τάξιν ἀγγέλων κατὰ τὴν πολιτείαν ἐπέχοντας, εἴτε διὰ τὸ ληρεῖν ἀπ' ἀγγέλων ἐκτίσθαι τὸν κόσμον. Προσφυέστερον δέ ἐστι μάλιστα τῷ κανόνι τῷδε τὸ ἐν τῇ πρὸς Κολοσσαεῖς Ἐπιστολῇ παρὰ τοῦ ἀποστόλου Παύλου ῥηθὲν· ἐν οἷς φησι· Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύειν· ἦσαν γάρ τινες διδάσκοντες, μὴ δεῖν λέγειν ἡμᾶς διδάσκεσθαι διὰ Χριστοῦ προσάγεσθαι τῷ Θεῷ καὶ Πατρί. Μείζων γὰρ, φησὶν, ἢ καθ' ἡμᾶς ὁ Χριστὸς, ἀλλὰ δι' ἀγγέλων. Ἄρνησις δὲ τοῦτο τῆς θείας ἦν οἰκονομίας ἐν προσχήματι ταπεινοφροσύνης. *Divinus etiam Epiphanius in Panariis meminit hæreseos cujusdam eorum, qui Angelici dicti sunt : sive quod sese, inquit, venditarint, tanquam angelorum ordinem in vita observantes ; sive quod mundum ab angelis conditum deliri effutierint. Huic autem canoni illud magis accommodum est, quod a Paulo apostolo in Epistola ad Colossenses dictum est, ubi est : Nemo vos seducat volens in humilitate et cultu angelorum, in ea, quæ non vidit, pedem inferre. Nonnulli enim dicebant quod non oportet, nos doctos esse, ut ad Deum et Patrem per Christum adducamur. Major enim, inquiunt, est Christus, quam quales nos sumus ; sed per angelos. Hoc autem denegatio erat divinæ œconomiæ sub specie humilitatis.* Hoc vero idem fere est scholium, quod Aristenus in præsentem canonem conscripsit. Eadem enim et iisdem pleraque verbis in utroque occurrunt. Quæ ex Epiphanio hic citantur exstant etiamnum in Panariis ejus, hær. 60, quæ est Angelicorum. Horum meminit et divus Augustinus, dicens, *Angelici in angelorum cultu inclinati.* Hær. 39. Hæc autem eadem videtur hæresis, quæ prima in Ecclesiam Christianam a Simone Mago introducta est. Unde et eadem imbuti Simoniani ab Epiphanio dicti sunt. Qui etiam Simonem Magum nomina quædam angelicorum ordinum, ut principatuum, et potestatum, commentatum esse tradidit, ὀνόματα, inquit, δέ τινα ὁ αὐτὸς ὑποτίθεται ἀρχῶν τε καὶ ἐξουσιῶν. Epiph. hær. 21, num. 4. Tertullianus, *Simoniacæ autem magiæ disciplina angelis serviens, utique et ipsa inter idololatrias disputabatur, et a Petro apostolo in ipso Simone damnabatur.* Tertull. De præscript. adv. hæres. cap. 33. Hoc autem Simon Magus ab Essenis inter Judæos mutuatus videtur,

« ται. Εἴ τις οὖν εὑρεθῇ ταύτῃ τῇ κεκρυμμένῃ A « εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα· ὅτι « ἐγκατέλιπε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, « τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰδωλολατρείᾳ προσ- « ῆλθεν.

« tus fuerit huic occultæ idololatriæ vacare, sit « anathema : quia reliquit Dominum nostrum « Jesum Christum, Filium Dei, et accessit ad « idololatriam. »

ΒΑΛΣ. Ὡς ἐπὶ τὸ πολὺ ὁ πονηρὸς ἐκ τῶν δεξιῶν ἡμᾶς ὑποκλέπτει. Διά τοι τοῦτο καὶ ὑπέβαλλέ ποτέ τινας μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν εἰς βοήθειαν, ἀλλὰ τοὺς ἀγγέλους, κατὰ τρόπον δῆθεν εὐλαβείας καὶ τῆς πρὸς τὸν Θεὸν ἐποίουν κατά τινα αἵρεσιν, ἀλλὰ πρὸς τοὺς ἀγγέλους. Ὅπερ οἱ Πατέρες ὡς μέγιστον κακὸν κολάζοντες, διορίζονται ἀναθέματι καθυποβάλλεσθαι τοὺς ἐγκαταλιμπάνοντας, καὶ λέγοντας τῆς μεσιτείας τῶν ἀγγέλων ἠρτῆσθαι τὴν σωτηρίαν ἡμῶν. Εἰδωλολατρείαν δὲ τοῦτο ὠνόμασαν, οὐχ ὡς τῆς πρὸς τοὺς ἀγγέλους τιμῆς ἀποτροπαίαν οὔσης, ἀλλ' ὡς τοῦ πονηροῦ ἐκκυλίοντος ἡμᾶς πρὸς εἰδωλολατρείαν, διὰ τὸ μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν. Ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ ἀγγελικοὶ λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος περὶ αἱρέσεων γράφων φησὶν, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρ' ἀγγέλων τὰ θεῖα μυεῖσθαι νομίζοντες.

BALS. Malus ut plurimum nos a dextris sensim adoritur. Propterea enim et nonnullis suggessit, ne Christum ad auxilium invocarent, sed angelos, instar scilicet religionis et honoris in Deum : et ideo orationes suas non ad Deum dirigebant ex quadam hæresi, sed ad angelos. Quod Patres tanquam maximum malum punientes, anathemati subjiciunt eos, qui ecclesiasticam traditionem relinquunt, et illicitos conventus faciunt, et dicunt ab angelorum intercessione nostram salutem pendere. Hoc autem idololatria nominatum est : non quod honor in angelos sit aversandus ; sed quod malus nos ad idololatriam devolvat, eo quod non invocetur Christus et Deus noster. Erant et alii hæretici, qui dicebantur Angelici, ut sanctus Epiphanius scribens de hæresibus dicit, vel quod forte angelice viverent, vel quod se ab angelis mysteriis initiatos putarent. B

ΖΩΝΑΡ. Αἵρεσις ἦν παλαιὰ λεγόντων τινῶν ὅτι οὐ δεῖ τὸν Χριστὸν ἐπικαλεῖσθαι εἰς βοήθειαν ἢ εἰς προσαγωγὴν τὴν πρὸς Θεὸν, ἀλλὰ τοὺς ἀγγέλους, ὡς τάχα τοῦ τὸν Χριστὸν ἐπικαλεῖσθαι πρὸς τὰ εἰρημένα μείζονος ὄντος τῆς ἡμετέρας ἀξίας. Τοῦτο δὲ τάχα ταπεινούμενοι ἔλεγον, ὡς ἐπὶ τὸ πολὺ τοῦ πονηροῦ εἰωθότος κλέπτειν ἡμᾶς ἐκ τῶν δεξιῶν. Ταύτης τῆς αἱρέσεως καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς Ἐπιστολῇ μέμνηται, λέγων· *Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων.* Τοῦτο δ' ἐστὶ τὸ παρὰ τοῦ Ἀποστόλου C

ZONAR. Antiqua illa quorumdam hæresis fuit ut non Christum nobis patronum aut interpretem apud Deum adhibendum esse, sed angelos affirmarent ; quod ea nimirum Christi interpellatio majus quiddam esset, quam ut id audire nos homunculi deberemus. In quo forte demissionem animi quamdam secuti esse videri possunt, cum perversi hostis illud solemne sit, ut in nos plerumque latenter a dextris impetum faciat. Enimvero hæreseos hujus magnus quoque Paulus ad Colossenses meminit, iis verbis; *Nemo vos*, inquit, *seducat volens in humilitate et in cultu angelorum, in ea quæ non vidit pedem inferens* [17].

Guill. Beveregii notæ.

quippe qui jusjurandum a proselytis suis exigere consueti sunt, συντηρήσειν ὁμοίως τὰ τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. Joseph. *De bello Jud.* lib. 2, c. 7. Et ex eo quidem quod τοὺς ἀγγέλους ὀνομάζειν hoc canone prohibeatur, Simoniaca ista hæresis, quæ nescio quæ angelorum nomina commenta est, damnata videatur ; ita tamen, ut quemlibet eis religiosum exhibere cultum hic simul interdicatur ; quemadmodum et doctissimus ille Pater, qui statim post hanc synodum Laodiceæ celebratam claruit, Theodoretus hunc ipsum canonem interpretatus est, utpote qui secundum caput Epistolæ ad Colossenses exponens, hæc habet : Οἱ τῷ νόμῳ συνηγοροῦντες, καὶ τοὺς ἀγγέλους σέβειν αὐτοῖς εἰσηγοῦντο, διὰ τούτων λέγοντες δεδόσθαι τὸν νόμον. Ἔμεινε δὲ τοῦτο τὸ πάθος ἐν τῇ Φρυγίᾳ καὶ Πισιδίᾳ μέχρι πολλοῦ· οὗ δὴ χάριν καὶ συνελθοῦσα σύνοδος ἐν Λαοδικείᾳ τῆς Φρυγίας νόμῳ κεκώλυκε καὶ τοῖς ἀγγέλοις προσεύχεσθαι· καὶ μέχρι δὲ τοῦ νῦν εὐκτήρια τοῦ ἁγίου Μιχαὴλ παρ' ἐκείνοις, καὶ τοῖς ὁμόροις ἐκείνων ἔστιν ἰδεῖν. *Qui legem defendebant, eos etiam ad angelos colendos inducebant, discentes legem fuisse per illos datam. Mansit autem perdiu hoc vitium in Phrygia et Pisidia. Proinde synodus, quæ convenit apud Laodiceam Phrygiæ, lege prohibuit, ne precarentur ad angelos, et ad hodiernum usque diem oratoria sancti Michaelis apud illos, illorumque finitimos videre est.* Theod. in Epist. ad Coloss. c. 2. Et ante præsentem synodum, Origenes idem docuerat, angelos nimirum etiamsi Dii in sacris Scripturis appellentur, et dona Dei nobis afferant, attamen non adorandos esse, neque preces nostras ad eos dirigendas, τούτους δὲ ἀγγέλους, inquit, ἀπὸ τοῦ ἔργου αὐτῶν μεμαθηκότες καλεῖν, εὑρίσκομεν αὐτοὺς, διὰ τὸ θείους εἶναι, καὶ θεοὺς ἐν ταῖς ἱεραῖς ποτε ὀνομαζομένους Γραφαῖς· ἀλλ' οὐχ ὥστε προστάσσεσθαι ἡμῖν τοὺς διακονοῦντας, καὶ φέροντας ἡμῖν τὰ τοῦ Θεοῦ, σέβειν, καὶ προσκυνεῖν ἀντὶ τοῦ Θεοῦ. Πᾶσαν μὲν γὰρ δέησιν, καὶ προσευχὴν, καὶ ἔντευξιν, καὶ εὐχαριστίαν ἀναπεμπτέον τῷ ἐπὶ πᾶσι Θεῷ, διὰ τοῦ ἐπὶ πάντων ἀγγέλων ἀρχιερέως ἐμψύχου Λόγου καὶ Θεοῦ. Et mox, ubi docuisset Christo etiam gratias atque preces offerendas esse, subjungit, ἀγγέλους γὰρ καλέσαι μὴ ἀναλαβόντας τὴν ὑπὲρ ἀνθρώπου περὶ αὐτῶν ἐπιστήμην, οὐκ εὔλογον. Orig. contra Celsum lib. v, p. 233, edit. Cantabrig., an. 1658. Et ante eum Irenæus, *Quemadmodum enim gratis accepit a Deo, gratis et ministrat. Nec invocationibus angelicis facit aliquid, nec incantationibus, nec aliqua prava curiositate ; sed munde, et pure, et manifeste, orationes omnes dirigentes ad Dominum qui omnia fecit et nomen Domini nostri Jesu Christi in virtute secundum nihiloles hominum, sed non ad seductionem perfecit.* Iren. Adv. hær. l. II, 57. D

[17] Coloss. II, 18.

Quorum quidem Apostoli verborum hæc est sententia : Nemo vos, inquit, fidei vitæque integræ bravio **469** fraudet, (Est namque καταβραβεύειν,' non victorem bravio honestare ; sed illi per injuriam ereptum, alteri cuipiam elargiri) cupiens vos a recta fide ad venerationem angelorum abducere, ut videlicet angelorum veneration addicti sitis, in humilitate, humilitatis nimirum studio, quasi scilicet Dominum implorare, eoque apud Patrem suum conciliatore uti, nostræ sortis esse nequaquam arbitrarentur. Antiqua igitur, ut diximus, hæc hæresis fuit, ut angelos aliqui nominarent, hoc est, invocarent, conventusque privatos seorsim ab Ecclesia celebrarent : quæ quidem canon aboleri cupiens, Si quis, inquit, occultæ huic idololatriæ operam dare deprehensus fuerit, anathema sit. Ac eam quidem, quam Apostolus angelorum venerationem, idololatriam hic canon nuncupavit, non quod insit in angelorum veneratione idololatriæ crimen ; sed quia, ut inde nos in idololatriæ culpam paulatim impellat, idcirco a Christo invocando sceleratus hostis nos deterreat. Exstitere porro et alii hæretici quidam angelorum appellatione, ut scribit sanctus Epiphanius lib. de hæresibus : Angelicos vero sese nominabant, aut quasi se instituto vivendi angelos imitari, aut ab angelis ad fidei divinæque agnitionis lucem vocatos esse significarent.

ARIST. « Qui alienos ab Ecclesia conventus agit et « angelos nominat, idololatriæ proximus est, et « sit anathema. »

Est hæresis quædam Angelicorum dicta vel quia seipsos jactitant, ut angelorum ordinem et politiam habentes, vel quod delirantes dicunt ab angelis creari mundum. Erant autem et nonnulli qui docuerunt, ut in Epistola ad Colossenses magnus iudicavit Paulus, non oportere dicere nos per Christum Deo et Patri adduci. Major enim quam secundum nos, inquiunt, est Christus : sed per angelos ; hoc autem sub humilitatis specie divinæ dispensationis erat abnegatio. Qui iis itaque se conjungit, et ab angelis creari mundum dicit, aut per angelos nos Deo et Patri adduci, sit anathema, ut Dominum nostrum Jesum Christum Dei Filium relinquens, et idololatrarum sententiæ appropinquans.

CANON XXXVI.

« Quod non oportet sacratos vel clericos esse ma- « gos, vel incantatores, vel mathematicos, vel « astrologos, vel facere quæ dicuntur phylacte- « ria, quæ quidem sunt ipsarum animarum vin- « cula : eos autem qui ferunt, ejici ex Ecclesia « jussimus. »

BALS. Præsens canon iis, qui sunt sacrati, prohibet, ne sint magi, vel incantatores, vel mathematici, vel astrologi : et eos, qui ferunt phylacteria, excommunicatione condemnat. Sunt itaque magi, qui ad Satanam propter aliquam causam accedunt. Incantatores autem, præstigiatores, qui carmina seu incantationes dicunt, et per ea dæmo-

A λεγόμενον, ὅτι Μηδεὶς ὑμᾶς τοῦ βραβείου τῆς πίστεως καὶ τοῦ ὀρθοῦ βίου ἀποστερείτω (καταβραβεύειν γάρ ἐστι τὸ μὴ τὸν νικήσαντα ἀξιοῦν τοῦ βραβείου, ἀλλ' ἑτέρῳ διδόναι αὐτὸ, ἀδικουμένου τοῦ νικητοῦ) θέλων μετάγειν ὑμᾶς ἀπὸ τῆς ὀρθῆς πίστεως εἰς θρησκείαν τῶν ἀγγέλων, ἤγουν εἰς τὸ λατρεύειν τοῖς ἀγγέλοις ἐν ταπεινοφροσύνῃ, διὰ ταπεινοφροσύνην τάχα, ὡς ὑπὲρ ὑμᾶς ὄντος τοῦ ἐπικαλεῖσθαι τὸν Κύριον, καὶ αὐτῷ χρῆσθαι προσαγωγεῖ πρὸς τὸν αὐτοῦ Πατέρα. Παλαιὰ οὖν, ὡς εἴρηται, ἡ αἵρεσις ἦν, καὶ ὠνόμαζόν τινες ἀγγέλους, ἤγουν ἐπεκαλοῦντο, καὶ συνάξεις ἐποίουν, ἅπερ ὁ κανὼν ἀναιρῶν, Εἴ τις εὑρεθῇ, φησὶ, ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα. Ἦν ὁ Ἀπόστολος ἔφη θρησκείαν τῶν ἀγγέλων, ὁ κανὼν
B εἰδωλολατρείαν ἐκάλεσεν, οὐχ ὡς τῆς πρὸς ἀγγέλους τιμῆς εἰδωλολατρείας οὔσης, ἀλλ' ὡς τοῦ πονηροῦ ἀπάγοντος ἡμᾶς τοῦ ἐπικαλεῖσθαι τὸν Χριστὸν, ἵνα κατὰ μικρὸν καὶ λεληθότως εἰς εἰδωλολατρείαν ἐκκυλίσῃ ἡμᾶς. Ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ Ἄγγελοι λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος περὶ αἱρέσεων γράφων φησίν· Ἀγγελικοὺς δ' ἐκάλουν ἑαυτοὺς, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρὰ ἀγγέλων προσκληθέντες πρὸς τὴν πίστιν καὶ τὴν θείαν ἐπίγνωσιν.

ΑΡΙΣΤ. « Ὁ παρασυνάγων καὶ ὀνομάζων ἀγγέλους « εἰδωλολατρείας πλησίον, καὶ ἤτω ἀνάθεμα. »

C Ἔστι τις αἵρεσις τῶν Ἀγγελικῶν λεγομένη, ἢ διὰ τὸ ἑαυτοὺς σεμνύνειν, ὡς τάξιν ἀγγέλων καὶ πολιτείαν ἔχοντας, ἢ διὰ τὸ ληρεῖν ὑπ' ἀγγέλων ἐκτίσθαι τὸν κόσμον. Ἦσαν δὲ καί τινες διδάσκοντες, καθὼς ἐν τῇ πρὸς Κολοσσαεῖς Ἐπιστολῇ ὁ μέγας Παῦλος ἐδήλωσε, μὴ δεῖν λέγειν ἡμᾶς διὰ Χριστοῦ προσάγεσθαι τῷ Θεῷ καὶ Πατρί· Μείζων γὰρ ἢ καθ' ἡμᾶς, φησὶν, ὁ Χριστός· ἀλλὰ δι' ἀγγέλων. Τοῦτο δὲ ἄρνησις ἦν τῆς θείας οἰκονομίας ἐν προσχήματι τῆς ταπεινοφροσύνης. Ὁ γοῦν παρασυνάγων, καὶ ὑπ' ἀγγέλων ἐκτίσθαι τὸν κόσμον λέγων, ἢ δι' ἀγγέλων ἡμᾶς προσάγεσθαι τῷ Θεῷ καὶ Πατρὶ, ἤτω ἀνάθεμα ὡς ἐγκαταλιπὼν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἐγγὺς φρονῶν τῶν εἰδωλο-
D λατρῶν.

ΚΑΝΩΝ ΛϚ'.

« Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς μάγους ἢ ἐπαοι- « δοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ « ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἅτινά ἐστι « δεσμωτήρια τῶν ψυχῶν αὐτῶν· τοὺς δὲ φο- « ροῦντας ῥίπτεσθαι ἐκ τῆς Ἐκκλησίας ἐκελεύ- « σαμεν. »

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐπιτρέπει τοὺς ἱερωμένους μάγους εἶναι, ἢ ἐπαοιδοὺς, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, καὶ ἀκοινωνησίας καταχρίνει τοὺς φοροῦντας τὰ φυλακτήρια. Μάγοι μὲν οὖν εἰσιν οἱ προσερχόμενοι τῷ Σατανᾷ διά τινα αἰτίαν. Ἐπαοιδοὶ οἱ γοητευταὶ, οἱ τὰς ἐπῳδὰς λέγοντες, καὶ διὰ τούτων ἐφέλκοντες τοὺς δαίμονας εἰς τὰ οἰκεῖα θελήματα

Μαθηματικοὶ οἱ τὰ οὐράνια σώματα δόξαντες ἔχειν τὴν τοῦ παντὸς κυριότητα, καὶ κατὰ τὴν κίνησιν τούτων διοικεῖσθαι τὰ καθ' ἡμᾶς. Ἀστρολόγοι οἱ διὰ τῶν ἄστρων μαντευόμενοι κατὰ δαιμονικὴν συνεργίαν, καὶ τούτοις πιστεύοντες. Ἐπεὶ δὲ τέσσαρά εἰσι τὰ μαθήματα, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία καὶ ἀστρονομία, μὴ εἴπῃς παρὰ τοῦ κανόνος κωλύεσθαι καὶ τὰ τέσσαρα, ἀλλὰ μόνην τὴν ἀστρονομίαν. Καὶ ἀνάγνωθι τὸ κβ' κεφάλ. τοῦ λθ' τίτλου τοῦ ξ' βιβλίου, λέγον· Ἡ μὲν γεωμετρικὴ δημοσίᾳ διδάσκεται· ἡ δὲ μαθηματικὴ κατακρίνεται, ὡς ἀπηγορευμένη καὶ τῶν ἔξωθεν παλαιῶν. Μαθηματικὴν εἶπε τὴν ἀστρονομίαν. Περὶ δὲ τοῦ πῶς κολάζονται ὑπὸ τῶν νόμων οἱ μάγοι καὶ οἱ ἐπαοιδοὶ καὶ τοιοῦτοι, ἀνάγνωθι τοῦ αὐτοῦ λθ' τίτλου τοῦ ξ' βιβλίου τὸ κγ' κεφάλ., καὶ ἐφεξῆς μέχρι τέλους. Ζήτει καὶ τὸ γ' κεφάλ. τοῦ ιβ' τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Μαγείας μετέρχεσθαι ἢ ἐπαοιδίας τοὺς κεκληρωμένους ὁ κανὼν κωλύει. Ἐπαοιδαὶ δὲ αἱ γοητεῖαι εἰσιν. Ἀοιδὴ γὰρ ἡ τραγῳδία ἐστίν. Οἱ γοῦν γόητες ἀοιδάς τινας, ἤγουν ἐπῳδὰς λέγοντες, ἐφέλκονται δαίμονας, ἢ καὶ θηρία καταδεσμοῦσι, καὶ ἑρπετά. Εἰσὶ γάρ τινες οἳ, κτήνους ἔξω που τῆς ἐπαύλεως αὐτῶν καταλειφθέντος, δι' ἐπαοιδίας δεσμοῦσι τοὺς λύκους, ὥστε μὴ δύνασθαι αὐτοὺς βλάψαι τὸ ζῶον μετ' αὐτοῦ ἀναστρεφομένους, ὡς τάχα πληροῦσθαι τὸ τῆς Γραφῆς, τὸ, *Συμβοσκηθήσεται λύκος μετὰ ἀρνός*· καὶ ἄλλοι ὄφεις καταγοητεύουσι, καὶ τούτους μεταχειρίζονται, καὶ δῆκτοι ἐξ αὐτῶν μένουσιν. Ἀλλ' οὐδὲ μαθηματικοὺς ἢ ἀστρολόγους εἶναι τοὺς ἱερωμένους βούλεται. Τέσσαρα δέ εἰσι τὰ βιβλία τὰ λεγόμενα μαθηματικὰ, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία, καὶ ἀστρονομία. Οὐ ταῦτα τοίνυν ἀναγινώσκειν ὁ κανών, οἶμαι, ἀπείργει, ἀλλὰ τὸ περιέργως αὐτοῖς κεχρῆσθαι· εἰ γάρ τις εἰδείη ὅτι ἡ μονὰς ἀριθμὸς οὐκ ἔστι, καίτοι γεννητικὴ οὖσα παντὸς ἀριθμοῦ (ἀριθμὸς γὰρ τὸ ἐκ μονάδων πλῆθος ὁρίζεται, δι' ὃν λόγον οὐδὲ ἡ δυὰς λέγεται ἀριθμὸς, ὅτι οὐκ ἔχει πλῆθος μονάδων), καὶ ὅτι ἡ δυὰς καὶ συντεθεμένη καὶ πολλαπλασιαζομένη τῶν τέσσαρα συνίστησιν ἀριθμὸν, καὶ οὐ πλέον τι (δὶς γὰρ εἰπὼν τὰ δύο τέσσαρα συνάξεις, καὶ δύο καὶ δύο ἐπειπὼν, οὐκ ἄλλον ἀποτελέσεις ἀριθμὸν ἀλλ' ἢ τὸν αὐτὸν) καὶ τίνες τῶν ἀριθμῶν περιττοὶ, καὶ τίνες ἄρτιοι, καὶ τίνες περισσάκις περισσοὶ, καὶ τίνες ἀρτιάκις ἄρτιοι, καὶ τίνες ἀρτιάκις περιττοί· καὶ ποῖοι περισσάκις ἄρτιοι, καὶ τίνες τῶν ἀριθμῶν τέλειοι, τίνες δὲ ἀτελεῖς, ποῖοι δ' ἐπίπεδοι, καὶ ποῖοι λέγονται στερεοὶ, τίνες δ' εἰσὶ τετράγωνοι, καὶ τίνες καλοῦνται κύβοι, καὶ τί ἐστιν ἀναλογία, καὶ ὡς δέκα αὗται τὸν ἀριθμὸν, καὶ ἡ μὲν ἀριθμητικὴ, ἡ δὲ γεωμετρικὴ, ἡ δέ τις ἁρμονική, ἡ δ' ἐναντία ταύτῃ, καὶ αἱ λοιπαὶ, καὶ τἄλλα ὅσα τῷ μαθήματι τούτῳ ἐμπεριείληπται· εἰ δ' ἐπὶ τῆς μουσικῆς γνοίη τις τί μέν ἐστι φθόγγος, τί δὲ φθόγγων διάστημα, τί δὲ σύστημα, καὶ τί ἁρμονία, καὶ τὰς τῶν φθόγγων προσηγορίας, καὶ τί μὲν νήτη, τί δ' ὑπάτη, καὶ παρυπάτη, οὐδὲν πρὸς πίστιν, οὐδὲ πρὸς

nes ad suam voluntatem attrahunt. Mathematici, qui opinantur corpora cœlestia habere universi dominationem, omniaque nostra ab eorum motu administrari. Astrologi, qui per astra divinant, auxilium eis ferente dæmone, et eis credunt. Quia autem sunt quatuor mathemata, arithmetica, musica, geometria et astronomia, ne dixeris etiam quatuor a canone prohiberi; sed solam astronomiam. Et lege cap. 22, tit. 39, lib. LX Basilicorum quod dicit, Geometria quidem publice docetur, mathematica autem condemnatur, ut prohibita externa lege veteri. Dic mathematicam, astronomiam. Quomodo autem a legibus puniuntur magi, incantatores, et ejusmodi, lege ejusdem tit. 39, lib. LX, cap. 23 et deinceps usque ad finem. Quære et cap. 3, tit. 12 præsentis operis.

470 ZONAR. Veneficiis atque incantationibus operam navare clerici hoc canone prohibentur. Sunt vero ἐπαοιδαὶ, id est, incantationes idem quod præstigiæ. Ἀοιδὴ enim, id est, cantio seu carmen, tragœdia est. Præstigiatores ergo carminibus quibusdam sive incantationibus dæmones ad se alliciunt, ac feras quoque et reptilia devinciunt. Sunt etiam, qui jumento suo extra urbem relicto, carminibus ita lupos obstupefaciunt, ut nihil ab eis noxæ, quamvis una degentibus animanti inferri queat; ex quo proinde forte illud ex sacris Litteris usurpare liceat: *Pascetur lupus cum agnis* [48]. Alii serpentes incantatos ita manibus tractant, ut morsu tamen ab illis nequaquam appetantur. Sed mathematicorum quoque aut astrologorum disciplinas ab iis, qui sacro ordini initiati sunt, exerceri non sinit. Quatuor porro libri sunt mathematici nuncupati, quibus disciplinæ quatuor arithmetica, musica, geometria, astronomiaque continentur. Non igitur, ut puto, eos libros omnino legi; sed nimium in eis studium canon adhiberi vetat. Si quis etenim unitatem non esse numerum, quamvis totius numeri effectricem, noverit (numerus namque multitudo unitatum esse definitur; quapropter neque binarius numerus esse censetur, quod unitatum multitudine careat); si item ex binario, sive composito, sive repetito, nihil supra quaternarium effici sciat (sive enim bis duo, sive duo et duo dixeris, non alius inde a quaternario numerus exsistet); numerorum quoque, qui impares sint quive pares; quinam inæqualiter impares, qui vero æqualiter pares: quinam æqualiter impares, quique inæqualiter pares; qui deinde ex eis perfecti quique imperfecti; quinam plani, qui solidi, qui quadrati, cubive nominentur; tum vero quid sit analogia, decemque illius formas, arithmeticam, geometricam, harmonicam, tum huic contrariam, aliasque præterea, ac quæcunque demum hac disciplina continentur; deinde ex musicis, quid sit sonus, quæ sonorum intervalla complexaque,

[48] Isa. LXV, 25.

quid harmonia quæ sonorum appellationes, quid nete, hypate, parhypateque significent : nullam idcirco ex ea re fidei aut probitatis jacturam sentiet. Verum si hac cognitione imbutus, instrumenta quoque musicæ artis adhibeat, cantiunculisque lasciviens oblectetur : id demum a personæ Deo sacratæ gravitate alienum fuerit. In geometria quoque, si quis eodem modo, quid punctum sit, quid linea, quid superficies, quidve item figura ; tum linearum, quæ recta, quæ curva, quæ sinuosa, quæ obliqua, quæ rotunda ; angulorum præterea quinam rectilinei, qui secus ; initium quoque figuræ planæ cujusque esse trilaterum, quasque in species id tribuatur tributumque iterum dividatur, ac circulum figuram esse planam, quæque eum absolvat lineam esse circumferentiam, quid porro centrum, quid diameter, quid sector circuli, quid gnomonis nomine intelligendum ; postremo circulum esse figurarum omnium initium, et causam, alia denique, ne in singulis percensendis diutius immoremur, sit edoctus. Tum in astronomia, si quid sphæra, quid centrum ejus, ac esse centrum veluti terram cœlo comparatam ; si quid diameter, et quando axis dicatur ; si qua ratione in sphæra zodiacus jaceat, illi concentricus ; si unde planetarum motus, ut videtur inæqualis et reciprocus, cæteraque his consequentia haud ignoret : nihilo præterea minus constanter erga fidei mysteria hominem affectum esse putandum est. Si quis vero hæc ita didicit, ut in eo disciplinæ genere nimis curiose sit versatus, ac simul cum cœli motibus nostra quoque circumferri existimans, tum centra collocat, tum signiferi orbis ascensus, ac delapsiones notat, domiciliique præsides, et figurarum loca, et stellarum terminos constituit, quæque ex his boni, quæve mali ominis sint, nosse, seque per ea quæ didicit eventus aliquos, tanquam ex illo astrorum motu necessario futuros præsentire ac divinare posse arbitretur : id vero, exsecrandum scelus est, ac a synodo, ne quis ejusmodi studiis vacet, jure optimo constitutum.

A βίον αὐτῷ λυμανοῦνται. Εἰ δὲ ταῦτα εἰδὼς, καὶ ὀργάνῳ κέχρηται μουσικῷ, καὶ τοῦτο μεταχειριζόμενος ᾄσματα ᾄδει, καὶ χαίρει τούτοις ἡδόμενος, τοῦτο ἱερωμένων ἀνάξιον. Καὶ ἐπὶ τῆς γεωμετρίας εἴ τις αὖθις γινώσκοι τί μὲν σημεῖόν ἐστι, τί δὲ γραμμὴ, καὶ τί ἐπιφάνεια, καὶ σχῆμα δὲ τί, καὶ τίς τῶν γραμμῶν εὐθεῖα, ποία δὲ καμπύλη, καὶ τίς ἑλικοειδὴς, τίς δὲ σκολιὰ, καὶ ποία περιφερὴς, καὶ τίνες τῶν γωνιῶν εὐθύγραμμοι, τίνες δὲ οὐ τοιαῦται, ὅτι ἀρχὴ τῶν ἐπιπέδων σχημάτων τὸ τρίπλευρον, καὶ εἰς πόσα τοῦτο διῄρηται, καὶ ὑποδιῄρηται, καὶ ὅτι ὁ κύκλος σχῆμα ἐπίπεδον, καὶ ἡ τοῦτον ἀποτελοῦσα γραμμὴ περιφέρεια, καὶ τί μὲν κέντρον, τί δὲ διάμετρος, καὶ τίς ὁ τοῦ κύκλου τομεύς· ὁ γνώμων δὲ τίς, καὶ ὅπως ὁ κύκλος σχημάτων ἐστὶν ἁπάντων ἀρχὴ, καὶ παν- B ταίτιος, καὶ τἆλλα, ἵνα μὴ ἕκαστον καταλέγωμεν. Καὶ ἐπὶ τῆς ἀστρονομίας εἴ τις εἰδείη τί μέν ἐστι σφαῖρα, τί δὲ κέντρον αὐτῆς, καὶ ὅτι κέντρον, ὥσπερ ἡ γῆ πρὸς τὸν οὐρανὸν, καὶ τίς ἡ διάμετρος, καὶ πότε ἄξων λέγεται αὕτη, καὶ ὅπως πρὸς τὴν σφαῖραν ὁ ζωδιακὸς κεῖται κύκλος, ὁμόκεντρος ταύτης ὤν, καὶ ὅθεν ἡ δοκοῦσα τῶν πλανήτων ἀνώμαλος γίνεται καὶ παλινόρμητος κίνησις, καὶ τἆλλα, ὅσα τούτοις παρέπεται, οὐδὲν ἂν εἰς τὸ τῆς πίστεως λυμανεῖται μυστήριον. Εἰ δέ τις ταῦτα εἰδὼς περιεργότερον κέχρηται τῷ μαθήματι, καὶ ταῖς τῶν οὐρανίων κινήσεσι συμπεριφέρεσθαι πιστεύων τὰ ἡμέτερα, ἵστησί τε τὰ κέντρα, καὶ τὰς ἀναφορὰς τε καὶ ἀνακλίσεις τοῦ ζωοφόρου κύκλου καταμανθάνοι, οἰκοδεσπότας τε καὶ τόπους σχημάτων, καὶ ὅρια ὅσα τούτων ἀμείνω, καὶ ὅσα χείρονα, καί τινα τῶν ἐσομένων οἴεται C προγινώσκειν ἐκ τούτων καὶ προμαντεύεσθαι, ὡς ἐξ ἀνάγκης συμβησομένων διὰ τὴν τοιάνδε κίνησιν τῶν ἄστρων, τοῦτό ἐστιν ἀποτρόπαιον, καὶ τοῦτο τῇ συνόδῳ καλῶς ἀπηγόρευται.

471 ARIST. « Qui sacerdotium profitetur, non « erit magus, vel incantator, vel mathematicus, « vel astrologus, vel ex iis qui amuleta collis « appendunt. »

ΑΡΙΣΤ. « Οὐκ ἔσται μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθηματικὸς, ἢ ἀστρολόγος, ἢ περιάπτης, ὁ ἱερατείαν « ἐπαγγειλάμενος.

Si enim deprehendatur quispiam malam hujusmodi artem consectari, Ecclesia ejicitur.

Εἰ γὰρ εὑρεθῇ τις τῶν ἱερωμένων τοιαύτην τινὰ κακοτεχνίαν μετερχόμενος, τῆς Ἐκκλησίας ἐκβάλλεται.

CANON XXXVII

« Quod non oportet, quæ a Judæis vel hæreticis « mittuntur festiva accipere, neque una cum eis D « festum agere. »

ΚΑΝΩΝ ΛΖ'.

« Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἢ αἱρετικῶν τὰ « πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συν- « εορτάζειν αὐτοῖς. »

CANON XXXVIII.

« Quod non oportet a Judæis azyma accipere, « vel eorum impietatibus communicare.

ΚΑΝΩΝ ΛΗ'.

« Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἄζυμα λαμβάνειν, « ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν. »

CANON XXXIX.

« Quod non oportet cum gentibus festum agere, et « eorum impietati communicare. »

ΚΑΝΩΝ ΛΘ'.

« Ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν. »

BALS. Lege sanctorum apostolorum canonem 70 et 71, et Carthaginensis synodi canonem 60.

ZONAR. Ne festos dies cum Judæis celebrare,

ΒΑΛΣ. Ἀνάγνωσον τῶν ἁγίων ἀποστόλων κανόνα ο' καὶ οα', καὶ τῆς ἐν Καρθαγένῃ κανόνα ξ'.

ΖΩΝΑΡ. Ὁ ἑβδομηκοστὸς κανὼν καὶ ὁ οα' τῶν

ἁγίων ἀποστόλων κωλύει πάντας συνεορτάζειν τοῖς Ἰουδαίοις, ἢ ξένια ἑορτῆς, ἄζυμα τυχὸν ἢ τοιοῦτόν τι, δέχεσθαι παρ' αὐτῶν, ἢ ἔλαιον ἀπάγειν εἰς ἐθνῶν ἱερὸν, ἢ εἰς συναγωγὴν Ἰουδαίων, καὶ λύχνον ἅπτειν· τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας, κληρικοὺς, καθαιρεῖσθαι κελεύει, λαϊκοὺς δὲ ἀφορίζεσθαι. Ἐκ τούτων οὖν τῶν κανόνων καὶ οἱ τῆς συνόδου ταύτης ὁρμώμενοι τοὺς παρόντας κανόνας ἐξεφώνησαν. Ζήτει καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'.

A neve xenia eorum celebritatis, azyma forte, aut ejus generis quidpiam ab eis accipere, aut oleum in templa Gentilium, Judæorumve synagogam inferre, lychnumve accendere liceat, sanctorum apostolorum canonibus 70 et 71 constitutum est; quique aliquid ejusmodi commiserint, depositione clericos, laicos vero segregatione multari jubent. Illa igitur apostolica decreta respicientes, quæ horum canonum constitutionibus continentur synodi auctores promulgavere. Vide etiam Carthaginensis synodi canonem 60.

ΑΡΙΣΤ. « Οὐ συνεορτάσεις Ἑβραίοις, ἢ αἱρετικοῖς. « Οὐδὲ δέξῃ τὰ καλούμενα παρ' αὐτῶν ἑορ- « ταστικά. »

ARIST. « Festa cum Hebræis, et hæreticis non « celebrabis. Nec festiva ab iis dicta accipies. »

Οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος. Διὰ τοῦτο B γοῦν οὐδὲ τοῖς αἱρετικοῖς ἢ τοῖς Ἰουδαίοις Χριστιανὸς συνεορτάσει, οὐδὲ τὰ ἐν ταῖς ἑορταῖς αὐτῶν τελούμενα, οἷον ἄζυμα ἢ τι τοιοῦτον, ὑποδέξηται.

Nulla est communio lucis cum tenebris. Idcirco nec cum hæreticis, nec cum Judæis festum celebrabit Christianus, nec quæ in festis eorum peraguntur, ut azyma, aut aliquid tale accipiet.

ΚΑΝΩΝ Μ'.

« Ὅτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον « καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ δι- « δάσκεσθαι, εἰς κατόρθωσιν τῆς Ἐκκλησίας καὶ « τῶν λοιπῶν. Εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, « ἑαυτὸν αἰτιάσεται· παρεκτὸς εἰ μὴ δι' ἀνωμα- « λίαν ἀπολιμπάνοιτο. »

CANON XL.

« Quod non oportet episcopos, ad synodum voca- « tos, negligere; sed abire, et docere vel doceri, « ad correctionem Ecclesiæ et reliquorum. Si « quis autem neglexerit, is seipsum accusabit; « præterquam si propter intemperiem et ægritu- « dinem non veniat. »

ΒΑΛΣ. Περὶ τῶν ἐτησίων συνόδων, ὅπως ὀφείλουσι γίνεσθαι, ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα λζ', συνόδου Νικαίας κανόνα ε', τῆς ἐν Ἀντιοχείᾳ κ', τῆς ἐν Χαλκηδόνι ιθ', τῆς ἐν Καρθαγένῃ ιζ', ογ', ος', ιε', τῆς ἐν τῷ Τρούλλῳ η', τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ς'. Καὶ ὁ παρὼν δὲ κανὼν, κατακαλουμένους εἰς τὴν σύνοδον τοὺς ἐπισκόπους, διορίζεται μὴ καταφρονεῖν, ἀλλ' ἀπιέναι ἐξάπαντος, ἐφ' ᾧ τοὺς μὲν σοφωτέρους διδάσκειν, τοὺς δὲ ἁπλουστέρους μανθάνειν τὰ στηρίζοντα Ἐκκλησίαν, ἤγουν τὸν λαὸν τοῦ Θεοῦ, καὶ μετάγοντα πρὸς ὀρθοδοξίαν τοὺς λοιποὺς, ἤγουν τοὺς ἀπίστους. Τοὺς μέντοι καταφρονητικῶς πρὸς τοῦτο διακειμένους φησὶ μὴ γογγύζειν, ἐὰν κατὰ τὴν περίληψιν τῶν ἑτέρων κανόνων ἐπιτιμηθῶσιν· ἀλλ' αἰτιάσθωσαν ἑαυτοὺς, ὅτι κατεφρόνησαν. Ἀνωμαλίαν δὲ νοητέον οὐ μόνον τὴν σωματικὴν νόσον, ἀλλὰ καὶ τὴν πραγματικὴν ἀσχολίαν. Εἰ γὰρ διά τι ἀναγκαῖον καὶ εὔλογον ὁ ἐπίσκοπος ἐμποδισθῇ, συγγνωσθήσεται. Τοῦ δὲ κανόνος διοριζομένου μὴ καταφρονεῖν τοὺς μετακαλουμένους ἐπισκόπους εἰς σύνοδον, εἰπὲ καὶ οὐ ὀφείλειν ἐξ ἀνάγκης μετακαλεῖσθαι τούτους. Χωρὶς γὰρ μετακλήσεως τοῦ μητροπολίτου οὐκ ὀφείλουσι συνέρχεσθαι κατὰ τὸν κ' καν. τῆς ἐν Ἀντιοχείᾳ συνόδου καὶ τὸν παρόντα. Τὸ δὲ διδάσκειν ἢ διδάσκεσθαι πρόσκειται διὰ τοὺς λέγοντας ἀρκεῖν αὐτοὺς ἑαυτοῖς εἰς παντὸς ἐκκλησιαστικοῦ ζητήματος διευλύτωσιν· καὶ μὴ ὀφείλειν παρουσιάζειν εἰς τὴν σύνοδον. Κἂν γὰρ ἀμφιβολίαν τινὰ ὁ ἐπίσκοπος οὐκ ἔχῃ εἰς τὴν κατ' αὐτὸν Ἐκκλησίαν, καὶ οὐδὲ διδασκαλίας δέηται, ἀλλ' ὅμως διὰ τὸ ἑτέρων ζητήματα λῦσαι, καὶ ἐπὶ πλέον στηρίξαι τὸ δόγμα, ὀφείλει ἐξ ἀνάγκης παρουσιάζειν.

BALS. De annuis synodis, quomodo debeant fieri, lege sanctorum apostolorum canonem 37, synodi Nicænæ canonem 5, Antiochenæ 20, Chalcedonensis 19, Carthaginensis 17, 73, 76, 95, synodi in Trullo 8, Nicænæ secundæ 6. Præsens quoque canon, episcopos, qui ad synodum accersuntur, decernit non oportere negligere, sed omnino accedere, ut sapientes quidem doceant, simpliciores vero discant ea, quæ confirmant Ecclesiam, sive populum Dei, et reliquos scilicet infideles ad rectam de fide sententiam traducant. Eos autem qui ad hoc se negligenter gesserint, dicit murmurare non oportere, si ut aliis canonibus comprehenditur, puniantur: sed seipsos accusent, quod neglexerunt. Per intemperiem vero intelligere oportet, non solum morbum corporalem, sed et negotiorum turbam. Si enim propter aliquid necessarium et justum episcopus fuerit impeditus, ei venia dabitur. Cum autem decernit canon, episcopos ad concilium accersitos negligere non oportere; dic eos etiam omnino accersi debere. Absque enim evocatione **472** metropolitani non debent convenire, ut vult canon 20 synodi Antiochenæ et hic præsens canon. Docere autem vel doceri adjicitur, propter eos qui dicebant seipsos sibi sufficere ad omnis ecclesiasticæ quæstionis dissolutionem; et non debere adesse ad synodum. Etsi enim episcopus nullas in sua Ecclesia dubitationes habeat, et nec doctrina egeat; sed tamen ut aliorum quæstiones dissolvat, et decretum magis confirmet, debet necessario præsens esse.

ΖΩΝΑΡ. Εἰ καὶ νῦν τὸ τῶν ἐτησίων συνόδων

ZONAR. Quamvis hoc tempore decretum de an-

nua synodo ita negligatur, ut omnibus locis synodi haberi omnino desierint, tamen ut ea singulis annis in unaquaque provincia ne intermitteretur, id vero sanctis Patribus, quorum auctoritate canones editi sunt, haud mediocri curæ fuit. Episcopos igitur, quicunque ad conventus synodicos vocarentur, non parvi facere imperium, sed in iis, inquiunt, ut doceantur, aut doceant, adesse jubent. Synodos enim, ob eas controversias, quæ vel de veritate dogmatum, vel de multarum æquitate emergerent, aut ad alias canonicas quæstiones excutiendas haberi decretum est. Ex iis igitur qui convenerant, qui quidem cæteros prudentia antecellebant, et quid credendum, et quæ cuique peccato pœna irroganda, quoque modo ex præscripto canone reliqua administranda essent docebant. Alii vero rudiores, minusque in dicendo exercitati, docebantur. Quæ vero tum docebant, tum docebantur, ad rectam Ecclesiæ administrationem, aliorumque emendationem pertinebant. Recta porro administratio, atque emendatio, ad fidei puritatem, morumque integritatem referri debet. Ecclesiæ vero nomine fidelium conventum, alios vero, hæreticos scilicet aut infideles intelligas. Nam his quoque veritatis lumen præferri, atque ad evangelici instituti iter ingrediendum semitam præmonstrari decet. Hinc minas iis qui in synodo non adfuerint, canon intentat. Qui quidem si constitutas pœnas, aliasque forte graviores dependere cogentur, nisi cum aliqua perturbatione impediti non venerint, seipsi, inquit, accusent. Perturbationis autem nomine, non corporis solum intemperies, ægritudo videlicet, sed negotiorum quoque molesta occupatio intelligi debet, proindeque episcopum, quamvis nulla infirmitas valetudinis, sed sola Ecclesiastici negotii cura necessaria hominem detinuerit, excusari placet.

ARIST. « Qui ad synodum vocatur, et spernit, « præterquam ob intemperantiam, culpa non « vacat. »

Propter incidentes controversias ecclesiasticas et quæstiones canonicas, decretum est omnium cujusque provinciæ episcoporum synodum quotannis haberi, ubi metropolis episcopus statuerit. Si itaque cum sic conveniunt, episcopus aliquis vocatus convenire non vult, se in criminationem ducit, et a synodo pœnis subjiciatur; nisi forsitan non per contemptum, sed propter morbum aut aliam circumstantiam ad vitam pertinentem advenire non potest.

CANON XLI.

« Quod non oportet sacratum, vel clericum, sine « jussu episcopi iter ingredi. »

BALS. De clericis et monachis, qui præter suorum episcoporum mentem peregrinantur, lege cap. 2 primi tituli lib. III Basilicorum quod ita dicit: Qui falsum crimen adversus episcopum intendit, 50 libras auri fisco pendat: confirmentur

πάντη καταπεφρόνηται, ὡς μηδέποτε γίνεσθαι, ἀλλά γε τοῖς τοὺς κανόνας ἐκθεμένοις ἁγίοις τὸ γίνεσθαι συνόδους καθ' ἑκάστην ἐπαρχίαν ἐτησίως πολλῆς φροντίδος ἠξίωτο. Διὸ καὶ τοὺς ἐπισκόπους καλουμένους εἰς τὰς συνόδους ἀπιέναι διακελεύονται, ἵνα διδάσκωσιν ἢ διδάσκωνται. Αἱ γὰρ σύνοδοι δι' ἀμφιβολίας ἀναφυομένας περὶ δογμάτων ἢ ἐπιτιμίων ἁμαρτήμασι προσηκόντων, ἢ κανονικῶν ἑτέρων ζητήσεων ὡρίσθησαν γίνεσθαι. Τῶν γοῦν συνερχομένων οἱ μὲν λόγιοι ἐδίδασκον περὶ τούτων (64), οἱ δ' ἁπλούστεροι καὶ ἀφελέστεροι πρὸς τὸν λόγον ἐδιδάσκοντο· ἃ δ' ἐδίδασκόν τε καὶ ἐδιδάσκοντο εἰς κατόρθωσιν ἦσαν τῆς Ἐκκλησίας καὶ τῶν λοιπῶν. Κατόρθωσιν δὲ τὴν ὀρθὴν πίστιν καὶ διαγωγὴν ὀνομάζει· Ἐκκλησίαν δὲ τὸ τῶν πιστῶν φησιν ἄθροισμα, λοιποὺς δὲ τοὺς αἱρετικούς, ὥστε κἀκείνους (65) εἰς πίστιν ὀρθὴν ὁδηγηθῆναι διὰ τῆς διδαχῆς, καὶ εἰς εὐαγγελικὴν πολιτείαν. Εἶτά φησιν ὁ κανὼν ὅτι Ἑαυτοὺς αἰτιάσθωσαν, εἰ ἐπιτιμηθῶσιν οἱ μὴ ἀπερχόμενοι εἰς τὰς συνόδους, εἰ μὴ δι' ἀνωμαλίαν ἀπολειφθῶσιν. Ἀνωμαλίαν δὲ νοητέον οὐ μόνον σωματικὴν, οἷον νόσον, ἀλλὰ καὶ πραγματικήν. Εἰ γὰρ καὶ μὴ νοσήσειεν ὁ ἐπίσκοπος, ἔχοι δέ τι ἕτερον περὶ ἐκκλησιαστικὰ πράγματα ἀσχολεῖσθαι αὐτὸν ἀναγκάζον, συγγνωσθήσεται.

ΑΡΙΣΤ. « Ὁ καλούμενος ἐπὶ σύνοδον, καὶ ἀθετῶν, « εἰ μὴ δι' ἀνωμαλίαν, οὐκ ἀναίτιος.

Διὰ τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας καὶ τὰ κανονικὰ ζητήματα ὡρίσθη σύνοδον πάντων τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας κατ' ἐνιαυτὸν γίνεσθαι, ἔνθα ἂν ὁ τῆς μητροπόλεως ὁρίσῃ ἐπίσκοπος. Εἰ οὖν ἐν τῇ συνελεύσει ταύτῃ καλούμενός τις τῶν ἐπισκόπων συνελθεῖν οὐ θελήσῃ, ἑαυτὸν ὑπὸ αἰτίασιν τίθησι, καὶ ἐπιτιμηθήσεται παρὰ τῆς συνόδου· εἰ μή που οὐ διὰ καταφρόνησιν, ἀλλὰ διὰ νόσον ἢ ἄλλην τινὰ βιωτικὴν περίστασιν παρουσιάσαι οὐκ ἴσχυσε.

ΚΑΝΩΝ ΜΑ'.

« Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως ἐπισκόπου ὁδεύειν. »

ΒΑΛΣ. Περὶ κληρικῶν καὶ μοναχῶν ἀποδημούντων παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων ἀνάγνωθι κεφ. β' τοῦ α' τίτλου τοῦ γ' βιβλ. τῶν Βασιλικῶν, οὕτω λέγον· Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον, τριάκοντα χρυσίου λίτρας προστιμάσθω τῷ

Guill. Beveregii notæ.

(64) *Οἱ μὲν λόγιοι ἐδίδασκον περὶ τούτων.* Hoc Zonaræ in præsentem canonem loco legendum est, juxta codicem Amerbachianum, οἱ μὲν λόγιοι ἐδίδασκον, ὅπως τε χρὴ πιστεύειν, καὶ ὅπως ἐπιτιμᾶν, καὶ ὅπως τ' ἄλλα κανονικῶς χρεὼν διαπράττεσθαι· οἱ δ' ἁπλούστεροι.

(65) *Τοὺς αἱρετικοὺς ὥστε κἀκείνους.* Legendum hic etiam cum codice Amerbachiano, αἱρετικοὺς νοητέον ἢ καὶ ἀπίστους. ὡς δὲ κἀκείνους εἰς πίστιν ὀρθὴν ὁδηγηθῆναι, διὰ τῆς διδαχῆς, καὶ εἰς εὐαγγελικὴν πολιτείαν· ἐξῆς δὲ ἀπειλεῖ ὁ κανὼν τοῖς μὴ ἀπερχομένοις εἰς τὰς συνόδους, καί φησιν ὅτι, etc.

δημοσίῳ· βεβαιούσθω δὲ καὶ ἐκκλησιαστικὰ ἅπαντα προνόμια· καὶ μὴ νομιζέσθω ὅλως κληρικὸς ἢ μοναχὸς ὁ συλλαβὼν ἄνευ τοῦ οἰκείου ἐπισκόπου, τὸ κομιτᾶτον κατειληφώς. Ὡσαύτως ἀνέγνωθι καὶ θέμα τελευταῖον τοῦ ε' κεφ. τοῦ κβ' τίτλου τοῦ ς' βιβλ. τῶν Βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ς' Ἰουστινιανείου νεαρᾶς, καὶ οὕτω φησίν· Οὔτε δὲ μοναχὸν, οὔτε, κληρικὸν οὔτε ἐπίσκοπον κελεύομεν ἔρχεσθαι ἐνταῦθα ἄνευ γραμμάτων τοῦ ὁσιωτάτου αὐτῶν πατριάρχου· ἢ εἰδέτωσαν ὡς ἀναξίους ἑαυτοὺς τοῦ σχήματος ποιήσουσι.

A autem omnia ecclesiastica privilegia; nec omnino clericus vel monachus existimetur, qui sine proprio episcopo comitatum accepit. Lege similiter et ultimum responsum quinti capitis tituli 22 lib. VI Basilicorum quod quidem est pars sexta Justiniani novellæ, et sic dicit: Nec monachum, nec clericum, nec episcopum huc venire jubemus, sine litteris sanctissimi eorum patriarchæ: vel sciant, quod seipsos habitu indignos reddent.

ΚΑΝΩΝ ΜΒ'.

« Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν. »

ΒΑΛΣ. Καὶ ἕτεροι κανόνες διορίζονται μὴ ἀποδημεῖν κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων, τουτέστι συστατικῶν καὶ ἀπολυτικῶν ἐπιστολῶν· καὶ οἱ παρόντες δὲ κανόνες τὰ αὐτὰ διορίζονται. Ἱερατικοὶ μέντοι εἰσὶν οἱ περὶ τὸ βῆμα· κληρικοὶ δὲ οἱ λοιποί. Ἀνάγνωθι τὸν ι' κανόνα τῆς δ' συνόδου, τῶν ἁγίων ἀποστόλων καν. ιβ', καὶ τῆς ἐν Ἀντιοχείᾳ καν. ζ', η' καὶ ια'.

B

ΖΩΝΑΡ. Ἱερατικοὺς μὲν τοὺς περὶ τὸ βῆμά φησι, κληρικοὺς δὲ τοὺς λοιπούς. Τούτους οὖν ἀπιέναι τοι μέλλοντας, καὶ ἀποδημῆσαι τῆς ἐν ᾗ κατετάχθησαν Ἐκκλησίας, οὐ συγχωρεῖ ὁ κανὼν ἄνευ γνώμης τοῦ ἐπισκόπου ὁδεύειν. Εἴρηται δὲ ἤδη περὶ γραμμάτων εἰρηνικῶν καὶ συστατικῶν ἐν τῷ ια' κανόνι τῆς δ' συνόδου. Ταύτας οὖν τὰς ἐπιστολὰς, τὰς εἰρηνικάς τέ φημι καὶ συστατικὰς, κανονικὰ γράμματα ἐνταῦθα ὠνόμασαν.

C

ΑΡΙΣΤ. « Κληρικὸς χωρὶς κανονικῶν ἐπιστολῶν ἢ « ἀνεπίτακτος οὐ πρόεισι. »

Οὐ συγχωροῦνται παρὰ τῶν ἱερῶν κανόνων οἱ ξενοχειροτόνητοι παραδέχεσθαι, συστατικὰ μὴ ἐπιφερόμενοι γράμματα· καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ὁδεύειν αὐτοὺς μετὰ γραμμάτων κανονικῶν, ὥσπερ δὴ καὶ τοὺς κεκληρωμένους ἐν ἑκάστῃ Ἐκκλησίᾳ μετὰ γνώμης καὶ κελεύσεως τοῦ ἰδίου ἐπισκόπου εἰς ἑτέραν πόλιν καὶ ἐπαρχίαν ὁδεύειν.

CANON XLII.

« Quod non oportet sacratos vel clericos sine « litteris canonicis iter ingredi. »

BALS. Alii quoque canones decernunt, non debere clericos peregre proficisci sine canonicis litteris, hoc est, commendatitiis et dimissoriis epistolis: et præsentes etiam canones eadem decernunt. Sunt autem sacrati ii, qui sunt circa sacrum tribunal: clerici vero reliqui. Lege canonem 10 quartæ synodi, sanctorum apostolorum canonem 12, et Antiochenæ synodi canones 7, 8 et 11.

B

ZONAR. Sacratos quidem, eos qui circa sacrarium versantur, clericos vero alios omnes appellat. Eos igitur, si aliquo profecturi sint, et ab ecclesia cui adscripti sunt migraturi, absque episcopi facultate ingredi canon haud sinit. Diximus vero jam de pacificis, et commendatitiis litteris, quartæ synodi canone 11. Has ergo epistolas, pacificas, inquam, et commendatitias, canonicas litteras hoc loco, quod ex decreto canonis traderentur, nominavit.

C

ARIST. « Clericus sine litteris canonicis, vel « injussus, iter non suscipit. »

Non permittuntur a sacris canonibus qui in aliena provincia ordinati sunt, admitti, commendatitias non afferentes litteras. Et ideirco necesse est eos cum litteris canonicis iter facere, ut et omnes clericos in unaquaque ecclesia cum sui episcopi voluntate et mandato ad aliam civitatem et provinciam proficisci.

ΚΑΝΩΝ ΜΓ'.

« Ὅτι οὐ δεῖ ὑπηρέτας, κἂν πρὸς βραχὺ, τὰς θύρας « ἐγκαταλείπειν, καὶ τῇ εὐχῇ σχολάζειν. »

ΒΑΛΣ. Εἰρήκαμεν ἐν τῷ κβ' κανόνι ὑπηρέτας τοὺς ὑποδιακόνους, καὶ ἔχειν αὐτοὺς πᾶσαν ἀνάγκην τῶν ἁγίων ἐκκλησιῶν θύραις ἐφίστασθαι κατὰ τὸν τῆς λειτουργίας καιρὸν, χάριν τοῦ εἰσάγειν τε καὶ ἐξάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιποὺς. Ἐπεὶ οὖν τινες ἐκ τούτων τὴν ἀνατεθειμένην αὐτοῖς διακονίαν καταλιπόντες ἥπτοντο τῶν θείων ἁγιασμάτων, ὥρισαν οἱ Πατέρες παρὰ ταῖς θύραις τῶν ἐκκλησιῶν τούτους προεδρεύειν, καὶ μὴ μεταχειρίζεσθαι τὰ θεῖα μυστήρια, καὶ εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ κατὰ ἱερεῖς. Ἀνάγνωθι καὶ τὸν κα' καὶ τὸν κβ' κανόνα, καὶ τὰ ἐν αὐτοῖς.

D

ΖΩΝΑΡ. Ὑπηρέτας τοὺς ὑποδιακόνους εἶναί φασι. Τοὺς δὲ ὑποδιακόνους ταῖς θύραις τῶν ἁγίων ἐκ-

473 CANON XLIII.

« Quod non oportet ministros, vel brevi tempore, « fores relinquere, et orationi vacare. »

BALS. Diximus in canone 22 ministros esse subdiaconos, et eos necessario oportere sanctarum ecclesiarum foribus adsistere tempore sacra mysteria peragendi, ut introducant et educant catechumenos, et eos qui sunt in pœnitentia, et reliquos. Quia ergo nonnulli ex iis relicto sibi attributo ministerio sacramenta attingebant, statuerunt Patres, ut ii ecclesiæ foribus assideant, et divina mysteria non contrectent, nec pro populo precentur instar sacerdotum. Lege canones 21 et 22, et quæ sunt in ipsis.

ZONAR. Ministri quos hypodiaconos esse asserunt, sanctarum ecclesiarum foribus assis

decreto jubebantur. Eos igitur, inquit canon, quo tempore sacra mysteria peraguntur, a sua statione discedere precationique vacare nequaquam oportet. Preces namque tunc temporis fundere, ac sanctitatem divinis muneribus impertiri sacerdotio initiati debent. Ut ergo canonibus 21 et 22, ministris orarium deferre, vasaque Dominica contrectare, ita et precationis munus obire ne liceat, interdictum est. Vide quæ canone 22 allato scripsimus.

ARIST. « Ministrum foribus vel brevi tempore « relictis, orare non oportet. »

In sacris ministeriis non oportet ministrum altaris fores relinquere vel brevi tempore, et precibus vacare. Ne quis inveniretur ministerium sibi commissum contemptui habere, et ecclesiasticæ constitutioni propriam anteponere orationem.

474 CANON XLIV.

« Quod non oportet mulierem ad altare ingredi. »

BALS. Præsens quidem canon prohibet mulieres ad altare ingredi : sexagesimus autem nonus canon synodi in Trullo prohibet laicis, ne ad altare ingrediantur. In Latinorum autem regionibus mulieres sine pudore ad altaria, quando volunt, ingrediuntur.

ZONAR. Si laici viri quoque altaris septa ingredi sextæ synodi canone 69 vetantur, feminas multo magis, quæ menstrui sanguinis fluxu vel invitæ pollui solent, sacri loci aditu prohiberi putandum est.

ARIST. « Mulieribus altare inaccessum. »

Non licet mulieribus, sed nec laicis hominibus, altare ingredi, ut sexagesimus nonus synodi in Trullo canon jubet.

CANON XLV.

« Quod non oportet post duas hebdomadas Quadragesimæ ad baptismum admitti. »

BALS. Sanctum baptisma est typus sepulturæ et resurrectionis Domini. Et ideo statutum est, ut in magno Sabbato peragantur baptismata ; ut quod sit medium inter sepulturam Domini et resurrectionem. Eos ergo, qui in magno Sabbato sunt baptizandi, oportet tota Quadragesima per jejunium et divinam meditationem perpurgari. Si quis autem post secundam hebdomadem accesserit ut catechizetur et baptizetur in Paschate, non admittetur, ut qui non tota Quadragesima jejunarit. Et tunc quidem ob ejusmodi causam non admittetur : postea autem ut volunt canones præ-

κλησιῶν ἐφίστασθαι ὥριστο. Τούτους οὖν ἐν τῷ τῆς λειτουργίας καιρῷ οὐ χρὴ, φησὶν ὁ κανὼν, τὰς θύρας ἀφιέναι καὶ εὐχῇ σχολάζειν. Τὸ γὰρ εὔχεσθαι τότε καὶ ἁγιάζειν τὰ θεῖα δῶρα τῶν ἱερέων ἐστίν. Ὥσπερ οὖν ἐκωλύθησαν ὡράρια φορεῖν οἱ ὑπηρέται, ἢ ἅπτεσθαι δεσποτικῶν σκευῶν, κατὰ τὸν κα' καὶ κβ' κανόνα· οὕτως ἐκωλύθησαν καὶ εὐχῇ σχολάζειν. Καὶ ἀναγνωστέον τὰ γεγραμμένα ἐν τῷ κβ' κανόνι.

ΑΡΙΣΤ. « Ὑπηρέτην οὐ δεῖ τὰς θύρας, κἂν βραχὺ, « ἀφέντα προσεύχεσθαι. »

Ἐν ταῖς ἱεραῖς λειτουργίαις οὐ δεῖ τὸν ὑπηρέτην καταλιπεῖν τὰς θύρας τοῦ θυσιαστηρίου κἂν βραχὺ, καὶ τῇ εὐχῇ σχολάζειν· ἵνα μὴ εὑρίσκηται τῆς ἐκκειμένης αὐτῷ ὑπηρεσίας καταφρονῶν, καὶ προτιμῶμενος τὴν ἰδίαν εὐχὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως.

ΚΑΝΩΝ ΜΔ'.

« Ὅτι οὐ δεῖ γυναῖκα ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι. »

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν κωλύει τὰς γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι· ὁ δὲ ξθ' κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀπαγορεύει τοῖς λαϊκοῖς τὴν ἔνδον τοῦ θυσιαστηρίου τισέλευσιν. Εἰς μέντοι τὰ μέρη τῶν Λατίνων ἀνερυθριάστως αἱ γυναῖκες ἐν τοῖς θυσιαστηρίοις, ὅτε βούλονται, εἰσέρχονται.

ΖΩΝΑΡ. Εἰ λαϊκοῖς ἀνδράσιν ἀπηγόρευται ἔνδον εἰσιέναι θυσιαστηρίου κατὰ τὸν ξθ' κανόνα τῆς ἕκτης συνόδου, πολλῷ μᾶλλον ἂν εἴη γυναιξὶν ἀπηγορευμένον, αἷς καὶ ἡ τῶν ἐμμήνων αἱμάτων ῥύσις ἀπροαιρέτως συμβαίνει.

ΑΡΙΣΤ. « Γυναιξὶ τὸ ἱλαστήριον ἄβατον. »

Οὐκ ἔξεστι γυναιξὶν, ἀλλ' οὐδὲ λαϊκοῖς ἀνδράσιν, εἰς τὸ θυσιαστήριον εἰσέρχεσθαι, ὡς ὁ ἑξηκοστὸς ἔννατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου προστάττει.

ΚΑΝΩΝ ΜΕ'.

« Ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα (66). »

ΒΑΛΣ. Τὸ ἅγιον βάπτισμα τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου τύπος ἐστί. Διὸ καὶ νενομοθέτηται ἐν τῷ μεγάλῳ Σαββάτῳ τὰ βαπτίσματα τελεῖσθαι, ὡς μεσιτεύοντι τὴν Κυριακὴν ταφὴν καὶ ἀνάστασιν. Τοὺς οὖν μέλλοντας φωτισθῆναι κατὰ τὸ μέγα Σάββατον δεῖ τὴν πᾶσαν Τεσσαρακοστὴν προκαθαίρεσθαι διὰ νηστείας καὶ ἀσκήσεως. Εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ κατηχηθησόμενος, καὶ βαπτισθησόμενος κατὰ τὸ Πάσχα, οὐ προσδεχθήσεται, ὡς μὴ ὅλην τὴν Τεσσαρακοστὴν νηστεύσας. Καὶ τότε μὲν διὰ τὴν τοιαύτην αἰτίαν οὐ προσδεχθήσεται· μετὰ ταῦτα δὲ κατὰ κανόνας

Guill. Beveregii notæ.

(66) Δέχεσθαι εἰς τὸ φώτισμα. Post hæc ultima hujus canonis verba in codice Amerbachiano additur, Ὡς ἐκείνων μόνων ὄντων δεκτικῶν τῶν ἐξ αὐτῆς ἀρχῆς τῆς Τεσσαρακοστῆς νηστευόντων, οἷα τῆς αὐτῆς ἀσκήσεως τελείας οὔσης καὶ οὐκ ἀπεσχεδιασμένης. *Quippe illi soli recipiendi sunt, qui ab ipso Quadragesimæ initio jejunarunt; ut quorum exercitatio perfecta est, et non ex tempore facta.* Hæc autem ipsissima sunt Aristeni verba, ultima nimirum quæ in hunc canonem conscripsit. Unde palam efficitur, eam quicunque demum fuit, qui codicem Amerbachianum scripsit, Alexii Aristeni scholia vidisse, vel saltem ab alio aliquo ad marginem ex iis notata in textum transtulisse

ἑτοιμασθεὶς, βαπτισθήσεται. Τὸ γὰρ, Οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως νοητέον, ἀλλὰ κατὰ τὸ μέγα Σάββατον.

ZONAR. Ἐν τῷ μεγάλῳ Σαββάτῳ ἐξ ἔθους ἡ Ἐκκλησία ποιεῖν βαπτίσματα παρέλαβεν· ὅτι τὸ βάπτισμα, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου τύπος ἐστί. Τὸ δὲ Σάββατον ἐκεῖνο μέσον ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως. Τοὺς οὖν ἑτοιμαζομένους φωτισθῆναι ἐν τῷ μεγάλῳ Σαββάτῳ δεῖ τὴν πᾶσαν Τεσσαρακοστὴν νηστεύειν τε καὶ προκαθαίρεσθαι δι' ἀσκήσεως, καὶ οὕτω προσιέναι τῷ φωτίσματι. Εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ βαπτισθησόμενος, οὐ δεῖ αὐτὸν προσδέχεσθαι εἰς τὸ βάπτισμα κατὰ τὸ Πάσχα, ὡς μὴ δλην τὴν Τεσσαρακοστὴν νηστεύσαντα, μετὰ ταῦτα δὲ βαπτισθήσεται. Τὸ γὰρ, Οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως, ἀλλὰ κατὰ τὸ μέγα Σάββατον νοητέον. verba, Non oportet admitti, non indistincte accipienda, sed proprie de magno Sabbato intelligenda sunt.

A paratus, baptizabitur. Illud enim, Non oportet admitti, non est indistincte intelligendum, sed in magno Sabbato.

ZONAR. Magno Sabbato baptisma celebrari, antiqua Ecclesiæ consuetudine est receptum : est namque baptisma sepulturæ et resurrectionis Dominicæ typus. Medium autem inter sepulturam et resurrectionem Domini Sabbatum illud intercedit. Quicunque igitur se parant, ut magno Sabbato baptizentur, totum Quadragesimum tempus jejuniis transigere, exercitationibusque divinis purgatos, ad baptizandum accedere oportet. Si quis autem secunda hebdomada elapsa baptizandus accedat, nequaquam is Paschali tempore, nisi quadraginta dierum jejunio expiatus, ad baptismum admitti debet ; quo demum exacto, baptizari deinde hominem tunc quidem licebit. Nam illa

ΑΡΙΣΤ. « Οὐ δεῖ μετὰ δύο τῆς Τεσσαρακοστῆς « ἑβδομάδας εἰς τὸ φώτισμα δέχεσθαι. Ὀφείλουσι « καὶ γὰρ ἀπ' ἀρχῆς αὐτῆς νηστεύειν. »

Ὁ κανὼν οὗτος διττῶς δύναται νοηθῆναι· ἢ ὅτι οἱ μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς Τεσσαρακοστῆς προσερχόμενοι τῇ πίστει, καὶ ἀρξάμενοι νηστεύειν, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ἐν τῷ μεγάλῳ Σαββάτῳ, ὡς καὶ ἐξ ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς τὴν ἄσκησιν ἐνδειξάμενοι, καὶ ἀρκούντως νηστεύσαντες· ἢ ὅτι, ἐὰν πρὸ τῆς Τεσσαρακοστῆς προσῆλθόν τινες τῇ πίστει, καὶ ἤρξαντο νηστεύειν, εἶτα πρὸ τοῦ ἀξιωθῆναι τοῦ βαπτίσματος ἐπέστη ἡ Τεσσαρακοστὴ, οὐκ ἀναμενοῦσι τὸ μέγα Σάββατον ἐπὶ τῷ φωτισθῆναι, καθὼς καὶ οἱ ἀπ' ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς νηστεύειν ἀρξάμενοι· ἀλλ' ἄχρι μὲν δύο ἑβδομάδων, εἰ ἱκανῶς ἐνήστευσαν, ἀξιωθήσονται τοῦ βαπτίσματος. Εἰ δ' οὐκ ἔδοξαν αὐτάρκως νηστεῦσαι μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς Τεσσαρακοστῆς, οὐ φωτισθήσονται, ἀλλ' ἀναμενοῦσι καὶ αὐτοὶ μετὰ τῶν μελλόντων τῷ μεγάλῳ βαπτισθῆναι Σαββάτῳ· ὡς ἐκείνων μόνων ὄντων δεκτῶν τῶν ἐξ ἀρχῆς αὐτῆς τῆς Τεσσαρακοστῆς νηστευόντων, οἷα τῆς αὐτῶν ἀσκήσεως τελείας οὔσης καὶ οὐκ ἀπεσχεδιασμένης.

verba, Non oportet admitti, non indistincte accipienda, sed proprie de magno Sabbato intelligenda sunt.

ARIST. « Post duas Quadragesimæ hebdomadas « ad illuminationem quosvis admitti non opor- « tet ; ab ipso enim principio jejunare debent. »

Hic canon dupliciter potest intelligi, vel quod qui post duas Quadragesimæ hebdomadas præterlapsas ad fidem accedunt, et jejunare incipiunt, in magno Sabbato baptismo digni non habebuntur, ut illi qui ab initio istius Quadragesimæ exercitationem ostenderunt, et sufficienter jejunarunt ; vel quod si ante Quadragesimam ad fidem quilibet accesserunt, et jejunare cœperunt, deinde priusquam baptismo censeantur digni advenit Quadragesima, non exspectabunt magnum Sabbatum ut illuminentur ; quemadmodum et qui ab initio istius Quadragesimæ jejunare inceperunt, sed usque ad duas septimanas si satis jejunarunt, baptismo digni censeantur. Si autem post elapsas duas Quadragesimæ septimanas sufficienter jejunasse non videntur, non illuminentur, sed exspectabunt **475** et ipsi cum iis qui magno Sabbato baptizati erunt : adeo ut illi soli sint recipiendi, qui ab initio istius Quadragesimæ jejunarunt, quippe quod eorum exercitatio perfecta est et non ex tempore facta.

ΚΑΝΩΝ ΜΖ'.

« Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν (67) καὶ τῇ Πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. »

CANON XLVI.

« Quod oportet eos qui baptizandi sunt, fidem edi- « scere, et quinta hebdomadis feria episcopo vel « presbyteris renuntiare. »

Guill. Beveregii notæ.

(67) *Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν.* Isidorus Mercator canonem hunc sic interpretatur : *Baptizandos oportet et fidei symbolum discere, et quinta feria ultimæ septimanæ vel episcopo vel presbytero reddere.* Ubi, ut videre est, πίστιν vertit *Fidei symbolum*, recte quidem. Et hoc enim recitandum erat episcopo aut presbytero, priusquam quis baptizetur. Unde ut catechumeni baptizandi illud doceantur a concilio Bracarensi etiam edicitur. *Placuit omnibus episcopis, atque convenit, ut per singulas ecclesias episcopi et diœceses ambulantes, primo discutiant clericos, quomodo ordinem baptismi teneant, vel Missarum, et qualiter quæcunque Officia in ecclesia peragant. Et si recte quidem invenerunt, Deo gratias agant : sin autem minime, docere debent ignaros, et hoc modis omnibus præcipere, sicut antiqui canones jubent, ut ante dies viginti baptismi, ad purgationem exorcismi concurrant catechumeni. In quibus viginti diebus omnes catechumeni symbolum, quod est, Credo in Deum Patrem omnipotentem, specialiter doceantur.* Concil. Brac. 2. c. 1. Idem fere et a concilio Agathensi decernitur, *Symbolum etiam placuit ab omnibus Ecclesiis una die, id est, ante octo dies Dominicæ resurrectionis publice in ecclesia competentibus prædicari.* Concil. Agath. can. 15.

BALS. Hic canon idem est omnino cum 78 canone sextæ synodi et illic est expositus.

A

CANON XLVII.

« Quod oportet eos, qui in morbo baptismum acciplunt, et postea convaluerunt, fidem edisceré, et nosse quod divino beneficio digni sunt habiti. »

BALS. Infideles nonnulli baptizati sunt antequam essent cathechizati, propter morbum urgentem. Dicebant ergo nonnulli, quod quoniam non fuerunt baptizati, postquam essent catechizati, ut vult canon, debent catechizari, et rursus baptizari. Utebantur autem et duodecimo canone Neocæsar. syn. qui non permittit ei, qui propter morbum est baptizatus, temere sacerdotem fieri. Dicunt ergo Patres, quod secundo quidem non baptizabitur : cogetur autem post sanitatem fidem discere, et mysterium baptismatis, et scire quod divino beneficio dignus est habitus, scilicet agnitione ejus qui vere et proprie Deus est, et remissione peccatorum, quam per sanctum baptismum assecutus est.

B

ZONAR. In canonibus 46 et 47. Qui baptismo initiandi sunt, non nisi perceptis antea fidei nostræ mysteriis, can. admitti, ac proinde certo hebdomadæ die catechumenos, quæ per hebdomadam didicere, apud episcopos vel presbyteros profiteri jubet. Si quis vero gravi ac periculoso morbo oppressus, atque ob eam causam quæ fidei sunt nondum rite edoctus, nec eo modo quo diximus professus, salutari baptismi lavacro perfusus fuerit, hic si a morbo postea convalescat, divina mysteria nihilominus edoceri, seque divinis muneribus ornatum esse, agnitionem scilicet veri et summi Dei et peccatorum per sanctum baptisma remissionem obtinuisse intelligere debet. Quod enim baptismo initiati culparum laqueis eximamur, id non nostræ diligentiæ, sed Dei magnificentiæ ac liberalitati acceptum referri debet.

C

ARIST. in canone 46 et 47. « Baptizatus episcopo vel presbytero quinta hebdomadis feria fidem dicat. Dicat et ægrotus paulo post. »

Qui ad ecclesiam accedit ut baptizetur, fidem discat, et quinta hebdomadis feria eam episcopo profiteatur vel presbytero. Non enim oportet eos temere baptizare, et priusquam in fide initiati fuerunt. Qui morbo laborat, et baptizari quærit, baptizetur. Deinde morbo liberatus, fidem ediscat, et agnoscat, quod divina gratia dignus habebatur.

D

ΒΑΛΣ. Οὗτος ὁ κανὼν ἀπαράλλακτός ἐστι κανὼν οη' τῆς ς' συνόδου, καὶ ἡρμηνεύθη ἐκεῖ.

ΚΑΝΩΝ ΜΖ'.

« Ὅτι δεῖ τοὺς ἐν νόσῳ (68) παραλαμβάνοντας τὸ « βάπτισμα, εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν « πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατη« ξιώθησαν. »

ΒΑΛΣ. Τινὲς ἄπιστοι πρὸ τοῦ κατηχηθῆναι ἐβαπτίσθησαν διὰ περιστατικὴν νόσον. Ἔλεγον οὖν τινες ὡς, ἐπεὶ οὐκ ἔφθασαν βαπτισθῆναι μετὰ τὸ κατηχηθῆναι κατὰ κανόνας, ὀφείλουσι κατηχηθῆναι, καὶ αὖθις φωτισθῆναι. Ἐχρῶντο δὲ καὶ τῷ ιβ' κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τῷ μὴ παραχωροῦντι τὸν διὰ νόσον φωτισθέντα ἀλογοπραγήτως ἱερέα γίνεσθαι. Φασὶν οὖν οἱ Πατέρες ὡς ἐκ δευτέρου μὲν οὐ βαπτισθήσεται· ἀναγκασθήσεται δὲ μετὰ τὴν ὑγείαν μαθεῖν τὴν πίστιν, καὶ τὸ μυστήριον τοῦ φωτίσματος, καὶ εἰδέναι ὅτι θείας δωρεᾶς κατηξιώθη, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως Θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ἣς διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχον.

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τοὺς βαπτισθῆναι μέλλοντας ἐν εἰδήσει τοῦ καθ' ἡμᾶς μυστηρίου ὄντας βαπτίζεσθαι· διὸ τοὺς κατηχουμένους ἀπαγγέλλειν κελεύει ἐν μιᾷ ἡμέρᾳ τῆς ἑβδομάδος, ἃ διὰ τῆς ἑβδομάδος ἔμαθον, τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. Εἰ δέ τις νοσῶν καὶ περὶ τὴν ζωὴν κινδυνεύων βαπτισθῇ πρὸ τοῦ μαθεῖν τὴν πίστιν καὶ ἀπαγγεῖλαι, ὡς εἴρηται, εἶτα τῆς νόσου ἀπαλλαγῇ, καὶ οὕτως ἐκμανθάνειν αὐτὸν δεῖ τὸ μυστήριον, καὶ εἰδέναι ὅτι θείας δωρεᾶς κατηξιώθη, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως Θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχεν. Οὐ γὰρ διὰ σπουδῆς οἰκείας τῶν πταισμάτων λυτρούμεθα, ἀλλὰ δωρεᾷ καὶ χάριτι Θεοῦ.

ΑΡΙΣΤ. « Εἶποι τὴν πίστιν τῷ ἐπισκόπῳ, ἢ πρε« σβυτέρῳ, τῇ Πέμπτῃ τῆς ἑβδομάδος ὁ βαπτιζό« μενος. Εἶποι καὶ ὁ ἐν νόσῳ μετὰ βραχύ. »

Ὁ προσερχόμενος τῇ ἐκκλησίᾳ ἐπὶ τῷ βαπτισθῆναι τὴν πίστιν ἐκμανθανέτω· καὶ τῇ Πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγελλέτω ταύτην τῷ ἐπισκόπῳ ἢ πρεσβυτέρῳ. Οὐ γὰρ δεῖ προχείρως αὐτοὺς βαπτίζειν καὶ πρὸ τοῦ μυηθῆναι τὴν πίστιν. Ὁ νοσῶν καὶ ζητῶν βαπτισθῆναι βαπτιζέσθω. Εἶτα τῆς νόσου ἀναστάς, ἐκμανθανέτω τὴν πίστιν, καὶ γινωσκέτω ὅτι θείας κατηξιώθη χάριτος.

Guill. Beveregii notæ.

(68) *Ὅτι δεῖ τοὺς ἐν νόσῳ.* Qui in morbo baptizatus postea convalescit, fidei symbolum ita edi cere debet, ut episcopo illud reddat, et ab eo manuum impositionem recipiat. Concil. Eliberitanum : *Peregre navigantes, aut si ecclesia in proximo non fuerit, posse fidelem (qui lavacrum suum integrum habet nec sit bigamus) baptizare in necessitate infirmitatis positum catechumenum, ita ut si super vixerit, ad episcopum eum perducat, ut per manus impositionem perfici possit.* Concil. Elib. can. 39. Sed et longe antiquiorem hac de re exstitisse canonem, ex eo patet quod Cornelius episcopus Romanus Novatianum reprehendat, quod cum in lecto ab exorcistis baptizatus fuisset, ad episcopum postea se non contulerat, ut juxta ecclesiasticum canonem, reliqua eo casu præcepta, perciperet. Ὃς βοηθούμενος ὑπὸ τῶν ἐξορκιστῶν, νόσῳ περιπεσὼν χαλεπῇ, καὶ ἀποθανεῖσθαι ὅσον οὐδέπω νομιζόμενος, ἐν αὐτῇ τῇ κλίνῃ ᾗ ἔκειτο περιχυθεὶς ἔλαβεν· εἴ γε χρὴ λέγειν τὸν τοιοῦτον εἰληφέναι· οὐ μὴν οὐδὲ τῶν λοιπῶν ἔτυχε, διαφυγὼν τὴν νόσον, ὧν χρὴ μεταλαμβάνειν κατὰ τὸν τῆς Ἐκκλησίας κανόνα. Τοῦτο δὲ σφραγισθῆναι ὑπὸ τοῦ ἐπισκόπου. Apud Euseb. *Hist. Eccles.* l. vi. cap. 43.

ΚΑΝΩΝ ΜΗ'.

« Ὅτι δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτισμα χρί-
« εσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι
« τῆς βασιλείας τοῦ Θεοῦ. »

ΒΑΛΣ. Χρίσμα ἐκάλεσεν ὁ κανὼν τὸ ἅγιον μύρον, καὶ οὐχ ἁπλῶς χρίσμα, ἀλλὰ ἐπουράνιον, ὡς διὰ τῶν ἁγίων εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος ἁγιαζόμενον, καὶ ἁγιάζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τῶν οὐρανῶν. Φησὶν οὖν τοὺς φωτιζομένους διὰ τούτου χρίεσθαι καὶ ἁγιάζεσθαι. Ὅπως μέντοι παρεδόθη τὸ ἅγιον μύρον, καὶ δι' ἣν αἰτίαν, δηλοῦται ἀπὸ τῶν κατηχητικῶν βίβλων. Τινὲς δὲ λέγουσι γίνεσθαι τοῦτο κατὰ ἀκολουθίαν ἐκείνου τοῦ μύρου, τοῦ διὰ τῆς πόρνης χυθέντος εἰς τοὺς πόδας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος μηδέν τι κακὸν ποιῆσαι τὴν πόρνην ἐκχέασαν εἰς τοὺς πόδας τούτου τὸ ἀπὸ νάρδου πολύτιμον μύρον πρὸ τοῦ ἐνταφιασμοῦ αὐτοῦ. Ἐπεὶ γὰρ τὸ βάπτισμα, ὡς πολλάκις εἴρηται, τύπος ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καλῶς κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος τῷ μύρῳ οἱ φωτιζόμενοι χρίονται, ἵνα συνταφῶσι καὶ συναναστῶσι τῷ Χριστῷ.

ΖΩΝΑΡ. Τοὺς βαπτισθέντας φησὶν ὁ κανὼν δεῖν χρίεσθαι τῷ ἁγίῳ μύρῳ, ὃ καὶ *χρίσμα* ἐκάλεσεν ἐπουράνιον, ὡς διὰ τῶν εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος ἁγιαζόμενον, καὶ ἁγιάζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τοῦ Χριστοῦ, εἰ μὴ δι' ἔργων ῥαυλότητα ἡμεῖς ἑαυτοὺς ταύτης ἀποξενώσωμεν.

ΑΡΙΣΤ. « Δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτι-
« σμα χρίεσθαι. Σαμῆς. »

ΚΑΝΩΝ Μ'.

« Ὅτι οὐ δεῖ τῇ Τεσσαρακοστῇ (69) ἄρτον προσφέρειν
« εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον. »

CANON XLVIII.

« Quod oportet, eos qui baptizantur, post baptisma
« inungi supercœlesti chrismate, et esse regni
« Dei participes. »

BALS. Canon vocavit sanctum unguentum chrisma, et non simpliciter chrisma, sed supercœleste; ut quod per sanctas preces et invocationem sancti Spiritus sanctificetur, et eos qui inunguntur, sanctificet et regni cœlorum faciat participes. Dicit itaque eos, qui baptizantur, per hoc inungi et sanctificari. Quomodo autem et propter quam causam traditum sit sanctum unguentum, ex libris, qui de catechismo tractant, declaratur. Nonnulli autem dicunt hoc fieri ex illius unguenti consequentia, quod per meretricem ad Domini **476** et Dei et Servatoris nostri Jesu Christi pedes fusum est, qui dixit nihil mali fecisse meretricem, quæ ad ejus pedes nardi pretiosum unguentum ad ejus sepulturam effudit. Quia enim baptismus, ut sæpe dictum est, typus est sepulturæ et resurrectionis Christi et Dei nostri; recte baptismi tempore chrismate inunguntur ii, qui baptizantur, ut una sepeliantur et cum Christo resurgant.

ZONAR. Qui baptizati sunt, eos sacro oleo inungi oportere canon decrevit; quod et supercœleste chrisma alio nomine appellavit; quippe quod et sacris precationibus et sancti Spiritus invocatione sanctificatum sit, et qui eo inunguntur sanctos, ac regni cum Christo participes, nisi ad ejus regni possessionem nostris ipsi scelcribus aditum præcluserimus, efficiat.

ARIST. « Illuminatos post baptismum inungi oper-
« tet. *Perspicuus.* »

CANON XLIX.

« Quod non oportet in Quadragesima panem offerre;
« nisi Sabbato et Dominica tantum. »

Guill. Beveregii notæ.

(69). *Ὅτι οὐ δεῖ τῇ Τεσσαρακοστῇ.* In codice Amerbachiano hoc etiam scholium huic canoni subjungitur. Καλῶς, εἰ περ τι ἄλλο: καὶ τοῦτο τοῖς ἐσοφόροις ἔδοξε Πατράσι· ταπεινώσεως γὰρ ὁ καιρὸς, καὶ τῶν ἑκάστῳ πεπλημμεληκότων τὴν ἐπιγνωμοσύνην φέρων. Ἂν δὲ τοιούτῳ καιρῷ οὐκ ἂν εἴη ἀκόλουθον, ἀφειμένους τῶν περὶ ἃ ἡ σπουδὴ, εἰς ἑορτὰς ἀποκλίνειν, εὐφραινομένους οὐ προσηκόντως, καὶ αἰθοιάζοντας ἐν στυγνότητι, καὶ πνευματικῆς ἀγαλλιάσεως ἐμπιπλαμένους πρὰ καιρόν. Πίστις τοῦ λόγου, τό, Ἐπειδὴ μὴ οἷόν τε τὸ τῆς νηστείας ἐνεργεῖν ταπεινὸν, οὐ κωλύεται τὸ θύειν, ἀλλ' ἐν Σαββάτῳ, καὶ τῇ ἀναστασίμῳ προτρέπει θύειν τὸ ἄθυτον θύμα καὶ τῆς ἀπ' αὐτοῦ θυμηδίας κορίννυσθαι. Τῆς μὲν οὖν θυσίας διὰ τοῦτο ἀπέχει ὁ θεῖος τῶν Πατέρων χορὸς, καὶ ὅτι πολέμου ἡμῖν συγκροτουμένου πρὸς τοὺς ἀντικειμένους τοῦ ἐν ἡμῖν κρείττονος. προσευχομένοις γὰρ καὶ τοῦτο, οὐχ ὅσιον τὴν τῆς εἰρήνης θυσίαν ἐπιτελεῖν ἔργου μεταξὺ ἐχομένους· ἀλλὰ τοῦ μὲν ἄρτου ἐπαινετῶς μᾶλα μετέχειν, καὶ τοῦ ποτηρίου τοῖς οὐ κατὰ κατήλους μετέχουσιν ἀνεῖται, εἰς ἀντίληψιν δοκῶ μοι καὶ κραταίωμα τῶν πονουμένων. τὴν μέντοι θυσίαν ἀν διάλεσθαι ἕως δεδοκιμάσται κράτιστον· ἐπεὶ καὶ στρατιώτης χρήσαιτ' ἂν ἄρτῳ καὶ κρέασιν ἐν πολέμου καιρῷ ἐώλοις μᾶλλον, καὶ οὐ προσφάτοις καὶ νεαροῖς, ὅτι μηδὲ σχολὴν ὁ πόλεμος παρέχει ἀρτοποιίας προτρέπεσθαι, καὶ ζωοθυσίαις ἐκθύεσθαι. *Bene, si quid aliud, hoc divinis visum est Patribus. Hoc enim (quadragesimale) humiliationis tempus est, et agnitionem cujusque delictorum secum afferens. In tali autem tempore non decet, negligentes ea quibus intenti sumus, ad festa diverti, lætitia indecenter perfruentes, in mœrore serenos, et spirituali exultatione intempestive impletos. Quandoquidem sane summam jejunii humilitatem peragere haud possibile sit, sacrificare non prohibetur, sed Sabbato, et Dominica die incruentum offerre sacrificium permittitur, et lætitia exinde saltari. A sacrificando itaque divinus Patrum chorus propterea arcet, quod prælio nobiscum commisso contra eos, qui bono in nobis adversantur (et hoc enim accedat) non decet alio interim detentos opere pacis sacrificium celebrare: sed panis quidem poculique laudabiliter admodum participes esse iis qui non canonum instar participant, permitti tur, ad subsidium, ut mihi videtur, et corroborationem laborantium. Sacrificium autem interea differri optimum judicatur; cum et miles prælii tempore pane et carnibus utatur, veteribus quidem, et non recentibus et novis, quoniam prælium panibus faciendis, et animalibus mactandis vacare non patitur.* Ubi allubitur ad præsanctificata, quæ per quadragesimam Sabbatis solis aut Dominicis consecrata, aliis diebus dividuntur, de quibus alibi locuti sumus.

BALS. Præsens canon, et quinquagesimus primus, quinetiam et quinquagesimus secundus sextæ synodi eadem decernunt. Et lege quæ in illis scripta sunt.

ZONAR. Eadem prorsus sextæ synodi canone 52 statuuntur. Vide quæ ibi diximus, nec plura, tum ad hujus, tum ad canonum 51 et 52 explicationem desiderabis.

ARIST. « In quadragesima præterquam Sabbato « solum, et die Dominica offerre non oportet. »

Hic canon non omnino neglectui habetur, sed observatur. Exceptis enim Sabbato et Dominico et sancto Annuntiationis die, in Quadragesima panis non offertur, sed præsanctificata peraguntur. At vero in Annuntiationis festo præsanctificatorum ministerium non celebrari, sed panem offerre, quinquagesimus secundus sextæ in Trullo synodi tradit, eo quod reliqui Quadragesimæ dies humiliationis sunt tempus, debetque quisque propria delicta agnoscere, jet non cura de illis neglecta ad festivitates animum inclinatum habere, et sic simul tristitia affici et spirituali lætitia intempestive repleri.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ να', ἀλλὰ καὶ ὁ νβ' τῆς ς' συνόδου τὰ αὐτὰ διατάττονται. Καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα.

ΖΩΝΑΡ. Τὰ αὐτὰ διατάττεται καὶ ὁ νβ' κανὼν τῆς ς' συνόδου. Καὶ ζητητέον τὰ ἐκεῖ εἰρημένα, ἀρχέσοντα καὶ πρὸς τοῦτον τὸν κανόνα, καὶ πρὸς τὸν να' καὶ τὸν νβ'.

« ΑΡΙΣΤ. Τῇ Τεσσαρακοστῇ μὴ προσφέρειν εἰ μὴ « Σαββάτῳ καὶ Κυριακῇ μόνον. »

Ὁ κανὼν οὗτος οὐ παρεβάθη ὅλως, ἀλλὰ φυλάττεται. Ἄνευ γὰρ Σαββάτου, καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, ἐν τῇ Τεσσαρακοστῇ ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται. Τὸ δὲ ἐν τῇ τοῦ Εὐαγγελισμοῦ ἑορτῇ μὴ προηγιασμένων γίνεσθαι λειτουργίαν, ἀλλὰ προσφέρειν ἄρτον, ὁ πεντηκοστὸς δεύτερος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παραδίδωσι, διὰ τὸ τὰς ἄλλας ἡμέρας τῆς Τεσσαρακοστῆς ταπεινώσεως εἶναι καιρὸν, καὶ ὀφείλειν ἕκαστον τῶν πεπλημμεληκότων τὴν ἐπίγνωσιν φέρειν, καὶ μὴ, ἀφέντα τὴν περὶ ταῦτα σπουδὴν, πρὸς ἑορτὰς ἀποκλίνειν, καὶ κατὰ ταὐτὸ στυγνάζειν, καὶ πνευματικῆς ἀγαλλιάσεως ἐμπιπλᾶσθαι παρὰ καιρόν.

CANON L.

« Quod non oportet in Quadragesimæ postrema « septimana quintæ feriæ jejunium solvere, et « totam Quadragesimam dehonestare : sed oportet totam Quadragesimam jejunare aridis vescentes. »

BALS. Nota ex præsenti canone, quod aridis vesci debemus omni quarta et sexta feria. Qui ergo sine morbo cum oleo et testaceis jejunant, faciunt contra legem : multo autem magis qui in quartis sextisque feriis pisces comedunt. Quia autem necesse est ut aquam bibant etiam qui morbo non laborant, dicimus quod canones quidem nihil tale definiunt. Quoniam autem magnus Epiphanius Cypri in panariis dicit, debere fideles, in sex diebus ante Pascha, pane, et sale, et aqua nutriri; cum aridorum esu aquam quoque bibere bonum est. Lege et octavam interrogationem canonicarum responsionum Timothei Alexandriæ, quæ dicit : Mulier, si peperit, Pascha debet jejunare. Sic etiam decima. Ex his colligitur, debere fideles cum aridorum esu aquam quoque bibere.

ΚΑΝΩΝ Ν'.

« Ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι « τὴν Πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακο- « στὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν Τεσσαρα- « κοστὴν νηστεύειν, ξηροφαγοῦντας (70).

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος (71) ὅτι ξηροφαγεῖν ὀφείλομεν κατὰ πᾶσαν Τετράδα καὶ Παρασκευήν· οἱ γοῦν ἄνευ νοσήματος μετὰ ἐλαίου καὶ ὀστρακοδέρμων νηστεύοντες παρανομοῦσι· πολλῷ δὲ πλέον οἱ ἐν ταῖς Τετράσι καὶ Παρασκευαῖς ἰχθῦας ἐσθίοντες· ἐπεὶ δὲ ἀναγκαῖόν ἐστι καὶ ὑδροποτεῖν τέως τοὺς μὴ ἀσθενοῦντας, φαμὲν ὅτι οἱ μὲν κανόνες οὐδὲν τοιοῦτον ὁρίζονται. Ἐπεὶ δέ φησιν ὁ μέγας Ἐπιφάνιος Κύπρου ἐν τοῖς παναρίοις ὀφείλειν τοὺς πιστοὺς ἐν ταῖς πρὸ τοῦ Πάσχα ἓξ ἡμέραις διὰ ἄρτου, ἁλὸς, καὶ ὕδατος ἀποτρέφεσθαι, καλόν ἐστι σὺν τῇ ξηροφαγίᾳ καὶ ὑδροποτεῖν. Ἀνάγνωθι καὶ τὴν η' ἐρώτησιν τῶν κανονικῶν ἀποκρίσεων Τιμοθέου Ἀλεξανδρείας, λέγουσαν· Γυνὴ, ἐὰν γεννήσῃ, τὸ Πάσχα ὀφείλει νηστεῦσαι· ὡσαύτως καὶ τὴν ι'. Συνάγεται γὰρ καὶ ἀπὸ τούτων ὀφείλειν τοὺς πιστοὺς σὺν τῇ ξηροφαγίᾳ καὶ ὑδροποτεῖν.

Guill. Beveregii notæ.

(70) *Ξηροφαγοῦντας.* Cautum est hoc canone, ut tota quadragesima ξηροφαγίᾳ *aridorum esu* transigatur. Xerophagiarum etiam in jejuniis frequens apud Tertullianum aliosque mentio occurrit. Quid autem proprie esset ξηροφαγεῖν ex Epiphanio colligimus, nimirum panem tantum cum sale et aqua sub vesperam uti : Τὰς δὲ ἓξ ἡμέρας, τοῦ Πάσχα ἐν ξηροφαγίᾳ διατελοῦσι πάντες οἱ λαοί· φημὶ δὲ ἄρτῳ, καὶ ἁλὶ, καὶ ὕδατι τότε χρώμενοι πρὸς ἑσπέραν. Epiph., Expos. fid. num. 22. Constitutiones apostolicæ olera etiam addunt : Ἐν ταῖς ἡμέραις οὖν τοῦ Πάσχα νηστεύετε ἀρχόμενοι ἀπὸ δευτέρας μέχρι τῆς παρασκευῆς καὶ Σαββάτου ἓξ ἡμέρας, μόνῳ χρώμενοι ἄρτῳ, καὶ ἁλὶ, καὶ λαχάνοις καὶ ποτῷ ὕδατι. Constit. apostol. l. v, c. 17. Epiphanius et Constitutiones sex tantum diebus τῆς μεγάλης ἑβδομάδος, Paschalem scilicet celebritatem immediate præcedentibus xerophagiam hanc indictam indigitant, quæ juxta hunc canonem per totam quadragesimam observanda est.

(71) *Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος.* Hæc prima hujus canonis interpretatio codici nostro Bodleiano debetur : neque enim in ullo alio exstat.

Ἑτέρα ἑρμηνεία.

Περὶ τῶν ἐν τῷ παρόντι κανόνι εἰρηται καὶ ἐν τῷ κθ' κανόνι τῆς ς' συνόδου. Τινῶν γὰρ, μετὰ τὸ νηστεῦσαι τὴν ὅλην Τεσσαρακοστὴν, καταλυόντων τὴν μεγάλην Πέμπτην, διὰ τὸ τότε συμπληροῦσθαι τάχα τὴν ἁγίαν Τεσσαρακοστὴν, καὶ τὸν Κυριακὸν δεῖπνον γενέσθαι, ὥρισαν οἱ Πατέρες κατὰ πᾶσαν τὴν Τεσσαρακοστὴν μέχρι τῆς κυριωνύμου Πασχαλίου ἡμέρας νηστεύειν, ἵνα μὴ, λυομένης τῆς νηστείας ἐν μιᾷ ἡμέρᾳ, ἡ ὅλη Τεσσαρακοστὴ ἀτιμάζηται. Ὑπέξελέ μοι τὰ Σάββατα καὶ τὰς Κυριακὰς τῆς Τεσσαρακοστῆς. Ἐν ταύταις γὰρ ξηροφαγεῖν οὐκ ἀναγκαζόμεθα, ὡς ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς νηστείας.

ΖΩΝΑΡ. Πᾶσαν τὴν Τεσσαρακοστὴν ἐν νηστείᾳ διάγειν ὁ κανὼν διορίζεται, ἄνευ δηλαδὴ Σαββάτου καὶ Κυριακῆς. Νηστείαν δὲ τὴν ξηροφαγίαν ὁρίζεται. Τινὲς δὲ κατὰ τὴν ε' τῆς τελευταίας ἑβδομάδος, ἐν ᾗ τὸ Κυριακὸν δεῖπνον συνέφαγε τοῖς μαθηταῖς ὁ Χριστὸς, ἔλυον τὴν νηστείαν, καὶ ἡσθιόν τινα πολυτελέστερα καὶ τρυφηλότερα βρώματα, ὡς τάχα τοῦ Κυρίου τότε τὸ νομικὸν τε φαγόντος δεῖπνον, καὶ τὸ οἰκεῖον τοῖς μαθηταῖς παραδόντος. Τοῦτο οὖν μὴ γίνεσθαι ὁ παρὼν κανὼν διατάττεται, ἵνα μὴ, ἐν τῇ μιᾷ ταύτῃ ἡμέρᾳ λυομένης τῆς νηστείας, ἡ ὅλη Τεσσαρακοστὴ ἀτιμάζηται.

ΑΡΙΣΤ. « Οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ τῇ ὑστεραίᾳ
« ἑβδομάδι τὴν Πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσ-
« σαρακοστὴν ἀτιμάζειν, ἀλλὰ πᾶσαν τὴν Τεσσα-
« ρακοστὴν νηστεύειν ξηροφαγοῦντα. »

Δεῖ πάσας τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελεῖν· καὶ μὴ καταλύειν τὴν νηστείαν ἐν τῇ Πέμπτῃ τῆς ὑστέρας ἑβδομάδος τῆς Τεσσαρακοστῆς, ἀλλὰ δεῖ καὶ ἐν αὐτῇ νηστεύειν τε καὶ ξηροφαγεῖν.

ΚΑΝΩΝ ΝΑ'.

« Ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ (72) μαρτύρων γενέ-
« θλια ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνή-
« μας ποιεῖν ἐν τοῖς Σαββάτοις καὶ Κυριακαῖς. »

ΒΑΛΣ. Ἀνάγνωθι τὸν νβ' κανόνα τῆς ς' συνόδου καὶ τὸν μθ' τῆς παρούσης συνόδου διδάσκοντας κατὰ μόνα τὰ Σάββατα καὶ τὰς Κυριακὰς τελείαν θυσίαν γίνεσθαι ἐν ταῖς ἡμέραις τῆς ὅλης Τεσσαρακοστῆς· κατὰ δὲ τὰς λοιπὰς διὰ προηγιασμένων τελεῖσθαι

Alia interpretatio.

De iis, quæ in præsenti canone tractantur, dictum est et in canone 29 sextæ synodi. Cum enim quidam, postquam tota Quadragesima jejunassent, magna quinta feria jejunium solverent, quod tunc forte compleretur Quadragesima sancta et fieret cœna Domini, statuerunt Patres, ut totam Quadragesimam usque ad diem Dominicum Paschalem jejunarent: ne jejunio uno die soluto tota Quadragesima dehonestaretur. **477** Excipe mihi Sabbata et Dominicos Quadragesimæ. In iis enim aridis vesci non cogimur, ut in reliquis jejunii diebus.

ZONAR. Totum Quadragesimæ tempus, Sabbatis tamen ac Dominicis diebus exceptis, canon jejunio transigi jubet. Jejunium autem aridorum esum constituit. At vero quidam quinta postremæ hebdomadæ feria, qua Christus cum apostolis cœnavit, violato jejunio, lautioribus epulis vescebantur; quod eodem die forte Christus Dominus cœna ex præscripto legis refectus, eumdem quoque morem discipulis prodidisset. Id ergo fieri, ac totam Quadragesimam unius diei illius neglecto jejunio dehonestari, præsens canon vetat.

ARIST. « Non oportet in ultima Quadragesimæ
« septimana quintæ feriæ jejunium solvere, et
« totam Quadragesimam injuria afficere: sed
« totam Quadragesimam jejunare aridis vescen-
« tem. »

Omnes salutaris passionis dies cum jejunio et oratione, et cordis compunctione peragere oportet, et non jejunium solvere quinta ultimæ hebdomadis quadragesimæ feria, sed et in ea jejunare et cibis siccioribus uti.

CANON LI.

« Quod non oportet in Quadragesima martyrum
« natalitia celebrare: sed sanctorum martyrum
« facere commemorationes in Sabbatis et Do-
« minicis. »

BALS. Lege canonem 52 sextæ synodi, et 49 præsentis synodi, qui docent solis Sabbatis et diebus Dominicis fieri perfectum sacrificium tempore totius Quadragesimæ: in reliquis autem per prius sanctificata peragi divinum mysterium. Per-

Guill. Beveregii notæ.

(72) *Ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ.* Constantinus Harmenopulus hunc et sequentem canonem in unam epitomen his verbis contrahit: Οὐ δεῖ μνείας μαρτύρων τελεῖν ἐν Τεσσαρακοστῇ, εἰ μὴ Σάββασι καὶ Κυριακαῖς, οὐδὲ γάμους ἢ γενέθλια. *Recordationes martyrum in Quadragesima non sunt celebrandæ, nisi Sabbatis et diebus Dominicis; item nec nuptiæ vel natales.* Ubi ad vocem γάμους duplex notatur scholium; primum quidem: Οἱ πεποιηκότες γαμικὰς ἱερολογίας τῇ μεγάλῃ Τεσσαρακοστῇ ἐπιτιμῶνται ἱερεῖς, μετρίως μὲν εἰ ἐξ ἀφελείας, μειζόνως δὲ, εἰ ἐκ σκαιοτροπίας καὶ κρύφα. Τὸ μέντοι συνοικέσιον μένει ὡς ἱερολογίας δεξάμενον. *Sacerdotes, qui nuptiales benedictiones in magna Quadragesima peregerunt, puniuntur: mediocriter quidem, si ex simplicitate, gravius autem, si ex perversitate, et clanculum. Matrimonium tamen consistit veluti quod benedictionem accepit.* Alterum autem: Πρὸ τῆς ἑορτῆς τῶν Ἁγίων Ἀποστόλων, τῆς Γενέσεως τοῦ Χριστοῦ, τῆς Μεταμορφώσεως τοῦ Χριστοῦ, καὶ τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, ἐξ ἀνάγκης ἑπταήμεροι προηγοῦνται νηστεῖαι· εἰ δέ τις καὶ πλέον τῶν ἑπτὰ ἡμερῶν κατὰ τὰς ἑορτὰς τούτων, ἢ ἑκοντὶ, ἢ κτηνοτροφικοῦ τυπικοῦ συνωθούμενος νηστεύσει, οὐ καταισχυνθήσεται. *Ante festum Sanctorum Apostolorum, Natalis Christi, Transfigurationis Christi, et Obdormitionis sanctissimæ Deiparæ, necessario septem dierum jejunia præcedunt. Quod si quis etiam ultra dies illos septem in festis horum, vel sponte sua, vel municipali statuto compulsus jejunet, non confundetur.* Harmenop. epit. can. sect. 2, tit. 6.

inde autem ac si dixisset quispiam, non debere prohiberi per totam Quadragesimam ne fiant per sacrificia sanctorum martyrum memoriæ, ut quæ lætitiam non afferant; sed prohiberi tantum ne eorum natalitia celebrentur, ut quæ lætitiam afferant, et ut frequentes hominum conventus fiant, incitent : definierunt Patres, ut neque in commemorationibus martyrum, neque in eorum natalitiis, in tota Quadragesima per sacrificia festum celebrent, sed in solis Sabbatis et Dominicis eorum festa peragant. Nota ergo, ex præsenti canone quod nec defunctorum quidem fiunt memoriæ tota Quadragesima, præterquam solo Sabbato. Propterea quod sancta Quadragesima luctus est ob peccata nostra, sanctorum commemorationes non celebrantur, præterquam Sabbato : si sanctorum ergo commemorationes non fiunt; multo magis nuptiæ prohibebuntur.

ARIST. « Neque martyrum commemorationes ce-
« lebrare, præterquam Dominicis et Sabbatis. »

In Quadragesima, exceptis Sabbato et Dominico, nec martyrum commemorationes celebrantur.

CANON LII.

« Quod non oportet in Quadragesima nuptias vel
« natalitia celebrare. »

BALS. Propter easdem rationes quas superius diximus.

ARIST. « Quadragesima non celebrantur nuptiæ,
« neque natalitia. *Perspicuus.* »

478 CANON LIII.

« Quod non oportet Christianos ad nuptias venien-
« tes tripudiare vel saltare : sed modeste cœnare
« et prandere, ut decet Christianos. »

BALS. Canon clarus est : cum vero et penitus exolevit, nec interpretatione eget. Βαλλίζειν autem est cum cymbalis vel aliis ejusmodi saltare.

ZONAR. *Sive comeditis*, inquit divinus apostolus Paulus, *sive bibitis, sive aliud quid facitis, omnia in gloriam Dei facite* [1] : fideles vero qui vitam petulanter agunt, nihil minus quam Dei gloriam propositam habent. Ne igitur fideles ad nuptias vocati minus honeste se gerant, saltentque ac tripudient; sed modeste appositis cibis vescantur, nec quidquam Christiano homine indignum admittant, hic canon decernit. Est porro βαλλίζειν concrepantibus cymbalis saltationem ad illorum sonitum accommodare.

ARIST. « Tripudiare in nuptiis vel saltare indi-
« gnum. »

CANON LIV.

« Quod non oportet sacratos, aut clericos in nu-
« ptiis vel conviviis aliqua spectacula videre :
« sed priusquam ingrediantur thymelici, surgere
« et secedere.

[1] 1 Cor. x, 31.

τὴν θείαν ἱερουργίαν. Ὡς δέ τινος εἰπόντος μὴ ὀφείλειν κωλύεσθαι δι' ὅλης τῆς Τεσσαρακοστῆς διὰ θυσίας γίνεσθαι τὰς τῶν ἁγίων μαρτύρων μνήμας, ὡς μηδὲ χαροποιούς (75) οὔσας, ἀλλὰ μόνα κωλύεσθαι τὰ γενέθλια τούτων ὡς χαροποιὰ καὶ πανηγύρεων πρόξενα· ὥρισαν οἱ Πατέρες μήτε ἐν ταῖς μνήμαις μήτε ἐν τοῖς γενεθλίοις τῶν μαρτύρων καθ' ὅλην τὴν Τεσσαρακοστὴν διὰ θυσίας πανηγυρίζειν, ἀλλὰ κατὰ μόνα τὰ Σάββατα καὶ τὰς Κυριακὰς τὰς ἑορτὰς τούτων ποιεῖν. Σημείωσαι τοίνυν ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οὐδὲ μνῆμαι κατοιχομένων δι' ὅλης τῆς Τεσσαρακοστῆς ἄνευ Σαββάτου καὶ μόνου. Διὰ τὸ εἶναι πένθος ὑπὲρ ἁμαρτιῶν ἡμῶν τὴν ἁγίαν Τεσσαρακοστήν, οὐχ ἁγίων μνῆμαι γίνονται ἄνευ Σαββάτου· ἐὰν οὖν ἁγίων μνῆμαι οὐ γίνονται, πολλῷ πλέον κωλυθήσεται ὁ γάμος.

ΑΡΙΣΤ. « Μηδὲ μνείας μαρτύρων τελεῖν εἰ μὴ
« Κυριακαῖς τε καὶ Σάββασιν. »

Ἐν τῇ Τεσσαρακοστῇ ἄνευ Σαββάτου καὶ Κυριακῆς οὐδὲ μαρτύρων μνεῖαι τελοῦνται.

ΚΑΝΩΝ ΝΒ'.

« Ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ γάμους ἢ γενέθλια
« ἐπιτελεῖν. »

ΒΑΛΣ. Διὰ τοὺς αὐτοὺς λόγους οὓς ἄνωθεν εἴπομεν.

ΑΡΙΣΤ. « Οὐ τελεῖται τῇ Τεσσαρακοστῇ γάμος,
« οὐδὲ γενέθλιον. *Σαφής.* »

ΚΑΝΩΝ ΝΓ'.

« Ὅτι οὐ δεῖ Χριστιανοὺς εἰς γάμους ἀπερχομένους
« βαλλίζειν ἢ ὀρχεῖσθαι, ἀλλὰ σεμνῶς δειπνεῖν καὶ
« ἀριστᾷν, ὡς πρέπει Χριστιανοῖς.

ΒΑΛΣ. Ὁ κανὼν σαφὴς ἐστιν· ὅτι δὲ ἠπράκτησε παντελῶς, οὐδὲ ἑρμηνείας δεῖται. Βαλλίζειν δέ ἐστι τὸ μετὰ κυμβάλων ἢ ἄλλων τοιούτων ὀρχεῖσθαι.

ΖΩΝΑΡ. Ὁ θεσπέσιος ἀπόστολος Παῦλός φησιν· *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*· τὸ δὲ ἀσέμνως βιοῦν τοὺς πιστεὺς εἰς τοὐναντίον τὸ πρᾶγμα περυστᾷ. Διὸ καὶ ὁ παρὼν κανὼν τοὺς ἀπερχομένους πιστοὺς εἰς γάμον κωλύει ἀπρεπῶς διαγίνεσθαι, καὶ ὀρχεῖσθαι ἢ βαλλίζειν· ἐσθίειν δ' ἐπιτρέπει σεμνῶς, μηδὲν ἀνάξιον ποιοῦντας Χριστιανῶν. Βαλλίζειν δ' ἐστὶ τὸ κύμβαλα κτυπεῖν, καὶ πρὸς τὸν ἐκείνων ἦχον ὀρχεῖσθαι.

ΑΡΙΣΤ. « Βαλλίζειν ἐν γάμοις ἢ ὀρχεῖσθαι ἀνά-
« ξιον. »

ΚΑΝΩΝ ΝΔ'.

« Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικούς τινας θεωρίας
« θεωρεῖν ἐν γάμοις ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσ-
« έρχεσθαι τοὺς θυμελικοὺς ἐγείρεσθαι αὐτοὺς
« καὶ ἀναχωρεῖν.

Guill. Beveregii notæ.

(75) Ὡς μηδὲ χαροποιούς. Hæc Balsamonis verba usque ad ὥρισαν οἱ Πατέρες in codice Amerbachiano desiderantur.

ΑΑΣ. Ἐν τῷ κδ' καὶ να' κανόνι τῆς ς' συνόδου διελάβομεν καὶ περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων. Καὶ ἀνάγνωθι ταῦτα· μέμνηται γὰρ καὶ τούτου.

ZONAR. Quod si quis, inquit, adeo insanus tantaque confidentia præditus reperiatur, qui etiam post hunc canonem editum civitatem mutare ausus fuerit, eoque se excusare, hoc est, tueri factum crimenque refellere velle videatur, quod litteras, quibus ad episcopalem curam evocaretur, a populo urbano se tulisse, id est, accepisse asserat ac defendat; facile apparet, paucis hominibus, ut in ecclesia seditionem excitarent, ipsumque sibi episcopum deposcerent, ab eo persuaderi potuisse. Sed eorum suffragia sibi ille videlicet emercatus est, pecuniam, quam mercedem ac pretium canon appellat, hominibus dilargitus. Omnino igitur, inquit, episcopum, ad callidas has artes sive fallacias fraudesque confugientem, impune abire haud decet. Erit ergo hæc animadversio, ut qui aliquid tale ad-

miserit, ei ne laicorum quidem more liceat, etiam in mortis articulo, communicare. Cum porro canon ne morienti quidem Isti communicare permittit, eum viventem ne in fidelium quidem numero a se haberi demonstrat.

ARIST. « Si quis e civitate in civitatem transiens, « seditiones movet, multitudini placens, et ab « eadem in tumultu excitando adjutus, nec in « vitæ exitu sit communionis particeps. »

Istum qui eo audaciæ et dementiæ pervenit, ut plane flicere et petere a civitate ad civitatem transferri **485** ut multitudini placentem, et illinc recipientem litteras, postulantes eum habere episcopum, unde manifestum est ex ipsius artificio et fraude fieri, et paucos quosdam mercede et pretio corrumpere potentis, et in Ecclesia seditionem moveri efficientis, ut scilicet eum peterent habere episcopum, talem ut valde audacem et admodum amentem, hæc synodus condemnavit. Apparet enim istum nec in vitæ exitu communione haberi dignum. Et nota : hoc enim inauditum et horrendum est, ut neque in discessu communione dignus censeatur : quod alibi in canonum ullo non invenies cuilibet impositum et inflictum peccato.

CANON III.

« Hoc quoque necessario est adjiciendum, ut nullus « episcoporum ex sua provincia in aliam, in qua « sunt episcopi transeat, nisi utique a fratribus « qui in ea sunt vocetur; ne videamur dilectio- « nis fores claudere. Hoc autem etiam similiter « providendum est, ut si in aliqua provincia epi- « scoporum quispiam adversus fratrem suum et « coepiscopum negotium habeat, neuter eorum « ex alia provincia cognitores evocet. Si quis « autem episcoporum in aliquo negotio condem- « nari visus fuerit, et existimet se non malam, « sed bonam causam habere, ut etiam rursus ju- « dicium renovetur : si vestræ dilectioni videtur, « Petri apostoli memoriam honoremus, et de iis, « qui judicaverunt, scribatur Julio Romanorum « episcopo, ut per propinquos provinciæ episco- « pos, si opus sit, judicium renovetur, et cogni- « tores ipse præbeat. Si autem probare non po- « test causam ejus esse talem, ut eam rursus « judicari opus sit : quæ semel sunt judicata, non « infirmentur; quæ autem sunt, firma habeantur. »

BALS. Postquam definiissent sancti Patres, quid debeat fieri in episcopos, qui transeunt a civitate in civitatem : nunc statuunt, idem quoque esse faciendum in eos, qui a provincia in provinciam transeunt ; nisi utique, inquiunt, accersantur ab ejusdem regionis episcopis et confratribus suis. Tunc enim suscipientur, propter bonum fraternæ charitatis, et sine ullo præjudicio extra diœcesim episcopalia quædam exercebunt. Dictum est autem illud, ne provincia, propter eos qui dicunt, transire qui-

A ἀξιοῦσθαι κοινωνίας. Τοῦτο δὲ δείκνυσιν ὅτι οὐδὲ τοῖς πιστοῖς αὐτὸν συναριθμεῖ ὁ κανὼν, ἐπεὶ οὐδὲ ἐν τῷ θανάτῳ παραχωρεῖ μεταλαβεῖν αὐτόν.

ΑΡΙΣΤ. « Εἴ τις ἐκ πόλεως εἰς πόλιν μεταβὰς κα- « ταστασιάζει, τῷ πλήθει ἀρέσκων, καὶ συμμα- « χούμενος, καὶ ἐν αὐτῷ τῷ τέλει ἀκοινώνητος. »

Τὸν εἰς τοσοῦτον τόλμης καὶ μανίας ἐλθόντα, ὥστε παρρησιασθῆναι καὶ αἰτεῖν ἐκ πόλεως εἰς πόλιν μετατεθῆναι, ὡς ἀρέσκοντα τῷ πλήθει, καὶ ἐκεῖθεν δεξάμενον γράμματα ἀξιοῦντα ἔχειν αὐτὸν ἐπίσκοπον, ὅπερ δῆλόν ἐστιν ἐκ μηχανῆς καὶ τέχνης αὐτοῦ γενέσθαι, ὀλίγους τινὰς ἰσχύσαντος μισθῷ καὶ τιμήματι B διαφθεῖραι, καὶ ἐν τῇ ἐκκλησίᾳ καταστήσαντος στασιάζειν, ὡς δῆθεν αἰτεῖν ἔχειν αὐτὸν ἐπίσκοπον· τὸν τοιοῦτον ὡς ἄγαν τολμητίαν καὶ ἀπονενοημένον μεγάλως αὕτη ἡ σύνοδος κατεδίκασεν. Ἀπεφήνατο γὰρ μηδὲ ἐν τῇ ἐξόδῳ τοῦ βίου κοινωνίας ἀξιοῦσθαι. Καὶ σημείωσαι· ξένον γὰρ τοῦτο καὶ φρικτόν ἐστι, τὸ μηδὲ ἐν τῇ ἐξόδῳ ἀξιοῦσθαι τῆς κοινωνίας· ὅπερ οὐχ εὑρήσεις ἁπανταχῇ τῶν κανόνων ἐν ἄλλῳ τινὶ κείμενον ἁμαρτήματι καὶ ἐπιτιμώμενον.

ΚΑΝΩΝ Γ'.

« Καὶ τοῦτο προστεθῆναι ἀναγκαῖον, ἵνα μηδεὶς « ἐπισκόπων ἀπὸ τῆς ἑαυτοῦ ἐπαρχίας εἰς ἑτέ- « ραν ἐπαρχίαν, ἐν ᾗ τυγχάνουσιν ὄντες ἐπίσκο- « ποι, διαβαίνοι, εἰ μή τι παρὰ τῶν ἀδελφῶν τῶν « ἐν αὐτῇ κληθείη· διὰ τὸ μὴ δοκεῖν ἡμᾶς τὰς « τῆς ἀγάπης ἀποκλείειν πύλας. Καὶ τοῦτο δὲ « ὡσαύτως προνοητέον, ὥστε, ἐὰν ἔν τινι ἐπαρχίᾳ « ἐπισκόπων τις ἀντικρυς ἀδελφοῦ ἑαυτοῦ καὶ « συνεπισκόπων πρᾶγμα σχοίη, μηδέτερον ἐκ « τούτων ἀπὸ ἑτέρας ἐπαρχίας ἐπισκόπους « ἐπιγνώμονας ἐπικαλεῖσθαι· εἰ δὲ ἄρα τις ἐπι- « σκόπων ἔν τινι πράγματι δόξῃ κατακρίνεσθαι, « καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν, ἀλλὰ κα- « λὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις « ἀνανεωθῇ· εἰ δοκεῖ ὑμῖν τῇ ἀγάπῃ, Πέτρου « τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν, καὶ « γραφῆναι περὶ τούτων τῶν κρινάντων Ἰουλίῳ « τῷ ἐπισκόπῳ Ῥώμης, ὥστε διὰ τῶν γειτνιών- « των τῇ ἐπαρχίᾳ ἐπισκόπων, εἰ δέοι, ἀνανεωθῆ- « ναι τὸ δικαστήριον, καὶ ἐπιγνώμονας αὐτὸς « παράσχοι. Εἰ δὲ μὴ συστῆναι δύναται τοιοῦτον « αὐτῷ εἶναι τὸ πρᾶγμα, ὡς παλινδικίας χρῄζειν, « τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, τὰ δὲ ὄντα « βέβαια τυγχάνειν. »

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἅγιοι Πατέρες τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀπὸ πόλεως εἰς πόλιν μεθισταμένους ἐπισκόπους, ἄρτι διορίζονται τὸ αὐτὸ γίνεσθαι καὶ εἰς τοὺς ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μεταβαίνοντας· εἰ μήπω, φασὶ, μετάκλητοι γένωνται παρὰ τῶν ἐγχωρίων ἐπισκόπων καὶ συναδέλφων αὐτῶν· τότε γὰρ δεχθήσονται διὰ τῆς φιλαδελφίας χάριν, καὶ ἀποκριματίστως παρ' ἐνορίαν ἀρχιερατικά τινα ἐνεργήσουσιν. Εἴρηται δὲ τὸ περὶ τῆς ἐπαρχίας διὰ τοὺς λέγοντας· Τὸ μὲν μεταβαίνειν ἀπὸ πόλεως

εἰς πόλιν ὑπὸ τὴν αὐτὴν ἐπαρχίαν οὖσαν πλεονεξίαν ἢ ἀλαζονείαν τοῦ ἐπισκόπου κατηγορεῖ, κἀντεῦθεν καὶ τιμωρητέον ἐστί· τὸ δὲ μεθίστασθαι ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν περιελείφθη ἀκόλαστον, ὡς ἐντεῦθεν μὴ ἀναφαινομένου φαύλου τινός, διὰ τὸ τὰς ἐπαρχίας ἐξ ἀλλήλων πόρρω ἀποδιίστασθαι, καὶ μὴ διδόναι πάροδον τοῖς ἐν αὐταῖς ἐπισκόποις γινώσκειν τὰς τῶν ἑκατέρων ἐκκλησιῶν εἰσόδους, καὶ τὰ πλήθη τοῦ ἐν ταύταις λαοῦ. Ταῦτα γοῦν μὴ παραδεξαμένη ἡ σύνοδος, παρομοίως καὶ τούτους κολάζεσθαι διωρίσατο. Ἀκούων δὲ τοῦ κανόνος διοριζομένου τιμωρεῖσθαι τοὺς μεταβαίνοντας ἀκλητεὶ ἐπισκόπους ἀπὸ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν ἐχούσαν ἐπίσκοπον, μὴ εἶπῃς ἀνευθύνους εἶναι τοὺς ἱερουργοῦντας εἰς ἑτέρας ἐπαρχίας μὴ ἐχούσας ἐπισκόπους. Καὶ οὗτοι γὰρ ὁμοίως ὑπὸ τῶν κανόνων εὐθύνονται. Προστέθη δὲ τὸ, Ἐν ᾗ τυγχάνουσιν ἐπίσκοποι, διὰ τοὺς ἐπισκόπους τοὺς ἔχοντας ἐνορίας εἰς δύο ἢ καὶ τρεῖς πολλάκις ἐπαρχίας. Ἔτι ἐπήγαγεν ὁ κανὼν καὶ ἕτερον κεφάλαιον, καὶ εἶπεν· Εἰ δὲ πρᾶγμα, ἧγουν ὑπόθεσιν, ἔχει ἐπίσκοπος μετὰ συνεπισκόπου αὐτοῦ, τίς ὀφείλει τὴν ὑπόθεσιν δικάζειν; Ὥρισεν οὖν ὑπὸ τῶν ἐπαρχιωτῶν ἐπισκόπων τούτους δικάζεσθαι, καὶ μή τινα τῶν δικαζομένων ἐξ ἄλλης ἐπαρχίας μεταλαλεῖσθαι συνδιαγνώμονα ἐπίσκοπον· καταγινώσκει γὰρ ἀμαθίας ἢ ἀδικίας τῶν ἐπαρχιωτῶν. Ὡς δέ τινος εἰπόντος, Εἰ δέ τις ἐκ τούτων κατακρινόμενος νομίσει βαρύνεσθαι, καὶ ἐκκαλέσεται, εἰς οὐδὲν αὐτῷ τὰ τῆς ἐκκλήτου συντελοῦσιν, ὡς μὴ δυναμένων ἑτέρων ἐπισκόπων ἐπαρχιωτῶν ἀναλαλεῖσθαι διάγνωσιν κατὰ τὴν ῥηθεῖσαν διάστιξιν· προσέθετο μὴ εἶναι ἀπαράδεκτον τὸν ἐκκαλούμενον κατὰ τῆς κρίσεως τῶν ἐπαρχιωτῶν, ἀλλ' ὀφείλειν τοὺς ἐπαρχιώτας διὰ τιμὴν τοῦ ἀποστολικοῦ θρόνου γράφειν τὰ συναχθέντα τῷ πάπᾳ Ῥώμης (ἦν δὲ τότε Ἰούλιός τις ἐπίσκοπος ταύτης), καὶ παρὰ τῇ ἐξουσίᾳ ἐκείνου ἀνηρτῆσθαι τὰ τῆς ἐκκλήτου· ἐφ' ᾧ, εἰ μὲν διαγνοίη ἄξιον εἶναι τὸ πρᾶγμα δευτέρας κατεξετάσεως, ὁρίσαι παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ σκοπηθῆναι τὴν προγενομένην ἀπόφασιν· εἰ δὲ καταλάβῃ καλῶς τὴν ὑπόθεσιν κριθῆναι, καὶ μὴ δεῖσθαι ταύτην δευτέρας συζητήσεως, ὁρίσαι μένειν τὰ ἅπαξ προκεκριμένα ἀναλλοίωτά τε καὶ βέβαια. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Ἐρωτήσει δέ τις, ὡς τοῦ ιε' κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διοριζομένου τὰ κεκριμένα ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων ὁμογνωμονησάντων μὴ ἀνακρίνεσθαι παρ' ἑτέρων τινῶν, καὶ τοῦ παρόντος κανόνος ἐκκλήτῳ ὑποκεῖσθαι τὴν τοιαύτην ἀπόφασιν διοριζομένου, τίνι προσέχειν ὀφείλομεν; *Λύσις.* Τινὲς μὲν εἶπον μὴ ὁμοφωνῆσαι ἐνταῦθα τοὺς ἐπαρχιώτας ἐπισκόπους, ἀλλὰ διαιρεθῆναι εἰς διαφόρους γνώμας, καὶ διὰ τοῦτο ἔχειν χώραν τὰ τῆς ἐκκλήτου· ἄλλοι δὲ εἶπον ὡς, ἐπεὶ μεταγενέστερός ἐστιν ὁ παρὼν κανών, ὀφείλουσι τὰ τούτῳ περιεχόμενα μᾶλλον κρατεῖν. Ἀρέσκει οὖν τοῦτο κἀμοί, ὡς καὶ νομίμου ἀκριβείας ἐχόμενον. Νενομοθέτηται γάρ, μὴ ἅπαξ, ἀλλὰ δὶς ἐκκαλεῖσθαι, τὸν νομίζοντα ἀδι-

A dem a civitate in civitatem, quæ est sub eadem provincia, avaritiam vel etiam arrogantiam episcopi arguit, et ideo puniendum est : a provincia autem in provinciam transire impunitum relictum est ; utpote quod nihil mali ex eo oriatur, eo quod provinciæ sint longe a se invicem disjunctæ, nec episcopis, qui sunt in eis, aditum præbeant, ut possint utrarumque Ecclesiarum reditus cognoscere, et multitudinem populi, qui in eis est. Hæc non admittens synodus, eos quoque similiter puniendos esse decrevit. Cum autem audis canonem definientem puniri episcopos, qui non vocati ab una provincia in aliam transeunt habentem episcopum ; ne dicas eos impune laturos, qui in provinciis non

B habentibus episcopos sacra peragunt. Nam et ii similiter a canonibus corriguntur. Additum est autem illud, In qua sunt episcopi, propter episcopos, qui regiones habent in duabus vel tribus sæpe provinciis. Præterea subjunxit canon aliud quoque caput, et dixit: Si autem episcopus habet aliquod negotium, seu causam aliquam, cum suo coepiscopo, quis debet causam judicare? Statuit ergo eos a provincialibus episcopis judicandos, nec ullum eorum, qui judicio contendunt, ex alia provincia accersere cognitorem episcopum : provinciales enim ignorantiæ vel injustitiæ eo ipso condemnat. Tanquam autem dixisset quispiam, Si quis eorum condemnatus se gravari existimet, et appellet, ejus appellatio ad nihil redibit, **486** cum non possint

C alii provinciales episcopi cognitionem evocare, ut vult jam dicta distinctio : adjecit non esse repellendum, qui a provincialium judicio provocat ; sed debere provinciales, propter honorem sedis apostolicæ, quæ gesta sunt papæ Romano describere (erat autem eo tempore quidam Julius ejus episcopus), et in ejus potestate positam esse appellationem, ut si rem quidem esse dignam cognoscat, quæ secundo examinetur, statuat a propinquis episcopis renovari judicium, et de præcedente sententia cognosci : sin autem invenerit causam recte fuisse judicatam, et secunda inquisitione opus non habere, decernat, ea quæ prius judicata sunt, firma et immutabilia permanere. Et in his quidem consistit canon. Interrogaverit autem quispiam : Cum canon 15 Antiochenæ synodi statuat, ea, quæ ob omnibus provin-

D cialibus episcopis consentientibus judicata sunt, ab aliquibus aliis iterum non judicari, præsens autem canon jubeat talem sententiam appellationi subjici, quidnam sequi debemus? *Solutio.* Aliqui dicebant quidem, non fuisse hic concordes provinciales episcopos, sed in varias sententias divisos, et ideo locum habere appellationem : alii autem dicebant, quod quia præsens canon est recentior, debent, quæ in eo continentur, magis servari. Hoc ergo mihi quoque placet, ut quod sit vel in primis legitimum. Lege enim cautum est, ut non semel, sed bis provocet is, qui sibi injuriam fieri putat. Esse autem in potestate papæ, ut servetur vel non servetur appellatio, est proprium in ecclesiasticis.

ges enim, præter certas paucas causas, statuunt omnem appellationem, non solum semel, sed etiam bis esse recipiendam. Quæ autem de papa definita sunt, eadem de patriarcha quoque Constantinopolitano sunt intelligenda; quod is a diversis canonibus similiter ac papa sit in omnibus honoratus. Statutum est autem, dari vicinos episcopos a papa pro examinanda appellatione, et ne is causæ cognitionem sibi reservet, ut qui judicio vicit non cogatur Romam traduci a Thessalonica fortasse, idque cum judicio superior evaserit. Si autem hoc non ita est, sed prope eum, qui judicio fuit superior, sit episcopatus, non examinabitur appellatio per vicinos episcopos, ut mihi videtur, sed per patriarcham secundum leges, quæ dicunt, appellationem ad majores judices recurrere, non adæquales vel minores; et alias leges quæ statuunt, judicem appellatum non transmittere ad alium appellationis disquisitionem. Si autem hoc quoque ut privilegium papæ datum esse dixeris, nihil novum.

Α κεῖσθαι. Τὸ μέντοι ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ πάππα τηρηθῆναι ἢ μὴ τηρηθῆναι τὴν ἐκκλητον, ἰδικόν ἐστιν εἰς τὰ ἐκκλησιαστικά. Οἱ γὰρ νόμοι ἄνευ ῥητῶν τινων θεμάτων διορίζοντσι πᾶσαν ἔκκλητον δέχεσθαι οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. Τὰ μέντοι ὁρισθέντα περὶ τοῦ πάππα ἐκληπτέον καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, διὰ τὸ ἐπὶ πᾶσιν ὁμοίως τῷ πάππᾳ καὶ τοῦτον τιμηθῆναι ὑπὸ διαφόρων κανόνων. Δίδοσθαι δὲ ὡρίσθη γειτνιάζοντας ἐπισκόπους παρὰ τοῦ πάππα χάριν κατεξετάσεως τῆς ἐκκλήτου, καὶ μὴ τοῦτον τηρεῖν τὴν ὑπόθεσιν, ἵνα μὴ ὁ καταδικάσας ἀναγκασθῇ διάξιμος εἰς Ῥώμην γενέσθαι ἀπὸ Θεσσαλονίκης τυχόν· καὶ ταῦτα νικήσας τὸ δικαστήριον. Εἰ γὰρ τοῦτο οὐκ ἔστιν, ἀλλὰ πλησίον τοῦ καταδικάσαντος ἡ ἐπισκοπὴ διάκειται, οὐ τηρηθήσεται ἡ ἔκκλητος διὰ γειτνιαζόντων ἐπισκόπων, ὡς ἐμοὶ δοκεῖ, ἀλλὰ παρὰ τοῦ πατριάρχου, κατὰ τοὺς νόμους τοὺς λέγοντας ἐπὶ μείζονας δικαστὰς ἀνατρέχειν τὴν ἔκκλητον, οὐ μὴν ἐπὶ ἴσους ἢ ἥττονας· καὶ τοὺς ἑτέρους νόμους τοὺς διοριζομένους τὸν ἐκκλητάριον μὴ παραπέμπειν πρὸς ἕτερον τὴν τῆς ἐκκλήτου τήρησιν. Εἰ δὲ καὶ τοῦτο ὡς προνόμιον εἴπῃς δοθῆναι τῷ πάππᾳ, καινὸν οὐδέν.

Β

ZONAR. Non modo permutare urbes, seque a tenuiori in ampliorem transferre: sed ab alia quoque provincia in aliam, in qua episcopi sint, muneris cujuspiam ecclesiastici obeundi causa, nisi ab illius provinciæ episcopis advocati, transmeare episcopi prohibentur. Atque id ipsum, inquit canon, ut vocatis abire liceat, ne benevolentiæ fores obstruere videamur, fraterno amori videlicet condonamus. Quod si etiam negotium aliquod, hoc est, litem ac controversiam, cum fratre suo et coepiscopo episcopus habeat; ne ullo modo ab alterutro disceptantium inter se episcoporum alterius provinciæ episcopi causæ cognitores arbitrique constituantur, sed causæ cognitionem ad suæ provinciæ antistites uterque deferat. Quod si quis illorum sententia condemnatus, causam tamen adhuc non malam, neque improbabilem, sed bonam, et quam obtineri facile posse existimet, se habere confidat, ac proinde judicium renovari, hoc est causæ æquitatem iterum examinari velit; si vestræ dilectioni videatur, Petri, inquit, apostoli memoriæ honorem habeamus, hoc est, hanc Romanorum **487** Ecclesiæ throno auctoritatem deferamus, ut qui in ea causa judices exstitere, ad Julium papam litteras mittant (erat is tunc temporis Romanorum episcopus), quibus eum de toto illius controversiæ genere doceant, ac ei, qui damnatus est, quod ipsi judicarunt, haudquaquam placere significent; ut papa, si judicium instaurandum causamque denuo agitandam esse statuerit, ex vicinis illi provinciæ episcopis cognitores det: sin autem nulla amplius disquisitione in ea causa opus esse, hoc est, non esse aliud judicium instituendum existimarit; res judicatæ ne rescindantur, hoc est, ea, quæ ante judicata ac decreta fuerunt, nullo modo rescindi atque everti; sed quæ jam sunt firma haberi, ea videlicet, quæ constituta et acta sunt, rata firmaque haberi placet.

C

D

ΖΩΝΑΡ. Οὐ μόνον μεταμείβειν τὰς πόλεις κωλύονται οἱ ἐπίσκοποι, καὶ ἀπὸ ἐλάττονος εἰς μείζονα μετατίθεσθαι, ἀλλ' οὐδὲ ἀπιέναι ἀπὸ ἐπαρχίας εἰς ἄλλην ἐπαρχίαν, ἐν ᾗ εἰσιν ἐπίσκοποι, συγχωροῦνται, ὥς τι τελέσοντες ἐκκλησιαστικὸν δίκαιον, εἰ μὴ οἱ ἐν τῇ ἐπαρχίᾳ ἐπίσκοποι αὐτοὺς προσκαλέσωνται. Καὶ τοῦτο δὲ ἐπιτρέπομεν, φησὶν ὁ κανών, τὸ ἀπιέναι καλουμένους διὰ τὸ φιλάδελφον, ἵνα μὴ δόξωμεν κλείειν τὰς τῆς ἀγάπης πύλας. Εἰ δὲ καὶ πρᾶγμα, ἤγουν ὑπόθεσιν, δίκην σχοίη ἐπίσκοπος μετὰ ἀδελφοῦ αὐτοῦ καὶ συνεπισκόπου, μηδένα ἐκ τούτων τῶν τὴν δίκην ἐχόντων ἐξ ἑτέρας ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι διαγνώμονας, ἀλλὰ παρὰ τῶν τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπων δικάζεσθαι. Εἰ δὲ παρ' ἐκείνοις δικασθείς τις καταδικάζεται, καὶ ὑπολαμβάνει μὴ σαθρὸν ἔχειν τὸ πρᾶγμα, μὴ ἀσθενῆ δηλονότι ὑπόθεσιν, ἀλλὰ καλήν, ἤγουν δυναμένην αὐτὴν δικαιῶσαι, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, ἤγουν ἐκ νέου ζητηθῇ, τηρηθῇ, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ, Πέτρου τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν, τουτέστι, τῷ θρόνῳ τῆς Ῥωμαίων Ἐκκλησίας ἀναθώμεθα τὴν ἐξουσίαν, ἵνα οἱ κρίναντες τὴν ὑπόθεσιν γράψωσι τῷ πάππᾳ Ἰουλίῳ, ὃς ἦν τότε τῆς Ῥώμης ἐπίσκοπος, ἀναδιδάσκοντες τὴν ὑπόθεσιν, καὶ ὅτι ὁ καταδικαζόμενος ὑπ' αὐτῶν ἀπαρέσκεται· ὥστε τὸν πάππαν ἐκ τῶν πλησιαζόντων τῇ ἐπαρχίᾳ ἐκείνῃ ἐπισκόπων παραιτεῖν διαγνώμονα, εἰ διαγνοίη ἐκεῖνος, ὅτι δεῖ ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ πάλιν ζητηθῆναι τὴν ὑπόθεσιν· εἰ δὲ μὴ διαγνοίη ὁ πάππας ὅτι παλινδικία; χρῄζει ἡ ὑπόθεσις, τουτέστι δευτέρου δικαστηρίου, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, ἤγουν τὰ ἤδη κεκριμένα καὶ τὴν πρώτην ἀπόφασιν μὴ ἀνατρέπεσθαι, τὰ δὲ ὄντα βέβαια τυγχάνειν, τὰ ἐψηφισμένα δηλαδὴ καὶ γενόμενα βέβαια τυγχάνειν.

ΑΡΙΣΤ. « Μηδεὶς ἐπισκόπων ἄκλητος εἰς πόλιν δια-
« βαινέτω. Καὶ ὁ ἐπαρχιώτης, εἰ ἐπί τι δικάζοιτο,
« ἀλλοτρίους ἐπισκόπους οὐκ ἐπικαλέσεται. Εἰ δὲ
« ἐπικρίνοι ὁ Ῥώμης, παρέσονται καὶ ἀλλότριοι. »

Ἐν διαφόροις κανόσιν εἴρηται τὸ μηδένα τολμᾷν ἀπὸ τῆς ἑαυτοῦ παροικίας εἰς ἑτέραν ἐπαρχίαν ἐπιβαίνειν, εἰ μὴ παρὰ τοῦ μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων κληθῇ. Τοῦτο γὰρ καὶ ἡ σύνοδος αὕτη προστάττει. Ἀλλὰ καὶ εἴ τις τῶν ἐπισκόπων μετὰ συνεπισκόπου περί τινος πράγματος ἀμφιβολίαν τινὰ σχοίη, καὶ μετ' αὐτοῦ εἰς τὴν σύνοδον τῆς ἐπαρχίας αὐτοῦ δικάζοιτο, οὐκ ὀφείλει καὶ ἀπὸ ἑτέρας ἐπαρχίας διαγνώμονάς τινας τῶν ἐπισκόπων ἐπικαλεῖσθαι, ἀλλὰ παρὰ μόνοις τοῖς ἐπαρχιώταις κριθῆναι. Καὶ εἰ ἀπαρέσκει αὐτῷ ἡ κρίσις, καὶ οἴεται ἀδικηθῆναι, ἐκκαλεῖσθαι, καὶ τῷ Ῥώμης, ᾧ ἡ τοιαύτη ὑπόκειται ἐπαρχία, προσέρχεσθαι· καὶ αὐτὸς ἢ δι' ἑαυτοῦ τηρήσει τὴν ἀπόφασιν, ἢ τοῖς γειτνιῶσιν ἐπισκόποις τῇ ἐπαρχίᾳ τὸ τῆς ἐκκλήτου δικαστήριον ἀναθήσει.

ARIST. « Nullus episcoporum, nisi vocatus, in
« aliam urbem transeat. Quinetiam provincialis
« episcopus, si litem aliquam habeat, ad alienos
« episcopos non provocabit. Si autem Romanus
« sic visus fuerit, etiam alieni aderunt. »

In variis canonibus dicitur, neminem audere e sua parœcia in aliam migrare provinciam, nisi a metropolitano et episcopis qui cum eo sunt, vocetur. Hoc enim et hæc synodus præcipit. Sed et si quis episcopus cum coepiscopo in aliqua re habuerit controversiam, et cum eo in synodo ejus provinciali litem movet, non debet ex alia provincia dijudicatores aliquos episcopos advocare; sed tantummodo provincialium judicium subire. Et si judicium ipsi non arriserit, seque injuria affectum putaverit, appellare, et Romanum cui talis subjicitur provincia adire, et ille vel per seipsum sententiam examinabit, vel episcopis vicinis provinciæ appellantis judicium committet.

ΚΑΝΩΝ Δ'.

« Ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τῶν
« ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ
« φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλ-
« λειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον
« ὑποκαταστῆναι, ἐὰν μὴ ὁ τῆς Ῥώμης ἐπίσκοπος
« ἐπαγνοὺς περὶ τούτου ὅρον ἐξενέγκῃ. »

ΒΑΛΣ. Εἰπόντες οἱ Πατέρες τὴν τῶν ἐπαρχιωτῶν ἀπόφασιν ἐκκλήτῳ ὑποκεῖσθαι, καὶ παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων κατ' ἐπιτροπὴν τοῦ πάπα τηρεῖσθαι, ἄρτι φασί τί ὀφείλει γενέσθαι, ἐὰν καὶ παρὰ τούτων ὁ ἐκκληθεὶς καταδικασθῇ, καὶ πάλιν λέγῃ βαρύνεσθαι. Διορίζονται οὖν μένειν ἐν ἀκεραίῳ τὰ πράγματα, καὶ μὴ ἕτερον ψηφίζεσθαι ἐπίσκοπον εἰς τὴν τοῦ κατακριθέντος ἐκκλησίαν, εἰ μὴ καὶ ἡ δευτέρα ἔκκλητος παρὰ τοῦ πάπα τηρηθῇ. Ὥστε σημειώσαι περὶ τῶν καταδικαζομένων ἐπισκόπων καὶ μετὰ τὴν καθαίρεσιν ζητούντων ἑτέραν κρίσιν ὅτι οὐ χειροτονεῖται ἕτερος, εἰ μὴ τηρηθῇ ἡ ἔκκλητος τοῦ καταδικασθέντος, οὐ μόνον ἡ πρώτη, ἀλλὰ καὶ δευτέρα· δὶς γὰρ ἐκκαλεῖσθαι ἐκκεχώρηται· ὅτι ὁ ιε' κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἰσχύλασε, καὶ ὅτι οὐδεὶς καταδικαζόμενος, καὶ λέγων βαρύνεσθαι, ἐκβιβασμὸν ὑφίσταται, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου τηρηθῶσι· καὶ ὅτι δὶς ἐκκαλεῖσθαι δύναται ὁ κατακρινόμενος. Ἀνάγνωθι τὸν ὁσ' ἀποστολικὸν κανόνα, τῆς ἐν Χαλκηδόνι θ', καὶ τῆς ἐν Καρθαγένῃ ιε', κη', ρκ' καὶ ρκα', καὶ συμβίβασαι πάντας πρὸς τὰ ἐνταῦθα γεγραμμένα. Ὅτι καὶ τοῖς νόμοις δοκεῖ πᾶσαν ὑπόθεσιν χωρὶς τῶν μὴ ἐπιδεχομένων ὑπέρθεσιν ἐκκλήτῳ ὑποκεῖσθαι οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς. Πλὴν μὴ παραδράμῃ σε τὰ τοῦ γ' κανόνος καὶ τὰ τοῦ ε' τῆς παρούσης συνόδου χάριν τοῦ δέχεσθαι ἢ μὴ δέχεσθαι παρὰ τοῦ πάπα τὴν ἔκκλητον. Ἰδικὸν γάρ ἐστι τοῦτο εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, καὶ κρατεῖν ὀφείλει ἔνθα ἐξεφωνήθη.

CANON IV.

« Si quis episcopus judicio episcoporum, qui sunt
« in vicinia, depositus fuerit, et dicat rursus sibi
« responsionis negotium competere: non prius
« in cathedram ejus alius substituatur, quam
« Romanus episcopus causa cognita sententiam
« tulerit. »

BALS. Cum dixissent Patres provincialium sententiam appellationi subjici, et a propinquis episcopis jussu papæ examinari; nunc dicunt, quid fieri debeat, si ab iis etiam is, qui appellavit, condemnatus fuerit, et se rursus gravari dicat. Statuunt ergo, ut res in integro maneant, et in ejus, qui condemnatus est, ecclesiam alius non eligatur, nisi secunda appellatio a papa examinata fuerit. Quare nota de episcopis condemnatis et post depositionem aliud quærentibus judicium; quod alius non ordinatur, nisi condemnati appellatio examinetur, non prima tantum, sed et secunda; bis enim appellare conceditur; quod quintus decimus canon Antiochenæ synodi exolevit; et quod nullus qui condemnatur, et dicit se gravari ejectionem sustinet, donec de appellatione cognitum fuerit, et quod condemnatus bis appellare potest. Vide 74 canonem apostolicum, Chalcedonensis synodi 9, et Carthaginensis 15, 28, 120 et 121, et confer eos omnes cum iis, quæ hic scripta sunt. Nam legibus quoque videtur, omnem causam, exceptis iis quæ dilationem non recipiunt, appellationi subjici, non semel, sed etiam bis. Sed ne tertius canon te fugiat et quintus præsentis synodi, de admittenda vel non admittenda a papa appellatione. Hoc est enim speciale in causis ecclesiasticis, et servari debet ubi editum fuit.

ΖΩΝΑΡ. Ἐὰν αἰτιάματά τινα προτεθῇ κατὰ ἐπισκόπου, καὶ κριθεὶς ὁ αἰτιώμενος ἐπίσκοπος

488 ZONAR. Si aliquorum criminum accusatus fuerit episcopus, ac eorum, qui in vicinia sunt,

vicinorum videlicet, et qui prope degunt, episcoporum judicio depositus, seque is nihilominus causam suam æquis rationibus tueri non affirmet; non ante, inquit, in episcopalem ejus sedem alium substitui liceat, quam de illius depositione papa certior factus, rem ipse definiverit, hoc est, quid teneri velit ostenderit, eamque damnationem auctoritate sua confirmandam aut rescindendam existimarit. Vide primæ et secundæ Constantinopolitanæ synodi canonem decimum sextum.

ARIST. « Episcopo deposito, et affirmante apologiam se allaturum, nisi Romanus definierit, « alius non constituitur. Dispiciet enim depositionem vel per nuntios, vel per litteras. »

Postquam episcopus a provincialibus episcopis deponitur, si appellabit, ut se injuriam passum existimans, in episcopatum ejus alius non eligetur, priusquam Romanus, cui subjacet synodus quæ eum condemnavit, depositionem examinaverit. Licet autem Romano quantum ex isthoc canone colligi potest, vel ad episcopos provinciæ vicinos scribere, et eos episcopi depositionem de qua fit provocatio considerare, aut cum episcopis suos mittere presbyteros, et istiusmodi sententiam examinare.

CANON V.

« Si quis episcopus delatus fuerit, et congregati « ejusdem regionis episcopi eum gradu moverint, et veluti appellans confugerit ad beatissimum Romanum episcopum, et velit ipsum « audire, et justum esse existimaverit ejus rei « examinationem renovari; illis episcopis scribere dignabitur, qui sunt propinqui provinciæ, « ut ipsi diligenter et accurate singula perscrutentur, et ex veritatis persuasione de re sententiam ferant. Si qui autem postulet, suum negotium rursus audiri, et ad suam supplicationem « Romanorum episcopo judicare visum fuerit, a « proprio latere presbyteros mittat; ut sit in « potestate ipsius episcopi (quod recte habere « probaverit et statuerit oportere) eos mitti, « qui cum episcopis sint judicaturi, habentes « auctoritatem ejus a quo missi sunt: et hoc « ponendum est: si autem ad rei cognitionem « episcopi etiam sententiam sufficere putaverit, « faciet quod prudentissimo ejus consilio recte « habere videbitur. Responderunt episcopi: Quæ « dicta sunt, placuerunt. »

BALS. Ex quarto quoque canone ostenditur, esse in potestate episcopi, qui est condemnatus et gravatus, bis appellare. Præsens quoque canon dicit, quod si quis a provincialibus episcopis condemnatus fuerit, et ad papam appellaverit, is vero vicinis mandaverit episcopis, ut de appellatione cognoscant, si hoc justum esse putaverit, et ab eis quoque condemnatus fuerit, et secundo ad papam accesserit, et illi visum est ea, quæ prius judicata

παρὰ τῶν ἐν γειτνίᾳ ἐπισκόπων, τουτέστι τῶν γειτνιώντων, τῶν πλησιαζόντων, καταδικασθῇ καὶ καθαιρεθῇ, λέγῃ δὲ δύνασθαι ἔτι δικαιολογήσασθαι, μὴ πρότερον εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς αὐτοῦ ἕτερος καθιστάσθω, εἰ μὴ ὁ πάππας, μαθὼν τὰ περὶ τῆς καθαιρέσεως τοῦ ἐπισκόπου, ὅρον ἐξενέγκῃ, ἤγουν ἀποφήνηται, καὶ ἢ κυρώσῃ τὴν καταδίκην αὐτοῦ, ἢ ἀνατρέψῃ. Ἀνάγνωθι καὶ τὸν ιε' κανόνα τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου.

ΑΡΙΣΤ. « Ἐπισκόπου καθαιρεθέντος, καὶ διαβε« βαιουμένου φέρειν ἀπολογίαν, εἰ μὴ ὁ Ῥώμης « ὁρίσοι, οὐ καθιδρύεται ἕτερος. Διασκοπήσει γὰρ « τὴν καθαίρεσιν ἢ ἀποστόλοις, ἢ γράμμασιν. »

Μετὰ τὸ καθαιρεθῆναι ἐπίσκοπον παρὰ τῶν ἐπαρχιωτῶν ἐπισκόπων, ἐὰν ἐκκαλέσηται, ὡς οἰόμενος ἀδικεῖσθαι, εἰς τὴν ἐπισκοπὴν αὐτοῦ οὐ ψηφισθήσεται ἕτερος, μέχρις ἂν ὁ Ῥώμης, ᾧ ὑπόκειται ἡ καταδικάσασα αὐτὸν σύνοδος, τὴν καθαίρεσιν ἐξετάσῃ. Ἔξεστι δὲ αὐτῷ τῷ Ῥώμης, ὅσον ἀπὸ τοῦ παρόντος κανόνος, ἢ πρὸς τοὺς γειτνιῶντας τῇ ἐπαρχίᾳ ἐπισκόπους γράφειν, καὶ τηρεῖν αὐτοὺς κατέγκλητον τὴν τοῦ ἐπισκόπου καθαίρεσιν, ἢ πρεσβυτέρους ἰδίους στέλλειν μετὰ τῶν ἐπισκόπων, καὶ τὴν τοιαύτην δοκιμάζειν ἀπόφασιν.

ΚΑΝΩΝ Ε'.

« Εἴ τις ἐπίσκοπος καταγελθείη, καὶ συναθροισθέν« τες οἱ ἐπίσκοποι τῆς ἐπαρχίας τῆς αὐτῆς τοῦ βαθ« μοῦ αὐτὸν ἀποκινήσωσιν, καὶ ὥσπερ ἐκκλεσιάμε« νος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς Ῥώμης « ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ διακοῦσαι, δί« καιόν τε εἶναι νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν « ἐξέτασιν τοῦ πράγματος· γράφειν τούτοις τοῖς « ἐπισκόποις καταξιώσῃ τοῖς ἀγχιστεύουσι τῇ ἐπαρ« χίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ ἀκριβείας « ἕκαστα διερευνήσωσι, καὶ κατὰ τὴν τῆς ἀληθείας « πίστιν ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσιν. « Εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκου« σθῆναι, καὶ τῇ δεήσει τῇ αὐτοῦ τὸν Ῥωμαίων « ἐπίσκοπον κρίνειν δόξειε, ἀπὸ τοῦ ἰδίου πλευ« ροῦ πρεσβυτέρους ἀποστείλοι, ἵνα ᾖ ἐν τῇ ἐξου« σίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν « δοκιμάσῃ, καὶ ὁρίσῃ δεῖν ἀποσταλῆναι τοὺς μετὰ « τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεν« τείαν τούτου, παρ' οὗ ἀπεστάλησαν· καὶ τοῦτο « θετέον. Εἰ δὲ ἐξαρκεῖν νομίσοι πρὸς τὴν τοῦ « πράγματος ἐπίγνωσιν καὶ ἀπόφασιν τοῦ ἐπισκό« που, ποιήσει ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ « βουλῇ καλῶς ἔχειν δόξῃ. Ἀπεκρίναντο οἱ ἐπίσκο« ποι· Τὰ λεγόμενα ἤρεσεν. »

ΒΑΛΣ. Καὶ ἐκ τοῦ δ' κανόνος παρίσταται, ἔχειν ἐπ' ἀδείας τὸν κατακριθέντα ἐπίσκοπον καὶ βαρυνόμενον δὶς ἐκκαλεῖσθαι. Καὶ ὁ παρὼν δὲ κανὼν φησιν ὅτι, ἐὰν καταδικασθῇ τις παρὰ ἐπαρχιωτῶν ἐπισκόπων, καὶ ἐκκαλέσηται πρὸς τὸν πάππαν, κἀκεῖνος ἐπιτρέψῃ τοῖς γειτνιάζουσιν ἐπισκόποις τηρῆσαι τὴν ἔγκλητον, εἰ τοῦτο νομίσει δίκαιον εἶναι, καὶ καταδικασθῇ πάλιν καὶ παρὰ τούτων ὁ αὐτὸς, καὶ προσέλθῃ ἐκ δευτέρου τῷ πάππᾳ, καὶ οὗτος εὐδοκήσῃ δο-

κιμασθῆναι τὰ προκεκριμένα, μὴ ἀναγκαζέσθω ὁ καταδικάσας εἰς Ῥώμην ἀπελθεῖν, ἀλλ' ἀπελθέτωσαν εἰς τὴν ἐπαρχίαν κατὰ κέλευσιν τοῦ πάππα πρεσβύτεροι ἐξ αὐτοῦ πλευροῦ αὐτοῦ, ἤτοι ἐκ τῆς Ἐκκλησίας τούτου, καὶ ᾧκειωμένοι αὐτῷ, ὀφείλοντες ἔχειν τὴν αὐθεντίαν αὐτοῦ, ἤτοι τὴν ἐξουσίαν, ἐφ' ᾧ κρῖναι τὴν ὑπόθεσιν μετὰ τῶν ἐγχωρίων ἐπισκόπων, καὶ διευλυτῶσαι αὐτήν. Εἰ δὲ ὁ ἐπίσκοπος τῆς Ῥώμης οὐ συνίδῃ δίκαιον εἶναι τηρηθῆναι τὰ προκριθέντα (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ ὁ κανὼν τὸ πᾶν ἀνατίθησιν), ποιήσει ὅπερ ἂν δόξῃ αὐτῷ δίκαιον εἶναι. Ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ ἐναντιωθῇ σοι τὸ κεφ. τοῦ α' τίτλου τοῦ θ' βιβλίου τῶν Βασιλικῶν, λέγον μὴ δύνασθαι τὸν ἐκκλητάριον παραπέμπειν πρὸς ἕτερον τὴν τήρησιν τῆς ἐκκλήτου, ἀλλὰ δι' ἑαυτοῦ ταύτης ἀκροᾶσθαι· ἀλλ' εἰπὲ ἰδικὸν εἶναι τὸν παρόντα κανόνα, καὶ οὕτως ἐκφωνηθῆναι διὰ τὸ μῆκος τῆς ὁδοῦ, καὶ ἵνα μὴ σκύλλωνται οἱ ἐπίσκοποι ἐπὶ μακράν, οὕτω καὶ ἀλλοδαπὴν χώραν γινόμενοι διάξιμοι. Τὸ δὲ μετὰ τῶν πρεσβυτέρων τοῦ πάππα δικάζειν τὴν δευτέραν ἔκκλητον τοὺς ἐπαρχιώτας ἐπισκόπους τοὺς καταδικάσαντας τὸν ἐπίσκοπον, μὴ εἴπῃς ἐναντιοῦσθαι τῷ νόμῳ, τῷ λέγοντι· Ὁ δικαστὴς ἅπαξ ἀποφηνάμενος πέπαυται, καὶ οὐ δύναται τηρεῖν αὖθις τὴν οἰκείαν ἀπόφασιν· ἐξεφωνήθη γὰρ καὶ τοῦτο ἰδικώτερον, ὡς ἐμοὶ δοκεῖ. Διὰ γὰρ τοῦτο καὶ εἰς δοκιμασίαν τοῦ πάππα ἀνετέθη τὸ εἶδος τῆς κρίσεως. Ὅσον γὰρ ἀπὸ τοῦ νόμου οἱ ἅπαξ ἀποφηνάμενοι οὐκ ἠδύναντο συνδικάζειν μετὰ τῶν πρεσβυτέρων τοῦ πάππα. Εἰ δὲ εἴπῃς ἑτέρους ἐπισκόπους εἶναι τούτους παρὰ τοὺς προαποφηναμένους, οὐδέν τι εὑρήσεις ἀντίξουν. Ἐπεὶ δὲ ἐν τοῖς προλαβοῦσι κανόσιν εἴπομεν μὴ εἶναι τὰ περὶ τοῦ πάππα ὁρισθέντα ἰδικὰ τούτου καὶ μόνου προνόμια, ὥστε ἔχειν ἐξ ἀνάγκης πάντα ἐπίσκοπον καταδικαζόμενον τῷ θρόνῳ τῆς Ῥώμης προσέρχεσθαι, ἀλλὰ ἐξακούεσθαι καὶ εἰς τὸν Κωνσταντινουπόλεως, τὰ αὐτὰ καὶ πάλιν φαμέν.

ΖΩΝΑΡ. Ἐάν ἐπίσκοπος, φησὶ, καταγγελθείη ἤτοι κατηγορηθῇ ἐπί τισιν ἐγκλήμασι, καὶ συνελθόντες οἱ ἐπίσκοποι τῆς ἐνορίας ἐκείνης ἀποκινήσωσιν, ἀντὶ τοῦ ἐκβάλωσιν, αὐτὸν τοῦ βαθμοῦ, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας, ἐκεῖνος δὲ ἔκκλητον ζητήσας κατὰ τῆς καταδικαζούσης αὐτὸν ἀποφάσεως προσέλθῃ τῷ πάππᾳ, καὶ ὁ πάππας θελήσῃ ἀκοῦσαι αὐτοῦ, δίκαιον νομίσας ἀνανεώσασθαι τὴν ἐξέτασιν τοῦ πράγματος, τουτέστι καὶ πάλιν κριθῆναι τὴν ὑπόθεσιν, γραφέτω τοῖς ἐπισκόποις τοῖς ἀγχιστεύουσι, τοῖς ἀγχοῦ που καὶ πλησίον οὖσι τῆς ἐπαρχίας ἐν ᾗ ὁ καταδικασθεὶς ἐπίσκοπός ἐστιν, ἵνα αὐτοὶ ἐξετάσωσιν ἐπιμελῶς τὴν ὑπόθεσιν, καὶ ψῆφον ἤγουν ἀπόφασιν ἐξενέγκωσιν. Ἐνταῦθα φαίνεται ὁ κανὼν οὗτος δεύτερον ἔκκλητον διδοὺς τῷ καταδικασθέντι ἐπισκόπῳ. Λέγει γάρ· Εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, εἰ γὰρ καὶ παρὰ τῶν ἀγχοῦ τῇ ἐπαρχίᾳ ὄντων ἐπισκόπων κατακριθῇ, φησὶ, καὶ ἀξιοῖ πάλιν ἀκουσθῆναι, καὶ τοῦτο δόξῃ καὶ τῷ Ῥωμαίων ἐπισκόπῳ (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ τὸ πᾶν ἀνατίθησιν), ἵνα στέλλοι πρεσβυτέρους ἀπὸ τοῦ ἰδίου πλευροῦ, τουτέστιν ἐκκρίτους πλησίον αὐτοῦ

A sunt, rursus examinari; ne cogatur is, qui judicio vicerit, Romam venire; sed in provinciam jussu papæ veniant presbyteri ex ejus latere, sive ab ejus ecclesia, et familiaritate illi conjuncti, qui auctoritatem sive potestatem ejus habere debent, ut cum regionis illius episcopis de quæstione judicent, illamque decidant. Si autem Romanus episcopus non esse justum perspexerit, ut rursus examinentur ea quæ prius judicata fuerint (ejus enim judicio canon omnia relinquit), faciet quod sibi justum esse videbitur. Cum hæc canon definiat, ne tibi contrarium esse videatur caput primi tit. lib. IX Basilicorum dicens, non posse judicem 489 appellatum ad alium transmittere cognitionem appellationis, sed eam per se audire debere: sed dic

B præsentem canonem esse specialem, et ita editum esse propter viæ longitudinem, et ne vexentur episcopi in adeo longinquam alienam regionem trahendi. Cum presbyteris autem papæ secundam appellationem judicare provinciales episcopos, qui condemnarunt episcopum, ne dicas esse contrarium legi, quæ dicit, Judex, qui semel pronuntiavit, officio functus est, et non potest rursus propriam sententiam examinare: nam et hoc etiam specialius editum est, ut mihi videtur. Propterea enim et papæ judicio relictum est genus judicii. Quod enim ad leges attinet, non poterant una cum papæ presbyteris judicare ii, qui sententiam prius tulerant. Sin autem dixeris alios esse epi-

C scopos, qui sententiam tulerint, nihil invenies repugnans. Quia autem in prioribus canonibus diximus, non esse quæ de papa constituta sunt specialia ejus et solius privilegia, ut necesse habeat quivis condemnatus episcopus ad sedem Romanam accedere, sed etiam apud sedem Constantinopolitanam exaudiri; eadem quoque rursus dicimus.

ZONAR. Si quis, inquit, episcopus ob aliqua crimina delatus, hoc est, accusatus fuerit, eumque congregati ejus regionis episcopi gradu moverint, hoc est, episcopali dignitate spoliarint, moxque ab iis judicibus, a quibus damnatus fuit, ad papam provocarit, qui illo audito iterum examinari causam, novumque de ea judicium institui, æquum

D existimaverit; litteras ad episcopos ei provinciæ in qua damnatus episcopus degit, proximos mittat, ut ipsi, diligenter explorata controversia, tota de re postea judicent. Videtur porro hic canon hoc loco secundam quoque provocationem damnato episcopo dare. Si quis enim, ait, quamvis a vicinæ provinciæ episcopis condemnatus, iterum audiri velit, nec id Romanus episcopus admittat (id namque totum ad illius arbitrium referri placet), presbyteros a suo latere ipsemet mittat, electos nimirum ex iis, quos habet sibi honore proximos familiaritateque conjunctos, auctoritatis potestatisque suæ vicarios, qui episcopis adhibitis causam illam controversiamque definiant. Si vero iis, quæ in episcopali controversia definienda jam acta ac

judicata sunt, standum esse papa existimaverit; ea de re ipse, quod recte habere, id est quod æquum esse censuerit, statuet. Hujus canonis decreto summi sacerdotes antiquæ Romæ in quacunque causa ab episcopis provocationem ad ipsos dari jactant; ac eumdem in prima Nicæna œcumenica synodo conditum fuisse falso affirmant: quod quidem cum in synodo Carthaginensi propositum fuisset, minime cum veritate consentire probatum est, ut satis, quæ ante canonum expositionem ab ipsa synodo sunt scripta, testantur. Neque igitur hic canon a Nicæna synodo editus fuit, neque ad ipsum (Romanum pontificem) provocationes ab omnibus episcopis, sed ab iis tantummodo qui eidem subjecti erant, dari oportere decernit. Romanæ autem Ecclesiæ ditioni eo tempore omnes fere Occidentis Ecclesiæ subjiciebantur, Macedoniæ nimirum, Thessaliæ, Illyrici, Græciæ, Peloponesi, et ejus quæ Epirus dicitur, quæ postea in Constantinopolitani jura transiere; ut proinde ad illum provocationes ex his locis referri sit consentaneum.

κατὰ τὴν τιμὴν καὶ ὡκειωμένους αὐτῷ, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ, τουτέστι τὴν ἐξουσίαν, κρινοῦντας μετὰ τῶν ἐπισκόπων. Εἰ δὲ τὰ ἤδη γενόμενα καὶ ὁρισθέντα ἀρκεῖν νομίζοι ὁ πάππας πρὸς τὴν τῆς ὑπεθέσεως τοῦ ἐπισκόπου ἀπόφασιν, ποιήσει ὅπερ ἂν δόξῃ αὐτῷ καλῶς ἔχειν, ἤτοι δίκαιον εἶναι. Ἐκ τούτου τοῦ κανόνος οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς αὐχοῦσιν ἐνδεδόσθαι αὐτοῖς τὰς ἐκκλήτους πάσας τῶν ἐπισκόπων πρὸς αὐτοὺς ἀναφέρεσθαι, τῆς πρώτης οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ τοῦτον εἶναι τὸν κανόνα ψευδῶς λέγοντες, ὅπερ ἐν τῇ κατὰ Καρθαγένην ἀθροισθείσῃ συνόδῳ προτεθὲν ἠλέγχθη μὴ ἀληθεύειν, ὡς ἡ πρὸ τῶν κανόνων αὐτῆς συνόδου γραφὴ παριστᾷ. Οὔτε οὖν τῆς ἐν Νικαίᾳ συνόδου ἐστὶν ὁ κανὼν, οὔτε πάσας τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. Ὑπέκειντο δὲ τότε τῇ Ῥωμαίων Ἐκκλησίᾳ αἱ δυτικαὶ πᾶσαι σχεδὸν ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ἰλλυρικοῦ, αἱ τῆς Ἑλλάδος, αἱ τῆς τοῦ Πέλοπος, καὶ αἱ τῆς λεγομένης Ἠπείρου, αἵτινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς ἐκκλήτους αὐτῶν ἀνήκειν.

490 CANON VI.

Si contigerit in una provincia, in qua sunt plurimi episcopi, unum episcopum remanere, et ille per quamdam negligentiam nolit convenire, et episcoporum constitutioni assentiri; congregata autem populi multitudo suadeat et instet ut fiat constitutio episcopi qui ab eis quæritur: oportet illum prius, qui remansit, episcopum admoneri per litteras exarchi provinciæ (dico quidem episcopi metropolitani), quod vult populus sibi pastorem dari; et existimo recte habere hunc quoque admitti, ut adsit. Si autem litteris rogatus non adfuerit, sed neque rescripserit, populi voluntati satisfiat. Oportet autem ex vicina quoque provincia accersi episcopos ad metropolitani episcopi constitutionem: at non licere omnino episcopum in aliquo pago vel parva urbe constituere, cui vel unus presbyter sufficit. Non necesse est enim illic episcopos constitui, ne episcopi nomen et auctoritas vilipendatur. Sed provinciæ, ut prius dixi, episcopi debent in iis urbibus episcopos constituere, ubi etiam prius episcopi fuerunt. Sin autem inveniatur urbs aliqua populis tam frequens, ut ipsa episco-

ΚΑΝΩΝ Ϛ'.

Ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ (77), ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχάνουσι, ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθέντα παρακαλοῖεν γίγνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ζητουμένου ἐπισκόπου· χρὴ πρότερον ἐκεῖνον τὸν ἀπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας (λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπόλεως) ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς δοθῆναι, καὶ ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι, ἵνα παραγένηται. Εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους χρὴ γενέσθαι. Χρὴ δὲ καὶ μεταλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους πρὸς τὴν κατάστασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιστᾷν ἐπίσκοπον ἔν τινι κώμῃ ἢ βραχείᾳ πόλει, ᾗτινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ. Οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίσταθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία. Ἀλλ' οἱ τῆς ἐπαρχίας, ὡς προεῖπον, ἐπίσκοποι ἐν ταύταις ταῖς

Guill. Beveregii notæ.

(77) *Ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ.* Harmenopolus sensum hujus canonis ad hunc modum contrahit: Εἰ δέ τινι ἐπαρχίᾳ εἷς μόνος ἐπίσκοπος κατελείφθη, κἀκεῖνος παρὰ τοῦ μητροπολίτου κληθεὶς εἰς ἐπισκόπου χειροτονίαν μὴ παραγένηται, μήτε μὴν ἀντιγράψῃ, τὸ ἱκανὸν ὁ μητροπολίτης ἐχέτω. Μητροπολίτου δὲ χειροτονουμένου, καὶ οἱ πλησιόχωροι τῆς ἐπαρχίας παρέστωσαν. *Si alicui provinciæ unus duntaxat episcopus reliquus fuerit, atque is a metropolitano arcessitus ad episcopi ordinationem non venerit, neque rescripserit; sufficientiam metropolitanus habeto. Cum autem metropolitanus ordinatur, etiam finitimi provinciæ adsint.* Ubi scholiastes ad vocem ἱκανὸν dicit, τουτέστιν ἱκανὸς ἔστω καὶ μόνος ὁ μητροπολίτης εἰς τὸ ψηφίσασθαι· οὐ γὰρ καὶ χειροτονήσει μεμονωμένος αὐτὸς, εἰ μὴ κατὰ τὸν ἀποστολικὸν κανόνα, *hoc est, etiam metropolitanus solus sufficiens et idoneus sit ad eligendum. Non enim ipse solus ordinabit, nisi secundum Apostolicum canonem.* Harmenop. epit. can. sect. 1, tit. 1.

« πόλεσιν καθιστᾷν ἐπισκόπους ὀφείλουσιν, ἵνα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι. « Εἰ δὲ εὑρίσκοιτο οὕτως πληθύνουσά τις ἐν πολλῷ « ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν τῆς ἐπισκο- « πῆς νομίζεσθαι, λαμβάνέτω. Εἰ πᾶσιν ἀρέσκει « τοῦτο; Ἀπεκρίναντο πάντες· Ἀρέσκει. »

« pata digna judicetur, accipiat. An hoc omnibus « placet? Responderunt omnes, Placet. »

ΒΑΛΣ. Τοῦ ιβ' κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου καὶ ἑτέρων διωρισμένων τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, μὴ παρὰ τοῦ πλήθους τῶν πόλεων, ἀλλὰ παρὰ ἀρχιερέων, ὁ παρὼν κανὼν διορίζεται ὅτι, ἐὰν συμβῇ ἀπὸ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἕνα τινὰ ἀποδημεῖν, καὶ μὴ θέλειν μετὰ τοῦ πλήθους τῶν πολλῶν συνελθεῖν, ἐφ' ᾧ τὴν ψῆφον γενέσθαι τῆς χειροτονούσης ἐκκλησίας, τὰ δὲ πλήθη τῆς πόλεως ζητοῦσιν ἀρχιερέα, ὀφείλει ὁ ἔξαρχος τῆς ἐπαρχίας, ἤγουν ὁ μητροπολίτης, μεταπαλεῖσθαι καὶ τὸν ἀπόντα ἐπίσκοπον διὰ γραμμάτων, ὡς ἂν γίνηται ἡ κατάστασις τοῦ ἐπισκόπου παρὰ πάντων τῶν ἐπαρχιωτῶν κατὰ τὸν δ' κανόνα τῆς α' συνόδου. Εἰ δὲ οὗτος οὐ θελήσει παρουσιάσαι, οὐδὲ συναινεῖ δι' ἀντιγραφῆς, γίνεσθαι τὴν ψῆφον κατὰ τὸ δόξαν τῷ πλήθει τῶν ἐπαρχιωτῶν ἐπισκόπων. Οὐδὲ γὰρ προβαλεῖται ὁ ἀποδημῶν ἄγνοιαν ἢ καταφρόνησιν, ὡς μεταπληθεὶς παρὰ τῆς συνόδου καὶ μὴ παρουσιάσας. Ταῦτα τοῦ κανόνος διοριζομένου περὶ ψήφου χειροτονούσης ἐπισκοπῆς, ἐπεὶ πρὸ τοῦ κη' κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου οἱ μητροπολῖται παρὰ ἐπισκόπων ἐγίνοντο, καὶ οὐχὶ παρὰ τοῦ κατὰ καιροὺς πατριάρχου Κωνσταντινουπόλεως, καθὼς γίνεται σήμερον, φησὶν ὁ κανὼν ὅτι, ἐὰν μέλλῃ προβῆναι ψῆφος μητροπολίτου, οὐ γενήσεται παρὰ μόνων τῶν ἐπαρχιωτῶν ἐπισκόπων· ἀλλὰ χρὴ μεταπαλεῖσθαι καὶ ἑτέρους ἐπισκόπους πλησιοχώρους, πάντως διὰ τὸ μεγαλεῖον τοῦ μητροπολίτου, ὃν καὶ ἔξαρχον ἐπαρχίας ὀνομάζει. Οὕτω γὰρ πάντη ἀνύποπτος ἔσται ἡ τούτου ψῆφος, ὡς παρὰ πλειόνων ἀρχιερέων γενομένη. Ὅτι δὲ ψηφιζομένων ἐπισκόπων ταπεινῶν εἰς τινας παροικίας εὐτελεῖς, ἐν αἷς πολλάκις οὐδὲ ἦσαν ἐπίσκοποι, καὶ παρ' ᾗ βαθιζόντων, καὶ ἄλλως ὄντων καταφρονημένων, τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα περιυβρίζετο· ὥρισαν οἱ Πατέρες μὴ καθίστασθαι ἐπίσκοπον ἐν κώμῃ ἢ ἐν χωρίῳ ἢ ἐν πόλει βραχείᾳ, ἐν ᾗ καὶ εἷς ἱερεὺς ἐπαρκεῖ, ἵνα μὴ ἐξευτελίζηται ἡ αὐθεντία τῆς ἀρχιερωσύνης· ἀλλ' εἰς ἐκείνας τὰς πόλεις ἐπισκόπους καθίστασθαι τὰς πολυανθρώπους, τὰς ἀπὸ παλαιοῦ ἐχούσας ἀρχιερεῖς. Ὡς δέ τινος εἰπόντος δίκαιον εἶναι τὸ μὴ ἔχειν τὴν πολυάνθρωπον πόλιν ἀρχιερέα, διὰ τὸ μὴ ἐκ παλαιοῦ καθίστασθαι ἐπίσκοπον ἐν αὐτῇ, εἶπον οἱ Πατέρες ἐν τοιαύτῃ πόλει καὶ ἐκ νέου καθίστασθαι ἐπίσκοπον. Καὶ ταῦτα μὲν οὕτω. Σὺ δὲ σημείωσαι καὶ ἀπὸ παρόντος τοῦ κανόνος, ὅτι ἄκυρός ἐστιν ἡ ψῆφος τοῦ ἐπισκόπου ἡ γινομένη χωρὶς παρουσίας ἢ συναινέσεως πάντων τῶν ἐπαρχιωτῶν. Καὶ ἵνα γὰρ ἐκ τούτων ἀπόδημον ὄντα μεταπαλεῖσθαι ὁ κανὼν διωρίσατο. Καὶ οὐ δύναταί τις λέγειν ὡς, ἐπεὶ ἡ τῶν πλειόνων ψῆφος ἀρκεῖ, ἡ τοῦ ἑνὸς ἀπουσία οὐ προκριματίσει, κἂν καὶ ἐναντία ἡ γνώμη τούτου ἐστί. Διὰ γὰρ τοῦτο, ὡς δοκεῖ, μεταπαλοῦνται πάντες οἱ ἀνδημοῦντες κατὰ

BALS. Cum canon 12 Laodicenæ synodi et alii decernant fieri episcoporum electiones, non a multitudine civitatum, sed ab antistitibus, præsens canon statuit, quod si contigerit ex episcopis provinciæ aliquem unum abesse, et nolle cum populi multitudine convenire, ut fiat electio vacantis ecclesiæ, civitatis autem populus quærat antistitem: debet exarchus provinciæ, sive metropolitanus, etiam absentium episcoporum litteris accersere, ut fiat episcopi constitutio ab omnibus provincialibus, ut vult canon 4 primæ synodi. Si is autem nolit adesse, nec per rescriptum assentiatur, fiat electio, ut populo visum fuerit, provincialium episcoporum: neque enim, qui abest, ignorantiam allegabit vel sui contemptum, quod scilicet a synodo vocatus non adfuerit. Cum hæc canon statuisset de electione vacantis ecclesiæ, quia ante vicesimum octavum canonem Chalcedonensis synodi metropolitani fiebant ab episcopis, et non a Constantinopolitano pro tempore patriarcha, ut nunc fit; dicit canon, quod si sit processura electio metropolitani, non fiat a solis provincialibus episcopis; sed etiam omnino accersi oportet episcopos vicinarum regionum, propter metropolitani magnitudinem, quem etiam exarchum provinciæ nominat. Sic enim ab omni mala suspicione libera erit electio, utique a pluribus antistitibus facta sit. Quia autem vilibus electis episcopis in parvis vilibusque parœciis, in quibus sæpe ne erant quidem episcopi, qui et pedibus incedebant, et erant alioqui contempti, episcopalis dignitas contumelia afficiebatur; statuerunt Patres, ne constituatur episcopus in vico, sive in pago, vel in exiguo oppidulo, in quo vel unus sacerdos sufficit; ne episcopalis dignitas vilipendatur: sed in illis urbibus constituantur episcopi, quæ hominibus abundant, et quæ jam olim habent episcopos. Tanquam autem dixisset quispiam, iniquum esse urbem populo frequentem non habere antistitem, eo quod jam olim episcopus in ea non constituatur; adjecerunt Patres, in hujusmodi civitate etiam de novo constitui posse episcopum. 491 Et hæc quidem sic. Tu autem nota etiam ex hoc præsenti canone, quod irrita est electio episcopi, quæ fit sine præsentia vel consensu omnium provincialium. Nam vel unum ex iis, qui aberat, accersi jubet canon. Et non potest quispiam dicere quod, quoniam plurium valent suffragia, unius absentia non affert præjudicium, etiamsi contraria est ejus sententia. Propterea enim, ut est consentaneum, accersuntur omnes qui in regione adsunt in hanc urbium reginam antistites, quando debet alicujus ecclesiæ fieri electio, et eam unius absentia impedit. Cum autem

canon dicat, constitui oportere episcopos ubi prius fuerunt episcopi; dicebant quidam, non debere hoc omnino fieri in vilibus pagis aut urbibus, eo quod in iis antistites antea eligerentur, quando populo frequentes erant; sed causam promotionis antistitis esse regionis populi frequentiam, non autem antiquum privilegium: et adjecerunt, non oportere episcopum eligi in urbe, quæ a magna populi frequentia ad nihil redacta est ex gentium incursione, vel aliqua alia rerum perturbatione; sed in iis quæ populo abundant, etiamsi antistites antea non habuerunt. A Deo autem coronatus sanctusque imperator noster sæpe rogatus, an oporteat Orientales Ecclesias et a Sarracenis detentas episcopos electione sortiri; eis quidem eligi episcopos annuit, et solemnia iis qui eligere debent ad victus sufficientiam concessit per communem jussionem, quousque ecclesiis suis absunt; ut jus, quod in eis est ecclesiis, imperio quoque perpetuo servetur, utpote cum non desperet fore ut Christiani ad eas restituantur. Episcopos autem in pagis vilibus quomodocunque eligi non permisit: sed potius iis succensuit, qui ita eligunt; nempe quod episcopalis dignitas ex ea re contumelia afficiatur. Cum autem ille sanctissimus Thebarum metropolitanus Calactene episcopos de novo elegisset, agitatum est in synodo tempore sanctissimi illius patriarchæ domini Michaelis summi philosophi, utrum metropolitanus debebat hoc novum opus facere cum synodali dijudicatione, et omnes dixerunt, quod debebat id, quod a Thebarum episcopo innovatum est, a magna synodo mandari; ut vult canon apostolicus, qui statuit, nihil magni momenti debere ab episcopo fieri, sine sententia synodali.

ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν ἀρχιερεῖς, ὅταν ψῆφος ὀφείλῃ γενέσθαι ἐκκλησίας εἰκοσήτινος, καὶ ἐμποδίζῃ ταύτην ἡ ἀποδημία τοῦ ἑνός. Τοῦ δὲ κανόνος λέγοντος καθίστασθαι ἐπισκόπους ἔνθα καὶ πρότερον ἐτύγχανον ἐπίσκοποι, εἶπόν τινες μὴ ὀφείλειν τοῦτο γίνεσθαι εἰς εὐτελεῖς πάντη κώμας ἢ πόλεις, διὰ τὸ προψηφίζεσθαι εἰς ταύτας ἀρχιερεῖς, ὅταν ἦσαν ὑπὸ λαοῦ πληθυνόμεναι, ἀλλὰ τὴν αἰτίαν τῆς προβλήσεως τοῦ ἀρχιερέως εἶναι τὸ πολυάνθρωπον τῆς χώρας, οὐχὶ τὸ παλαιὸν προνόμιον, καὶ προσέθεντο μὴ χρῆναι ἐπίσκοπον ψηφίζεσθαι εἰς πόλιν καταντήσασαν ἀπὸ πολυανθρώπου εἰς τὸ μηδὲν σχεδὸν ἐκ τῆς τῶν ἐθνῶν ἐπιδρομῆς ἢ ἄλλης τινὸς τῶν πραγμάτων φορᾶς, ἀλλ' εἰς τὰς πολυανθρώπους, κἂν οὐχ εἶχον πρώην ἀρχιερεῖς. Ὁ μέντοι θεοστεφὴς κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς, πολλάκις ὑπομνησθεὶς εἰ χρὴ τὰς ἐν τῇ ἀνατολῇ οὔσας ἐκκλησίας καὶ παρὰ Ἀγαρηνῶν κατεχομένας ψηφισθῆναι, ψηφίζεσθαι μὲν ταύτας ηὐδόκησε, καὶ σολέμνια τοῖς ψηφίζεσθαι ὀφείλουσι διὰ τὰ ζωαρκῆ ἐπεφιλοτιμήσατο διὰ κοινῆς προστάξεως, ὅταν τέως ἀποδημῶσιν εἰς τὰς ἐκκλησίας αὐτῶν, ἵνα τὸ ἐπὶ ταύταις πρόσον δίκαιον ταῖς ἐκκλησίαις καὶ τῇ βασιλείᾳ αἰωνιζόντως περιφυλάττηται, ὡς μηδὲ ἀπαγορεῦσαι τὴν εἰς ταύτας ἀποκατάστασιν τῶν Χριστιανῶν. Ἐπισκόπους δὲ ὁπωσδήποτε εἰς κώμας εὐτελεῖς ψηφισθῆναι οὐ κατένευσεν· ἀλλὰ μᾶλλον καὶ ὠργίσθη κατὰ τῶν οὕτω ψηφιζομένων, ὡς ἐντεῦθεν τοῦ ἀρχιερατικοῦ ἀξιώματος ὑβριζομένου. Τοῦ δὲ ἁγιωτάτου ἐκείνου μητροπολίτου Θηβῶν τοῦ Καλοκτένη ψηφισαμένου ἐκ νέου ἐπισκόπους, λόγος ἐγίνετο παρὰ τῇ συνόδῳ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, εἰ ὤφειλε τὸ καινισθὲν τοῦτο ἔργον ποιῆσαι ὁ μητροπολίτης μετὰ συνοδικῆς ἐπικρίσεως, καὶ πάντες εἶπον ὡς ὤφειλε τὸ παρὰ τοῦ Θηβῶν καινισθὲν παρὰ τῆς μεγάλης συνόδου ἐπιτραπῆναι μετὰ διάγνωσιν, κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν διορίζόμενον μηδέν τι περιττὸν γίνεσθαι, παρὰ τοῦ ἐπισκόπου ἄνευ γνώμης συνοδικῆς.

ZONAR. Multorum canonum decreto ad episcopos cujusque provinciæ episcoporum renuntiatio spectat. Ergo si in qua provincia multi episcopi esse soleant, in ea nonnullis morte consumptis, aut quibusdam forte depositione multatis, vel aliis præterea extra provinciæ fines necessaria de causa profectis, unum relictum esse contingat, sibique episcopum urbes illæ dari postulent; episcopum eum, qui mansit a metropolitano provinciæ, quem exarchum quoque nominat, per litteras evocari, deque multitudinis pastorem sibi efflagitantis voluntate certiorem fieri, ac eumdem in consilium adhiberi oportere canon affirmat. Qui si de tota re, ut dictum est, admonitus, neque adfuerit, neque rescripserit; populi voluntati morem gerendum, ac illis episcopum a metropolitano provinciæ concedi placet. Verum si de metropolitano provinciæ constituendo agatur, vicinioris quoque provinciæ episcopos advocandos esse decernit. Quod quidem eatenus valuisse putandum est, quamdiu metropolitanos ipsæ sibi civitates eligebant: nam hoc quidem tempore alia

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους παρὰ τῶν τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπων καθίστασθαι διάφοροι κανόνες ὁρίζουσιν. Ἐὰν οὖν διαφόρων ἐπισκόπων ὄντων ἐν ἐπαρχίᾳ, συμβῇ ἕνα περιλειφθῆναι ἐπίσκοπον τῶν ἄλλων θανόντων, ἢ τινων ἴσως καθαιρεθέντων, ἢ καὶ ἑτέρων ἀναγκαίως ἀποδημούντων, καὶ ζητῶσιν οἱ τῶν πόλεων· ἐκείνων χειροτονηθῆναι αὐτοῖς ἐπίσκοπον· χρὴ, φησὶν ὁ κανὼν, τὸν ἐναπομείναντα ἐπίσκοπον μετακαλεῖσθαι διὰ γραμμάτων τοῦ μητροπολίτου τῆς ἐπαρχίας, ὃν καὶ ἔξαρχον ὀνομάζει, καὶ ὑπομιμνήσκεσθαι ὅτι τὰ πλήθη ζητεῖ καταστῆναι αὐτοῖς ποιμένα, καὶ ἐκδέχεσθαι τὴν παρουσίαν αὐτοῦ. Εἰ δὲ ὑπομνησθεὶς, καθὼς εἴρηται, οὔτε παραγένηται, οὔτε ἀντιγράψῃ, χρὴ τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους γίνεσθαι, τουτέστι, δίδοσθαι αὐτοῖς ἐπίσκοπον παρὰ τοῦ μητροπολίτου τῆς ἐπαρχίας. Εἰ δὲ ὁ μητροπολίτης τῆς ἐπαρχίας μέλλει καταστηθῆναι, χρὴ, φησὶ, καὶ τοὺς τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι. Τοῦτο δὲ ἐγίνετο, ὅτε καθ' ἑαυτὰς αἱ πόλεις τοὺς ἐπισκόπους τῶν μητροπόλεων ἐψηφίζοντο. Νῦν δὲ τοῦτο οὐ

γίνεται, ἀλλ' οἷς ἡ χειροτονία τῶν ἐπισκόπων ἀπονενέμηται, ἐκεῖνοι διὰ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ψηφίζονται τοὺς ἀρχιερεῖς. Ἑξῆς δὲ ὁ κανὼν διατάττεται μὴ γίνεσθαι ἐπίσκοπον ἐν κώμῃ τινὶ ἢ πόλει μικρᾷ, ᾗ καὶ εἷς πρεσβύτερος ἀρκεῖ· ὃ καὶ ὁ ϛ' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διωρίσατο. Προστίθησι δὲ ὁ κανὼν οὗτος ὅτι οὐκ ἀναγκαῖόν ἐστιν ἐπίσκοπον ἐκεῖ καθίστασθαι, ὡς ἂν μὴ κατευτελίζηται τὸ ὄνομα καὶ ἡ αὐθεντία τοῦ ἐπισκόπου· ἀλλ' οἱ τῆς ἐπαρχίας πρῶτοι ἐπίσκοποι, οἱ μητροπολῖται δηλαδή, ἐκεῖνοι ὁρίζουσι ποιεῖν ἐπισκόπους, ὅπου καὶ πρότερον, ἦγουν ἐκ παλαιοῦ, ἦσαν ἐπίσκοποι. Εἰ δέ τις, φησί, πόλις πρότερον μὴ ἔχουσα πλῆθος πολὺ πολιτῶν, εὑρίσκοιτο μετὰ ταῦτα γενομένη πολυπληθής, ὡς ἀξίαν αὐτὴν νομισθῆναι ἐπισκοπῆς διὰ τὸ πλῆθος τοῦ λαοῦ, λαμβανέτω ἐπίσκοπον, κἂν μὴ ἐκ παλαιοῦ εἶχεν.

ratio est, et ab iis, quibus episcopos creandi jus est, summi quoque sacerdotes per episcopos provinciæ deliguntur. In iis porro quæ sequuntur, constitui episcopum in oppido quopiam, exilive urbe, cui vel unus presbyter sufficturus sit, canon vetat. 492 Quod quidem Laodiceæ quoque synodi septimo et quinquagesimo canone definitum fuit. Addit vero hic canon præterea, non esse necesse in iis locis episcopum constitui, ne scilicet episcopi nomen ac auctoritas facile vilescat : verum a primis provinciæ episcopis, videlicet a metropolitanis, in iis tantum locis, ubi etiam prius, hoc est, ab antiquo tempore fuerant, episcopi collocari debent. Si tamen urbem, inquit, non ita celebrem, nec incolarum numero frequentari contingat, ut jam amplificata frequentia episcopo digna sedes jud erur; in ea quoque episcopum, quamvis antea nullum habuerit, constitui licere decernit.

ΑΡΙΣΤ. « Εἰ, τῶν λαῶν ἐπικομιζόντων ἐπίσκοπον, « οἱ ἐπίσκοποι παρουσιάσουσιν, εἷς δέ τις λείπῃ, « προσκαλείσθω κἀκεῖνος. Εἰ δὲ προσκαλούμενος, « οὔτε γράφειν, οὔτε ἐνδημεῖν βούλοιτο, ὁ ζητούμενος χειροτονείσθω. »

ARIST. « Si populo episcopum appetente episcopi « præsentes fuerint, unus vero abfuerit, is etiam « vocetur. Si vocatus autem neque scribere, ne- « que accedere velit, is qui petitur ordinetur. »

Τοῦτο νῦν οὐκ ἐνεργεῖται, τὸ παρὰ τῶν κληρικῶν καὶ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, ἀλλὰ παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων αὐτοὶ προβαίνουσιν· ὡς ὁ δωδέκατος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διατάττεται, καὶ ὁ ἐννεακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἄλλοι πολλοί. Δεῖ γοῦν ἢ πάντας παρεῖναι τοὺς ἐπισκόπους ἐπὶ τῇ ψήφῳ, ἢ καὶ τοὺς ἀπόντας διὰ γραμμάτων συμφήφους γίνεσθαι τοῖς παροῦσι.

Istud hodie non est in usu, ut a clericis et civitatis primoribus episcoporum electiones fierent, sed istæ nunc a metropolitanis et episcopis procedunt. Ut duodecimus synodi Laodicenæ canon statuit, et undevicesimus Antiochenus, et alii multi. Ad sententiam itaque ferendam vel omnes episcopos præsentes esse, vel et absentes per litteras præsentibus consentire oportet.

ΑΡΙΣΤ. « Μητροπολίτου καθισταμένου, καὶ οἱ πλη- « σιόχωροι μετάπεμπτοι ἔσωσαν. »

ARIST. « Cum metropolitanus constituitur, etiam « vicini episcopi sunt accersendi. »

Μητροπολίτου μέλλοντος ψηφισθῆναι, οὐ πάντες τῆς ἁπανταχῆ διοικήσεως οἱ μητροπολῖται εἰς τὴν ψῆφον αὐτοῦ κληθήσονται, ἀλλ' οἱ πλησιόχωροι· ἐκεῖνο γὰρ καὶ ἀδύνατον γενέσθαι, εἴπερ, κατὰ τὸν εἰκοστὸν πέμπτον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ἐντὸς τριῶν μηνῶν αἱ χειροτονίαι ὀφείλουσι γίνεσθαι τῶν χηρευουσῶν ἐπισκοπῶν.

Cum metropolitanus est eligendus, non omnes ubicunque sint, dioecesis metropolitæ ad electionem ejus vocabuntur, sed vicini. Illud enim et impossibile est fieri, si secundum vicesimum quintum synodi Chalcedonensis canonem vacantium episcopatuum ordinationes intra tres menses fieri debent.

ΑΡΙΣΤ. « Εἰς ὀλίγην πόλιν καὶ κώμην, ᾗ καὶ εἷς αὐτάρκης πρεσβύτερος, ἐπίσκοπος οὐ καθίσταται· εἰ δὲ πολυανθρωποτάτη γένοιτο πόλις, οὐκ ἀνάξιον. »

ARIST. « In parva urbe et vico, cui etiam unus sufficiat presbyter, episcopus non constituitur. Si « populo frequentissima sit urbs, non indignum. »

Οὐκ ἀναγκαῖον, βραχείας οὔσης τῆς πόλεως ἢ τῆς κώμης, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ, ἐπίσκοπον γίνεσθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα. Εἰ δὲ καὶ βραχεῖα πόλις πολυανθρωποτάτη γένοιτο, οὐκ ἀπεικὸς καὶ ἐν αὐτῇ χειροτονηθῆναι ἐπίσκοπον.

Non necesse est, si exigua sit civitas aut pagus, ubi et unus presbyter sufficiat, episcopum fieri, ne episcopi nomen parvi fieret. Si exigua autem civitas quamplurimis repleta sit hominibus, non incongruum est et in ea ordinari episcopum.

ΚΑΝΩΝ Ζ'.

« Ὅσιος ἐπίσκοπος εἶπεν· Ἡ ἀκαιρία ἡμῶν, καὶ « ἡ πολλὴ συνέχεια, καὶ αἱ δόκιμοι ἀξιώσεις « πεποιήκασιν ἡμᾶς τοσαύτην μὴ ἔχειν χάριν « καὶ παῤῥησίαν, ὅσην ὀφείλομεν κεκτῆσθαι. « Πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς « τὸ στρατόπεδον παραγενόμενοι, καὶ μάλιστα « οἱ Ἀφροι· οἵτινες, καθὼς ἐγνωμεν παρὰ τοῦ « μακαρίτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου

CANON VII.

« Osius episcopus dixit : Importunitas nostra, et « multa assiduitas, et injustæ postulationes effe- « cerunt, ut nos non habemus tantam gratiam et « libertatem dicendi, quantam habere debemus. « Multi enim episcopi non intermittunt ad castra « accedere, et maxime Afri ; qui, quemadmo- « dum cognovimus a dilecto fratre nostro et co « episcopo Grato, salutaria consilia non admi-

« tunt, sed ita contemnunt, ut unus homo ad A
« castra plurimas et diversas, et quæ non pos-
« sunt juvare ecclesias, supplicationes afferat, et
« non, ut debet fieri et convenit, pauperibus et
« laicis vel vidnis opem et auxilium afferat, sed
« sæculares dignitates et functiones aliquibus ac-
« quirat. Hæc ergo perversitas detrimentum non
« sine offendiculo et condemnatione nobis conci-
« liat. Convenientius autem esse existimavi, ut
« episcopus illi suum auxilium præbeat, cui ab
« aliquo vis affertur, vel si quæ vidua injuria
« afficiatur, vel si quis rursus orphanus privetur
« iis, quæ ad ipsum pertinent: siquidem hæc
« nomina justam habent causam et supplicatio-
« nem. Si itaque, dilecti fratres, hoc omnibus
« videtur, statuite, nullum oportere episcopum B
« ad castra accedere, præter eos, quos plus im-
« perator noster suis litteris **493** accersit. Sed
« quia sæpe contingit aliquos, qui egent miseri-
« cordia, ad ecclesiam confugere, qui propter sua
« peccata exsilio vel in insulam deportatione
« damnati sunt, vel quamlibet aliam sententiam
« acceperec; iis non esse negandum auxilium sed
« sine cunctatione et dubitatione venium iis esse
« petendam. Si utique hoc quoque placet, omnes
« una quoque vestrum suffragium ferte. Respon-
« derunt omnes: Decernatur et hoc. »

« Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παρα-
« δέχονται, ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα
« ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείστας καὶ
« διαφόρους, καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς
« ἐκκλησίας, δεήσεις διακομίζειν, καὶ μὴ, ὡς
« ὀφείλει γίνεσθαι καὶ ὡς προσῆκόν ἐστι, τοῖς
« πένησι καὶ τοῖς λαϊκοῖς ἢ ταῖς χήραις συναί-
« ρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα
« καὶ πράξεις περινοεῖν τισιν. Αὕτη τοίνυν ἡ
« σκαιότης τὸν θραυσμὸν οὐκ ἄνευ σκανδάλου
« τινὸς ἡμῖν καὶ καταγνώσεως προξενεῖ. Πρε-
« πωδέστερον δὲ εἶναι ἐνόμισα ἐπίσκοπον τὴν
« ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅστις ἂν
« ὑπό τινος βιάζηται, ἢ εἴ τις τῶν χηρῶν ἀδι-
« κοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀποστεροῖτο τῶν
« αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ
« ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν. Εἰ τοίνυν,
« ἀγαπητοὶ ἀδελφοὶ, πᾶσι τοῦτο δοκεῖ, ἐπικρί-
« νατε μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατό-
« πεδον παραγίνεσθαι παρεκτὸς τούτων, οὓς ἂν
« ὁ εὐλαβέστατος βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ
« γράμμασιν μετακαλοῖτο. Ἀλλ' ἐπειδὴ πολλάκις
« συμβαίνει τινὰς οἴκτου δεομένους καταφυγεῖν
« ἐπὶ τὴν Ἐκκλησίαν διὰ τὰ ἑαυτῶν ἁμαρτή-
« ματα εἰς περιορισμὸν ἢ νῆσον καταδικασθέν-
« τας, ἢ δ' αὖ πάλιν οἱᾳδηποτοῦν ἀποφάσει ἐκδε-
« δομένους, τοῖς τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν
« βοήθειαν, ἀλλὰ χωρὶς μελλησμοῦ καὶ ἄνευ τοῦ
« διστάσαι τούτοις αἰτεῖσθαι συγχώρησιν. Εἰ τοί-
C « νυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε
« ἅπαντες. Ἀπεκρίναντο ἅπαντες· Ὁριζέσθω καὶ
« τοῦτο. »

BALS. In canone Antiochenæ synodi prohibiti sunt episcopi et omnes canonici sine permissione synodali ad imperatorem proficisci. Ei ergo consequenter præsens quoque canon decernit, nullum episcopum in castra, seu ubi imperator agit, accedere sine evocatione imperatoris, nisi quis hoc sæpe facere voluerit ad deducendos pauperes vel condemnatos qui ad ecclesiam confugere: quod etiam a proxime dicendo canone octavo sublatum est, qui statuit ejusmodi quoque causas non ab episcopis agendas, sed a diaconis seu ministris aut servis. Et hæc est quidem canonis sententia. Causæ autem, propter quas constitutus est, claræ sunt, nec interpretatione indigent. Iis ita habentibus, interrogaverit quispiam, An permittitur episcopo cum mandato synodali ad imperatorem proficisci, secundum canonem 11 antiocheræ synodi? *Solutio.* Præsens canon dictum canonem non tollit, sed potius illi consentit. Et ideo, ut mihi quoque videtur, cum synodali deliberatione episcopus sine ullo præjudicio ad regem proficiscetur; multo autem magis clericus. Nota autem ex præsenti canone, quod etiamsi sit episcopo prohibitum aliisque sacratis apud imperatorem diutius moram agere, decreto tamen imperiali hoc sine periculo facient, et quod eis imperatur exercebunt: ut neque imperatori quidquam possit imputari, si eos

D

ΒΑΛΣ. Ἐν τῷ ια' κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνέδου ἐκωλύθησαν οἱ ἐπίσκοποι καὶ πάντες οἱ κανονικοὶ ἄνευ ἐκχωρήσεως συνοδικῆς πρὸς βασιλέα ἀπέρχεσθαι. Ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον, ἤγουν ἔνθα ὁ βασιλεὺς διάγει, παραγίνεσθαι χωρὶς μετακλήσεως βασιλικῆς, εἰ μὴ πολλάκις τοῦτο θελήσει τις ποιῆσαι διὰ χειραγωγίαν πτωχῶν τινων ἢ κατακριτῶν προσελθόντων τῇ ἐκκλησίᾳ. Ὅπερ καὶ ἀνῃρέθη ὑπὸ τοῦ ῥηθησομένου προσεχῶς ἡ κανόνος, διοριζομένου καὶ τὰς τοιαύτας ὑποθέσεις μὴ παρὰ ἐπισκόπου ὑπομιμνήσκεσθαι, ἀλλὰ παρὰ διακόνων, ἤγουν διακονητῶν ἤτοι δουλευτῶν. Καὶ ἡ μὲν ἔννοια τοῦ κανόνος αὕτη· αἱ αἰτίαι δὲ δι' ἃς ἐθεσπίσθη σαφεῖς εἰσι, καὶ οὐ δέονται ἑρμηνείας. Τούτων οὕτως ἐχόντων, ἠρώτησέ τις, Εἰ ἐφεῖται ἐπισκόπῳ μετὰ συνοδικῆς ἐπιτροπῆς πρὸς βασιλέα ἀπέρχεσθαι, κατὰ τὸν ια' κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου; *Λύσις.* Ὁ παρὼν κανὼν τὸν ῥηθέντα κανόνα οὐκ ἀναιρεῖ, ἀλλ' ἐκείνῳ μᾶλλον συμφωνεῖ. Διὸ καὶ, ὡς ἐμοὶ δοκεῖ, μετὰ συνοδικῆς σκέψεως ἀποκριματίστως ἐπίσκοπος εἰς βασιλέα ἀπελεύσεται, πολλῷ δὲ πλέον κληρικός. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι, κἂν κεκωλυμένον ἐστὶ πρὸς βασιλέα σχολάζειν ἐπισκόπους καὶ ἑτέρους ἱερωμένους, ἀλλὰ κατὰ βασιλικὸν ὁρισμὸν ἀκινδύνως τοῦτο ποιήσουσι, καὶ τὸ προσταττόμενον αὐτοῖς ἐνεργήσουσιν, ὡς μήτε τοῦ

βασιλέως ἀναχρινομένου περὶ τίνος αὐτοὺς μεταχαλεῖται, μήτε τούτων εὐθυνομένων ὡς ὑπεικόντων προστάττοντι βασιλεῖ. Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ια', ιβ', καὶ τῆς παρούσης συνόδου κανόνα η', θ' καὶ κα'.

ZONAR. Episcopi quidam, ac Afri præsertim, hoc est, qui in Africa degerent, privatis de rebus postulata et preces, quæ parum etiam forte æquitatis haberent, ad imperatorem assidue deferebant. Cui quidem malo synodus hæc mederi, cupiens: Nostra, inquit, importunitas, hoc est, nostra consuetudo ad imperatorem assidue tempore minime opportuno adeundi, injustæque flagitationes, ne tantum gratiæ habeamus, hoc est, ut minus grati simus, nec ita veneratione digni existimemur, effecerunt, neque parum de ea, quam obtinere debuimus, loquendi libertate detraxerunt. Multi enim episcopi, ac Afri maxime, ad castra commeandi finem nullum faciunt. Castrorum vero meminit, quod militiæ ut plurimum imperatores vacarent. Qui quidem episcopi salutaria consilia nequaquam audiunt, verum synodicas admonitiones eousque contemnunt, ut unus homo (episcopus nempe) multas et diversas postulationes in castra deferat, quæ neque Ecclesiæ utilitatis aliquid ferre possint, neque tales sint, quales episcopalis officii ratio, ipseque rerum natura præscribit. Quid vero id est? Ut neque scilicet pauperibus et viduis aut laicis patrocinentur, operamve iis sublevandis aut juvandis impendant, sed profanas dignitates ac munerum ejusmodi functiones cogitent, hoc est, animo versent, deque iis tantummodo obtinendis laborent. Hæc igitur nobis, inquit, perversitas, improbitas, nequitia detrimentum conciliat, hoc est, ita nostras vires frangit, ut etiam libere loquendi facultatem, ob ea quæ agimus offensis hominum animis, nosque sua existimatione condemnantibus nobis eripiat. Magis vero dicere, inquit existimo, ut eis, qui potentia cujuspiam opprimuntur, ac viduis, quæ per injuriam vexantur, tum pupillis, quos nonnulli fortunis evertunt, episcopus opem ferat: atque his quoque pupillis et viduis, ac iis, qui potentiorum 494 dominatu premuntur, ita demum præsto sit, si nihil ab illis inquum postulari consueverit. Nam si aliquid alienum ab æquitate illi quoque flagitent, ne iis quidem episcopos in ea re patrocinari fas est. Si ergo omnibus idem videtur, inquit Osius, hoc approbato, id est, hanc sententiam vestro decreto confirmate, ne quis ad exercitum, hoc est, ad imperatorem, præter eos qui ejusdem imperatoris litteris evocati fuerint, episcopus transeat. Quoniam vero multi misericordiam implorantes ad ecclesiam confugiunt, ob crimina exilio vel in insulam deportationi, vel alteri cuipiam supplicio addicti; eos, inquit, ab episcopis repelli, opemve flagitantibus denegari non oportet; verum absque procrastinatione, hoc est, cunctatione omni dubitationeque sublata, pro ipsorum periculis deprecari.

ZΩNAP. Τινὲς τῶν ἐπισκόπων καὶ μάλιστα οἱ Ἀφροι, οἱ ἐν Ἀφρικῇ δηλονότι, συνεχῶς προσήεσαν τοῖς βασιλεῦσιν, αἰτήσεις οἰκείας καὶ ἀξιώσεις ἔχοντες, οὐδὲ δικαίας ἴσως. Τοῦτο οὖν διορθουμένη ἡσύνοδος αὕτη, φησὶν, ὅτι Ἡ ἀκαιρία ἡμῶν, ἤτοι τὸ μὴ εὐκαίρως προσιέναι τοῖς βασιλεῦσι, συνεχῶς δὲ καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν, ἤγουν μὴ οὕτως εἶναι κεχαρισμένους καὶ αἰδοῦς ἀξίους νομίζεσθαι, μηδὲ παῤῥησιάζεσθαι δύνασθαι, ὅσον ὀφείλομεν. Πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ Ἀφροι. Στρατοπέδου δὲ ἐμνήσθη, ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ βασιλεῖς στρατείᾳ ἐσχόλαζον. Οἵτινες ἐπίσκοποι τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσι τῶν συνοδικῶν παραινέσεων οὕτως, ὥστε ἄνθρωπον (ἤτοι ἐπίσκοπον) ἕνα πολλὰς καὶ διαφόρους αἰτήσεις κομίζειν εἰς τὸ στρατόπεδον, καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, καὶ μὴ γίνεσθαι καθὼς χρέος ἐστὶ ποιεῖν τοὺς ἐπισκόπους, καὶ καθὼς ἐνδέχεται. Τί δὲ τοῦτό ἐστι; Τὸ μὴ συναίρεσθαι καὶ ἀντιλαμβάνεσθαι καὶ βοηθεῖν τοῖς πένησι καὶ ταῖς χήραις ἢ τοῖς λαϊκοῖς, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ ἐνεργείας καὶ τοιαύτας ἐπινοεῖν, ἀντὶ τοῦ ἐπὶ νοῦν ἔρχεσθαι αὐτοῖς, καὶ τοιαῦτα αἰτεῖν. Αὕτη τοίνυν, φησὶν, ἡ σκαιότης, ἡ κακία, ἡ πονηρία, προξενεῖ ἡμῖν τὸν θρασυμὸν, τουτέστι θραύει ἡμᾶς, ὥστε μήτε παῤῥησίαν δύνασθαι ἔχειν, σκανδαλιζομένων ἐφ' ἡμῖν τῶν ἀνθρώπων καὶ καταγινωσκόντων ἡμῶν. Μᾶλλον δὲ μᾶλλον, φησὶ, λογίζομαι τὸν ἐπίσκοπον βοηθεῖν ἐκείνῳ τῷ βίαν ὑπό τινος πάσχοντι, καὶ ταῖς ἀδικουμέναις χήραις, καὶ τοῖς ὀρφανοῖς, οὓς ἀποστεροῦσί τινες τῶν αὐτοῖς διαφερόντων· καὶ τούτοις δὲ τοῖς ὀρφανοῖς, καὶ ταῖς χήραις, καὶ τοῖς καταδυναστευομένοις τότε βοηθεῖν, ὅτε δίκαια ἀξιοῦσιν. Εἰ γὰρ ἄδικόν τι αἰτοῦσιν, οὐδὲ ἐκείνων ἐν ἀδίκοις ἀντιποιεῖσθαι χρὴ τοὺς ἐπισκόπους. Εἰ τοίνυν τοῦτο δοκεῖ πᾶσι, φησὶν ὁ Ὅσιος, ἐπικρίνατε, ἐστὶ τοῦ, κυρώσατε τὴν γνώμην ταύτην, ὥστε μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον, ἤτοι εἰς βασιλέα, παραγίνεσθαι ἄνευ τῶν γραμμάτων βασιλικοῖς μεταχαλουμένων. Ἐπεὶ δὲ πολλοὶ προσφεύγουσι τῇ ἐκκλησίᾳ ἐλέους δεόμενοι, καὶ διὰ πταίσματα περιορισθῆναι ἢ εἰς νῆσον περιφθῆναι κατεδικασθέντες, ἢ ἑτέροτοι γενόμενοι ἀποφάσει ἑτέρας κολάσεως, τοὺς τοιούτους, φησὶν, οὐ χρὴ μὴ βοηθεῖν, ἀλλὰ μελλησμοῦ, ἤτοι βραδυτῆτος, χωρὶς καὶ διισταγμοῦ αἰτεῖσθαι αὐτοῖς συγχώρησιν.

ARIST. « Ὀρφανοῦ, καὶ χήρας, καὶ ἀπεριστάτου, « βιαζομένων, εἰς βοήθειαν κατατολμήσει καὶ « προσελεύσεται τῷ βασιλεῖ ὁ ἐπίσκοπος· ἀλλ'

ARIST. « Orphano, vidua, et ab aliis deserto, vi « oppressis, suppetias iis feret, et imperatorem « adibit episcopus; verumtamen ejusmodi præ-

« textu in castris non versetur, sed potius dia- A « conum mittat. »

ARIST. « Illis qui ad Ecclesiam confugient succurrendum est. »

Episcopum quidem opem ferre orphanis et viduis et oppressis qui ab aliis sunt deserti, ut et iis qui ad ecclesiam confugiunt ob peccata eorum, et misericordia indigent, et regem pro istis adire, et petere injuria quidem affectis ultionem, sed ob crimen aliquod condemnatis indulgentiam, præsens canon jubet. At episcopos ob istiusmodi causas suas relinquere ecclesias, et ad castra ire, vel alibi ubi imperator est, et de talibus tumultum facere, utpote quod a multis reprehensionem et convitium affert episcopis, non permittit fieri. Sed per diaconos suos desideria ad regem mitti statuit.

καὶ λοιδορίαν, οὐ συγχωρεῖ γίνεσθαι. Ἀλλὰ διὰ τῶν ἰδίων διακόνων τὰς δεήσεις στέλλεσθαι τῷ βασιλεῖ ἐπιτάττει.

CANON VIII.

« Quandoquidem visum est, ne aliquis episcopus « in condemnationem incidat ad castra veniens, « si qui eorum tales habeant postulationes, qua- « lium superius meminimus, per proprium mi- « nistrum peragant. Ministri enim persona non « est invidiosa, et quæ mandata fuerint citius « ferre poterit. Responderunt omnes : Et hoc « quoque constituatur. »

BALS. Præsens quoque canon eadem cum præcedente statuit, adjiciens, non per episcopos, sed rum diaconis eorum apud imperatores petitiones peragi debere. Diaconos autem hic ne dicas esse eos, qui ordinati sunt, sed simpliciter servos tet quoslibet ministros.

ZONAR. Si quis vero, inquit, ex episcopis causas deprecandi habeant ejusmodi, quales ante commemoravimus ; ut iis scilicet, qui per injuriam lædu ur, quive potentiorum opibus opprimuntur, vel qui ob aliquem peccati lapsum damnati sunt, opitulentur ; neque vero reprehensionis vitandæ causa ipsi in castra proficisci velint ; suos ministros mittant. Ministri namque persona invidiosa non est. Nec enim quisquam, inquit, ministro vel diacono in castris moranti, quemadmodum episcopo illuc abeunti, succensebit : tum imperatoris litteræ noxam condonantes, aut aliquid ejusmodi continentes, deferri per diaconum quam celerrime poterunt.

CANON IX.

« Si cujuscunque provinciæ episcopi ad fratrem et « coepiscopum suum, qui est in majori civitate, « hoc est, in metropoli, mittant supplicationes, « is et ministrum suum et supplicationes mittat, « dans ei commendatitias quoque litteras, scri- « bens scilicet per consequentiam etiam ad fra- « tres coepiscopos nostros, qui illo tempore in « locis vel urbibus agant, in quibus imperator in « primis pius rempublicam gubernat. Si quis **495** « autem episcopus habet amicos in aula palatii, « et velit aliquid quod sit honestum et justum

« οὐχὶ τῇ τοιαύτῃ προφάσει διατρίψει εἰς τὸ « στρατόπεδον, ἀλλὰ μᾶλλον διάκονον στέλλοιτο. »

ΑΡΙΣΤ. « Τοῖς ἐπὶ τὴν Ἐκκλησίαν προσφεύγουσι « βοηθητέον. »

Τὸ μὲν ἀντιλαμβάνεσθαι τὸν ἐπίσκοπον ὀρφανῶν καὶ χηρῶν, καὶ ἀπεριστάτων βιαζομένων, ὡσαύτως δὲ καὶ τῶν εἰς τὴν ἐκκλησίαν καταφευγόντων διὰ τὰ αὐτῶν ἁμαρτήματα, καὶ δεομένων συμπαθείας, καὶ προσέρχεσθαι περὶ αὐτῶν τῷ βασιλεῖ, καὶ αἰτεῖν τοῖς μὲν ἀδικουμένοις ἐκδίκησιν, τοῖς δὲ κατακριθεῖσι διά τι πταῖσμα συγχώρησιν, ὁ παρὼν προστάττει κανών. Τὸ δὲ διὰ τὰς τοιαύτας αἰτίας τοὺς ἐπισκόπους τὰς ἑαυτῶν καταλιμπάνειν ἐκκλησίας, καὶ ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, ἢ ἀλλαχοῦ, ἔνθα ὁ βασιλεύς ἐστι, καὶ ὀχλεῖν περὶ τῶν τοιούτων, ὡς B ἐπάγον παρὰ τῶν πολλῶν τοῖς ἐπισκόποις μέμψιν ἰδίων διακόνων τὰς δεήσεις στέλλεσθαι τῷ βασιλεῖ

ΚΑΝΩΝ Η'.

« Ἐπειδὴ ἔδοξε διὰ τὸ μὴ πίπτειν ὑπό κατάγνωσίν « τινα τῶν ἐπισκόπων ἀφικνούμενον εἰς τὸ στρα- « τόπεδον, εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν δεήσεις, « οἵων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου « ἐπιστέλλοιεν. Τοῦτο γὰρ ὑπηρέτου τὸ πρόσ- « ωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχε- « θησόμενα θᾶττον διακομισθῆναι δυνήσεται. « Ἀπεκρίναντο πάντες· Καὶ τοῦτο ὁριζέσθω. »

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ θεσπίζει, προστιθέμενος μὴ διὰ τῶν ἐπισκόπων, ἀλλὰ μετὰ διακόνων τὰς πρὸς τοὺς βασιλεῖς ἐντεύξεις αὐτῶν γίνεσθαι. Διακόνους δὲ ἐνταῦθα μὴ τοὺς κεχειροτονημένους εἴπῃς, ἀλλὰ τοὺς ἁπλῶς C δουλευτὰς καὶ οἰουσδήτινας ὑπηρέτας.

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, τῶν ἐπισκόπων τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἀνωτέρω ἐμνήσθημεν, ἤγουν ἐπὶ βοηθείᾳ ἀδικουμένων, καὶ καταδυναστευομένων, ἢ διὰ πταίσματα κατακριθέντων, καὶ ἵνα μὴ καταγινώσκωνται, οὐ βούλονται ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, διακόνους οἰκείους πεμπέτωσαν. Τοῦ γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει. Οὐδὲ γὰρ μέμψεται, φησὶ, τὶς τῷ ὑπηρέτῃ ἤτοι τῷ διακόνῳ διατρίβοντι ἐν στρατοπέδῳ, ὡς μέμψεται τῷ ἐπισκόπῳ ἐκεῖ ἀπελθόντι, καὶ τὰ παρὰ τοῦ βασιλέως δοθησόμενα γράμματα εἰς συγχώρησιν ἴσως τῶν πταισάντων, ἢ ἕτερα οἱαδήτινα, συντόμως κομισθῆναι διὰ τοῦ διακόνου δυνήσεται.

D

ΚΑΝΩΝ Θ'.

« Ἐὰν οἱασδηποτοῦν ἐπαρχίας ἐπίσκοποι πρὸς ἀδελ- « φὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλοιεν « δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τοῦτ' « ἔστι τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐ- « τοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ « καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι « κατὰ ἀκολουθίαν καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ « συνεπισκόπους ἡμῶν, οἵτινες ἐν ἐκείνῳ τῷ « καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγοιεν, « ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια « πράγματα διακυβερνᾷ. Εἰ δὲ ἔχοι τις τῶν ἐπι-

« κόπων φίλου; ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βού- A
« λοιτο περί τινος, ὅπερ πρεπωδέστερον εἴη,
« ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου
« καὶ ἀξιῶσαι καὶ ἐντείλασθαι τούτοις, ὥστε τὴν
« αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ πα-
« ρέχειν. Οἱ δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς
« προείρηκα, τῷ ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συν-
« επισκόπῳ Ἰουλίῳ τὰς δεήσεις, ἃς ἔχοιεν διδό-
« ναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερον αὐτὸς
« δοκιμάζοι· εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυν-
« τοῖεν· καὶ οὕτω τὴν ἑαυτοῦ προστασίαν καὶ
« φροντίδα παρέχων εἰς τὸ στρατόπεδον αὐτοὺς
« ἀποστέλλοι. Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρί-
« ναντο ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην
« εἶναι τὴν συμβουλὴν ταύτην. »

« impetrare; ne prohibeatur per suum ministrum
« et rogare et iis mandare, ut bonum suum auxi-
« lium ei petenti velint præbere. Qui autem Romam
« accedunt, quemadmodum superius dictum est,
« dilecto fratri nostro et coepiscopo Julio preces,
« quas habeat dandas, præbere debent, ut ipse
« prius examinet; nisi aliquæ earum sint impu-
« dentes: et sic suam auctoritatem et curam
« præbens, eos ad castra mittat. Omnes epi-
« scopi dixerunt, eis placere et esse convenien-
« tissimum hoc consilium. »

ΒΑΛΣ. Ὅτι οὐκ ἀνῃρέθη ὁ ια' κανὼν τῆς ἐν Ἀν- B
τιοχείᾳ συνόδου, δῆλον καὶ ἀπὸ τοῦ παρόντος κανό-
νος. Φησὶ γὰρ ὅτι, ἐὰν ἐπίσκοπος θελήσῃ ἀποστεῖλαι
δεήσεις εἰς τὸν βασιλέα διὰ συναδέλφου καὶ συνεπι-
σκόπου αὐτοῦ ἀρχιερατεύοντος εἰς ἐπαρχίαν, εἰς ἣν
διάγει ὁ βασιλεύς, ὀφείλει προσέρχεσθαι τῷ προσ-
φύρῳ μητροπολίτῃ, καὶ ἀναδιδάσκειν αὐτὸν τὸ
οἰκεῖον βούλημα· καὶ ὁ μητροπολίτης μετὰ διακόνου
αὐτοῦ, ὀφείλοντος ἐπιφέρεσθαι κανονικὰς ἐπιστολάς,
ἤγουν εἰρηνικὰς καὶ συστατικάς, ἀναδιδάξει τὸν
ἐνδημοῦντα ἐπίσκοπον, ὡς εἴρηται, εἰς τὸν βασιλέα
τὴν τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου παράκλησιν.
Τοῦτο δὲ γίνεσθαι οὕτως ὡρίσθη, ἵνα ὁ μητροπο-
λίτης ἐπιγνῷ τὴν ὑπόθεσιν, καὶ διαγνῷ εἰ ἐνδέχεται
ἀνενεχθῆναι ταύτην τῷ βασιλεῖ, εἴτε καὶ μή. Ὡς C
δέ τινος εἰπόντος, ἐκ τούτου ἀναιρεῖσθαι τὸν τῆς
παρούσης συνόδου η' κανόνα, τὸν διοριζόμενον μετὰ
διακόνων οἰκείων τοὺς ἐπισκόπους ὑπομιμνήσκειν
τὸν βασιλέα τὰ περὶ τῶν ψυχωφελῶν αἰτιῶν, προσ-
έθεντο οἱ Πατέρες, πρὸς μὲν βασιλέα μὴ ἀποστέλ-
λεσθαι διάκονον παρὰ ἐπισκόπου χωρὶς συνοδικῆς
ἐπιτροπῆς· πρὸς δέ τινας οἰκείους τῷ βασιλεῖ ποιεῖν
μετὰ διακόνου ἀξιώσεις. Πλὴν καὶ τοῦτο, ὡς ἐμοὶ
δοκεῖ, μετὰ εἰδήσεως τοῦ μητροπολίτου γενήσεται.
Τοὺς μέντοι παραγινομένους εἰς τὴν Ῥώμην ἐπι-
σκόπους μὴ ἄλλως τῷ βασιλεῖ προσέρχεσθαι, εἰ μὴ
ὁ πάππας λάβῃ τὴν περὶ τούτου εἴδησιν· καὶ αὐτὸς
δοκιμάσας τὰ περὶ τῶν δεήσεων, ἢ ἐπιτρέψει τὴν
ἀναφοράν, καὶ ἀποστελῇ αὐτοὺς εἰς τὸν βασιλέα,
ἢ ἀπείπῃ· ὡς καὶ ὀφείλων ἀντέχεσθαι τῶν ἐπισκό- D
πων, καὶ βοηθεῖν ἐπὶ πᾶσιν αὐτοῖς. Ὥστε σημείω-
σαι ἀπὸ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων ὅτι
οὔτε μητροπολίτης οὔτε ἐπίσκοπος χωρὶς συνοδικῆς
διαγνώσεως δύναται δεήσεις ἀνενεγκεῖν τῷ βασιλεῖ
ἢ δι' ἑαυτοῦ ἢ διὰ διακόνου αὐτοῦ. Ἀκούων δὲ
ταῦτα γίνεσθαι μετὰ εἰδήσεως τοῦ μητροπολίτου
καὶ τοῦ πάππα, προστίθει καὶ συνοδικὴν ἐπακο-
λουθεῖν διάγνωσιν κατὰ τὸν ια' κανόνα τῆς ἐν
Ἀντιοχείᾳ συνόδου. Τὰ δὲ περὶ τοῦ πάππα ἐνταῦθα
γεγραμμένα ἔλκυσον καὶ εἰς τὸν πατριάρχην Κων-
σταντινουπόλεως, δι' οὓς λόγους πολλάκις εἴπομεν.
Ἀνάγνωσον καὶ κεφάλ. β' τοῦ η' τίτλου τοῦ παρόντος
συντάγματος, καὶ τὰ ἐν αὐτῷ πάντα. Τούτων δὲ
οὕτω διορισθέντων, εἴπόν τινες μὴ ὀφείλειν οἱ νεω-

BALS. Quod non sublatus sit canon undecimus Antiochenæ synodi, ex præsenti quoque canone clarum est. Dicit enim, quod si episcopus voluerit mittere preces ad imperatores per confratrem et coepiscopum suum, qui est in ea provincia antistes, in qua imperator agit, debet ad competentem metropolitanum accedere, et suam voluntatem eum docere: metropolitanus vero cum famulo suo, qui debet epistolas canonicas afferre, scilicet pacificas et commendatitias, docebit episcopum, qui apud imperatorem, ut dictum est, versatur, fratris et coepiscopi postulationem. Hoc autem sic fieri statutum est, ut metropolitanus causam cognoscat et discernat, an eam oporteat ad imperatorem referre. an non. Tanquam autem dixisset quispiam, per hoc tolli præsentis synodi canonem 8 qui statuit, ut episcopi cum propriis ministris imperatorem admoneant de causis animæ conducibilibus; adjecerunt Patres, ad imperatorem quidem non mittendum ministrum ab episcopo sine synodali mandato: sed aliquibus imperatoris familiaribus preces cum ministro esse exhibendas. Sed hoc quoque, ut mihi videtur, fiet cum scientia metropolitani. Episcopos vero, qui Romam accedunt, non aliter ad imperatorem accedere, nisi papa ejus rei scientiam habuerit: et ipse, precibus examinatis, vel relationem permiserit, et ipsos ad imperatorem miserit, vel denegaverit; ut qui etiam debeat episcopos complecti, et iis in omnibus ferre opem. Quare nota ex iis quæ in hoc canone continentur, quod neque metropolitanus neque episcopus sine synodali cognitione potest ad imperatorem vel per se vel per suum ministrum supplicationes referre. Audiens autem hæc fieri cum scientia metropolitani et papæ, adjice etiam synodalem consequi cognitionem, secundum canonem 11 Antiochenæ synodi. Quæ autem de papa hic scripta sunt, ad patriarcham etiam Constantinopolitanum applicanda propter rationes quas sæpe diximus. Lege et caput 2 tit. 8 præsentis operis, et omnia quæ in eo sunt. His autem sic definitis, dixerunt aliqui, non debere ullum metropolitanum sine patriarchali mandato vel permissu ad imperatorem unquam proficisci. Mihi autem videtur, quod quando primum metropoli-

est imperatorem salutaturus, ex eo, quæ illum sortitus est, ad urbium reginam accedens, necesse habet hoc facere cum patriarchali permissione : postea autem sine impedimento, quando vult, ad imperatorem accedet ejus salutandi gratia, et cum commonefaciendi precum, quas cum patriarchali consensu prius ad eum retulit.

τινα μητροπολίτην χωρὶς πατριαρχικῆς ἐπιτροπῆς ὁτεδήποτε εἰς βασιλέα ἀπέρχεσθαι. Ἐμοὶ δὲ δοκεῖ ὡς, ὅτε πρώτως μέλλει ὁ μητροπολίτης τὸν βασιλέα προσκυνῆσαι ἐκ τῆς λαχούσης αὐτὸν ἀνελθὼν εἰς τὴν βασιλεύουσαν, ἀνάγκην ἔχει τοῦτο ποιῆσαι μετὰ πατριαρχικῆς ἐπιτροπῆς· μετὰ ταῦτα δὲ ἀκολύτως, ὅτε καὶ βούλεται, ἀπελεύσεται εἰς τὸν βασιλέα χάριν τοῦ προσκυνῆσαι αὐτὸν, καὶ παρακλητεῦσαι περὶ ὧν προανήνεγκε δεήσεων μετὰ πατριαρχικῆς εἰδήσεως.

ZONAR. In eodem argumento canones adhuc versantur. Cum enim in omnibus provinciis episcopi crearentur, ubicunque demum imperator ageret, ibi episcopos quoque adesse necesse fuit. Si quis igitur episcopus, inquit canon, ad episcopum regionis in qua imperator degit, de re aliqua scribat, ejus loci metropolitano primum eas litteras supplicationesque tradi oportet, quas is postea, per ministrum suum ad eum, cui scriptæ sunt, episcopum perferendas curabit, ipsique commendatitias quoque litteras dabit, quæ videlicet eum, qui mittitur, illi ad quem legatus est episcopo commendent atque concilient. **496** Tum alias quoque litteras, cum illius cujus res agitur episcopi litteris ac supplicationibus congruen es, adjungat. Hujus vero decreti ea ratio fuit, ut causam, de qua litteræ ab episcopo ad coepiscopum datæ sunt, metropolitanus cognoscat; ac siquidem postulatio importuna sit, nec ea de re imperatoris auribus censeat obstrependum, supplicationes eas rejiciat, curetque ad eumdem illum qui miserat referendas. Quod si quos etiam episcopus in palatio amicos habeat, cum eis per ministrum suum precibus agere, auxiliumque sibi in causa justa, quæque dignam antistite sacrorum postulationem contineat, deposcere licebit. Si vero ad imperatorem Romæ degentem supplicationes aliquas episcopi mittant, ab iis qui deferunt papæ illas tradi, ac ab eo justæ necne sint examinari oportet. Quod si nihil inverecunde ab imperatore petant, eas ipsemet mittat, auctoritatemque iis suam et curam commodet, hoc est, illorum patrocinium procurationemque ipse suscipiat.

ΖΩΝΑΡ. Ἔτι τῆς αὐτῆς ὑποθέσεως ἔχονται οἱ κανόνες. Ἐπισκόπων γὰρ κατὰ πᾶσαν ἐπαρχίαν ὄντων, ἀνάγκη πάντως καὶ ἔνθα ὁ βασιλεὺς διέτριβεν, ἐπισκόπους εἶναι. Φησὶν οὖν ὁ παρὼν κανὼν ὅτι, ἐὰν ἐπίσκοπος πρὸς ἐπίσκοπον τῆς χώρας, ἐν ᾗ διάγει ὁ βασιλεὺς, γράφῃ περί τινος ὑποθέσεως, χρὴ τὴν ἐπιστολὴν καὶ τὰς δεήσεις τῷ μητροπολίτῃ τῆς χώρας ἐκείνης ἐγχειρίζεσθαι, ἵνα αὐτὸς στείλῃ ταύτην πρὸς ὃν ἐστάλη, δι' οἰκείου διακόνου, δοὺς αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, συνιστώσας δηλαδὴ τὸν πεμφθέντα, καὶ γνωριζούσας αὐτὸν τῷ ἐπισκόπῳ, πρὸς ὃν ἐπέμφθη, καὶ γράφων κατὰ ἀκολουθίαν, ἤγουν ἀκολούθως, οἷς ἔγραψεν ὁ τὴν ὑπόθεσιν ἔχων ἐπίσκοπος καὶ τὰς δεήσεις στείλας. Τοῦτο δὲ γίνεσθαι ὥρισθη, ἵνα ὁ μητροπολίτης ἐπιγνῷ τὴν ὑπόθεσιν περὶ ἧς ἔγραψε τῷ συνεπισκόπῳ ὁ ἐπίσκοπος, καὶ εἰ φορτική τις εἴη, καὶ οὐκ ἐνδέχηται ἐνοχληθῆναι τὰς βασιλικὰς ἀκοὰς περὶ αὐτῆς, ἀποπέμψηται τὰς δεήσεις καὶ ἀντιστρέψῃ τῷ πέμψαντι αὐτάς. Εἰ δὲ καί τινας τῶν ἐν τῷ παλατίῳ ἔχοι φίλους ἐπίσκοπος, οὐδὲ τούτους ἀξιῶσαι κωλύεται διὰ τοῦ οἰκείου διακόνου βοηθῆσαι αὐτῷ ἐπὶ ὑποθέσει εὐλόγῳ, καὶ πρέπουσαν ἀρχιερεῖ αἴτησιν ἐχούσῃ. Εἰ δὲ, εἰς Ῥώμην ἐνδημοῦντος τοῦ βασιλέως, σταλεῖεν παρ' ἐπισκόπων ἐν αὐτῇ τινες δεήσεις κομίζοντες, τῷ πάππᾳ ταύτας ὀφείλουσι παρέχειν, ἵνα αὐτὸς ἐξετάζοι, εἰ εὔλογοι αἱ δεήσεις εἰσὶ· καὶ εἰ μή τινα ῥήματα ἀναίσχυντα ἔχουσι πρὸς τὸν βασιλέα, ἀποστέλλοι ταύτας αὐτὸς, προστασίας καὶ φροντίδα παρέχων αὐτοῖς, ἤγουν προϊστάμενος καὶ συνεργῶν αὐτοῖς.

ARIST. « Si frater ad fratrem mittat, metropolitanus nuntium litteris muniat, et ad episcopos, « qui auctoritatem habent, scribat, ut nuntium « protegant. »

ΑΡΙΣΤ. « Ἀδελφοῦ πρὸς ἀδελφὸν ἐπιστέλλοντος, ὁ « μητροπολίτης τὸν ἀπόστολον ἐνισχυέτω, καὶ « γραφέτω πρὸς τοὺς ἐν οἷς ἡ ἀξίωσις ἐπισκόπους, « τοῦ ἀποστόλου ἀντιλαμβάνεσθαι. »

Episcopus qui preces quasdam ad imperatorem mittit, et de iis ad fratrem suum in castris cum rege degentem, ut ab ipso rege ut cum eo degeret evocatum, scribit, suum metropolitam adire debet, et preces ostendere, et diaconum quem mittere vellet, ut ab ipso metropolitano preces primo examinentur, ne forte justam petitionem non contineant. Et sic postquam illas examinaverit, litteris suis et epistolis commendatitiis missum corroborabit et episcopos qui cum rege degunt, diacono opem ferre postulabit.

Στέλλων ὁ ἐπίσκοπος πρὸς βασιλέα δεήσεις τινὰς, καὶ περὶ αὐτῶν πρὸς συνάδελφον αὐτοῦ γράφων, ἐν τῷ στρατοπέδῳ μετὰ τοῦ βασιλέως διάγοντα, ὡς παρ' αὐτοῦ τοῦ βασιλέως μετακληθέντα ἐπὶ τῷ μετ' αὐτοῦ συνδιάγειν, ὀφείλει τῷ ἰδίῳ μητροπολίτῃ προσέρχεσθαι, καὶ τὰς δεήσεις ὑποδεικνύειν, καὶ τὸν διάκονον ὃν ἀποστεῖλαι βούλεται, ἵνα παρ' αὐτοῦ τοῦ μητροπολίτου πρότερον αἱ δεήσεις ἐξετασθῶσι, μήποτε οὐ δικαίαν τὴν αἴτησιν ἔχωσι· καὶ οὕτω, μετὰ τὸ δοκιμάσαι ταύτας, γράμμασιν αὐτοῦ καὶ συστατικαῖς ἐπιστολαῖς τὸν ἀποστελλόμενον ἐνισχύσει· καὶ ἀξιώσει τοὺς μετὰ τοῦ βασιλέως διάγοντας ἐπισκόπους ἀντιλαβέσθαι τοῦ διακόνου.

ΚΑΝΩΝ Ι'.

« Δεῖ μετὰ πάσης ἀκριβείας (78) καὶ ἐπιμελείας « ἐξετάζεσθαι, ὥστε, ἐάν τις πλούσιος ἢ σχολα- « στικὸς ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνε- σθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ « ἀναγνώστου καὶ ὑποδιακόνου, καὶ διακόνου, « καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ· ἵνα καθ' « ἕκαστον βαθμὸν, ἐάν περ ἄξιος νομισθείη, εἰς « τὴν ἀψῖδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν δια- « βῆναι δυνηθείη. Ἔξει δὲ ἑκάστου τάγματος ὁ « βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος, « δι' οὗ ἡ πίστις αὐτοῦ καὶ ἡ τῶν τρόπων καλοκα- « γαθία, καὶ ἡ στερρότης, καὶ ἡ ἐπιείκεια γνώ- « ριμος γενέσθαι δυνήσεται· καὶ αὐτὸς, ἄξιος τῆς « θείας ἱερωσύνης νομισθείς, τῆς μεγίστης ἀπο- « λαύσει τιμῆς. Οὔτε γὰρ προσῆκόν ἐστιν, οὔτε ἡ « ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ ἐπιδέχεται « τολμηρῶς καὶ κούφως ἐπὶ τούτῳ εἶναι, ὥστε ἢ « ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον προχείρως « καθίστασθαι. Οὕτω γὰρ ἂν εἰκότως νεόφυτος « νομισθείη, ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος « Ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν ἐγένετο διδάσκα- « λος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς « καταστάσεις. Τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκι- « μασία καὶ τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρό- « πον οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται. Ἅπαν- « τες εἶπον ἀρέσκειν αὐτοῖς, καὶ καθάπαξ μὴ δεῖν « ἀνατρέπειν ταῦτα. »

CANON X.

« Ut cum omni cura et diligentia semper examine- « tur, ut si quis dives vel ex foro scholasticus « episcopus fieri dignus habeatur, non prius con- « stituatur, quam lectoris et hypodiaconi et diaconi « et presbyteri ministerium peregerit : ut in uno- « quoque gradu, si dignus existimatus fuerit, ad « episcopatus fastigium per progressionem possit « ascendere. Habebit autem uniuscujusque or- « dinis gradus non minimi scilicet temporis lon- « gitudinem, per quod et fides et morum proba- « tas, et constantia, et moderatio possit co- « gnosci; et ipse, divino sacerdotio dignus exi- « stimatus, maximum honorem assequetur. Ne- « que enim convenit, neque scientia et hona « conversatio hoc recipit, ut temere et leviter « ad id accedatur, ut episcopus, vel presbyter, « vel diaconus prompte ac facile constituatur. « Sic enim merito neophytus existimetur, quan- « doquidem beatissimus Apostolus, qui fuit « etiam doctor gentium, maxime prohibuisse « videtur, ne celeres fierent constitutiones. Lon- « gissimi enim temporis probatio, et conversa- « tionem.. et uniuscujusque mores non improba- « biliter exprimere poterit. Omnes dixerunt, « ipsis placere, et omnino non oportere ea sub- « vertere. »

ΒΑΛΣ. Ἐν τῷ ιζ' κανόνι τῆς πρώτης καὶ δευτέρας συνόδου ἱκανῶς ἐγράψαμεν περὶ λαϊκῶν μελλόντων ἀρχιερωσύνης ἀξιοῦσθαι. Πλὴν ἐκεῖ μὲν γενικῶς ρικοὺς χρηματίζειν πρότερον· εἰς τοῦτο γὰρ ἡ ἔννοια τελευτᾷ. *Nota quod divites atque ex foro scholasticos hic canon prohibet; quare nec videtur catholice cum apostolicis canonibus pugnare, et cum synodis œcumenicis, quibus eos ex laicis, qui non nuperrime fidem amplexi sunt, ad episcopalem provehi honorem non prohibetur. Vocem itaque neophytum absurde et contrarie canonibus ipsam præcedentibus intellexit. Neophytus enim, et divino apostolo, et aliis nostris Patribus, et canonibus, non is qui modo in clerum cooptatur, sed qui Christianorum fidem modo amplexus est, et intelligitur et dicitur. Præterea observes etiam, quod hic canon non tantum episcopum ex laicis (exceptis iis) non fieri præcipit, sed nec presbyterum, nec diaconum; quod a nulla prorsus Ecclesia admissum videtur : præterquam si quis rursus canonem de solis ex foro divitibus et scholasticis accipiendum dixerit, subsidium aliquod sibi exinde excogitans. Verum etiam causa observationis omnino absurda est. Ad morum enim probationem tempus assumendum esse dicit : ut non possibile sit laicis exploratum vitæ documentum exhibere. At si non possibile sit laicum vitæ experimentum dare, nec absolute in clerum talis omnino cooptari debet. Impossibile enim est, ut stulta ista opinio præ se ferat, laici vitam exploratam habere. Inexploratum autem quonam quis pacto ad ordinem promoveat clericum, vel contraria iis, quæ pronuntiat, probant laicos ad clericorum ordinem cooptari posse, vitæ eorum inexploratæ sint; nisi forsitan intelligatur eos, qui ad clerum suscipiendi sunt, clericos prius vocari : in hac enim absurda ista opinio desinit.*

BALS. In canone 17 primæ et secundæ synodi satis scripsimus de laicis, qui sunt ad episcopatum promovendi. Cæterum illic quidem generaliter de

Guill. Beveregii notæ.

(78) *Δεῖ μετὰ πάσης ἀκριβείας.* Præter Balsamonis et Zonaræ scholia, aliud huic etiam canoni annectitur his verbis conceptum, Σημείωσαι ὅτι τοὺς πλουσίους καὶ τοὺς ἀπὸ τῆς ἀγορᾶς σχολαστικοὺς ὁ κανὼν οὗτος κωλύει· διὸ οὐδὲ δοκεῖ καθολικῶς μάχεσθαι τοῖς ἀποστολικοῖς κανόσι, καὶ ταῖς οἰκουμενικαῖς συνόδοις, αἷς οἱ ἀπὸ λαϊκῶν, τῶν μὴ προσφάτως πιστευσάντων, ἀκώλυτός ἐστι πρόοδος παντελῶς εἰς τὴν τῶν ἐπισκόπων τιμήν· τὸ μέντοιγε νεόφυτον ἄλογως ἅμα καὶ ἐναντίως τοῖς πρὸ αὐτοῦ κανόσιν ἐνόησε. Νεόφυτος γὰρ καὶ τῷ θείῳ ἀποστόλῳ, καὶ τοῖς ἄλλοις ἡμῶν Πατράσι καὶ τοῖς κανόσιν, οὐχ ὁ νῦν εἰς κλῆρον παραγγέλλων, ἀλλ' ὁ τὴν Χριστιανῶν πίστιν ὑπολαμβάνων ἄρτι. καὶ νοεῖται καὶ λέγεται· πλὴν συνεπισκόπου, ὅτι οὗτος ὁ κανὼν οὐχὶ ἐπίσκοπον μόνον μὴ γίνεσθαι ἀπὸ τῶν λαϊκῶν ἄνευ ὧν προδιορίζεται συγχωρεῖν, ἀλλ' οὐδὲ πρεσβύτερον ἢ διάκονον, ὅπερ ταῖς ἁπανταχοῦ Ἐκκλησίαις ὁρᾶται, ἀπρόσδεκτον· πλὴν εἰ μήτις πάλιν ἐπὶ τῶν ἀπ' ἀγορᾶς πλουσίων μόνων καὶ σχολαστικῶν τὸν κανόνα λαμβάνειν λέγει, βοηθειάν τινα ἐπινοῶν αὐτῷ. Ἀλόγως δὲ παντελῶς καὶ ἡ τῆς παρατηρήσεως αἰτία. Διὰ γὰρ τὴν δοκιμασίαν τῶν τρόπων δεῖν φησι παραλαμβάνεσθαι τὸν χρόνον, ὥσπερ οὐκ ἐνδν τοῖς λαϊκοῖς ἐξεταζόμενον δοκιμὴν παρασχεῖν βίου. Καί τοι εἰ μὴ δυνατὸν δοκιμασίαν βίου δοῦναι λαϊκὴν, οὐδ' ἁπλῶς εἰ; κλῆρον χρὴ παραγγέλλειν ὅλως τοιοῦτον. Ἀδύνατον γὰρ ὡς ἔννοια βούλεται δοκιμὴν βίου λαϊκοῦ λαμβάνειν, ἀδόκιμον δὲ πῶς ἂν τις εἰς τάξιν ἄγοι κληρικὴν, ἡ ταναντία ὧν ἐπαγγέλλεται κατασκευάζει τοὺς ἀνεξετάστους βίους τῶν λαϊκῶν κληρικῶν ὑποβάλλεσθαι τάξει ἀξιοῦν· εἰ μήπω ἄρα νοεῖται δεῖν τοὺς εἰς κλῆρον μέλλοντας εἰσιέναι, κλη-

iis dictum est : hic autem de solis divitibus et scholasticis, id est, de iis qui rhetoricæ et arti dicendi vacant. Quod ergo illic quæsivimus de prælinito tempore canone declarato, hoc in præsenti quoque canone quærendum est. Neophytus autem, apud Apostolum quidem, est is, qui recens illuminatus est; apud canonem autem, qui ex divite vel scholastico ad episcopalem dignitatem provehitur. Quære et canonem 2 Nicænæ primæ synodi.

A τὰ περὶ τούτων ἐξεφωνήθησαν· ἐνταῦθα δὲ περὶ μόνων πλουσίων καὶ σχολαστικῶν, τουτέστι περὶ λόγους σχολαζόντων. Ὅ γοῦν ἐκεῖσε ἐζητήσαμεν χάριν τοῦ δηλουμένου τῷ κανόνι νενομισμένου καιροῦ, τοῦτο καὶ εἰς τὸν παρόντα κανόνα ζητητέον. Νεόφυτος δὲ, παρὰ μὲν τῷ Ἀποστόλῳ ὁ νεοφώτιστος λέγεται· παρὰ δὲ τῷ κανόνι ὁ ἀπὸ πλουσίου ἢ σχολάζοντος εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβαζόμενος. Ζήτει καὶ τὸν β' κανόνα τῆς ἐν Νικαίᾳ πρώτης συνόδου.

497 ZONAR. Neminem e foro, hoc est, e populi turba, quamvis divitiis affluat, quamvis scholasticus sit, hoc est, dicendi studio operam impendat, episcopum, si eo munere dignus judicetur, subito creari, sed eos homines per sacrorum ordinum gradus sigillatim promoveri, ac in singulis haud B minimo temporis spatio ministrare, hic canon jubet : ut eo scilicet temporis intervallo et ipsius fidem, rectane sit, et morum bonitatem animique constantiam, ac moderationem liceat explorari; itaque demum ad episcopatus fastigium, hoc est, summi sacerdotii culmen per progressiones transeat. Neque enim, inquit, rationi consentaneum est, neque id aut scientia, hoc est, divinarum Litterarum cognitio, aut recta vivendi norma, hoc est, temporis diuturnitate firmata ac probata consuetudo patitur, ut temere ac leviter, hoc est, nullo delectu, episcopus, aut presbyter, aut diaconus, ubi primum se quisque ostenderit, constituatur. Quisquis enim ad episcopatus dignitatem hac ratione C progreditur, neophytus, inquit, ab Apostolo, præcipites ejusmodi creationes improbante, existimatus est. Ac neophyti quidem vocem ita hujus synodi Patres interpretati sunt : apostolus vero inclytus Paulus eum, qui nuper ex oleastro, infidelitatis videlicet, recisus, atque in speciosam oleam, fidem scilicet orthodoxam, implantatus sit, neophyti appellatione significavit. Et eodem modo Nicæna prima synodus, ut in illius secundo canone videre est, neophytum intellexit; et Constantinopolitanæ primæ et secundæ synodi decimo septimo canone eadem constituta reperias.

ΖΩΝΑΡ. Οὐδένα τῶν ἐξ ἀγορᾶς ὄντων ἤτοι τῆς δημώδους συγχύσεως, κἂν πλούσιος, κἂν σχολαστικὸς, τουτέστι περὶ λόγους σχολάζων, βούλεται ὁ κανὼν, εἰ ἄξιος κρίνοιτο ἐπισκοπῆς, ἀθρόον χειροτονεῖσθαι ἐπίσκοπον, ἀλλὰ διορίζεται τοὺς τοιούτους εἰς ἕκαστον βαθμὸν ἱερατικὸν προβιβάζεσθαι, καὶ ἐφ' ἑκάστῳ ἐπὶ καιρὸν ὑπηρετεῖν οὐκ ἐλάχιστον, ἵνα διὰ τοῦ καιροῦ ἐκείνου γνωσθείη ἥ τε πίστις αὐτοῦ, εἰ ὀρθή ἐστι, καὶ ἡ ἀγαθότης τῶν τρόπων, καὶ ἡ στερρότης τοῦ φρονήματος, καὶ ἡ ἐπιείκεια, καὶ οὕτως εἰς τὴν ἀψῖδα τῆς ἐπισκοπῆς, ἤγουν τὴν ἀκρότητα τοῦ ὕψους τῆς ἀρχιερωσύνης διαβῇ κατὰ προκοπήν. Οὐδὲ γὰρ πρέπει, φησὶν, οὔτε ἡ ἐπιστήμη, τουτέστιν ἡ τῶν θείων Λόγων γνῶσις, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ, ἤγουν ἡ συνήθεια ἡ δοκιμασθεῖσα τῷ χρόνῳ, ἐπιδέχεται τολμερῶς καὶ κούφως, ἤγουν εὐκόλως, πρεσβύτερον ἢ διάκονον ἢ ἐπίσκοπον προχείρως χειροτονεῖσθαι. Ὁ οὕτως γὰρ, φησὶν, εἰς ἐπισκοπῆς ἀξίαν προβαίνων νεόφυτος ἐνομίσθη τῷ Ἀποστόλῳ, κωλύσαντι ταχείας γίνεσθαι τὰς καταστάσεις. Οἱ μὲν οὖν τῆς συνόδου ταύτης Πατέρες οὕτως ἐξελάβοντο τὸν νεόφυτον· ὁ δὲ κλεινὸς ἀπόστολος Παῦλος νεόφυτον τὸν ἄρτι ἐξ ἀγριελαίου, τῆς ἀπιστίας φημὶ, πρὸς καλλιέλαιον μετεγκεντρισθέντα, τὴν πίστιν δηλαδὴ τὴν ὀρθόδοξον, λέγει. Καὶ ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος οὕτως ἐνόησε τὸν νεόφυτον, ὡς ἔστιν εὑρεῖν ἐν τῷ δευτέρῳ κανόνι αὐτῆς· καὶ ὁ ιζ' δὲ κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου διορίζεται.

ARIST. « Forensis, scholasticus aut dives, nisi « per sacros transierit gradus, episcopus non « creatur. Graduum autem interstitium ne ad- D « modum breve sit, quo major fidei bonæque « conversationis probatio habeatur. Qui aliter « enim constituitur, neophytus est. »

Hic canon laicos quidem in foro degentes, et in eo operam dantes, vel et aliquos divites et forenses mercatores, ad episcopatus dignitatem provehi volentes, non aliter constitui jubet, nisi lectoris et presbyteri et diaconi ministerium peregerunt. Spatium autem cujusque gradus esse diuturnum. Ut vita eorum et fides in eo examinetur. At decimus septimus primæ et secundæ synodi in Sanctorum Apostolorum templo coactæ canon, neminem laicorum, licet malæ conversationis non sit ut nec monachorum quempiam ad episcopatus sublimita-

ΑΡΙΣΤ. « Ἀγοραῖος, σχολαστικὸς, ἢ πλούσιος, εἰ « μὴ τοὺς ἱεροὺς διέλθοι βαθμοὺς, ἐπίσκοπος οὐ « καθίσταται. Τὸ δὲ τῶν βαθμῶν διάστημα οὐ « λίαν ὀλιγοστὸν, δι' οὗ τὸ δοκίμιον τῆς πίστεως καὶ « καλοκαγαθίας αὐτοῦ δοκιμάζοιτο. Ὁ γὰρ ἑτέρως « νεόφυτος. »

Οὗτος ὁ κανὼν τοὺς μὲν λαϊκοὺς τοὺς ἐν τῇ ἀγορᾷ διατρίβοντας, καὶ σχολάζοντας ἐν αὐτῇ, ἢ καί τινας πλουσίους καὶ ἀγοραίους πραγματευτὰς, εἰς ἐπισκοπῆς ἀξίωμα βουληθέντας ἀνενεχθῆναι, οὐκ ἄλλως προστάττει καθίστασθαι, εἰ μὴ ἀναγνώστου, καὶ πρεσβυτέρου, καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσουσι· τὸ δὲ διάστημα ἑκάστου βαθμοῦ χρονιαῖον εἶναι· ἵν' ὁ βίος αὐτῶν καὶ ἡ πίστις ἐν τοσούτῳ δοκιμασθῇ. Ὁ δὲ ἑπτακαιδέκατος κανὼν τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων συστάσης, οὐδένα τῶν λαϊκῶν, κἂν μὴ

ἐκ φαύλης ἐστὶ διαγωγῆς, ἀλλ' οὐδὲ τῶν μοναχῶν, εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀθρόως ἀνάγεσθαι συγχωρεῖ· ἀλλὰ τοὺς ἱερατικοὺς πρότερον βαθμοὺς προελθεῖν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον πληροῦντα χρόνον, καὶ τότε τῆς ἐπισκοπῆς τὴν χειροτονίαν δέχεσθαι.

tem confestim promoveri permittit. Sed gradus prius pervadere sacerdotales, in quoque ordine legibus sancitum tempus explentem, et tunc episcopatus ordinationem accipere.

ΚΑΝΩΝ ΙΑ.

« Ἐπίσκοπος, ὅταν ἐξ ἑτέρας πόλεως παραγίνηται « εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς « ἑτέραν ἐπαρχίαν, κόμπου χάριν ἐγκωμίοις « οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώ- « σει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ « μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος « ᾖ διδασκαλίας, μὴ καταφρονῇ ἐκείνου, καὶ « συνεχέστερον ὁμιλῇ, καταισχύνειν καὶ εὐτελί- B « ζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου σπου- « δάζων. Αὕτη γὰρ ἡ πρόφασις εἴωθε ταράχους « ποιεῖν, καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν « ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι « καὶ παρασπᾶσθαι σπουδάζει, μὴ διστάζων τὴν « αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, « καὶ εἰς ἑτέραν μεθίστασθαι. Ὁριστέον οὖν ἐπὶ « τούτῳ χρόνον· ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι « ἐπίσκοπον τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι « νενόμισται. Μέμνησθε δὲ ἐν τῷ προάγοντι « χρόνῳ τοὺς Πατέρας ἡμῶν κεκρικέναι, ἵνα, εἴ « τις λαϊκὸς ἐν πόλει διάγων τρεῖς κυριακὰς « ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, « ἀποκινοῖτο τῆς κοινωνίας. Εἰ τοίνυν περὶ τῶν « λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρή, οὐδὲ πρέπει, C « ἀλλ' οὐδὲ συμφέρει, ἐπίσκοπον, εἰ μηδεμίαν « βαρυτέραν ἀνάγκην ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, « ἐπιπλεῖστον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλη- « σίας, καὶ θλίβειν τὸν ἐμπεπιστευμένον αὐτῷ « λαόν. Ἅπαντες οἱ ἐπίσκοποι εἰρήκασι καὶ « ταύτην τὴν γνώμην σφόδρα εἶναι πρεπωδε- « στάτην. »

CANON XI.

« Quando episcopus ex alia civitate in aliam civita- « tem, vel ex alia provincia in aliam provinciam « accesserit, jactationis gratia propriis laudibus « serviens, vel religionis sanctificationi; et velit « longiori tempore illic agere, illius autem civi- « tatis episcopus doctrinæ non fuerit peritus: ne « illum despiciat, et frequentius concionetur, « studens dedecore afficere et vilipendere perso- « nam episcopi, qui ibi est. Hic enim prætextus « solet turbas excitare, et ejusmodi calliditate « alienam sedem sibi conciliare et attrahere « studet, cum non dubitet sibi traditam Eccle- « siam relinquere, et in aliam transire. Ad hoc « ergo tempus definiendum est: nam episcopum « non recipi, inhumanum et incivile existimatum « est. Recordemini autem Patres nostros in « tempore præterito statuisse, ut si quis laicus « in urbe agens tribus diebus Dominicis in tribus « hebdomadibus non conveniat, is communione « moveatur. **498** Si hoc ergo de laicis statu- « tum est, non oportet, nec convenit, sed neque « est utile, episcopum, si nullam habet gravio- « rem necessitatem vel negotium difficilius, lon- « gius a sua abesse ecclesia, et sibi commissum « populum dolore afficere. Omnes episcopi dixe- « runt, hanc quoque sententiam esse convenien- « tissimam. »

ΒΑΛΣ. Πᾶσαν σκανδάλου πρόφασιν περιαιροῦντες οἱ Πατέρες, διωρίσαντο μὴ μεταβαίνειν ἐπίσκοπον ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν κατὰ τρόπον ἀλαζονείας ἢ πλεονεξίας. Εἰ δὲ τοῦτο οὐ γένηται διὰ τοιαύτην αἰτίαν, ἀλλὰ διὰ πρόσκαιρον ἀνάπαυσιν, ἢ ἑτέραν εὔλογον ἀφορμὴν, μὴ κατεπαίρεσθαι αὐτὸν, λόγιον τυχὸν ὄντα, τοῦ ἐγχωρίου ἐπισκόπου, ἀμαθοῦς ἴσως τυγχάνοντος· μηδὲ αὐτὸν D μὲν ἐφίεσθαι ἐγκωμίων διὰ δογματικῶν διδασκαλιῶν (τοῦτο γάρ ἐστιν ἡ θρησκεία, τουτέστιν ἡ λατρεία καὶ ἡ πίστις), τοῦ δὲ ἐγχωρίου ἐπισκόπου καταφρονεῖν, ὡς ἐμπειρίαν δογματικῆς διδασκαλίας μὴ ἔχοντος, ἀλλὰ ἡσυχάζειν καὶ ἔχειν τὴν ἀνάλογον τιμὴν πρὸς τὸν ἐγχώριον ἐπίσκοπον. Τὸ γὰρ παρὰ ταῦτα γινόμενον, φασὶν, παραίτιόν ἐστι ταραχῆς πολλῆς καὶ ὑποψία τοῦ σπουδάζειν τὸν τοιοῦτον καταλιπεῖν τὴν λαχοῦσαν αὐτὸν, καὶ σφετερίσασθαι τὴν ἑτέρῳ ἀνήκουσαν ἐκκλησίαν. Διά τοι τοῦτο, μὴ ἀνεκτὸν ἡγησάμενοι ἐπὶ πολὺν χρόνον διάγειν ἐπίσκοπον εἰς ἀλλοτρίαν ἐνορίαν, ἐπήγαγον ὡς, ἐπὶ τὸ μὴ ὑποδέχεσθαι τοὺς ἐγχωρίους ἐπισκόπους ἀρχιερεῖς ἑτέρων ἐνοριῶν ἀφιλάδελφόν ἐστι καὶ ἀπάν-

BALS. Omnem scandali occasionem auferentes sancti Patres, statuerunt, ne episcopus a civitate in civitatem, vel a provincia in provinciam, per arrogantiam vel avaritiam transeat. Si autem non fiat propter eam causam, sed propter aliquot dierum quietem, vel aliquam aliam justam causam; ne ipse, cum sit doctus, insultet regionis episcopo qui forte est indoctus, nec ipse laudem desideret per dogmaticas doctrinas (id enim est religio, id est, cultus et fides), regionis autem episcopum contemnat, ut qui dogmaticæ doctrinæ experientiam non habeat: sed quiescat, et regionis episcopo convenientem honorem habeat. Quod enim, inquiunt, præter hoc fit, multæ est perturbationis causa, et suspicio, quod is studeat relinquere ecclesiam quæ illum sortita est, et eam, quæ ad alterum pertinet, sibi vindicare. Et propterea non tolerandum esse rati, ut episcopus longo tempore versetur in aliena diœcesi, subjunxerunt, quod quia esset inhumanum et a fraterna dilectione alienum, si regionis episcopi aliarum diœceseon antistites non admitterent: canone autem cautum est,

« που, τοῦ προσκαλεσαμένου ἰδιώτου συγχάνον- A
« τος, μὴ συνεχίστερον δημηγορεῖν· ῥᾴμος γὰρ
« τοῦτο τοῦ ἰδιώτου, καὶ μνηστεία τῆς ἐπισκο-
« πῆς ἐκείνου· καὶ ἀμφότερα οὐκ ἀμώμητα. »

ΑΡΙΣΤ. « Ἀνάγκης δίχα βραχείας δυσχερὲς τὸ
« ἐπὶ πλεῖστον τὸν ἐπίσκοπον τῆς οἰκείας ἐκκλη-
« σίας ἀπαλιμπάνεσθαι. »

Εἴ τις τῶν ἐπισκόπων εἰς ἑτέραν παραγένηται πόλιν, παρὰ τοῦ κατὰ χώραν προσκληθεὶς ἐπισκόπου, καὶ ὁ προσκαλεσάμενος αὐτὸν οὐκ ἔστι διδασκαλίας ἔμπειρος· μὴ διδασκέτω συνεχίστερον τὸν λαὸν, καὶ δημηγορίας ποιείτω. Τοῦτο γὰρ ταραχὰς εἰωθε προξενεῖν, καὶ καταφρόνησιν ἐμποιεῖν τῷ προσκαλέσαντι αὐτὸν ἐπισκόπῳ. Δοκεῖ δὲ καὶ διὰ τῆς ἐπιδείξεως ταύτης τὴν ἀλλοτρίαν προμνηστεύεσθαι ἐκκλησίαν, καὶ τὸν λαὸν εἰς ἑαυτὸν ἕλκειν, καὶ σπουδάζειν τὴν ἑαυτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιπεῖν, καὶ εἰς ταύτην μετατεθῆναι, Ὥρισε γοῦν διὰ ταῦτα ἡ ἁγία σύνοδος μὴ πλέον τριῶν ἑβδομάδων τὸν προσδεχθέντα ἐπίσκοπον τῆς ἑαυτοῦ ἐκκλησίας ἀπολιμπάνεσθαι· ἀλλ' εἰς τὸν ἐμπεπιστευμένον αὐτῷ λαὸν ὑποστρέφειν, εἰ μή πού τις αὐτὸν βαρυτάτη ἀνάγκη ἢ πρᾶγμά τι δυσχερὲς καὶ ἐπὶ πλέον ἀπολιμπάνεσθαι ἐκδιάσοι.

« secesserit sit imperitus, ne nimis assidue con- A
« cionetur, hoc enim imperito dedecori erit, et
« alter episcopatum ejus ambire videbitur. Et
« utrumque reprehendendum. »

ARIST. « Sine gravi necessitate episcopum a sua
« diutius abesse Ecclesia arduum est. »

Si quis episcopus ad aliam accedat civitatem, ab ipso regionis episcopo vocatus, et qui eum vocavit non est doctrina instructus, ne frequenter populum doceat, et conciones faciat. Hoc enim tumultus excitare solet, et episcopo qui eum vocavit, contemptum afferre. Videtur autem et per ostentationem istam alienam ambire Ecclesiam et populum ad se attrahere, et studere sibi traditam Ecclesiam relinquere, et in eam transferri. Propterea itaque decrevit sancta synodus episcopum admissum non plusquam tres septimanas suam relinquere ecclesiam, sed ad populum sibi concreditum redire, nisi fortasse gravissima aliqua necessitas, aut negotium aliquod difficile eum longius abesse cogat. B

ΚΑΝΩΝ ΙΒ'.

« Τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πό-
« λεσιν, ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι
« κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν
« ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ
« ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησι· οὕτως αὐ-
« τοῖς συγχωρητέον εἶναι κρίνω, ἵνα, εἰ μέλλοιεν C
« εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν
« συγκομιδὴν τῶν καρπῶν ποεῖσθαι, τρεῖς Κυ-
« ριακὰς ἡμέρας, τοῦτ' ἔστι τρεῖς ἑβδομάδας, ἐν
« τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ
« ἀγχιστευούσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συν-
« άγει, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν
« δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν καὶ
« μὴ συνεχίστερον εἰς τὴν πόλιν, ἐν ᾗ ἐστιν ἐπί-
« σκοπος, παραγίγνοιτο. Τοῦτον γὰρ τὸν τρόπον
« καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ
« ἀπουσίαν οὐδεμίαν ὑπομένει ζημίαν, καὶ τὸ
« τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δόξει
« ἔγκλημα. Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέ-
« σκει καὶ αὕτη ἡ διατύπωσις. » D

CANON XII.

« Quidam fratres et coepiscopi in civitatibus, in
« quibus episcopi constituuntur, videntur valde
« pauca, quæ sibi sint propria, possidere; in
« aliis autem locis magnas possessiones, ex qui-
« bus etiam possunt opem ferre pauperibus;
« iis ita esse concedendum judico, ut si in suas
« possessiones venturi sint, et fructus suos col-
« lecturi, tribus diebus Dominicis, id est, tribus
« septimanis, in suis possessionibus degant;
« et in ecclesia quæ prope est, in qua presbyter
« populum congregat, ne a communione alienus
« videatur (episcopus) conveniat, et sacrificium
« celebret, et ne frequentius in civitate, in qua
« est episcopus, adsit. Eo enim modo, et res ejus
« propter ipsius absentiam nihil detrimenti pa-
« tientur, et arrogantiæ ac superbiæ crimen effu-
« gere videbitur. Omnes episcopi dixerunt : Pla-
« cet hæc quoque constitutio. »

ΒΑΛΣ. Ὁ μὲν ια' κανὼν διδάσκει περὶ τῶν ἀποδημησάντων ἐπισκόπων ἀπὸ πόλεως εἰς πόλιν, ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν· ὁ δὲ παρὼν κανὼν διορίζεται τοὺς ἐπισκόπους, τοὺς ἔχοντας ἀκινήτους μεγάλας κτήσεις εἰς ἀλλοτρίας ἐνορίας, ἀπαρεμποδίστως εἰς ταύτας ἀπέρχεσθαι διὰ τὴν συγκομιδὴν τῶν καρπῶν, καὶ οὕτω χειραγωγεῖν τοὺς πένητας. Πλὴν, φησὶ, ἐπὶ μὲν τρισὶ Κυριακαῖς ὀφείλει ὁ ἐπίσκοπος διάγειν εἰς τὰ οἰκεῖα κτήματα, καὶ μετὰ τῶν ἐγχωρίων πιστῶν ἐκκλησιάζειν καὶ συλλειτουργεῖν, ἤτοι συνεύχεσθαι μετὰ τοῦ ἐκεῖσε ὄντος πρεσβυτέρου, ἵνα μὴ δοκῇ χωρὶς συνελεύσεως ἐκκλησιαστικῆς εἶναι, καὶ προσκρούειν πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν. Μετὰ δὲ τὰς τρεῖς

BALS. Undecimus canon docet de episcopis, qui a civitate in civitatem peregre proficiscuntur, vel a provincia in provinciam : præsens autem canon statuit, ut episcopi, qui magnas habent immobiles possessiones in alienis regionibus, in eas sine ullo impedimento proficiscantur ad fructus colligendos, et sic pauperes sustentent. Cæterum tribus, inquit, Dominicis debet episcopus in suis possessionibus agere, et cum illius regionis fidelibus in ecclesiam convenire, et una celebrare, seu una orare cum presbytero qui illic est; ne videatur esse ab ecclesiastica communione alienus, et in canonem supra positum offendere, qui quidem eos segregat, qui tribus Dominicis in ecclesiam non conveniunt, Cæterum post tres Dominicos non fre-

quentius in civitate versari, in qua est episcopus. Si enim, inquiunt, hoc ita fiat, nec ipse in damnum pecuniarium incidet, eo quod in ejus præsentia fructus colligantur : nec regionis **500** episcopus eum arrogantiæ insimulabit. Hæc cum ita se habeant, ne dixeris esse necessarium episcopo qui versatur in possessionibus quæ sunt extra suam ecclesiam, illic tribus Dominicis sedere, et non accedere in urbem in qua est ejus regionis episcopus; sed consilium tantum dari, ut vitetur scandalum. Si enim velit postea in civitatem proficisci, et cum illius regionis episcopo familiariter colloqui, et in suas ecclesiasticas possessiones redire, non vetabitur. Est enim scopus canonis, ne illius regionis episcopus turbetur ab episcopo, qui ultra suæ diœcesis fines accedit, et ab ipso fortasse injuria afficiatur. Lege et quæ in canone 16 primæ et secundæ synodi a nobis scripta sunt. Et nota quod in immobilibus alienarum ecclesiarum possessionibus illius regionis episcopus episcopalia jura exercet. Ex longa autem consuetudine sæpe synodaliter confirmata, thronus Constantinopolitanus in omnium ecclesiarum regionibus dat jus figendi crucem, et non solum in iis relationem habet, sed et in possessionibus quas habet ubicunque. Quidam autem dicunt, hanc sanctam sedem hoc jus habere, non solum in possessionibus, quas dominii jure obtinet, sed etiam in immobilibus monasteriorum, quæ ei subjecta sunt, ubicunque ea sita sint. Recte autem accepimus liturgiam sive sacrorum celebrationem pro oratione. Sacra enim celebrare, seu sacrificare, sine episcopi regionis permissione, non potest.

A Κυριακὰς μὴ παραβάλλειν συχνότερον ἐν τῇ πόλει ἐν ᾗ ὁ κατὰ τόπον ἐστὶν ἐπίσκοπος· τούτου γὰρ, φασὶν, οὕτω γινομένου, οὔτε αὐτὸς ὑποπέσῃ χρηματικῇ ζημίᾳ, διὰ τὸ κατὰ παρουσίαν αὐτοῦ γενέσθαι τὴν συγκομιδὴν τῶν καρπῶν, οὔτε ὁ ἐγχώριος ἐπίσκοπος ἀλαζονείαν τούτῳ ἐπιγράψηται. Τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἀναγκαστικὸν εἶναι τῷ ἐπιδημήσαντι ἐπισκόπῳ εἰς τὰ παρ' ἐνορίαν κτήματα τῆς ἐκκλησίας αὐτοῦ ἐπὶ τρισὶ Κυριακαῖς ἐκεῖσε καθῆσθαι, καὶ μὴ παραβάλλειν ἐν τῇ πόλει ἐν ᾗ ὁ ἐγχώριός ἐστιν ἀρχιερεὺς, ἀλλὰ συμβουλευτικὸν διὰ τὸ ἀσκανδάλιστον. Εἰ γὰρ θέλει ἀπεντεῦθεν εἰς τὴν πόλιν ἀπελθεῖν καὶ συνομιλῆσαι εἰρηνικῶς τῷ ἐγχωρίῳ ἀρχιερεῖ, καὶ ὑποχωρῆσαι εἰς τὰ ἐκκλησιαστικὰ
B αὐτοῦ κτήματα, οὐ κωλυθήσεται. Ὁ γὰρ σκοπὸς τοῦ κανόνος οὐδέν τι ἕτερόν ἐστιν ἀλλ' ἢ τὸ μὴ ὀχλεῖσθαι τὸν ἐγχώριον ἐπίσκοπον ὑπὸ τοῦ παρ' ἐνορίαν ἐκεῖσε ἀφικνουμένου ἐπισκόπου, καὶ παρ' αὐτοῦ ἴσως περιυβρίζεσθαι. Ἀνάγνωσον καὶ τὰ ἐν ις' κανόνι τῆς α' καὶ β' συνόδου γραφέντα παρ' ἡμῶν. Καὶ σημείωσαι ὅτι εἰς τὰς ἀκινήτους κτήσεις τῶν ἀλλοτρίων ἐκκλησιῶν ὁ ἐγχώριος ἐπίσκοπος ἐνεργεῖ τὰ ἀρχιερατικὰ δίκαια. Ἀπὸ μακρᾶς δὲ συνηθείας βεβαιωθείσης πολλάκις συνοδικῶς ὁ θρόνος τῆς Κωνσταντινουπόλεως σταυροπήγιά τε δίδωσιν εἰς πάσας τὰς τῶν ἐκκλησιῶν ἐνορίας, καὶ ἀναφορὰν ἔχει οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ἐφ' αἷς ἔχει ἀκινήτοις κτήσεσιν ὁπουδήποτε. Τινὲς δὲ λέγουσι τὸ αὐτὸ δίκαιον ἔχειν τὸν αὐτὸν ἅγιον θρόνον, οὐ μόνον εἰς τὰς διαφερούσας
C τούτῳ κυριαρχικῷ δικαίῳ κτήσεις, ἀλλὰ καὶ εἰς τὰ ἀκίνητα τῶν ὑποκειμένων τούτῳ μοναστηρίων ὁπουδήποτε διακείμενα. Καλῶς δὲ ἐξελαβόμεθα τὴν λειτουργίαν ἀντὶ εὐχῆς. Λειτουργεῖν γὰρ ἤτοι ἱερουργεῖν χωρὶς ἐπιτροπῆς τοῦ κατὰ χώραν ἐπισκόπου ἀδύνατόν ἐστιν.

ZONAR. Episcopi quidam, inquit canon, in ejus urbis, cui præsunt, regionibus proprias (ecclesiarum videlicet, non autem quas in privatis ipsorum facultatibus numerent), admodum exiguas; iidem in aliis regionibus amplas sane possessiones habent, ex quarum fructibus pauperum inopiam sublevare, necessaria ipsorum usibus suppeditantes, queant. Quos proinde fructus, ut colligant, in eas regiones aliquando ipsis necessario sit commeandum. Episcopo igitur, inquit, in suos agros profecto degere in aliena ditione ita liceat, ut ne ad urbanum episcopum trium hebdomadarum intervallo se conferat; sed in suis sese possessionibus contineat, ac in propinquam eis ecclesiam conveniat, in quam populus a presbytero convocari solet, ibique liturgiæ vacet. Liturgiæ porro nomine hoc loco, non sacrorum celebrationem, incruentique sacrificii oblationem, sed statas preces, ac hymnos, qui solemni more Deo concinuntur, intelligi oportet. Nam sacra facere, aut aliud quidpiam summi sacerdotii munus in aliena regione obire, absque ejus, qui præest, episcopi facultate, qui possit? Depositione etenim, qui id fecerit, tricesimi sexti

ΖΩΝΑΡ. Τῶν ἐπισκόπων τινὲς, φησὶν ὁ κανὼν, ἐν ταῖς χώραις τῶν πόλεων ἐν αἷς ἐπισκοποῦσιν, ὀλίγα κέκτηνται ἴδια τῶν ἐκκλησιῶν αὐτῶν, ἀλλ' οὐχὶ ἴδια τῆς οἰκείας περιουσίας· ἐν δὲ ἑτέραις χώραις ἔχουσι κτήσεις μεγάλας, ἐξ ὧν δύνανται βοηθεῖν τοῖς πένησι, διδόντες αὐτοῖς τὰ πρὸς χρείαν, ὥστε ἀναγκαῖον εἶναι αὐτοῖς ἀπέρχεσθαι ἐκεῖ διὰ τὴν συλλογὴν τῶν καρπῶν. Οὕτως οὖν, φησὶ, συγχωρείσθω
D εἰς ἑτέραν ἐνορίαν διάγειν ἐπίσκοπος, ἵνα ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνέρχοιτο τῷ ἐπισκόπῳ τῆς πόλεως, ἀλλ' ἐν τοῖς ἀγροῖς αὐτοῦ διάγῃ, καὶ ἐν τῇ πλησιαζούσῃ ἐκεῖ ἐκκλησίᾳ ἐν ᾗ πρεσβύτερος τὴν σύναξιν τοῦ λαοῦ ποιεῖται, συνέρχηται, καὶ λειτουργῇ. Τὸ δὲ λειτουργεῖν ἐνταῦθα οὐχὶ τὸ ἱερουργεῖν καὶ προσφέρειν τὴν ἀναίμακτον θυσίαν νοητέον, ἀλλὰ τὸ εὔχεσθαι, καὶ τοὺς συνήθεις ὕμνους τῷ Θεῷ ἀναπέμπειν. Πῶς γὰρ ἱερουργῆσαι ἠδύνατο, ἢ ἄλλο τι ποιῆσαι ἀρχιερατικὸν δίκαιον εἰς ἀλλοτρίαν ἐνορίαν, μὴ παρὰ τοῦ ἐπισκόπου τῆς χώρας τοῦτο ἐπιτραπείς; Κατὰ γὰρ τὸν ις' κανόνα τῶν ἀποστόλων καθαιρεῖται ὁ τοῦτο ποιήσας. Καὶ τὸ συνέρχεσθαι δὲ εἰς ἐκκλησίαν, καὶ συνεύχεσθαι τοῖς ἐκεῖσε πιστοῖς, διὰ τοῦτο, φασὶν, ἐπιτρέπομεν, ἵνα μὴ δοκῇ χωρὶς

συνελεύσεως εἶναι, καὶ προσκρούῃ πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα, τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν· μὴ μέντοι, φασὶ, συνεχέστερον εἰς τὴν πόλιν τῆς χώρας ἐκείνης παραγίνοιτο, ἵνα οὕτω μήτε ζημίαν τινὰ ὑποστῇ ἐκ τοῦ μὴ ἐπιτηρεῖν τὰ οἰκεῖα, καὶ τὸ τῆς ἀλαζονείας ἐκκλίνῃ αἰτίαμα, μὴ διὰ δόξαν νομιζόμενος ἀπιέναι εἰς ἑτέραν πόλιν ἢ χώραν, ὥστε διδάσκειν, καὶ καταισχύνειν τὸν ἐν ἐκείνῃ ἐπίσκοπον. A apostolici canonis decreto multari debet. Ut vero in ecclesiam conveniat, ibique cum fidelibus precationi vacet, idcirco, inquiunt, permittimus, ne a communione alienus esse videatur, neve in canonem supra propositum offendat, per quem ei, qui tribus hebdomadis in ecclesiam non convenerit, segregatio indicta est, non tamen in urbem ejus regionis frequentius commeet; ut hoc pacto neque facultates neglectas detrimenti aliquid subeat, neque arrogantiæ reprehensionem incurrat, quasi gloriolæ aucupandæ studio in alienam urbem aut regionem, docendi causa, ac ejus, qui in ea degit, episcopi sugillandi sit profectus.

ΑΡΙΣΤ. « Ἐπίσκοπος κτήσεις κεκτημένος ὑπερορίους, εἰ μέλλει ἐν ταύταις εἶναι, μὴ πλέον « ἐκεῖσε μενέτω Κυριακῶν τριῶν διαστήματος. « Οὕτω γὰρ ἡ οἰκεία τοῦτον ποίμνη καταπλουτήσει, καὶ αὐτὸς ἄτυφος διαμένοι. » B

ARIST. « Episcopus qui possessiones habet extra « dioecesis suæ limites, si eas sit invisurus, ne plus « quam trium Dominicarum spatio ibi maneat. « Sic enim ipsius grex eo fruetur, ipseque fastus « suspicione carebit. »

Κτήματά τινες τῶν ἐπισκόπων εἰ ἔχοιεν ἐν ἀλλοτρίαις ἐπισκοπαῖς κείμενα, οὐ κωλύονται ἀπέρχεσθαι εἰς ἐπιτήρησιν τούτων, καὶ τὴν συλλογὴν τῶν καρπῶν ποιεῖσθαι. Πλὴν καὶ οὗτοι πλέον τριῶν ἑβδομάδων ἐν ἀλλοτρίαις ἐγχρονίζειν οὐ συγχωρήσεται· ἵνα μήτε τὰ τῆς ἐκκλησίας αὐτῶν πράγματα διὰ τὴν ἀπουσίαν αὐτῶν ἀπόλωνται, μήτε ἔγκλημα τύφου καὶ ἀλαζονείας αὐτοῖς προσάψωσιν, ἐπὶ μακρότερον ἐν ἀλλοτρίᾳ πόλει ἐνδιατρίβουσι.

Si qui episcoporum possessiones in alienis episcopatibus positas habeant, illuc adire, ut eas observent et fructus colligant, non prohibentur. Sed et hi plusquam tres hebdomades in alienis episcopatibus immorari non permittuntur. Ut nec suæ ecclesiæ negotia per absentiam 501 eorum damnum patiantur, nec superbiæ et ostentationis accusationem sibi affigant, eo quod plus temporis in aliena civitate consumant.

ΚΑΝΩΝ Ιʹ.

« Ὅσιος ἐπίσκοπος εἶπε· Ἐάν τις διάκονος, ἤτοι « πρεσβύτερος, ἢ καὶ τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν « εἰδότα αὐτὸν καταφύγῃ, γινώσκοντα ἀπεκεῖνῆσθαι αὐτὸν τῆς κοινωνίας παρὰ τοῦ ἰδίου « ἐπισκόπου, μὴ χρῆναι τῷ ἐπισκόπῳ καὶ ἀδελφῷ « αὐτοῦ ὕβριν ποιοῦντα παρέχειν αὐτῷ κοινωνίαν. « Εἰ δὲ τολμήσοι τοῦτο ποιῆσαι, γινωσκέτω συνελθόντων ἐπισκόπων ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον « καθεστάναι. » C

CANON XIII.

« Osius episcopus dixit: Si quis diaconus, vel presbyter, vel clericus sit excommunicatus, et ad « alium episcopum, cui notus sit, confugerit, qui « scit eum a proprio episcopo esse communione « motum; non oportere episcopo et fratri suo « injuriam facere, et ei communionem præbere. « Sin autem hoc facere ausus fuerit, sciat, cum « convenerint episcopi, seipsum causam esse dicturum. »

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιβʹ, ιηʹ, λβʹ καὶ λγʹ κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ςʹ, τὰ αὐτὰ λέγοντας.

BALS. Lege canonem 12, 14, 32 et 33 sanctorum apostolorum, et Antiochenæ synodi canonem 6, qui dicunt eadem.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἀποστολικοὶ κανόνες καὶ συνοδικοὶ πολλοὶ διετάξαντο. Ὅτε γὰρ λβʹ καὶ λγʹ τῶν ἁγίων ἀποστόλων κανὼν, καὶ ὁ ιγʹ τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὰ αὐτὰ τεθεσπίκασιν.

ZONAR. Plures hoc idem tum apostolici tum synodici canones decrevere. Eadem namque et tricesimo secundo et trecesimo tertio sanctorum apostolorum canone, et Antiochenæ synodi decimo tertio statuta reperias. D

ΑΡΙΣΤ. « Ὁ τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα κοινωνίας μετὰ γνῶσιν ἀξιῶν οὐκ « ἀνεύθυνος. »

ARIST. « Qui a proprio episcopo excommunicatum « communione sciens dignatur, non est innoxius. »

Ὁ ἐν εἰδήσει δεξάμενος τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα πρεσβύτερον, ἢ διάκονον, ἢ καί τινα τῶν κληρικῶν, καὶ συγκοινωνήσας, ἤτοι συλλειτουργήσας αὐτῷ, οὐκ ἀνεύθυνος, ἀλλ' ἀφορισθήσεται καὶ αὐτὸς, κατὰ τὸν δωδέκατον κανόνα τῶν ἁγίων ἀποστόλων.

Qui presbyterum, vel diaconum vel et aliquem clericorum a proprio episcopo excommunicatum sciens acceperit, et communicaverit, aut cum eo sacra peregerit, crimine non vacat, sed et ipse segregabitur, secundum sanctorum apostolorum canonem 12.

ΚΑΝΩΝ ΙΔʹ.

« Εἴ τις ἐπίσκοπος (79) ὀξύχολος εὑρίσκοιτο, ὅπερ

CANON XIV.

« Si inveniatur quis episcopus ad iram propensus,

Guill. Beveregii notæ.

(79) *Εἴ τις ἐπίσκοπος.* Huic etiam canoni in codice Amerbachiano aliud scholion annexum habetur sic se habens, Οὗτος ὁ κανὼν ἐναντίος τοῖς πρὸ αὐτοῦ ἐστι καὶ συγχύσεων καὶ σκανδάλων αἴτιος· τὸ μὲν γὰρ τὸν κατασκασθέντα ὑπὸ τοῦ ἐπισκόπου κληρικὸν ἐπὶ τὸν κοινὸν ἐπιτρέχειν μητροπολίτην

« quod quidem ab ejusmodi homine abesse debet, A « et adversus presbyterum vel diaconum cito « commotus, eum ex ecclesia ejicere voluerit; « providendum est, ne is repente condemnetur, « et communione privetur. Omnes episcopi di- « xerunt: Qui ejicitur potestatem habeat confu- « giendi ad episcopum metropolis ejusdem pro- « vinciæ: si autem metropolitanus abest, ad « finitimum concurrendi, et rogandi ut suum « negotium accurate examinet. Neque enim non « sunt aures præbendæ iis qui rogant. Ille quo- « que episcopus, qui jure vel injuria eum expu- « lit, æquo animo ferre debet, ut rei fiat exami- « natio, et vel ejus confirmetur sententia, vel « corrigatur. Priusquam autem diligenter et ex « fide singula examinata fuerint, qui communio- B « nem non habet, non debet ante rei cognitio- « nem sibi suo jure communionem tribuere: si « vero clerici aliqui convenerint, et ejus super- « biam et arrogantiam viderint; quia non conve- « nit contumeliam vel injustam expostulationem « pati, acerbioribus et gravioribus verbis eum « debent corrigere, ut jubenti quæ decet, inser- « viant et obediant. Sicut enim debet episcopus « ministris sinceram dilectionem et affectionem « præbere, eodem modo et subjecti debent epi- « scopis non fraudulentum ministerium et obse- « quium exhibere. »

« οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι, « καὶ ταχέως ἀντικροῦ πρεσβυτέρου ἢ διακόνου « κινηθεὶς, ἐκβαλεῖν ἐκκλησίας τινὰ ἐθελήσοι, « προνοητέον ἐστὶ μὴ ἀθρόον τὸν τοιοῦτον κατα- « κρίνεσθαι, καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. « Πάντες ἐπίσκοποι εἰρήκασιν· Ὁ ἐκβαλλόμενος « ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητρο- « πόλεως τῆς αὐτῆς ἐπαρχίας καταφυγεῖν· εἰ δὲ « ὁ τῆς μητροπόλεως ἄπεστιν, ἐπὶ τὸν πλησιό- « χωρον κατατρέχειν καὶ ἀξιοῦν, ἵνα μετὰ ἀκρι- « βείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα. Οὐ χρὴ « γὰρ μὴ ἔχειν τὰς ἀκοὰς τοῖς ἀξιοῦσιν. Κἀκεῖ- « νος δὲ ὁ ἐπίσκοπος, ὁ δικαίως ἢ ἀδίκως ἐκβα- « λὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, ἵνα « ἡ ἐξέτασις τοῦ πράγματος γένηται, καὶ ἢ κυ- « ρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχῃ. « Πρὶν δὲ ἐπιμελῶς καὶ μετὰ πίστεως ἕκαστα « ἐξετασθῇ, ὁ μὴ ἔχων τὴν κοινωνίαν, πρὸ τῆς « διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει « ἐκδικεῖν τὴν κοινωνίαν· ἐὰν δὲ συνελθόντες « τῶν κληρικῶν τινες κατίδωσι τὴν ὑπερηφίαν « καὶ τὴν ἀλαζονείαν αὐτοῦ, ἐπειδὴ οὐ προσῆκόν « ἐστιν ὕβριν ἢ μέμψιν ἄδικον ὑπομένειν, πικρο- « τέροις καὶ βαρυτέροις ῥήμασιν ἐπιστρέφειν « τοῦτον ὀφείλουσιν, ἵνα τῷ τὰ πρέποντα κε- « λεύοντι ὑπηρετῶνται καὶ ὑπακούωσιν. Ὥσπερ « γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφεί- « λει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, « τὸν αὐτὸν τρόπον καὶ οἱ ὑπηρετούμενοι ἄδολα « τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν « ὀφείλουσιν. »

C

BALS. Didicisti ab aliis canonibus, quod non licet episcopis indicta causa suos clericos segregare. Præsens autem canon dicit, quod si episcopus ad iram propensus ac biliosus exsistens (etiamsi non debet esse talis episcopus, sed mitis et moderatus) presbyterum suum vel diaconum ira percitus segregaverit, providendum est, seu cura est adhibenda, ne is ex eo condemnatus existimetur, ut non una communicet, seu quæ sunt sacerdotalia exerceat cum iis qui sacra operantur. Dominus enim dixit: *Accipite Spiritum sanctum;* et, *Quorum remiseritis peccata, remittuntur eis; quorum autem retinueritis,* **502** *retenta sunt* [50]: non autem eos etiam, qui non peccant, punite. Sed potestatem habeat is, qui segregatus est, accedendi ad metropolitanum provinciæ, D cui scilicet subjectus est episcopus qui segregavit: ut segregationis causa coram eo examinetur. Si autem non adest metropolitanus, vadat is qui est

ΒΑΛΣ. Ἔμαθες ἀπὸ ἑτέρων κανόνων ὅτι οὐκ ἔξεστι τοῖς ἐπισκόποις ἀκρίτως ἀφορίζειν τοὺς κληρικοὺς αὐτῶν. Ὁ δὲ παρὼν κανὼν φησιν ὅτι, ἐὰν ἐπίσκοπος, ὀξύχολος καὶ θυμώδης ὑπάρχων (κἂν οὐκ ἐνδέχηται τοιοῦτον εἶναι τὸν ἐπίσκοπον, ἀλλὰ πρᾶον καὶ μετριόφρονα), ἀφορίσῃ ἀπὸ θυμοῦ πρεσβύτερον αὐτοῦ ἢ διάκονον, προνοητέον, ἤτοι φροντιστέον, μὴ ἀπεντεῦθεν τοῦτον κατακρινόμενον λογίζεσθαι, ὥστε μὴ συγκοινωνεῖν, ἤγουν μὴ ἐνεργεῖν τὰ τῆς ἱερατείας μετὰ τῶν ἱερουργούντων· ὁ γὰρ Κύριος, *Λάβετε*, εἶπε, *Πνεῦμα ἅγιον· ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ὧν δ' ἂν κρατῆτε, κεκράτηνται·* οὐ μὴν καὶ τοὺς μὴ ἁμαρτάνοντας κολάζετε. Ἀλλὰ ἐχέτω ἐξουσίαν ἀφορισθεὶς προσέρχεσθαι τῷ μητροπολίτῃ τῆς ἐκκλησίας, ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, ἐφ' ᾧ συστάδην τρηθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ. Εἰ δὲ οὐ πάρεστιν ὁ μητροπολίτης,

[50] Joan. xx, 22, 23.

Guill. Beveregii notæ.

ἀκόλουθον καὶ κανονικόν· τὸ δ' ἂν μὴ παρῇ ἐκεῖνος, εἰς ἕτερον καταφεύγειν καὶ κύριον καὶ ἐξεταστὴν ποιεῖν τοῦ ἐπισκόπου αὐτοῦ τὸν μηδέποτε ἐξουσιάζοντα αὐτοῦ (ἡ γὰρ τῆς πράξεως ἐξέτασις δηλονότι τὸν πεπραχότα συνεξετάζειν καὶ ὑπόδικον ποιεῖν), πῶς οὐ παράλογον, καὶ παρεκτικὸν θορύβου καὶ ταραχῆς, καὶ τῆς εὐταξίας λυμαντικόν. *Hic canon contrarius est iis, quæ ante ipsum sunt, et confusionum et scandalorum causa. Clericum enim ab episcopo condemnatum ad communem confugere metropolitanum consentaneum est et canonicum: si metropolitanus autem non præsto sit, ad alium confugere, eumque dominum et examinatorem episcopi sui constituere, qui nullam omnino in eum potestatem habeat* (nam actionem discutere idem est atque examinare et obnoxiam facere), *quam absurdum est, tumultum et seditionem movens, et bono ordini exitiosum!* Verum hæc ipsa fere verba ab Aristeno post citatum hunc canonem in synodo Carthaginensi usurpantur, pag. 512.

ἐπαλθέτω ὁ ἀφορισθεὶς εἰς τὸν πλησιόχωρον μητροπολίτην, ἐφ' ᾧ τηρηθῆναι παρ' ἐκείνου τὸ πρᾶγμα. Τούτου δὲ γενομένου, μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω, ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, καὶ καρτερείτω ἢ τὸν στηριγμὸν τοῦ ἀφορισμοῦ, ἢ τὴν διόρθωσιν. Ὡς δέ τινος εἰπόντος, μεγάλως ἐκ τούτου βοηθεῖσθαι τὸν ἀφορισθέντα εἰς τὸ μὴ ἐμποδίζεσθαι τὴν ἱερατικὴν αὐτοῦ ἐνέργειαν ἐκ τοῦ ἀφορισμοῦ διὰ τοὺς κανόνας τοὺς λέγοντας, πρὸ καταδίκης ἐντελοῦς μηδένα τιμωρεῖσθαι, φησὶν ὁ κανὼν ὅτι, κἂν κοινωνικός ἐστιν ὁ ἀφορισθεὶς καὶ τὰ τοῦ ἀφορισμοῦ ὑπὸ ἐξέτασιν ἔπεσον, ἀλλ' οὐκ ὀφείλει αὐτεκδίκητος γίνεσθαι καὶ ἱερουργεῖν πρὸ τοῦ δικαιωθῆναι. *Ὁ γὰρ ἀθετῶν*, φησὶν, *ὑμᾶς, ἐμὲ ἀθετεῖ*. Τοίνυν ὀφείλουσιν οἱ λοιποὶ κληρικοὶ, οἱ *ἰδόντες* τοῦτον ἱερουργοῦντα μετὰ τὸ ἀφορισθῆναι, ἐξ ὑπερηφίας ἤτοι ἀλαζονείας, ἐπιστρέφειν αὐτὸν εἰς ταπείνωσιν πικροτέροις ῥήμασιν, ἤτοι ὀνειδιστικοῖς, οὐ μὴν καὶ ὑβριστικοῖς· οὕτω γὰρ δόξουσι ὑπήκοοι καὶ ὑπηρέται τῶν ἐπισκοπικῶν κελεύσεων. Ὥσπερ γὰρ, φησὶ, χρέος ἔχει ὁ ἐπίσκοπος ἀγαπᾷν τοὺς κληρικοὺς αὐτοῦ, οὕτω καὶ αὐτοὶ ὀφείλουσιν ἀδόλον τὴν ὑπηρεσίαν ἀπονέμειν τοῖς ἐπισκόποις. Μὴ εἴπῃς δὲ πολλοῖς κανόσιν ἐναντιοῦσθαι τὸν παρόντα κανόνα, διοριζόμενον ἀνατρέχειν τὸν ἀφορισθέντα πρὸς τὸν πλησιόχωρον μητροπολίτην, εἴπερ ὁ ἐπαρχιώτης μητροπολίτης ἀποδημεῖ, ἐφ' ᾧ παρὰ τούτου κατεξετασθῆναι τὰ τοῦ ἀφορισμοῦ. Θεμάτισον γὰρ ἢ ἐνταλθῆναι τὸν πλησιόχωρον ἀρχιερέα παρὰ τοῦ ἀποδημήσαντος μητροπολίτου τοιούτων ἀκροᾶσθαι ἐκκλησιαστικῶν ὑποθέσεων ἀνηκουσῶν τῇ ἐκείνου ἐπαρχίᾳ, ἢ αἱρετὸν καταστῆναι τοῦτον δικαστὴν παρά τε τοῦ ἐπισκόπου καὶ τοῦ κληρικοῦ. Ἄλλως γὰρ οὐ δύναται ὁ πλησιόχωρος μητροπολίτης δικάζειν ἐπίσκοπον ἢ κληρικὸν ἑτέρας ἐπαρχίας, καθὼς καὶ ἐν τοῖς προλαβοῦσι κανόσιν εἰρήκαμεν. Πρὸς δὲ τὸν ἴσως ἐρωτήσαντά σε, Πῶς οὐ τιμωρεῖ ὁ κανὼν τὸν μὴ ἐμμείναντα τῷ ἀφορισμῷ, ἀλλὰ καταφρονήσαντα τούτου καὶ ἱερουργήσαντα; εἰπὲ ὅτι ὁ κ' κανὼν τῆς παρούσης συνόδου γενικῷ τῷ λόγῳ καθαιρεῖσθαι διορίζεται τοὺς παραβαίνοντας τὰ ἐν ταύτῃ διορισθέντα. Καὶ ὁ κθ' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ἐκ μόνης ταύτης τῆς αἰτίας τὸν τοιοῦτον καταδικάζει, ὥσπερ ἂν εἰ εὐλόγως ἀφωρίσθη. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος ὅτι οὐκ ἔστιν ὑβριστικὸν τῷ ἐπισκόπῳ τὸ τὸν ἀφορισθέντα ζητεῖν κατεξετασθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ· καὶ ὅτι, κἂν ὅπως ἂν ἀφορισθῇ ὁ κληρικὸς, ὀφείλει δέχεσθαι τὸν ἀφορισμὸν καὶ ἀναμένειν τὴν ἐξέτασιν. Θαυμάζω δὲ πῶς οὐ διωρίσαντο οἱ Πατέρες τί ὀφείλει γίνεσθαι, ἐὰν ὁ πάππας λόγου χάριν ἀφορίσῃ κληρικὸν αὐτοῦ ἀνευλόγως, καὶ αἰτιᾶται μὲν τὸν ἀφορισμὸν ὁ κληρικός· οὐ δύναται δὲ πρὸς μείζονα σύνοδον ἀπελθεῖν καὶ προθεῖναι τὴν αἰτίασιν. Τὰ μέντοι ἐνταῦθα διορισθέντα χάριν πρεσβυτέρων καὶ διακόνων ἐκληπτέον καὶ εἰς τοὺς λοιποὺς κληρικούς, ἀλλὰ μὲν καὶ λαϊκούς.

A segregatus ad metropolitanum proximum, ut negotium ab eo examinetur. Hoc autem facto qui segregavit episcopus non succenseat, sed æquo animo ferat examinationem, et segregationis confirmationem, vel ejus correctionem forti animo sustineat. Tanquam autem dixisset aliquis, magnum ex eo illi, qui segregatus est, auxilium afferri, quod sacerdotalis functio non impediatur a segregatione, propter canones qui dicunt, ante perfectam condemnationem neminem puniri debere; dicit canon, quod etiamsi sit communicandi potestate præditus qui est excommunicatus, et ejus segregatio ad examinationem recidit; non tamen sibi debet eam sua jure tribuere, et sacrificare, antequam jus suum probaverit. *Qui enim vos spernit*, inquit, *me spernit* [91]. Debent ergo clerici, qui eum vident sacrificantem postquam segregatus fuerit, ex superbia vel arrogantia, eum ad humilitatem convertere verbis acerbioribus seu exprobratoriis, non tamen etiam contumeliosis: sic enim videbuntur esse subjecti et ministri episcopalium jussionum. Sicut enim, inquit, debet episcopus suos clericos amare, sic et ipsi debent citra fraudem episcopis ministerium exhibere. Ne dixeris autem hunc canonem esse multis canonibus contrarium, statuentem eum, qui est excommunicatus, debere ad vicinæ regionis metropolitanum recurrere, si absit metropolitanus provinciæ, ut ab eo examinetur segregatio. Finge enim vel finitimæ regionis antistiti ab absente metropolitano fuisse mandatum, ut causas istiusmodi ecclesiasticas ad suam provinciam pertinentes audiat, vel eum fuisse electum judicem ab episcopo et clerico. Neque enim aliter potest vicinæ regionis metropolitanus judicare episcopum vel clericum alius provinciæ, quemadmodum in præcedentibus canonibus diximus. Ei autem qui te forte interrogavit: Quomodo non punit canon eum, qui in segregatione non acquievit, sed eam neglexit, et sacra celebravit die, quod canon 20 præsentis synodi generali sermone eos deponendos decrevit qui, quæ hic decreta sunt transgrediuntur. Et canon 29 Carthaginiensis synodi ex hac sola causa eum condemnat, perinde ac si juste fuisset depositus. Nota ergo ex præsenti canone, quod nulla sit episcopo injuria, si is, qui est segregatus, quærat segregationis causam examinari: et quod quomodocunque fuerit segregatus clericus, debet segregationem admittere, et exspectare examinationem. Miror autem, quomodo non definiunt Patres, quid sit faciendum, si papa, verbi gratia, clericum suum injuste segregaverit, et segregationem quidem incuset clericus; non potest autem ad majorem synodum proficisci, et accusationem proponere. Quæ autem de presbyteris et diaconis hic sunt definita, de reliquis etiam clericis, quia et laicis, accipienda sunt.

[91] Luc. x, 16.

ZONAR. Si quis episcopus, inquiunt Patres, sit ad iracundiam proclivior, (quamvis tales episcopos esse haudquaquam deceat), isque diaconum quempiam, aut presbyterum, in eos vehementius commotus, extra ecclesiam ejiciat, hoc est, segregatione puniat : ne ille repente, hoc est, subito et absque causa communione privetur, providendum scilicet et curandum est. Confugiat vero is, qui ejectus est, ad metropolitanum provinciæ, eum videlicet, cui episcopus quoque ille auctor segregationis subjectus est; illumque roget ut negotium, id scilicet quod contra ipsum ab episcopo actum est, diligenter examinet. Neque vero aut supplices negligere fas est, aut episcopus, a quo irrogata segregatio est, ea inquisitione offendi, quin id potius magno animo ferre debet; ut vel pronuntiata sententia, si justa fuerit, confirmetur : vel, si ab æquitate discrepaverit, corrigatur. Qui **503** vero segregatione damnatus est, ante causæ cognitionem ne se in communionem fidelium impudenter insinuet. Quod si qui ex clericis illius episcopi, a quo segregatus est, adversus ipsum insolentius efferri illum animadverterint, verbis eum acerbioribus, gravioribus, vehementiorem scilicet objurgationem continentibus, detorquere ac flectere, hoc est, ad animi remissionem modestamque subjectionem revocare conentur : quod quidem eos, tanquam episcopo suo subservientes ac morigeros, præstare decet. Sicut enim, inquit, episcopi erga ministros suos, clericos videlicet, sinceram animi affectionem præ se ferre, sic illi vicissim episcopis ministerium nulla contagione doli contaminatum præstare debent. Quod autem ait canon licere, absente metropolitano, ei qui segregatus est, ad viciniorem episcopum provocare, nunquam usurpatum fuisse existimo; nostri certe temporis consuetudo non admittit. Quomodo enim ab altero metropolitano, cui subjectus non est episcopus segregationis auctor, de ea segregatione, jurene an injuriam decreta fuerit, quæstionem haberi permittat? Vide synodi Carthaginensis canonem undetricesimum.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος, φασὶν οἱ Πατέρες, ὀξύχολος ᾖ, ἤτοι ὀργίλος, εἰ καὶ οὐκ ἐνδέχεται τοιούτους εἶναι τοὺς ἐπισκόπους, καὶ κινηθεὶς εἰς θυμὸν κατὰ διακόνου ἢ πρεσβυτέρου ἐκβάλῃ τῆς ἐκκλησίας τινὰ, ἤγουν ἀφορίσῃ, προνοητέον ἤτοι φροντιστέον, μὴ ἀθρόον, ἤγουν αἰφνιδίως καὶ χωρὶς σκοποῦ, τὸν τοιοῦτον τῆς κοινωνίας ἀποστρεφεῖσθαι. Καταφευγέτω δὲ ὁ ἐγκληθεὶς πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας, ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, καὶ ἀξιούτω, ἵνα παρ' αὐτοῦ ἀκριβῶς ἐξετασθῇ τὸ πρᾶγμα, ἤτοι ἡ ἐπ' αὐτῷ πρᾶξις τοῦ ἐπισκόπου. Οὐ χρὴ γὰρ παροράσθαι τοὺς αἰτουμένους, καὶ μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω· ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, ἵνα ἡ κυρωθῇ ἡ ἀπόφασις αὐτοῦ δικαία οὖσα, ἢ διορθωθῇ. Ὁ δὲ ἀφωρισμένος οὐκ ὀφείλει πρὸ τῆς διαγνώσεως ἀναιδῶς προσιέναι τῇ κοινωνίᾳ. Ἐὰν δὲ ἴδωσιν αὐτόν τινες τῶν κληρικῶν τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου ἐπαιρόμενόν τε καὶ ἀλαζονευόμενον κατὰ τοῦ ἀφορίσαντος αὐτὸν, ὀφείλουσιν ἐπιστρέφειν αὐτὸν, τουτέστιν εἰς ταπείνωσιν ἄγειν καὶ ὑποταγὴν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν, ὀνειδιστικοῖς δηλαδὴ καὶ ἐπεξελευστικοῖς· τοῦτο δὲ ποιεῖν ὀφείλουσιν, ὡς ὑπηρετοῦντες καὶ ὑπακούοντες τοῦ ἐπισκόπου αὐτῶν. Ὥσπερ γὰρ, φησὶ, χρέος ἔχει ὁ ἐπίσκοπος ἐνδείκνυσθαι καθαρὰν διάθεσιν πρὸς τοὺς ὑπηρέτας, ἤτοι τοὺς κληρικοὺς αὐτοῦ, οὕτως ἀρίδηλόν ἐστι κἀκείνους ὀφείλειν τὴν ὑπηρεσίαν τοῖς ἐπισκόποις ἄδολον ἐκτελεῖν. Τὸ δὲ λέγειν τὸν κανόνα μὴ ἐνδημοῦντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας καταφεύγειν τὸν ἀφορισθέντα ἐπὶ τὸν πλησιόχωρον, οἶμαι μηδέποτε ἐνεργῆσαι, τέως δὲ νῦν οὐ γίνεται. Πῶς γὰρ παρ' ἑτέρου μητροπολίτου, ᾧ οὐχ ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, πεισθήσεται δοκιμασθῆναι, εἰ δικαίως ἀφώρισεν ἢ μή; Ζήτει καὶ τῆς ἐν Καρθαγένῃ κανόνα κθ'.

ARIST. « Ab iracundo condemnatus, si auxilio indigeat, audiendus : donec vero auxilium impetraverit, excommunicatus maneat. »

Qui ab episcopo ad iram forsitan commoto segregatur clericus, si ad metropolitam, cui subjicitur episcopus, accedit, ut segregationis causam examinet; sive ea justa sit, sive non sit, admittetur. Antequam autem examinetur, et notum sit an juste segregatus fuerit necne, ad communionem non admittetur, sed in pœna manebit.

ΑΡΙΣΤ. « Ὁ παρ' ὀξυχόλου κακάκριτος, ἐπικουρίας δεόμενος, οὐκ ἀνήκοος. Ἄχρι δὲ τῆς ἐπικουρίας δηλαδὴ ἀκοινώνητος. »

Ὁ παρ' ἐπισκόπου εἰς θυμὸν ὡς ἔτυχε κινουμένου ἀφορισθεὶς κληρικὸς, εἰ προσέλθῃ τῷ μητροπολίτῃ ᾧ ὁ ἐπίσκοπος ὑπόκειται, ἐπὶ τὸ ἐξετάσαι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ, εἴτε εὔλογός ἐστιν, εἴτε καὶ μήν παραδεχθήσεται· πρὸ δὲ τοῦ ἐξετασθῆναι καὶ διαγνωσθῆναι, εἴτε καλῶς ἀφωρίσθη, εἴτε καὶ μή, οὐ παραδεχθήσεται εἰς κοινωνίαν, ἀλλ' ἐν τῷ ἐπιτιμίῳ ἔσται.

CANON XV.

« Si quis episcopus ex alia parœcia velit alienum « ministrum, sine consensu proprii episcopi, in « aliquo gradu constituere; irrita et infirma ejus- « modi constitutio existimetur. Si qui autem hoc « sibi ipsis permiserint, a fratribus et coepiscopis « et admoneri et corrigi debent. Omnes dixerunt : « Hoc quoque decretum stet firmum et immo- « bile. »

ΚΑΝΩΝ ΙΕ'.

« Εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ « ἀλλότριον ὑπηρέτην χωρὶς τῆς συγκαταθέσεως « τοῦ ἰδίου ἐπισκόπου εἴς τινα βαθμὸν καταστῆσαι, « ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη ἡ κατάστασις « νομίζοιτο. Εἴ τινες δ' ἂν τοῦτο ἑαυτοῖς ἐπιτρέ- « ψειαν, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων « καὶ ὑπομιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλου- « σιν. Ἅπαντες εἰρήκασι· Καὶ οὗτος ὅρος στήτω « ἀσάλευτος. »

ΒΑΛΣ. Ὁ ις' κανὼν τῆς ἕκτης συνόδου, μεταγενέστερος ὢν, καθαιρεῖσθαι διορίζεται καὶ τοὺς δεξαμένους καὶ τοὺς δεχθέντας. Ἀνάγνωθι καὶ τῆς ἐν Νικαίᾳ συνόδου κανόνα ις', τῆς ἐν Καρθαγένῃ νθ' καὶ ι' (80).

ΖΩΝΑΡ. Περὶ τούτου καὶ ὁ ις' κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ ὁ ις' τῆς ς' συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ νθ' καὶ ι' διαλέγονται, ἵνα μή τις ἐπίσκοπος ἑτέρου ἐπισκόπου κληρικὸν δέχηται, ἢ χειροτονῇ αὐτὸν εἰς μείζονα προάγων βαθμόν. Εἰ δὲ χειροτονήσει, ἄκυρος ἡ χειροτονία εἴη, εἰ μὴ ὁ πρότερος ἐπίσκοπος τοῦ κληρικοῦ ἐκείνου ἐπιτρέψῃ τὴν χειροτονίαν. Οἱ δὲ τοῦτο ἑαυτοῖς ἐπιτρέψαντες, τουτέστι τὸ οἰκειώσασθαι ἢ καὶ χειροτονῆσαι ἀλλότριον κληρικὸν, ὀφείλουσιν ὑπομιμνήσκεσθαι περὶ τούτου καὶ διορθοῦσθαι παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων. Ὁ δὲ ιδ' κανὼν τῆς ς' συνόδου, μεταγενεστέρας οὔσης παρὰ ταύτην τὴν σύνοδον, τοὺς ἔκτοτε χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου εἰς ἑτέραν μεταχωροῦντας ἐκκλησίαν καθαιρεῖσθαι κελεύει, καὶ τοὺς ὑποδεξαμένους αὐτούς.

ΑΡΙΣΤ. « Τὸν ἀλλότριον ὑπηρέτην ἀλλότριος δίχα « τῆς ἐκείνου γνώμης ἐμβαθμον καθιστὰς καθίστησιν, ἀλλ' ἀβέβαιον. »

Οὐ δεῖ ἐπίσκοπον ἀλλότριον κληρικὸν παραδέχεσθαι, καὶ εἰς βαθμόν τινα τάττειν αὐτὸν ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου. Εἰ δέ τις τοῦτο ποιήσει, καὶ τὸν ἀλλότριον ἐν τῷ ἰδίῳ κλήρῳ ἐγκαταστήσει· ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη ἔσται κατάστασις.

ΚΑΝΩΝ ΙΣ'.

« Ἀέτιος ἐπίσκοπος εἶπεν· Οὐκ ἀγνοεῖτε ὁποία καὶ « πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρό- « πολις. Πολλάκις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων « ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγί- « νονται, καὶ οὐκ ἀρκούμενοι βραχέος διαγωγῇ « χρόνου, ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον « αὐτόθι ποιοῦντες διατελοῦσιν, ἢ μόλις μετὰ « πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκ- « κλησίας ἀναγκάζονται. Περὶ τούτων οὖν ὁρι- « στέον. Ὅσιος ἐπίσκοπος εἶπεν· Οὗτοι οἱ ὅροι, « οἳ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλατ- « τέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει. Καὶ ἀνάγνωθι τὰ περὶ τούτου γραφέντα ἐν διαφόροις κανόσι.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει, καὶ τὰ ἤδη περὶ αὐτῶν ὡρισμένα τηρεῖσθαι διακελεύεται.

BALS. Septimus decimus canon sextæ synodi qui est recentior, jubet eos deponi et qui susceperunt et qui suscepti sunt. Lege et Nicænæ synodi canonem 16, Carthaginensis canones 64 et 90.

ZONAR. Hac de re Nicænæ quoque primæ synodi canon decimus sextus, et sextæ synodi decimus septimus, et Carthaginensis quinquagesimus quartus et nonagesimus disserunt. Qui quidem a quocunque episcopo alterius episcopi clericum admitti, atque ab eo ad altiorem ordinis gradum promoveri vetant. Ac si quis, nisi primi episcopi, cujus e ditione clericus est, facultate intercedente, promotus fuerit, collationem ejus ordinis irritam esse decernunt. Qui vero sibi hoc permiserint, ut vel alienum clericum sibi vindicent, vel eidem ecclesiasticos ordines conferant, ea de re a fratribus et coepiscopis admoneri et corrigi debent. Sextæ vero synodi, quæ hac posterior fuit, decimus septimus canon, qui ex eo tempore absque episcopi sui facultate in aliam ecclesiam transierint, quique præterea eosdem receperint, segregatione mulctandos esse decernit.

ARIST. « Alienum ministrum, si alienus citra il- « lius episcopi consensum in aliquo gradu con- « stituat, constituit quidem, sed ordinatio est in- « valida. »

Non oportet episcopum alienum clericum recipere, ei in aliquo gradu eum collocare, sine proprii episcopi voluntate. Si quis autem hoc fecerit, et alienum in sua Ecclesia constituerit, irrita et infirma erit istiusmodi constitutio.

504 CANON XVI.

« Aetius episcopus dixit : Non ignoratis cujusmodi « et quanta sit Thessalonicensium metropolis. « Sæpe itaque ad eam ex aliis provinciis presby- « teri et diaconi accedunt; et brevis temporis « mora non contenti, permanent, et omne tem- « pus illic agentes transigunt; vel vix tandem « post plurimum tempus in suas ecclesias reverti « coguntur. De iis ergo definiendum est. Osius « episcopus dixit : Ea decreta, quæ de episcopis « constituta sunt, serventur etiam in hujusmodi « personis. »

BALS. Hic quoque canon de clericis, qui a civitate in aliam civitatem transeunt, loquitur. Vide quæ de eo scripta sunt in diversis canonibus.

ZONAR. Hic quoque canon de clericis ex alia in aliam urbem migrantibus loquitur; quæque jam ante de iis constituta sunt servari jubet

Guill. Beveregii notæ.

(80) *Τῆς ἐν Καρθαγένῃ νθ' καὶ ι'.* Loco horum Balsamonis verborum in ms. Æthonicensi, hæc leguntur, Τῆς ἐν Ἀντιοχείᾳ κανόνα κβ'· τῆς ἐν Χαλκηδόνι κανόνα δέκατον καὶ κ'· ἐνταῦθα κανόνα πρώτου, β', ια' συνόδου· Καρθαγένης νθ' καὶ ι' συνόδου ι' κανόνα ις' καὶ ι'. *Synodi Antiochenæ canonem* 22. *Chalcedonensis can.* 10 *et* 20. *Hujus syn. can.* 1, 2 *et* 15. *Synodi Carthaginensis* 54 *et* 90 *et sextæ synodi canonem* 17 *et* 20. Sed hæc Balsamoni non adscribenda sunt· neque in alio codice exstant.

ARIST. « Quæ de longiori episcoporum mora de- « finita sunt, de presbyteris etiam ac diaconis « vim habent. »

Decretum est episcopum suum gregem non deserere, et in aliena civitate plusquam tres septimanas agere. Idem itaque et de presbyteris et diaconis præsens canon decernit; et eos nimirum plusquam tres septimanas ecclesias suas non derelinquere.

CANON XVII.

« Hoc quoque placuit, ut si quis episcopus vim pas- « sus injuste ejectus sit, vel propter scientiam, « vel propter catholicæ Ecclesiæ confessionem, « vel propter veritatis defensionem, et fugiens « periculum, innocens et exsecrationi subjectus « in aliam urbem venerit, ne prohibeatur illic « tandiu agere, donec revertatur, vel a facta sibi « injuria possit liberationem inveni re. Durum « enim est, atque adeo gravissimum, eum, qui « injustam ejectionem passus est, a nobis non « suscipi. Is enim debet a nobis plurima beni- « gnitate et humanitate excipi. »

BALS. Cum plurimi canones statuant non debere episcopum in aliena regione ultra tempus præfinitum versari, nunc dicunt Patres hoc non habere locum in episcopis ex ecclesiis suis ejectis, vel propter scientiam, id est, divinorum dogmatum bonam doctrinam, vel quod orthodoxam fidem confiteantur, vel quod eos defendant, qui injuria affecti sunt; et ideo propter magnam causam, et tanquam periculum fugientes, ut qui ab eis, a quibus expulsi sunt, pro exsecratis habeantur, sint autem revera insontes: sed sint in aliis quoque civitatibus sine impedimento, donec minæ periculi cessarint, et potuerit episcopus in ecclesiam quæ illum sortita est, reverti, vel ei facta in ejectione injuria vindicata fuerit. Durum est enim et inhumanum, eum non cum omni benignitate a fratribus suis excipi. Quare nota, quod ab urbium regina expelli non debent Orientales episcopi qui sedes non habent, nempe cum ecclesiæ a gentibus detinentur: et qui ab iniquis exactoribus expelluntur, eo quod pro eis dicant, qui injuria afficiuntur.

ZONAR. Cum episcopis in aliam urbem profectis, in qua alter episcopus sit, ultra tres hebdomadas in ea commorari vetitum esse hujus synodi Patres in superioribus definiverint; hoc loco nonnullis diuturniorem in aliena civitate moram trahendi facultatem esse decernunt. **505** Sunt vero ii, qui per injuriam ab ecclesiis suis depulsi sunt; sive casum hunc illis scientia conciliarit, quia nimirum, tanquam fidei dogmata egregie callerent operamque iisdem tradendis impenderent, hæreticorum conspiratione ejecti fuerint: cujus generis multa imperatoribus Constantio et Valente ab Arianis patrata sunt; sive ob Ecclesiæ catholicæ confessionem, quia scilicet quæcunque catholica Ecclesia tradit, de incarnationis videlicet mysterio,

ΑΡΙΣΤ. « Οἱ ἐπὶ τῆς τῶν ἐπισκόπων βραδύτητος « ὅροι καὶ ἐπὶ πρεσβυτέρων καὶ διακόνων ἔχουσι « δύναμιν. »

Ὥρισται τὸν ἐπίσκοπον μὴ τὴν οἰκείαν ποίμνην καταλιμπάνειν, καὶ ἐν ἑτέρᾳ πόλει πλέον τριῶν ἑβδομάδων ἐνδιατρίβειν. Τοῦτο γοῦν καὶ ἐπὶ πρεσβυτέρων καὶ διακόνων ὁ παρὼν ὁρίζει κανών, τὸ μὴ πλέον τριῶν ἑβδομάδων καὶ αὐτοὺς τὰς ἑαυτῶν ἐκκλησίας ἀπολιμπάνεσθαι.

ΚΑΝΩΝ ΙΖ'.

« Καὶ τοῦτο ἤρεσεν, ἵνα, εἴ τις ἐπίσκοπος βίαν ὑπο- « μείνας ἀδίκως ἐκβληθῇ ἢ διὰ τὴν ἐπιστήμην, ἢ « διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς Ἐκκλησίας, ἢ « διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν, καὶ φεύγων τὸν « κίνδυνον, ἀθῶος καὶ καθωσιωμένος ὢν εἰς ἑτέραν « ἔλθῃ πόλιν, μὴ κωλύηται ἐκεῖσε ἐπὶ τοσοῦτον « διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς « γενομένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ. « Σκληρὸν γὰρ καὶ βαρύτατον ἐλασίαν δόκιον ὑπο- « μεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν. Πλείστῃ « γὰρ καλοκαγαθίᾳ καὶ φιλοφροσύνῃ ὀφείλει πα- « ραδέχεσθαι ὁ τοιοῦτος. »

ΒΑΛΣ. Διαφόρων κανόνων διοριζομένων μὴ διάγειν ἐπίσκοπον εἰς ἑτέραν ἐνορίαν ἐπέκεινα τοῦ νενομισμένου καιροῦ, ἄρτι φασὶν οἱ Πατέρες τοῦτο μὴ κρατεῖν εἰς τοὺς ἐπισκόπους τοὺς ἐκβαλλομένους ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν, ἢ διὰ τὴν ἐπιστήμην, τουτέστι τὴν περὶ τὰ θεῖα δόγματα σπουδαίαν διδασκαλίαν, ἢ διὰ τὸ ὁμολογεῖν τὴν ὀρθόδοξον πίστιν, ἢ διὰ τὸ ἐκδικεῖν τοὺς ἠδικημένους, κάντεῦθεν διὰ μεγάλην αἰτίαν καὶ ὡς φεύγοντας τὸν κίνδυνον, λογιζομένους μὲν καθωσιωμένους παρὰ τῶν ἐκβαλλόντων αὐτούς, ὄντας δὲ τῇ ἀληθείᾳ ἀθώους· ἀλλ' ἑστῶσαν καὶ εἰς ἑτέρας πόλεις ἀκωλύτως, ἕστ' ἂν ἡ ἀπειλὴ τοῦ κινδύνου παυθῇ, καὶ δυνηθῇ ὁ ἐπίσκοπος εἰς τὴν λαχοῦσαν αὐτὸν ἀπελθεῖν, ἢ ἐκδικηθῇ ἡ ἐκ τῆς ἀπελάσεως ἐπιγενομένη τούτῳ ὕβρις. Σκληρὸν γὰρ καὶ ἀφιλάνθρωπόν ἐστι μὴ φιλοφρονεῖσθαι μετὰ πάσης ἀγαθότητος τὸν τοιοῦτον παρὰ τῶν συναδέλφων αὐτοῦ. Ὥστε σημείωσαι ὅτι οὐκ ὀφείλουσιν ἀπὸ τῆς βασιλευούσης τῶν πόλεων ἐκβάλλεσθαι οἱ ἀνατολικοὶ ἐπίσκοποι, οἱ μὴ ἔχοντες καθίσματα, ὡς τῶν ἐκκλησιῶν αὐτῶν κατεχομένων παρὰ τῶν ἐθνῶν· καὶ οἱ παρὰ τῶν ἀδίκων πρακτόρων διωκόμενοι, διὰ τὸ λέγειν ὑπὲρ τῶν ἀδικουμένων.

ΖΩΝΑΡ. Ἀνωτέρω διαταξάμενοι οἱ τῆς συνόδου ταύτης Πατέρες τοὺς ἀπιόντας ἐπισκόπους εἰς ἑτέραν πόλιν ἔχουσαν ἐπίσκοπον μὴ πλέον τῶν τριῶν ἑβδομάδων ἐκεῖ διατρίβειν, ἐνταῦθά τισι καὶ ἐπὶ πολὺ προσμένειν συγχωροῦσιν. Οὗτοι δ' εἰσὶν οἱ ἀδίκως ἐκβαλλόμενοι τῶν ἐκκλησιῶν αὐτῶν ἢ διὰ τὴν ἐπιστήμην, ἤγουν ὡς ἐπιστάμενοι τὴν τῶν δογμάτων τῆς πίστεως ἀκρίβειαν, καὶ ταύτην διδάσκοντες, καὶ παρὰ αἱρετικῶν ἐλαυνόμενοι, οἷα γεγόνασι παρὰ τῶν Ἀρειανῶν ἐπὶ τοῦ Κωνσταντίου καὶ τοῦ Οὐάλεντος, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς Ἐκκλησίας, ὡς ὁμολογοῦντες, ὅσα ἡ καθολικὴ Ἐκκλησία, ἤγουν τὴν ἔνσαρκον οἰκονομίαν, καὶ ὅτι Θεὸς ἀληθινός ἐστιν ὁ Χριστὸς, καὶ διωκόμενοι πάλαι

μὲν παρὰ τῶν παλαιοτέρων βασιλέων, ὕστερον δὲ καὶ παρὰ τοῦ Ἰουλιανοῦ, ἢ ὡς ὑπὲρ τῆς ἀληθείας λέγοντες, καὶ ἀδικουμένων καὶ καταδυναστευομένων ὑπερμαχοῦντες, οἷα τῷ μεγάλῳ Βασιλείῳ γεγόνασι καὶ τῷ Χρυσοστόμῳ, καὶ ἄλλοις πολλοῖς. Τὸν γοῦν οὕτω διωκόμενον ἐκ τῆς ἐκκλησίας αὐτοῦ ἀδίκως ἀνάγκη εἰς ἑτέραν πόλιν ἐκπέναι φεύγοντα τὸν κίνδυνον, ἀθῶον μὲν ὄντα κατὰ τὸ εὐθές τε καὶ δίκαιον, καθωσιωμένον δὲ διὰ τὴν δυναστείαν τῶν διωκόντων αὐτόν. Καθωσιωμένος δ' ἐστὶν ὁ ἀφωρισμένος εἰς κόλασιν. Τὸν τοιοῦτον, φησὶν ὁ κανών, μὴ κωλύεσθαι διατρίβειν ἐν ἑτέρᾳ πόλει, ἕως εἰς τὴν οἰκείαν ἐπανέλθῃ πόλιν, τὸν φόβον τοῦ κινδύνου ἐκφυγών, ἢ τῆς ὕβρεως τῆς γενομένης αὐτῷ ἀπαλλαγείς. Ὕβριν δὲ οἶμαι τὴν ἀπέλασιν τὴν ἐκ τοῦ θρόνου αὐτοῦ ὀνομάζει. Σκληρὸν γάρ, φησὶ, καὶ βαρύτατον, τὸν ἀδίκως τῆς πόλεως αὐτοῦ ἀπελαθέντα μὴ ὑποδέχεσθαι παρὰ τῶν συνεπισκόπων μετὰ πολλῆς φιλοφροσύνης καὶ ἀγαθότητος, ἤγουν προθύμως καὶ ἱλαρῶς.

A deque vera Christi divinitate, teneri a se universi profiterentur : qua ex causa primum quædam ab antiquis imperatoribus, postea a Juliano adversæ tempestates exstitere ; sive ob veritatis patrocinium, proque iis qui potentiorum dominatu injuste opprimerentur susceptam dimicationem, quod in magno Basilio, Chrysostomo, aliisque multis contigit, fuerint exturbati. Quicunque igitur hac ratione ab ecclesia sua per injuriam depellitur, in aliam urbem vitandi periculi causa secedat necesse est ; innoxius is quidem, si res æqua lance libretur, sed ob eorum potentiam, qui hominem insectantur, exsecrationi subjectus. Exsecrationi autem subjectus est quisquam supplicio destinatus. Hunc igitur homini, dum in suam urbem, evitato periculi metu, aut ignominiæ nota liberato, reverti liceat (notam porro ignominiæ, quod a sua sede depulsus esset, hoc loco opinor intelligi), in aliena urbe degendi facultatem esse canon decernit. Durum enim, inquit, et grave admodum fuerit, si hominem a sua civitate per injuriam exclusum, multa cum humanitate ac bonitate, hoc est, prompto alacrique animo, coepiscopi non excipiant.

B

ΑΡΙΣΤ. « Ἀδίκως ἐπίσκοπος ἐλαυνόμενος, εἰ ἐπὶ « τῆς ἀλλοτρίας διάγοι, δεκτέος, ἕως τὴν ὕβριν « ἐπανασώσαιτο. »

« Τὸν τῦφον καὶ τὴν ἀλαζονείαν οἱ Πατέρες κωλύοντες προσέταξαν μὴ ἐφ' ἱκανὸν καιρὸν ἐπίσκοπον ἐν ἀλλοτρίᾳ ἐπισκοπῇ διατρίβειν· εἰ δέ τις ἢ διὰ τὴν ὁμολογίαν τῆς ἡμετέρας πίστεως, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδίκησιν, τῆς ἰδίας πόλεως ἐκβληθείη, καὶ εἰς ἑτέραν ἀπέλθῃ πόλιν, οὐ κωλυθήσεται ἐκεῖ διάγειν, μέχρις ἂν ἀπαλλαγὴν εὑρεῖν δυνηθῇ τῆς πρὸς αὐτὸν γενομένης ὕβρεως.

C

ARIST. « Episcopus injuste expulsus, si in aliena « provincia degat, suscipiendus, donec ab injuria « liberetur. »

Fastum et ostentationem prohibentes Patres, in mandatis dederunt episcopum in alieno episcopatu multum temporis non absumere. Si quis autem vel propter fidei nostræ confessionem, vel propter veritatis vindicationem, sua civitate ejiciatur, et aliam adeat civitatem, ibi degere non prohibebitur, usque dum ab injuria sibi facta liberari potest.

ΚΑΝΩΝ ΙΗ'.

« Γαυδέντιος ἐπίσκοπος εἶπεν· Οἶδας, ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε καταστασθέντος σοῦ « ἐπισκόπου ἡ εἰρήνη λοιπὸν ἐβράβευσεν· ἵνα « μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιῶν « ἐναπομείνῃ, ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου « καταστασθέντας καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία εὑρίσκετο αἰτία, πάντας ὑποδεχθῆναι. »

CANON XVIII.

« Gaudentius episcopus dixit : Scis, frater Aetie, « quod tunc, cum episcopus constitutus es, pax « deinceps viguit ; ne aliquæ discordiarum reliquiæ de ecclesiis remaneant, visum est, ut qui « a Musæo et Eutychiano constituti sunt, quia « nulla eorum culpa inveniebatur, omnes suscipierentur. »

ΚΑΝΩΝ ΙΘ'.

« Ὅσιος ἐπίσκοπος εἶπε· Τῆς ἐμῆς μετριότητος ἡ « ἀπόφασίς ἐστι αὕτη· ἐπειδὴ ἡσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς « πάντας ἔχειν οἶκτον, ἅπαξ τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν « ἡμῶν, εἰ μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν δὲ μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐπίσκοπον νομίζεσθαι. Εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοῖς ἀρνεῖσθαι. Πάντες « εἶπαν· Ἀρέσκει.

D

CANON XIX.

« Osius episcopus dixit : Meæ mediocritatis hæc est « sententia. Quia quieti et patientes esse debemus, et sufficientem erga omnes habere misericordiam eos, qui semel in clerum ecclesiasticum ab aliquibus fratribus nostris promoti « sunt, si nolint ad ecclesias, in quas nominati « sunt redire, deinceps non admitti : Eutychianum autem ne episcopi quidem sibi nomen « usurpare ; sed neque Musæum et episcopum « existimari. Si autem laicam communionem « petiverint, non oportere eis denegari. Omnes « dixerunt : Placet. »

ΒΑΛΣ. Μουσαῖος καὶ ὁ Εὐτυχιανὸς, ἀχειροτόνητοι ὄντες, ὡς ἐπίσκοποι κληρικούς τινας ἐχειροτόνησαν. Τοῦ γοῦν Γαυδεντίου ζητήσαντος διὰ τὴν κατὰ Θεὸν εἰρήνην δεχθῆναι τοὺς παρὰ τούτων

BALS. Musæus et Eutychianus, cum non essent ordinati, tanquam episcopi clericos aliquos ordinarunt. Cum itaque Gaudentius petivisset, ut propter pacem, omnibus modis divinorum præceptorum

virtute a nobis sectandam, ii susciperentur, qui ab illis ordinati sunt, ut qui nullam mali conscientiam haberent : alius episcopus, qui Osius appellabatur, respondit : Quod etiamsi debemus esse humani et moderati, illos tamen recipimus in clerum, qui a veris quidem episcopis consecrati sunt, sed propter quædam fortasse delicta ejecti ex iis quæ ipsos sortita sunt ecclesiis ; si modo ipsi quoque clerici sua sponte proficiscantur ad ecclesias, quæ eis obtigerunt. Cum iis autem, qui ab Eutychiano et Musæo in **506** clerum suscepti sunt, tanquam cum laicis communicabimus : quia nec episcopi quidem possunt nomen tueri, qui eos ordinarunt. Nota ergo, quod ex præsenti canone nihil eis præjudicii allatum est, qui ab aliquibus depositis vel etiam anathematizatis in clerum suscepti sunt. Quæ autem de Musæo et Eutychiano dicta sunt, intellige etiam de aliis, qui non ordinati fuerunt, sed se fuisse ordinatos simularunt. De iis autem, qui a profanis seu sacris non initiatis hominibus baptizati sunt, non possum tibi aliquid certi et non dubii dicere. In Vita enim sancti Athanasii legitur, quod cum quidam puelli in littore maris, in arena, ludo baptizati essent a sancto, cum ipse puer tunc temporis esset, eos regionis episcopus suscepit, et tanquam jam baptizatos chrismate unctos dimisit. Dicitur etiam in Vita sancti Porphyrii, quod ab orthodoxo non fuit baptizatus, sed cum vitam scenicam seu histrionicam ageret, ab histrione hæretico aqua aspersus est, tanquam utique baptizatus : et adstantes quidam hæretici hinc sibi risus occasionem cepere ; ipse vero martyrii. Vidit enim angelos ante se cum lampadibus ambulantes, et, *Quicunque in Christum baptizati estis* [11], clamantes : et ita ex histrione martyr factus est.

χειροτονηθέντας, ὡς μηδὲ εἴδησιν ἔχοντας τοῦ κακοῦ, ἕτερος ἐπίσκοπος. Ὅσιος ἐπονομαζόμενος ἀπελογήσατο ὡς, Εἰ καὶ ὀφείλομεν εἶναι φιλάνθρωποι καὶ μετριόφρονες, ἀλλ' ἐκείνους εἰς κλῆρον δεξόμεθα τοὺς ἱερωθέντας παρά τινων τῇ ἀληθείᾳ μὲν ὄντων ἐπισκόπων, διά τινα δὲ ἴσως πταίσματα ἐκβληθέντων ἀπὸ τῶν λαχουσῶν αὐτοὺς· ἐὰν τέως καὶ αὐτοὶ οἱ κληρικοὶ καλοθελῶς ἀπέρχωνται πρὸς ἃς ἐκληρώθησαν ἐκκλησίας. Τοῖ δὲ παρὰ τοῦ Εὐτυχιανοῦ καὶ τοῦ Μουσαίου κληρωθεῖσι ὅθεν ὡς λαϊκοῖς συγκοινωνήσομεν· ὅτι οὐδὲ ὄνομα ἐπισκόπου δύνανται ἐκδικεῖν οἱ αὐτοὺς τάχα χειροτονήσαντες. Ὥστε σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οὐδένα προκριματισμὸν ὑπέστησαν οἱ παρά τινων καθαιρεθέντων ἢ καὶ ἀναθεματισθέντων κληρωθέντες. Τὰ δὲ περὶ τοῦ Μουσαίου καὶ τοῦ Εὐτυχιανοῦ ἔλκυσον καὶ εἰς ἄλλους μὴ χειροτονηθέντας καὶ πλασαμένους χειροτονίαν. Περὶ δὲ τῶν βαπτισθέντων παρὰ ἀνιέρων οὐκ ἔχω τί σοι εἰπεῖν ἀναμφίβολον. Εὑρίσκεται γὰρ εἰς τὸν βίον τοῦ ἁγίου Ἀθανασίου ὅτι παιδία τινὰ παρὰ τῷ χείλει τῆς θαλάσσης ἐν τῇ ἄμμῳ παρὰ τοῦ ἁγίου βαπτισθέντα κατὰ λόγον παιδιᾶς, ὅτι καὶ αὐτὸς παιδίον τῷ τότε ἦν, ἐδέξατο ὁ κατὰ χώραν ἐπίσκοπος, καὶ ὡς ἤδη βαπτισθέντα διὰ μύρου χρίσας, ἀπέλυσε. Φέρεται δὲ καὶ εἰς τὸν βίον τοῦ ἁγίου Πορφυρίου ὅτι οὐκ ἐβαπτίσθη παρὰ ὀρθοδόξου, ἀλλὰ σκηνικὸν βίον ὑποκρινόμενος παρὰ αἱρετικοῦ σκηνικοῦ δι' ὕδατος κατάβροχος γέγονεν, ὡς τάχα βαπτισθείς· καὶ οἱ μὲν παρεστῶτες αἱρετικοὶ τὸ γεγονὸς ἔσχον γέλωτος ἀφορμήν, αὐτὸς δὲ μαρτυρίου. Εἶδε γὰρ ἀγγέλους μετὰ λαμπάδων προσπορευομένους ἔμπροσθεν αὐτοῦ, καὶ τὸ, *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, βοῶντας*· κἀντεῦθεν ἀπὸ σκηνικοῦ μάρτυς γέγονεν (81).

[11] Galat. III, 27.

Guill. Beveregii notæ.

81) Ἀπὸ σκηνικοῦ μάρτυς γέγονεν. Post hæc ultima Balsamonis in hunc canonem verba, codex Bodleianus necnon Amerbachianus addit, Καὶ ταῦτα μὲν ἐγράφησαν χάριν τῶν βαπτισθέντων παρὰ αἱρετικῶν. Τοῦ δὲ μητροπολίτου Ἡρακλείας κυροῦ Μανουὴλ ἐρωτήσαντος συνοδικῶς, Εἰ χρὴ δεχθῆναι ὡς πιστὸν παρὰ ἀνιέρου τινὸς πλασαμένου τὸ ἱερατεύειν κατὰ τὴν ἐνορίαν αὐτοῦ βαπτισθέντα, ἐδόκησε καὶ ἡμᾶς εἰπεῖν τὸ δοκοῦν ἡμῖν· καὶ εἴπομεν ταῦτα· Οἱ θεοκήρυκες ἅγιοι ἀπόστολοι δι' ἐπισκόπων καὶ πρεσβυτέρων τὸν ἀπὸ τοῦ θείου βαπτίσματος ἁγιασμὸν δίδοσθαι τοῖς πιστοῖς διωρίσαντο· φασὶ γὰρ ἐν μς' καὶ μζ' κανόνι ταῦτα ῥητῶς. Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν, καθαιρεῖσθαι προστάσσομεν· ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδοϊερέων. Ὁ γοῦν λέγων μὴ ὀφείλειν βαπτισθῆναι τὸν παρὰ λαϊκοῦ ψευδοϊερέως βαπτισθέντα, καὶ μὴ ἁγιασθέντα κατὰ ἀλήθειαν, προφανῶς ἐναντιοῦται, κατὰ τὸ ἐμοὶ τέως δοκοῦν, τοῖς τοιούτοις κανόσι· δέχεται γὰρ παρὰ τὴν τούτων περίληψιν λαϊκοῦ ψευδοϊερέως ἐπίπλαστον βάπτισμα. Ὅτι μόνοις ἐπισκόποις καὶ ἱερεῦσιν, ἡ τοῦ ἁγίου βαπτίσματος ἐνεδόθη τελετή, καὶ δῆλον ἀπὸ τοῦ κς' κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου, λέγοντος, Ὅτι οὐ δεῖ ἐφορκίζειν τοὺς μὴ προσαχθέντας ὑπὸ ἐπισκόπων· καὶ τοῦ μς' κανόνος τῆς αὐτῆς συνόδου, τοὺς φωτιζομένους τὴν πίστιν ἀπαγγέλλειν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις διοριζομένου, οὐ μὴν τοῖς λαϊκοῖς· ὥσπερ τοίνυν τοὺς ἀμφιβαλλομένους εἰ ἐβαπτίσθησαν βαπτίζειν, ἀποκριματίστως ὡρίσθημεν ὑπὸ τοῦ οβ' κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, κἂν τῇ ἀληθείᾳ βαπτίσματος ἔτυχον· οὕτω καὶ τὸν βαπτισθέντα παρὰ ἀνθρώπου μὴ λαβόντος ἐξουσίαν βαπτίζειν, καὶ διὰ τοῦ βαπτίσματος ἀφιέναι ἁμαρτίας (ῥυπτικὸν γάρ φησιν ἁμαρτημάτων τὸ βάπτισμα) ἀκινδύνως καὶ χωρὶς τινος προσκόμματος βαπτίζειν ὀφείλομεν· μήποτε ὁ τοιοῦτος διασταγμὸς ἀποστερήσῃ τοῦτον τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος καθάρσεως. Εἰ δέ τις λέγει διὰ τὴν γενομένην ἀνάγνωσιν τῶν ἁγίων εὐχῶν παρὰ τοῦ λαϊκοῦ, καὶ τὴν τοῦ ἁγίου μύρου χρίσιν, ὀφείλειν ἀληθὲς βάπτισμα λογίζεσθαι, εἴπῃ πάντως καὶ τοὺς κληρωθέντας παρὰ ἐπισκόπου πλαστοῦ καὶ μὴ κατὰ ἀλήθειαν χειροτονηθέντας ὀφείλειν εἶναι καὶ μετὰ διάγνωσιν τοῦ κακοῦ κληρικούς, ὅπερ ἄτοπον καὶ ὑπεναντίον τῷ δ' κανόνι τῆς ἁγίας καὶ οἰκουμενικῆς β' συνόδου, ὡς ταῦτα διατεττομένῳ ῥητῶς, περὶ Μαξίμου καὶ Κυνικοῦ, καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γενομένης, ὥστε μήτε τὸν Μάξιμον ἐπίσκοπον γενέσθαι· ᾗ εἶναι, μηδὲ τοὺς παρ' αὐτοῦ

ΖΩΝΑΡ. Ὁ Μουσαῖος καὶ ὁ Εὐτυχιανὸς, ὧν οἱ κανόνες οὗτοι μέμνηνται, καὶ ἕτεροι, ὡς ἐπίσκοποι, κληρικούς τινας ἐν ἐκκλησίαις κατέστησαν. Περὶ τούτων οὖν ὁ Ὅσιος ἔφη, ὅτι Οἱ ὑπό τινων ἀδελφῶν ἡμῶν εἰς κλῆρον ἐκκλησιαστικὸν καταστάντων ἔστωσαν κληρικοί, ἐν αἷς κατέστησαν ἐκκλησίαις. Εἰ γὰρ καὶ οἱ καταστήσαντες αὐτοὺς οὐκ ἔμελλον εἶναι ἐπίσκοποι δι' αἰτίας τινάς, ὅμως ὅτε κατέταξαν

A ZONAR. Musæus et Eutychianus, quorum hi canones meminere, et alii quidam, nonnullos clericos, tanquam ipsi episcopi essent, in ecclesiis constituerant. De iis igitur ita Osius. Qui quidem, inquit, a fratribus quibusdam nostris in clerum ecclesiasticum cooptati sunt, earum ecclesiarum, in quas initio descripti sunt, clerici esse possunt. Quamvis enim iis, a quibus creati sunt, ob aliquas

Guill. Beveregii notæ.

χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων τῶν περὶ αὐτὸν καὶ τῶν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων· καὶ τῷ ιη' κανόνι τῆς ἐν Σαρδικῇ συνόδου, διοριζομένῳ τοὺς παρὰ Μουσαίου καὶ Εὐτυχιανοῦ κληρωθέντας ὡς λαϊκοὺς μόνον δεχθῆναι, ὡς κληρικοὺς δὲ αὐτοὺς μὴ κοινωνεῖν, διὰ τὸ τὸν Μουσαῖον καὶ τὸν Εὐτυχιανὸν ἀχειροτονήτους εἶναι. Ὡς γοῦν οὐκ εἰσὶ κληρικοὶ οἱ παρὰ τοῦ ἀνιέρου Μαξίμου καὶ τοῦ Εὐτυχιανοῦ καὶ τοῦ Μουσαίου χειροτονηθέντες, οὕτως οὐδὲ βεβαπτισμένος λογισθήσεται ὁ παρὰ ἀνιέρου βαπτισθῆναι λεγόμενος. Διὸ καὶ τὸ ἀληθῶς βάπτισμα ἀποκριματίστως βαπτισθήσεται. Εἰ γὰρ τοῦτο μὴ εἴπωμεν, οὐ μόνον τοῖς ἱεροῖς καὶ θείοις κανόσιν ἐναντιωθησόμεθα, ἀλλὰ καὶ ἀναγκασθησόμεθα λέγειν πιστοὺς διὰ τοῦ ἁγίου μύρου τιμὴν, καὶ τοὺς ἀπὸ μακρᾶς συνηθείας βαπτιζομένους Ἀγαρηνοὺς, ἵνα μὴ ὄζωσιν, ὡσαύτως καὶ τοὺς παρὰ ἀνιέρων χρωμένους τῷ ἁγίῳ μύρῳ, λογίζεσθαι εἶναι βαπτιζομένους κυρίως καὶ ἀληθῶς, καὶ διδόναι ἁγιασμὸν τοὺς μὴ λαβόντας ἐξουσίαν αὐτοῦ ὑπὸ τῆς τοῦ παναγίου Πνεύματος χάριτος, ὅπερ ἐμοὶ τέως οὐκ ἔστιν ἀνεκτόν. Εἰ δέ τις ἀνθυποφέρει μοὶ τὸ ἐπὶ τῶν ἡμερῶν τοῦ μεγάλου Ἀθανασίου γεγονὸς, γέγραπται γὰρ τοὺς παρ' αὐτοῦ ἐν παιδικῇ ἡλικίᾳ βαπτισθέντας ἐπὶ τῆς θαλασσίας ψάμμου δεχθῆναι ὡς βεβαπτισμένους, καὶ τὸ ἐπὶ τῷ ἁγίῳ Πορφυρίῳ τελεσιουργηθὲν παρὰ σκηνικοῦ κατὰ λόγον παιγνίου βαπτισθέντι, κάντεῦθεν μαρτυρικοῦ στεφάνου ἀξιωθέντι, ὡς ἰδόντι τηνικαῦτα θείους ἀγγέλους μετὰ λαμπάδων προπορευομένους αὐτοῦ, καὶ τὸ, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, βοῶντας, ἀντιθήσω τούτῳ νομικὸν ἀντιλέγοντα, τὸ παρὰ κανόνας οὐχ ἕλκεται πρὸς ὑπόδειγμα. Ἂν γοῦν ὁ βαπτίσας ἀνιέρος θείας χάριτος ἠξιώθη, οἷας καὶ ὁ μέγας Ἀθανάσιος, καὶ ὁ ἅγιος Πορφύριος, δεξόμεθα καὶ ἡμεῖς τὸ παρὰ τούτου γενόμενον βάπτισμα· εἰδ' οὐκ ἔστι τοῦτο, τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ἐξ ἀνάγκης ἀκολουθήσομεν. *Et hæc quidem scripta sunt in gratiam eorum qui ab hæreticis baptizati sunt. Cum autem dominus Manuel metropolitanus Heracleensis synodice interrogaverat, an eum suscipi oporteat ut fidelem qui a laico, simulante se consecratum esse, in regione sua baptizatus est, nos etiam rogavit exponere quid nobis visum est. Et hæc diximus. Divini præcones, sancti apostoli sanctificationem a divino baptismo per episcopos et presbyteros fidelibus impertiri statuerunt. Nam in canonibus 46 et 47 hæc verbatim dicunt: Episcopum aut presbyterum hæreticorum baptismum aut sacrificium admittentes deponi jubemus; item episcopus vel presbyter, si vere habentem baptisma denuo baptizaverit, deponatur; ut qui crucem et mortem Domini deridet, et sacerdotes a falsis sacerdotibus non discernit. Qui dicit itaque eum non baptizandum esse, qui a laico falso sacerdote baptizatus est, et non revera sanctificatus, aperte ut mihi quidem videtur, istis canonibus adversatur. Admittit enim ficlum laici falsi sacerdotis baptismum. Quod autem episcopis solis et sacerdotibus sancti baptismatis celebratio concedatur, manifestum etiam est ex canone 26 synodi Laodicensis, dicente, quod eos exorcisare non oportet, qui ab episcopis non promoti sunt; atque etiam ex canone 46 ejusdem synodi, illuminatos fidem episcopo et presbyteris recitare edicente, non quidem laicis. Ut eos ergo, de quibus ambigitur, utrum baptizati fuerint, sine præjudicio baptizemus, mandatum accepimus a canone 72 synodi Carthaginensis, etiamsi baptismum revera sortiti fuerint: sic etiam eum, qui baptizatus est ab homine, qui nullam baptizandi et peccata per baptismum remittendi potestatem accepit (nam baptisma, ut ait, vim a peccatis purgandi habet) sine periculo et offensione ulla baptizare debemus; ne istiusmodi dubitatio virum purgatione per sacrum baptismum privet. Si quis autem dixerit, illud, propter sacrarum precum lectionem a laico, et sancti chrismatis unctionem, verum baptisma existimandum esse, dicat etiam omnino eos, qui a falso episcopo in clerum cooptati sunt et non vere ordinati, debere etiam post malum cognitum clericos esse, quod absurdum est et contrarium quarto sanctæ et œcumenicæ secundæ synodi canoni, utpote hæc verbatim constituenti, de Maximo cynico, et confusione ejus causa Constantinopoli facta, ut Maximus nec factus fuerit nec sit episcopus, neque isti qui ab eo ordinati sunt, in ullo omnino cleri gradu; omnibus, et quæ circa eum et ab eo facta sunt, infirmatis: atque etiam duodevicesimo synodi Sardicensis canoni statuenti eos, qui a Musæo et Eutychiano in clero constituti sunt, ut laicos tantum recipiendos esse, ut clericos autem eos non communicare; quoniam Musæus et Eutychianus non ordinati erant. Ergo ut non sunt clerici, qui a Maximo non consecrato et Eutychiano et Musæo ordinati sunt: sic nec ille baptizatus habebitur, qui baptizari dictus est ab eo, qui non est sacerdos; ac proinde vero baptismate sine præjudicio baptizabitur. Si hoc enim non dixerimus, non modo sacris et divinis canonibus adversabimur; verumetiam cogemur dicere, fideles per sancti unguenti dignitatem, et Agarenos a longa consuetudine baptizatos, ne male olerent, similiter et eos, qui sancto unguento ab iis, qui non sunt sacerdotes inunguntur, existimandos esse proprie et vere baptizatos, atque eos sanctificationem dare, qui ejus dandæ potestatem a Spiritus sancti gratia non acceperunt; quod, ut mihi quidem videtur, neutiquam ferendum est. Si quis autem mihi objecerit, illud quod sancti Athanasii diebus factum est; scriptum est enim eos, qui ab illo in puerili ætate in maris arena, baptizati sunt, receptos fuisse ut baptizatos; et illud etiam, quod in sancto Porphyrio peractum est, ludi modo ab histrione baptizato, et exinde martyrii habito corona digno, ut tunc videnti divinos angelos cum lampadibus ante eum ambulantes, et illud, Quotquot in Christum baptizati sunt, clamantes: huic legem opponam contradicentem, quod fit contra canones in exemplum non trahitur. Si is itaque, qui non consecratus baptizavit, divinam obtinuerit gratiam, qualem magnus Athanasius et sanctus Porphyrius assecuti sunt; nos etiam baptismum ab iis celebratum admittemus: sin illud non sit, divinos sacrosque canones nobis necessario sequendum est.*

Hæc quidem ab ipso Balsamone scripta fuisse totus eorum contextus evincit. Scripta autem ab eo fuerunt postquam commentaria sua in canones elaborasset: quo factum est, ut in omnia exemplaria non translata fuerint. In nullo enim, quæ scimus, præterquam Bodleiano et Amerbachia habentur; sed ab omnibus lectu dignissima su

causas episcopatus esset abrogandus; adhuc tamen cum eos constituerent, quippe qui aliquando episcopi creati fuerant, episcoporum jura retinebant: quam ob causam, et eos quos ipsi in clerum adscivissent, synodus quoque censuit retinendos. Quod si ad eas ecclesias, in quibus nominati sunt clerici, redire nolint, ne illi in aliis videlicet ecclesiis amplius recipiantur. Eutychianus autem et Musæus episcopi jura vel nomen haud quærant: sin autem ut laici communicare velint, excludi non placet.

ARIST. « Clericus qui non degit in ecclesia qua in « clerum cooptatus est, non recipiendus. Eutychianus autem, et Musæus episcopi appellationem sibi non vindicabunt. Communionem vero « cum laicis, si voluerint, consequentur. »

Ab omnibus fere synodis et in plurimis canonibus decernitur, clericos alienos ab aliis episcopis non suscipiendos esse, et ab iis ad gradum ecclesiasticum promovendos. Hoc igitur præsens canon docet. Et statuit, Eutychianum et Musæum schismaticos factos et depositos, si pœnitentiam agunt, et dignitatem episcopalem vel nomen usurpent, non audiendos esse, verum ut laicos, si velint, ad communionem admittendos.

CANON XX.

« Gaudentius episcopus dixit: Hæc salutariter et « consequenter definita et nostri sacerdotum dignitate convenienter, et quæ Deo et hominibus « placuerunt, potentiam et vires suas obtinere « non poterunt; nisi etiam metus editas sententias consecutus fuerit. Ipsi enim scimus, sæpe « propter paucorum impudentiam, divinum et inprimis venerandum sacerdotii nomen in damnationem incurrisse. Si quis ergo præter ea, « quæ omnibus visa sunt, ausus fuerit (fastui et « arrogantiæ magis quam Deo placere cupiens) « aliquid aliud agere: sciat jam se ipsum criminis defensioni obnoxium constituere, et episcopatus honorem et auctoritatem amittere. Omnes « responderunt: Decet et placet nobis hæc sententia. »

BALS. Cum de diversis ecclesiasticis quæstionibus Patres in hac synodo constituissent, et despicatui forte habenda quæ constituta erant reputassent, eo quod ecclesiasticis pœnis propter transgressionem non **507** confirmata ac stabilita essent: statuerunt, ut post rei cognitionem (id enim est criminis defensio) ii, qui contemnunt quæ illis contenta sunt, episcopatus honorem et dignitatem amittant. Dic ergo, quod ex verbis eos, qui contemnunt quæ a synodo constituta sunt, damnantibus, non solum qui sunt sacrati, sed etiam laici puniuntur. Ex eo enim, quod dixit canon, honorem eos amittere, laicos denotavit: ex eo autem, quod ipsos statuerit episcopatus dignitatem perdere, sacratos significavit. Vel dic de solis sacratis editum esse canonem, et accipe illud, Et, quod additum est, pro

A αὐτοὺς ἐπισκοπικὰ δίκαια εἶχον, ὡς χειροτονημένοι, καὶ διὰ τοῦτο ἐδέξατο καὶ τοὺς παρ' αὐτῶν χειροτονηθέντας ἡ σύνοδος. Εἰ δὲ μὴ βούλονται ἐπανελθεῖν εἰς τὰς ἐκκλησίας, ὧν ὠνομάσθησαν κληρικοὶ, μηκέτι ὑποδεχέσθωσαν ἐν ἄλλαις δηλαδὴ ἐκκλησίαις. Ὁ δὲ Εὐτυχιανὸς καὶ ὁ Μουσαῖος ἐπισκόπου δίκαια ἢ ὄνομα μὴ ζητείτωσαν· εἰ δὲ ὡς λαϊκοὶ βούλονται κοινωνεῖν οὐ χρὴ αὐτοὺς ἀποπέμπεσθαι.

ΑΡΙΣΤ. « Ἄδεκτος ὁ κληρικὸς ὁ μὴ τελῶν εἰς τὴν « ἐκκλησίαν ἐν ᾗ καὶ κεκλήρωται. Εὐτυχιανὸς « μέντοι καὶ Μουσαῖος ἐπισκόπου κλῆσιν οὐκ ἐκ« δικήσουσι· κοινωνίας μέντοι, κατὰ τοὺς λαϊ« κοὺς, ἐὰν θέλωσιν, ἐπιτεύξονται. »

Ὑπὸ τῶν συνόδων σχεδὸν πασῶν, καὶ ἐν πολλοῖς B κανόσιν ὥρισται τὸ, μὴ ὑποδέχεσθαι τοὺς ἀλλοτρίους κληρικοὺς παρ' ἐπισκόπων ἑτέρων, καὶ ὑπὸ ἐκκλησιαστικὸν βαθμὸν προάγειν αὐτούς. Τοῦτο γοῦν καὶ ὁ παρὼν διδάσκει κανών. Εὐτυχιανὸν μέντοι καὶ τὸν Μουσαῖον, σχισματικοὺς γενομένους, καὶ καθαιρεθέντας, ὁρίζει, εἰ μεταμεληθῶσι, καὶ τὸ τῆς ἐπισκοπῆς διεκδικοῦσιν ἀξίωμα ἢ τὸ ὄνομα, μὴ εἰσακουσθῆναι, ὡς λαϊκοὺς μέντοι, εἰ βούλονται, εἰς κοινωνίαν παραδεχθῆναι.

ΚΑΝΩΝ Κ'.

« Γαυδέντιος ἐπίσκοπος εἶπε· Ταῦτα σωτηριωδῶς « καὶ ἀκολούθως ὁρισθέντα καὶ πρεπόντως τῇ « ἐπιτιμίᾳ ἡμῶν τῶν ἱερέων, καὶ Θεῷ ἀρέσαντα « καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυ« τῶν κατασχεῖν οὐ δυνήσονται· ἐὰν μὴ καὶ φό« βος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθείη. « Ἴσμεν γὰρ καὶ αὐτοὶ πλεονάκις διὰ τὴν ὀλίγων « ἀναισχυντίαν τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα « τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐληλυθέναι. Εἴ « τοίνυν τις τὰ παρὰ πᾶσι δόξαντα τολμήσει, σπου« δάζων τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ ἢ τῷ Θεῷ « ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω « ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστα« σθαι, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκο« πῆς ἀποβάλλειν. Ἅπαντες ἀπεκρίναντο· Πρέπει, « καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη. »

ΒΑΛΣ. Περὶ διαφόρων ἐκκλησιαστικῶν ζητημάτων ὁροθετήσαντες οἱ Πατέρες ἐν τῇ τοιαύτῃ συνόδῳ D καὶ ἀναλογισάμενοι εὐκαταφρόνητα ἴσως γενέσθαι τὰ ὁρισθέντα, διὰ τὸ μὴ κατεμπεδωθῆναι αὐτὰ κολάσεσιν ἐκκλησιαστικαῖς ἐκ παραβάσεως· ὥρισαν μετὰ διάγνωσιν (τοῦτο γάρ ἐστιν ἡ τοῦ ἐγκλήματος ἀπολογία) τοὺς ἀθετήσοντας τὰ ἐν τούτοις περιεχόμενα, τὴν τιμὴν καὶ τὸ ἀξίωμα ἀπόλλειν τῆς ἐπισκοπῆς. Εἰπὲ οὖν ὡς ἐκ τῶν ῥημάτων τῶν κατακρινάντων τοὺς ἀθετητὰς τῶν διορισθέντων ὑπὸ τῆς συνόδου, οὐ μόνον οἱ ἱερωμένοι, ἀλλὰ καὶ οἱ λαϊκοὶ κολάζονται. Ἀπὸ μὲν γὰρ τοῦ εἰπεῖν τὸν κανόνα τὴν τιμὴν τούτους ἀπόβαλλειν τοὺς λαϊκοὺς ἐδήλωσεν· ἀπὸ δὲ τοῦ θεσπίσαι ἀπόλλειν αὐτοὺς τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἐδήλωσε τοὺς ἱερωμένους. Ἢ εἰπὲ περὶ ἱερωμένων μόνων ἐκφωνηθῆναι τὸν κα-

νόνα, καὶ ἐκλαβοῦ τὸ, Καὶ, τὸ προστεθὲν ἀντὶ τοῦ, Ἤτοι· καὶ λέγε ἀποβάλλειν τοὺς ἀθετητὰς τὴν τιμὴν ἤτοι τὸ ἀξίωμα τῆς ἐπισκοπῆς.

ΖΩΝΑΡ. Ταῦτα, φησὶν ὁ κανὼν, ἐπὶ σωτηρίᾳ ὁρισθέντα, καὶ κατὰ τὸ πρέπον τῇ τάξει καὶ τῇ τιμῇ τῇ ἱερατικῇ, καὶ θεάρεστα ὄντα καὶ ἀνθρώποις ἀποδεκτὰ, οὐκ ἰσχύσουσιν, οὐδὲ κρατήσουσιν, εἰ μὴ καὶ φόβος κολάσεων καὶ ἐπιτιμίων ταῖς ἀποφάσεσιν ἐπακολουθήσει, ὥστε φοβεῖσθαι τοὺς παραβαίνοντας, ὅτε ἐπιτιμηθήσονται. Γινώσκομεν γὰρ ὅτι πολλάκις τινῶν ὀλίγων ἐξ ἀναισχυντίας παραβαινόντων τοὺς κανόνας καταγινώσκεται τὸ θεῖον ὄνομα τῆς ἱερωσύνης, οὐ τῶν ἁμαρτανόντων ἱερέων μόνον βλασφημουμένων, ἀλλ' ὁμοῦ πάντων· διὰ γὰρ τῆς ἱερωσύνης πάντας τοὺς ἱερεῖς ἐνέφηνεν. Εἰ οὖν τολμήσει τις ἄλλο τι διαπράξασθαι παρὰ τὰ δόξαντα πᾶσιν ἀλαζονευόμενος καὶ ἐπαιρόμενος, καὶ μὴ σπεύδων τῷ Θεῷ ἀρέσαι, γινωσκέτω ὅτι ὑπεύθυνον ἑαυτὸν καταστήσει ἐγκλήματι ἀπολογίας, τουτέστιν οὐ μονομερῶς κατακριθήσεται, ἀλλὰ καὶ ἑλκυσθήσεται εἰς δικαστήριον, καὶ ὡς ἔγκλημα ποιήσας ἀπολογήσασθαι ἀπαιτηθήσεται, καὶ ἀποβαλεῖ ἀξίωμα, ἤγουν στερηθήσεται τῆς τιμῆς τοῦ ἀξιώματος τῆς ἐπισκοπῆς, ἤγουν καθαιρεθήσεται.

ΚΑΝΩΝ ΚΑ'.

« Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, « καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν, τῶν ἐν « ταῖς παρόδοις, ἤγουν καναλίῳ, καθεστώτων « ἐπισκόπων, θεασάμενος ἐπίσκοπον, ἐπιζητοίη « τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν « ποιεῖται· καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ στρατό- « πεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς « ἐπάνω προκειμένας. Κἂν κεκλημένος ἀφικνῆ- « ται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο· εἰ « δὲ ἐπιδείξεως χάριν, καθὼς προεῖρηται τῇ « ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινων ἀξιώσεις σπουδά- « ζει ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν « αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ. « Ἅπαντες εἶπαν· Ὁριζέσθω καὶ τοῦτο. »

ΒΑΛΣ. Καὶ τοῦτο γνώριμον γενήσεται. Τοῦτο, ποῖον; Τὸ μὴ καταγινώσκεσθαι τὴν ἱερωσύνην διὰ τὴν τῶν ὀλίγων ἀναισχυντίαν. Καὶ πληρωθήσεται. Πῶς; Ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσιν ὄντων δηλαδὴ ταῖς ἐν ταῖς δημοσίαις κειμέναις ὁδοῖς, ἤτοι καναλίῳ, δι' ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς διέξεισιν ἐν ὑδραγωγίῳ τὸ ὕδωρ (κανάλις γὰρ ἀγωγὸς ὕδατος λέγεται· ἡ δὲ λέξις Ῥωμαϊκὴ) θεασάμενος ἐπίσκοπον ἀπιόντα που, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ τοῦ τὴν πορείαν ποιεῖται, καὶ διὰ τί· καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται. Καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ καὶ ἐννάτῳ κανόνι τῆς συνόδου ταύτης. Καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· εἰ δέ που ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι

A Seu; et die contemptores amittere honorem seu dignitatem episcopatus.

ZONAR. Salutaria hæc decreta, inquit canon, sacri ordinis decoro dignitatique accommodata, Deoque grata, et hominibus accepta, nunquam robur suum ac vires obtinebunt, nisi decretorum promulgationi pœnarum metus accedat, quas sibi, qui hæc violaverint, paratas intelligant. Illud namque novimus evenire, ut paucis quibusdam decreta canonum per impudentiam violantibus, divinum sacerdotii nomen damnetur; nec ii solum, qui peccarunt, sed omnes simul sacerdotes (universos siquidem sacerdotii nomine significari voluit) maledicis obtrectatorum criminationibus lacerentur. B Si quis igitur adversus ea, quæ unanimi omnium consensu decreta sunt, arrogantia ac superbia elatus, neque numinis obsequio demerendi studiosus quidquam admittere audeat: semetipsum criminis defensioni obnoxium constituere, hoc est, non se quacunque ratione condemnandum, sed in judicium trahendum, eique velut patrato facinore causam esse dicendam, dignitatemque abjiciendam, hoc est, episcopali se honore ac dignitate privandum, sive depositione multandum esse intelligat.

CANON XXI.

« Porro autem hoc quoque illinc erit maxime no- « tum et comprobatum, si unusquisque nostrum « qui in transitu seu canali constituti sumus epi- « scopi, cum viderit episcopum, quærat causam « adventus, et quo pergit: et si eum quidem in « castra proficiscentem invenerit, quæret condi- « tiones quæ superius propositæ sunt. Et si evoca- « tus veniat, ei abeunti nihil impedimenti fiat: sin « autem ostentationis gratia, quemadmodum ca- « ritati dilectioni superius dictum est, vel propter « aliquorum preces in castra festinat; nec litte- « ris ejus subscribat, nec cum eo communicet. « Omnes dixerunt: Hoc quoque decernatur. »

BALS. Porro hoc quoque notum erit. Quid hoc? Non damnari sacerdotium propter paucorum impudentiam. Et comprobabitur. Quomodo? Si unusquisque nostrum, qui in aditibus constituti sumus D episcopi, qui sumus scilicet in urbibus, quæ in viis sunt publicis, sive canali, per quæ qui transeunt sine labore permeant, ut aqua transit in aquæductu. (Canalis enim aquæductus dicitur: est autem Romanum vocabulum) cum viderit episcopum aliquo proficiscentem, quærat causam adventus, et quo pergit, et cur; et causa condemnationis episcoporum prohibebitur. Et si cognoverit quidem eum in castra proficisci, exquirat conditiones superius positas, seu jam dictas distinctiones in canonibus 7, 8 et 9 hujus synodi. Et si fuerit quidem ab imperatore accersitus, ne impediatur abire: sin autem ostentationis gratia aliquo proficiscitur, ut se ostentet et doceat in aliena civitate, et episcopum, qui illic constitutus est dedecore afficiat; aut in castra

ad imperatorem proficiscitur, preces seu petitiones oblaturus; nec litteris ejus subscribat, pacificis scilicet litteris, nec cum eo communicet, ut qui jam sit a canone depositus. Dictum est enim in decimo canone Antiochenæ synodi, non posse aliquem ad imperatorem proficisci, **508** nisi litteras metropolitani provinciæ, et ejus episcoporum, afferat: is autem qui non ita facit, a dignitate excidat. Et in his quidem consistit canon. Existimo autem, quod illis episcopis concessum est transeuntium episcoporum causas curiose indagare, qui habent jus in illos, metropolitanis scilicet et patriarchis. Si enim non est omnino subjectus, qui transit episcopus, antistiti qui est in transitu, non examinabitur de aditu. Ut si episcopus Examilii vel Rædesti, per Heracleam Thraciæ, ad urbium reginam pervadat, recte a suo metropolitano, scilicet Heracleæ archiepiscopo, cogetur dicere causas, propter quas Constantinopolim petit: si quis autem episcopus, Thessalonicensi metropoli subjectus, per ipsam Heracleam ad urbium reginam vadat, a Thessalonicensi quidem examinabitur; Heracleano vero causam non dicet. Episcopos enim, qui transeunt, sui itineris rationem reddere omni episcopo, qui est in itinere, ut mihi quidem videtur, est contrarium canonibus, decernentibus incompetentes antistites non debere se in causas alienorum episcoporum ingerere.

A ἐν ἄλλῃ πόλει, καὶ καταισχῦναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πορεύεται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν αἰτήσεις, ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. Εἴρηται γὰρ ἐν τῷ δεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι, εἰ μὴ γράμματα κομίζεται τοῦ μητροπολίτου τῆς ἐπαρχίας, καὶ τῶν ἐπισκόπων αὐτῆς· τὸν δὲ μὴ οὕτω ποιοῦντα ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ. Καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Νομίζω δὲ ὅτι ἐκείνοις τοῖς ἐπισκόποις ἐνεδόθη πολυπραγμονεῖν τὰς αἰτίας τῶν παροδευόντων ἐπισκόπων, τοῖς ἔχουσι δίκαιον κατὰ τούτων, μητροπολίταις δηλονότι καὶ πατριάρχαις. Εἰ γὰρ οὐχ ὑπόκειται ὅλως ὁ διερχόμενος ἐπίσκοπος τῷ κατὰ πάροδον ὄντι ἀρχιερεῖ, οὐκ ἀνακριθήσεται περὶ τῆς παρόδου. Τουτέστιν, ἐὰν ἐπίσκοπος Ἐξαμιλίου ἢ Ῥαιδεστοῦ ἀνατρέχῃ διὰ τῆς Θρᾳκικῆς Ἡρακλείας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καλῶς παρὰ τοῦ μητροπολίτου αὐτοῦ, ἤγουν τοῦ Ἡρακλείας, ἀναγκασθήσεται εἰπεῖν τὰς αἰτίας δι' ἃς εἰς Κωνσταντινούπολιν ἀπέρχεται. Εἰ δέ τις ἐπίσκοπος ὑποκείμενος τῷ μητροπολίτῃ Θεσσαλονίκης διὰ τῆς αὐτῆς Ἡρακλείας εἰς τὴν βασιλεύουσαν ἀπέρχεται, παρὰ μὲν τοῦ Θεσσαλονίκης ἀνακριθήσεται, παρὰ δὲ τοῦ Ἡρακλείας οὐ λογοπραγηθήσεται. Τὸ γὰρ διδόναι λόγους τοὺς παροδίτας ἐπισκόπους τῆς ἑαυτῶν ὁδοιπορίας πρὸς πάντα παρόδιον ἐπίσκοπον, ὡς ἐμοὶ δοκεῖ, ἐναντίον ἐστὶ τοῖς κανόσι, τοῖς διοριζομένοις τοὺς ἀπροσφόρους ἀρχιερεῖς μὴ παρεμβάλλειν ἑαυτοὺς εἰς ὑποθέσεις ἀλλοτρίων ἐπισκόπων.

ZONAR. Porro autem hoc quoque notum erit. Quid hoc? Non damnari sacerdotium propter paucorum impudentiam. Et comprobabitur. Quomodo? Si unusquisque nostrum qui in aditibus constituti sumus episcopi, qui sumus scilicet in urbibus, quæ in viis sunt publicis, sive canali, per quæ, qui transeunt, sine labore permeant, ut aqua transit in aquæductu (canalis enim aquæductus dicitur: est autem Romanum vocabulum) cum viderit episcopum aliquo proficiscentem, quærat causam adventus, et quo pergit, et cur; et causa condemnationis episcoporum prohibebitur: et si cognoverit quidem eum in castra proficisci, exquirat conditiones superius positas, seu jam dictas distinctiones in septimo, octavo et nono canone hujus synodi. Et si fuerit quidem ab imperatore accersitus, ne impediatur abire: sin autem ostentationis gratia aliquo proficiscitur, ut se ostentet et doceat in aliena civitate, et disserat, ac episcopum, qui illic constitutus est, dedecore afficiat, aut in castra sive ad imperatorem proficiscitur, preces seu petitiones oblaturus; nec litteris ejus subscribat, pacificis scilicet litteris, nec cum eo communicet, ut qui jam sit a canone depositus. Dictum est enim in decimo canone Antiochenæ synodi, non posse aliquem ad imperatorem proficisci, nisi litteras metropolitani provinciæ et ejus episcoporum afferat: is autem, qui non ita facit, a dignitate excidat.

C ΖΩΝΑΡ. Καὶ τοῦτο γνώριμον γενήσεται. Τοῦτο, ποῖον; Τὸ μὴ καταγινώσκεσθαι τὴν ἱερωσύνην διὰ τὴν ὀλίγων ἀναισχυντίαν. Καὶ πληρωθήσεται, πῶς; Ἐάν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσιν ὄντων δηλαδὴ τῶν ἐν ταῖς δημοσίαις κειμένων ὁδοῖς, ἤτοι καναλίῳ, δι' ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς δίεισιν ἐν ὑδραγωγίῳ τὸ ὕδωρ (κανάλις γὰρ ἀγωγὸς ὕδατος λέγεται, ἡ δὲ λέξις Ῥωμαϊκή), εἰ οὖν ἕκαστος ἡμῶν, φασὶ, θεασάμενος ἐπίσκοπον, ἀπιόντα που, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται καὶ διὰ τί, καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται· καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ζ' καὶ η' καὶ θ' κανόνι τῆς συνόδου ταύτης. Καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· εἰ δέ που ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι ἐν ἄλλῃ πόλει, διαλέξασθαί τε καὶ καταισχῦναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πεπόρευται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν αἰτήσεις, ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. Εἴρηται γὰρ ἐν τῷ δεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι, εἰ μὴ γράμματα κομίζεται τοῦ μητροπολίτου τῆς ἐπαρχίας καὶ τῶν ἐπισκόπων αὐτῆς· τὸν δὲ μὴ οὕτω ποιοῦντα ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ.

ARIST. « Ὁ τὰ καλῶς καὶ θεαρέστως ἐνηνεγμένα τύφῳ παρασαλεῦσαι πειρώμενος ὁ ἐπίσκοπος. « Τεθεαμένος ἐπίσκοπος ἐπίσκοπον ἐρχόμενον εἰς « στρατόπεδον, ἐμποδὼν μὴ γινέσθω, εἰ γνοίη κατά « τι τῶν προειρημένων ἐρχόμενον· εἰ δ' ἄλλως, « προαγγελλέτω τὸ ἀκοινώνητον. »

Ὁ μὴ φυλάττων τὰ καλῶς καὶ θεαρέστως καινισθέντα, ἀλλὰ τύφῳ καὶ ἀλαζονείᾳ εἰς ἕτερόν τι χωρεῖν τολμῶν παρ' αὐτὰ, τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀφαιρεθήσεται. Ἐπεὶ δὲ ἤδη κεκανόνισται μὴ ἄλλως ἀπέρχεσθαι ἐπίσκοπον εἰς στρατόπεδον, εἰ μὴ βασιλικοῖς γράμμασι μεταχαλοῖτο· δεῖ τὸν διερχόμενον ἐπίσκοπον τὴν αἰτίαν ἀπαιτεῖσθαι τῆς παρόδου παρὰ τοῦ ἐπισκόπου, ἐν ᾧ καταλύσει· καὶ εἰ μὲν εὑρήσει αὐτὸν τοιουτοτρόπως εἰς τὸ στρατόπεδον ἀπερχόμενον, κατὰ μηδὲν αὐτῷ ἐμποδὼν γίνεσθαι, ἀλλὰ καὶ μετὰ τιμῆς ἐκπέμπειν αὐτὸν, καὶ γράφειν τοῖς ἐν ἐπαρχίᾳ καὶ τοῖς συναδέλφοις αὐτοῦ πᾶσιν ὑποδέχεσθαι αὐτὸν ἀδιακρίτως, ὡς τὴν πορείαν ποιούμενον κανονικῶς τε καὶ ἀσκανδάλιστον· εἰ δ' ἄλλως εὑρήσει τοῦτον εἰς τὸ στρατόπεδον ἀφικνούμενον, ἢ δι' ἐπίδειξιν, ἢ διά τινων ἀξιώσεις, μὴ ἀνηκουσας αὐτῷ, ὡς ἀρχιερεῖ, μὴ κοινωνεῖν αὐτῷ, ἢ τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν ἢ προνοίας τινὸς ὅλως αὐτὸν ἀξιοῦν.

ARIST. « Qui [illegible] et Deo grate edita « sunt, præ fastu labefactare conatur, episcopatu « excidit. Episcopus qui episcopum viderit ad « castra proficiscentem, si sciverit eum propter « aliquam ex causis prædictis venientem, ne im- « pedimento ei sit; sin aliter, excommunicatio- « nem ei denuntiet. »

Qui ea quæ pulchre et Deo grate sancita sunt, non observat, sed præ fastu et arrogantia ad aliud præter ea discedere ausus fuerit, honorem et dignitatem episcopalem amittet. Quoniam autem sancitum est, episcopum non aliter ad castra proficisci, nisi litteris imperatoriis accersatur, episcopus, apud quem divertit, ab episcopo transeunte causam litieris quærere debet; et si eum invenerit eo more ad castra proficiscentem, nihil ei impedimenti fiat, sed cum honore eum transmittat, et ad eos qui sunt in provincia omnesque fratres suos scribat, ut eum sincere excipiant, ut qui iter faciat canonice et sine scandalo. Quod si eum invenerit aliter ad castra abeuntem, vel ostentationis gratia, vel propter aliquorum preces, quæ ad ipsum ut sacerdotem non pertinent, ei ne communicet, aut litteris ejus subscribat, aut provisione aliqua ipsum dignetur.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

THEODORUS BALSAMON.

Notitia. 9

Ex Præfatione Guillelmi Beveregii. 19

THEODORI BALSAMONIS, ZONARÆ ET ARISTENI COMMENTARIA IN CANONES APOSTOLORUM, CONCILIORUM, ET IN EPISTOLAS CANONICAS SS. PATRUM.

Canones SS. Apostolorum. 35
— Concilii Nicæni. 217
— Concilii Cpolitani, œcumenici secundi. 309
— Concilii Ephesini, œcumenici tertii. 347
Canones Concilii Chalcedonensis, œcumenici quarti. 381
— Concilii in Trullo dicti. 501
— Concilii VII œcumenici. 675
— Concilii primi et secundi Coalitani. 1005
— Concilii Carthaginensis. 1095
— Concilii Ancyrani. 1121
— Concilii Neocæsariensis. 1195
— Concilii Gangrensis. 1233
— Concilii Antiocheni. 1273
— Concilii Laodicani. 1341
— Concilii Sardicensis. 1421

FINIS TOMI CENTESIMI TRICESIMI SEPTIMI.

Parisiis. — Ex Typis J.-P. MIGNE.





BR60
P4
BR
60
P4
DATE DUE
DOES NOT CIRCULATE
STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA
94305



BR60
P4
BR
60
P4
DATE DUE
DOES NOT CIRCULATE
STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA
94305